This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

**Usage guidelines**

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

**About Google Book Search**

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

Digitized by Google

N. M.
Aristides

Digitized by Google

Digitized by Google

Digitized by Google

# ARISTIDES

EX RECENSIONE

GUILIELMI DINDORFII.

VOL. II.

LIPSIAE
LIBRARIA WEIDMANNIA
G. REIMER.

A. MDCCCXXIX.

Digitized by Google

LENOX LIBRARY NEW YORK

Digitized by Google

# XLV.

## ΠΡΟΣ ΠΛΑΤΩΝΑ ΠΕΡΙ ΡΗΤΟΡΙΚΗΣ III (3 Cant.)

1.

## ΛΟΓΟΣ ΠΡΩΤΟΣ.

Οἶμαι δεῖν ὅστις μέλλει τὰ δέοντα ἐρεῖν, ἢ ψήφου κύριος
ὀρθῶς ἔσεσθαι, μὴ τοῦτο σκοπεῖν μηδὲ βασκαίνειν εἴ τινι
τῶν πρότερον καὶ δόξαν ἐχόντων ἑτέρως εἰρῆσθαι περὶ
τῶν αὐτῶν συμβέβηκεν, ἀλλ' οὗ πανταχοῦ πλεῖστον εἰκός
ἐστι λόγον εἶναι, τοῦτο κἂν τῷ παρόντι ζητεῖν, ὁποτέ-
ρωθι τἀληθὲς, καὶ τοῦτο συμβούλεσθαι νικᾶν. ἄτοπον
γὰρ ἐν μὲν ταῖς ἐκκλησίαις μὴ τὸν πρῶτον εἰπόντα πι-
στεύεσθαι μηδ' ἐν τοῖς δικαστηρίοις, ἀλλὰ τοῦτό γ' εὖ εἰδέναι
πάντας, ὅτι εἰ ταύτῃ ταῦτα κριθήσεται, τῶν φευγόντων οὐ-
δεὶς ἀποφεύξεται· πάντες γὰρ ὕστεροι δή που τοῦ διώκοντος
λέγουσιν· ἐν δὲ τοῖς λόγοις αὐτοῖς καὶ τῇ περὶ τούτων (4)
κρίσει τοὺς τῷ χρόνῳ προλαβόντας κρατεῖν, ἀλλὰ μὴ τοὺς
ἀποδείξοντας περὶ ὧν ἀγωνίζονται, καὶ τραγῳδοὺς μὲν καὶ
κιθαριστὰς καὶ τοὺς ἄλλους τοὺς ἐπὶ τῆς μουσικῆς μὴ
ταὐτὸν φέρεσθαι τῆς τε ἀξίας ὄνομα καὶ τῆς τάξεως, ἢ
κληροῦν γε ἂν ἤρκει μόνον, ἀλλ' ὅστις ἂν κάλλιστ' ἀγω-
νίσηται, τοῦτον στεφανοῦν καὶ πρῶτον ἀναγορεύειν, κἂν
ὕστατος εἰσελθὼν τύχῃ, τοὺς δὲ τῶν ἀστειοτέρων ἀγω-
νισμάτων ἀξιοῦντας ἀγωνιστὰς ἢ κριτὰς εἶναι οὕτω σφό-
2 δρα τὸν χρόνον σεμνύνειν ὥστε μὴ μόνον τοῖς ὅλοις χεί-

*ΠΕΡΙ*] ὑπὲρ N. μέλλει] βούλεται M.

1, 4 καὶ τοῦτο] καὶ τούτῳ L. καὶ τοῦτο correctus N, qui primum καὶ τούτῳ habuit. 6 γ' LN. γε lebb. ταύτῃ ταῦτα] ταῦτα ταύτῃ M. ταῦτα] Ea scilicet de quibus modo dixerat orator et quae geruntur et dicuntur in concionibus et iudiciis. Reisk.
7 τοῦ διώκοντος] Malim τῶν διωκόντων. Reisk.

2, 1 τοῖς ὅλοις χείρους] χείρους τοῖς ὅλοις M.

ρους τοὺς ὑστέρους ἡγεῖσθαι, ἀλλὰ μηδ' ἂν τυχεῖν εὑρόντας βέλτιον τῶν εἰρημένων μηδέν. ὁρῶ δὲ ὅτι κἀν τοῖς γυμνικοῖς ἀγῶσιν οὐχ ὅστις πρῶτος τὴν ἀπογραφὴν ἐποιήσατο, οὗτος ἀπέρχεται νικῶν, ἀλλ' ὅστις οὗ τὴν ἀπογραφὴν πεποίηται, τοῦτο ἐπὶ τῆς πείρας ἄριστα δείκνυσι. καὶ τοῦθ' οὕτως ἰσχύει διὰ τέλους ὥστε καὶ ἐν αὐτοῖς τοῖς ἄθλοις, προσθήσω δ' ὅτι καὶ τοῖς αὐτοῦ τοῦ τάχους, οὐ τοῖς ἐπὶ τῆς ἀρχῆς ἐξενεγκοῦσιν ἀποδίδοται τὸ σύμβολον ἀλλὰ τοῖς παρελθοῦσι. καίτοι πῶς οὐκ ἀλογία πολλὴ τοὺς μὲν ἃ τῆς τοῦ σώματος τύχης ἔχεται μελετῶντας ἢ τιμῶντας οὕτω σφόδρα καὶ νῦν καὶ πρότερον τὸ τοῦ λόγου καλὸν καὶ δίκαιον τετιμηκέναι, τοὺς δ' ἐπὶ τῶν λόγων ἀνέχοντας καὶ χωρὶς τῆς ἐν τούτοις διατριβῆς οὐδ' ἂν ζῆν δεξαμένους οὕτως ἀργῶς, μᾶλλον δ' ἀδίκως ἔχειν, ὥσθ' ἑνὶ πιστῷ χρῆσθαι περὶ ἁπάντων, ἄν τις φθάσῃ γενόμενος, καὶ τὰ ὀνόματα ἀντὶ τῆς ἀληθείας θαυμάζειν αἱρεῖσθαι, ὥσπερ νομίσαι δέον, οὐχ εὑρεῖν τὸ βέλτιον· καὶ τοὺς μὲν νόμους αὐτούς, ἂν συμφέρῃ, κινεῖν, τοὺς δὲ περὶ τῶν ἀεὶ μενόντων τῇ φύσει λόγους ἐπὶ τοῖς πρώτοις μὴ δέχεσθαι, ἀλλ' ὥσπερ ὅρους ἢ στήλας τοὺς προκατεσχηκότας πρεσβεύειν, καὶ ταῦτα οὐ λύειν ὥσπερ ἐν τοῖς νόμοις τοὺς προτέρους διὰ τῶν ἐναντίων δέον, ἀλλὰ τῆς αὐτῆς χώρας καὶ ἑτέρους ἀξιοῦν αὐτοῖς· καὶ τοῖς μὲν ὅρκοις τοῖς κοινοῖς προσπαραγράφειν ἐξεῖναι ἀνελεῖν καὶ

---

3 πρῶτος Θ Iunt. πρῶτον Iebb. 5 αὐτοῦ τοῦ τάχους ELMN Soph. Iebb. τοῦ om. Iunt. 6 ἐξενεγκοῦσιν] Significat eos qui primi carceribus emittuntur ad cursum sociosque pernicitate vincunt. Reisk. 8 καὶ νῦν add. LMN Soph. Iebb. om. Θ Iunt. δίκαιον] Non ausim δίκαιον damnare: videtur tamen δικαίως praestare. Conf. versu 10. Reisk. τετιμηκέναι om. E, qui περιέπειν add. ante τὸ τοῦ λόγου. 10 φθάσῃ LN Opor. Iebb. φάσῃ Iunt. 11 αἱρεῖσθαι] ᾑρεῖσθαι E. νομίσαι ELN Soph. Iebb. νομίσας Iunt. νομίσαι] Certo credere ab alio traditum aliquid aut inventum sancitumve, idque firmiter sibi persuasum habere, nil ultra quaerentem cur credat et rectene an secus. Contrarium eius est εὑρεῖν, meditando invenire, excogitare, ut possis quaerenti rei rationem reddere cur ita neque aliter statuas. Reisk. 12 τὸ βέλτιον] τὰ δέοντα M. 15 ἐναντίων LN Iebb. ἐναντίον Iunt. 16 τοῖς κοινοῖς exciderunt ex Iebb.

Digitized by Google

προσθεῖναι ὅ τι ἂν σκοπουμένοις ὕστερον συνδοκῇ, οὓς δὲ ἀπὸ τῆς αὐτῆς ἐξουσίας ἀεὶ καὶ διὰ παντὸς ἐξετάζειν
3 δεῖ λόγους, τῷ παρελθόντι χρόνῳ μόνῳ προσθεῖναι, ὥσπερ (6)
ἂν εἴ τις καὶ ὑγιαίνειν χρῆναι φάσκοι μόνους τοὺς πρώτους γενομένους, καὶ μηδ' ἐκεῖνο ὁρᾷ ὅτι ἡ τοιαύτη κρίσις καὶ ὁ τοιοῦτος λογισμὸς αὐτοῖς πρώτοις οὓς τιμῶσιν οὐ λυσιτελεῖ. εἰ γὰρ τῷ χρόνῳ δεῖ συγχωρεῖν καὶ τὴν ἀξίαν ἀπὸ τούτου μετρεῖν, οὐκέτ' ἔχει τόπον ἡ νῦν παρὰ πάντων εἰς ἐκείνους αἰδώς. Ἴασος γὰρ ἂν οὕτω γε νικῴη περὶ λόγους καὶ Κρίασος καὶ Κρότωπος καὶ Φορωνεὺς καὶ εἴ τις Ἀργεῖος ἐκ μύθου καὶ Δευκαλίων ἢ εἴ τις ἔκ τε ἄλλων ἄλλος καὶ Λυκάων ἐξ Ἀρκαδίας καὶ Κέκροψ Ἀθήνηθεν ἀντὶ τῶν νῦν βεβοημένων· ἐν δὲ τοῖς ἔθνεσι Φρύγες διὰ τὴν παρὰ τοῦ βέκους, οἶμαι, μαρτυρίαν. καὶ παρῆκα Καλλαίθυιαν ἀρίστην γυναικῶν ἅμα καὶ ἀνδρῶν γενομένην. ἐὰν οὕτω κρίνωμεν, ὡς οὐ Κόδρῳ γε μετέσται τῆς φιλοτιμίας, ἀλλὰ καὶ οὗτος παῖς οἷς εἶπον συμβάλλειν καὶ οὐκ ἀρχαῖος, καὶ κατὰ μικρὸν οὕτω ζητήσομεν εἴ
τις ἦν πρὶν σελήνην εἶναι. Ὁμήρου δὲ καὶ Ἡσιόδου καὶ (7)
τῶν εἰς ἡμᾶς νενικηκότων, Πλάτωνος, εἰ βούλει, καὶ Δημοσθένους καὶ τῶν ὀλίγον πρὸ τούτων, οὐδ' εἰς πολλοστὸν χρόνον ἐλπὶς ὁμοίαν ἐγγενέσθαι δόξαν, συμπροϊόντος ἴσου τοῦ πρὸ αὐτῶν ἐκείνοις ἀεί. εἰ δὲ τοῦτ' εὔδηλον ἅπασιν ὅτι καὶ οὗτοι φύσει καὶ δυνάμει διενεγκόντες τοὺς πρὸ αὐτῶν ἀπέκρυψαν, οὐδὲ τοὺς ὕστερον παντάπασιν ἅπαντας ἀπείργειν εἰκός, οὐδ' ἀπιστεῖν εἴ τις καὶ τοῦ νυνὶ χρόνου μετεσχηκὼς ἔχει συμβαλέσθαι γνώμην περὶ ὧν πρό-

---

3, 1 εἴ τις] εἰ καὶ E. 2 καὶ μηδ'] καὶ habent ΘELMN Soph. Iebb. om. Iunt. ὁρᾷ Θ Iunt. ὁρᾷν S Iebb. et var. lect. Canteri. κρίσις LMN Iebb. χρῆσις Iunt. 3 πρώτοις] πρώτοις τοῖς Reiskius. οὓς] οἷς N. 4 οὐκέτ'] οὐκ E. γε om. M. 6 ἄλλος addidit Reiskius. 7 βέκους] Scribebatur βαίκους. Vide Herodoti II, 2. 8 Καλλαίθυιαν] καλαίθυιαν L. ὡς οὐ LMN Iebb. οὐδὲ, omisso ὡς, Iunt. συμβάλλειν] συμβαλεῖν N. παραβαλεῖν alia manus superscripsit in L. καὶ οὐκ N. Legebatur καὶ οὔτ'. 10 ζητήσομεν Steph. Iebb. ζητήσωμεν Iunt. 12 συμπροϊόντος ΘLN Soph. Legebatur προϊόντος. ἐκείνοις ἀεὶ in margine habet N. 13 τοῦτ'] τοῦτο ΘL. διενεγκόντες om. M.

κειται λόγος, ἀλλὰ παρ' αὐτῶν, ὡς ἔοικεν, ὧν τιμῶμεν 4 ὑπάρχειν εἰδότας τὸ προσίεσθαι καὶ προσέχειν ὁπόσον διαφέρει. ἅπαντας μὲν οὖν ἴσως τοὺς παλαιοὺς αἰδεῖσθαι μὲν δίκαιον, φρίττειν δὲ οὐκ ἄξιον, εἴπερ μὴ τοῖς ἐπὶ τοῖς λόγοις ὀνομασθέντας μᾶλλον ἢ τοὺς λόγους αὐτοὺς δεῖ δοκεῖν τιμᾶν· ὅτι δ' εἰ πρὸς ἄλλον τινὰ χρὴ γνώμης οὕτως ἔχειν, καὶ πρὸς Πλάτωνα, οὐκ ἄλλου δέομαι μάρτυρος, ἀλλ' αὐτὸς ἐξαρκεῖ οὐ μόνον οἷς ἁπανταχοῦ βοᾷ καὶ παρακελεύεται μηδὲν πρότερον ποιεῖσθαι τῆς ἀληθείας, ἀλλὰ καὶ ὀλίγῳ τῷ παραδείγματι. εἰ γὰρ ἐκεῖνος Ὁμήρῳ τῷ τοσοῦτον πρὸ αὐτοῦ περὶ πολλῶν ἐπιτιμῶν οὐκ ἀπεστέρηται λόγου, ἀλλ' ἔχει πρὸς τοὺς ἀγανακτοῦντας ὅ τι εἴπῃ, κατ' αὐτὸν, ὡς ἔοικε, Πλάτωνα καὶ τοὺς ἐκεῖνον ἐπαινοῦντας καὶ πάσης αἰτίας ἀφιέντας ἔστι, κἂν ἄλλος τις ἐκείνῳ δοκῇ τι λέγειν ὑπεναντίον, τολμᾶν ἀκροάσασθαι, μή που τοῦτ' ἔγκλημα ποιουμένους, ἀλλ' ἐὰν τοῖς περὶ τῶν πραγμάτων λόγοις ἀπολειφθῇ. ἃ τοίνυν εἴρηκε περὶ ῥητορικῆς φιλονεικότερον τοῦ δέοντος Γοργίου καὶ Σωκράτους ὑποθέμενος συνουσίαν Ἀθήνησι φέρε ἐπισκεψώμεθα καὶ δείξωμεν ὅπως ἔχει. καὶ γὰρ ἂν εἴη δεινὸν, εἰ ἐκεῖνος μὲν ὑποστὰς κατηγορεῖν ἐκ προφανοῦς οὐκ ἀπεστέρησε τρόπον γέ τιν' αὐτὴν τῶν ὑπὲρ αὐτῆς λόγων, ἀλλ' ἀπέδωκε δυσὶ καὶ τρισὶν ἀντειπεῖν, ὡς γοῦν ἐν σχήματι διαλόγων, ἡμεῖς δὲ οἱ τὸ ὅλον βοηθεῖν ἔχοντες καὶ προῃρημένοι μὴ τολμήσομεν, ὥσπερ τοσαῦτ' ἀντιλέγειν Πλάτωνι δέον, ὁπόσα ἂν αὐτὸς πρὸς αὐτὸν βουληθείη. ἄλογον δέ μοι φαίνεται, εἰ Πλάτων μὲν οὐκ ᾐδέσθη ψέγων ῥητορικὴν, ἧς ἴσως τι καὶ αὐτῷ μετῆν, ἡμεῖς δ',

---

4, 1 προσίεσθαι] προγενέσθαι Reiskius. προΐεσθαι Canterus. προσέχειν] προέχειν Canterus. Quocum Reiskius comparat p. 30, 8. 6 ὀλίγῳ] ὀλίγου. *paene dixerim.* aut καὶ οὐκ ὀλίγῳ *et exemplo non contemnendo.* sed prius praefero. in τῷ παραδείγματι subauditur ἑαυτοῦ, *suomet exemplo.* Reisk. 8 εἴπῃ] εἴποι N. 9 ἔστι, κἂν] θέμις δηλονότι ἐστὶ κἂν E. 10 που ΘLMN. Legebatur πω. τοῦτ'] τοῦτό γ' I. 15 τολμήσομεν] τολμήσωμεν N. 16 πρὸς αὐτὸν deleta sunt in N. βουληθείη LMN lebb. βουληθῇ (ων) lunt. 17 ψέγων] ψέγειν E.

αἰσχυνούμεθα ὑπὲρ ῥητορικῆς λέγοντες μή τις δι' ἐκεῖνον ἀχθεσθείη. χωρὶς δὲ τούτων εἰ μὲν μηδὲν ἀντειπεῖν δεῖ, ἀλλ' ἐρήμην ἑαλωκέναι καθάπερ ἐν δικαστηρίῳ, καὶ ταῦτα λόγων τέχνην οὖσαν, ἄλλο τι τοῦτ' ἂν εἴη τοὐπίταγμα· εἰ δ' ἔσθ' ἅντινα δεῖ, σχεδὸν ἡμῖν ἂν πρέποι, ἵνα καὶ τὸ δίκαιον εὐθὺς ἐν αὐτῷ τούτῳ πρώτῳ δείξωμεν οὗ προεστήκαμεν· ὡς ἔστιν οὐ λόγον σῶζον παρ' ἧς τὸ τοῖς ἄλλοις συναγορεύειν ἐστί, ταύτῃ τῶν παρ' αὐτῆς μὴ μεταδοῦναι, ἀλλὰ δυοῖν θάτερον, ἢ τοιοῦτον εἶναι δοκεῖν αὐτὴν οἷον Πλάτων βεβούληται, ἢ τοιοῦτόν γ' εἶναι δοκεῖν ποιῆσαι. οὐ γάρ ἐστιν ἐν τούτῳ ὃ πανταχοῦ, ὅτι τὰς αἰτίας ἡ σιωπὴ βεβαιοῖ, ἀλλ' ἅμα τῶν τε δικαίων οὐ τεύξεται καὶ τὸ σεμνὸν αὐτῆς ἐπ' αὐτῆς ἐξελήλεγκται. δόξει γὰρ οὐχ οἵα τ' εἶναι σώζειν τὰ δίκαια. ἐγὼ δὲ μάλιστα μὲν καὶ πρῶτον αἰδοῖ τῶν λόγων αὐτῶν καὶ τῷ νομίζειν χρῆναι καθάπερ γονεῦσι βοηθεῖν, ὡς ἕκαστος ἔχει τῆς ἐν αὐτοῖς δυνάμεως, εἶτα καὶ τῶν ἄλλων ἕνεκ' ἀνθρώπων, ὅπως μὴ περὶ τῶν μεγίστων φαύλως ὑπαχθεῖεν μηδ' ἀγνοήσαιεν ὅσῳ λαμπρότερος καὶ μείζων ἀνήρ, (10) τοσούτῳ προχειρότερον πιστεύσαντες αὐτῷ, μηδὲ ἣν οὐ θέμις οὐδὲν φλαῦρον ἀκοῦσαι, ταύτην οἰόμενοι κακίζειν αὐτοὺς τῶν καλλίστων ἀποστερήσαιεν ἑκόντες, ἐν ἴσῳ δὲ ἄκοντες εἰπεῖν, ὑπέστην τὸν λόγον τοῦ τε δικαίου χάριν καὶ τῆς χρείας. τὸ μὲν οὖν ἀξίωμα τοσοῦτον τοῦ παρόντος ἀγῶνος. καλῶ δ' ἐπὶ τούτῳ τῷ τολμήματι καὶ Ἑρμῆν λόγιον καὶ Ἀπόλλωνα μουσηγέτην καὶ Μούσας ἁπάσας (9)

---

18 αἰσχυνούμεθα Soph. Legebatur αἰσχυνόμεθα. ἀχθεσθείη LMN. ἀχθεσθῇ Iunt.

5, 2 τὸ δίκαιον LMN Iebb. τὸ om. Iunt. τούτῳ πρώτῳ] L primum habuit τῷ πρώτῳ, quod alius mutavit in τούτῳ πρῶτον. πρῶτον ex N affert Iebbius. 3 ἧς] οἷς N. 4 τοιοῦτον εἶναι] τοιοῦτόν γ' εἶναι L. δοκεῖν] νομίζειν superscr. ab alia manu in L.

5 δοκεῖν] νομίζεσθαι superscr. ab alia manu in L. ἐν om. M. 6 αὐτῆς ἐπ' LMN Iebb. αὐτῆς om. Iunt. 8 αὐτοῖς ELN Iebb. αὐτῆς Iunt. αὐτῇ Steph. ἕνεκ'] εἵνεκ' Θ. 9 Post φαύλως deest διανοεῖσθαι aut ἐνθυμεῖσθαι aut simile quid. Reisk.

10 τοσούτῳ] τοσοῦτον M. οὐ θέμις] οὐδὲ θέμις L. φλαῦρον] φαῦλον MN et a pr. m. L. 13 ἀπόλλωνα ELMN Iebb. ἀπόλλω Iunt.

Digitized by Google

ἡγεμόνας γενέσθαι, μάλιστα μὲν καὶ δι᾽ αὐτὸ τὸ ἴδιον τῆς νῦν κλήσεως, ὅτι τούτων ἡ δωρεὰ ὑπὲρ ἧς ἅμα καὶ δι᾽ ἧς ἀγωνιζόμεθα, ἔπειθ᾽ ὅτι καὶ δύο συμπέπτωκεν. οὔτε γὰρ πρὸς τὸν φαυλότατον τῶν Ἑλλήνων οὐθ᾽ ὑπὲρ 6 τῶν φαυλοτάτων οἱ λόγοι. εἰσὶ δὲ οἳ καὶ τῶν ἐκείνου λόγων τῶν εἰς μνήμην ἡκόντων τούτους μάλιστα θαυμάζουσιν οἷς ἐνταῦθα καὶ περὶ τούτων κέχρηται. ὥστε πανταχῇ θείας δεῖν τῆς βοηθείας ὡς ἀληθῶς. ὥσπερ οὖν οἱ τὰς τῶν παρανόμων γραφὰς εἰσιόντες ἀπ᾽ αὐτῶν ὧν εἴρηκε τὴν ἀρχὴν ποιησόμεθα. ἔστι δὲ ταυτὶ „Δοκεῖ τοίνυν μοι, (11 ὦ Γοργία, εἶναι ἐπιτήδευμα τεχνικὸν μὲν οὔ, ψυχῆς δὲ στοχαστικῆς καὶ ἀνδρείας καὶ φύσει δεινῆς προσομιλεῖν τοῖς ἀνθρώποις. καλῶ δὲ αὐτοῦ ἐγὼ τὸ κεφάλαιον κολακείαν. ταύτης μοι δοκεῖ τῆς ἐπιτηδεύσεως πολλὰ μὲν καὶ ἄλλα μόρια εἶναι, ἓν δὲ καὶ ὀψοποιική, ὃ δοκεῖ μὲν εἶναι τέχνη, ὡς δ᾽ ὁ ἐμὸς λόγος, οὐκ ἔστι τέχνη, ἀλλ᾽ ἐμπειρία καὶ τριβή· ταύτης μόριον καὶ τὴν ῥητορικὴν ἐγὼ καλῶ καὶ τήν γε κομμωτικὴν καὶ τὴν σοφιστικήν, τέτταρα ταῦτα μόρια ἐπὶ τέτταρσι πράγμασιν. εἰ οὖν βούλεται Πῶλος πυνθάνεσθαι, πυνθανέσθω, οὐ γάρ πω πέπυσται ὁποῖόν φημ᾽ ἐγὼ τῆς κολακείας μόριον εἶναι τὴν ῥητορικήν, ἀλλ᾽ αὐτὸν λέληθα οὔπω ἀποκεκριμένος. ὁ δὲ ἐπανερωτᾷ εἰ οὐ καλὸν ἡγοῦμαι εἶναι· ἐγὼ δ᾽ αὐτῷ οὐκ ἀποκρινοῦμαι πρότερον εἴτε αἰσχρὸν εἴτε καλὸν ἡγοῦμαι τὴν ῥητορικὴν πρὶν ἂν πρῶτον ἀποκρίνωμαι ὅ ἐστιν. οὐ γὰρ δίκαιον, ὦ Πῶλε. ἀλλ᾽ εἴπερ βούλει πυνθάνεσθαι, ἐρώτα ὁποῖον μόριον τῆς κολακείας φημὶ εἶναι τὴν ῥητορικήν. Ἐρωτῶ δή, καὶ ἀπό- (12 κριναί μοι ὁποῖον μόριον. Ἆρ᾽ οὖν ἂν μάθοις ἀποκρινα-

---

14 ἴδιον] ἥδιον supersor. in L. 15 ἀγωνιζόμεθα LN. Legebatur ἀγωνιζώμεθα.

6, 3 ἔστι δὲ ταυτὶ] Apud Platonem in Gorgia p. 463 a. 4 ὦ Γοργία, εἶναι] εἶναι ὦ γοργία M. εἶναι] εἶναί τι Plato. δὲ στοχαστικῆς in margine habet N. 5 ἐγὼ τὸ κεφάλαιον LMN. ἐγὼ τὸ κεφάλαιον ἐγὼ Iebb. τὸ κεφάλαιον ἐγὼ Θ Iunt. 7 ὀψοποιική ΘL. ὀψοποιηκὴ Iunt. ὀψοποιητικὴ M. Iebb. 8 κομμωτικὴν] καμμωτικὴν L. 9 τέτταρσι LN. τέτρασι Θ. Scribebatur τέσσαρσι. βούλεται] γρ. δύναται margo N. 10 φημ᾽] φημι LN. τῆς om. M. 12 εἶναι om. M. εἴτε καλὸν εἴτε αἰσχρὸν L. 15 μοι om. M. μάθοις ΘLN Opor. μάθεις Iunt. μάθῃς Steph.

μένου; ἔστι γὰρ ἡ ῥητορικὴ κατὰ τὸν ἐμὸν λόγον πολιτικῆς μορίου εἴδωλον. Τί οὖν; καλὸν ἢ αἰσχρὸν λέγεις αὐτὴν εἶναι; Αἰσχρὸν ἔγωγε. τὰ γὰρ κακὰ αἰσχρὰ καλῶ, ἐπειδὴ δεῖ σοι ἀποκρίνασθαι ὡς ἤδη εἰδότι ὃ λέγω. Μὰ τὸν Δία, ὦ Σώκρατες, ἀλλ᾽ ἔγωγε οὐδὲ αὐτὸς συνίημι ὅ τι λέγεις.

7 Εἰκότως γε, ὦ Γοργία. οὐδὲν γάρ πω σαφὲς λέγω. Πῶλος δὲ ὅδε νέος ἐστὶ καὶ ὀξύς. Ἀλλὰ τοῦτον μὲν ἔα, ἐμοὶ δὲ εἰπὲ πῶς λέγεις πολιτικῆς μορίου εἴδωλον εἶναι τὴν ῥητορικήν. Ἀλλ᾽ ἐγὼ πειράσομαι φράσαι ὅ γέ μοι φαίνεται εἶναι ἡ ῥητορική· εἰ δὲ μὴ τυγχάνει ὂν τοῦτο, Πῶλος ὅδε ἐλέγξει. σῶμά που καλεῖς τι καὶ ψυχήν; Πῶς γὰρ οὔ; Οὐκοῦν καὶ τούτων οἴει τινὰ εἶναι ἑκατέρου εὐεξίαν; Ἔγωγε. Τί δέ; δοκοῦσαν μὲν εὐεξίαν, οὖσαν δ᾽ οὔ; οἷον τοιόνδε λέγω· πολλοὶ δοκοῦσιν εὖ ἔχειν τὰ σώματα, οὓς οὐκ ἂν ῥᾳδίως αἴσθοιτό τις ὡς οὐκ εὖ ἔχουσιν ἀλλ᾽ ἢ ἰατρός τε καὶ τῶν γυμναστικῶν τις. Ἀληθῆ λέγεις. Τὸ τοιοῦτον λέγω καὶ (13) ἐν σώματι εἶναι καὶ ἐν ψυχῇ, ὃ ποιεῖ μὲν δοκεῖν εὖ ἔχειν τὸ σῶμα καὶ τὴν ψυχήν, ἔχει δὲ οὐδὲν μᾶλλον. Ἔστι ταῦτα. Φέρε δή σοι ἐὰν δύνωμαι σαφέστερον ἐπιδείξω ὃ λέγω. δυοῖν ὄντων τῶν πραγμάτων δύο λέγω τέχνας. τὴν μὲν οὖν ἐπὶ τῇ ψυχῇ πολιτικὴν καλῶ, τὴν δ᾽ ἐπὶ τῷ σώματι μίαν μὲν οὕτως ὀνομάσαι οὐκ ἔχω σοι, μιᾶς δὲ οὔσης τῆς τοῦ σώματος θεραπείας δύο μόρια λέγω, τὴν μὲν γυμναστικήν, τὴν δὲ ἰατρικήν. τῆς δὲ πολιτικῆς ἀντίστροφον μὲν τῇ γυμναστικῇ τὴν νομοθετικήν, ἀντίστροφον δὲ τῇ ἰατρικῇ τὴν δικαιοσύνην. ἐπικοινωνοῦσι μὲν δὴ ἀλλήλαις ἅτε περὶ τὸ αὐτὸ οὖσαι ἑκατέρα τούτων, ἥ τε ἰατρικὴ τῇ γυμναστικῇ καὶ ἡ δικαιοσύνη τῇ νομοθετικῇ. ὅμως δὲ διαφέρουσί τι ἀλλήλων. τεττάρων δὲ τούτων οὐσῶν καὶ ἀεὶ πρὸς τὸ βέλτιστον θεραπευουσῶν, τῶν μὲν τὸ σῶμα, τῶν

---

18 αὐτὸς L Iebb. αὐτὸ Iunt.

7, 1 σαφὲς] σαφῶς L. 4 τινὰ εἶναι] εἶναι τινὰ L. 5 τί δέ ELMN. Legebatur τί δαί. 6 ἀλλ᾽ ἢ LMN Soph. Iebb. ἢ om. Iunt. 7 τις] ὁστισοῦν M. Ἀληθῆ] ἀληθῶς L. τοιοῦτον N. Scribebatur τοιοῦτο. 8 δοκεῖν εὖ ἔχειν] εὖ ἔχειν δοκεῖν M. 9 δή σοι LMN Iunt. Iebb. δήπου Steph. δύνωμαι LMN Opor. Iebb. δύναμαι Iunt. τῶν add. LN Iebb. om. Θ Iunt. 10 ἐπὶ τῇ] ἐν τῇ N. 13 ἐπικοινωνοῦσι ΘELN. ἐπικοινῶσι Iunt. Iebb. 14 οὖσαι] οὖσα N. 16 θεραπευουσῶν LN Iebb.

δὲ τὴν ψυχὴν, ἡ κολακευτικὴ αἰσθομένη, οὐ γνοῦσα λέγω, ἀλλὰ στοχασαμένη, τέτραχα ἑαυτὴν διανείμασα, ὑποδῦσα (1 ἕκαστον τῶν μορίων προσποιεῖται εἶναι τοῦτο ὅπερ ὑπέδυ, καὶ τοῦ μὲν βελτίστου οὐδὲν φροντίζει, τῷ δὲ ἡδίστῳ θηρεύει τὴν ἄνοιαν καὶ ἐξαπατᾷ, ὥστε δοκεῖν πλείστου

8 ἀξίαν εἶναι. ὑπὸ μὲν οὖν τὴν ἰατρικὴν ἡ ὀψοποιικὴ ὑποδέδυκε καὶ προσποιεῖται τὰ βέλτιστα σιτία τῷ σώματι εἰδέναι, ὥστ' εἰ δέοι ἐν παισὶ διαγωνίζεσθαι ὀψοποιόν τε καὶ ἰατρὸν ἢ ἐν ἀνδράσιν οὕτως ἀνοήτοις ὥσπερ οἱ παῖδες, πότερος ἐπαΐει περὶ τῶν χρηστῶν σιτίων καὶ πονηρῶν, ὁ ἰατρὸς ἢ ὁ ὀψοποιὸς, λιμῷ ἂν ἀποθανεῖν τὸν ἰατρόν. κολακείαν μὲν οὖν αὐτὸ καλῶ καὶ αἰσχρόν φημι εἶναι τὸ τοιοῦτον, ὦ Πῶλε, τοῦτο γὰρ πρὸς σὲ λέγω, ὅτι τοῦ ἡδέος στοχάζεται ἄνευ τοῦ βελτίστου. τέχνην δὲ αὐτὴν οὔ φημι εἶναι, ἀλλ' ἐμπειρίαν, ὅτι οὐκ ἔχει λόγον οὐδένα ᾧ προσφέρει, ὁποῖ' ἄττα τὴν φύσιν ἐστὶν, ὥστε τὴν αἰτίαν ἑκάστου μὴ ἔχειν εἰπεῖν· ἐγὼ δὲ τέχνην οὐ καλῶ ὃ ἂν ᾖ ἄλογον πρᾶγμα. τούτων δὲ πέρι εἰ ἀμφισβητεῖς, ἐθέλω ὑποσχεῖν λόγον. τῇ μὲν οὖν ἰατρικῇ, ὥσπερ λέγω, ἡ ὀψοποιικὴ κολακεία ὑπόκειται, τῇ δὲ γυμναστικῇ κατὰ τὸν (1 αὐτὸν τρόπον ἡ κομμωτικὴ, κακοῦργος καὶ ἀπατηλὴ καὶ ἀγεννὴς καὶ ἀνελεύθερος, σχήμασι καὶ χρώμασι καὶ λειότητι καὶ ἐσθῆτι ἀπατῶσα, ὥστε ποιεῖν ἀλλότριον κάλλος ἐφελκομένη τοῦ οἰκείου διὰ τῆς γυμναστικῆς ἀμελεῖν. ἵνα οὖν μὴ μακρολογῶ, ἐθέλω σοι εἰπεῖν, ὥσπερ οἱ γεωμέτραι, ἤδη γὰρ ἂν ἴσως ἀκολουθήσαις, ὅτι ὃ κομμωτικὴ πρὸς

---

θεραπευσῶν Iunt. 18 τοῦτο N. Legebatur τοιοῦτο. 19 ἀξίαν ELN. Legebatur ἀξία. ἄξιον M.

8, 1 ὀψοποιικὴ ΘLN. ὀψοποιηκὴ Iunt. ὀψοποιητικὴ M Iebb. 2 ὥστ'] ὥστε LN. 3 καὶ πονηρῶν] ἢ πονηρῶν M. ὁ ὀψοποιὸς ex Platone dedi. Aberat articulus. 4 καλῶ ELMN Iebb. καλῶν Iunt. 6 οὐδένα] οὐδέν' L. ᾧ LMN. Legebatur ὃ. ἃ E. ὧν Canterus. ὁποῖ'] ὁποῖα Θ. 7 ᾖ] εἴη M. 9 ὥσπερ] ὅπερ M. ὀψοποιικὴ ΘLN. ὀψοποιηκὴ Iunt. ὀψοποιητικὴ M Iebb. δὲ excidit ex Iebb. 10 κακοῦργός τε οὖσα καὶ E et Canterus. Legebatur κακοῦργος καὶ. κακοῦργος δὲ καὶ ex N affert Iebbius. σχήμασι] καὶ σχήμασι L. χρώμμασι Θ. Legebatur χρώματι. 11 ἐσθῆτι N Opor. var. lect. Cant. Iebb. αἰσθῆτι Iunt. ἀπατῶσα LMN Iebb. ἀπατῶσαι Iunt. τοῦ οἰκείου] οἰκείου τοῦ Canterus. 12 ἵνα] ἵν' N.

Digitized by Google

*γυμναστικήν, τοῦτο σοφιστικὴ πρὸς νομοθετικήν, καὶ ὃ ὀψοποιικὴ πρὸς ἰατρικήν, τοῦτο ῥητορικὴ πρὸς δικαιοσύνην."*

*Ἐνταῦθα ἀπόδειξις μὲν οὐδ' ἡτισοῦν ἔνεστιν οὐδ' ἔλεγχος ἀνάγκῃ προεληλυθώς, ὑπόκειται δ' ἁπλῶς ὥσπερ ἐξὸν, οὗ πολὺς ἦν ἱδρὼς πρότερον· οὐδὲν διαφερόντως ἢ εἰ χάριν ᾔτει τοὺς ἀκούοντας ταῦτα συγχωρῆσαι. καίτοι εἰ τὰ ζητούμενα ὡς ὁμολογούμενα ὑποτίθεσθαι γέλως, πῶς εἰκὸς ἅ γε ζητεῖν γέλως, ταῦτ' ἐξ ἀρχῆς ὑποτίθεσθαι; πῶς γὰρ οὐ γέλως εἰ τῆς αὐτῆς φύσεως ῥητορικὴ καὶ ὀψοποιικὴ ζητεῖν; ὁ δ' ὥσπερ ὁμολογούμενον εἴληφεν αὐτό.*
9 *γνοίη δ' ἄν τις ἐκείνως, εἰ τὸ τῆς ῥητορικῆς ὄνομα ἐξε-* (16)
*λὼν τὸ τῆς φιλοσοφίας ἀντ' ἐκείνου μεταλάβοι καὶ ἐπὶ τούτῳ πᾶσι τοῖς αὐτοῖς χρήσαιτο. καὶ μηδεὶς μήτε ἀγροικίαν μήτε ψυχρότητα καταγνῷ τοῦ λόγου. μάλιστα μὲν γὰρ οὐ δή που δυοῖν ἐπιστήμαιν ἢ δυνάμεοιν τοῖς μὲν τὴν ἑτέραν προϊσταμένοις, οὐδ' ἂν ὁτιοῦν βλασφημῶσιν εἰς τοὺς ἑτέρους, οὐδὲν ἄγροικον ὑπεῖναι φήσομεν, τοῖς δ' οὐδὲ τοῖς αὐτοῖς ἀμύνεσθαι δώσομεν· ἔπειτ' οὐ τοῦ φορτικοῦ χάριν εἰρήσεται, ἀλλὰ τῆς ἀποδείξεως, ἣν οὐδαμοῦ τούτοις εἶναι φαμέν. οὐκοῦν ὡδὶ γίγνεται „Δοκεῖ τοίνυν μοι, ὦ Γοργία, εἶναι ἐπιτήδευμα τεχνικὸν μὲν οὔ, ψυχῆς δὲ στοχαστικῆς καὶ ἀνδρείας, καὶ φύσει δεινῆς προσομιλεῖν τοῖς ἀνθρώποις. καλῶ δὲ αὐτοῦ ἐγὼ τὸ κεφάλαιον κολακείαν. ταύτης μοι δοκεῖ τῆς ἐπιτηδεύσεως πολλὰ μὲν*

---

14 *καὶ ὃ*] *καὶ ὅπερ* N. *καὶ ὅτι* E. *καὶ ὁ τῇ* Θ, quod est *καὶ ὅτι ὃ*, ut apud Platonem scribitur. *ὀψοποιικὴ* ΘLN. *ὀψοποιηκὴ* Iunt. *ὀψοποιητικὴ* M Iebb. *ῥητορικὴ* ΘELMN. Legebatur *ἡ ῥητορική*. 16 *ἦν ἱδρὼς*] *ἱδρῶς ἦν* L. *διαφερόντως*] *διαφέρων* E. *εἰ χάριν*] *εἰ ἑαυτοῦ χάριν*, *si sibi*, *sua gratia concedere haec auditores rogaret*. Reisk. 18 *πῶς γὰρ* ELMN Soph. Iebb. *γὰρ* om. Iunt. 19 *ὀψοποιικὴ* ΘLN. *ὀψοποιηκὴ* Iunt. *ὀψοποιητικὴ* M Iebb. 9, 1 *δ'*] *δὲ* ΘN. 2 *τούτῳ* Iunt. *τοῖτο* N. *τούτο* (sic) Iebb. 3 *που*] *πω* N. 4 *δυνάμεοιν*] *δυναμέοιν* L. 4 *τὴν ἑτέραν*] *τῆς ἑτέρας* M. Recte habet *τὴν ἑτέραν*. nam *προΐστασθαί τι* significat *tueri*, *defendere*, ut *προσίστασθαί τι aliquid abhorrere*, *repudiare*, *aspernari*. Reisk. 5 *οὐδὲν* LN Iebb. *οὐδὲ* Iunt. 7 *εἶναι*] *ἐνεῖναι* Canterus. *γίγνεται* N. Scribebatur *γίνεται*. *Δοκεῖ*] Vide p. 6, 4. 9 *καλῶ δὲ ἐγὼ τὸ κεφάλαιον αὐτοῦ* (sic cor-

Digitized by Google

καὶ ἄλλα μόρια εἶναι, ἓν δὲ καὶ ἡ ὀψοποιικὴ, ὃ δοκεῖ μὲν εἶναι τέχνη, ὡς δ᾽ ὁ ἐμὸς λόγος, οὐκ ἔστι τέχνη, ἀλλ᾽ ἐμπειρία καὶ τριβή· ταύτης μόριον καὶ τὴν ῥητορικὴν ἐγὼ καλῶ καὶ τήν γε κομμωτικὴν καὶ τὴν σοφιστικὴν, τέτταρα (17 ταῦτα μόρια ἐπὶ τέτταρσι πράγμασι.“ καὶ διὰ πάντων δὴ τῶν εἰρημένων, εἴ τις οὕτως ἅπαντα τἄλλα κατὰ χώραν ἐῶν τὴν ῥητορικὴν εἰς τὴν φιλοσοφίαν μεταλαμβάνοι, συμβαίνει δή που μηδὲν ἐμποδίζεσθαι τά γε ῥήματα. ἀλλ᾽ οὔτε τοῦτο ὑγιαίνοντος, οἶμαι, οὔτ᾽ ἐκεῖνο ἀποδεικνύντος. οὔτε γὰρ φιλοσοφίας τῶν ὀψοποιίας ὀνειδῶν οὐδὲν ἅψεται δήπουθεν, ἕως ἂν ἄλλο τι τὴν φύσιν ᾖ, οὔθ᾽ οἷς ὀψοποιικὴν κακίζει τις ἐξελέγχει ῥητορικὴν, ἕως ἂν μὴ δείξῃ τὴν ἀνάγκην, ὑφ᾽ ἧς ταῦτα ὁμοίως ἔχει, πλὴν εἰ τοῦτ᾽ αὐτὸ ἱκανὸν ἡγήσατο εἰς ἀνάγκην περιστῆσαί τινα τοῦ πῶς ὀψοποιικὴ ῥητορικῆς κεχώρισται λέγειν. καίτοι τοῦτο ὀκνῶ μὲν εἰπεῖν, οὐκ ἔχω δὲ μαθεῖν ὡς οὐχ ὑβρίζοντός ἐστιν.

10 ὅμως δ᾽ ἔγωγε ὑποστήσομαι τοῦτο τὸ ἄτοπον. καὶ γὰρ ὡς ἀληθῶς ἐστι δεινότερον καὶ ἀτοπώτερον, εἰ μᾶλλον ὁ πειρώμενος ὡς οὐκ αἰσχρὸν ῥητορικὴ διδάσκειν αἰσχύνεται ἢ ὁ τολμήσας πρῶτον ἐν αἰσχροῦ μοίρᾳ ψέγειν. πρῶτον μὲν οὖν εἰ τὰ μάλιστα μὴ τέχνην εἶναι δοίημεν αὐτὴν, (18) ὅπερ ὡς ἕρμαιον στρέφει παρ᾽ ὅλον τὸν λόγον, τί μᾶλλον αἰσχρόν γ᾽ εἶναι συγχωρησόμεθα; εἰ μὲν γὰρ ἦν ἀναγκαίως ἅπαν τὸ μὴ τέχνῃ γιγνόμενον κακὸν, ἢ τοῦ μηδενὸς ἄξιον, ἦν τι προὔργου· νῦν δ᾽ οὐδεὶς ἐστιν ὅστις οὐκ ἂν συμ-

rectum ex αὐτὸ) κολακείαν N. 10 ἡ excidit ex Iebb. et om. E. ὀψοποιικὴ ΘELMN. Scribebatur ὀψοποιηκή. 11 δ᾽] δὲ L. ῥητορικὴν] φιλοσοφίαν E et var. lect. Cant. 14 τὴν] τὴν δὲ M. 15 τοῦτο ΘEN. Legebatur τοῦ. 16 φιλοσοφίας M. Legebatur φιλοσοφίᾳ. ὀψοποιίας L Iebb. ὀψοποιΐας Iunt. ἅψεται ELMN Iebb. ἕψεται Iunt. 17 ὀψοποιικὴν ΘLN. Scribebatur ὀψοποιηκὴν. 18 αὐτὸ] αὐτὸν E. ἡγήσατο] ἡγήσαιτο N apud Iebbium, ἡγήσαιτο apud Langbaenium. 19 τοῦ πῶς] τὸ πῶς Canterus. ὀψοποιικὴ ΘLN. Scribebatur ὀψοποιηκή.

10, 1 δεινότερον καὶ ἀτοπώτερον] δεινὸν καὶ ἄτοπον Reiskius. μᾶλλον ὁ ΘELMN. Legebatur μᾶλλον ἐστὶν ὁ. 2 αἰσχύνεται ΘE. Legebatur αἰσχύνοιτο. 3 ὅπερ var. lect. Cant. Iebb. et, ut ait Iebbius, L. ὥσπερ Iunt. 4 στρέφει παρ᾽ ὅλον] παρ᾽ ὅλον στρέφει N. 5 γιγνόμενον] γενόμενον E. ἦν τι ΘELMN. Legebatur ἦν ἄν τι. προὔργου] προὔργου τῆς σπουδῆς E.

Digitized by Google

φῆσαι τὸ μὴ οὐ τὰ μέγιστ' ἀνθρώποις καὶ κάλλιστ' ἐκ θεῶν ἅμα τε ἔξω τέχνης εἶναι καὶ τέχνης κρείττω, καὶ τοῦθ' οὕτω παρὰ πᾶσιν ἀνθρώποις καὶ δεξιοῖς καὶ πολλοῖς κεκράτηκεν ὥσθ' ὅσα μὲν τῶν ἑπτὰ σοφῶν κληθέντων οὕτως ἐν τοῖς πᾶσιν ὄντων εὐαριθμήτων εἶπέ τις ἢ συνεβούλευσεν, ἢ τῶν ἄλλων οὓς ἐπὶ παιδείᾳ θαυμάζομεν ὡς πρώτους, οὐδεὶς προστίθησι θεῷ, ἀλλὰ τὸ τοῦ ἀνδρὸς ὄνομα ἑκάστοις ἐπιφημίζεται· ἃ δ' ἂν αἱ Πυθοῖ προμάντεις φῶσιν, ἐπειδὰν ἐκστῶσιν ἑαυτῶν, ταῦθ' ὡς ὁ Πύθιος εἶπε καὶ Πλάτων καὶ ἅπαντες λέγουσι. καίτοι τίνα ἐπίστανται δή που τέχνην τότε, αἵ γε οὐχ οἷαί τέ εἰσι φυλάττειν οὐδὲ μεμνῆσθαι; καίτοι μικρὰ μὲν ἡ πάντας εἰδυῖα λόγους ἀνθρωπίνους ἰατρικὴ καὶ κρείττων ὀψοποιικῆς πρὸς τὰς ἐκ Δελφῶν, οἶμαι, δύναται λύσεις, ὅσαι καὶ (19) ἰδίᾳ καὶ κοινῇ καὶ νόσων καὶ παθημάτων ἁπάντων ἀνθρώποις ἐφάνθησαν, μικρὰ δ' ἡ κατ' αὐτὴν ἑστηκυῖα δικαιοσύνη, κρίσεως ἕνεκα πραγμάτων καὶ συμβουλῆς. τί δὲ ἐροῦσι σύμπαντες οἱ γυμνασταί, δυοῖν καὶ τριῶν λογίων, οὐχ ἡττᾶσθαι σφῶν πᾶσαν τὴν ἐπιστήμην, εἴπερ ἕν γε τοῦτ' ἐπίστανται βραχὺ σωφρονεῖν; τί δὲ ἡ σεμνή σοι νομοθετικὴ καὶ τὰ μεγάλα ἀνθρώποις εὑρίσκουσα; οἶμαι μὲν παραχωρήσεται, μᾶλλον δὲ πάλαι παρεχώρησε ταῖς
11 ἀπὸ τοῦ τρίποδος γυναιξί. βαδίζουσί γε εἰς Δελφοὺς καὶ πυνθάνονται περὶ τῶν πολιτειῶν. καὶ τότε τοὺς νόμους τίθενται πρὸς τὴν ἐλθοῦσαν παρὰ τῆς Πυθίας φωνὴν ἀπὸ Λυκούργου πρώτου, τὸν μετὰ πολλοὺς εἰ δεῖ πρῶτον εἰπεῖν χάριν τοῦ λόγου. οὔκουν φασί γ' ἐκεῖνον οὐδὲν θεῖ-

---

6 μέγιστ' N. Vulgo μέγιστα. 12 καίτοι τίνα MN. Legebatur καὶ τίνα. καί οὔ τινα E. 14 λόγους ἰατρικὴ ἀνθρωπίνους M. λόγους non videtur vitio carere. falsum enim est medicinam omnes tenere humanas rationes. num πόνους. nam interdum πόνος quoque usurpatur pro νόσῳ. Reisk. ὀψοποιικῆς ΘLN. Scribebatur ὀψοποιητικῆς. 16 πραγμάτων] καὶ πραγμάτων L. 17 δυοῖν] δυεῖν N. 18 ἡττᾶσθαι σφῶν L. Scribebatur ἡττᾶσθαί σφων. 20 πάλαι om. M.

11, 1 περὶ] ὑπὲρ, superscripto περὶ L. 3 χάριν τοῦ λόγου] Publicae famae de eo sparsae gratia. Reisk. οὔκουν L. Scribebatur οὐκοῦν. οὐδὲν ELN. Legebatur οὐδέ.

Digitized by Google

καὶ Λακεδαιμονίοις ἄνευ τῆς παρὰ τοῦ θεοῦ φωνῆς, ἀλλ' ὅμως οὐκ ἐπειδὴ Λυκοῦργος ὁ τῶν Ἑλλήνων ἄριστος ἔθηκεν, οὐ διὰ τοῦθ' ὁ θεὸς δόξαν εἴληφε τεθεικέναι τοὺς νόμους, ἀλλ' ὁ μὲν Λυκοῦργος ἄριστος ὢν τῶν Ἑλλήνων (20)
ἐμαρτύρει τὰ τῆς οὐδὲν ἰδίᾳ γιγνωσκούσης Πυθίας νικᾶν, ἡ δὲ ἀπεκρίνατο ὡς ἐδόκει τῷ θεῷ, ὁ δὲ τῷ παρὰ τὴν Πυθίαν μέρει τὴν δόξαν εἴληφε τὴν ἐπὶ τοῖς νόμοις. καίτοι οὔτ' ἐπιστήμην τιν' ἔχουσι περιττοτέραν παρὰ τοὺς ἄλλους ἀνθρώπους αὗται αἱ γυναῖκες οὔτ' εἴ τι καὶ γιγνώσκουσιν, ἀφ' ὧν πεπαίδευνται καὶ προῖδασι λέγουσιν, ἀλλ' ὡς ἂν κινηθῶσιν ἑκάστοτε ὑπὸ τοῦ κρείττονος, πέμπουσι πανταχοῖ γῆς, εἰς Ἰωνίαν, εἰς Πόντον, εἰς Κυρήνην, ἐπ' ἔσχατα τῆς γῆς· οὐδ' εἴ τις εἴσεισιν ὡς αὐτὰς ἢ πεύσεται προϊοῦσαι πρὸ τῆς ἑσπέρας καὶ τῆς ἐπὶ τοῦ τρίποδος καθέδρας, ὡς ἔπος εἰπεῖν. ἀλλ' ἀρτίως ἀγνοοῦσαι καὶ τὰ τῶν γειτόνων ἐξαίφνης τὰ πάντων ἀνθρώπων ἴσασι καὶ δημηγοροῦσι παρὰ τῷ θεῷ καὶ πολιτεύονται τὰ κοινὰ τῆς γῆς καὶ πάσαις ταῖς ἐπιστήμαις καὶ τέχναις ἡγεμόνες τοῦ τί δεῖ ποιεῖν ἢ λέγειν καθίστανται. καὶ οὐδὲ Πλάτων αὐτὰς παρέρχεται. ἀλλὰ καὶ οὗτος ἀξιοῖ τὴν Πυθίαν ἐρωτᾶν ὁπόταν πολιτεύηται καὶ νομοθετῇ, καὶ τότε φησὶ δεῖν ποιεῖν, ἐὰν καὶ ἡ Πυθία συναναιρῇ, πρότερον δὲ οὐ θαρρεῖ. εἶεν· αὕτη μὲν ἐκ Δελφῶν ἡ μαρτυρία τῷ λόγῳ (21)
καὶ παρὰ Ἀπόλλωνος τοῦ Πυθίου· τὰς δ' ἐν Δωδώνῃ τί

---

6 γιγνωσκούσης] Vulgo γινωσκούσης. ἀπεκρίνατο ὡς ἐδόκει τῷ θεῷ LMN. Legebatur ὡς ἐδόκει τῷ θεῷ ἀπεκρίνατο. τῷ παρὰ τὴν Πυθίαν μέρει] propter Pythiam, id quod Pythiae in acceptis referendum habebat. Reisk. 7 τιν'] τινὰ L. 8 εἴ τι] ἔτι vitiose Iebb. γιγνώσκουσιν] Vulgo γινώσκουσιν. 9 ἑκάστοτε] ἑκάστη τε N. ὑπὸ] παρὰ MN. παρὰ ab alia m. superscr. in L. πανταχοῖ Θ. Legebatur πανταχῇ. 10 ἔσχατα τῆς γῆς LMN Iebb. ἔσχατα γῆς Θ Iunt. ὡς] εἰς EN. 11 πρὸ τῆς ἑσπέρας] Vespera ante, scil. quam responsum reddunt. Est haec Graeca dictio, idem significans atque τῇ προτεραίᾳ ἑσπέρᾳ ᾗ ἀποκρίνονται. Reisk. ἔπος] ἔθος LM. 12 τὰ τῶν] τὸ τῶν ΘN. 13 τοῦ τί] τουτὶ LN. 15 ὁπότε πολιτεύεται M. φησὶ δεῖν] δεῖν φησι L. 16 συναναιρῇ ΘN et Thomas Mag. p. 67. συναιρῇ M. συναιρῇ L. Legebatur συναναιρεῖ. θαρρεῖ] θαρρεῖν L. 17 τοῦ πυθίου L. Aberat τοῦ.

φήσεις ἱερείας, αἳ τοσαῦτα ἴσασιν ὅσ' ἂν τῷ θεῷ δοκῇ καὶ μέχρι τοσούτου μέχρι ἂν δοκῇ; καίτοι οὔτε πρότερόν τινα τοιαύτην εἶχον ἐπιστήμην, πρὶν εἰσελθεῖν ἐπὶ τὴν τοῦ θεοῦ συνουσίαν, οὔθ' ὕστερον οὐδὲν ὧν εἶπον ἴσασιν,
12 ἀλλὰ πάντες μᾶλλον ἢ 'κεῖναι. ὥσθ' οἱ μὲν ἀγνοοῦντες καὶ πυθόμενοι παρ' αὐτῶν μεμαθήκασιν, αἱ δὲ εἰποῦσαι τί χρὴ ποιεῖν οὐκ ἴσασιν οὐδ' αὐτὸ τοῦτο ὅτι εἰρήκασιν. οὐκοῦν ἐκ Διὸς ἂν ταύτην τὴν μαρτυρίαν τιθεὶς οὐκ ἂν ἁμαρτάνοις. ταὐτὰ δὲ ταῦτα λέγω καὶ περὶ τῶν ἐν Κλάρῳ καὶ περὶ τῶν ἐν Ἄμμωνος καὶ πάντων ὅσοι περὶ χρηστήρια ὁμοίως ἄνδρες καὶ γυναῖκες. καίτοι πότερον τούτους ἅπαντας καὶ ταύτας πάσας ἐρωτήσομεν τὸν λόγον, ᾧ χρώμενοι ταῦτα συμβουλεύουσι; καὶ πῶς σωφρονεῖν δόξομεν; ἢ τοῦ μηδενὸς ἄξια καὶ κολακείαν ταῦτ' εἶναι φήσομεν, ἐπειδήπερ οὐκ ἔχομεν τοὺς εἰπόντας ἀπαιτῆσαι τὸν λόγον, πολλῷ μένταν πλέον ἐλλείποιμεν τοῦ σωφρονεῖν. οὐκοῦν παρὰ πάντων ὡς εἰπεῖν τῶν θεῶν μαρτυρία καὶ ψῆφος (22)
ἐπῆκται τοῦ μηδενὸς ἄξιον εἶναι τὸν τοιοῦτον λόγον, ὅστις ἢ τὴν τέχνην ζητεῖ, ἢ φαυλίζει τὸ μὴ σὺν ταύτῃ πανταχοῦ. ὅσοι δ' αὖ καὶ καθάπαξ ὑποδύντες θεῷ καὶ τέχνης οὐδὲ μικρὸν μετασχόντες οὐ μόνον τοῖς ἐφ' αὐτῶν, ἀλλὰ καὶ τοῖς ὕστερον πολλὰ δὴ καὶ θαυμάσια προεῖπον, οἷον εἰ βούλει, Βάκις, Σίβυλλα, ἕτεροι μετὰ τούτων, εἰ δὲ μὴ πολλοί, καὶ τοῦτ' ἐστὶν ὑπὲρ τοῦ λόγου· τὰ γὰρ μέγιστα ἐκπέφευγε τοὺς πολλούς· τίς οὕτω τεχνίτης τοῦ κακῶς λέγειν ἐστὶν ὅστις καὶ τούτους κακίσειεν ἄν; ὅταν δ' εἰς ποιητὰς ἴδω τοὺς κοινοὺς τῶν Ἑλλήνων τροφέας καὶ δι-

---

18 καὶ μέχρι τοσούτου μέχρι ἂν δοκῇ om. N. 19 εἰσελθεῖν LMN Iebb. ἐλθεῖν Iunt. In L ab al. m. superscr. συνελθεῖν.

12, 1 ἢ 'κεῖναι L. Scribebatur ἢ ἐκεῖναι. 2 ἂν] ὁ E. ἂν] L. αὖ, iam. respicit ad illud p. 11, 17. παρὰ Ἀπόλλωνος Πυθίου. modo audiebamus, ait, Apollinis Pythii testimonium, iam Iovis habemus. Reisk. 3 τιθεὶς] τιθῇς L. ἁμαρτάνοις] ἁμάρτοις M. ἁμαρτάνοι E. 4 πότερον] πρότερον ΘLM. γρ. πότερον margo L. 5 ἐρωτήσωμεν N. 6 ἢ τοῦ] εἰ τοῦ ΘN. ἄξια] ἀξίαν L. 7 τὸν λόγον L. Aberat τόν. ἐλλείποιμεν] ἐλλείπωμεν E. 9 ζητεῖ] Subaudi e proximo πανταχοῦ. Reisk. 11 αὐτῶν] ἑαυτῶν N. Βάκις] βάκις καὶ N. Σίβυλλα] σιβύλλα LN: sed in L primum fuit σίβυλλα. ἕτεροι] καὶ ἕτεροι N.

Digitized by Google

διδασκάλους, οἳ διαῤῥήδην ὁμολογοῦσι περὶ αὐτῶν μηδ᾽ ὁτιοῦν ἐπίστασθαι, μηδὲ νεῶν ἀριθμὸν, ἀλλ᾽ ἀεὶ καὶ περὶ παντὸς τὰς Μούσας ἐνοχλοῦσι δεόμενοι φράσαι σφίσιν, ὡς αὐτοὶ μὲν προφητῶν σχῆμα καὶ τάξιν ἔχοντες, ἐκείνας δὲ μάντεις ἀληθεῖς οὔσας περὶ ἁπάντων, μᾶλλόν μοι δοκεῖ προσήκειν τὸ μὴ σὺν τέχνῃ κοσμεῖν ἐνίοτε ἢ δυοῖν θάτερον, ἢ τοὺς ποιητὰς ἐπιστήμῃ φάσκειν ἀποχρώντως ποιεῖν, ὃ μηδ᾽ αὐτοὶ δέχονται, ἢ τοῦ μηδενὸς ἀξίαν τὴν τῶν Μουσῶν ἡγεῖσθαι δωρεάν. εἶτ᾽ οὖν, ὦ πρὸς Διὸς, (23)

13 ἐν μέτρῳ μὲν εἰπεῖν ἄνευ τέχνης οὐ δεινὸν, ἀλλὰ καὶ θεῖον πολλάκις, οὑτωσὶ δ᾽ εἰπεῖν τὰ βέλτιστα δεινὸν ἐὰν μὴ σὺν τέχνῃ; ἐγὼ μὲν οὐχ ὁρῶ τὴν ἀνάγκην. πῶς γὰρ οὐκ ἄτοπον, εἰ ὁ μὲν ποιητὴς ἄνευ τέχνης ποιῶν ὀρθῶς τὸν ῥήτορα μιμήσεται καὶ τὰ βέλτιστ᾽ ἐρεῖ, ὁ ῥήτωρ δ᾽ αὐτὸς οὐκ ἐρεῖ τὰ βέλτιστα, ἐὰν μὴ σὺν τέχνῃ; καὶ μὴν οἵ γε ποιηταὶ φιλόδωρον τὸν Ἑρμῆν οὐδενὸς ἧττον θεῶν, οἶμαι δὲ καὶ διαφερόντως, κεκλήκασιν. οὐκοῦν εἰ δι᾽ Ἀπόλλωνος μαντικὴ καὶ διὰ Μουσῶν ποιητικὴ χωρεῖ, καὶ τούτων ἄνευ ψυχρὰ τὰ τῆς τέχνης, τί κωλύει καὶ ῥητορικὴν τῆς Ἑρμοῦ τιθέναι δωρεᾶς, ἥν γε τῷ ὄντι χρὴ θείαν καλεῖν καὶ τέχνης κρείττω; μέχρι μέντοι τῶν νῦν τούτων ὑπ᾽ αὐτῶν τῶν λόγων ἐξελέγχεσθαι Πλάτωνα φαίη τις ἄν· βούλομαι δ᾽ αὐτὸν καὶ ὑπὸ τῶν αὐτοῦ λόγων ἐξελεγχόμενον φανῆναι. τρόπον μὲν οὖν τινα καὶ τοῦτ᾽ ἤδη γέγονεν. ἐν οἷς γὰρ αὐτὸν ἐδείκνυμεν καταφεύγοντα ἐπὶ τὴν Πυθίαν πολλαχοῦ τῶν Νόμων οὐ διέφυγε τοῦτον τὸν ἔλεγχον. οὐ μὴν ἀλλὰ καὶ παντελῶς διὰ πάντων ἑξῆς ὧν εἴρηκα βούλομαι (24) δεῖξαι ταὐτὰ φθεγγόμενον. φανήσεται γὰρ ἃ νῦν ἡμεῖς

---

14 περὶ] παρὰ var. lect. Canter. 15 μηδὲ νεῶν ἀριθμὸν] Spectat ad Iliad. β, 491. 18 ἀποχρώντως LN. Legebatur ἀποχρῶντος. Paulo rectius est ἀποχρώντως, sed neque illud satis conveniens sententiae, quae postulat ἐπιχρωμένους. ad carmina sua condenda cum aliis adminiculis etiam arte utentes. Reisk.
19 οὖν add. ELMN Iebb. om. Iunt.

13, 1 ἄνευ τέχνης om. M. 2 ἐγὼ μὲν] ἐγὼ μὲν οὖν L. 3 βέλτιστ᾽] βέλτιστα L. 4 σὺν add. M. Iebb. om. Iunt. 7 τέχνης] τῆς τέχνης N. 8 μέντοι τῶν νῦν] μὲν οὖν M. 12 ἑξῆς ὧν] ὧν ἑξῆς LM.

λέγομεν αὐτὸς πρόσθεν εἰρηκώς, εἰ καὶ μὴ τούτοις τοῖς ῥήμασι μηδ' εἰς τοσοῦτον τῆς ἀναγκαίας ἀποδείξεως, ἀλλ' οὖν τῷ γε ὅλῳ λόγῳ. ὑπομνήσω δ' αὐτὸν Φαίδρου τοῦ καλοῦ. ὃ γὰρ αὐτὸς ἐκεῖ ποιεῖ τὰ Λυσίου τιθεὶς μεταξὺ τῶν αὐτοῦ, τοῦτο κἀγὼ νῦν ποιήσω, αὐτὰ τἀκείνου παρέξομαι καθάπερ νόμον. ποῦ δή μοι, φησὶν, ὁ παῖς; ποῦ δή μοι καὶ ὁ λόγος ὁ πρὸς τὸν παῖδα; οὑτοσὶ μάλα πλησίον. φέρε δὴ τί λέγει; „Εἰ μὲν γὰρ ἦν ἁπλοῦν τὸ μανίαν κακὸν εἶναι, καλῶς ἂν ἐλέγετο· νῦν δὲ τὰ μέγιστα τῶν ἀγαθῶν ἡμῖν γίγνεται διὰ μανίας, θείᾳ μέντοι δόσει
14 διδομένης. ἥ τε γὰρ ἐν Δελφοῖς προφῆτις αἵ τ' ἐν Δωδώνῃ ἱέρειαι μανεῖσαι μὲν πολλὰ δὴ καὶ καλὰ ἰδίᾳ τε καὶ δημοσίᾳ τὴν Ἑλλάδα εἰργάσαντο, σωφρονοῦσαι δὲ βραχέα ἢ οὐδέν. καὶ ἐὰν δὴ λέγωμεν Σίβυλλάν τε καὶ ἄλλους ὅσοι δὴ μαντικῇ χρώμενοι ἐνθέῳ πολλὰ δὴ πολλοῖς προλέγοντες εἰς τὸ μέλλον ὤρθωσαν, μηκύνοιμεν ἂν δῆλα (25)
παντὶ λέγοντες. τόδε μὴν ἄξιον ἐπιμαρτύρασθαι, ὅτι καὶ τῶν παλαιῶν οἱ τὰ ὀνόματα τεθειμένοι οὐκ αἰσχρὸν ἡγοῦντο οὐδ' ὄνειδος μανίαν. οὐ γὰρ ἂν τῇ καλλίστῃ τέχνῃ, ᾗ τὸ μέλλον κρίνεται, αὐτὸ τοῦτο τοὔνομα ἐμπλέκοντες μανικὴν ἐκάλεσαν, ἀλλ' ὡς καλοῦ ὄντος ὅταν θείᾳ μοίρᾳ γίγνηται, οὕτω νομίσαντες ἔθεντο. οἱ δὲ νῦν ἀπειροκάλως τὸ ταῦ ἐπεμβαλόντες μαντικὴν ἐκάλεσαν. ἐπεὶ τήν γε τῶν

---

15 ἐκεῖ ποιεῖ] ποιεῖ ἐκεῖ L. 16 αὐτὰ] αὐτὰ γὰρ N. καθάπερ νόμον] Agit enim noster defensoris personam. sed oratores in iudiciis excitabant leges. ita noster quoque legem suam recitat, id est Platonis verba. Reisk. δή μοι φησὶν ΘELMN Iebb. ποῦ δήπου φησὶν Iunt. 17 τὸν παῖδα] τοὺς παῖδας E. παῖδα] παῖδα ἐκεῖνον M. 18 Εἰ μὲν] Ex Platonis Phaedro p. 244 a. 19 γίγνεται EN. Scribebatur γίνεται.

14, 1 διδομένης] διδομένη ΘEL. ἥ τε] αἵτε ΘELM. προφῆτις] προφῆτεις L. προφήτιδες M. μανεῖσαι] μανῆσαι L. 3 Σίβυλλάν τε] σιβύλλάν τε LN. δὴ om. M. 4 τόδε μὴν] τότε μὴ E. 5 τεθειμένοι] τεθειμένοι N. 6 τῇ excidit ex Iebb. τοῦτο om. M. τοὔνομα] Scil. μανίαν. Reisk. In ἐμπλέκοντες est simile ductum a sponsis, quarum comis gemmae et lemnisci sericei inaurati et colorati implectuntur augendae formositatis ergo. Reisk. 7 γίγνηται N. Scribebatur γίνηται. γένηται L. 8 ταῦ L Iebb. ταῦτ' Iunt. ἐπεμβαλόντες L,N Opor.

ἐμφρόνων ζήτησιν τοῦ μέλλοντος διά τε ὀρνίθων ποιουμένων καὶ τῶν ἄλλων σημείων, ἅτε ἐκ διανοίας ποριζομένων ἀνθρωπίνῃ οἰήσει, οἰονοϊστικὴν ἐπωνόμασαν, ἣν νῦν οἰωνιστικὴν τὸ ω σεμνύνοντες οἱ νέοι καλοῦσιν. ὅσῳ δὴ οὖν τελεώτερον καὶ ἐντιμότερον μαντικὴ οἰωνιστικῆς, τό τε ὄνομα τοῦ ὀνόματος τό τε ἔργον τοῦ ἔργου, τόσῳ κάλλιον μαρτυροῦσιν οἱ παλαιοὶ μανίαν σωφροσύνης τὴν ἐκ θεοῦ τῆς παρὰ ἀνθρώπων γινομένης. ἀλλὰ μὴν νόσων τε καὶ πόνων τῶν μεγίστων, ἃ δὴ παλαιῶν ἐκ μηνιμάτων ποθὲν ἔν τισι τῶν γενῶν, ἡ μανία ἐγγενομένη καὶ προ- (26
φητεύσασα, οἷς ἔδει, ἀπαλλαγὴν εὕρετο, καταφυγοῦσα πρὸς θεῶν εὐχάς τε καὶ λατρείας. ὅθεν καὶ καθαρμῶν τε καὶ τελετῶν τυχοῦσα ἐξάντη ἐποίησε τὸν αὐτὴν ἔχοντα πρός τε τὸν παρόντα καὶ τὸν ἔπειτα χρόνον λύσιν τῷ ὀρθῶς μανέντι τε καὶ κατασχομένῳ τῶν παρόντων κακῶν εὑρομένη. τρίτη δὲ ἀπὸ Μουσῶν κατοχή τε καὶ μανία λαβοῦσα ἁπαλὴν καὶ ἄβατον ψυχὴν ἐγείρουσα κἀναβακχεύουσα κατά τε ᾠδὰς καὶ κατὰ τὴν ἄλλην ποίησιν μυρία τῶν παλαιῶν ἔργα κοσμοῦσα, τοὺς ἐπιγιγνομένους παιδεύει. ὃς δ' ἂν ἄνευ μανίας Μουσῶν ἐπὶ ποιητικὰς θύρας ἀφίκηται, πεισθεὶς ὡς ἄρα ἐκ τέχνης ἱκανὸς ποιητὴς ἐσόμενος, ἀτελὴς αὐτός τε καὶ ἡ ποίησις ὑπὸ τῆς τῶν μαινομένων ἡ τοῦ σωφρονοῦντος ἠφανίσθη. τοσαῦτα μέν σοι

---

Iebb. ἐπ' ἐμβαλόντες Iunt. 9 ποιουμένων ΘLMN. Legebatur ποιουμένην. Recte dant plurimi codices ποιουμένων. redit enim ad ἐμφρόνων. et sic quoque est p. 39, 10. ubi hic ipse locus recitatur. ibidem est ἅτε ἐκ νοῦ καὶ διανοίας, cuius dictionis haec est sententia: quippe quae signa ab humana opinione eliciuntur et inveniuntur opera mentis et cogitationis. Reisk. καὶ τῶν] καὶ δι' M.
10 οἰονοϊστικὴν] οἰονιστικὴν LN. νῦν om. M. τὸ ω] τῷ ω L. 11 ἐντιμότερον LN. Vulgo ἐντιμώτερον. 13 γιγνομένης N. Scribebatur γινομένης. 15 εὕρετο EL Iebb. εὕρατο N. εὕρατο Θ Iunt. ὅθεν καὶ ELN. Aberat καί. Apud Platonem est ὅθεν δή.

15, 1 κἀναβακχεύουσα] καὶ ἀναβακχεύουσα L. καὶ ἐκβακχεύουσα Plato. 2 ἔργα] ἔργων M. 3 ἐπιγιγνομένους L. Vulgo ἐπιγινομένους. δ'] δὲ ΘE. ἂν om. E. 4 ἱκανὸς] ἱκανῶς L. αὐτός τε] τε αὐτὸς N. ὑπὸ] καὶ ὑπὸ M, ut infra 12. 5 τῆς

καὶ ἔτι πλείω ἔχω μανίας γιγνομένης ἀπὸ θεῶν λέγειν καλὰ ἔργα.“

Εἰ τοίνυν, ὦ Ζεῦ καὶ θεοί, μανία τίς ἐστιν ἀμείνων σωφροσύνης καὶ παρὰ θεῶν ἀνθρώποις γιγνομένη, πῶς ἄξιον πάν γε τὸ μὴ τέχνῃ γιγνόμενον ψέγειν, ἢ πῶς ῥητορικὴν ἁπλῶς αἰσχρὸν ἡγεῖσθαι καὶ μὴ συγχωρεῖν δύνα- (27) μίν γέ τιν' εἶναι τέχνης κρείττονα; εἰ δὲ δὴ τὴν μὲν καλλίστην τῶν τεχνῶν προσείρηκε τῷ μανικὴν εἶναι, τὴν δ' ἁπλῶς οὐδ' εἶναι τέχνην, τὴν ποιητικήν, ἀλλ' ἐπίπνοιαν ἐκ Μουσῶν, ὃς δ' ἂν ἄνευ μανίας Μουσῶν ἐπὶ ποιητικὰς θύρας ἀφίκηται, πεισθεὶς ὡς ἄρα ἐκ τέχνης ἱκανὸς ποιητὴς ἐσόμενος, ἀτελὴς αὐτός τε καὶ ἡ ποίησις ὑπὸ τῆς τῶν μαινομένων ἡ τοῦ σωφρονοῦντος ἠφανίσθη, πῶς οὐκ ἐξ ἀμφοῖν δείκνυται τὸ μὴ τὴν τέχνην νικᾶν, ἀλλ' ἔστιν οὗ καὶ λαμπρότερον καὶ θεοφιλέστερον εἶναι τὸ μὴ δουλεῦον τέχνῃ; σαφῶς γὰρ οὑτωσὶ Πλάτων ἤδη διορίζεται τὸ μὴ δεῖν ἐπὶ τῶν μεγίστων τέχνην ζητεῖν. ὥστ' εἰ μὲν βούλει, τὸ τοῦ Εὐριπίδου καὶ τῶν αὐτοῦ νὴ Δία συμβαίνει, σοῦ τάδ', οὐκ ἐμοῦ κλύεις, ὦ τοσοῦτον ἐνθυμηθείς· εἰ δ' αὖ βούλει, τὸ τοῦ Αἰσχύλου, τάδ' οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὐτοῦ πτεροῖς, ἃ θρυλεῖς ἐν ἐκείνοις τοῖς λόγοις,

---

deletum in N. 6 γιγνομένης N. Vulgo γινομένης. 7 ἀμείνων] ἀμείνων ποτὲ N apud Iebbium. 9 καὶ μὴ συγχωρεῖν δύναμίν γέ τιν' εἶναι τέχνης κρείττονα addidi ex ELN. μανικὴν] μαντικὴν L. 10 Post ἐκ Μουσῶν Iebbius ex LM addidit εἰπεῖν (in annotatione εἰπῶν scriptum, ut codices illi εἰπὼν potius praebere videantur, quod a Cantero ex Opor. affertur), ab Reiskio in εἶπεν mutatum. Eo carent Θ Iunt. μανίας Μουσῶν] Μουσῶν deletum in N. 12 ὑπὸ] καὶ ὑπὸ M, ut supra 4. Post ἠφανίσθη in marg. LN addita τοσαῦτά σοι καὶ ἔτι πλείω ἔχω μανίας γιγνομένης ἀπὸ θεῶν λέγειν καλὰ ἔργα. 13 Aut post δείκνυται aut post νικᾶν deest ἰσχυριζόμενος aut βεβαιῶν aut ἀποφαινόμενος aut διοριζόμενος aut simile quid. Reisk. 14 δουλεῦον LM Soph. δουλεύειν N. (ον superscr.) Legebatur δουλεύειν. 15 τὸ τοῦ] καὶ τὸ τοῦ N apud Iebbium. Εὐριπίδου] Hippolyti v. 352. καὶ τῶν αὐτοῦ] καὶ τῶν σαυτοῦ E. καὶ τὸ σαυτοῦ N. κατὰ σαυτοῦ Reiskius. 16 τάδ'] Vulgo τάδε. Αἰσχύλου] In Myrmidonibus: vide Porsonum ad Eurip. Med. v. 139. VIII. 17 ὑπ' N. Vulgo ὑπό. θρυλεῖς] Scribebatur θρυλλεῖς. ἃ θρυλλεῖς] Quod Aeschyli dictum tu saepe in ore

ἁλίσκει. καὶ μὴν εἰ μαντικὴν μὲν ἐξ Ἀπόλλωνος ἢ καὶ Διὸς, τελετὰς δὲ ἐξ ἄλλου του θεῶν τίθης, ποιητικὴν δ' ἐκ
16 Μουσῶν, οὐδ' ὁ τῶν μὲν ἀδελφὸς, τοῦ δὲ παῖς Ἑρμῆς ἀπορήσει λόγων περὶ τῆς αὐτοῦ δωρεᾶς, ἀλλ' αὐτῷ τε καὶ τῷ πατρὶ προστιθεὶς τοὺς λόγους ἀληθῆ τε καὶ δίκαια ἐρεῖ. οἶμαι δὲ καὶ οἱ λογίους τούτους προσειπόντες τοὺς θεοὺς, καὶ παλαιοὶ καὶ νέοι, καὶ οὐδὲ περὶ ἓν γράμμα διενεχθέντες, πολλῷ σαφέστερον ἢ περὶ μανίας μαρτυροῦσιν ὅτι εἰς ἀξιόχρεως ἀνοίσομεν, ἄν τι μετῇ λόγων ἡμῖν, εἰ καὶ μηδεμιᾷ προσφύγοιμεν τέχνῃ. εἶεν. τίνα δὴ τὰ ἐφεξῆς ἦν; „Ὥστε τοῦτό γε αὐτὸ μὴ φοβώμεθα, μηδέ τις ἡμᾶς λόγος θορυβείτω δεδιττόμενος, ὡς πρὸ τοῦ κεκινημένου τὸν σώφρονα δεῖ προαιρεῖσθαι φίλον.“ ὅρα δὴ καὶ τάδε. ὥστε τοῦτό γε αὐτὸ μὴ φοβώμεθα, μηδέ τις ἡμᾶς λόγος θορυβείτω δεδιττόμενος, ὡς οὐ τὸν φύσει καὶ θείᾳ μοίρᾳ κατορθοῦντα δεῖ νικᾶν, ἀλλ' ὅστις τεχνικὸς μικρῶς ἐστίν. „Ἀλλὰ τόδε“ φησὶ „πρὸς ἐκείνῳ δείξας φερέσθω τὰ νικητήρια, ὡς οὐκ ἐπ' ὠφελείᾳ ὁ ἔρως τῷ ποθοῦντι καὶ τῷ ἐρωμένῳ ἐκ θεῶν ἐπιπέμπεται.“ καὶ τόδε τοίνυν πρὸς ἐκείνῳ δείξας φερέσθω τὰ νικητήρια, ὡς οὐκ ἐπ' ὠφελείᾳ τῇ πάσῃ καὶ μεγίστῃ λόγοι παρὰ θεῶν ἀνθρώποις γίγνονται. ἡμῖν δὲ ἀποδεικτέον αὖ τοὐναντίον φησὶν,

---

habes. Reisk. ἁλίσκει] Vulgo ἁλίσκῃ. 18 τίθης] τιθῇς L. 16, 1 Ἑρμῆς om. M. ἀπορήσει] ἀπορρήσει E. αὐτοῦ N. Vulgo ἑαυτοῦ. 3 τούτους] αὐτοὺς L. 4 ἀνοίσομεν] ἀνύσομεν L. 5 δὴ τὰ] δῆτα L. 6 ὥστε ΘLMN cum Platone in Phaedro p. 245 b. Legebatur ὥς γε. ὡς πρὸ τοῦ κεκινημένου — δεδιττόμενος in margine habet L. 7 καὶ τάδε] Vide iam quae nos habemus in causa nostra, quae illi, verbis paene iisdem, paulum modo immutatis, respondeamus. Reisk. τοῦτό γε] γε om. M. 8 οὐ τὸν] αὐτὸν E. 9 τεχνικὸς] τεχνικῶς LM. μικρῶς] μικρὸς LMN. μικρῶς est Latinorum *misere*, id est ultra modum et praeter necessitatem, et cum anxia minutis in rebus sedulitate, vel maximo in conatu et prosperrimis successibus nunquam tamen sibi satisfaciente. Sic scholiastes Aristophanis ad Plutum v. 874. ad vocem *sycophantae* τοὺς σμικρῶς οὖν ταῦτα διερευνῶντας οὕτως ὀνομασθῆναι λέγουσιν. ubi vir summus frustra tricatur. Reisk. ἐκείνῳ LMN et correctus Θ. Legebatur ἐκεῖνο. 10 δείξας] δεῖξαι EL. ὡς οὐκ ἐπ' — τὰ νικητήρια om. M. ὁ om. ΘELN. ἔρως τῷ ποθοῦντι — οὐκ ἐπ' ὠφελείᾳ in margine

ὡς ἐπ' εὐτυχίᾳ τῇ μεγίστῃ παρὰ θεῶν ἡ τοιαύτη μανία δίδοται. τὸν δὲ Τήλεφον οὐκ οἴει τὰ αὐτὰ ταῦτα; εἰ δ' ἄρα μηδὲν ἐκεῖνος προτιμᾷ, ἀλλ' ἡμῖν γε ἀποδεικτέον ὡς ἐπ' εὐτυχίᾳ τῇ μεγίστῃ καὶ τὸ ἐξ ἀρχῆς ἡ τῶν λόγων δύναμις παρὰ θεῶν ἧκεν εἰς ἀνθρώπους, καὶ νῦν ἐν καλοῦ μοίρᾳ τῇ πρώτῃ καὶ εἰς τὸν ἔπειτα χρόνον καὶ δίδονται καὶ δοθήσονται. καὶ μὴν εἰ μὲν ἀξιόπιστος Πλάτων, οὗτος
17 αὐτός ἐστιν ὁ μὴ διδοὺς τῇ τέχνῃ τὰ πρεσβεῖα· εἰ δ' οὐδὲ τοῦτό τις συγχωρεῖ, πῶς ῥητορικὴ διὰ τοὺς ἐκείνου λόγους αἰσχρόν; ἐγὼ δ' ἀξιόπιστον μὲν τοῖς ὅλοις οὐδενὸς ἧττον Ἑλλήνων ἡγοῦμαι, ἡδέως δ' ἂν ἐροίμην τοὺς πρὸς ἐκείνου πότερ' αὐτῷ μᾶλλον πιστεύειν ἄξιον, ταῦτα ἢ 'κεῖνα. καὶ μὴν εἰ τὰ μάλιστα σεμνός ἐστι, φαίνεται μαρτυρῶν ἡμῖν, ὥστε ὑπὲρ ἡμῶν σεμνός ἐστιν. ὅταν γὰρ ἡμεῖς μὲν καὶ ἡμῖν αὐτοῖς ταὐτὰ λέγωμεν κἀκείνῳ, ἐκεῖνος δὲ μήθ' αὑτῷ μήθ' ἡμῖν, οὐκ ἀντιλέγει μᾶλλον ἢ μαρτυρεῖ κατ' αὐτὸ τοῦτο τὸ μὴ τἀληθῆ λέγειν. φέρε δὴ καὶ ἑτέραν ἐκ τοῦ αὐτοῦ γυμνασίου, ἔφη Πλάτων, μαρτυρίαν ἀντ' εἰκό- (30)
νος παράσχωμαι. οὐ γάρ που δυσχερανεῖ Πλάτων, ἐὰν Αἰσχί-

---

habet N. 13 παρὰ θεῶν] περὶ θεῶν E. δίδοται] γίνεται, superscripto δίδοται, L. 14 τὸν δὲ Τήλεφον] Aristophanes Acharn. v. 530. ab Cantero indicatus, τὸν δὲ Τήλεφον | οὐκ οἰόμεσθα. ubi scholiasta, τὸν δὲ Τήλεφον: καὶ ταῦτα ἐκ Τηλέφου Εὐριπίδου. τὰ αὐτὰ] ταὐτὰ N. τὰ αὐτὰ ταῦτα] Scil. ἐροῦντα vel δυνάμενον ὑπὲρ ἑαυτοῦ λέγειν. tu autem non putas Telephum, h. e. reprehensum et accusatum quemque, hic autem, me ipsum, qui sum accusati loco, qui rem a Platone notatam defendo et laudo, posse haec eadem in causa sua dicere? Reisk. δ'] δὲ ΘL. 15 μεγίστῃ καὶ ΘLMN Soph. Aberat καί. τὸ ἐξαρχῆς Iebb. τοὐξαρχῆς ΘLN Iunt. 16 παρὰ θεῶν om. M. 17 οὗτος om. M.

17, 1 οὐδὲ Canterus et Reiskius. Libri οὐδέν. τοῦτό τις] τοῦτο τί L. τί τοῦτο N. τοῦτο] Scil. Platonem fide dignum esse. Reisk. 2 μὲν om. EM. 3 Ἑλλήνων om. M. 3 δ'] δὲ Θ. ἢ 'κεῖνα] ἢ κεῖνα L. ἢ ἐκεῖνα E. 4 σεμνός] Constans, gravis et sibi semper consentiens. fac tamen, ait, Platonem nusquam levem esse, alia alias affirmantem, sed ubique sibi similem, constantem atque consentientem, si quem alium, maxime. Reisk. 5 ἐκεῖνος LN Iebb. ἐκεῖνως Iunt. μήθ' ἡμῖν N. Legebatur μηδὲ ἡμῖν. 6 μαρτυρεῖ] μαρτυροῖ M. τοῦτο τὸ] τὸ om. ELMN. 7 ἀντ' εἰκόνος] ἀντ' ἐκείνης Reiskius. παράσχωμαι] τῷ



Digitized by Google

της ἐπιψηφίσῃ Πλάτωνος εἰπόντος „Ἐγὼ δ' εἰ μέν τινι τέχνῃ ᾤμην δύνασθαι ὠφελῆσαι, πάνυ ἂν πολλὴν ἐμαυτοῦ μωρίαν κατεγίγνωσκον· νῦν δὲ θείᾳ μοίρᾳ ᾤμην μοι τοῦτο δεδόσθαι ἐπ' Ἀλκιβιάδην. καὶ οὐδέν γε τούτων ἄξιον θαυμάσαι.“ ἀκούεις ἀνδρὸς ἑταίρου καὶ τὸν αὐτόν σοι σοφώτατον νομίζοντος, προσθήσω δ' ὅτι καὶ τῷ αὐτῷ τοὺς λόγους ἀνατιθέντος, ὥσπερ καὶ σὺ τούτους. οὐ χρή, φησί, θαυμάζειν, ὦ Πλάτων, εἴ τις καὶ τέχνην μὴ κτησάμενος οἷός τ' ἐστὶν ὠφελεῖν ἀνθρώπους. πολλοὶ γὰρ καὶ τῶν καμνόντων ὑγιεῖς γίγνονται οἱ μὲν ἀνθρωπίνῃ τέχνῃ, οἱ δὲ θείᾳ μοίρᾳ. ὅσοι μὲν οὖν ἀνθρωπίνῃ τέχνῃ, ὑπὸ ἰατρῶν θεραπευόμενοι, ὅσοι δὲ θείᾳ μοίρᾳ, ἐπιθυμία αὐτοὺς ἄγει ἐπὶ τὸ ὀνῆσον· καὶ τότε ἐπεθύμησαν ἐμέσαι,
18 ὁπότε αὐτοῖς ἔμελλε συνοίσειν, καὶ τότε κυνηγετῆσαι, ὁπότε συνοίσειν ἔμελλε πονῆσαι. Ἡράκλεις, ὡς διαρρήδην καὶ περιφανῶς Αἰσχίνης ὁ τοῦ Πλάτωνος συμφοιτητὴς μαρτυ- (3
ρεῖ Πλάτωνι ταῦθ' ἃ μικρῷ πρόσθεν παρεσχόμεθα αὐτοῦ πολλῷ καὶ ἀνθρωπινώτερα καὶ πρὸς θεῶν εἶναι καλλίονα ὧν ἕνεκα τοῦ παραδόξου συνεσκεύακεν. οὐκοῦν αὐτός τε μαρτυρῶν ἡμῖν ὥσπερ ὑπὸ κήρυκος ἀνὴρ φαίνεται καὶ τὴν τοῦδε μαρτυρίαν ὥσπερ ἐπισφραγίζεται· τοὺς γὰρ πρὸς ἡμῶν αὐτοῦ λόγους κυροῖ. καὶ μὴν εἰ πολλοὶ τῶν καμνόντων ὑγιεῖς γίγνονται χωρὶς ἰατρῶν καὶ τέχνης, καὶ ταῦτ' οὐδ' ἐφ' ἑνὶ ἄλλῳ τῆς τῶν ἰατρῶν τέχνης οὔσης ἢ τῷ

---

λόγῳ παράσχωμαι EM Soph. τῷ λόγῳ superscriptum in LN. 8 ἐπιψηφίσῃ] ἐπιψηφίσῃ L. 10 κατεγίγνωσκον] Scribebatur κατεγίνωσκον. τοῦτο δεδόσθαι] δεδόσθαι τοῦτο L. 11 ἀκούεις ἀνδρὸς ΘΕLΜΝ. Legebatur ἀκούεις γὰρ ἀνδρὸς. ἑταίρου] ἑτέρου N. 12 νομίζοντος] ἡγούμενον M. 13 φησὶν ὦ πλάτων θαυμάζειν N. 14 οἱ μὲν ἀνθρωπίνῃ τέχνῃ EN. Aberat τέχνῃ. 15 θεραπευόμενοι] Scil. ὑγιεῖς γίγνονται. Reisk.

18, 1 F. ὁπότε ἐμέσαι συνοίσειν ἔμελλε. quo respondeat hoc membrum proximo, in quo est πονῆσαι, quod redundare possit videri, nisi ἐμέσαι addatur. Reisk. πονῆσαι] πονέσαι N. 2 συμφοιτητὴς LN Iebb. συμφοιτὴς Iunt. 3 ἀνθρωπινώτερα LN. Vulgo ἀνθρωπινότερα. 4 εἶναι] F. ἔτι. v. p. 21, 3. Reisk. συνεσκεύακεν] συνεσκεύασεν N. 5 ὑπὸ κήρυκος] ὑποκήρυκος L. 6 γίγνονται N. Vulgo γίνονται. 7 ἰατρῶν] ἰατροῦ L. ἐφ' ΘΕLΜΝ. Legebatur ὑφ'. ἑνὶ ἄλλῳ] ἐν ἄλλο EM. τῷ] τὸ

ποιεῖν ὑγιεῖς, οὐδὲν ἀπεικὸς οὐδ' ἔξω τῆς ἀνθρωπίνης τέχνης χρὴ εἰπεῖν εἴτε θείας μοίρας κἂν τοῖς λόγοις τοῦ βελτίστου τυγχάνειν μηδεμιᾷ τέχνῃ χρωμένους, εἰ καὶ ὅτι μάλιστα τῆς τέχνης ἦν τὸ τοῦ βελτίστου τυγχάνειν περὶ αὐτοὺς τοὺς λόγους. περί γε μὴν τούτου τοῦ μέρους οὐκέτ' ἐκ λόγου πρὸς Πλάτωνα ἀγωνιοῦμαι, ὡς ἄρα πολλοὶ διὰ θείας μοίρας ἐσώθησαν, οὐδέ μοι νεμεσήσει δήπουθεν οὔτ' Αἰσχίνης ὁ Λυσανίου οὔτ' ἄλλος οὐδεὶς, εἰ φαίην αὐτὸς ἔχειν μαρτυρῆσαι μᾶλλον τοῖς ῥήμασιν ἢ τῆς παρ' ἐκείνου πρὸς δὴ ταῦτα προσδεῖσθαι μαρτυρίας. ἀλλ' ὡς (32) ἀληθῶς ὥσπερ οἱ θεομάντεις οἱ τοῖς τῶν πραγμάτων ἐπωνύμοις τετελεσμένοι παρ' αὐτῶν τῶν θεῶν ἔχω τὸ μά-

---

M et, ut coniicio, R. 8 οὐδ'] οὐδὲ ΘΝ. τύχης χρὴ εἰπεῖν ELN. χρὴ τύχης εἰπεῖν Θ. εἴτε τύχης χρὴ εἰπεῖν correctus L. εἴτε in marg. N additum. τέχνης εἰ χρὴ λέγειν M. Legebatur εἰ χρὴ τύχης εἰπεῖν. εἴτε] ἢ εἴτε E. εἴτε καὶ M. 9 τυγχάνειν] τυγχάνειν περὶ αὐτοὺς τοὺς λόγους M. 10 περί γε — ἀγωνιοῦμαι om. M. μὴν accessit ex N. οὐκέτ'] οὐκέτι οὐκ Θ. οὐκέτ' οὖν E. 11 ἐκ λόγου] E fama ab aliis, sive sermone, sive lectione, accepta. Reisk. 12 Αἰσχίνης ὁ Λυσανίου] Eum Aeschinem supra [p. 18, 2.] dixit fuisse Πλάτωνος συμφοιτὴν (ubi credo legendum συμφοιτητήν). Ideo nullus alius fuit quam Aeschines ille Eleusinius, de quo Apollonius in exegesi de altero Aeschine ita scribit: ἦν δὲ καὶ ἕτερος ῥήτωρ Αἰσχίνης Ἐλευσίνιος. Ideo forte hoc loco pro ὁ Λυσανίου legendum Ἐλευσίνιος, vel apud Apollonium pro Ἐλευσίνιος legendum ὁ Λυσανίου. Forte et utrobique bene scribitur: nam nihil vetat Aeschinem Eleusinium fuisse Lysanii filium. Alter autem rhetor Aeschines, quem Demosthenes accusavit, fuit Atheniensis Atrometi filius. Palmer. Exercitat. p. 484. Addit ὁ Λυσανίου, quo hunc ab Aeschine oratore, Atrometi filio, distinguat. Reisk. οὔτ' ἄλλος L. Vulgo οὔτε ἄλλος. ἔχειν LMN Opor. Iebb. ἔχει Iunt. 13 τῆς] τοῖς L. 14 οἱ τοῖς τῶν πραγμάτων ἐπωνύμοις τετελεσμένοι] Initiati illis ipsis diis, unde nomina sunt data rebus, quas hi θεομάντεις exercent. τὰ πράγματα sunt τὰ κατὰ πολλὰ γένη μαντεύεσθαι ἐκ θείας ἐπιπνοίας. Plura sunt genera divinationis; tria quidem enumerabat noster paulo ante p. 14. haec nimirum, ut paucis complectar: ἡ μαντικὴ τῶν μελλόντων γίγνεσθαι, altera ἡ καθαρμῶν καὶ λύσεων ἀπὸ τῶν πόνων καὶ νόσων, tertia ἡ διὰ ποιητικῆς ἐπιπνοίας. iisque tribus rebus praesunt alia aliis numina nominibus insignita. Ex eo est quod τὰ πράγματα appellat, non τὸ πρᾶγμα, et τοὺς τούτων τῶν πραγμάτων ἐπωνύμους θεοὺς et τοὺς τετελεσμένους ἄλλον ἄλλῃ θείᾳ μαντικῇ. Reisk.

θημα, ὑφ' ἂν ἃ μηδεὶς ἰατρῶν μήτε οἶδεν ὅ τι χρὴ
19 προσειπεῖν, οὐχ ὅπως ἰάσασθαι, μήτ' εἶδεν ἐν ἀνθρώπου φύσει συμβάντα, ἄλλοτ' ἄλλαις παραμυθίαις τε καὶ συμβουλαῖς ἐκ τοῦ θεοῦ διαφεύγων ζῶ παρὰ πᾶν τὸ ἐκ τῶν παρόντων εἰκός. πολλοὶ δ' ἔμοιγε καὶ ἄλλοι κοινωνοί τε καὶ μάρτυρές εἰσι τῶν λόγων, οὐ μόνον τῶν Ἑλλήνων, ἀλλὰ καὶ βαρβάρων, αἵ τ' ἐν Ἀσκληπιοῦ τῶν ἀεὶ διατριβόντων ἀγέλαι καὶ ὅσοι τῷ κατ' Αἴγυπτον θεῷ συνεγένοντο. καίτοι τέχνης μὲν ἡμῶν οὐδ' ὁτιοῦν εἰς ταῦτα μέτεστιν οὐδενὶ δήπουθεν, ἀλλὰ καὶ τοῦ καταφυγεῖν ἐπὶ τοὺς θεοὺς σχεδὸν ἀρχὴ τὸ τῆς τέχνης ὑπεριδεῖν ἐστίν· ὅμως δὲ σὺν αὐτοῖς εἰπεῖν οὔθ' οἱ θεοὶ τὸν τοιοῦτον ἡμῶν λογισμὸν ἀτιμάζουσιν οὔτε πολλοὶ μετέγνωσαν τῶν πρὸ τῆς τέχνης τὴν παρὰ τοῦ θεοῦ τύχην ἑλομένων. ἀλλὰ καὶ ὀνείρασι χρώμεθα οὐ προειδότες, οἶμαι, τῆς ἑσπέρας ὅ τι μέλλομεν ὄψεσθαι, καὶ τί χρὴ ποιήσαντας σωθῆναι γιγνώσκομεν, ἀγνοοῦντες μέχρι ἐκείνου τοῦ μέρους τῆς ὥρας, ἐν ᾧ παρὰ τῶν θεῶν ἧκε τἀγαθόν, καὶ πάλιν γὰρ ὥσπερ ἐπᾴδων ἐν (33 μέλει ταυτὸν ἐρῶ, τέχνης οὐδ' ὁτιοῦν ἐπαΐοντες οὐ μόνον περὶ τῶν ἡμῖν αὐτοῖς συμφερόντων, ἀλλὰ καὶ περὶ τῶν ἑτέροις ἔχομεν εἰπεῖν πολλάκις, ἂν δοκῇ τῷ θεῷ, ὥστε καὶ τοὺς ἰατροὺς οὐδὲν κωλύει φρίττειν, ἐπειδὰν ἀκούωσι

19, 1 μήτ' N. Vulgo μήτε. εἶδεν ΘEN. Legebatur οἶδεν. ἄλλοτ' N. Vulgo ἄλλοτε. 2 ἐκ τοῦ θεοῦ] Aesculapium designat. sed videtur hoc aut redundare, aut etiam repugnare illi ὑφ' ὧν p. 18, 15. nisi hoc ὑφ' ὧν reddas: quorum beneficio factum est ut — consolationibus et consiliis ab Aesculapio profectis cum effugerim tanta mala — vivam adhuc. Reisk. διαφεύγων ζῶ] διαφεύγω ζῶν ΘELS. 4 βαρβάρων ΘELMN. Legebatur τῶν βαρβάρων. τῷ ELN Opor. Iebb. τῶν Iunt. 7 αὐτοῖς] αὐτοῖς τοῖς θεοῖς habet E et habuit N, in quo τοῖς θεοῖς expuncta sunt. 8 παρὰ om. M. ἑλομένων] ἀνελομένων ab alia m. superscr. in L. 9 ποιήσαντας] ποιήσαντα ΘLN. γινώσκομεν ΘELMN Opor. Iebb., quod in γιγνώσκομεν mutavi. γιγνώσκοντες Iunt.
10 μέχρι] μέχρις L. 11 ἐπᾴδων] Respicit ad illos intercalares versus, qui, praesertim in bucolicis, versuum quibusque complexionibus aut articulis quasi solent interseri. Cuiusmodi versuum etiam atque etiam repetendorum exempla crebra apud Virgilium et Theocritum occurrunt. Reisk. μόνον] μόνον δὲ E, et N apud Iebbium. ἂν δοκῇ] ἃ ἂν δοκεῖ E. 13 ἀκούωσι L. Legebatur

πολλὰ τῶν ἔργων. πότερ' οὖν τὰ ὀνείρατα ποιεῖ θεοῖς ἀναχεῖσθαι τἀνθρώπεια, ἢ τὸ θεοὺς ἀνθρώπων κήδεσθαι ποιεῖ καὶ δι' ὀνειράτων ἀνθρώπους σώζεσθαι; ἐγὼ μὲν οἶμαι τοῦτο. τί οὖν, ὦ μεγίστη σὺ γλῶττα τῶν Ἑλληνίδων, ἔφη Κρατῖνος, ποιῶν ἔσθ' ὅ τι κωλύει καὶ ὕπαρ γιγνώσκειν τὰ βέλτιστα ἄνευ τέχνης καὶ συμβουλεύειν ἑτέροις ἔχειν, εἴπερ γε καὶ τὰ ὀνείρατα ποιεῖ καὶ ἑτέροις ἔχειν συμβουλεύειν; ἢ σωθῆναι μὲν ἔστιν ἄνευ τέχνης καὶ ἕτερον σῶσαι δι' ὧν τις οὐκ οἶδε, συμβουλεῦσαι δ' οὐκ ἔστιν ἄνευ τέχνης οὐδὲν, οὔτ' ἀπὸ τῆς αὐτοῦ τύχης οὔτ' ἀπὸ τῆς θείας οὔτε, τὸ τοῦ Δημοσθένους, τῆς τῶν ἀκρωμένων; καὶ ταυτὶ μὲν ὑπ' αὐτοῦ τοῦ λόγου κινηθεὶς καὶ τοῦ τοῖς θεοῖς ὡσπερεὶ τετελεσμένου ἐπὶ πλεῖον ἴσως ἐξήγαγον· καί μοι συγγνώμη καὶ παρ' αὐτοῦ τοῦ Πλάτωνος ἔστω καὶ παρ' ἄλλου παντὸς τοῦτ' αὐτὸ παθόντι ὅπερ (34) ἐν τοῖς λόγοις ἐνῆν· οὐ γὰρ ἦν κατασχεῖν αὐτὸν, ἐπειδὴ θεία μοῖρα καὶ σωτηρία παρέπεσε. διὸ καίπερ μαρτυρίᾳ χρώμενος ἠναγκάσθην αὐτὸς μαρτυρεῖν τῷ λόγῳ, ἐπάνειμι δ' αὖθις πρὸς τὰ λοιπὰ τῆς μαρτυρίας „Ἐγὼ δὲ διὰ τὸν ἔρωτα ὃν ἐτύγχανον ἐρῶν Ἀλκιβιάδου οὐδὲν διάφορον τῶν Βακχῶν ἐπεπόνθειν. καὶ γὰρ αἱ Βάκχαι ἐπειδὰν ἔνθεοι γένωνται, ὅθεν οἱ ἄλλοι ἐκ τῶν φρεάτων οὐδὲ ὕδωρ δύ-

ἀκούσωσι. 14 ποιεῖ θεοῖς] θεοῖς L, litura relicta. τἀνθρώπεια N. Scribebatur τὰ ἀνθρώπεια. θεοὺς] τοὺς θεοὺς L apud Iebbium. 15 μεγίστη σὺ] σὺ μεγίστη L. Ἑλληνίδων] ἑλλήνων N (νίδων supra). Κρατῖνος] Cratini dictum in Periclem torquet in Platonem. Canter. ποιῶν] *Poetica dictione utens.* videtur nomen viri excidisse, quem Cratinus eo praeconio ornavit. num εἰς Ἡρακλέα ποιῶν? Reisk. καὶ συμβουλεύειν — ἄνευ τέχνης in margine habet N. 17 εἴπερ — συμβουλεύειν om. M. 18 συμβουλεῦσαι] In L ab alia m. correctum συμβουλεύειν. 19 τὸ τοῦ LMN Iebb. τὸ om. Iunt. Δημοσθένους] Videtur illum Demosthenis locum designare in pro Corona, quo ille orator suam et Aeschinis et Athenarum fortunam inter se comparat. Reisk.

20, 1 κινηθεὶς] κινηθεὶς καὶ προαχθεὶς EL Soph. καὶ] χάριν ELM. καὶ τοῦ] Malim κατὰ τοῦ. contra virum (Platonem puta) a diis ipsis (Musis) initiatum. Reisk. τετελεσμένου] τοῦ τετελεσμένου N. 2 πλεῖον] πλέον N. τοῦ πλάτωνος LN Iebb. τοῦ om. Θ Iunt. 5 μαρτυρίας] Aeschinis puta. Sunt enim ipsius

Digitized by Google

νανται ὑβρεύεσθαι, ἐκεῖναι μέλι καὶ γάλα ἀρύονται. καὶ δὴ καὶ ἐγὼ οὐδὲν μάθημα ἐπιστάμενος ὃ διδάξας ἄνθρωπον ὠφελήσαιμ' ἄν, ὅμως ᾤμην ξυνὼν ἂν ἐκείνῳ διὰ τὸ ἐρᾶν βελτίω ποιῆσαι." ἐνταῦθα τελευτᾷ τῶν διαλόγων οὐ δι' αἰνιγμάτων, οὐδὲ ὑπονοίας, οὐδὲ τρόπον τινὰ ταῦτα λέγων ἡμῖν, ἀλλ' ὥσπερ ἐξεπίτηδες εἰς τὴν χρείαν πεποιηκώς. εἰ τοίνυν ὄνειροι μὲν τὰς Ἀσκληπιοῦ συμμορίας τῆς τῶν ἰατρῶν τέχνης ἀπαλλάττουσι, Βάκχαι δὲ αἱ Διονύσου καὶ τὰ τῶν Νυμφῶν δῶρα μεταβάλλουσιν ἡνίκ' ἂν ἔνθεοι γένωνται, τί τῶν αἰσχρῶν ἢ τί τῶν ἔξω τῆς φύσεως καὶ (35
τοὺς ἐν τοῖς λόγοις ἐνθέους παραδέχεσθαι καὶ νομίζειν εἰς προστάτας ἔχειν ἀνενεγκεῖν τούς γέ που κρείττονας; καὶ μὴν οὐδὲ τοῦτ' ἔστ' εἰπεῖν ὡς ἄρ' ὁ μάρτυς οὐδενὸς ἄξιος, ἢ πόρρω τῶν πραγμάτων, ἢ καταφεύγομεν εἰς ὄνομα αὐτὸ δὴ τοῦτο. ἀλλ' εἴ γέ τινας ὥσπερ παῖδας οὕτως καὶ ἑταίρους χρὴ λέγειν γνησίους, γνήσιον Αἰσχίνην Σωκράτους παρειλήφαμεν. μαρτυρεῖ δὲ καὶ ἡ ψευδὴς ἐνίων δόξα τῶν αὐτοῦ Σωκράτους εἶναι τὰ γράμματα ταῦτα ὑπειληφότων· οἷς εἰ μὴ τὸ ὅλον πιστεύειν ἄξιον, ὥσπερ ἐγὼ πρῶτος οὐκ ἂν φαίην, ἀλλ' οὖν οὐκ ἐπὶ πάσης γε τῆς ἀλογίας ἡ πλάνη συμβέβηκεν, ἀλλ' οὕτω σφόδρα ταῦτ' οἰκεῖα τῷ Σωκράτους ἤθει καὶ προσήκοντα ἐκρίθη, ὥστε

---

verba ea quae sequuntur. Reisk. 7 ὑβρεύεσθαι] ὑβρεύεσθαι habet L, ab alia manu in ὑβρεύεσθαι mutatum. 8 ὠφελήσαιμ'] ὠφελήσαιμι Θ. 11 τὰς Ἀσκληπιοῦ Reiskius. Legebatur τῆς Ἀσκληπιοῦ. Appellat Aesculapii συμμορίας ea collegia aegrotorum, quae ab eo salutem petebant incubatione in templis ei consecratis. p. 19, 4. ἀγέλας τῶν ἐν Ἀσκληπιοῦ. Reisk. 12 ἂν om. L. 14 κρείττονας] Scil. ἡμῶν. Reisk. ἔστ'] ἐστὶν N.

15 ἢ πόρρω] εἰ πόρρω Canterus. Nihil hic mutari debet. recte enim omnia habent. sententia haec est. occurri non potest, parvi momenti auctorem esse, neque hoc, eum ab intelligentia et usu rerum longe abfuisse. neque tandem καταφεύγειν (scil. δεῖ) confugere nos oportet ad nominis latebram, h. e. illa uti frivola excusatione, Aeschinem esse huius auctorem sententiae, non Socratem; huius autem, non illius, in hac re et valere et requiri testimonium. Infinitivum hic suadeam, ut referatur ad εἰπεῖν praecedens. Reisk. εἰ καταφεύγομεν Canterus apud Reiskium vol. V. p. 609.

16 οὕτως E. Vulgo οὕτω. ἑταίρους] ἑτέρους N (apud Iebbium L). γνήσιον ex Reiskii coniectura addidi. 19 οὕτω] οὔτε M.

Digitized by Google

καὶ ταύτῃ τῇ δόξῃ γενέσθαι χώραν. δοκεῖ δέ μοι καὶ Σωκράτης αὐτὸς εἰ καὶ μηδεὶς λόγος αὐτοῦ γραφῇ σώζεται, οὐχ ἧττον οὔτε Πλάτωνος τοῦ σεμνοῦ οὔτ᾽ Αἰσχίνου τοῦ κομψοῦ μαρτυρεῖν, ἀλλ᾽ ἔτι κάλλιον καὶ ὡς ἀληθῶς εἰς τὸ μέσον. ὁμολογεῖται μέν γε λέγειν αὐτὸν ὡς ἄρα οὐδὲν ἐπίσταιτο, καὶ πάντες τοῦτό φασιν οἱ συγγενόμενοι. (36) ὁμολογεῖται δ᾽ αὖ καὶ τοῦτο, σοφώτατον εἶναι Σωκράτη τὴν Πυθίαν εἰρηκέναι. πῶς οὖν ταῦτ᾽ ἔχει; οὐ γὰρ τόν γε τοῦ παντὸς ἐσφαλμένον ὡς ἀνέλοι σοφώτατον ἀνδρῶν πιστεῦσαι θεμιτὸν περὶ τοῦ θεοῦ. τέχνην δὲ, ὡς ἔοικεν, ἔφασκεν οὐκ ἀσκεῖν, ἀληθῆ λέγων. ᾧ γοῦν συνεγένετο Ἀναξαγόρᾳ, οὐ τἀκείνου τιμήσας φαίνεται. ἓν μὲν δὴ τοῦτο μαρτυρεῖ Σωκράτης, οὐκ αἰσχρὸν εἶναι τὸ μὴ τέχνην κεκτῆσθαι, εἴπερ περὶ αὐτοῦ λέγων οὐκ ᾐσχύνετο. ἕτερον δὲ ἀκόλουθον. οὐ γάρ ἐστιν ὅστις οὐ λέγει περὶ Σωκράτους ὅτι φάσκοι τὸ δαιμόνιον αὐτῷ σημαίνειν. οὐκοῦν μηδὲν μὲν ἐπίστασθαι τῶν δεόντων ἀμήχανον ᾧ γε παρηκολούθει τὸ δαιμόνιον· ὅτι δ᾽ οὐδὲν ἐπίσταιτο αὐτὸς ἔλεγε, λέγων δ᾽ οὐκ ἐψεύδετο, εἴπερ γε μηδὲ ὁ θεὸς σοφώτατον αὐτὸν εἰρηκώς. λοιπὸν οὖν τί ποτ᾽ ἐστὶ τὸ φάσκειν οὐκ εἰδέναι; οἶμαί γε τὸ μὴ τέχνῃ. ἀλλὰ μὴν εἰ μηδετέρως γ᾽ ἂν σοφώτατος ἦν ἔτι, μήτε ψευδόμενος περὶ αὐτοῦ, εἴπερ ἕν τι τῶν αἰσχρῶν τὸ ψεύδεσθαι, μήτ᾽ ἀληθῆ λέγων, εἰ τὸ μὴ χρῆσθαι τέχνῃ τῶν ἁπλῶς αἰσχρῶν ἦν, ἅμα Σω- (37) κράτης τε δι᾽ ἀμφοτέρων μαρτυρεῖ τῷ λόγῳ, καὶ ὧν ἔξαρνος ἦν καὶ ὧν ὡμολόγει, καὶ διὰ τοῦ Σωκράτους ὁ θεὸς μεμαρτύρηκε περὶ ἀμφοῖν, χρήσας ἐκεῖνον σοφώτατον

---

21, 4 εἰς τὸ μέσον] φανερῶς addit E. ἐπίσταιτο] ἐπιστήσαιτο N, ab alio in ἐπίστητο mutatum. 5 δ᾽ αὖ] δὲ αὖ Θ. 6 Σωκράτη] σωκράτην LN. εἰρηκέναι] ἀνειρηκέναι N. Fortasse ἀνῃρηκέναι voluit. Conf. p. 22, 5. οὖν ταῦτ᾽] οὖν οὕτω ταῦτ᾽ N. 7 ἀνδρῶν] ἀνθρώπων ΘN. 8 ἔφασκεν] ἔφαμεν LN. τιμήσας] νικήσας LM. τιμήσας margo L ab alia manu. 9 ἓν — τοῦτο] ἐνὶ — τούτῳ N ab secunda manu. 11 φάσκοι] φάσκει L. αὐτῷ LN Iebb. αὐτὸ Iunt. 12 ἐπίσταιτο] ἐπίστατο L, correcto ab alia manu ἐπίσταιτο. 13 γε om. M. 14 ποτ᾽ L. Vulgo ποτέ. τέχνῃ] τέχνῃ τί ποτε ἐπίστασθαι EL. 16 τὸ μὴ ΘLM. Legebatur μὴ τό. 17 αἰσχρῶν LN Iebb. αἰσχρὸν Iunt. τῷ λόγῳ] τῶν λόγων L, τῷ λόγῳ correctus L.

εἶναι, ὥστε διπλῆν οὖσαν τὴν τοῦ Σωκράτους μαρτυρίαν ἑτέρᾳ κυρίᾳ τῇ παρ' αὐτοῦ βεβαιοῖ. μάθοι δ' ἄν τις καὶ παρ' αὐτοῦ τοῦ πράγματος συμβαίνοντα τῷ Σωκράτους λόγῳ καὶ βίῳ τὰ ἀπὸ τῆς μαντείας. τὸν γὰρ ζῶντα ὑπὸ θεῷ καὶ τῶν ἀνθρωπίνων πραγμάτων ἠμεληκότα πῶς οὐκ εὔλογον ἐκ προχείρου παρὰ θεῷ κριτῇ σοφώτατον ἀνθρώπων ἀνῃρῆσθαι; ἡ μὲν οὖν παρὰ τοῦ Πλάτωνος ἡμῖν μαρτυρία τοσαύτη, δι' αὐτοῦ καὶ διὰ τῶν ἑταίρων ἀμφοτέρων τελευτῶσα εἰς τὸν θεὸν τὸν ἐν Δελφοῖς, ὃς ἐπιψηφίζει Πλάτωνι ἃ μικρῷ πρόσθεν ἔφην Αἰσχίνην. εἰ δὲ δεῖ καὶ ποιητῶν παρασχέσθαι μαρτυρίας, ἔστι μὲν ἔργον ἢ τὰς ἁπάντων ἢ τὰς τῶν προκριθέντων διὰ πάντων παρασχέσθαι, ὅμως δ' ὡς ἄν τις ἔχοι τῶν γνωριμωτάτων ἐκλέξας εἰπεῖν ῥαθυμίᾳ παραλιπεῖν. κοινῇ μὲν οὖν πάντες ποιηταὶ μαρτυροῦσι τὴν ἔργῳ μαρτυρίαν, εἴπερ εἰσὶ ποιηταὶ τῷ κρατοῦντι λόγῳ τῆς τέχνης. ἀλλ' οὐ ταύτης δέομαι τὰ νῦν, ἔστι γὰρ ἐν τοῖς εἰρημένοις, ἀλλὰ τῆς κατὰ ῥῆμα. τοῦτο (38)
μὲν τοίνυν ὁ πρεσβύτατος αὐτῶν καὶ πᾶσι συνηθέστατος Πάνδαρον μὲν τὸν Ζελείτην ἐπαινῶν εἰς τὴν τοξικὴν „Ὧι καὶ τόξον Ἀπόλλων αὐτὸς ἔδωκε" λέγει. τὸν δὲ τῶν Φαιά-

---

22, 1 τῇ παρ'] τὴν παρ' Θ. 2 αὐτοῦ] Scribebatur αὐτοῦ. δ' ἄν] δὲ ἄν ΘL. 3 λόγῳ καὶ βίῳ] βίῳ καὶ λόγῳ L.

4 θεῷ] τῷ θεῷ M. 5 ἀνῃρῆσθαι L Opor. ἀνειρῆσθαι ΘE. ἀναι$^{η}$ρεῖσθαι N. Legebatur ἀναιρεῖσθαι. ἡμῖν μαρτυρία ΘLN. Legebatur μαρτυρία ἡμῖν. 6 καὶ διὰ] διὰ om. E. 7 Αἰσχίνην Reiskius. Legebatur Αἰσχίνης. αἰσχίνη ELMN. „Aut Αἰσχίνην, subaudi ἐπιψηφίζειν, aut ὅτι Αἰσχίνης, scil. ἐπιψηφίζει. sed prius praefero. parum hic adiuvant codices manuscripti, qui αἰσχίνη dantes rem in dubio relinquunt, nisi quod de vitio nos admonent. Reisk.
8 πάντων παρασχέσθαι] πάντων παρέχεσθαι LN. 9 ὡς] οὓς E. ὅσ' M. Malim ὃς aut ὅσας. scil. μαρτυρίας. Reisk. ὅσας Soph.
11 τανῦν addidi ex ΘLMN. τῆς] τοῖς L, τῆς ex correctione. τῆς κατὰ ῥῆμα] Eo mihi opus est testimonio, quod disertis verbis expressum est h. e. volo nunc id genus testimoniorum, quum poetae nudis et simplicibus verbis se literarum et poeticae artis expertes ad carmina pangenda accessise profitentur, aut quum alios dicunt artes, quas tamen non didicissent, egregie et calluisse et exercuisse. 12 τὴν τοξικὴν] τὴν om. E. Ὧι καὶ] Iliad. β, 827. 13 Ἀπόλλων αὐτὸς] αὐτὸς ἀπόλλων LN.

Digitized by Google

κων βασιλέα ποιήσας εἰς ὑπερβολὴν φιλάνθρωπον καὶ θεοφιλῆ τῷ ῥήματι τούτῳ τετίμηκεν

Ἀλκίνοος δὲ τότ' ἦρχε θεῶν ἄπο μήδεα εἰδώς.

μή μου πύθῃ, φησί, ποίαν τέχνην ἐκέκτητο, ἢ τίς διδάσκαλος αὐτοῦ· θεῶν γὰρ ἄπο μήδεα ᾔδει. τὸν δ' αὖ Δημόδοκον ὡσαύτως τὸν κιθαρῳδὸν ἐπαινῶν ὡς ἄκρον τὴν μουσικὴν οὕτως ποιεῖ

Τὸν πέρι Μοῦσ' ἐφίλησε, δίδου δ' ἀγαθόν τε κακόν τε·
ὀφθαλμῶν μὲν ἄμερσε, δίδου δ' ἡδεῖαν ἀοιδήν·

καὶ πάλιν

Μοῦσ' ἄρ' ἀοιδὸν ἀνῆκεν ἀειδέμεναι κλέα ἀνδρῶν.

23 ὁ δέ γε Ἀλκίνους αὐτὸς συνιστὰς αὐτὸν καὶ καλῶν εὐθὺς ἐν ἀρχῇ φησι

Τῷ γάρ ῥα θεὸς πέρι δῶκεν ἀοιδήν,
τέρπειν ὅππῃ θυμὸς ἐποτρύνῃσιν ἀείδειν.

ταυτί φησιν ὁ Ἀλκίνους αὐτὸς, ᾧ φιλοτιμίαν εἶχε δήπουθεν, εἴ τι καὶ διδασκάλοις ἀνήλωσεν ὑπὲρ αὐτοῦ, καὶ (39) ταῦτ' ὄντι λαμπρῷ καὶ μεγαλοψύχῳ καὶ δόξης ἐραστῇ. ἀλλ' ὅμως ἐγώ σοι, φησὶν, αὐτὸς λέγω καὶ διορίζομαι, τοῦτον οὐκ ἐδιδαξάμην. καὶ οὐχ ὁ μὲν Ἀλκίνους οὕτως ὁ τῶν Φαιάκων βασιλεὺς, ὁ δὲ τῶν Ἑλλήνων σοφώτατος οὐχ ὁμοίως περὶ τῶν αὐτῶν, ἀλλ' ἔτι μᾶλλον ἀγασθεὶς τοῦ Δημοδόκου τῆς ἐπιδείξεως καὶ ὥσπερ ἐπίτηδες ζητῶν ὅ τι εἴποι μέγιστον, ὦ Δημόδοκε, φησίν,

---

τὸν δὲ EN. Legebatur τῶν δέ. 14 Ἀλκίνοος (ἀλκίνου E)] Odyss. ζ, 12. 15 πύθῃ ΘELN. Legebatur πύθου, quod L ab correctore habet. 16 Δημόδοκον] δημοκόον M. 17 οὕτως N. Vulgo οὕτω. Τὸν] Odyss. θ, 63. πέρι] Scribebatur περὶ. τὸν περὶ om. M. δίδου] δῶκε M. ὀφθαλμῶν] ὀφθαλμὸς L. ἄμερσε] ἄμαρσε LN. 18 καὶ πάλιν om. M. Μοῦσ'] Odyss. θ, 73. Μοῦσ' ἄρ'] μοῦσα δ' ἄρα M.

23, 1 συνιστὰς αὐτὸν LMN Iebb. συνιστὰς αὐτῶν Iunt. εὐθὺς om. M. Τῷ] Odyss. θ, 44. πέρι δῶκεν] Scribebatur περιδῶκεν. ἔδωκεν M. 2 ὅππῃ] ὅπῃ EN. ἀείδειν] ἀοίδειν N. 3 ἀνήλωσεν] ἀνάλωσεν L. ταῦτ' N. Vulgo ταῦτα. 5 σοφώτατος] ὀδυσσεὺς addit M. 6 τῶν om. M. μᾶλλον om. L. τοῦ Δημοδόκου] τὸν Δημόδοκον Reiskius.

Digitized by Google

Ἔξοχα δή σε βροτῶν αἰνίζομ' ἁπάντων·
ἢ σέ γε Μοῦσ' ἐδίδαξε Διὸς παῖς, ἢ σέ γ' Ἀπόλλων·

ὡς τοῦ πράγματος κρείττονος ἢ τέχνῃ λαβεῖν.

λίην γὰρ κατὰ κόσμον Ἀχαιῶν οἶτον ἀείδεις.

οὐδὲ τοῦτο πάρεργον, οὐδ' εἰκῇ προσθεὶς, οὐδ' ἐφόλκιον ἄλλως ἐπὶ τοῖς ἄνω, ἀλλ' ἐνδεικνύμενος καὶ πρὸς ἓν σημαινόμενος ὅτι τοῦτο τὸ ἐν κόσμῳ καὶ λαμπρῶς οὐκ ἐκ τέχνης, ἀλλ' ἐπιπνοίᾳ θεῶν παραγίγνεται. κομψὸν μὲν γάρ τι, φαυλότερον δὲ ἡ τέχνη πολλῷ· πάλιν δ' ὥσπερ ἐπισφραγιζόμενος τὴν μαρτυρίαν, προβαλὼν αὐτῷ τὸν τοῦ ἵππου κόσμον ἀεῖσαι, τοσοῦτον ὑπισχνεῖται,

Αἲ κεν δή μοι ταῦτα (φησὶ) κατὰ μοῖραν καταλέξῃς,
αὐτίκα καὶ πᾶσιν μυθήσομαι ἀνθρώποισιν (40
ὡς ἄρα τοι πρόφρων θεὸς ὤπασε θέσπιν ἀοιδήν.

ὡς οὐκ ἔχων τί τούτου μεῖζον ὑπόσχοιτο αὐτῷ. οὕτω τοίνυν ὁ ποιητὴς πεπεικὼς αὐτὸν ἐποίει περὶ τούτων, ὥστε ὥσπερ δεδοικὼς μή τις αὐτὸν περὶ Δημοδόκου μόνου λέγειν ταῦτα δόξειεν, ἀπὸ τοῦ κοινοῦ τῶν ἀοιδῶν ἐποίησεν ἀρχόμενον τὸν Ὀδυσσέα καὶ λέγονθ' οὕτω

Πᾶσι γὰρ ἀνθρώποισιν ἐπιχθονίοισιν ἀοιδοὶ
τιμῆς ἔμμοροί εἰσι καὶ αἰδοῦς, οὕνεκ' ἄρα σφᾶς
οἴμας Μοῦσ' ἐδίδαξε· φίλησε δὲ φῦλον ἀοιδῶν.

24 ὥσπερ δεδοικὼς Ὅμηρος ὑπὲρ ἑαυτοῦ μή τις αὐτὸν φῇ παρ' ἑτέρου τι μεμαθηκέναι, ἀλλὰ μὴ παρ' αὐτῶν τῶν Μου-

---

7 Ἔξοχα] Odyss. Θ, 487. δή σε] δή σοι L. 9 ἀείδεις] ᾄδεις N. 10 προσθεὶς] προστιθεὶς M. ἐπὶ τοῖς ἄνω] ἔπεσι τοῖς προλεχθεῖσι add. E et habuit N, in quo deleta sunt. ἓν σημαινόμενος] ἐνσημαινόμενος Canter. 11 τὸ ἐν] τῷ ἐν E. παραγίγνεται] Vulgo παραγίνεται. 13 προβαλὼν] προσβαλὼν Θ. Αἲ κεν] Odyss. Θ, 496. 14 ταῦτα (φησὶ)] φησὶ ταῦτα LN. αὐτίκα καὶ] αὐτίκα μὲν N. Apud Homerum αὐτίκ' ἐγώ. πᾶσιν] Scribebatur πᾶσι. 15 ὤπασεν L. 16 ὁ ποιητὴς LϷMN Soph. Iebb. ὁ om. lunt. αὐτὸν] Vulgo αὐτὸν. μὴ περὶ δημοδόκου δόξειε λέγειν ταῦτα M. 17 ἀπὸ τοῦ κοινοῦ — ἀρχόμενον] F. ἐπὶ τὸ κοινὸν τῶν ἀοιδῶν — ἐρχόμενον. Reisk. ἀρχόμενον ἐποίησε τὸν ὀδυσσέα λέγειν ταῦτα πᾶσι M. 18 Πᾶσι] Odyss. Θ, 479. 19 σφᾶς] Scr. σφέας.

24, 1 φῇ παρ' ἑτέρου τι] παρ' ἑτέρου τι φῇ LN. παρ' αὐτῶν

σῶν. πῶς οὖν αἱ Μοῦσαι διδάσκουσιν; ἆρά γε ὥσπερ οἱ γραμματισταὶ διδασκαλεῖον ἀνοιξάμεναι; οὐκ ἔστιν. ἀλλ' οἶμαι ἐπὶ νοῦν ἄγουσι καὶ τὴν εὕρεσιν κινοῦσιν, ὡς καὶ ἐν αὐτοῖς τούτοις ἐμφαίνεται τοῖς ἔπεσι· φησὶ γοῦν ἐπὶ πᾶσιν

Ὣς φάθ'· ὁ δ' ὁρμηθεὶς θεοῦ ἤρχετο, φαῖνε δ' ἀοιδήν·

ταὐτὸν διὰ πάντων ἐμφανίζων, ὅτι ληρεῖ τέχνη πρὸς θεὸν κινοῦντα. τὸν τοίνυν Φήμιον ἐν τῇ τῶν μνηστήρων σφαγῇ πεποίηκε τὸ ὑπὲρ ἑαυτοῦ παραιτούμενον καὶ λέγοντα

Αὐτοδίδακτος δ' εἰμί· θεὸς δέ μοι ἐν φρεσὶν οἴμας
παντοίας ἐνέφυσεν, ἔοικα δέ τοι παραείδειν
ὥστε θεῷ· τῷ μή με λιλαίεο δειροτομῆσαι. (41)

τοῦτο μὲν ὡς ταὐτὸν ὅ τε αὐτοδίδακτος καὶ ὁ τῶν θεῶν μαθητὴς ἐγγύθεν οὑτωσὶ δηλῶν, τοῦτο δὲ ὡς οὐδὲν ἄλλο εἰπόντος εἰς σωτηρίαν τοῦ Φημίου μεῖζον ἢ ὅτι οὐδενὸς ἀνθρώπων ἐστὶ μαθητής. εἰκότως· τὸν γὰρ ὑπὸ τῶν ἠδικῆσθαι δοκούντων μέλλοντα σωθήσεσθαι εἰς τὴν παρὰ τῶν θεῶν τιμὴν καταφεύγειν εἰκὸς ἦν. δι' ἃ τούτοις αὐτὸν σώζει τοῖς λόγοις. ἔτι τοίνυν, ἀναλήψομαι γάρ, τὸν Τηλέμαχον ἀποδημοῦντα πεποίηκε δή που κατὰ πύστιν τοῦ πατρὸς ἐν τοῖς πρώτοις, ὡς δὲ προσέσχε τῇ Πύλῳ καὶ συντυγχάνειν ἔδει τῷ Νέστορι ἀγωνιῶντα καὶ ἀποροῦντα ὅ τι χρὴ λέγειν πρὸς αὐτὸν διὰ τὸ συνειδέναι μὴ ὅπως τέχνην αὐτῷ τινα ἐπισταμένῳ περὶ λόγους, ἀλλ' οὐδ'

τῶν] παρὰ τῶν L. 3 τούτοις om. LM. 4 Ὣς φάθ'] Odyss. θ, 499. 5 μνηστήρων] μυστηρίων, superscripto μνηστήρων, L. 6 Αὐτοδίδακτος] Odyss. χ, 347. δ' om. N. 8 ὡς ταὐτὸν] Subaudi ὄν, quod forte excidit. Reisk. 9 οὐδενὸς] μηδενὸς L. 10 τῶν ἠδικῆσθαι δοκούντων] F. τοῦ ἠδικῆσθαι δοκοῦντος. nam unum hic significat Ulyssem. Vulgatam si servamus, erit Ulyssi Telemachus adiungendus, qui ipse item saepe in Odyssea queritur sibi factam a procis iniuriam. Reisk. εἰς τὴν παρὰ] εἰς παρὰ τὴν N. 11 καταφεύγειν MN. Legebatur φεύγειν. Recte dant codices καταφεύγειν. Verbum in hac re proprium, confugere velut ad arcem aut ad asylum. Reisk. δι' ἃ] δι' ὃ E. αὐτὸν] ἑαυτὸν L apud Iebbium. 12 ἀναλήψομαι γὰρ] Nam a Phemio petitum exemplum est ex Odysseae fine, Telemachi autem ex eiusdem carmine quarto. Ascendit ergo noster, h. e. ab exitu recurrit ad principium. Reisk. 14 αὐτῷ τινα]

Digitized by Google

αὐτὸ, ὅ φησι Πλάτων, ἐμπειρίαν ἔχοντί πω μέχρι τούτου. κατακέκλεικε γοῦν αὐτὸ τοῦτ' εἰς ἔπος ἐξ ἀρχῆς εἰς τέλος

Οὐδέ τί πω μύθοισι πεπείρημαι πυκινοῖσιν.

ὁ δ' αὐτὸν παραμυθεῖται καὶ λέγει, Μηδείς σε τῶν σοφιστῶν ἐξαπατάτω, μηδ' ἀθυμήσῃς ἐπὶ σαυτῷ. εἰ γὰρ καὶ τῆς τέχνης ἀπολέλειψαι καὶ τῆς ἐμπειρίας,

Ἄλλα μὲν αὐτὸς ἐνὶ φρεσὶ σῇσι νοήσεις,
ἄλλα δὲ καὶ δαίμων ὑποθήσεται· οὐ γὰρ ὀΐω
οὔ σε θεῶν ἀέκητι γενέσθαι τε τραφέμεν τε,

συνάπτων κἀνταῦθα τρόπον τινὰ καὶ συντιθεὶς ἐφεξῆς τό τε αὐτὸν συνεῖναι καὶ τὸ ὑπειπεῖν τὸν θεὸν, καὶ πάλιν αὖ τὴν φύσιν καὶ τροφὴν τῇ θείᾳ μοίρᾳ προστιθείς. καὶ ταῦτα οὐ Μέντωρ, οὐδ' Ἁλιθέρσης αὐτῷ λέγει, ἀλλὰ θεῶν ἡ σοφωτάτη καὶ ᾗ τά τε τῆς φρονήσεως καὶ τὸ περὶ τὰς τέχνας ἀνάκειται. καὶ ὁ Τηλέμαχος πρῶτον τότε ῥητορεύων εὔπορος γίγνεται καὶ λόγους ἀποχρῶντας εὑρίσκει τῇ χρείᾳ — ἃ γὰρ ἐν μνηστῆρσιν ἐδημηγόρησεν ἐῶ λέγειν — τῆς Ἀθηνᾶς, καὶ τυγχάνει τοῦ σκοποῦ οὕτως ὥσθ' ὅ γε Νέστωρ ἀκούσας, τοῦτο γάρ ἐστι τὸ ἥδιστον, ἐπαινεῖ τε καὶ φησὶν

Ἦτοι γὰρ μῦθοί γε ἐοικότες, οὐδέ κε φαίης
ἄνδρα νεώτερον ὧδε ἐοικότα μυθήσασθαι·

καίτοι τῶν ἄκρων ῥητορικὴν καὶ λόγους εὑρεῖν καὶ κρῖναι ὁ Νέστωρ αὐτῷ πεποίηται καὶ ἐν Ἰλιάδι καὶ ἐν Ὀδυσσείᾳ·

---

τινὰ αὐτῷ N. 15 κατακέκλεικε] κατακέκλικε LM. κατακέκλεικε correctus L. 16 ἔπος] ἔπος οὕτως εἰπὼν EN. Οὐδέ] Odyss. γ, 23. 17 παραμυθεῖται καὶ λέγει ΘELMN Iebb. παραμυθεῖται λέγειν Iunt. 18 Ἄλλα] Odyss. γ, 26. 19 γενέσθαι τε] τε om. L. τραφέμεν] τρεφέμεν L. (α supra ε) 20 συνεῖναι] συνιέναι Canter. 25, 1 τὸν θεὸν] F. τῷ θεῷ dictata et subiecta a deo pronunciare. Reisk. αὖ] δ' αὖ Opor. ταῦτα] ταῦτά γε N. 2 οὐδ' ἁλιθέρσης LMN Iebb. οὐ καλλιθέρσης Iunt. οὐκ Ἀλθέρσης Steph. οὐκ ἀλιθέρσης Θ. 3 πρῶτον τότε] τότε πρῶτον L. γίγνεται] Vulgo γίνεται. 4 Ante τῆς deest aut παρὰ, aut potius ὑφηγουμένης vel δειξάσης vel διδαξάσης aut ὑποβαλούσης vel simile quid. Canterus quoque notavit „*Deest suggerente vel tale quid.*" Reisk. 5 ὥσθ' N. Vulgo ὥστε. 6 Ἦτοι] Odyss. γ, 124. 7 ἄκρων] ἄκρως ΘEL. καὶ ἐν — καὶ ἐν] Utrumque καὶ

ἀλλ᾽ ὅμως ἐπαινεῖ καὶ λαμπρῶς. ὡς δ᾽ ἧκεν ἐκ τῆς Πύλου πρὸς τὸν ἕτερον ῥήτορα καὶ βασιλέα τὸν Μενέλαον, ὁ μὲν Τηλέμαχος ὡς θεοῦ φησιν ἀκούων τέρπεσθαι τοῦ (43) Μενελάου, ὁ δὲ τὴν αὐτὴν αὖ περὶ ἐκείνου φέρει τῷ Νέστορι δόξαν, καὶ φησὶν ἅτε καὶ αὐτὸς ἤδη πρεσβύτης ὤν,

Αἵματος εἷς ἀγαθοῖο φίλον τέκος οἷ᾽ ἀγορεύεις·

οὐδὲν ἀλλ᾽ ἢ τοῦτο λέγων ὅτι πέφυκας πρὸς λόγους, διὰ τοῦτο λέγεις τὰ βέλτιστα, καὶ παρ᾽ ἑτέροις τοιούτοις εὐδοκιμεῖς· ὥστε εἰ καὶ μὴ τέχνην τιν᾽ ἔχεις περὶ τοὺς λόγους, ἔμοιγε, φησίν, ἐξαρκεῖ. οὕτω δι᾽ ὅλου τοῦ δράματος ὥσπερ ἐξεπίτηδες καὶ διὰ πάντων τῶν ἀξιόχρεων Ὅμηρος μαρτυρεῖ μὴ τὴν τέχνην εἶναι κυρίαν ἐν τοῖς λόγοις, ἀλλὰ τὸ τῆς φύσεως κράτος καὶ τὸ δοκοῦν τῷ θεῷ. αὐτὸς τοίνυν ὁ τοῦ Τηλεμάχου πατήρ, ὃν τῆς εἰς τοὺς λόγους παρασκευῆς ἐπὶ πλεῖστον ἐποίησεν ἥκοντα, παροξυνθείς τι πρὸς τὸν Φαίακα καὶ σωφρονίζων αὐτόν, πῶς λέγει καὶ παρρησιάζεται,

Ἄλλος μὲν γάρ τ᾽ εἶδος ἀκιδνότερος πέλει ἀνήρ,
26 ἀλλὰ θεὸς μορφὴν ἔπεσι στέφει·

ὁμοῦ μὲν τὸ ἀξίωμα τῆς ῥητορικῆς ἐμφανίζων καὶ τὴν δύναμιν αὐτῆς ὁπόση τις καὶ ἡλίκη, ὁμοῦ δ᾽ αὐτὰ ταῦτα τῷ θεῷ προστιθεὶς ὡς ἐκεῖθεν ἥκοντα, ὥσπερ Πλάτωνι ἀποκρινάμενος, οὐκ Εὐρυάλῳ. δοκεῖ δέ μοι καὶ Ἡσίοδος (44) τῆς αὐτῆς ἔχεσθαι γνώμης Ὁμήρῳ καὶ τοῖς ῥήμασι μόνοις διαλλάττειν ἐν τοῖσδε τοῖς ἔπεσι

Κεῖνος μὲν πανάριστος ὃς αὐτῷ πάντα νοήσῃ·
ἐσθλὸς δ᾽ αὖ κἀκεῖνος ὃς εὖ εἰπόντι πίθηται·

---

om. M. 8 ἧκεν] ἧκον E. 9 Τηλέμαχος] Errore memoriae, de quo admonuit Canterus, Telemachum pro Pisistrato nominat: vide Odyss. δ, 160. 10 δόξαν] ψῆφον καὶ δόξαν M. 11 Αἵματος] Odyss. δ, 611. 12 πέφυκας] εὖ πέφυκας Reiskius. 13 περὶ τοὺς λόγους] τοὺς om. N. 16 εἰς τοὺς λόγους] τοὺς om. M. 18 Ἄλλος] Odyss. θ, 169.

26, 1 στέφει ELN Iebb. στρέφει Iunt. 2 δ᾽] δὲ L. αὐτὰ ταῦτα ELN. Aberat ταῦτα. 2 Πλάτωνι] πλάτων E. ἀποκρινάμενος] ἀποκρινόμενος N. 4 ἔπεσι] ἔπεσιν L. Κεῖνος] Ἔργ. v. 291. ἐκεῖνος ΘL. 5 νοήσῃ] νοήσει LMN. πίθηται]

Digitized by Google

ὃς δέ γε μήτ' αὐτὸς νοέῃ μήτ' ἄλλου ἀκούων
ἐν θυμῷ βάλληται, ὁ δ' αὖτ' ἀχρήιος ἀνήρ.

πρῶτον μὲν ἔθετο τὸν αὐτὸν εὑρόντα τὰ βέλτιστα, ἔσχατον δὲ ἀμαθίᾳ τὸν οὔτε συνιέντα οὔτε πειθόμενον, μέσον δὲ ἀμφοτέρων, ὥσπερ ἐν ἀριθμῶν ὅροις, τὸν τῷ συνιέντι πεισθέντα, τοσούτῳ χείρω τοῦ νοήσαντος, ὅσῳ βελτίω τοῦ μήθ' εὑρόντος μήτε πεισθέντος. οὐκοῦν ὁ μὲν αὐτὸς πάντα νοήσας ἐστὶν ὁ εὖ εἰπών· εἰ δὲ βούλει ἐκείνως, ὁ μὲν εὖ εἰπών ἐστιν ὁ νοήσας αὐτὸς ἅπαντα. δῆλον δέ· προσθεὶς γὰρ „ὃς αὐτὸς πάντα νοήσῃ" μετείληφεν ἐν τῷ δευτέρῳ ἐπὶ τοῦ εὖ εἰπόντος τὸν αὐτὸν τοῦτον λέγων, ἀντὶ τοῦ νοήσαντος τὸν εὖ εἰπόντα θεὶς, ὡς αὐτὸν τοῦτον ὄντα τὸν βέλτιστον ῥήτορα. οὕτω δὲ τούτων κειμένων ὁ μὲν, οἶμαι, νοήσας παντὶ συμβαλεῖν ῥᾴδιος, ὅτι ὁ τῇ φύσει κρατῶν ἐστὶν, ὃν ἄριστον ὡρίσατο, ὃν καὶ εὖ εἰπόντα προσεῖπεν· ὁ δ' αὖ πεισθεὶς ἐν τῇ τοῦ μαθόντος γίγνεται μερίδι. (45)
ἀκούσας γὰρ τοῦ τὰ βέλτιστα λέγοντος οὕτω χρῆται παρ' ἐκείνου λαβών. εὑρεῖν οὖν φησιν, ὦ Πλάτων, κρεῖττον ἢ μαθεῖν, καὶ τέχνη φύσεως δεύτερον, εἰκότως Ἡσίοδος καὶ
27 φρονῶν οὕτω καὶ λέγων, καὶ τῆς δάφνης οὐκ ἀμνημονῶν, ἣν ἅμα τῷ λαβεῖν ποιητὴς ἦν γεγονὼς ἐκ ποιμένος. ἐπεὶ καὶ τὰς τέχνας αὐτὰς καὶ τὰ ἐπιτηδεύματα φύσει δή που

---

πείθηται M. δέ γε] Scribe δέ κε ex Hesiodo. μήτ' αὐτὸς L. Legebatur μήθ' αὐτῷ. μήτ' αὐτὸ ΘEN. μήτ' αὐτοῦ M. νοέῃ] νοήσῃ Θ. νοέει EMN. 6 βάλληται] βάληται N. ὁ δ'] Vulgo ὅδ'. τὸν αὐτὸν N. Vulgo τὸν αὐτὸν. 7 συνιέντα] συνιόντα M. 9 μήθ' εὑρόντος M et inter versus LN. Legebatur μήτ' εἰπόντος. ὁ μὲν αὐτὸς] ὁ μὲν αὐτῷ N. αὐτῷ superscriptum in L. ὁ εὖ εἰπών· εἰ δὲ βούλει ἐκείνως, ὁ μὲν εὖ εἰπών in margine habet N. 10 ὃς αὐτὸς ΘLN. Legebatur ὃς αὐτῷ, quod ex correctione habet L. ὃς αὐτὸ E. ὡς αὐτὸς M. 11 νοήσῃ] νοήσει ELMN. F. μετείληφεν ἐν τῷ δευτέρῳ ἔπει τὸν εὖ εἰπόντα. in secundo versu istius loco assumsit auctorem rectorum consiliorum, quamvis in eo, quod, loco inventoris vel observatoris, ponit rectorum suasorem, non alium, sed eiusdem ponat. Reisk. τὸν αὐτὸν] τὸ αὐτὸν L apud Iebbium. 14 δ' αὖ] δὲ αὖ L. γίγνεται N. Vulgo γίνεται. γὰρ τοῦ Iunt. γὰρ που LMN. γὰρ ποῦ Iebb. 16 τέχνη] τέχνην Canterus. τῆς δάφνης] Theogon. v. 30.

διενεγκόντες ἄνθρωποι καὶ νικήσαντες ἀνεῦρον τὸ ἐξ ἀρχῆς. οὐ γὰρ αἱ τέχναι τὰς φύσεις ἐποίησαν, ἀλλ' αἱ κράτισται φύσεις τὰς βελτίστας τῶν τεχνῶν εὗρον, ὥστε καὶ τῇ τάξει καὶ τῇ δυνάμει παρὰ τῇ φύσει τὰ πρεσβεῖα εἶναι. εἰ δὲ δὴ μηδ' ἁπλῶς ἀνθρώποις τὴν εὕρεσιν προστίθεμεν τῶν τεχνῶν, ἀλλὰ θεοὺς ἡγήσασθαι φαμὲν αὐτοῖς καὶ καταδεῖξαι, πῶς οὐκ εὔδηλον ὅτι πολλῷ τινος εἶναι νικῶντός δεῖ προσθήκην τὴν τέχνην; καὶ μὴν εἰ τοῦτο δῆλον ἅπασι καὶ πάντες ἂν συμφαῖεν μὴ θεοὺς παρ' ἀνθρώπων λαβεῖν τὰς ἐπιστήμας, ἀλλ' ἀνθρώπους παρὰ θεῶν, καὶ διδασκάλων μὲν ἐκείνους, μαθητῶν δὲ ἡμᾶς ἔχειν τάξιν, τοσούτῳ κρεῖττον, ὡς ἔοικεν, εὑρεῖν ἢ μαθεῖν, ὅσῳ κρείττων ἀνθρώπου θεός. οἱ μὲν γὰρ εὑρήκασιν ἅπαντα, ἡμεῖς δ', (46) οἶμαι, λαβόντες χρώμεθα. ὀρθῶς ἄρα καὶ δικαίως ὁ τοῦ Ἑλικῶνος πρόσοικος καὶ ὡς εἰκὸς ἦν τὸν αὐτὸν ἐκ θεῶν ἐπιπνοίας ταῦτα λέγειν εἰληφότα τὸν μὲν τοιοῦτον ἄνδρα ὡς θεὸν καὶ θεῶν ἐγγὺς πρῶτον καὶ κράτιστον ἔθετο ὃς αὐτὸς πάντα νοήσῃ, τὸν δ' ἀκούσαντα καὶ μαθόντα δεύτερον. ποῦ γὰρ ἄν τις καὶ κράτιστον θείη τὸν μαθόντα καὶ πῶς; οὐκ ἔστιν οὐδὲ βουλομένῳ, ἀλλὰ φύσει κεκώλυται, δικαίως, ὅτι καὶ νικᾶν πανταχοῦ φαμὲν τὴν φύσιν. εἰ γὰρ ἦν τὸ μαθεῖν ἄριστον καὶ πρῶτον, οὐδ' ἂν αὐτὸ πρῶτον τὸ μαθεῖν ἦν. ἐχρῆν γὰρ δή που μαθεῖν παρ' ἑτέρου. ὥστε οὐκ ἂν ἦν ὁ διδάσκων πρῶτος, εἰ τὸ μαθεῖν

---

27, 2 τὸ ἐξ ἀρχῆς L. Vulgo τοὐξαρχῆς. 3 φύσεις] φύσει L apud Iebbium. δὴ] δεῖ L. om. M. 9 ὅσῳ κρείττων L Iebb. ὅσῳ κρεῖττων (superscript ο) N. ὅσῳ κρεῖττον Iunt. 11 ἦν om. M. ἐπιπνοίας correctus L, qui ἐπινοίας habuit. 12 αὐτὸς LM Iebb. αὐτὸς, superscripto αὐτῷ, N. αὐτῷ Iunt. νοήσῃ Θ Iunt. νοήσει ELMN Iebb. 13 ποῦ correcti LN. Legebatur ὅπου, quod in margine habet L. Distinguo sic, ὅπου γὰρ ἂν τις πρῶτον καὶ κράτιστον θείη τὸν μαθόντα καὶ πῶς; ubi enim et qua ratione ponat aliquis eum, qui aliquid didicit, primo et summo loco? ut versu proximo superiore. οὐκ ἔστιν, οὐδὲ βουλομένῳ. fieri hoc nequit, etiamsi quis vel maxime velit. ἀλλὰ φύσει κεκώλυται. sed natura rerum intercedit. δικαίως. recte enim vero. Reisk. Interrogandi signum post πῶς L ab correctore habet. 15 οὐδ'] οὐδὲ ΘLN. αὐτὸ τὸ μαθεῖν ἦν πρῶτον M. πρῶτον idem valet atque τὴν ἀρχήν:

κρεῖττον καὶ πρῶτον ἦν. παρὰ τοῦ γάρ, ὦ καὶ σὺ τὴν ποικίλην κοσμήσας, ἀκούσῃ, τίσι πεισθῇ, εἰ κρείττων ὁ μαθὼν ἐστι τοῦ τὸ πρῶτον εὑρόντος, καὶ μὴ ἀνάγκη δεύτερος, εἴπερ τι μέλλει μαθήσεσθαι. πᾶς γὰρ ὁ μανθάνων ὡμολόγηκε δήπουθεν εἶναι χείρων αὐτῷ γε τῷ δεῖσθαι μαθεῖν· ὡς εἴ γε μὴ πείσειεν αὐτὸν δεῖσθαι πρότερον, πῶς ἂν μάθοι, ἢ πῶς ἄλλῳ γ' ἂν εἰπόντι πεισθείη; (4
28 οὐκοῦν ἄτοπον τόν γε αὐτὸν ὡμολογηκότα εἶναι χείρω, τοῦτον ἀμείνω καλεῖν, καὶ ταῦτα δι' αὐτὸ τοῦτ' ἐπαινούμενον, ὅτι ὡμολόγηκε χείρων εἶναι. ἢ κατὰ μὲν τὰς δωρεὰς οὐδαμοῦ κρείττων ὁ λαβὼν τοῦ δόντος αὐτῷ τῷ λαβεῖν, ἀλλὰ τὸ δοῦναι τοῦ κρείττονος εἶναι δοκεῖ, ἐν δὲ τοῖς μαθήμασι κρείττων ὁ προσέχων τὸν νοῦν τοῦ νοήσαντος αὐτοῦ καὶ παρασχόντος; καὶ μὴν ἐφ' οἷς ὁ λαβὼν ἄριστος πῶς οὐ πρῶτος ὁ ταῦτ' ἔχων ἐξ ἀρχῆς, καὶ διὰ τὸν χρόνον γέ που καὶ παρὰ τὴν αἰτίαν; ἔτι τοίνυν ἑνὸς ποιητοῦ τῶν ἀπὸ Βοιωτίας καὶ Ἑλικῶνος παρασχήσομαι μαρτυρίαν, ᾧ καὶ Πλάτων αὐτὸς τὰ πλείστου, φασίν, ἄξια χρῆται. οὗτος δέ, ὦ θεοί, καὶ μάλ' ἀποκαλύψας καὶ τῆς αὐτοῦ φύσεως καὶ Μούσης ὡς ἀληθῶς βοᾷ Στεντόρειον εἰς τοὺς ἀνθρώπους ὥσπερ σιωπὴν κηρύξας

Σοφὸς ὁ πολλὰ εἰδὼς φυᾷ·
μαθόντες δὲ λάβροι

---

prorsus nunquam exstitisset τὸ discere. Reisk. 17 παρὰ τοῦ γάρ, ὦ καὶ σὺ τὴν ποικίλην κοσμήσας, ἀκούσῃ. nam a quo audiet, dic mihi, amabo, tu, Plato, qui ipse quoque Poecilen illam porticum ornasti. Negat itaque a solo Polygnoto, qui Poecilen pinxit, illustratam eam porticum esse picturis, sed etiam literis ait a Platone illuminatam, unde colligitur etiam in stoa Platonem aliquando docuisse. Reisk. παρὰ τοῦ] Vulgo παρά του. ὦ N. ὦ Iunt. ᾧ Iebb. ὁ καὶ σοὶ corrigebat Canterus. τίσι] τί σοι N. εἰ] εἰ καὶ L. 19 ὡμολόγηκε correctus L, qui ὁμολόγηται habuit.

28, 1 αὐτὸν] αὐτὸν L, αὑτὸν corr. L. 2 ἢ] καὶ M. 3 τῷ λαβεῖν MN Canterus, Iebb. τὸ λαβεῖν Iunt. 4 προσέχων] προσανέχων (γρ. προσέχων) N. 5 καὶ παρὰ τὴν] καὶ διὰ τὴν M. Ad παρὰ in L superne adscriptum ἀντὶ διά. 7 τὰ] εἰς τὰ Reiskius. χρῆται] χρῆσθαι L. χρῆται corr. L. καὶ τῆς] τὸ τῆς Canter. αὐτοῦ corr. L. Scribebatur αὐτοῦ. 8 Post τῆς Μούσης deest τὸ κάλυμμα vel simile aliquid. ὡς ἀληθῶς pertinet ad Στεντόρειον βοᾷ. Reisk. Σοφὸς] Pindarus Olymp. II, 155. (94.

Digitized by Google

παγγλωσσίᾳ κόρακες ὣς ἄκραντα γαρύετον
Διὸς πρὸς ὄρνιχα θεῖον.

κοράκων φησὶν εἶναι φωνὰς τὰς τῶν μαθόντων καὶ παρ' ἄλλων εἰληφότων πρὸς ἀετὸν γιγνομένας τὸν φύσει νικῶντα καὶ ἐκ θεοῦ ῥήτορα καὶ σοφόν. ἑτέρωθι δ' αὖ βραχύτερον (48) μὲν, γνωρίμως δ' οὐχ ἧττον διαμαρτύρεται

Τὸ δὲ φυᾷ κράτιστον ἅπαν. .
πολλοὶ δὲ διδακταῖς
ἀνθρώπων ἀρεταῖς κλέος
ὤρουσαν αἱρεῖσθαι,

σφόδρ' ἀκολούθως ἀμφότερα εἰπών. ἐπειδὴ γὰρ τὸ μὲν κράτιστον ἐν τοῖς ὀλίγοις, τὰ δὲ φαυλότερα ἐν τοῖς πολλοῖς, ἀντιτέθεικε τῷ κρατίστῳ τὸ [πολλῷ] χεῖρον διὰ τοῦ τῶν πολλῶν ὀνόματος, ὡς ἐκεῖνο μὲν παντάπασι τινῶν ὀλίγων ὄν, τοῦτο δὲ εἰς τοὺς πολλοὺς ἀφικνούμενον. καὶ ἔτι πρὸ τούτων „Ἀγαθοὶ δὲ φύσει καὶ σοφοὶ κατὰ δαίμονα ἄνδρες ἐγένοντο,“ ὅμοιον καὶ τοῦτο τῷ ἑτέρῳ ῥήματι καὶ ταυτὸν λέγων. οὐ μὲν γὰρ διδακταῖς εἶπεν ἀρεταῖς, προσέθηκεν ἀνθρώπων, οὐ δὲ τὴν φύσιν πρεσβεύει, κατὰ δαίμονα, τούτους εἶναι τοὺς τῷ ὄντι ἀγαθοὺς καὶ σοφούς· εἰκότως· εἰ γὰρ ἐν αὐτοῖς τοῖς λόγοις τοὺς τὰ ὑφ' ἑτέρου εἰρημένα καὶ προκατειλημμένα κλέπτοντας καὶ διεξιόντας ὡς αὐτῶν οὐδεὶς οὕτω μαίνεται ὥστε βελτίους ἡγεῖσθαι τῶν οἴκοθεν εὐπόρων καὶ γονίμων εἰς τοὺς λόγους, ἀλλ' οὗτος κράτιστος παρ' ὅτῳ πλεῖστον ἔστιν εὑρεῖν τὰ δέοντα, πῶς (49)

---

Boeckh.) 9 παγγλωσσίᾳ] Scribebatur παγγλωσσίαι. παγγλωσσία ex correctione L, qui παγγλωσσίαι habuisse videtur. 10 ὄρνιχα Θ Iunt. ὄρνιθα L Iebb. φησὶν] φασὶν L. 11 ἑτέρωθι] Olymp. IX, 152. (107. Boeckh.) 12 ἅπαν] ἁπάντων M. 13 ἀνθρώπων] Id est ὑπ' ἀνθρώπων. virtutibus quae ab hominibus docentur. Reisk. αἱρεῖσθαι] ἐλέσθαι Pindarus. 14 τὸ πολλῷ ELMN. Legebatur τῷ πολλῷ. πολλῷ est delendum, natum e proximo πολλῶν. Reisk. 16 πρὸ τούτων] Ibid. v. 43. (30.) φύσει non est ab Pindaro. 17 καὶ τοῦτο ELMN Iebb. δὴ τοῦτο Iunt. δὲ τοῦτο Θ. λέγων corr. L, in quo λέγον fuit. 18 δαίμονα] δαίμονας N. δαίμονα καὶ τούτους κλέποντας M.

29, 1 ἑτέρου corr. L, qui ἑτέρων habuit. 2 ὡς αὐτῶν om. M. αὐτῶν Θ. Scribebatur αὐτῶν. 3 πλεῖστον] πλεῖστα, nisi πλεῖστον accipimus adverbialiter, ut plurimum, copiosissime, abundantissime. Reisk. ἔστιν om. E.



Digitized by Google

οὐ γελοῖον καὶ πάσης ἀλογίας μεστὸν τὸν ἐξ ἀρχῆς παρ' ἄλλων ἀκούσαντα καὶ μαθόντα ὅ τι χρὴ λέγειν θεῖναί ποτ' ἔμπροσθεν τοῦ φύσει κρείττονος. οὐκ ἔξω δ' ἵσταται τῆς ὅλης μαρτυρίας οὐδὲ τόδε „Ἐν ἔργμασι δὲ νικᾷ τύχα, οὐ σθένος·“ τὸ μὲν σθένος πρὸς τῆς τύχης τῆς ἀνθρωπίνης, τὴν δὲ τύχην πρὸς τῆς θείας μοίρας εἰ λάβοις. καίτοι εἰ ποιηταὶ μὲν οὐ τέχνῃ ποιοῦντες, ὥς φησιν ὁ Πλάτων, ἀλλ' ἐκ θεοῦ τυγχάνοντες κάτοχοι παιδεύουσι τοὺς ἐπιγιγνομένους, οὐ μόνον τοὺς καθ' ἑαυτούς, παιδεύοντες δὲ μαρτύρονται καὶ διορίζονται τοῦ μηδενὸς ἀξίαν εἶναι τὴν τέχνην πρὸς τὸ τῆς φύσεως κράτος καὶ τὰ ἀπὸ τῶν θεῶν· καὶ ἐν ἔργοις καὶ ἐν λόγοις διὰ τῶν ποιητῶν μαρτυρεῖ Πλάτων, προσθήσω δ' ὅτι καὶ δι' ἀμφοτέρων οἱ θεοί, καὶ Πλάτωνος καὶ τῶν ποιητῶν, ὅτι ῥητορικὴ καλὸν καὶ θεῖον, εἰ καὶ τέχνῃ μὲν ἀνθρώποις μὴ παραγίγνεται, φύσεως δ' ἐστὶν ἔργον ἀνδρείας καὶ βλεπούσης νικᾶν. εἰ τοίνυν μήτε ποιητῶν μηδένα μηδὲν εἰρηκέναι τοιοῦτον μήτ' αὐτὸν Πλάτωνα μαρτυρεῖν ἡμῖν θείη τις μήτε δι' αὐτοῦ μήτε διὰ τῶν ποιητῶν, ὃ σαφῶς οὑτωσὶ φαίνεται ποιῶν, εἰς αὐτόν γ' ἂν τις βλέψας τὸν τοῦ πράγματος λόγον οὐ χαλεπῶς ἴδοι συκοφαντίαν, ἀλλ' οὐκ ἔλεγχον οὐδὲ πίστιν ἐνοῦσαν τῇ παρ' αὐτοῦ βλασφημίᾳ.

---

5 ἔξω δ' ἵσταται] ἔξω ἐξίσταται L (corrector ἔξω διεξίσταται). τόδε] Fragm. 16. p. 565. ed. Boeckh. 6 ἔργμασι N Opor. et Photius Bibl. p. 435 a, 29. ed. Bekker. ἑρμάσι Θ. ἕρμασι L. Legebatur ἅρμασι. οὐ σθένος — τέχνης] In L fuit οὐ σθένος. πρὸς τῆς τέχνης: corrector οὐ σθένος. τὸ μὲν σθένος. ἢ ἴδιον πρὸς τῆς τέχνης. τὸ μὲν] μὲν om. EMN. τέχνης LN. Legebatur τύχης. τὴν δὲ τέχνην] τύχην in Θ ex correctione est: fuit ψυχήν. 7 ὥς φησιν ὁ] ὥς φησι Θ. 8 κάτοχοι addidi ex EN. Potest vulgata defendi et in τυγχάνοντες subaudiri τῆς παιδείας. acceptam a diis disciplinam tradunt posteris. vel etiam potest τοῦ ἀληθοῦς subaudiri, incidentes in verum, aut τοῦ σκοποῦ, metam ferientes fortuito. v. p. 34, 13. facile tamen amplectar supplementum quod codex dat, κάτοχοι. Reisk. ἐπιγιγνομένους LMN. Scribebatur ἐπιγινομένους. 10 καὶ ἐν λόγοις καὶ ἐν ἔργοις N. δ'] δὲ ΘLN. 11 τῶν ποιητῶν] τῶν om. E. 12 παραγίγνεται] Scribebatur παραγίνεται. F. βλεπούσης εἰς τὸ νικᾶν, victoriam appetentis. Reisk. 14 οὑτωσὶ N cum Reiskio, qui interpretatur tam perspicue. Legebatur οὗτοσί. αὐτόν] ταὐτόν L. 15 ἴδοι] ἴδῃ M. αὐτοῦ]

τίς γὰρ οὐκ οἶδεν ὅτι κἀν τοῖς σώμασιν οὔτε τὸ κάλλος οὔτε τὸ μέγεθος οὔτε ἡ χάρις τέχνης ἔργον ἢ ποίημά ἐστιν, οὐδ' ἀπὸ χειρῶν ἢ λόγου τινός, ὡς ἂν εἴποιμεν, ἀπαντᾷ; ἀλλ' ἐπαλεῖψαι μὲν ταῦτα καὶ θεραπεῦσαι τῆς τέχνης εἶναι δοκεῖ, συστήσασθαι δ' ἐξ ἀρχῆς οὐδεμία οὕτω τέχνη ἂν εἴη δεινή. οὐκοῦν διακόνου καὶ θεραπαίνης τάξιν ἔχειν προσήκει τῇ τέχνῃ, τὴν φύσιν δ' ἐν σχήματι δεσποίνης τετάχθαι, εἰ μὴ καὶ τοὺς σκευοφόρους πρὸ τῶν ὁπλιτῶν τάττοιμεν ἄν. ἀλλ' οὐκ ἄξιον. πῶς γὰρ οὐκ ἄτοπον τοὺς μὲν γονέας τιμᾶν καὶ τοῖς πρεσβυτέροις ὑπανίστασθαι νομίζειν, τὴν δὲ φύσιν τὴν τοσοῦτον προτέραν φαύλου λόγου νομίσαι παρὰ τὴν τέχνην, ὥσπερ ἂν εἴ τις τὰ ὑποδήματα κρείττω τῶν ποδῶν, τὴν δ' ἐσθῆτα τοῦ σώματος κρίνοι τιμιωτέραν; καὶ ὡς ἔοικε τὰ μὲν χρήματα τῶν ποριζόντων αὐτὰ καὶ κτωμένων ἀτιμότερα ἡγούμεθα, ἡ δὲ τέχνη κρείττων τῆς εὑρούσης φύσεως καὶ ἧς ἔργον ἐστὶ νομισθήσεται. ἄλογον μένταν εἴη κατ' αὐτὸ τὸ παρά- (51)
δειγμα, ἐπὶ μὲν τῶν κτημάτων καὶ τῶν οὐσιῶν βελτίω νομίζειν χρηματιστὴν τὸν αὐτὸν πορίσαντα καὶ συλλέξαντα τοῦ κληρονομήσαντος ἕτερον, ἐν δὲ τοῖς λόγοις καὶ τοῖς πράγμασι μὴ τὸν φύσει προέχοντα πρεσβεύειν, ἀλλ' ὅστις

---

αὐτῶν N.  17 λόγος hic non est sermo, sed ratio, observatio et demonstratio constantis perpetuae regulae, item ratiocinium, doctrina, quae verbis traditur. Reisk.  18 ἐπαλεῖψαι] Verbum hoc h. l. non inungere, fuco incrustare, expingere, ornatu externo atque doloso ad faciendam fraudem amicis, sed accendere, stimulare, incitare, inflammare, adhortari. Simile e palaestra ductum, ubi pugiles in pugnam congressuri corpora dant iatraliptis inungenda. Hinc ungere aliquem super aliqua re, aut ad eam, est ad id strenue, acriter, praeclare agendum inflammare. Dicam pluribus ad Polybium. Reisk.  θεραπεῦσαι] καθαρεῦσαι N.

30, 4 τὴν δ' ΘLMN Soph. Aberat δ'.  5 κρείττω LMN Iebb. κρεῖττον Iunt.  6 κατ' αὐτὸ — βελτίω in margine habet N.  8 ἕτερον ΘE. ἑτέρον[ου] N. Legebatur ἑτέρου. Ex coniectura correxerat Reiskius.  προέχοντα hic non significat *praeeuntem*, sed *praehabentem*, h. e. prius habentem, prius puta quam alter, aut prius quam ipsi communicaretur vel tribueretur. Reisk.

παρ' ἄλλου φαίνεται μετειληφώς, καὶ μηδ' ἐκεῖν' ὁρᾶν, ὅτι οὐ μόνον ἐξ ἀρχῆς αἱ φύσεις τὰς τέχνας συνεστήσαντο, ἀλλὰ καὶ περὶ αὐτὰς τὰς τέχνας οἱ τῇ φύσει νικήσαντες διενηνόχασιν. ἕνεκα μὲν γὰρ τῆς τέχνης πάντας ἔδει παραπλησίους εἶναι τοὺς ταὐτὰ μαθόντας, οἶμαι δὲ καὶ χείρους τοὺς δευτέρους ἀεὶ τῶν προτέρων, ἕως εἰς τὸ λυθῆναι τὴν τέχνην ἀφίκετο· οὐ γὰρ ἂν ἦν πάντῃ λαβεῖν ἀκριβῶς παρ' ἑτέρου λαμβάνοντα, ἀλλ' ἔδει διαφυγεῖν ἀεί τι· ῥώμῃ δὲ, οἶμαι, φύσεως καὶ περιουσίᾳ τὴν δόξαν οἱ κρατήσαντες εἰλήφασι· καὶ οὐδεὶς τὸν Δαίδαλον οὐδὲ τοὺς ἄνω θαυμάζει παρὰ τὸν Φειδίαν, ἀλλὰ τοὐναντίον ἐκ μικρῶν καὶ φαύλων τὸ κατ' ἀρχὰς εἰς μεῖζον καὶ τελεώτερον αἱ τέχναι κατέστησαν. αὐταῖς τοίνυν, ὡς ἔοικε, ταῖς τέχναις οὐ λυσιτελοῦν φαίνεται τὴν τέχνην πρὸ τῆς φύσεως (5 τετιμῆσθαι. οὔκουν προελθεῖν γ' ἂν αὐταῖς ἦν, οὐδὲ τυχεῖν τοῦ νῦν σχήματος οὐδὲ σεμνύνεσθαι. ἀλλ' οἶμαι, οὐχ αἱ τέχναι τοὺς ἄνδρας ἦραν μεγάλους, ἀλλ' οἱ τῇ δυνάμει πρωτεύσαντες ἐντίμους τὰς τέχνας ἐποίησαν, οὐ μείναντες ἐφ' ὧν παρέλαβον. εἰ δὲ τοῦθ' ἅπασιν εὔδηλον,

31 εἰ καὶ μὴ πρότερον, ἀλλὰ νῦν γε εἰρημένον, οἱ μέγιστοι τῶν ἐν ταῖς τέχναις οὐχ ᾧ μετεσχήκασι τῆς τέχνης μέγιστοι γεγόνασιν, ἀλλ' ᾧ τὴν τέχνην παρεληλύθασι. διὰ ταῦτα καὶ συμφοιτητῶν οἱ μὲν χείρους, ἀλλὰ καὶ κρείττους, ὁ Φειδίας, ὁ Ζεῦξις, ὁ Ἱπποκράτης, ὁ Δημοσθένης, ὅντινα βούλεται θαυμάζειν τις. οὐ γὰρ ὥσπερ ὅροις τακτοῖς ἐνέμειναν, οὐδ' ἐν μικρῷ τὰ σφέτερ' αὐτῶν ἦγαγον, οὐδ' ὡμολόγησαν ὑπὸ τῆς τέχνης ἄρχεσθαι, ἀλλ' ἐνδόντες τῇ

---

9 μετειληφὼς] προειληφὼς L, μετειληφὼς correctus L. 13 ἂν ἦν] ἦν ἂν L, ἂν ἦν corr. L. ἂν om. EMN. 14 διαφυγεῖν] διαφεύγειν L. διαφεύγειν N. 15 ἄνω] ἄνωθεν L. 16 τοκαταρχὸς ΘLN. τελεώτερον] τελειότερον LN. 17 τετιμῆσθαι] προτετιμῆσθαι L, προτιμᾶσθαι N. τιμᾶσθαι M. 18 σεμνύνεσθαι] σεμνύνασθαι N.

31, 1 γε om. M. ταῖς τέχναις] ταῖς om. E. 2 συμφοιτητῶν ELMN lebb. συμφοιτῶν Iunt. 3 ἀλλὰ καὶ] οἱ δὲ N: quod superscriptum in L In E ita hic locus amplificatus est διὰ ταῦτα καὶ τῶν καθηγητῶν οἱ μὲν κρείττους, καὶ τῶν συμφοιτητῶν οἱ μὲν χείρους, ἄλλοι δὲ καὶ κρείττους, ὁ φειδίας —. οὐδ' ἐν] οὐδὲ M. μικρῷ] σμικρῷ N. 5 σφέτερ'] σφέτερα N. ἐνιδόντες] F. ἐν-

φύσει τῶν λόγων, οἱ δὲ τῶν πραγμάτων, παῖδας τοὺς πρὸ αὐτῶν ἀπέδειξαν, καὶ μάλ' ἀναγκαίως καὶ κατ' αὐτὴν τὴν φύσιν. ἐπειδήπερ καὶ λόγων καὶ πραγμάτων ἁπάντων καὶ θεῶν καὶ ἀνθρώπων ἡγεμών ἐστι φύσις, οὐ τέχνη, καὶ τὰ πράγματα οὕτως ἔχει, ὡς ἡ φύσις αὐτῶν ἔχει, (53) οὐχ ὡς ἡ τέχνη. ἀλλὰ καὶ ἡ τέχνη τῆς φύσεώς ἐστιν, οὐχ ὡς ἡ φύσις τῆς τέχνης ἔργον· νὴ Δί' ἔγωγ' ἂν εἴποιμι καὶ εὕρημα καὶ κτῆμα τὴν τέχνην εἶναι τῆς φύσεως. ἅ τις εἰ μὴ παραδέξεται, τοὺς πρώτους εὑρόντας αὐτὰς τὰς τέχνας τοῦ μηδενὸς ἀξίους εἶναι κρινεῖ. καὶ πρεσβεύων τὴν τέχνην ἀτιμάσει τοὺς πατέρας τῶν τεχνῶν. διὰ τί; ὅτι οὐ χαλκευτικὴ χαλκευτικὴν εὗρεν οὐδ' ἰατρικὴ ἰατρικὴν, οὐδὲ ἁπλῶς εἰπεῖν οὐδεμί' εὗρε τέχνη τέχνην, ἀλλὰ πάσας τὰς τέχνας, ὅπερ εἶπον, ἡ φύσις εὗρεν. εἰ γὰρ αἱ τέχναι τὰς τέχνας ἔμελλον εὑρήσειν, οὐκ ἂν ἦν λαβεῖν τὴν ἀρχήν. οὐ γάρ πω τεχνῶν οὐσῶν οὐκ ἂν ἦν τέχνην εὑρεῖν· τῇ γὰρ μὴ οὔσῃ πῶς ἐνῆν εὑρεῖν; εἰ δ' αὖ τὸ φύσει γιγνόμενον φαυλότερον τῆς τέχνης, πάντες ἂν οἱ πρῶτοι τὰς τέχνας εὑρόντες ἦσαν φαυλότατοι· πάντες γὰρ φύσει τὰς τέχνας εὗρον τὸ ἐξ ἀρχῆς. οὐκοῦν καὶ κατὰ τοὺς εὑρόντας ἐξ ἀρχῆς καὶ κατὰ τοὺς ὑπερέχοντας ἡ φύσις νικᾷ. καὶ μὴν εἴ τις ἐξετάζοι τί ποτ' ἐστὶν ᾧ στρατηγὸς στρατιώτου διαφέρει, καὶ ὅλως ἄρχων ἰδιώτου, τοῦτ' (54) ἂν εὕροι προφαινόμενον, ὅτι ἄρχοντος μέν ἐστι προστάξαι,

---

δόντες, h. e. εἴκοντες. Reisk. Sic scholiasta p. 397, 10. 6 αὐτῶν N. Scribebatur αὐτῶν. 7 κατ' αὐτὴν τὴν φύσιν] κατὰ φύσιν N. καὶ πραγμάτων ἁπάντων] ἁπάντων καὶ πραγμάτων N. ἁπάντων inter versus scriptum in L, om. M. 8 θεῶν] θείων E. ἀνθρώπων] ἀνθρωπίνων E. ἡγεμὼν addidi ex N. καὶ τὰ — ἡ τέχνη in margine habet L. 9 F. οὐχ ὁμοίως δὲ καὶ ἡ φύσις. quamquam non nescio Aristidem haud raro ὡς pro οὕτως vel ὁμοίως usurpare, ut e. c. p. 36, 5. ὡς δ' αὖ *pari modo, e contrario.* sed ibi longe alia est ratio. Reisk. οὐχ ὡς ἡ φύσις] ὡς om. E. 10 Ἀγάθων φησὶ ὁ τῆς τραγῳδίας ποιητὴς, τύχη τέχνην ἔτευξεν, οὐ τέχνη τέχνην. margo E. 11 ἅ τις] ὅ τις N. παραδέξεται] παραδέξηται N. (ου written above) πρώτους] πρώτως Θ. 13 οὐδ'] οὐδὲ L. οὐδεμί'] οὐδεμία N. 16 αὖ τὸ ELN (αὐτὸ L apud Iebbium) Iebb. αὖ τῇ Iunt. 17 εὗρον τὸ] εὕροντο LN. 18 ὑπερέχον-

ἀρχομένου δ' ἀκούσαντα ποιῆσαι. οὐκοῦν προστάττει μὲν
32 ὁ εὑρών, ὁ δ' ἀκούσας μανθάνει. εἰ γάρ τις μὴ εὕροι ὅ τι χρὴ ποιεῖν, πῶς ἂν ἄλλῳ προστάξειεν ἃ χρὴ ποιεῖν; εἰ γὰρ αὐτὸς ἀκούσας ἄλλου προστάξειεν ἃ χρὴ ποιεῖν, πείσεται πρότερον ἢ προστάξει. τοῦτο δ', ἕως ἂν ἄρχων ᾖ, τῶν ἀδυνάτων. προστάττειν μὲν γὰρ ἦν τοῦ γε ἄρχοντος, οὐ πείθεσθαι, οὐδέν γε μᾶλλον ἢ καὶ διδασκάλου πείθεσθαι τοῖς μαθηταῖς ἐστί. φαίνεται τοίνυν καὶ κατὰ τοῦτον τὸν λόγον ἡ μὲν φύσις ἄρχοντος χώραν ἔχουσα, ἡ δ' ἐκ τοῦ μαθεῖν τέχνη διακόνου καὶ πειθομένου τῷ κρείττονι. καὶ μὴν κἀκεῖνό γε ἐν τοῖς ἄνω λόγοις ἦν, ὡς θεοὶ μὲν εὗρον καὶ κατέδειξαν ἕκαστα, ἄνθρωποι δὲ λαβόντες παρὰ θεῶν χρώμεθα, ἄλλοις ἄλλων ἑρμηνεῦσαι χρησάμενοι. τίς ἂν οὖν λόγος μᾶλλον σώσειε τὸ γιγνόμενον ἢ τῷ πιστεῦσαι δικαιότερον ἢ ᾧ θεοὺς μὲν εὑρεῖν ἕκαστα τίθεμεν καὶ νῦν ἔτι σημαίνειν, πάλιν δ' ἀρχῆς ἴδιον φαμὲν εἶναι τὸ εὑρεῖν καὶ προστάξαι, τὸ δ' ἀκοῦσαι καὶ (55) μαθεῖν τοῦ χείρονος, οὔτε γὰρ δή που θεῶν ἅπανθ' εὑρόντων αἰσχρὸν ἄρχοντος θεῖναι τὸ εὑρεῖν, εἴπερ ἄρχουσιν οἱ θεοὶ πάντων, οὔτ' ἀρχῇ τοῦ προστάξαι προσήκοντος αἰσχρὸν εἰς θεοὺς ἀνενεγκεῖν τὴν εὕρεσιν, εἴπερ εὑρόντος μέν ἐστι σημῆναι, εὑρίσκει δὲ ὁ κρείττων ἀεί. εἶεν. δεσπότης δ' οἰκέτου τῷ διαφέρει πρὸς θεῶν; οὐ δεσπότου μὲν προστάξαι, δούλου δ' ὑπακοῦσαι πᾶς τις ἂν φήσειεν εἶναι; οὐκοῦν ὁ μὲν οἶδεν ἐφ' ἑαυτοῦ τί χρὴ ποιεῖν, ὁ δὲ ἀκούσας μανθάνει. τί δὲ ὁ τῶν παρθένων ἐπαινέτης τε καὶ σύμβουλος λέγει ὁ Λακεδαιμόνιος ποιητής;

---

τας LMN Soph. Iebb. ὑπάρχοντας Iunt. 20 ποιῆσαι] προστάξαι M.

32, 2 ἃ χρὴ] ὅτι χρὴ MN. εἰ γὰρ — χρὴ ποιεῖν om. M, in margine habet N. 3 δ' ἕως ἂν] δὲ ἂν M et corr. N, qui primum habuit δέως ἂν. 5 καὶ κατὰ] καὶ om. M et deletum est in N. ἡ δ' ΘL. Scribebatur ἡ δὲ. 7 ἕκαστα] ἅπαντα N. γρ. ἕκαστα in margine. 8 σώσειε] σώσῃ EL. σώσοι M. σώσει L ex correctione. 9 ἴδιον] αἴτιον L, ἴδιον corr. L. 11 εἴπερ LMN Iebb. οἵπερ Iunt. οὔτ' ἀρχῇ] οὔτ' εἰ ἀρχῇ N. 12 θεοὺς] θεὸν L. 13 Pro εὑρίσκει substituendum esse verbum σημαίνει res ipsa loquitur. Reisk. 15 ἐφ'] ἀφ' N. ἐπαινέτης om. L apud Iebbium. 16 ὁ Λακεδαιμόνιος ποιητής] Alcman.

Πολλὰ λέγων ὄνυμ' ἀνδρὶ, γυναικὶ δὲ Πασιχάρηα· πολλὰ, φησὶν, ὁ ἀνὴρ λεγέτω, γυνὴ δὲ οἷς ἂν ἀκούσῃ χαιρέτω. ἆρ' οὖν οὐκ εὔδηλον ὡς ὁ μὲν αὐτὸς εὑρηκὼς καὶ προειδὼς ἐρεῖ πολλὰ, ἣ δ' ἄρχεσθαι προσήκει, στέρ-
33 ξει τοῖς λεγομένοις; οὐ γὰρ δή που τῆς γε γυναικὸς ἀκοῦσαι περιμένων, εἶτ' ἐρεῖ πρὸς τὴν γυναῖκα αὐτὸς τί δεῖ ποιεῖν· οὐδ' ὡς ἐκέλευεν Ἡσίοδος, ἵνα ἤθεα κεδνὰ διδάξῃ (56) τοῖς ἐκείνης λόγοις ἀκολουθῶν. ἀλλ' εἴπερ διδάξει, προστάξει· εἰ δὲ προστάξει, τῆς ἑαυτοῦ φύσεως ἐγγύτατα ἄξει τὴν γυναῖκα, ὡς ἀμείνων χείρονα. ὅσῳ τοίνυν θεὸς μὲν ἀνθρώπου, ἄρχων δ' ἰδιώτου, δεσπότης δ' οἰκέτου, γυναικὸς δ' ἀνὴρ κρείττων καὶ τελεώτερος, τοσούτῳ κρεῖττον καὶ ἱκανώτερον φύσις ἢ τέχνη, ἢ κομιδῇ πάντ' ἄνω καὶ κάτω γένοιτ' ἄν. ἔτι τοίνυν κἂν ἀπὸ τῶν ἐναντίων τις αὐτὰ λόγων ἴδοι. εἰ μὲν γὰρ ἅπαντας τοὺς ἐπὶ τῶν τεχνῶν ὡμολογεῖτο εἶναι σπουδαίους, ἢ πᾶσαν πάντως τέχνην ἀγαθὸν, τάχ' ἄν τις ὥσπερ ἔλεγχον εἶναι ταῦτα φήθη. νῦν δὲ τίς οὐκ οἶδε πολλοῖς ὄνειδος τὴν τέχνην οὖσαν; οἷον τοὺς σκυτοδέψας καὶ σκυτοτόμους καὶ γναφεῖς καὶ νευρορράφους τίς ἂν εὐδαιμονίσειε τῆς τέχνης; καὶ μὴν οὐκ ἐμὸς ὁ μῦθος, ἔφη ὁ Πλάτων, τὸ τοῦ Εὐριπίδου προσπαίζων, ἀλλ' ὑμέτερος, ὦ Πλάτων, καὶ τοῦ σοῦ νὴ Δί' ἐργαστηρίου, καὶ τὰς τέχνας ταύτας βαναύσους καὶ τοὺς

---

ὄνυμ'] ὄνυσιμ' (sic) corr. L. 17 Πασιχάρηα Hermannus. πᾶσι χαρήα Θ. πάσῃ χάσῃ χαρῆα M, nisi quid Iebbii operae peccarunt. πάσῃ χαρήα Iunt. πάσῃ χάρηα Iebb. πάσῃ χαρηὰ L.

33, 1 τῆς γε] τῆς τε L. 2 γυναῖκα αὐτὸς] Litteris β α superne positis transponenda indicantur in N. ἐκέλευεν] ἐκέλευσεν M. Ἡσίοδος] Ἔργ. v. 697. ἵνα delendum et deinde διδάξει in indicativo modo legendum. Reisk. 4 ἄξει] εἴξει E. 6 κομιδῇ om. M. πάντ'] πάντα ΘLN. γένοιτ'] γένοιντ' L. 8 πάντως τέχνην ΘLN. Legebatur τέχνην πάντως. 9 σκυτοδέψας καὶ exciderunt ex Iebb. In LMN Soph. scriptum σκυτεῖς καὶ σκυτοδέψας καὶ. 10 γναφεῖς LN, var. lect. Canter., Iebb. γραφεῖς Iunt. καὶ γναφεῖς om. M. εὐδαιμονίσειε] εὐδαιμονῆσαι N. Debuit εὐδαιμονίσαι. 11 ἔφη ὁ] ὁ om. LMN. Πλάτων] Sympos. p. 177 a. Εἰπεῖν οὖν τὸν Ἐρυξίμαχον ὅτι Ἡ μέν μοι ἀρχὴ τοῦ λόγου ἐστὶ κατὰ τὴν Εὐριπίδου Μελανίππην· οὐ γὰρ ἐμὸς ὁ μῦθος, ἀλλὰ Φαίδρου τοῦδε, ὃν μέλλω λέγειν. 12 Δί' L. Vulgo Δία.

Digitized by Google

ἐπ' αὐτῶν ἀνδραποδώδεις εἶναι. οὐκοῦν ἄτοπον καὶ περιφανὴς συκοφαντία τοῖς μὲν ἃς εἶπον τέχνας εἰδόσι καὶ (57 τοῖς ἄλλας μυρίας μηδενὸς ἀξιοῦν μετεῖναι χρηστοῦ παρὰ τὴν τέχνην, εἰ δέ τις μὴ τέχνῃ τι μετέρχεται, διὰ τοῦτ' αὐτὸν ψέγειν ὡς ἑνὸς τῶν βεβαίως καλῶν στερόμενον, καὶ τοὺς αὐτοὺς ὑμᾶς ἅμα μὲν μηδένα ποιεῖσθαι τῆς τέχνης λόγον, ἀλλὰ καὶ προφέρειν αὐτὸ τοῖς πολλοῖς, ἅμα δὲ ὡς καθαρῶς ἀγαθὸν τὸ αὐτὸ τοῦτο σεμνύνειν, ὅ τι ἂν μὴ τέχνῃ γίγνηται κακίζοντας. καὶ μὴν ἑλοῦ γε δυοῖν θάτερον, εἴποι δικαίως ἂν ἡ ῥητορική, ἢ καὶ τοὺς χειροτέχνας ὡς καλοὺς κἀγαθοὺς τιμᾶν, ἢ τούς γε ῥήτορας μὴ ψέγειν, εἰ μὴ τέχνην κέκτηνται περὶ ὧν λέγουσιν.

34 ἆρ' ἔχει τινὰ καὶ ἡ ῥητορικὴ τὸν ἐροῦνθ' ὑπὲρ αὐτῆς παρασχέσθαι, ἢ ταῦτα ἴσα ἀντ' ἴσων; οὐκ ἄν,' οἶμαι, φήσειεν ὁ Ὁμηρικὸς Ἰδομενεύς. ἃ μὲν οὖν, εἰ καὶ μὴ τέχνην εἶναι δοίημεν αὐτήν, ἔχοι τις ἂν λέγειν ὑπὲρ αὐτῆς πολλὰ ἀφελόντι τῶν ἐπιόντων τοσαῦτα καὶ τοιαῦτά ἐστιν. ἴσως δέ τις οἰήσεται τούτων οὕτως ἀποδεδειγμένων τὸ φαυλότερον σπεύδειν ἡμᾶς λοιπόν, ἐὰν ὅτι καὶ τέχνη διδάσκειν πειρώμεθα. ἐγὼ δὲ οὔτε τῶν εἰρημένων οὐδὲν μετατίθεμαι οὔτε Πλά- (58 τωνι συγχωρῶ τὸ μηδὲν μετεῖναι ῥητορικῇ τέχνης, ἀλλ' ὅσον' αὐτῇ τέχνης, χρήσομαι γὰρ τοῖς Πλάτωνος αὐτοῦ ῥήμασι, τοῦτ' ἐπέξειμι. ὅπερ δὲ ἐν τοῖς ἄνω, τοῦτο κἀνταῦθα ποιήσω, αὐτοῖς οἷς εἴρηκε Πλάτων ἀκολουθῶν ἐπιδείξω μετέχουσαν τέχνης. καίτοι τί ἂν ἄλλο τις βού-

---

13 περιφανὴς συκοφαντία] συκοφαντία περιφανὴς LN. 15 αὐτὸν] αὐτὸ ΘLN. αὐ E. ψέγειν] λέγειν E. 16 ποιεῖσθαι τῆς τέχνης] τῆς τέχνης ποιεῖσθαι L. αὐτὸ] Videatur αὐτὴν legendum esse, ut ad τέχνην referatur. Sed αὐτὸ bene habet, ut e versu proximo apparet, ubi αὐτὸ τοῦτο repetitur. Quapropter dicendum est illud ab auctore esse ad τὸ σημαινόμενον, id quod designavit, relatum, et subaudiri debere τὸ μετέχειν τέχνης. Reisk. 17 γίγνηται] γίνηται L. γε om. M. 18 κἀγαθοὺς LN. Scribebatur καὶ ἀγαθούς.

34, 1 τινὰ καὶ ἡ om. M. 2 ἔχοι] ἔχει L. 3 αὐτῆς] αὐτῆς N. ἀφελόντι] ἀφιέντι E. τῶν ἐπιόντων] Quamquam eorum quae commentanti succurrebant et velut mentem atque linguam obruebant, multa omisi. Reisk. 4 οὕτως om. E. 5 Πλάτωνι] In Phaedro. 6 Post τέχνης videtur μέτεστι

λοιτο; φησὶ γὰρ δή που διαβάλλων αὐτὴν ὅτι στοχάζεται καὶ προάγει τοὺς λόγους οὕτως ὅπως ἂν στοχάζηται. καίτοι πῶς οὐχ ὑπεναντίον φάσκειν μὲν στοχάζεσθαι, λέγειν δ' ὡς οὐ χρῆται λόγῳ δι' αὐτὸ τοῦτο; πάντες γὰρ οἱ στοχαζόμενοι δή που τῷ λόγῳ προσάγοντες αὑτοὺς οὕτως στοχάζονται. οὐ γάρ ἐστι μὴ λόγῳ χρώμενον στοχάζεσθαι, ἀλλ' ὁ τοῦ πράγματος λόγος οὗτός ἐστιν ὁ ποιῶν στοχάζεσθαι. οἷον οἱ τῶν πόρρωθεν ὁρωμένων στοχαζόμενοι καὶ τυγχάνοντες ἀναφέροντες οἶμαι πρὸς τὴν φύσιν οὕτως στοχάζονται, καὶ τούτῳ χρώμενοι τῷ λόγῳ, καὶ ὡσπερεὶ σκοπῷ τούτῳ στοχάζονται. ὡς οἵ γ' ἀποτυγχάνοντες ἀρχὴν οὐδὲ στοχάζονται, ἀλλ' αὐτὸ τοὐναντίον τῷ στοχάζεσθαι ποιοῦσι. τὸ γὰρ στοχάζεσθαι τοῦτ' ἐστὶ τυχεῖν τοῦ πράγματος. οὐκοῦν οὐχ ᾧ στοχάζεται ἁμαρτάνει τις, ἀλλ' ᾧ διήμαρτεν οὐκ ἐστοχάσατο. (59) εἰκότως· οὐδεὶς γὰρ ἁμαρτάνει λόγῳ χρώμενος, ἀλλ' ἅμα ἐσφάλη καὶ τὸν λόγον οὐ διεσώσατο. ὁ γὰρ λόγος ταύτην εἶχε τὴν δύναμιν, μὴ διαμαρτάνειν, καὶ τοῦθ' οὕτως ἀληθές ἐστιν ὥστε οἱ φρονιμώτατοι τῶν ἀνθρώπων καὶ λόγου πλείστου μετέχοντες ἄριστα στοχάζονται. ὥστ' εἰ τὸ στοχάζεσθαι τῆς ῥητορικῆς ἐστιν, ἐπὶ πλεῖστον ἡ ῥητορικὴ σώζει λόγον. τοῦτο μὲν οὖν ἐξ αὐτῶν ὧν εἴρηκε συγκρουόμενον οὕτω φαίνεται. θαυμάζω δὲ ὅπως οὔτ'

---

deesse. Reisk. 7 ἐν τοῖς ἄνω] P. 10, 3. 9 προάγει] προάγει N. προσάγει L apud Iebbium. Sententia postulat προσάγειν τοῖς λόγοις τοὺς ἀκροατὰς οὕτως ὅπως ἂν στοχάζηται. v. versu 11. Reisk. στοχάζηται] στοχάσηται LMN. 11 τῷ λόγῳ — χρώμενον στοχάζεσθαι in margine habet N, qui proxima ἀλλ' ὁ τοῦ — ποιῶν στοχάζεσθαι plane omisit cum M. οὕτως] οὕτω ΘLN. 13 οὕτως E. Vulgo οὕτω. 14 F. λόγῳ, ὡσπερεὶ σκοπῷ, οὕτω στοχάζονται. Reisk. καὶ ὡσπερεὶ σκοπῷ τούτῳ στοχάζονται om. M. τούτῳ] τοῦτο N. 15 τῷ στοχάζεσθαι] τοῦ στοχάζεσθαι MN. τυχεῖν] τὸ τυχεῖν N. γρ. τυγχάνειν margo N. 16 οὐχ add. ELMN Opor., var. lect. Cant., Iebb. om. Iunt. 18 διαμαρτάνειν] διαμαρτεῖν M. ἀληθές] ἀληθῶς M.

35, 1 ὥστ' εἰ LN. Vulgo ὥστε εἰ. 2 ἐστιν om. M. ἐπὶ (ἐπὶ om. M.) πλεῖστον] Aut ὅτι πλεῖστον est legendum aut τὸν λόγον. Reisk. 3 εἴρηκε] εἴρηκα N. συγκρουόμενον] Potest hoc verbum gemino modo accipi; uno secum pugnans, altero, ut Cante-

Digitized by Google

ἔγνω οὐδ' ἐστοχάσατο ὅτι καὶ χωρὶς τοῦ τἀναντία συνθεῖναι καὶ χρήσασθαι σημείῳ τοῦ μὴ τέχνην εἶναι, ἃ τοῦ τέχνην μᾶλλον εἶναι σημεῖόν ἐστι, δι' ἑνὸς καὶ μόνου τούτου δώσει λαβὴν, εἰ δοίη τῆς ῥητορικῆς εἶναι τὸ στοχάζεσθαι. φέρε γὰρ πρὸς θεῶν εἴ τις αὐτὸν ἤρετο ὡδὶ λέγων κατ' αὐτὸν ἐκεῖνον, Τοξικὴν δέ τινα, ὦ Πλάτων, οἶσθα τέχνην, ὅσον εἰπεῖν, ἢ καλεῖς; τὴν μὲν γὰρ πολιτικὴν ἐπιστήμην πᾶσαν διελήλυθας καὶ τὰ μόρια αὐτῆς εὕρηκας ἀκριβῶς. Ἔγωγε, εἶπεν ἄν, οἶδα καὶ καλῶ. Τίς οὖν ἐστιν αὕτη καὶ τί ἐπαγγέλλεται; Τοῦ σκοποῦ τυχεῖν ἐν τῇ τῶν βελῶν ἀφέσει. Καλῶς. οὐκοῦν ὁπόταν στοχάσηται, τότε (60) τυγχάνει. Πῶς γὰρ οὔ; Πότερον οὖν οὐκ ἔστι τέχνη διὰ τὸ στοχάζεσθαι, ἢ τούτου καὶ ἔστι τέχνη τοῦ στοχάζεσθαι; Ἐγὼ μὲν οἶμαι τούτου. Εἶεν. τί δ' ἡ κυβερνητική; ἐμοὶ μὲν γὰρ δοκεῖ τοῦτο ὅπερ ἡ τοξικὴ καὶ αὐτὴ πράττειν, κατὰ γοῦν τὸν λόγον ᾧ χρῆται. στοχάζεται γὰρ, οὐ μὴν ὡς βέλει τυχεῖν, οἶμαι, ἀλλ' ὡς ἐκ τῆς θαλάττης σῶσαι. ὅσα μὲν γὰρ δεῖ μαθεῖν ἐν παιδείᾳ τὸν κυβερνήτην οἶδε καὶ ἀκήκοε. σώζει δὲ οὐ τούτοις τὸ σύμπαν

---

rus accepit, *hoc ex ipsius verbis concluditur.* In illo ductum est simile a vasis testaceis inter se collisis, eoque crepitantibus et confractis; in hoc a fabris massam ferri candentem ictibus malleorum contundentibus et solidantibus, vel potius duas pluresve laminas cudendo conferruminantibus. Reisk. 4 χωρὶς τοῦ] τοῦ om. L. 5 „*μᾶλλον recenti manu scriptum agnoscunt LN. Deest in M.*“ Iebb. In N fuit *εἶναι μᾶλλον*, sed *μᾶλλον* expunctum est. Ex L ego nihil enotatum habeo. *δι' ἑνὸς καὶ* Reiskius. Legebatur *καὶ δι' ἑνός.* 6 τὸ *στοχάζεσθαι*] τὸ om. ΘN. 7 *ὅσον εἰπεῖν* om. M. *ὅσον εἰπεῖν* recte habet. Sententia est, nostine artem iaculandi saltim *ὅσον εἰπεῖν*, *nomine tenus*, h. e. quatenus eam homines appellant. non iam scire ex te volo teneasne tu artem iaculandi usu ita ut etiam metam aut feram ferire possis, sed solummodo hoc te rogo, sitne tibi huius artis nomen notum. Sed pro ἢ malim *κτλ. καὶ καλεῖς* propter sequens versu 8. *οἶδα καὶ καλῶ.* quamquam quis imponat auctoribus necessitatem semper eodem modo loquendi? Reisk. 8 *εὕρηκας enarravisti.* Reisk. 10 *πότερον* ΘLN. Legebatur *πότερ'*. 11 *μὲν*] *μὲν οὖν* L. *τούτου*] *τοῦτο* N. *εἶεν* om. M, expunctum habet N. *δ' ἡ*] *δὲ* E. 12 *ἡ τοξικὴ καὶ*] *καὶ ἡ τοξικὴ καὶ* MN. 13 *βέλει*] *βέλη* L. 14 *ἐν παιδείᾳ*] *ἐκ παιδείας* N. *ἀκήκοε* Θ. Vulgo *ἀκήκοεν.* τὸ *σύμπαν εἰπεῖν τὴν* om. M. τὸ *σύμπαν*] Ut universe dicam.

Digitized by Google

εἰπεῖν τὴν ναῦν, ἀλλ' οἷς εὖ τίθεται τὸ παρόν. τοῦτο δὲ ἀμήχανον αὐτῷ χωρὶς τοῦ στοχάζεσθαι. σκόπει γὰρ πρῶτον μὲν, εἰ βούλει, τοὺς εἰς Αἴγιναν διακομίζοντας, ὅτι ὁρῶσι τὴν Αἴγιναν· πρὸς ὃ οὖν ὁρῶσι στοχάζονται· ἔπειτα τοὺς εἰς τὸν Πόντον, εἰ δὲ βούλει, τοὺς εἰς Αἴγυπτον καὶ τὴν οὐδὲ σοί ποτε ἀήθη Σικελίαν· τούτους γὰρ καὶ παντάπασιν εὑρήσεις στοχαζομένους. πρῶτον μὲν γὰρ αὐ-
36 τοῦ δεῖ τοῦ ποῦ ποθ' ὁ σκοπὸς στοχάσασθαι, καὶ ὃ τότ' ἦν παρὰ τῶν ὀφθαλμῶν, τοῦτ' εἰκάσαι τῷ λογισμῷ· ἔπειτα φανέντος αὖθις στοχάζεσθαι πρὸς τὸ ὁρώμενον. (61)
φέρε γὰρ τὸν Ὀδυσσέα παρὰ τῆς Καλυψοῦς ἀκηκοότα πλεῖν ὅτι χρὴ τηρεῖν τὴν ἄρκτον ἐπ' ἀριστερὰ χειρὸς ἔχοντα. οὐκοῦν τὰ καθ' ἕκαστα καὶ δι' ὧν εἶσιν ἡ ναῦς αὐτὸν ἤδη δεῖ συλλογίζεσθαι· πολλὰ γὰρ ἂν πελάγη περάσαις καὶ πολλοὺς ἂν εἰς τόπους καὶ λιμένας κατάραις ἐπ' ἀριστερὰ τὴν ἄρκτον ποιησάμενος, ὡς δ' αὖ καὶ ἐπὶ δεξί',

---

h. e. in illa scientia sola, quam gubernator a magistro accepit navis gubernandae, omnia non insunt, si me omnia vis nominare, quae navi gubernandae conducunt. vel potius τὸ σύμπαν hic loci est τὸ κεφάλαιον, summa rei, praecipuum momentum. si vis ex me id audire, in quo situm est maximum momentum. Reisk.

τὸ σύμπαν] τὸ πᾶν N. γρ. σύμπαν margo N. 15 αὐτῷ] αὐτὸ N. 16 διακομίζοντας] κομίζοντας M. ὅτι om. E. 17 τὸν Πόντον] τὸν om. N. 19 ποθ'] πῶς L. καὶ πῶς M.

36, 1 ὃ τότ'] ὅ τι τὸ πότ' L. ὁ πότ' MN. καὶ ὃ τότ' ἦν πρὸ τῶν ὀφθαλμῶν. et quod in superiore exemplo gubernatorum puta ex Attica in Aeginam transvehentium erat in oculis. v. p. 35, 16. ubi dicit ὁρῶσι, cernunt oculis insulam, id nunc in his longinquioribus itineribus cum non vident, coniectura aestimant ubi sit. Reisk. παρὰ] πόρρω var. lect. Canter. 2 ὀδυσσέα παρὰ MN. Legebatur Ὀδυσσέα στοχάζεσθαι παρά. Locus Homericus est Odyss. ε, 277. 3 πλεῖν] πλέοντα E. οὔκουν Canterus. Scribebatur οὐκοῦν. 5 ἀριστερὰ] ἀριστερᾶ L. ὡς δ' αὖ καὶ ἐπιδέξι τῇ φάρου τυχεῖν superscripta habet N, in quo ita hic locus legitur ποιησάμενος. οὐ γάρ ἐστι λιμένος ἐπιτηδείου ἢ φάρου τυχεῖν. Sic etiam E. F. ὡς δ' αὖ καὶ ἐπιδέξια. ὥστε οὐκ ἔστιν οὐδὲ Φάρου τυχεῖν οὐδὲ πορθμοῦ διὰ βιβλίου. ex quo colligitur e solo libello nautico, quo praecepta navigandi tradita et cautiones praescriptae, et locorum situs indicati sint, gubernatorem nullum posse, ne Pharum quidem unum aliquem —. Reisk. 6 ἐπὶ δεξί' ὥστε lebb. ἐπιδεξί' ὥστε lunt. ἐπὶ δέοντι, omisso ὥστε, L. γράφει ἐπὶ δεξιᾷ ὥστε

ὥστε Φάρου τυχεῖν, οὐδὲ πορθμοῦ διὰ βιβλίου· ἀλλ' ἀνάγκη τὰ ἐπὶ μέρους στοχάζεσθαι. φέρε γάρ, τί μαθόντες νῦν μὲν εἴσω τοὺς οἴακας ἄγουσι, πάλιν δὲ εἰς τὰ ἔξω τῆς αὐτῆς ἡμέρας; οὐχὶ τοῦ ὁρωμένου στοχαζόμενοι, ἢ τοῦ μέλλοντος ὀφθήσεσθαι; τοῦ δὲ χάριν παρὰ τῶν ἐντυχόντων ποῦ θαλάττης εἰσὶν ἢ πρὸς τίνι γῇ πολλάκις πυνθάνονται; οὐχ οἵ γε ἀκριβεῖς, ἐρεῖς. τίς δ' ἀνθρώπων ἀκριβὴς ἢ διαρκής; οὐκοῦν οὐδὲ τεχνίτης οὐδεὶς τῷ λόγῳ τούτῳ. εἰ δὲ τοῦθ' οὕτως ἔχει, τί δεινόν, εἰ μηδὲ ῥήτωρ τεχνίτης διαρκὴς μηδείς; καὶ μὴν εἰ μὲν τὸ κυβερνᾶν τέχνη, κἂν ἐπὶ τοῦ κεκλημένου κυβερνήτου μὴ σώζηται, τί κωλύει καὶ ῥητορικὴν τέχνην εἶναι, κἂν παρὰ τοῖς (62) ῥήτορσιν εἶναι φάσκουσι μὴ σώζηται; εἰ δὲ δὴ καὶ περὶ τούτων διαλέγει τῶν κυβερνητῶν ὧν τις πυνθάνεται παρ' ἑτέρου τι καὶ ζητεῖ, οὐ γὰρ περί γε τοῦ Ποσειδῶνος, οὐδὲ τῶν Νηρηίδων, οὐδὲ τῶν Διοσκούρων, ὅμως δ' αὐτοῖς ἀποδίδως εἶναι κυβερνήταις, ὡς ἄνθρωπος ἀνθρώποις, καὶ τέχνην ἔχειν τὴν κυβερνητικήν, τούτοις ἅπασίν ἐστι τὸ στοχάζεσθαι, οἵ γε καὶ πρὶν ἀπαίρειν εὐθὺς κάθηνται στοχαζόμενοι περὶ τῶν πνευμάτων· οὐ γὰρ παρὰ τοῦ γε Διὸς ἤκουσαν ἐπὶ τῆς Ἴδης ἢ τοῦ Γαργάρου, ἀλλ' οἶμαι ἐξ ἀρχῆς εἰς τέλος στοχάζονται ἀνέμων λιμένων εἰ φθή-

---

(ὥστε ab rec. m.) margo L. ἔξω φέρου ex M attulit Iebbius. Φάρου] Vide Odyss. δ, 355. διὰ — ἀλλ' om. M. F. πάλιν δὲ τί (scil. μαθόντες) ἔξω. sine εἰς. aut eo servato πάλιν δὲ εἰς τὰ ἔξω. Reisk. τὰ ἔξω] τὸ ἔξω Θ. τοὔξω N. 10 ἢ διαρκής] καὶ διαρκὴς M. 11 μηδὲ ῥήτωρ] μὴ καὶ ῥήτωρ E. μὲν in N deletum. 12 κεκλημένου] Sic correctum in L, qui κεκλεμμένου praebet. 13 Loco καὶ suadeam κἂν. distinguo enim sic. εἰ δὲ δή, κἂν περὶ —. quod si vero, etiamsi (vel etiam tum, cum) de illis gubernatoribus loqueris, qui — nihilominus tamen ipsis tribuis hanc appellationem —. Erit itaque κἂν h. l. idem atque καὶ ἄν, id est καὶ ὅταν, et δὲ versu 15. elegans solummodo, nullo modo autem necessaria, Herodoto et Homero perquam usurpata repetitio praemissi δὲ versu 13. erit itaque dictio εἰ δὲ δή, κἂν διαλέγῃ — ὅμως δ' ἀποδίδως tantundem atque εἰ δὲ δὴ καὶ διαλεγόμενος — ὅμως ἀποδίδως. Reisk. 14 διαλέγει] Scribebatur διαλέγῃ. περί] παρά Soph. N et correctus L. 15 νηρηίδων N a pr. m., Canterus, Iebb. ἡρωίδων Θ Iunt. 16 ἔχειν ELN Iebb. et Canterus. ἔχει Iunt. 18 γε om. M. 19 περὶ λιμένων εἰ

37 σονται πάντων ὡς ἔπος εἰπεῖν. ὥστε σοι τὸ τοῦ μορίου εἴδωλον σκιᾶς ὄναρ εἰς ἔλεγχον κατὰ Πίνδαρον γίγνεται. πρὸς Διὸς, ἡ δὲ τῇ δικαιοσύνῃ ἀντίστροφος ἰατρική σοι καὶ δεύτερον ἀγαθὸν τῷ σώματι, εἰ δὲ βούλει, καὶ ἡ γυμναστικὴ, πότερον οὐ στοχάζονται τῆς φύσεως τῶν σωμάτων; νὴ Δία, ἐάν τε εἴπῃς γε, ἐάν τε μή. ἢ πρόοιδεν ὁ γυμναστὴς εὐθὺς ἐξ ἀρχῆς ὅπως ἡμῶν ἕκαστος ἔχει σώματος, οὐ παρὰ τῆς πείρας μανθάνει; τί δ' ἐπειδὰν πρὸς (88) τοῦτο γυμνάζῃ, πρὸς ὃ πειρᾶται, πότερ' ὥσπερ ὁ Ἀπόλλων ὁ ἐν Δελφοῖς, οὕτως ἐξεπίσταται τὸ μέλλον, καὶ δισχυρίζεται τὸν ἄνδρα τόνδε ἐκ τῶνδε πανταχῇ καὶ πάντως ἀπαθῆ καταστήσειν ἢ καθάπαξ ἢ ποσόν τι χρόνου; οὐκοῦν ἢ μὴ στοχαζόμενον μαινόμενον τὸν γυμναστὴν λέγεις, ἢ σωφρονῶν αὐτὸς ὁμολογήσει στοχάζεσθαι τοῦ βελτίστου, τοιοῦτον δ' οὐδὲν ἔχειν προειπεῖν οὐδ' ἐπαγγείλασθαι. εἶεν. ὁ δὲ δὴ τῆς μὲν πείρας εἰς πίστιν ἰσχύσας καὶ τοῖς φαρ-

---

ἐφθήσονται Canterus. πάντων ΘΝ. Legebatur πάντως. Vera est lectio πάντων. Aptum est hoc πάντων e στοχάζονται. gubernatores coniectant de ventis (quinam sibi sint occursuri) de portubus, sintne eo perventuri (certo quodam tempore) ut brevis sim, de rebus si fas est dicere omnibus. εἰ φθήσονται idem est atque εἰ ἥξουσι πρὸς αὐτούς. Reisk.

37, 1 τὸ τοῦ μορίου εἴδωλον] I. e. ῥητορική: vide p. 6, 16. Πίνδαρον] Pyth. VIII, 136. (99. Boeckh.) γίγνεται] γίνεται L. 3 ἐάν τε] ἐάν τις EN. εἴπῃς] εἴπῃ E et, ut opinor, N. 4 τε μή] τε καὶ μή L Soph. ἢ] καὶ N. πρόοιδεν] προοῖδεν LN. εὐθὺς ἐξ] εὐθὺς καὶ ἐξ ΘELN. σώματος] τοῦ σώματος EN. 5 δ'] δὲ L. γυμνάζῃ] γυμνάζει N. F. γυμνάσῃ πρὸς ὃ πεπείραται. postquam eum illo modo et ad eum finem exercuit, quem suadebat corporis eius indoles experimentis cognita. aliter enim exercendi sunt bene valentes, aliter tabidi, aliter calculosi, aliter alii, ut e Mercurialis Gymnasticis constat. Reisk. 7 ἐκ τῶνδε] Fore ut ab hoc vel illo morbo liberetur per gymnasticam et ab eo liber et intactus permaneat, aut in perpetuum, aut ad certum tempus. Reisk. 8 ἢ μή] Legebatur εἰ μή. „Legendum est ἤ. est enunciatio e genere disiunctorum. aut furit gymnasta, si non coniectat, aut, si recte sapit, coniectat." Reisk. στοχαζόμενον] τὸ στοχαζόμενον M. 9 στοχάζεσθαι] στοχάζεσθαι μὲν Reiskius. τοιοῦτον] τοιούτῳ M. ἔχειν Θ Iunt. ἔχει LM Iebb. In N ν cum charta evulsum. προειπεῖν] προσειπεῖν ΘL. οὐδ'] οὐδὲ N. 10 δή om. N. μὲν πείρας]

μάκοις καὶ ταῖς διαίταις ἤδη χρώμενος τούτοις ἰατρός, ὅπως δ' ἕκαστος ἡμῶν ἔχει φύσεως ἢ συγκρίσεως ἀγνοῶν, ἆρ' οὐ στοχαζόμενος προσάγει πάνθ' ὅσα ἂν ποιῇ περὶ τὸν κάμνοντα ἀναφέρων εἰς τὸ εἰκός; ἐγὼ μὲν οἶμαι. ἢ δύναιτ' ἄν τις αὐτῶν ἀποτόμως εἰπεῖν ὅτι τούτοις οὑτοσὶ χρώμενος ἔξω παντὸς ἔσται κινδύνου καὶ δυσχερὲς οὐδ' ὁτιοῦν πείσεται; οὐ μέντἂν τοσοῦτον ἐλείποντο τοῦ τὴν Ἐπίδαυρον ἔχοντος θεοῦ, φαίης ἄν, καὶ μάλα ἐμοὶ γοῦν κατὰ νοῦν. ἀλλ' ἀπὸ τῶν πολλῶν καὶ κοινῶν, οἶμαι, καὶ τὰ ἴδια εἰκάζουσιν. εἰ δ' ἄρα καὶ ἰδίᾳ τισὶ παρηκολούθησαν, πρὸς αὐτὴν τὴν πεῖραν στοχάζονται, τὸ μέλλον ἑκάστῳ (64 συνοίσειν ἐκλέγοντες. καὶ ταῦτα, ὦ Πλάτων, ταῖς
38 σαῖς ἀδαμαντίναις ἀνάγκαις ἀποδείκνυται. ὅτι μὲν γὰρ οὐ ταὐτὰ πᾶσι λυσιτελεῖ τοῖς σώμασιν οὔτε νοσοῦσιν οὔτε ὑγιαίνουσι λέγω, ἀλλ' ὥσπερ οὐ ταὐτὰ νοσοῦσί τε καὶ ὑγιαίνουσιν, οὕτω καὶ ἔτι μᾶλλον οὔτε ἐν ταῖς νόσοις ἅπασι ταὐτὰ οὔτ' ἐπὶ τῆς ὑγιείας αὐτῶν πεύσει τῶν ἰατρῶν. τὰς δ' ἁπάντων αὖ διελέσθαι φύσεις ἀδύνατον. ὥσπερ γὰρ ταῖς ἰδέαις διαφέρειν ἀλλήλων ἐν πᾶσιν ἀνθρώποις ἐστίν, οὕτως κἂν τῇ δι' ὅλου φύσει τοῦ σώματος ἄλλος

---

ἐμπειρίας correctus L, priore scriptura oblitterata. Fortasse sic legendum, ὁ δὲ ταῖς μὲν πείραις εἰς πίστιν ἰσχύσας καὶ τοῖς φαρμάκοις καὶ ταῖς διαίταις καὶ ἀσφαλῶς ἤδη χρώμενος τούτοις — medicus, qui saepius repetitis suarum medicationum experimentis tam per medicaminum quam per victus diversas rationes id consecutus est ut iis iam secure et fidenter utatur, quorum vires et eventa certo explorata et cognita habeat. Reisk. ἰσχύσας] Sic N correctus ex ἡσχυίας. ταῖς διαίταις] ταῖς om. M. 11 τούτοις expunctum in N. συγκρίσεως correctus L, qui συγκράσεως habuit. 14 δύναιτ'] δύναιτο N. δύναται ΘΕ. 14 ἐλείποντο] Subaudi εἰ τοῦτο ἠπίσταντο vel ἐδύναντο. si hoc possent, non essent Aesculapio tanto inferiores. Reisk. 15 ἐμοὶ γοῦν] Scribebatur ἔμοιγ' οὖν. πολλῶν] πολιτῶν L, litteris superscriptis (λων) a rec. m. 18 ἀποδείκνυται] ἀποδείκνυνται MN (apud Iebbium LM).

38, 1 τε καὶ] τε om. M. 2 F. οὔτε ἐν ταῖς αὐταῖς νόσοις ἅπασι λυσιτελεῖ ταὐτά, ne in iisdem quidem morbis conveniunt aegris eadem omnibus. Reisk. ὑγιείας] ὑγείας LN. πεύσει] Scribebatur πεύσῃ. 3 τὰς δ' ἁπάντων] δ' excidit ex Iebb. ταῖς ἰδέαις] ἐν ταῖς ἰδέαις M. 4 οὕτως E. Scribebatur οὕτω.

Digitized by Google

ἄλλου κεχώρισται διὰ παντὸς τοῦ γένους. ἀλλὰ μὴν τόν γε συντυχόντα καὶ δεηθέντα κελεύει θεραπεύειν ἡ τέχνη, κἂν ἐκ περάτων ἥκῃ τις ἀρτίως. τί οὖν δεῖ λοιπὸν ἢ στοχάζεσθαι; εἰ γὰρ μήτ' εἴσεται πάντας καὶ θεραπεύσει τὸν προσελθόντα, καὶ τοσοῦτον εἴσεται δή που, μὴ πᾶσι δεῖν τῶν αὐτῶν, ὃ λέγω λείπεται. ἢ σὺ τἀναντία δείξας μὴ σφυρήλατος σταθεὶς ἐν Ὀλυμπίᾳ μόνον, ἀλλὰ καὶ πομπείου τυχὼν Παναθηναίοις τοῖς μεγάλοις περίιθι. σκόπει δὴ καὶ περὶ τῆς γραφικῆς, ἣν εἰ καλεῖς τέχνην, οὐκέτ' (65) ἐρήσομαι· καλεῖς γὰρ ἐν αὐτοῖς γε τούτοις τοῖς Γοργιείοις λόγοις. ἆρ' οὖν ἄλλο τι ταύτης κεφάλαιόν ἐστι πλὴν στοχάζεσθαι τῶν ἀεὶ παρόντων καὶ ὧν ἂν τὴν μίμησιν δέῃ ποιήσασθαι; καὶ μὴν εἰ μὴ τοῦτο, τί ἕτερον; αὕτη γοῦν ἐστιν ἡ καὶ τὸ ῥῆμα πεποιηκυῖα τῷ πράγματι· αἱ γὰρ τῶν γραφέων εἰκόνες εἰκάζειν ἐποίησαν καὶ περὶ τῶν ἄλλων λέγεσθαι. εἰ δ' ἄρα πρότερον ἦν τὸ ῥῆμα τῆς τέχνης, ἔτι κάλλιον μαρτυρεῖται μόνου τοῦ εἰκάζειν εἶναι τὴν τέχνην, εἴπερ τὸ ἔργον αὐτῆς εἰκὼν εἶναι κρατεῖ. οὐ μὴν οἶμαι λόγου χωρὶς εἰκάζει, ἀρχὴν γὰρ οὐδ' ἂν εἴκαζεν, εἰ μὴ εἶχε δι' ὅτου, ἀλλ' εἰκάζει πρὸς τὸν τῆς φύσεως λόγον. εἰ δέ σοι φίλον καὶ περὶ τούτου φιλονεικεῖν, ἔχε τἄλλα

---

5 περάτων] τῶν περάτων N. 6 ἥκῃ] ἥκοι N. δεῖ LMN lebb. δὴ Iunt. 8 σταθεὶς] σταθῇς LM. πομπείου τυχεῖν dicitur aliquis, cuius simulacrum aureum vel argenteum inter simulacra deorum publica in pompa circumducitur aut gestatur. πομπεῖον est ferculum, machina lignea, in qua aliquid circumfertur. Reisk. 10 καλεῖς — λόγοις om. M, a rec. m. adscripta habet L, omisso γε. ἄλλο τι om. MN. 11 ἐστι ΘN. Vulgo ἐστιν. 12 ἡ καὶ τὸ] καὶ om. M; expunctum habet N. 15 ἀρχὴν — ἀλλ' εἰκάζει om. M, ut delenda notantur in N. οὐδ'] οὐχ L. δ' οὐκ N. 16 ἔχε τἄλλα] Scribebatur ἔχετ' ἄλλα. ἔχε τὰ ἄλλα ΘLN. 17 ὡς οὐχ LMN. Legebatur οὐχ ὡς. χρωμάτων] σωμάτων (γρ. χρωμάτων) N. 18 F. sic distinguendum, φύσεως. ἱκανῶς ταυτὶ μόνον. erit itaque haec sententia. habe tibi tu quidem reliqua omnia pro concessis; hoc unum tamen si satis et ut par est demonstraveris, quod ne nunquam facere possis vehementer metuo, mistionem puta colorum non esse artis, sed ne naturae quidem, ad certum finem adspirantis certasque leges sequentis, tum demum ut rhetoricam quamvis derideas per me licebit. Reisk.

ἡμετέραν χάριν, ἀλλ' ὡς οὐχ ἥ γε τῶν χρωμάτων κρᾶσις στοχαζομένης ἐστὶ τῆς τέχνης, καὶ οὐ τέχνης μόνον, ἀλλὰ καὶ φύσεως ἱκανῆς. ταυτὶ μόνον δείξας καταγέλα τῆς ῥητο-
39 ρικῆς. καὶ μὴν τό γε κάλλιστον τῆς τέχνης καὶ τελεώτατον καὶ ᾧ γραφικὴν ἢ πλαστικὴν εἶναι διαφέρει, τοῦτ' ἐστὶν ἡ τοῦ χρώματος δή που μίξις. ἐγγὺς γὰρ ἄγει τὸ εἰκασθὲν τῆς ἀληθείας. οὐκοῦν ᾧ μεγίστῳ προέχει, τοῦτ' ἀφαιρεῖς, ἐὰν μὴ λίπῃς τὸ εἰκάζειν. καὶ τί δεῖ τὰς ἄλλας ἐξετάζειν τέχνας ὅσαι διὰ τοῦ στοχάζεσθαι χωροῦσιν; αὐτὴ γὰρ ἡ μαντικὴ κινδυνεύει τοῦτ' εἶναι μόνον εἰκάσαι· καίτοι φαίη τις ἂν οὑτωσὶ σκοπῶν καὶ διαιρῶν ὅτι τούτῳ καὶ μόνῳ μάντιν ἢ ἰδιώτην εἶναι διαφέρει, τῷ τὸ μὲν εἰκάζειν ἁπάντων, τὸ δ' ἐπίστασθαι τοῦ μάντεως εἶναι· ἐγὼ δέ φημι τὸν μάντιν αὐτὸ τοῦτ' ἐπίστασθαι εἰκάσαι, πλέον δ' οὐδ' ὁτιοῦν. καὶ τούτου Πλάτωνα παρέξομαι μάρτυρα, κἂν μὴ φαίνηται μαρτυρῶν, ἔμοιγε πιστεύσῃ μηδείς. τὸ δὲ ἥδιστον τῆς μαρτυρίας, οὐ γὰρ ἐν ἄλλοις τισὶ δράμασιν ἢ λόγοις, ἀλλ' ἐν αὐτοῖς οἷς ἀρτίως εἰς ἑτέρων ἀπόδειξιν ἐχρώμεθα ἔνεστι διαῤῥήδην, ἐπεὶ τήν γε τῶν ἐμφρόνων ζήτησιν τοῦ μέλλοντος διά τε ὀρνίθων ποιουμένων καὶ τῶν ἄλλων σημείων, ἅτε ἐκ νοῦ καὶ διανοίας ποριζομένων ἀνθρωπίνῃ οἰήσει, οἰονοϊστικὴν ἐπωνόμασαν, ἣν νῦν οἰωνιστικὴν τὸ ω σεμνύνοντες οἱ νέοι κα-

39, 1 τό γε κάλλιστον LN. Aberat γε. τελεώτατον LMN Iunt. τελειώτατον Steph. Iebb. ἢ πλαστικὴν in margine ab rec. m. habet L. 2 τοῦ χρώματος] τῶν χρωμάτων. Pro vulgata possit hoc afferri, χρῶμα esse omne quod corpori aut rei illinatur colorandi causa. Reisk. 3 λίπῃς] λείπῃς N. 4 ἐξετάζειν τέχνας] τέχνας λέγειν LN. 5 καίτοι ΘLMN. Legebatur καί τι. 6 τῷ τὸ μὲν] τῷ τὸν μὲν Θ. 7 Hoc ipsum, de quo loquimur, scil. εἰκάσαι, probabili coniectura ductum opinari, scire unum solum, praeterea nihil scire quam opinari. Reisk. τοῦτ' N. Vulgo τοῦτο. δ'] δὲ LN. παρέξομαι Steph. Iebb. παρέξωμαι Iunt. πιστεύσῃ] πιστεύσει ΘMN. μηδείς] μηδεὶς μηδέν Reiskius. 9 ἄλλοις excidit ex Iebb. δράμασι] Dialogos Platonis recte δράματα appellat. Sunt enim ficta colloquia. Reisk. ἑτέρων] Subaudi πραγμάτων vel ἐγχειρημάτων vel et λόγων. Reisk. 10 ἐπεὶ τήν γε—] Vide supra p. 14, 8. 11 οἰονοϊστικὴν] οἰωνοϊστικὴν L. οἰωνιστικὴν (o superscr.) correctus L. οἰωνιστικὴν N. 12 οἰωνιστικὴν] ὠωνιστικὴν (γρ. οἰωνιστικὴν) N. τὸ ω] τῷ ω̃ L, ut supra p. 14, 10.

Digitized by Google

λοῦσιν. οὐκοῦν ὅτε τὴν οἰωνιστικὴν εἰκαζόντων εἶναι φῂς (67) τῶν ἀνθρώπων, οὐκ ἐκφεύγει μαντικὴ τὸ μὴ εἰκάζειν κατὰ τοῦτο, εἴπερ μέρος οἰωνιστικὴ μαντικῆς. καὶ μὴν ὅτι καὶ διὰ τῶν ἄλλων σημείων προστίθης αὐτός. τοῦτο δ᾽ ὅταν προσθῇς, ἅπασαν δίδως τὴν μαντικὴν εἰκασίαν εἶναι, καὶ μάλα ὀρθῶς κατὰ γοῦν τὴν γνώμην τὴν ἐμήν. οὐ γὰρ ὁμοίως, οἶμαι, οἵ τε θεοὶ τὰ μέλλοντα ἴσασι καὶ τῶν ἀνθρώπων ὅσοι φάσκουσιν. οἱ μὲν γὰρ ἃ μέλλουσι ποιεῖν ἐπίστανται, καὶ πρόκειται τὰ πράγματ᾽ αὐτοῖς ὥσπερ ἐν ὀφθαλμοῖς. διὰ τοῦτο „Ζεὺς ἐν θεοῖσι μάντις ἀψευδέστατος,“ καὶ ὅτι γε δι᾽ αὐτὸ τοῦτο ὁ αὐτὸς οὗτος ποιητὴς μαρτυρεῖ. τὸ γὰρ δεύτερόν ἐστιν αὐτῷ „καὶ τέλος αὐτὸς ἔχει.“ οἱ δ᾽ ὥσπερ ἐν σκότῳ τὰ πράγματα κρίνουσι, πρὸς τὸν ψόφον ἤ τι τῶν ἐκφανέντων, διηνεκὲς δ᾽ οὐδὲν ἔχουσι

40 προειπεῖν. τεκμήριον δέ· εἰ γὰρ μὴ φράσαις τὸ ἐρώτημα, οὐδὲν ἔχει σοι λέγειν περὶ ὧν εἶδε σημείων. ἀλλ᾽ ἀντὶ τοῦ περὶ τοῦ μέλλοντος ἔχειν εἰπεῖν οὐδ᾽ αὐτὸ τοῦτο οἶδεν ὅτου χάριν ἥκεις, εἰ μὴ πύθοιτο. οὐ γὰρ ἔγκειται τὰ πράγματα αὐτῷ προφαινόμενα, ἀλλὰ τὰς πίστεις τοῖς σημείοις προσά- (68) γων εἰκάζει πρὸς τὸν λόγον. καὶ οὐ μόνον κατὰ τοῦτ᾽ ἐλέγχεται στοχάσασθαι τοῦ μέλλοντος ὂν τὸ μαντεύεσθαι, ὅπερ καὶ τῶν ποιητῶν ἤδη τις ἐμαρτύρησεν, ἀλλὰ κἂν ἀποκρίνηται τὸ ἐρωτηθέν, εἰκάζει τὰ κύκλῳ πρὸς τὸ πρᾶγμα.

---

ὅτε τὴν] τὴν expunctum in N. 14 Aut ὅτι redundat, cum sit initium atque indicium recitationis verborum alienorum, aut subauditur ζητοῦσιν οἱ ἔμφρονες τὰ μέλλοντα. Reisk. ὅτι καὶ] καὶ om. M. προστίθης] προστίθεις N. 16 τὴν ἐμήν] καὶ τὴν ἐμὴν L apud Iebbium. 17 πράγματ᾽] πράγματα LN. 18 Ζεὺς ἐν θεοῖσι μάντις ἀψευδέστατος] Euripidis versus: vide scholia p. 402, 26. θεοῖσι] θεοῖς L. 20 ψόφον] λόφον E.

40, 1 προειπεῖν] προσειπεῖν L. λέγειν] προειπεῖν M. 2 περὶ ὧν] ὑπὲρ ὧν ELMN. εἶδε] οἶδε LM. 2 ἀντὶ] ἄν τι L. οὐδ᾽] οὐδὲ ΘN. 3 F. οὐ γὰρ ἔκκειται τὰ πράγματα αὐτὰ προφαινόμενα. Reisk. 4 πίστεις] πύστεις L (apud Iebbium N), altero superscripto. Recte videtur codex πύστεις dare. res interrogando comperiendas, seu quaesita, admovens ad signa, et cum illis haec comparans, ita elicit probabilem de futuris coniecturam. Reisk. 5 τῶν ποιητῶν ἤδη τις] Euripides, cuius versum μάντις δ᾽ ἄριστος ὅστις εἰκάζει καλῶς imitatus est Me-



Digitized by Google

νίκη πολέμου, καὶ τινὸς συμβάντος οὐκ οἶδεν, οὐδ' ἁπλῶς τῶν περὶ τὴν μάχην οὐδέν, ἀλλ' εἰκάζει. πάλιν ἢ πολιτῶν, ἢ τινων ἄλλων ἐπιβουλὴ, καὶ τὸν τρόπον οὐκ ἔχει φράσαι, ἀλλ' ὥσπερ τὰ ὀνείρατα οὕτως συμβάλλεται. τὴν δ' Αἰγυπτίων σοφίαν τίς οὐκ οἶδε τῶν ἐντετυχηκότων; ὡς ἅ γ' ἂν ἢ φοβήσῃ περὶ τοῦ μέλλοντος ἢ ὑπόσχηται, τόν γε τρόπον καὶ τοὺς τόπους καὶ τὸ μέτρον, οὐκ ἔχει διορίσασθαι ἀλλ' ἢ πλοῦτον, ἢ πενίαν, ἢ λύπην, ἢ χαρὰν, ἢ θάνατον, ἢ πράξεις, ἢ τὰ τοιαῦτα λέγει, αὐτὰ δ' ἕκαστα οὐ συνείληφεν, ἀλλὰ τὰ μὲν πρὸς τὸ μέγεθος τῶν φαινομένων, τὰ δὲ πρὸς τὰ νόμιμα εἰκάζει τὰ ἑκάστων, τὰ δὲ πρὸς τὰ ὅμοια, ἔστι δ' ἃ καὶ πλεῖστον ἀλλήλων κεχωρισμένα. πάν- (6 ταχοῦ δὲ τὴν ἐπίνοιαν παρακαλεῖ, ὅτι ταύτης καὶ μόνης καὶ μόνον εἶναι δοκεῖ τὸ εἰκάζειν, ἀλλὰ μὴ ἁπλῶς εἰπεῖν. οὐδὲν οὖν ἀλλ' ἢ εἰκάζουσα τῇ ἀληθείᾳ φαίνεται διὰ πάντων. τί δὲ περὶ ῥητορικῆς εἰ στοχάζεται θαυμάζεις; φαίνεται γὰρ ὁμοίως διακειμένη τῇ μαντικῇ, πλὴν ὅσον μαντικὴ μὲν ἀπήλλακται στοχασαμένη, ῥητορικὴ δὲ οὐ στοχάζεται μόνον τῶν πραγμάτων, ἀλλὰ καὶ πράττει διὰ

---

nander: vide Meinekium p. 78. 6 Post πολέμου deest aliquid, e. c. ἀλλ' ὅπου, καὶ ὅταν, item versu 7. post πάλιν aut rursus deest aliquid, aut loco primi ἢ legendum est εἰ num. Reisk. καὶ τίνος] καί τινος L. 7 πάλιν ad εἰκάζει refert N. 8 ἐπιβουλὴ] ἐπιβουλῇ N. οὕτως] οὕτως οὗτος E. οὕτω οὗτος, expuncto οὗτος, L. οὗτος οὕτως N. οὗτος οὕτω Iunt. Iebb. οὕτως οὗτοι M. οὗτος dele-ον vit Reiskius. 9 συμβάλλεται] συμβάλλεται N. Αἰγυπτίου] Plani, impostoris, aretalogi, arioli, qui e lineamentis vultus aut manus aut e themate natalicio fortunas simplici et credulae plebeculae praedicit Intelligimus hinc Aegyptios iam tunc temporis illas nugaces artes exercuisse, et veram eorum sobolem esse illos planos, quos Gallofranci *Giptiens* appellant. V. ad Dion. Cass. p. 935. ult. Reisk. Αἰγυπτίου est error typotheticus ed. Iebbianae. ἅ γ'] ἅττ' L. 11 ἢ λύπην ἢ πενίαν M. 13 ἀλλήλων rec. m. scriptum in L. 14 ἐπίνοιαν Θ Iunt. Steph. ἀπόνοιαν Iebb. F. praestat ἐπίνοιαν editionis Stephani, si ἐπίνοια hic accipitur pro sententia posteriore, priori subiecta. ut ἐπιμύθιον et ἐπίλογος. sed satius est hic me profiteri aquam mihi haerere. Reisk. καὶ μόνης EM. Aberat καί. 16 τί δὲ] τί δὲ δὴ E. δὲ] F. δαί. quare igitur miraris? Reisk.

Digitized by Google

41 τῶν ὑπηρετῶν ἅττ' ἂν εὑρίσκῃ βέλτιστα. ὥστε καὶ τὸν τῆς μαντικῆς ἐπέχει λόγον καὶ τὸν τῆς στρατηγικῆς, ἣν μηδὲν τῇ πολιτικῇ προσήκειν Πλάτων οὐκ ἐρεῖ. πῶς οὖν ῥητορικὴ πολιτικῆς μορίου εἴδωλον, εἰ μὴ οὕτως; ἀλλὰ μὴν οὕτω γε οὐκ εἴδωλον. εἶεν. αὐτοὶ δὲ οἱ στρατηγοὶ τί πράττουσιν, ὦ θαυμάσιε; οἶμαι μὲν οὐδὲν ἄλλο ἢ στοχάζονται οἵ γέ που βέλτιστοι καὶ φρονιμώτατοι καὶ τῆς τῶν πολεμίων διανοίας καὶ φύσεως τῶν σφετέρων στρατιωτῶν, καὶ τόπων γε οἶμαι καὶ καιρῶν. ἆρ' οὖν τοῦ μηδενός εἰσιν ἄξιοι χρῆσθαι; οὐκ οἶμαί γε. ἀλλὰ μὴν εἰ διὰ τοσούτων γε ὧν εἶπον τεχνῶν — τὰς γὰρ πλείους ἀφίημι — τὸ στοχάζεσθαι φαίνεται τῶν ἔργων ἡγούμενον (70) καὶ διὰ τούτου πάντα χωροῦντα, πῶς ἄξιον τούτῳ τὴν ῥητορικὴν ψέγειν; ἢ πῶς ὃ μόνον κοινόν ἐστι τῶν τεχνῶν ὡς εἰπεῖν, εἰς ἔλεγχον τοῦτο φέρειν, ὡς οὐ μετέχει ῥητορικὴ τέχνης; οὐδὲν γὰρ ἄλλο ἢ τοῖς συμβόλοις, δι' ὧν ἔδει γνωρίσαι καὶ παραδέξασθαι, τούτοις διαφθείρειν αὐτήν ἐστιν, ὅταν ταῦτά τις ἐγχειρῇ λέγειν. οὐκοῦν οὐχ ὅτι στοχάζεται, διὰ τοῦτο οὐ μέτεστι τέχνης αὐτῇ, ἀλλ' εἰ καὶ μὴ δι' ἓν τῶν ἄλλων πάντων, δι' ἓν τοῦτο μέτεστι τὸ στοχάζεσθαι, εἰ τοῦτ' ἀληθὲς εἴρηκε Πλάτων ὅτι δὴ στοχάζοιτο. τί δὲ τἄλλα λέγοι τις ἄν, ἀλλ' αὐτὴν τὴν πολυτίμητον εἴτ' ἐπιστήμην εἴτε σοφίαν χρὴ προσειπεῖν, οὐκ αὐτὸς, ὦ πρὸς θεῶν, εἰκάζειν περὶ τῶν μεγίστων ὁμολογεῖς, ὅταν γέ που φῇς μὴ εἶναι διισχυρίσασθαι, ἀλλ' ἀφίῃς

---

41, 1 ἅττ' Reiskius. Legebatur ἅτ'. 7 πλείους] πλείστας L.M. (στα) πλείους N. 9 F. πασῶν τῶν τεχνῶν ὡς εἰπεῖν. Reisk. 10 δι' ὧν] Legebatur καὶ δι' ὧν. „καὶ est delendum. τοῖς συμβόλοις est idem atque ἐκ τῶν συμβόλων. et διαφθείρειν accipio pro διαβάλλειν, per eadem illa signa infamare, quibus illam agnoscere et approbare debebat. γνωρίσαι, scil. ὅτι ἐστὶ τέχνη. Reisk. 12 μὴ δι' ἓν] μηδὲν ΘLMN. 13 τοῦτ'] τοῦτ' Θ. (το) τοῦτο L.N. τοῦτό γε M. ὅτι δὴ] τί δὴ M. 14 πολυτίμητον] πολιτίμητον L. 15 μεγίστων] Significat res divinas. nonne illam quae de rebus maximis disputat et tradit sive scientiam sive subtilitatem ingenii, mirificam coniectandi dexteritatem (haec enim est σοφία calliditas) appellare oportet. Reisk. φῇς] φάσκῃς N. διισχυρίσασθαι]

Digitized by Google

τῷ θεῷ, τἀκριβὲς εὖ ποιῶν καὶ φιλοσοφῶν ὡς ἀληθῶς; ἀλλ' ἐγώ, τοῦτ' εἰπέ μοι, πεισθῶ μηδὲν εἶναι τὸν Δία βελτίω τοῦ Σολέως σοφιστοῦ; ὦγαθέ, σκόπει μὴ πάντα τἀνθρώπεια ὅσον εἰκάσαι ᾖ, ἡ δὲ ἐπιστήμη καθ' Ὅμηρον ἐν Διὸς οὔδει μόνου. ὅτι τοίνυν ὅλως ἐστὶ σόφισμα τὸ
42 φάσκειν τὰ δοκοῦντα τοῖς πλήθεσι ταῦτα συμβουλεύειν (71
τοὺς ῥήτορας καὶ τούτου μόνου στοχάζεσθαι, εἰ καὶ μὴ παῖς ἐλέγξειεν, ἀλλ' ὅστις γ' εὖ φρονεῖ. ἐμοὶ μὲν γὰρ τοὐναντίον πᾶν φαίνεται, μήτ' ἐν τῇ τῆς ῥητορικῆς φύσει πλεῖον εἶναι μηδὲν ἢ τὸ μὴ τὰ δοκοῦντα τοῖς πλήθεσιν εὐθὺς ἐᾶν γίγνεσθαι μήθ' οἱ ῥήτορες ἄλλο τι μᾶλλον σκοπεῖν ἢ τὰ βέλτιστα, μήτε τοὺς δήμους αὐτοὺς τοῦτό γε ἐκφυγεῖν, ὡς οὐκ ἀμείνους σφῶν οἱ ῥήτορες λογίσασθαι περὶ τῶν πραγμάτων, καὶ πᾶσαν ὅλως τὴν τοῦ βίου σχέσιν καὶ τὴν τύχην· καὶ τοῦτ' ἐξ αὐτῶν τῶν τιμῶν εἶναι δῆλον ὧν αὐτοῖς ἀπονέμουσιν. εἰ γὰρ ἦν ἀληθὲς τοῦτο, ὃ Πλάτων αἰτιᾶται, καὶ μὴ τοὺς δήμους ἦγον οἱ ῥήτορες, ἀλλ' οὗτοι τῶν δήμων ἦσαν, πρῶτον μὲν τίς ἂν αὐτοῖς αἰδὼς καὶ τιμὴ παρὰ τῶν δήμων ἦν; ποῦ δ' ἂν προεδρίας ἢ τῶν ὑπὲρ τοὺς πολλοὺς ἔτυχον; οὐδεὶς γὰρ τοὺς διακόνους ὡς κρείττους αὑτοῦ θαυμάζει, οὐδὲ οὗ πρότερος

---

δυσχυρίζεσθαι N. 16 ἀφίης] ἀφίεις Θ. 17 Σολέως] σολέως N. (superscr. η, λωνος) ὦ 'γαθὲ N. Scribebatur ὦ ἀγαθέ. 18 Ὅμηρον] Iliad. ω, 527. μόνου] μόνον M. ὅλως om. M. expunctum habet N.

42, 1 F. ταῦτα μόνα συμβουλεύειν. Reisk. 2 ἐλέγξειεν] ἐξελέγξειεν Θ. πᾶν] ἅπαν N. 3 πλεῖον] πλεῖον N. ἢ τὸ μὴ τὰ] ἢ τὰ μὴ M. 4 γίγνεσθαι] γίνεσθαι L. μήθ' οἱ ῥήτορες] μήτε τοὺς ῥήτορας M. In L superscriptum μὴ τοὺς ῥήτορας. 5 οὐκ ἀμείνους] Videatur οὐκ esse delendum. sed post μὴ ἐκφεύγει redundat apud nostrum. Reisk. περὶ τῶν] τῶν om. M. 6 ὅλως] ἁπλῶς MN, superscriptum in L. 8 καὶ τιμὴ] ἢ τιμὴ M.

9 προεδρίας N. Scribebatur προεδρείας. Ad haec verba in N subnotatur ποῦ δ' ἂν πρεπον (superscr. τ) τῶν ὑπὲρ τούς. διακόνους] Huc usque N veteribus, diversis tamen, manibus exaratus est. Sequitur manus Antonii Damilae, de quo vide indicem librorum volumini primo praemissum. αὐτοῦ Θ Iunt. Steph. αὑτοῦ N Iebb. ἑαυτοῦ M. 10 οὗ] οὕτινος ἄνου margo N. αὐτοῦ] αὑτοῦ N.

Digitized by Google

περὶ τῶν πραγμάτων ἐντεθύμηται, τούτῳ τὴν αὑτοῦ γνώμην προστίθησιν. ἔπειτα τίς ἢ κῆρυξ ἢ πρεσβεία δεηθήσεσθαί ποτ' ἔμελλεν ἀνδρὸς ῥήτορος, εἰ τὰ δοκοῦντα τοῖς πλήθεσι συμβουλεύειν τῶν ῥητόρων εἶναι κατεδέδεικτο; τίς (72) γὰρ ἂν ἡ πόλις πέμπουσα τὸν τοῦ μηδενὸς ἄξιον θεραπεύειν εἵλετο, ἢ πρεσβευτὴς ἥκων προσῆλθεν ἄν ποτε τούτῳ τοῦ πεῖσαι χάριν τὸν δῆμον, εἰ τοῦ βίου κεφάλαιον ὃν ἠπίστατο ἅττ' ἂν ὁ δῆμος βούλοιτο, ταῦτα συμβούλεσθαι, καὶ περιμένειν τὴν ἐκείνου φωνήν, ὥσπερ τὴν τῶν διδασκάλων οἶμαι παῖδες; τοὐναντίον μέντἂν ἢ ἐπὶ τῶν χορῶν εἶχεν, εἰ μὴ οἱ πλείους ἔμελλον τὸν ῥήτορα ἀναμένειν, ἀλλ' ὁ ῥήτωρ ἐπεῖχεν ἕως ἂν ὁ δῆμος ἐπισημήνῃ. τίς δ' ἂν ἰδίαν ἢ δημοσίαν δίκην φεύγων δι' ὅτου νικήσει τῶν ῥητόρων ἐζήτησεν, εἰ τὰ δοκοῦντα τοῖς δικασταῖς ταῦτ' ἐρεῖν ἔμελλεν ὁ ῥήτωρ καὶ μηδ' ἁτιοῦν ἕτερον; οὕτω μέντἂν οἱ μάλιστα κινδυνεύοντες καὶ περὶ τῶν μεγίστων ἀγωνιζόμενοι πλεῖστον ῥητόρων ἠμέλουν. εἰσὶ μὲν γὰρ οἱ μάλιστα δή που κινδυνεύοντες οἷς χαλεπῶς ἔχει τὰ τῶν ἀκροωμένων καὶ οἱ ταῖς διαβολαῖς προκατειλημμένοι. εἰ

43 δὲ ἃ δοκοίη τοῖς ἀκροωμένοις, ταῦτ' ἔργον ἐπεποίηντο λέγειν οἱ ῥήτορες καὶ ταῦτ' ἐπῆυξον, Ἡράκλεις, ἣν αὑτῷ οἴκοθεν φέρειν τὸν ὄλεθρον, εἴ τις ἦγε ῥήτορα πρὸς τοιοῦτον πρᾶγμα ὥσπερ ἂν εἴ τις αὐτῷ τὸν δήμιον συνεισῆγεν. (73) ἆρ' οὖν ταῦθ' οὕτως ἔχει καὶ οἱ μάλιστα ἀποθανεῖσθαι

---

11 δεηθήσεσθαι LMN Iebb. δεήσεσθαι Iunt. 12 κατεδέδεικτο] καταδέδεικτο Θ. 14 τὸν δῆμον ΘELMN Opor. Legebatur τῷ δήμῳ. ἅττ' LN. Vulgo ἅττα. βούλοιτο] συμβούλοιτο M. 15 συμβούλεσθαι] συμβουλεύεσθαι LMN. 16 μέντἂν ἢ] μὲν ἢ E. 17 τίς δ' ἂν] τίς δ' ἂν ἐπ' ἂν Θ. τί δ' ἄν τις M. 18 νικήσει] νικήσοι M. ἐζήτησεν] ἐξήτησαν L. 21 Alias sunt οἱ ταῖς διαβολαῖς προκατειλημμένοι occupati calumniis illi, quorum animi calumniis insessi et adversus aliquem odio inflammati sunt, ut veritati et amori aditus nullus pateat: hic autem sunt denigrati calumniis, invidia publica laborantes, adversus quos ita exarsit populus, ut eos indicta et inaudita causa damnet. Reisk.

43, 1 καὶ ταῦτ'] καὶ ταῦτα Θ. 2 Ἡράκλεις] In N superscriptum φεῦ. ἣν αὐτῷ οἴκοθεν LMN. οἴκοθεν ἣν αὐτῷ ΘE Opor. Legebatur οἴκοθεν ἦν, omisso αὐτῷ. τοιοῦτον EN. Vulgo τοιοῦτο.

3 αὐτῷ Θ. Scribebatur αὑτῷ. αὐτοῦ L. συνεισῆγε Θ.

προσδοκῶντες καὶ οἷς πλεῖστος ἔπεστι φόβος μὴ τῶν ἴσων τεύξεσθαι, οὗτοι καὶ διαφερόντως ἀμελοῦσι τῶν ῥητόρων; οὐκ ἔστι ταῦτα. οὐχ οὕτω παράδοξα ἐρεῖ Πλάτων. ἀλλ᾿ ἐπὶ θύρας ἔρχονται, δέονται, προσκυλινδοῦνται, πάντων φάρμακον τὴν ῥητορικὴν εἶναι νομίζοντες, θανάτου, φυγῆς, αὐτῶν τῶν φόβων, δικαστῶν ὀργῆς, δήμου φιλονεικίας, πάντων. διὰ τί; ὅτι οὐ τὰ δοκοῦντα τοῖς καθημένοις ἴσασι λέγειν μελετῶντας τοὺς ῥήτορας, — οὐ γὰρ ἂν οὐδὲ αὐτὸ τοῦτ᾿ ἐνῆν λέγειν μελετᾶν αὐτοῖς, εἰ τοῦτο ἔμελλον — ἀλλ᾿ ἴσασιν αὐτοὺς πόρρωθεν προσέχοντας τοῖς πράγμασι καὶ μελετῶντας λέγειν ὡς ἡ τῶν πραγμάτων τάξις ἀπαιτεῖ, καὶ τῆς τούτων φύσεως στοχαζομένους, οὐ τῆς τῶν ἀκροωμένων, εἰ δ᾿ ἄρα καὶ τῆς τῶν ἀκροωμένων, οὐχ ὥστε τὰς ἐκείνων ἐπιθυμίας θεραπεύειν, οὐδ᾿ ὅσα βουλομένοις ἐστὶν ἀκούειν λέγειν, ἀλλ᾿ ὅσα βέλτιον (74) εἰπεῖν, ταῦτ᾿ εἰπόντας πεῖσαι δυνηθῆναι· ὥσπερ γε καὶ τοὺς ἰατροὺς στοχαζομένους ὁρῶμεν τῆς φύσεως τῶν σωμάτων, οὐ μὴν ὥστε χαρίζεσθαι ταῖς ἐπιθυμίαις ἁπλῶς, ἀλλ᾿ ὥστε τὸ βέλτιστον μὴ εἰκῆ προσενεγκεῖν, ἀλλ᾿ ὡς μάλιστ᾿ ἂν ὁ κάμνων παραδέξαιτο. ἄχρι τούτου φημὶ κἀγὼ τὸν ῥήτορα τῶν ἀκροωμένων στοχάζεσθαι, καὶ τοῦτό γε εἰ λέγεις, συγχωρῶ, ἀλλ᾿ οὐ δουλεύων οἶμαι τοῖς πλήθεσιν οὐδὲ ὑπὲρ τοῦ χαρίζεσθαι παρατηρεῖ τὰς φύσεις, ἀλλὰ τὸ τοῦ Δημοσθένους, ὅπως τὰ βέλτιστα εἰς δέον εἴποι. „Ἐγὼ δ᾿ οὐχ ὅ τι χρὴ λέγειν περὶ τῶν παρόντων ἀπορῶ“ φησὶν „ἀλλ᾿ ὅντινα χρὴ τρόπον πρὸς ὑμᾶς περὶ

---

5 τῶν ῥητόρων] τῶν om. M. ἐρεῖ] ἐρεῖ αὐτὰ N. 6 θύρας ELMN. Legebatur θύραις. προσκυλινδοῦνται] προσκαλινδοῦνται N et a pr. m. L. εἶναι om. EM, ab rec. m. habet L. 7 αὐτῶν τῶν φόβων] Ipso metu, exilii puta, aut extremi supplicii liberare. Reisk. 9 οὐ γὰρ ἂν οὐδὲ] οὐδὲ γὰρ ἂν N. μελετᾶν] μελετῶντας L rec. m. αὐτοῖς om. M. αὐτοῖς bene habet. pertinet enim ad ἐνῆν. sed pro ἔμενον leg. ἐμελέτων. ne liceret quidem ipsis profiteri se hac in re studium ponere, si vel maxime haec res ipsis curae cordique esset, ut scilicet plebi iucunda dicerent. Reisk. ἔμελλον EN. Legebatur ἔμενον. ἔμελλε N rec. m.
10 πράγμασι ΘLN. Vulgo πράγμασιν. 12 καὶ τῆς τῶν] καὶ τὰς τῶν N. ἐκείνων om. M. 17 λέγεις] λέγει E. λέγοι L.
18 χαρίζεσθαι] στοχάζεσθαι M. Δημοσθένους] Olynth. III. p.

αὐτῶν εἰπεῖν.“ εἶτα παῤῥησιάζεται, καὶ μάλα γε, ὡς ἐγῷμαι, λαμπρῶς.
44 „Πέπεισμαι γὰρ ἐξ ὧν παρὼν καὶ ἀκούων σύνοιδα τὰ πλείω τῶν πραγμάτων ὑμᾶς ἐκπεφευγέναι τῷ μὴ βούλεσθαι τὰ δέοντα ποιεῖν, οὐ τῷ μὴ συνιέναι.“ εἰ τοῦτ᾽ ἔστιν, ὦ Πλάτων, τὸ στοχάζεσθαι καὶ προσομιλεῖν τὰς φύσεις τηροῦντα, οὐκ ἐκφεύγομεν τὰς αἰτίας, πάντες ἐροῦσιν οἱ ῥήτορες. εἰ δ᾽ εἴκειν αὐτοὺς τοῖς πλήθεσι φῂς καὶ ποιεῖν τὰ κελευόμενα, ἀλλ᾽ οὐ κελεύειν, τὴν θεράπαιναν εἴληφας ἀντὶ τῆς δεσποίνης, καὶ τοὺς δημοσίους ψέγων δοκεῖς τοὺς ῥήτορας. ἀλλ᾽ οὐδ᾽ οἱ δημόσιοι μέγα φρο- (75) νοῦσιν ἐφ᾽ ἑαυτοῖς, ὅτι δουλεύουσι τοῖς τῆς πόλεως βουλήμασι, καὶ τοῖς ῥήτορσι τοῦ φρονεῖν αὐτὸ τοῦτο αἴτιόν ἐστι τὸ μὴ τὰ δοκοῦντα τοῖς δήμοις λέγειν, ἀλλ᾽ ἃ δοκοῦσιν αὐτοὶ βέλτιστα εἶναι. εἰ δὲ ἦσαν διάκονοι τῆς τῶν ὄχλων ἐπιθυμίας καὶ τὰ δοκοῦντα τοῖς καθημένοις ἐδημηγόρουν, οὐδ᾽ ἂν παῤῥησιάσασθαί ποτ᾽ αὐτοῖς ἐξῆν, οὐχ ὅπως ὑπὲρ τοὺς ἄλλους φρονεῖν. ἀλλ᾽ οἶμαι συνίσασιν αὐτοῖς οὐ τὰς ἡδονὰς θεραπεύουσιν, ἀλλὰ τὰς ἐπιθυμίας σωφρονίζουσιν, οὐδ᾽ ὁρῶσιν εἰς τοὺς πολλούς, ἀλλὰ τοῖς πολλοῖς ὁρῶσιν εἰς τούτους, οὐδ᾽ ἀρχομένοις ὑπὸ τῶν ἰδιωτῶν, ἀλλ᾽ ἄρχουσιν αὐτοῖς τῶν πολλῶν· καὶ τὴν ἐπωνυμίαν διὰ τοῦτο εἰλήφασι παρ᾽ αὐτῶν ἀντ᾽ ἄλλου συμβόλου μαρτύριον τῆς ἐξουσίας, λέγω τὴν τῶν δημαγωγῶν,

---

29. ed. Reisk. 19 εἴποι] εἴπῃ M. 20 εἶτα LMN Canter. Iebb. εἶτε E. εἶπε Iunt.

44, 2 τὸ στοχάζεσθαι ELMN. Aberat τὸ. 3 τηροῦντα Θ Iunt. τηροῦν Iebb. οὐκ ἐκφεύγομεν LN Soph. Legebatur οὐ φεύγομεν. 4 εἴκειν LMN. Legebatur ὑπείκειν. 5 τῆς δεσποίνης] τῆς om. L apud Iebbium et N. τοὺς δημοσίους] οἱ δημόσιοι h. l. iidem sunt atque οἱ δήμιοι, *carnifices*. v. ad Dion. Chrysost. p. 116. Reisk. 6 μέγα φρονοῦσιν] μεγαλοφρονοῦσιν LM. μέγα φρονοῦσιν correctus L a manu rec. βουλήμασι] βουλεύμασι N. καὶ βουλήμασι L. 9 παῤῥησιάσασθαι] παῤῥησιάζεσθαι LN. αὐτοῖς ἐξῆν] ἐξῆν αὐτοῖς M. αὐτοῖς] Scribebatur αὐτοῖς. 11 οὐδ᾽ N. Vulgo οὐδὲ. ἀλλὰ — τούτους in marg. habet L rec. τοῖς πολλοῖς Reiskius. Aberat τοῖς. πολλοῖς] πολλοὶ L. 12 Quod post ἰδιωτῶν legebatur αὐτοῖς (ἑαυτοῖς LMN) delevit Reiskius. ἄρχουσιν αὐτοῖς] ἄρχουσιν αὐτοῖς Θ. ἄρχουσιν ἑαυτοῖς ELMN. 13 συμβόλου ΘELN Soph. Legebatur σύμβολον.

Digitized by Google

οὐκ ἐπειδήπερ ὑπὸ τῶν δήμων ἄγονται, ὦ πάντ' ἄνω καὶ κάτω ποιῶν, ἀλλ' ὅτι τοὺς δήμους ἄγουσιν· ὥσπερ γε δὴ καὶ τοὺς παιδαγωγούς, οἶμαι, καλοῦμεν, οὐκ ἐπειδήπερ ὑποπεπτώκασι τοῖς παισὶν, ἀλλ' ὅτι αὐτοῖς ἡγοῦνται. ὅ τι γὰρ ἂν φαίης ἁρμόττει τὸ τοιοῦτον ἀκοῦσαι τῷ ῥήτορι, ἄρχων, προστάτης, διδάσκαλος, πάντα ταῦτ' ἐστὶ τοῦ ῥήτορος τὰ ὀνόματα. ὅπερ γάρ εἰσι τοῖς παισὶν οἱ διδάσκαλοι, ταὐτο τοῖς δήμοις εἰσὶν οἱ ῥήτορες· δεικνύουσιν ἃ χρὴ (76) πράττειν καὶ παιδεύουσι ταῖς γνώμαις καὶ τοῖς ψηφίσμασι. καὶ ἡ φύσις οὕτω ταῦτ' ἔταξεν. οὐ δουλεύει ταῖς τῶν χορευτῶν ἐπιθυμίαις ὁ κορυφαῖος, ἀλλ' εἴ τί που καὶ χαρίζεται, τὸ μηδὲν ἀπᾶσαι συμπαρατηρῶν τῷ χαρίζεσθαι.

45 ἀλλ' οὐχ ὑποβάλλουσί γε αὐτῷ τὰ ἐνδόσιμα οἱ χορευταὶ, οὐδ' ὅπως ἂν ἐκεῖνοι κελεύωσιν, οὕτω προσάγει τὸ μέλος καὶ τὸν ῥυθμὸν, οὐδὲ τί χρὴ διδάσκειν αὐτοὺς παρ' ἐκείνων μανθάνει, οὐ μᾶλλόν γε ἢ παρὰ τῶν ναυτῶν ὁ κυβερνήτης μανθάνει τί χρὴ πράττειν. ἀλλ' ἀκούουσι μὲν οἱ ναῦται ἃ προστάττει, λέγει δὲ ὁ κυβερνήτης οὐκ εἴ τι καὶ δοκοῦν τοῖς ναύταις, ἀλλ' οὖν αὐτὸς ὢν κύριος ἐν τῇ νηὶ τῶν ναυτῶν. πανταχοῦ πάντ' ἐστὶ πρὸς τοὺς ἡγεμόνας,

---

οὐκ] οὐδ' N. 14 πάντ'] πάντα LN. 15 παιδαγωγούς] In E primum fuit δημαγωγούς. καλοῦμεν] καλοῦσιν E. 16 Fortasse sic constituendus est locus: ὅ τι γὰρ ἂν φαίης ἁρμόττειν τὸν τοιοῦτον ἀκοῦσαι, τῷ ῥήτορι ἁρμόττει, προστάτης, διδάσκαλος. πάντα — quidquid enim dixeris tali, paedagogo puta, conveniens, id oratori quoque convenit, antistes, magister. Omnia haec nomina sunt oratoris. ἄρχων a codice Coisliniano abest, cuius in locum ἁρμόττει suffecimus. potest illud quoque servari, modo hoc ne desit. Sed est tamen vulgata etiam non mala, si statuas verba more Graecis et Latinis communi esse paulo conturbatius composita, quae ordine planiore sic essent collocanda. ἁρμόττει γὰρ τῷ ῥήτορι ἀκοῦσαι πᾶν ὅ τι ἂν φαίης τὸ τοιοῦτον ὄν, οἷον ἄρχων. nihil enim non convenit in oratorem ex hoc genere, ut si dixeris, imperator —. Reisk. ἄρχων om. M. 17 εἰσι Θ. Scribebatur εἰσιν, quod om. LMN Soph. 20 Sic distinguo, ἀλλ', εἴ τί που καὶ, χαρίζεται. Constructio est ἀλλὰ χαρίζεται, εἴ τί που καὶ χαρίζεται. Reisk. μηδὲν ἀπᾶσαι] μηδένα πταῖσαι. E.

45, 1 γε αὐτῷ] γ' ἑαυτῷ E. κελεύωσιν] κελεύσωσιν ΘLN. μέλος] μέλλος L. αὐτοὺς] αὐτὸν N. 5 ὡς αὐτὸς E, Canterus, Reiskius. Legebatur οὖν αὐτός. ὢν αὐτὸς N. πανταχοῦ] καὶ πανταχοῦ E. ἐστὶ hic loci idem valet atque γίγνεται. omnia

Digitized by Google

καὶ τὰ τούτων ἡγεῖται βουλήματα. ἕπεται δὲ τὰ μὲν ἑκουσίως, τὰ δὲ ἀκουσίως τὰ τῶν πολλῶν. κορυφαῖος χοροῦ, ναυτῶν κυβερνήτης, στρατιωτῶν στρατηγὸς, δήμου ῥήτωρ ἡγεῖται. πάντες μὲν οὖν ἄρχοντες φύσει κρείττους τῶν ὑφ᾽ αὑτοῖς· εἰ δέ τις μετ᾽ ἐξουσίας καὶ χαρίζεται, πείθων, οὐκ ἀναγκάζων, καὶ πρὸς τῷ σώζειν τὴν ἑαυτοῦ τάξιν (77) στοχάζεται καὶ τῆς ἐπιθυμίας τῶν ὑφ᾽ αὑτῷ, οὗτος ἐκεῖνός ἐστιν ὁ τῷ ὄντι πολιτικὸς καὶ ὃν Ὅμηρος ἔφη πατέρα ὣς ἤπιον εἶναι. οἶμαι δὲ τὸν αὐτὸν καὶ ῥήτορα ἄριστον πεποίηκεν, ᾧ τοῦτο ἀνέθηκε. μὴ δὴ τοῦτο λέγε ὡς ὄνειδος κατὰ τῶν ῥητόρων εἰ χαρίζονται, ἀλλ᾽ εἰ μετὰ τοῦ βελτίστου καὶ τῆς χάριτος στοχάζονται. καὶ κατὰ τοῦτ᾽ ἀπόδος τῇ ῥητορικῇ τὴν πρέπουσαν εὐφημίαν, ἵνα τοῖς ὁμοίοις αὐτὴν ἀμειβόμενος φανείης. εἰ δὲ λέγεις ὡς ἁπλῶς χαρίζονται καὶ δουλεύουσι ταῖς ἐπιθυμίαις, τίς ἡ πίστις; ἐγὼ μὲν γὰρ παρ᾽ αὐτῶν τῶν πραγμάτων τὴν ἑτέραν παρέχομαι. εἰ γὰρ μήθ᾽ ὑπὸ τῶν δήμων ἔμελλον οὕτω γε θαυμασθήσεσθαι μήθ᾽ ὑπὸ τῶν ἰδιωτῶν μήθ᾽ ὑπὸ τῶν πό-

---

fiunt ex eorum sententia. alias legi oporteret πρὸς τῶν ἡγεμόνων. omnia stant a parte imperantium, iisque prona et secunda sunt. Reisk. 6 βουλήματα] βουλεύματα LMN. 9 τις μετ᾽ ἐξουσίας Θ Steph. τις μετεξουσίας Iunt. τις ἐξουσίας Iebb. πρὸς τῷ N (L apud Iebbium). Legebatur πρὸς τὸ. 10 αὑτῷ ΘL. Vulgo ἑαυτῷ. 11 Ὅμηρος] Odyss. β, 47. de Ulixe. 13 καὶ κατὰ] καὶ om. M. Parum refert καὶ serves an cum codice Coisliniano omittas. Si servas, debet a communi λέγε repeti. sed tum loquere, tum fac mentionem huius rei, quum rhetores etiam gratiae aliquid dant salva utilitate publica. Si autem omittis, erit punctum commate mutandum et constructio haec, ἀλλ᾽ ἀπόδος τῇ ῥητορικῇ τὴν πρέπουσαν εὐφημίαν κατὰ τοῦτο, εἰ (quod idem valet hic loci atque ὅτι) τοῦ βελτίστου στοχάζονται, scil. οἱ ῥήτορες. Reisk.
15 ἐγὼ μὲν] μὲν non habet sequens δὲ, recte tamen hic quidem loci. nam facile ab attento lectore opposita sententia subauditur. Ego quidem, ait, contrariae sententiae fidem ex ipsis rebus adstruo. σὺ δὲ τίνα παρέχῃ. tu autem quamnam pro te et in causa tua demonstrationem affers? Reisk. 16 παρέχομαι ΘN (L apud Iebbium). Legebatur παρέρχομαι. 17 οὕτω γε] Hac quidem via, scil. plebi adulando eiusque studiis serviendo. Reisk.

μήθ᾽ ὑπὸ τῶν πολιτῶν (πολλῶν M Opor. πολιτῶν L with πολλῶν written above) addidi ex ELMN Opor. Vide tamen ne totum hoc μήθ᾽ ὑπὸ τῶν πολιτῶν μήθ᾽ ὑπὸ

λιτῶν μήθ' ὑπὸ τῶν ξένων μήτ' αὐτοὶ μηδαμῶς ἅπερ νυνὶ σεμνύνεσθαι, συνελόντι δ' εἰπεῖν, εἰ μήτ' εὐδοξήσειν μήτε χρηματιεῖσθαι μήτε ἰσχύσειν μήτε ἐρεῖν, πῶς ἐγχωρεῖ τοιαύτην αἰτίαν κατ' αὐτῶν παραδέξασθαι, δι' ἧς ταῦτ' ἀπήντησεν ἄν; ἔτι τοίνυν καὶ ὅλως ἀδύνατα ἐγκέκληκεν.

46 ἴσως μὲν γὰρ οὐδὲ τοῖς ἱπποκενταύροις χαρίσασθαι (78) ῥᾴδιον, εἴ τις ἐδημηγόρει παρ' αὐτοῖς, οὐχ ὅτι κοινῇ λέγω πᾶσιν, ἀλλ' οὐδὲ καθ' ἕνα οἶμαι, εἴπερ ἦσαν διπλοῖ τὴν φύσιν· δήμου δὲ βουλήματα γνῶναι καὶ θεραπεῦσαι διὰ τέλους τίς μηχανή; καὶ ποῦ δυνατόν; οὐδεὶς γάρ ἐστιν εἷς δῆμος, οὐδὲ μιᾶς ἐπιθυμίας, οἶμαι δ' οὐδ' ἔσται· ἀλλ' ὥσπερ ῥεύματα ἄλλος ἀλλαχόθεν φέρονται τοῖς πᾶσι μεμερισμένοι, ταῖς ἡλικίαις, τοῖς ἐπιτηδεύμασι, ταῖς φύσεσι, τῇ τύχῃ, ταῖς ἐπιθυμίαις, ἄλλος ἄλλα γιγνώσκων, εἴ γε γιγνώσκειν χρὴ καλεῖν τὸ μηδ' ὁτιοῦν εἰδέναι περὶ τῆς ἀληθείας. καὶ νὴ Δί' οἱ μὲν νυνὶ πάρεισιν, οἱ δ' αὖθις ὥσπερ τὰ φύλλα δοκεῖ μὲν εἶναι ταὐτὰ καὶ τῶν αὐτῶν δένδρων, ἔστι δ' οὐδέποτε ἃ πρὸ τοῦ. ποίαις οὖν ἐπιθυμίαις ὁ ῥήτωρ μέλλει δουλεύσειν, ἢ τὰ τίσι δοκοῦντα ἐρεῖν, ἢ τίνων στοχάσεσθαι, οἵ γ' οὕτως ἀτόπως ἔχουσιν, ὥστ' οὐδ' αὐτοὶ γνῶναι δύνανται τί βούλονται; ἀλλὰ τοσοῦτ' ἀπέχουσι τοῦ ταὐτὰ φρονεῖν ἀλλήλοις ὥστ' οὐδεὶς αὐτῶν ὡς ἔπος εἰπεῖν αὐτὸς αὑτῷ περὶ τῶν αὐτῶν ταὐτὰ φρονεῖ διὰ τέλους, ἀλλὰ πάντες ὥσπερ χειραγωγοῦ τοῦ ῥήτορος χρώμενοι ἀεὶ δέονται. εἰς τίνας οὖν εἰπέ μοι βλέψει; πάλιν (79)

---

τῶν ξένων delendum sit. μήτ' αὐτοὶ] μήθ' αὐτοὶ Θ. 18 εἰ μήτ'] εἰ μήτε N. 20 ταῦτ'] Scil. τὸ μήτε εὐδοξήσειν μήτε χρηματιεῖσθαι. Reisk.

46, 2 εἴπερ] οἳ εἴπερ N. διπλοῖ E. Legebatur οἱ διπλοῖ. Aut delendum οἱ aut legendum εἴπερ ἴσαν, οἳ (vel οἷοι) λέγονται, διπλοῖ. Reisk. βουλήματα] βουλεύματα N. 5 ἀλλαχόθεν] Malim ἀλλαχόσε. Reisk. 6 τῇ τύχῃ] τῇ ψυχῇ M. ταῖς τύχαις Reiskius. Scribebatur γινώσκων et γινώσκειν. 8 δοκεῖ] ἃ δοκεῖ Reiskius. ἃ πρὸ τοῦ] ἃ καὶ πρότου Soph. 9 στοχάσεσθαι] στοχάσασθαι MN. 10 ἔχουσιν ΘN, Vulgo ἔχουσι. 12 χρώμενοι om. E. χρώμενοι facile patiar abesse. Si servatur, ita debet accipi. Semper egentes manuductore, quamquam eo semper utuntur. h. e. qui nunquam eo proficiunt ut suis pedibus incedant. Reisk. 13 τίνας] τίνα LN. βλέψει] βλέψεις E. πῶς] Malim

γὰρ ταυτὸν ἐρήσομαι. καὶ πῶς διακονήσεται ταῖς ἐπιθυμίαις; ὅταν γὰρ δέῃ μὲν διακονεῖν πολλοῖς, οὗτοι δ' ὦσι μὴ κατὰ ταὐτὰ γιγνώσκοντες, πᾶσι δὲ ἀμήχανον ἐκ τῶν αὐτῶν ταὐτὰ χαρίζεσθαι, πῶς ὁ ῥήτωρ θεραπεύσει τὰς ἐπιθυμίας αὐτῶν; ἅμα γὰρ χαριεῖται τοῖς ἑτέροις καὶ τοὺς ἑτέρους ἀνιάσει. ὥστε οὐ μᾶλλον πρὸς ἡδονὴν ἢ πρὸς ἀηδίαν ἐρεῖ. πῶς οὖν καλεῖς διακόνους τούτους; οὐ γὰρ ἐγχωρεῖ. ὅτι τοίνυν αὐτὸς Πλάτων ὡμολόγηκε μὴ τὰ δοκοῦντα τοῖς πολλοῖς λέγειν τοὺς ῥήτορας ἔξεστιν ἴσως εἰπεῖν τοῦτό γε ὡς κἂν παῖς προσέχων φωράσειεν, ἵνα μὴ ἐλέγξειε λέγω. δίδωσι γὰρ δή που τοσοῦτον, πειθοῦς εἶναι δημιουρ-
47 γὸν τὴν ῥητορικήν· εἰ δὲ πιστευτικῆς ἢ διδασκαλικῆς οὐ διαφέρομαι τὸ νῦν εἶναι, ἀλλ' οὖν τό γε πείθειν αὐτῇ προστίθησιν. ὅτε τοίνυν τὸ πείθειν ἐστὶ τῆς ῥητορικῆς, οὐ λέγουσι τὰ δοκοῦντα τοῖς πολλοῖς οἱ ῥήτορες. εἰ γὰρ τὰ δοκοῦντα λέγουσιν, οὐ πείθουσιν· οὐδεὶς γὰρ ἐφ' αὑτοῦ γιγνώσκων ἑτέρῳ περὶ τούτου πείθεται. ἀλλὰ τούτῳ κεχώ- (80)
ρισται τό τ' ἐφ' αὑτοῦ βεβουλεῦσθαι καὶ τὸ πεισθῆναι. ἀλλ' εἰ καὶ τοῦτ' ἄρα εἰπεῖν δεῖ, αὑτοῖς, οὐ τοῖς ῥήτορσι πείθονται οἱ τὰ δοκοῦντα αὑτοῖς ποιοῦντες. πείθει δὲ οὐδεὶς ὅστις μὴ τὴν αὑτοῦ γνώμην εἰπὼν ἐνίκησεν. ὥστ' αὐτὸ τοὐναντίον τῷ Πλάτωνος λόγῳ συμβαίνει, εἰ τὰ τοῖς πολλοῖς δοκοῦντα λέγουσιν οἱ ῥήτορες. ἃ γὰρ οἱ βουλό-

---

τίνων, quorumnam. Reisk. 14 ὅταν γὰρ δέῃ μὲν] ὅταν μὲν γὰρ δοίημεν L. ὦσι] ὡς N. ὦσι deletum in L. 15 κατὰ ταὐτὰ] τὰ ταῦτα E. κατ' αὐτὰ M. γιγνώσκοντες] γινώσκοντες ΘMN. 16 θεραπεύσει] θεραπεύει M. καὶ τοὺς] ἢ τοὺς N apud Iebbium.

18 ὅτι τοίνυν] Mirifice contorta et implicata verborum series ita est explicanda. Ἔξεστι τοίνυν ἴσως εἰπεῖν τοῦτό γε, ὡς κἂν παῖς, προσέχων φωράσειε ὅτι Πλάτων ὡμολόγηκε. Potest etiam τοῦτό γε ad φωράσειεν et ἐλέγξειεν referri. Reisk. ὡμολόγηκε ELN. Scribebatur ὁμολόγηκε. μὴ τὰ LN. Legebatur τὰ μή. 19 ἴσως om. M. 20 δίδωσι] In Gorgia p. 459.

47, 1 πιστευτικῆς] γρ. πιστικῆς margo L. 4 αὑτοῦ] αὐτῷ M. γιγνώσκων] γινώσκων LN. τό τ'] τότε N. αὑτοῦ] ἑαυτοῦ N. αὐτῷ M. 5 πεισθῆναι Steph. Iebb. πεισθεῖναι Iunt. πειθεῖναι N. αὑτοῖς Θ LN Iunt. αυτοῖς (sic) Steph. αὐτοῖς Iebb. et corr. L. 6 αὐτοῖς ποιοῦντες] αὑτοῖς ποιοῦντες L. ὅστις] ὃς E. αὑτοῦ] αὐτοῦ L. 7 τοῖς πολλοῖς] τοῖς om. N.

μενοι λέγουσι, ταῦτα πείθονται λέγειν. οὐκοῦν εἰ μὲν ἡ ῥητορικὴ πειθοῦς δημιουργὸς καὶ τὸ πείθειν τῶν ῥητόρων, οὐ κολακεύουσιν οἱ ῥήτορες· οὐ γὰρ διακονοῦσι τοῖς πολλοῖς, ἀλλὰ πείθουσιν· εἰ δ' οἱ ῥήτορες τὰ δοκοῦντα λέγουσι τοῖς πολλοῖς, οὐ δημιουργὸς ἡ ῥητορικὴ πειθοῦς· πειθομένους γὰρ τοῖς πολλοῖς, ἀλλ' οὐ πείθοντας παρέχεται. πρὸς ταῦτα ἑλοῦ ὁποτέρωθι τὸ ψεῦδος. Πλάτων γὰρ ἡμῖν ἐλέγχει Πλάτωνα, καὶ τὸ κάλλιστον, οὐ πόρρωθεν, ἀλλ' ἐκ τῶν αὐτῶν καὶ τοῖς αὐτοῖς λόγοις ἀναμίξ. ὡς τοίνυν οὔτ' ἄλογον ἡ ῥητορικὴ οὔθ' οἷον, ὡς οὑτωσὶ φάναι, στοχάζεσθαι, οὐδ', εἰ μετέχει τέχνης, εὕρημα (81 ποιεῖσθαι, οὐδὲ μεθ' ὧν ἀρτίως διεξῄειν τεχνῶν εἶναι τῶν πολλῶν, ἀλλὰ καὶ πλεῖστον λόγου μετέχον, μᾶλλον δὲ ἅπαν ἐν λόγοις, καὶ μέγιστον καὶ πρῶτον τῶν ἐν ἀνθρώποις καὶ τελεώτατον καὶ πέρας, εἰ οἷόν τ' εἰπεῖν, εὐχῆς

---

8 οἱ βουλόμενοι] οὐ βουλόμενοι Canterus. οἱ βουλόμενοι sunt ipse ὁ δῆμος, concio, plebs. Reisk. λέγουσι] κελεύουσι ELMN. λέγουσιν, imperant, flagitant, volunt secum agi. quod in codicibus quibusdam est κελεύουσι, id aut scholium est aut varians lectio. nam quae coram se oratione exponi volunt illi, qui disputantem audire volunt, ea ut exponant ipsi oratores impelluntur. ipsis oratoribus a populo persuadetur ut ea velint dicere, non oratores plebi persuadent ut ea audiat quae dicere ipsi volunt. Reisk. εἰ μὲν ἡ ELN, Canterus, Iebb. ἡ μὲν Iunt. εἰ μὴ Θ. 11 τοῖς πολλοῖς] τοὺς πολλοὺς MN. ὁποτέρωθι] ποτέρωθι E. 13 αὐτοῖς λόγοις LMN. Legebatur αὐτοῖς τούτοις λόγοις. ἡ ῥητορικὴ] ἡ om. ΘE. 14 Distinguo οἷον, ὡς οὑτοσί (subaudi φησί) φάναι στοχάζεσθαι. neque eiusmodi quid esse rhetoricam, de quo liceat dicere coniecturale id esse vel coniectura contineri. neque eo loco est ut pro magno haberi debeat atque insperato beneficio, si demonstretur, id de arte participare et ad artium classem pertinere. Reisk. φάναι L. Scribebatur φᾶναι. φαίναι M. 15 ἀρτίως] ἄρτι M. Post πολλῶν excidit ἀρκείτω ἡμῖν δεδεῖχθαι. quae adhuc a nobis demonstrata sunt, ea nobis sufficere nolim, sed operae quoque pretium est demonstrare, esse rhetoricam eam rem, quae et plurimum rationis in se teneat, vel potius tota versetur in ratione. μᾶλλον δὲ τὸ πᾶν ἐν λόγοις. potest quoque haec dictio sic reddi. vel potius sit caput et summa in literis. Reisk. ἀλλὰ καὶ] καὶ om. M. 16 πρῶτον τῶν] τῶν om. N apud Iebbium. καὶ τελεώτατον om. M.

Digitized by Google

48 ἄξιον δεῖξαι. γνοίη δ' ἄν τις εἰ σκέψαιτο τὴν φύσιν αὐτῆς καὶ ὑπὲρ τίνων καὶ πηλίκων τὸ κατ' ἀρχὰς εὑρέθη καὶ τί πράττει καὶ ποιεῖ διὰ τέλους. οἶμαι τοίνυν ἅπαντας ἂν οἷς δυνατὸν συμφῆσαι τὸ μὴ κατὰ ταὐτὰ φῦναι τοὺς ἀνθρώπους, ἀλλὰ δυοῖν μερίδοιν τὴν μὲν οἵαν βιάζεσθαι καὶ πλεονεκτεῖν εἶναι, ἣν τῶν κρειττόνων τις ἂν εἴποι, λέγω δ' οὐκ ἀρετῇ βελτιόνων, ἀλλ' ἰσχυροτέρων, τὴν δ' οἵαν ἐλαττοῦσθαι καὶ παρὰ γνώμην συγχωρεῖν ἀπορίᾳ τοῦ κωλύειν, ἣν τῶν ἀσθενεστέρων οὖσαν γιγνώσκομεν. τοῦτ' οὖν εἶναι τὸ ποιῆσαν εὑρεῖν τι τοιοῦτον ἀνθρώπους ὑπὲρ αὑτῶν, ἢ θεούς γε ὑπὲρ τῶν ἀνθρώπων, ὃ τὴν μὲν ἰσχὺν ἐπισχήσει, τοῦ δὲ ἴσου καὶ δικαίου πᾶσιν ὥσπερ ἐνέχυρον γενήσεται ταὐτὸν τοῖς τε πολλοῖς συμφέρον καὶ τοῖς πρὸς τὸ βιάζεσθαι πεφυκόσιν αὐτοῖς. οὐδὲ γὰρ ἐκεῖνοι ἔμελλον (82) ἐκφεύξεσθαι τῶν ἀδίκων καὶ κακῶν ἔργων τἀπίχειρα, ἀλλὰ τῶν ἀσθενεστάτων πρώτων ἀναιρεθέντων ἄλλων ὑπ' ἄλλων κατὰ μικρὸν, οὕτως ἀεὶ τῶν λοιπῶν ὑπεξαιρουμένων ἔμενε τελευτῶντας αὐτοὺς ἐφ' ἑαυτοὺς ἐλθεῖν, ὥσπερ φασὶ τοὺς σπαρτοὺς, εἰ ἄρα καὶ ὁ μῦθος τοῦτο αἰνίττεται. ἐμοὶ μὲν γὰρ, εἴ τι δεῖ καὶ παραβῆναι, θαυμαστῶς δοκεῖ τοῦτο βούλεσθαι δηλοῦν. πεποίηκέ γε τὴν ἀρχὴν αὐτοῖς

---

48, 1 αὐτῆς] αὐτοῖς M. 2 καὶ τί — τέλους om. M. 3 οἷς δυνατὸν] Hic videtur aliquis infinitivus abesse. F. οἷς ἂν κατιδεῖν δυνατὸν, qui id cernere, agnoscere, intelligere possunt. Reisk. κατὰ ταὐτὰ] κατ' αὐτὰ Θ. 4 πλεονεκτεῖν] πλεονέκτειν Θ. 6 γιγνώσκομεν] Vulgo γινώσκομεν. τοῦτ'] Scil. τὴν ῥητορικήν. Reisk. τοῦτο ΘN. εἶναι pendet e superiore οἶμαι: hoc igitur illud esse existimo quod effecerit ut homines invenirent. Saepe tamen εἶναι et ἐστὶ in libris Graecis inter se permutantur errore librariorum, propterea quod εἶναι in novo Graeco sermone, qualis hodie usurpatur, idem significat atque vetus ἐστί. quare haud scio an ἐστὶ hic praestet. Reisk. 7 αὑτῶν] αὐτῶν L. 8 ταὐτὸν — αὐτοῖς] Quod unum idemque plebi conducat et ipsis illis qui ad exercendam vim et ad iniurias inferendas natura propensi essent. Reisk. 9 οὐδὲ γὰρ] οὐ γὰρ E. οὐδὲ γὰρ οὐδ' Reiskius. ἐκεῖνοι] ἐκεῖνος ΘMN et correctus L. ἐκείνως E. Quod sequebatur γ', omisi cum ΘELMN. ἔμελλον] ἔμελλεν ΘELMN. 10 πρώτων] πρῶτον N. 11 ἔμενε] Subaudi λοιπόν. v. versu 17. ubi est κατελείπετο. Reisk. ἔμελλε N. ἑαυτοὺς] αὐτοὺς LN. 12 ἄρα καὶ] καὶ om. M. 13 βούλεσθαι] βούλεσθε N apud leb-

τῆς γενέσεως ἐκ δράκοντος ὀδόντων, αὐτοὺς δ' ἀναβῆναι φησι τοὺς ἄνδρας ἐνόπλους, Ἄρει δὲ ἀνθ' Ἑρμοῦ μελῆσαι τοῦ θέρους. ὅπερ οὖν ἔφην, οὐδ' αὐτοῖς τοῖς ὑπερέχουσι ταῖς δυνάμεσιν εἰς τέλος λυσιτελήσειν ἔμελλεν ἡ δοκοῦσα κατ' ἀρχὰς εὐτυχία, ἀλλ' ὑφ' οὗ καὶ κρείττους ἦσαν, μᾶλλον δ' ᾤοντο εἶναι, ὑπὸ τούτου κατελείπετο αὐτοῖς ἀπολωλέναι, ὥστ' ἔρρειν κομιδῇ τὰ πάντων ἀνθρώπων. ἔδει δή τι κοινὸν εὑρεθῆναι φάρμακον τῷ γένει ταυτὸν ἅπασι συμφέρον, τοῖς ἰσχυροῖς, τοῖς ἥττοσι, τοῖς ἐπιεικέσιν· ὡς τοὺς μὲν ἢ κωλῦσαι πρὸ τῶν ἀδικημάτων,
49 ἢ παρ' αὐτὰ τιμωρήσασθαι, τοῖς δ' ἄδειαν τοῦ βίου παρασκευάσαι, τοῖς δὲ χάριν τὴν πρέπουσαν, ὅσοι τὸ δίκαιον (85
ἐτίμων ἑκόντες. εὑρέθη τοίνυν ἐκ τούτων ῥητορικὴ καὶ παρῆλθε φυλακτήριον δικαιοσύνης καὶ σύνδεσμος τοῦ βίου τοῖς ἀνθρώποις, ὅπως μὴ ταῖς χερσὶ, μηδὲ τοῖς ὅπλοις, μηδὲ τῷ προλαβεῖν, μηδὲ πλήθει καὶ μεγέθει, μηδ' ἄλλῳ τῶν ἀνίσων μηδενὶ κρίνοιτο τὰ πράγματα, ἀλλ' ὁ λόγος τὸ δίκαιον ἐφ' ἡσυχίας διαιροῖ. ἀρχὴ μὲν οὖν αὕτη καὶ φύσις ῥητορικῆς καὶ βούλημα τοῦτο σῶσαι πάντας ἀνθρώπους καὶ τὴν βίαν διὰ τῆς πειθοῦς ἀπώσασθαι. εὑρεθεῖσα δὲ ὑπὲρ τοιούτων καὶ τηλικούτων μόνη βιωτὸν ἡμῖν πεποίηκε τὸν βίον, τούς τε ἰδίους οἴκους καὶ τὰ κοινὰ τῶν πόλεων εἰς ὁμόνοιαν τὸ καθ' αὑτὴν ἄγουσα καὶ τὸ διδάξαι καὶ μαθεῖν ἅπασιν ἀεὶ καθιστᾶσα καλὸν, τὴν δὲ ἀλογίαν καὶ τοὺς θορύβους πανταχοῦ φεύγειν τε καὶ μισεῖν πρώτη διδάξασα.

Σκεψώμεθα δὴ καὶ τοὺς νόμους τί ποτ' ἐστὶ τὸ ποιῆσαν, κἂν ἄλλην τις εὕρῃ νόμων ἀρχὴν, ἀλλ' οὐχὶ τὴν αὐτὴν ἥνπερ καὶ ῥητορικῆς, λῆρον τοῦτο εἶναι λέγων,

---

bium. πεποίηκέ γε] πεποίηκε γοῦν M. 16 κρείττους] κρειττων M. 17 ὥστ' ἔρρειν ΘELN. Legebatur ὥστε δὲ μήτ' (μὴ Reiskius) ἔρρειν, commate post ἀνθρώπων posito. 19 ἢ] εἰ M.
49, 1 αὐτὰ] αὐτοὺς M. 4 προλαβεῖν] προσλαβεῖν L.
6 οὖν om. M. βούλημα τοῦτο] τοῦτο βούλημα M. 9 καθιστᾶσα] καθιστῶσα ut videtur N. 11 ποτ' LN. Vulgo ποτέ. εὕρῃ] εὕροι M. 12 ῥητορικῆς] τῆς ῥητορικῆς LMN Soph. λῆρον] κλῆρον MN. τοῦτο] Illud scilicet quod diximus de origine oratoriae et eius cum legum origine convenientia. Reisk.

Digitized by Google

νικάτω. ἀλλὰ μὴν τοῦτό γε πάντες ἂν εἴποιεν, ὡς οὐδὲ πρὸς ἓν τῶν πάντων ἐδέησε νόμων ἡμῖν, ἢ τὸ μηδὲν ὑπ' (84) ἀλλήλων πάσχειν δυσχερὲς, μηδὲ τοὺς φαύλους καὶ θρασεῖς τῶν χρηστῶν κρατεῖν, ἀλλὰ τοὺς χρηστοὺς τῶν φαύλων περιεῖναι μετὰ τοῦ δικαίου. ταυτὶ δύ' ἐστιν ὡς εἰπεῖν τῶν νόμων κεφάλαια, τιμωρία τῶν ἀδικούντων καὶ τιμὴ τῶν ἐπιεικῶν. εἰ γὰρ ἕκαστοι τῆς ἀξίας τυγχάνοιεν, οὐκ ἔστιν ὅπως ἂν ἄμεινον σωθείη τὸ δίκαιον οὐδ' ὅπως ἂν ἀσφαλέστερον τὸ κοινὸν τῶν ἀνθρώπων σώζοιτο. οὐκοῦν ταῦτα ἐνόντα ἐν τῇ τῆς ῥητορικῆς φύσει φαίνεται. οἷς μὲν γὰρ ἤρκει σιγῇ πλεονεκτεῖν, οὐκ ἔμελλον δή που δεήσεσθαι λόγου, οὐδ' ὥστε εἰπόντες αὐτοὶ νικῆσαι, ἑτέρωθι γὰρ ἦσαν ἰσχυροὶ, οὐδ' ὥστε ἑτέρων ἀκούειν, αὐτὸ γὰρ τοῦτ' ἦν αὐτοῖς τὸ βούλημα ἀκούειν μηδενός. οἷς δ' οὐκ ἦν

50 ἄλλως τῶν ἴσων τυχεῖν, τοῦ πείθοντος ἔδει λόγου· τοῦτο δ' αὖ εὐθὺς ὑπὲρ τῆς δικαιοσύνης. ὁ μὲν γὰρ αὐτῷ καὶ ταῖς παρασκευαῖς ἐπιτρέπων τὸ δοκοῦν ἑαυτῷ ἀξιοῖ κρατεῖν, ὁποῖόν ποτ' ἂν ᾖ, ὁ δ' ἀφ' ὧν καὶ τοὺς ἔξω δεῖ πεῖσαι ταῦθ' ὁρῶν καὶ ταῦτ' ἀξιῶν μελετᾶν, οὐ φεύγει τὴν τοῦ ποῖ' ἄττ' ἐστὶν ἃ βούλεται βάσανον. φαίνεται τοίνυν ἡ (85) ῥητορικὴ τῇ νομοθετικῇ τῆς αὐτῆς φύσεως μετειληφυῖα, εἴπερ τό γε ἀκριβὲς ἐπ' ἀμφοτέρων δεῖ θεωρεῖν, μᾶλλον δὲ μέρος οὖσα τῆς ῥητορικῆς ἡ νομοθετικὴ καὶ τοῖς πᾶσι δευτέρα πως, πρῶτον μὲν ὅτι καὶ περὶ αὐτῶν ἔδει τῶν

---

13 ὑπ'] ἀπ' L. 15 δύ'] δὲ E. δ' L. γρ. δύο margo L. ὡς εἰπεῖν] ὡς ἔπος εἰπεῖν N. Fortasse ὡς ὅρῳ εἰπεῖν, si definite pronunciare oportet, aut, si definitione rem complecti necesse mihi est. aut ὡς βραχέως εἰπεῖν, si totem rem paucis complecti volumus. Reisk. 17 ὅπως ἂν ἀσφαλέστερον] ἂν om. EMN, ab rec. m. superscriptum in L. 18 λόγου] λόγον E. 19 οὐδ' οὕτως ὥστε εἰπόντες L.

50, 2 ἐπιτρέπων] Graeci ἐπιτρέπειν sic nude ponere solent ut subaudiendum relinquant ἑαυτὸν, aut τὸ πρᾶγμα. Reisk. ἀξιοῖ κρατεῖν LMN. Legebatur κρατεῖν ἀξιοῖ. 5 Verba εἴπερ τό γε ἀκριβὲς ἐπ' ἀμφοτέρων δεῖ θεωρεῖν malim translocari et hoc ipso versu post μᾶλλον δὲ poni. quin potius, si verum in ambabus diligenter spectandum est, legum constituendarum ratio pars erit artis oratoriae. Reisk. 6 δευτέρα πως (γρ. δευτέρα, πῶς) Θ. δεύτερα (δευτέρα L correctus) πως vulgo. δευτέρα. πῶς N. Sic distinguo,

νόμων λόγου τοῦ πείθοντος. εἰ γάρ ἐστιν εὔδηλον ὅτι οἱ νόμοι μὲν ὑπὲρ τοῦ πάντας τὸ προσῆκον ἔχειν ἔμελλον τεθήσεσθαι, τοῦτο δ' οἱ τῇ χειρὶ κρείττους οὐκ ἔμελλον συμβουλήσεσθαι, πῶς οὐκ ἀναγκαίως ἔδει λόγου τοῦ πείσοντος ἤδη; οὐ γὰρ βιάσασθαί γε ἐνῆν τοὺς πρὸς αὐτὸ τοῦτο πεφυκότας, οὐδ' ἦν αὕτη νόμων ἀρχή· ὑπὲρ γὰρ αὐτοῦ τοῦ μὴ βιάζεσθαι τοὺς νόμους ἔδει θέσθαι. οὔκουν ἦν τιθέναι βιασάμενον, ἀλλὰ τοῦτ' ἦν πρῶτον παρὰ τοὺς νόμους. ἔδει δὴ πεῖσαι μάλιστα μὲν καὶ τοὺς ἀντιπράττοντας αὐτούς, καὶ βελτίους γε εὐθὺς αὐτῷ τούτῳ ποιῆσαι· εἰ δὲ μή, τούς γε πολλοὺς καὶ ὑπὲρ ὧν ἐτίθει τις. οἱ μὲν γὰρ τῇ σφετέρᾳ φύσει χρώμενοι πρὸς τοὺς πολλοὺς ἀδικεῖν ἔμελλον τοὺς ἄλλους, οἱ δὲ τῇ τῆς ῥητορικῆς καὶ σφετέρᾳ πρὸς ἐκείνους εὖ ποιήσειν ἔμελλον κἀκείνους, εἴπερ σωφρονεῖν ἔμελλον. (86) εἰ δ' ἄρα ἐκεῖνοι μὴ ἐδέχοντο, λοιπὸν ἦν πεῖσαι τοὺς πολλοὺς καὶ ὑπὲρ ὧν ἐτίθει τις αὐτὸ τοῦτο, ὅτι ὑπὲρ αὐτῶν τίθησιν. ἔδει δὴ λόγων καὶ πειθοῦς. δι' ἓν μὲν τοῦθ' οὕτως ἀναγκαίως ἡ ῥητορικὴ νόμων πρότερον καὶ ἡγούμενον, δεύτερον δὲ τί χρὴ τοὺς νόμους αὐτούς, ὦ πρὸς θεῶν, εἶναι φῆσαι πλὴν λόγους, τοσοῦτον τῶν ἄλλων ἐξηλλαγμένους ὅσον εἰσὶ γεγραμμένοι; εἰ μὲν ἐγώ τι μέμνημαι, καὶ Σωκράτει συνδοκεῖν Αἰσχίνης μαρ- 51 τυρεῖ. χωρὶς δὲ τῆς μαρτυρίας καὶ τοῦ Σωκράτους εἰς

---

δευτέρα. πῶς; qui? quomodo? respondet πρῶτον μὲν —. Reisk.
8 οὐκ ἔμελλον] οὐκ ab rec. m. inter versus habet L. 9 πείσοντος N (L apud Iebbium). Legebatur πείσαντος. 10 αὕτη νόμων ἀρχή] Non hinc natae sunt leges; scil. e vi, non vi latae sunt leges, neque invitis obtrusae, sed a volentibus constitutae, aut a persuasis admissae. Reisk. 11 βιασάμενον] βουλευσάμενον N.
12 Fortasse μάλιστα μὲν καὶ πρώτους τοὺς ἀντιπράττοντας. aut alias erit καὶ delendum. Reisk. αὐτῷ τούτῳ] Scil. τῷ πεῖσαι. Reisk.
13 τοὺς πολλοὺς N. καὶ ὑπὲρ] καὶ videtur aut delendum aut transponendum post ὧν, ut sit τούς γε πολλούς, ὑπὲρ ὧν καὶ ἐτίθει τις. sed non multum interest et vulgata paulo post versu 16. recurrit. Reisk. 14 οἱ δὲ τῆς ῥητορικῆς καὶ σφέτεραι πρὸς ἀλλήλων εὐποιήσειν E. 15 ἐκείνους] ἀλλήλους LMN Soph. ἐκείνους correctus L. γρ. ἐκείνους margo N. 17 δι' ἓν] μὴ δι' ἓν Θ.
19 εἰ] Fort. ὅ, (vel ἅ) εἰ. Reisk. μὲν] μὲν γὰρ M. τι EM Soph. Legebatur τοι.
51, 1 εἰς videtur delendum, deinde supplementum codicis

αὐτό τις ἂν σκοπῶν ἴδοι. λέγουσι γάρ πως καὶ τί δεῖ ποιεῖν καὶ τίνων ἀπέχεσθαι καὶ ἐν εἰρήνῃ καὶ ἐν πολέμῳ καὶ καθ᾿ ἕνα καὶ κοινῇ, καὶ πολιτεύονται διηνεκῶς ἐν ταῖς πόλεσιν. οὐκοῦν ταῦθ᾿ ἃ ἐν ταῖς δημηγορίαις τῶν ῥητόρων ἐστὶ, ταῦθ᾿ οἱ νόμοι λέγουσι, πλὴν ὅσον οὐ διαλείπουσιν οἵ γε νόμοι λέγοντες, ἀλλὰ δι᾿ αἰῶνος ῥητορεύουσιν, ἅτ᾿ οἶμαι γεγραμμένοι. ὅτι τοίνυν ῥητορικῆς οἱ περὶ τούτων λόγοι, ῥητορικῆς μέρος οἱ νόμοι. καὶ γὰρ τὸ γεγράφθαι γιγνόμενον μέρος τοῖς λόγοις ἐστὶν, εἴ γε οἱ (87) μὲν ἀπὸ στόματος αὐτῶν λέγονται, οἱ δὲ γράφονται. καὶ μὴν τά γε ψηφίσματα οἱ ῥήτορες δή που συγγράφουσιν. οὐκοῦν ὅτε τὰ ψηφίσματα τῆς αὐτῆς φύσεώς ἐστι τοῖς νόμοις καὶ τῶν αὐτῶν πολιτειῶν, ἀμφότερά γ᾿ ἐστὶ τῶν ῥητόρων, ὥσθ᾿ οἵ γε νόμοι μέρος τῆς ῥητορικῆς.

Φέρε δὴ σκεψώμεθα καὶ περὶ τῆς δικαστικῆς τοῦ χάριν αὐτῆς ἐδεήθημεν καὶ τί ποθ᾿ ἡμῖν βούλεται. ἢ τοῦτο καὶ ῥᾷστον ἁπάντων ἰδεῖν, ὅτι τοῖς νόμοις ἐπικουρεῖ· τοὺς γὰρ παραβαίνοντας ἃ προστάττουσιν ἐκεῖνοι, τούτους ἀναζητεῖ καὶ τιμωρεῖται· καὶ οὐδ᾿ αὐτὸ τοῦθ᾿ ἁπλῶς, ἀλλὰ κἀνταῦθα ἀκολουθεῖ τοῖς νόμοις. ὡς γὰρ ἐκεῖνοι κελεύουσιν, οὕτω κολάζει. εἶεν. τίνος οὖν δεῖ τῇ δικαστικῇ πρὸς ταῦτα; πόθεν εὑρήσει τὸ δίκαιον ἢ παρὰ τῆς ῥητορικῆς; ἡ μὲν γὰρ ἐλέγχει τὰ γιγνόμενα, ἡ δ᾿ ἐπὶ τοῖς ἐλέγχοις ψηφίζεται. φαίνεται τοίνυν κἀνταῦθα ἡ ῥη-

---

Coisliniani οὐ χαλεπῶς admittendum censeo. In αὐτὸ potest τὸ πρᾶγμα subaudiri. aegre tamen illud desidero. quare aut legendum puto Σωκράτους, αὐτὸ τὸ πρᾶγμά τις σκοπῶν οὐ χαλεπῶς ἴδοι, aut Σωκράτους αὐτός τις σκοπῶν, οὐ χαλεπῶς ἴδοι. Reisk. ἴδοι] οὐ χαλεπῶς ἴδοι M. γάρ πως] γὰρ πῶς LN. 2 ταῦθ᾿ ἃ] ταῦτα Θ. 5 γιγνόμενον] Vulgo γινόμενον. γιγνόμενον μέρος rata portio, conveniens, legitima, debita, necessaria pars. Reisk. 6 ἐστὶν Θ. Vulgo ἐστί. ἀπὸ στόματος αὐτῶν LMN. Legebatur αὐτῶν ἀπὸ στόματος. 8 καὶ τῶν αὐτῶν πολιτειῶν] Et in quibus civitatibus leges obtinent, in iisdem valent quoque edicta. Reisk. 10 τοῖς νόμοις] καὶ τοῖς νόμοις E. 11 τοῦθ᾿ L. Vulgo τοῦτο. 12 ὡς γὰρ] γὰρ om. N. κολάζει] In L superscriptum δικάζει. 13 ἢ παρὰ] ἢ om. E. 14 γιγνόμενα] γινόμενα Θ. γιν᾿μενα N.

*τορικὴ βουλομένη μὲν ταὐτὰ τῇ δικαστικῇ, τοσοῦτον δὲ νικῶσα ὅσον ἀμφοτέρας συνέχει μόνη βεβαίως. βουλομένη γὰρ ἡ δικαστική, καθάπερ ἐν μάχῃ τῇ νομοθετικῇ βοηθῆσαι, ταυτὸν ἔπαθεν αὐτῇ τῇ νομοθετικῇ. ἐκείνη τε γὰρ* (88) *ῥητορικῆς πρότερον ἐδέησεν, ὥστε ταύτῃ ἔχειν πάροδον τοὺς νόμους, ἥ τε δικαστικὴ σχῆμα ἐπικούρου λαβοῦσα τοῖς νόμοις αὐτὴ πρότερον προσεδεήθη τῆς παρὰ τῆς ῥητορικῆς βοηθείας. ἔδει γὰρ αὐτὴν δυνηθῆναι βοηθῆσαι· τοῦτο δὲ οὐκ ἦν ἄνευ ῥητορικῆς. τοσούτῳ δὴ σεμνότερον*

52 *καὶ τιμιώτερον ῥητορικὴ δικαστικῆς ὅσῳ μικροῦ δέω λέγειν δικαστὴς δημίου. ὁ μὲν γὰρ ἐλέγχει τἀδικήματα ὁ ῥήτωρ καὶ παραδίδωσι τῷ δικαστῇ, ὁ δ' ἀκούσας καὶ μαθὼν παραδίδωσιν αὖ τοῖς ὑπηρέταις, καὶ μέσος ἐσθ' ὁ δικαστὴς διακόνου καὶ ῥήτορος. αὖθις δὲ ἐπειδὰν τέλος ἡ δίκη λάβῃ, τῇ μὲν δικαστικῇ πλέον οὐδ' ὁτιοῦν περίεστιν, ἀλλ' ὥσπερ ἡ νομοθετικὴ θεῖσα τοὺς νόμους ἀπήλλακται, οὕτως ὁ δικαστὴς μετὰ τὴν κρίσιν. εἰσδεξαμένη δὲ ἡ ῥητορικὴ τοὺς ἤτοι δι' ἄγνοιαν ἢ δι' ἀγνωμοσύνην ἀγανακτοῦντας τοῖς δεδικασμένοις καὶ πρὸς θορύβους ἢ στάσεις τὰ πράγματα ἐξάγοντας κατέχει καὶ νουθετεῖ, πείθουσα στέργειν τοῖς νόμοις καὶ τῇ ψήφῳ τῶν δικαστῶν, οὐ τὸν Πινδάρου νόμον τιμῶσα, ὦ τἀναντία λέγων τῇ φύσει τῆς ῥητορικῆς, οὐδὲ ταῦτ' ἐπᾴδουσα „Νόμος ὁ πάντων βα-* (89) *σιλεὺς θνατῶν τε καὶ ἀθανάτων ἄγει δικαιῶν τὸ βιαιότα-*

---

15 *βουλομένη μὲν ταὐτὰ*] *ταυτὰ μὲν βουλομένη* L. *ταῦτα βουλομένη* E. *ταυτὸν βουλομένη* MN. 17 *αὐτῇ* om. M. *αὐτῇ* facile patior abesse. si servatur, dativus cum nominativo erit mutandus. Reisk. 18 *δικαστικὴ*] *ῥητορικῇ* M. *αὐτὴ*] Malim *καὶ αὐτή*, et ipsa quoque. Reisk. συν 19 *δυνηθῆναι*] *δεηθῆναι* N. 20 *δὴ*] *δὲ* L. *ῥητορικὴ*] *ἡ ῥητορικὴ* LN.

52, 1 *τἀδικήματα* Θ et Canterus. *τὰ δικήματα* Iunt. *τὰ ἀδικήματα* Steph. Iebb. 2 *αὖ τοῖς* Soph. et Reiskius. Scribebatur *αὐτοῖς*. 4 *τῇ μὲν δικαστικῇ*] *τῷ μὲν δικαστῇ* N. 5 *εἰσδεξαμένη*] Malim *ἐκδεξαμένη*. Reisk. 7 *ἐξάγοντας*] *ἐξανάγοντας* L. 8 *τἀναντία* M. Legebatur *τἀναντία αὐτά*. 9 *ἐπᾴδουσα*] Etiam atque etiam inculcans, velut versiculos cantilenae saepius iterandos. Reisk. *Νόμος*] Pindari fragm. 151. p. 640. *θνατῶν*] *θνητῶν* LN. *ἄγει*] Legebatur *λέγει*. Correctum ex E et Platonis Gorgia p. 484 b. *τὸ βιαιότατον*] *τὸν βιαίτατον* N.

τον ὑπερτάτᾳ χειρί. τεκμαίρομαι ἔργοισιν Ἡρακλέος, ἐπεὶ ἀπριάτας." οὐ γὰρ φῂς ὅλου μεμνῆσθαι, ἐχρῆν δὲ ἴσως οὐδὲ τούτων, μὴ οὖν ἐπὶ ῥητορικήν γε. ἀλλ' ἄχρι μὲν τούτου καὶ ἡ ῥητορικὴ λέγει, νόμος ὁ πάντων βασιλεὺς θνατῶν τε καὶ ἀθανάτων· τὰ δὲ ἑξῆς οὐκέτι ταὐτὰ — πόθεν; οὐδέποτε ἡμέρα καὶ νὺξ ταὐτὰ συμφήσουσιν — ἀλλὰ πᾶν τοὐναντίον ἄγει τὰ δίκαια πρεσβεύων καὶ τοὺς

---

10 χειρί] χερὶ Θ ἠρακλέος N. Scribebatur Ἡρακλέους. Totum locum scholiastae et aliorum scriptorum ope ita restituit Boeckhius p. 642.

*Νόμος ὁ πάντων βασιλεὺς*
*θνατῶν τε καὶ ἀθανάτων*
*ἄγει δικαιῶν τὸ βιαιότατον*
*ὑπερτάτᾳ χειρί. τεκμαίρομαι*
*ἔργοισιν Ἡρακλέος· ἐπεὶ Γηρυόνα βόας*
*Κυκλωπίων ἐπὶ προθύρων Εὐρυσθέος*
*ἀναιτήτας τε καὶ ἀπριάτας ἤλασεν.*

11 οὐδὲ ELMN. Legebatur μηδέ. μὴ οὖν] μηδ' E. ἐπὶ addidi ex ΘELMN. Recte dant quidam libri ἐπὶ τὴν ῥητορικήν, contra rhetoricam. V. de hoc Pindari loco t. III. Historiae Acad. Regiae Parisin. Inscription. p. 190. versionis Germanicae, ubi habetur Fraguieri ad eum locum disputatio, ad quam t. XI. qui indices et accessiones continet, p. 40. nonnulla notavi, quae longum esset huc transferre. Sed in breve contraham ibi disputata, quorum haec est summa; Platonem seu errore seu consulto Pindarici loci pervertisse sententiam et eum mutilasse, quo sententiam suis rationibus convenientem ex eo extorqueret. Pindaricus locus ita habet ὁδοὺς βιαιότητος ἐλέγχει παιδείᾳ νόμος, ὁ πάντων βασιλεὺς θνητῶν τε καὶ ἀθανάτων, δικαιῶν τὸ βιαιότατον ὑπερτάτα χειρί. vias, h. e. mores, artes, instituta, violentiae et libidinis iniuriarum redarguit atque coercet disciplina sua lex, omnibus imperans, diisque hominibusque, eo quod punit vel ulciscitur violentiam eminentissima manu. Miror Aristidem Platonis seu versutiam seu lapsum non animadvertisse, cuius aetate Pindarus adhuc integer exstabat. Initium loci, unde vera poetae voluntas colligitur et elucescit, Clemens servavit Alexandrinus. Herculis exemplum poenas violentiae atque rapinarum a Geryone repetentis allegat Pindarus confirmandae sententiae suae ergo, vim et libidinem nunquam inultam manere, sed semper existere aliquem, qui violentos et iniuriosos alia vi contraria coerceat atque ulciscatur. Reisk. 12 θνατῶν] θνητῶν ELMN. ἄγει] ἄγει δὲ N. Leg. ἐπὶ. Rhetorica, sic ait auctor, locum Pindari non omnino sic, ut Plato, recitabit, sed partim ut ille, partim aliter; ad hunc puta modum, νόμος ὁ

Digitized by Google

ἐν ὕβρει θρασεῖς νουθετῶν. εἰ γὰρ ἀξιώσει τὸ βιαιότατον νόμον εἶναι τὸν δικαιοῦντα καὶ τὴν ὑπερτάτην χεῖρα κρατεῖν Ἡρακλέους, ᾧ μετὰ τῆς χειρὸς τῶν δικαίων ἐμέλησεν, αὐτὴ τοῖς ἑαυτῆς λόγοις ἀπολεῖται. τίς γὰρ τόπος λοιπὸν
53 ἢ χρεία ῥητορικῆς ἢ λόγων, εἰ τὸ δίκαιον ἡ χεὶρ ὁριεῖ καὶ μηδὲν πλέον ἔσται τῷ δυναμένῳ διδάξαι περὶ τοῦ πράγματος; ποῦ δὲ τὸ πείθειν, εἰ τὸ βιάζεσθαι κρατήσει; καὶ ταῦτα αὐτῆς, ἧς ἔργον πείθειν, δούσης βιάζεσθαι; δοκεῖ δέ μοι καὶ Πίνδαρος, εἴ τι δεῖ περὶ τοῦ ᾄσματος εἰπεῖν, οὐκ εἰσηγούμενος οὐδὲ συμβουλεύων σπουδῇ ταῦτα (90)
λέγειν τοῖς ἀνθρώποις, ἀλλ' ὡσπερεὶ σχετλιάζων. τεκμαίρομαι ἔργοισιν Ἡρακλέος αὐτοῖς τούτοις, ὅτι καὶ ἑτέρωθι μεμνημένος περὶ αὐτῶν ἐν διθυράμβῳ τινὶ „Σὲ δ' ἐγὼ παρ' ἀμὶν“ φησὶν „αἰνέω μὲν Γηρυόνη, τὸ δὲ μὴ Διὶ φίλτερον σιγῶμι πάμπαν. οὐ γὰρ εἰκὸς“ φησὶν „ἁρπαζομένων τῶν ὄντων καθῆσθαι παρ' ἑστίᾳ καὶ κακὸν εἶναι.“ καίτοι τό γε πρὸς νόμον καὶ ταῦτα ἀνθρώπων ἅμα καὶ θεῶν βασιλέα μάχεσθαι οὐκ ἦν ἐπαινεῖν πρὸς Πινδάρου, οὐδὲ συμβουλεύειν πρὸς κέντρα λακτίζειν. αὐτὸς γοῦν τὸ

---

πάντων βασιλεὺς θνητῶν τε καὶ ἀθανάτων, ἀεὶ τὸ δίκαιον πρεσβεύων καὶ τοὺς ἐν ὕβρει θρασεῖς νουθετῶν. hic recitandi modus ut initio convenit cum Platonico, ita in exitu vehementer discrepat. Lex omnibus imperans mortalibusque et immortalibus, nunquam non tuens et extollens ius, audaces autem et insolentes compescens. Reisk.

14 εἰ γὰρ] Nam si rhetorica verum statuet, et fas ducet atque pronunciabit, summam vim esse legem eam, quae ius inter homines dicat. Reisk. τὸ βιαιότατον] τὸν βιαιότατον N. 15 ὑπερτάτην] ὑπὲρ ταύτην N. 16 τοῖς] Subaudi σύν. αὐτὴ τοῖς idem est atque αὐτὴ σὺν αὐτοῖς τοῖς ἑαυτῆς λόγοις. Reisk. 16 ἑαυτῆς] ἑαυτοῖς M. λοιπὸν ἢ χρεία] ἢ χρεία λοιπὸν LN.

53, 1 ὁριεῖ] ὁρμεῖται M. 2 δούσης] δοκούσης E. 3 περὶ] καὶ περὶ ELN. 5 ἡρακλέος N. Vulgo Ἡρακλέους. τούτοις excidit ex libb. Σὲ δ'] Fragm. 49. p. 583. ab Boeckhio probabiliter ita descriptum

Σὲ δ' ἐγὼ παρ' ἄμμιν αἰνέω μέν, Γηρυόνα,
τὸ δὲ μὴ Διὶ φίλτερον σιγῷμι πάμπαν. οὐ γὰρ ἐοικὸς
ἁρπαζομένων τῶν ἐόντων καθῆσθαι παρ' ἑστίᾳ
καὶ κακὸν ἔμμεναι.

6 παρ' ἀμὶν] παράμιν LN. Γηρυόνη] γηρύονι L. γηρυόνι N. σιγῶμι] σιγῶ μὲ N. πάμπαν] μὴ πάμπαν M. 7 τό γε] τοῦτό γε Θ. 8 Πινδάρου] πίνδαρον M. 9 τὸ τοιοῦτον] τοῦτο τοιοῦ-

τοιοῦτον κέκληκεν „Ὀλισθηρὸν οἶμον“ καὶ κελεύει φυλάττεσθαι. ἀλλὰ τί, φησὶ, τούτων ἐμοὶ νῦν; εἴτε γὰρ δοκοῦντα Πινδάρῳ ταῦτ᾽ ἦν εἴτε μὴ, ἀλλ᾽ οὐ τῇ γε ῥητορικῇ δείξει τὸ τοιοῦτον δοκοῦν. οὐ δεῖ γὰρ ἁρπάζειν ἕκαστον κατὰ δύναμιν καὶ τοῦτο νόμον καλεῖν, ἀλλ᾽ ἕκαστον τῶν δικαίων τυγχάνειν, καὶ τὸν ταῦτα διαιροῦντα νόμον τιμᾶν, καὶ καλεῖν γε μόνον τὸ τοιοῦτον νόμον καὶ τοὐναντίον παρανομίαν. ταῦτ᾽ ἔστι τὸ δόγμα τῆς ῥητορικῆς καὶ τούτῳ σύνεστι τῷ νόμῳ καὶ περὶ τούτου πείθει τηροῦσα ὅπως μηδεὶς ὑπερβήσεται, τοὺς ὑπερβαίνοντας σωφρονίζουσα. μέγιστον δὲ μαρτύριον· οὗ μὲν γὰρ νόμος (91) καὶ δίκαι, ἐνταῦθα καὶ ῥητορικὴ καὶ λόγοι, οὗ δ᾽ ὑπερτέρα χεὶρ ἀφαιρεῖται τὸ δίκαιον, οὐδὲν ἴδοις ἂν ἐκεῖ ῥητορικῇ διοικούμενον. ἀλλ᾽ ἔστι μιᾶς ὡσπερεὶ μοίρας καὶ φύσεως οἱ νόμοι, ἡ δίκη, οἱ λόγοι. τριῶν δ᾽ οὐσῶν τούτων δυνάμεων, ὅπερ λέγων ἐξέβην, ἁπάσας τὰς χώρας ἡ ῥητορικὴ μόνη καταλαμβάνει. προτέρα γὰρ οὖσα τῆς νομο-
54 θετικῆς κατὰ τὴν ἐκείνης χρείαν, προτέρα δ᾽ αὖ καὶ τῆς δικαστικῆς, ὅτε κἀκείνης ἔδει, λαβοῦσα μέσην πρότερον τὴν νομοθετικὴν, εἶτ᾽ αὖ τὴν δικαστικὴν ὡσαύτως διχόθεν περιέχουσα, πρώτη καὶ μέση καὶ τελευταία γίγνεται, ὁμοῦ μὲν ἀμφοῖν αὐτὴν μέσην, ὁμοῦ δ᾽ ἄμφω μέσας αὐτῆς καθιστᾶσα, ὡς μάλιστ᾽ ἔμελλον ἅπασαι συμμένειν, ἀντὶ συνδέσμου τῇ ῥητορικῇ χρώμεναι. πότερον οὖν πολι-

τον ΘLN. τὸ τοιοῦτο M. Ὀλισθηρὸν οἶμον] Pyth. II, 174. (96. Boeckh.) καὶ om. M. 10 φησὶ] Subaudi τις vel τὸ παροίμιον. At quid hoc ad me, ait proverbium. Reisk. 11 τοιοῦτον] τοιοῦτο M. 12 τυγχάνειν] τυχάνειν (sic) N. — τιμᾶν καὶ ab rec. m. superscriptum habet L. 13 τὸ τοιοῦτον L. Scribebatur τὸ τοιοῦτο. καὶ τούτῳ] καὶ ἐπὶ τούτῳ Reiskius. 14 ὑπερβήσεται] ὑπερβήσεται τοὺς νόμους Soph. 16 ὑπερτέρα] ὑπέρτατα M. 17 ἡ δίκη] αἱ δίκαι M, quod in L superscriptum est.

54, 1 Fortasse ὅτι κἀκείνη ταύτης (vel αὐτῆς) προσέδει. quia illa quoque (iustitiae administratio) ipsa (rhetorica) opus habebat. Reisk. κἀκείνης Steph. Iebb. κἀκείνοις Iunt. 3 γίγνεται] γίνεται L. μὲν ἀμφοῖν LMN. Legebatur μὲν γὰρ ἀμφοῖν. αὐτὴν et αὐτῆς N. Scribebatur αὐτὴν et αὐτῆς. 4 Ante ὡς videtur ὅπως deesse. qua ratione quam maxime futurum erat ut omnes

Digitized by Google

*τικῆς μορίου εἴδωλον ἡ ῥητορική, ἢ τὰ τῆς πολιτικῆς ὡς σὺ φῄς μόρια ὑπὸ τῆς ῥητορικῆς συνέχεται; ἐμοὶ μὲν γὰρ ὡς ἀληθῶς οὐ ῥητορικὴν ἐν τούτοις κακίζειν φαίνεται οὐδὲ πολιτικῆς μορίου εἴδωλον δεικνύναι, ἀλλ' οὕτως ὥσπερ εἴ-* (92) *δωλον ῥητορικῆς ἀπειληφὼς ἐπὶ τούτῳ σπουδάζειν, αὐτῆς δ' οὐδ' ἅπτεσθαι, ὥσπερ οἱ Στησιχόρου Τρῶες οἱ τὸ τῆς Ἑλένης εἴδωλον ἔχοντες ὡς αὐτήν. διαφέροι δ' ἂν τοσοῦτον, ὅτι οὐδὲ ὅμοιον τῇ ῥητορικῇ τὸ εἴδωλον. ἀλλὰ μὴν τῆς γε ἀρετῆς τέτταρα δή πού φασιν εἶναι μόρια, φρόνησιν, σωφροσύνην, δικαιοσύνην, ἀνδρείαν. ῥητορικὴ τοίνυν εὑρέθη μὲν ἐν φρονήσει καὶ ὑπὲρ δικαιοσύνης, σωφροσύνη δὲ τῶν ἐχόντων καὶ ἀνδρεία τὰς πόλεις σώζει· σωφροσύνη μέν, ἐπεὶ τὸν ἐν κόσμῳ βίον πρὸ τῆς ἀταξίας αἱροῦνται, ἀνδρεία δ' ὅτι τοῖς ἐναντίοις οὐχ ὑπείκουσιν. ἂν γὰρ εἴξωσιν, οὐ φυλάξουσι τὴν ῥητορικήν, ὥστε ἕως ἂν φυλάττωσιν, οὐκ εἴκουσιν. οὐκοῦν οὐ τεττάρων ὄντων μορίων τῆς κολακείας τοῦτό ἐστι ῥητορικὴ πρὸς δικαιοσύνην ὅπερ ὀψοποιικὴ πρὸς ἰατρικήν, ἀλλὰ τεττάρων ὄντων μορίων τῆς ἀρετῆς ἅπαντα δι' αὐτῆς πεποίηται, καὶ ὅπερ ἐν σώματι γυμναστικὴ καὶ ἰατρική, συναμφότερον λέγω, τοῦτ' ἐν τῇ ψυχῇ καὶ τοῖς τῶν πόλεων πράγμασι* (93)

---

constarent inter se. Reisk. 6 *πολιτικῆς*] *ῥητορικῆς* N. 7 *φαίνεται*] Malim *φαίνῃ*, quia praecessit *ὡς σὺ φῄς*. saepe tamen oratores personas mutant, ut, cum essent adversarium tanquam praesentem allocuti, subito ad auditorem lectoremve convertantur, cum eoque causam communicent et de adversario iudicium. Reisk. 9 *στησιχόρου* ELN. Scribebatur *Στησιχώρου*. *οἱ* (*οἳ* N) *τὸ*] *οἱ* om. L. 10 *οὐδὲ*] *οὐδὲν* EN. 11 *μόρια*] *τὰ μόρια* E. *ἀνδρείαν*] *ἀνδρίαν* LN. 12 *ἐν φρονήσει*] *ἐν* delendum. Reisk. *τῶν ἐχόντων*] Subaudi *σωφροσύνην καὶ ἀνδρίαν*. Reisk. 13 *ἀνδρεία* ΘM. Scribebatur *ἀνδρία*. *ἀνδρίᾳ* N. *σωφροσύνη*] *καὶ σωφροσύνη* N. *τὸν ἐν κόσμῳ βίον*] Cuius vitae honestae necessitatem, utilitatem et praestantiam nemo agnoscit, qui logica, hoc est rhetorica, non utitur. Reisk. *πρὸ τῆς* EL (N apud Iebbium), Canterus, Iebb. *πρὸς τῆς* Iunt. *ἀταξίας* corr. L, qui *ἀξίας* habuit. 14 *ἀνδρεία* ΘM. Scribebatur *ἀνδρία*. *δ'*] *δὲ* LN. *εἴξωσιν*] *εἴξουσιν* M. *οὐκοῦν οὐ*] *οὔκουν* L, omisso *οὐ*, quo etiam M caret. *οὔκουν οὐ* N. *καὶ ὅπερ ἐν* ELMN. Legebatur *καὶ ὅπερ γὰρ ἐν*. *ὅπερ ἐν* Θ. 18 *ἰατρικὴ καὶ γυμναστικὴ* M. *τῇ ψυχῇ*

Digitized by Google

ῥητορικὴ φαίνεται. τὰ μὲν γὰρ ἄδηλα εἰ καὶ γενήσεται
55 προορᾷ, ἐπειδὰν δημηγορῇ· τὰ δὲ ὅπως μὴ γενήσεται προορᾷ, ἐπειδὰν νομοθετῇ· τὰ δὲ διατηρεῖ καθ' ὅσον δύναται· τὰ δὲ πραχθέντα ἐπανορθοῖ, ἐπειδὰν τοὺς ἀδικοῦντας τοῖς δικασταῖς παραδιδῷ. τί οὖν εἰ Ἀρχέλαος τὸν αὐτοῦ δεσπότην καὶ θεῖον ἀποκτείνας κατέσχε τὴν ἀρχήν, ἢ τὸν ἑπταετῆ ἐκείνου παῖδα εἰς τὸ φρέαρ ἐμβαλὼν ἔφη πρὸς Κλεοπάτραν διώκοντα τὸν χῆνα ἐμπεσεῖν, ἢ μανίᾳ τινὶ παρελήρησεν ἐπὶ τῆς μύλης, τί ταῦτ' ἐστὶ πρὸς ῥητορικήν, ὦ πάντα λόγον καὶ μονονοὺ τοὺς λίθους κεκινηκὼς ὡς ἀληθῶς αὐτούς; τί βούλεταί σοι τὰ μηδὲν προσήκοντα ἐπεισόδια; οὐ γὰρ ἔγωγε ταῦτ' ἔπειθον, φήσειεν ἂν ἡ ῥητορική. οὐδ' εἴ τις ἐπείθετο ἐμοὶ σφάττων καὶ ἀποπνίγων, οὔτε ταῦτα οὔτ' ἄλλ' οὐδ' ὁτιοῦν ἂν διεπράττετο, ἀλλὰ πείσας καὶ φανερῶς ἀποδείξας ὅτι τῶν αὐτῷ προσηκόντων ἀντιποιεῖται. ἐπὶ γοῦν τῶν βραχυτέρων,

---

LMN. Aberat τῇ. 19 Fort. τὰ γὰρ ἄδηλα εἰ, καὶ οἷα, γενήσεται. illas enim res de quibus incertum est sintne futurae, et quales sint futurae. Reisk. εἰ καὶ] ἢ καὶ N apud Iebbium. οἷα, omisso καί, EM. ἐπειδὰν — προορᾷ om. MN.

55, 1 τὰ δὲ ὅπως — νομοθετῇ in margine habet L. γενήσεται] γένηται L Soph. 3 αὐτοῦ] αὐτοῦ N. ἐκείνου] Immo fratris eius, Perdiccae. Canter. Vide Platon. Gorgiam. p. 471 c. 4 τὴν χῆνα LN. τινὶ] τινα. aut per furorem nugatus est nescio quae. Reisk. 5 ἐστὶ ΘN. Vulgo ἐστίν. ῥητορικὴν] τὴν ῥητορικὴν M. 6 τοὺς λίθους — σοι τὰ om. MN. 7 ἔπειθον] ἔπαθον N. σφάττων ΘELMN Soph. Iebb. σπαράττων Iunt. σφάττων καὶ ἀποπνίγων] Qui decrevisset alios iugulare aut strangulare. idem est, more Graeco, atque σφάττειν καὶ ἀποπνίγειν βουλόμενος. Graeci de re inchoata modo loquuntur ita ut de peracta. aut etiam reddi potest, qui soleret alias homines mactare, aut qui adhuc consuevisset, iam nihil eiusmodi auderet praeceptis eloquentiae auscultans. Reisk. ἀποπνίγων] ἀποκτιννὺς et rec. m. ἀποπνίγων M. 8 οὔτ' ἄλλ'] οὔτ' ἄλλα LN. ἀλλὰ] Post ἀλλὰ tacite repetitur a communi διεπράττετο ἃ ἂν διαπράττοιτο. sed perfecturus ille esset, quaecunque tandem esset perfecturus, ita, si persuasisset atque demonstrasset civibus liquido atque perspicue. Reisk. 9 αὐτῷ] αὑτῷ N. 9. 10 φησὶ et φησὶν] Legendum est utroque loco φήσει, dicet. rhetorica puta. Reisk.

Digitized by Google

φησί, τούτῳ χρῶμαι καὶ τοὺς κλήρους οὐ τοῖς ἁρπάσασιν, ἀλλὰ τοῖς ἀποδείξασι δίδωμι. καὶ τὸν Ἀρχέλαον αὐτόν, (94) φησίν, οὐχ ὅπως τούτων ἄν ποτε ἠξίωσα, ἀλλ᾽ εὐθὺς ἂν εἰσήγαγον οὗ δίκην ἂν ἔδωκε καλὴν καὶ πρὶν τὸν παῖδα ἴσως ἀποπνῖξαι, ἔτι τῶν πρώτων φόνων ὄντων ἐν χερσίν, εἴ τινα εἶχεν ἡ ῥητορικὴ χώραν ἐν Μακεδονίᾳ· νῦν δ᾽ ἀπούσης ἐμοῦ ὁ μὲν ἠδίκει, οἱ δ᾽ ἠτύχησαν αἵ τε διαφθαρέντες καὶ οἱ τοιοῦτον ἄρχοντα δεξάμενοι. ὥστ᾽ εἰ μηδαμόθεν ἄλλοθεν, ἔκ γε τῶν Ἀρχελάου κακῶν γνῶθι ὡς καλὸν ῥητορικὴ καὶ ἀναγκαῖον καὶ πόλει καὶ ἔθνει παρεῖναι, μέλλοντι ἀωθήσεσθαι καὶ μὴ τοῖς ἐναγέσι κακῶς δουλεύειν.

56 ταυτὶ μᾶλλον ἄν, οἶμαι, πείθοι λέγουσα ῥητορική, οἰκεῖά τε καὶ δίκαια καὶ προσόντα ἑαυτῇ λέγουσα. οὐ μὴν ἀλλ᾽ εἰ Πλάτων οἴεται τούτοις ἐλέγχειν αὐτήν, ὥρα καὶ τὰ Γύγου τοῦ Λυδοῦ προσεγκαλεῖν αὐτῇ οἶμαι — ταῦτα μὲν ἐστι καὶ ἀτοπώτερα — ὅτι τὸν δεσπότην ἀποκτείνας ἔσχε τὴν ἀρχήν· ἡ δὲ συνῄδει καὶ συνέπραττεν ἡ τοῦ μὲν γυνή, τοῦ δὲ δέσποινα. τί οὖν οὐ κἀκεῖνα λέγομεν, ὅτι Κῦρος τὸν Ἀράξην διαβὰς Μασσαγέταις συνέβαλε, Δαρεῖος (95) δὲ τὸν Βόσπορον ζεύξας ἐπὶ Σκύθας διέβη, Ξέρξης δὲ τὸν Ἑλλήσποντον ζεύξας ἐπὶ τὴν Ἑλλάδα, Νίνος δὲ ὑπὸ Μήδων ἑάλω, ὁ δὲ Σαρδανάπαλλος ἐκαύθη ζῶν ἀναβὰς ἐπὶ τὴν πυρὰν αὐτός. καὶ τί ταῦτ᾽ ἐστὶ πρὸς ἔπος; ἢ πότ᾽.

---

10 ἁρπάσασιν] ἁρπάσιν M. 11 εἰσήγαγον] εἰσῆγον E. ἂν ἔδωκε ΘLN. Legebatur ἔδωκεν ἄν. εἶχεν χώραν ἐν μακεδονίᾳ ῥητορικὴ M. 13 Μακεδονίᾳ] μακεδωνίᾳ L. 14 μηδαμόθεν] μὴ δαμόθεν L. 15 πόλει] τῇ πόλει Θ. μέλλοντι] τῷ μέλλοντι Θ. μέλλοντι δήπου M.

56, 1 μᾶλλον] μὲν ἄλλον M. πείθοι] πείθει LN. 2 ῥητορικὴ LN. Legebatur ἡ ῥητορική. προσόντα] προσήκοντα L („sec. manu“ Iebb.) M Soph. 3 αὐτὴν] ῥητορικὴν M. 4 μέν ἐστι] γάρ ἐστι M. Recte dat codex Coislinianus γὰρ pro μέν. aut alias eo servato leg. οἶμαι, ἀλλὰ ταῦτα μὲν ἔτι καὶ ἀτοπώτερα. atque hoc est adhuc stultius. Reisk. τὸν δεσπότην] τὸν αὐτοῦ δεσπότην M. Conf. p. 55, 3. ἔσχε] κατέσχε M. 5 συνῄδει] συνίδει L.

οὐ κἀκεῖνα] οὐκ ἐκεῖνα N. 6 Ἀράξην] ἀραξὴν N. Μασσαγέταις] μασαγέταις L. συνέβαλε] συνέβαλλε Θ. 8 Νίνος Steph. Iebb. νῖνος LN Iunt. ὁ δὲ] ὁ γὰρ E. σαρδανάπαλλος ex Iunt. revocavi. Σαρδανάπαλος Steph. Iebb. 9 ταῦτ᾽ ἐστὶ πρὸς] ταῦτα

ἂν σταίη τις κατηγορῶν ῥητορικῆς, εἰ πάνθ᾽ ὅσα πώποτε
ἢ ἰδιώταις ἢ πόλεσι συνέβη κατὰ συμφορὰς, ταῦτα ῥη-
τορικῇ λογίζοιτο; καίτοι γε περὶ Ἀρχελάου καὶ τοῦτ᾽ ἔχοι
τις ἂν εἰπεῖν, ὅτι Σωκράτην οὗτος ἦν ὁ καλῶν ὡς αὐτὸν,
οὐ τῶν ῥητόρων οὐδένα· ἀλλ᾽ ἐῶ τοῦτο. ἀλλ᾽ οἶμαι γέ-
λως ἐστίν. ἕως γὰρ ἄν τις μὴ δείξῃ τούτων αἰτίαν τὴν
ῥητορικὴν οὖσαν, μηδὲ τῇ ταύτης φύσει ταῦτα συμβαί-
νοντα, οὐ ῥητορικὴν δίδωσιν ἁμαρτῆσαι, τοῦτο δέ ἐστιν
ἐλέγξαι τὸ ζητούμενον. πρὸς δὲ κἀκεῖνο εὐήθεις, εἰ αὑτῷ
μὲν νομίζοι πᾶσαν ἄδειαν καὶ ἃ μή ταύτης ἐστὶν ἔργα
ῥητορικῇ προσάπτειν ἐξεῖναι, τὸν δ᾽ ἀντικείμενον λόγον
57 οὐχ ὁρᾷ, οὐδ᾽ οἰήσεται καὶ τὸν ὑπὲρ ταύτης λέγοντα καὶ
σεμνύνοντα πάνθ᾽ ὅσα πώποτ᾽ ἐπράχθη χρηστὰ κατ᾽ (96)
ἀνθρώπους ἐπὶ ῥητορικὴν ἄγειν δυνήσεσθαι. ἡμεῖς τοίνυν
ἀποδείκνυμεν οὗ χάριν εὑρέθη ῥητορικὴ, ἵν᾽ εἰ μὲν εἴη
τοῦτο καλὸν, καὶ τὴν ῥητορικὴν χρηστὸν ἡγώμεθα, εἰ δ᾽
αἰσχρὸν καὶ φευκτὸν, τοῖς αὐτοῖς ὀνόμασι καὶ λογισμοῖς
καὶ περὶ τῆς ῥητορικῆς χρώμεθα. φαίνεται τοίνυν ἐξ ἀρχῆς
ὑπὲρ τοῦ δικαίου συστᾶσα καὶ νομισθεῖσα, ὥσπερ ἀφ᾽
ὧν, ὅπερ εἶπον, τοῦτο ἴσχυσεν ὄνομα οἱ νόμοι. ἔδει γὰρ
τοῖς ταῖς χερσὶν ἐλαττουμένοις λόγου καὶ νόμου βοηθοῦ.
οὐκοῦν ὅσ᾽ ἄν τις ἐκλέξας ἀδικήματα εἰς τὸ μέσον φέρῃ,
πρὸς τῷ μηδὲν προὔργου πράττειν εἰς τοὺς κατ᾽ αὐτῆς
ἐλέγχους καὶ τοὺς ὑπὲρ αὐτῆς λόγους κομιεῖ. ταῦτα γὰρ
καὶ τὰ τοιαῦτα ὥστε μισεῖν καὶ κωλύειν εὑρέθη. νὴ Δί᾽

---

πρὸς M. 11 ῥητορικῇ LN Iebb. ῥητορικὴ Iunt. λογίζοιτο] λογίζετο L. ἔχοι ΘLN. Legebatur ἔχει. 12 αὐτὸν N. Vulgo αὑτὸν. — τῶν ῥητόρων] τὸν ῥητόρων N. 14 ταύτης] ταύτῃ L. 15 νομίζοι] νομίζοιτο LMN. 16 ῥητορικῇ] In M duplicis lectionis, ῥητορικῇ et ῥητορικῆς, vestigia.

57, 2 ἐπὶ] ἔστι N. 3 εἰ μὲν ΘN. Legebatur εἰ μήν. 4 ἡγώμεθα M. ἡγόμεθα (sic) N. ἡγοίμεθα L. Legebatur ἡγούμεθα. 6 ἴσχυσεν] Legebatur ἴσχυσαν. „ἴσχυσεν. quemadmodum οἱ νόμοι, leges, a quibus, ut dixi, hoc ὄνομα vocabulum scil. verbum νομίζειν productum et in usum missum est. Reisk. ἰσχήκασιν Canterus.

7 πρὸς τῷ] πρὸς τὸ L. 8 εἰς τοὺς ΘELMN. Legebatur οὐκ εἰς τοὺς. καὶ τοὺς ὑπὲρ ΘELMN. Legebatur τοὺς δὲ ὑπέρ. Malim εἰς τοὺς δὲ ὑπέρ. Reisk. 9 λόγους] ἐπαίνους M. γρ.

ἀλλὰ συκοφαντοῦσί τινες τῆς ῥητορικῆς προϊστάμενοι. καὶ κατ' αὐτό γε τοῦτο σεμνότερον ἡ ῥητορική. πῶς; ὅτι καὶ τῶν ἰατρικῆς, οἶμαι, τινὲς προϊσταμένων ἀπέκτειναν φαρμάκῳ τινὰς ἤδη καί τιν' ἴσως ἄλλον τρόπον, ἀλλ' οὐ διὰ τοῦτο πονηρὸν ἡ ἰατρική, ἣ τοσοῦτον ἀπέχει τοῦ κτείνειν ἀνθρώπους ὥστ' ἐστὶ θανάτου φάρμακον ὡς εἰπεῖν τό γε (97)
ἐφ' ἑαυτῇ. οὐκοῦν ὅστις μάλιστα μισεῖ καὶ δυσχεραίνει τοὺς ἀποκτιννύντας, οὗτος μάλιστα τοὺς σώζοντας ἀσπάζεται καὶ τιμᾷ. οὐκοῦν καὶ ἐπὶ τῆς ῥητορικῆς εἰ μὲν πέφυκεν ὥστε ὑβριστὰς καὶ κόλακας ποιεῖν, ἐξ ἀνάγκης αἰσχρὸν καὶ ἀγεννὲς καὶ ἀνελεύθερον καὶ οὐ πρέπον ἀνδρὶ καλῷ κἀγαθῷ· εἰ δὲ ὑπὲρ τοῦ λόγῳ σώζειν τοὺς ἀνθρώπους καὶ τὸ δίκαιον, ὑπὲρ τούτου κατεδείχθη, ὅπερ κατὰ σῶμα ἰατρική, τοῦτ' ἐν ψυχῇ ῥητορικὴ προϊόντος ἑξῆς

58 τοῦ λόγου πέφηνεν ἡμῖν οὖσα, ἐῶ γὰρ τὰ νῦν γυμναστικήν. ὥσθ' ὅστις μάλιστα τοὺς συκοφαντοῦντας ἢ κολακεύοντας δυσχεραίνει, τούτῳ μάλιστα προσήκει τὴν ὑπὲρ τοῦ βελτίστου νομισθεῖσαν καὶ τούτων οὖσαν φάρμακον τιμᾶν. ὥσπερ γὰρ ὅστις ἀποκτιννύει ἰατρικὴν ὑπισχνούμενος οὐχ ἅμα ἰατρός τέ ἐστι καὶ ἀποκτίννυσιν, ἀλλ' ἕως μὲν ἰατρὸς, οὐδαμῶς συμπράξει ταῦτα, ἀλλὰ κἂν ἄλλου πατάξαντος αὐτὸς ἰῷτο, ἅμα δὲ ἀποκτίννυσί τε καὶ τὴν τέχνην συνδιέφθαρκεν, οὕτω κἀνταῦθα οὐχ ἅμα ῥήτορές τέ εἰσι καὶ συκοφαντοῦσι καὶ κολακεύουσιν, ἀλλ' ἕως μὲν (98)
ῥήτορες, οὐδέτερα τούτων, οὐδέ γ' ἄλλο τι αἰσχρὸν οὐδὲν

---

ἐπαίνους margo N. 10 συκοφαντοῦσι] συκοφαντοῦσιν N. σεμνότερον LMN. Legebatur σεμνόν. 11 προϊσταμένων] ἐπιπροϊσταμένων M. τιν'] τινες LN. 12 τοσοῦτον] Vulgo τοσοῦτ'. 13 θανάτου φάρμακον] φάρμακον θανάτου LN. ὅστις] ὅστις οὖν E. 14 ἀποκτιννύντας] ἀποκτιννύντας L, altero ν ab manu rec. superscripto. 16 ἀγεννὲς] ἀγενὲς N. καλῷ κἀγαθῷ] Scribebatur καλῷ καὶ ἀγαθῷ. καὶ ἀγαθῷ καὶ καλῷ LMN.

58, 1 ὥσθ' addidi ex Reiskii coniectura. οὐκοῦν addebat Canterus. 2 τὴν ὑπὲρ] τὰ ὑπὲρ M. τὴν ῥητορικὴν λέγειν, scholion in marg. N καὶ τούτων] τῆς συκοφαντείας, τῆς κολακείας scholion in margine N. 3 ἀποκτιννύει] ἀποκτιννύειν Θ. τέ ἐστι] τε om. LN. 4 ἰατρὸς] ἰατρός ἐστιν M. συμπράξει] ἂν πράξῃ EM. 6 οὐδέτερα] οὐδ' ἕτερα N. 7 αἰσχρὸν οὐδέν] οὐδέν om. L.

Digitized by Google

ἐστι παρ' αὐτοῖς οὐδὲ παρὰ πολύ, ἀλλὰ τοὺς μὲν ἀδικοῦντας ἐξελέγχουσι, τοὺς δ' ἀγνοοῦντας διδάσκουσι περὶ τῶν πραγμάτων, ἅμα δ' ἔξω τούτων τε καὶ τῆς ῥητορικῆς ἔσονται. οὔκουν ὄνειδος ποιήσουσι τῇ ῥητορικῇ, ὁπόταν πλημμελῶσιν. ἁμαρτήσονται γὰρ τοσοῦτον αὐτῆς ὅσονπερ τοῦ δικαίου, ἐπεὶ καὶ ἡ κυβερνητικὴ τοῦ σώζεσθαι δή που τοὺς ἐμπλέοντάς ἐστι τέχνη, καὶ μὴν ἔχοι γ' ἄν τις τῶν ἐπὶ πρύμναν καθημένων ἀναγαγὼν εἰς τὸ πέλαγος καὶ καταδῦσαι καὶ ἄλλο τι χρήσασθαι τοιοῦτον. ἀλλ' οὔτε τὴν κυβερνητικὴν δεῖ ψέγειν διὰ ταῦτα οὔτε λέγουσιν ἄνθρωποι ὅτι τῇ τῶν ἐμπλεόντων σωτηρίᾳ πάντων ἐναντιώτατόν ἐστι κυβερνήτης συνεμβάς, οὔτε τοὺς καταποντιστὰς εἰς ἕν, οἶμαι, τοῖς κυβερνήταις οὐδεὶς τίθησιν. ἀνάγκη μὲν γάρ, οἶμαι, καὶ τὰ βλάψοντα τὴν ναῦν καὶ τὰ διατηρήσοντα εἰδέναι τόν γε κυβερνήτην, ὥσπερ οἶμαι καὶ τὸν

---

οὐδὲ παρὰ πολὺ] Subaudi ἀλλὰ παρὰ τὸ πᾶν. Sententia haec est. nihil plane turpitudinis penes eos est: non solummodo παρὰ μικρὸν, neque etiam παρὰ πολὺ, sed plane παρὰ τὸ πᾶν. quae dictiones hoc volunt: non solummodo parvum est discrimen, quo absunt a turpitudine, neque solummodo permagnum illud est, sed prorsus infinitum. in illis παρὰ μικρὸν et παρὰ πολὺ subauditur τὸ διάφορον aut διάστημα. similis est illa dictio Demosthenis οὐ πολλοῦ γε δεῖ. subaudi ἀλλὰ τοῦ παντός. non modo multum interest inter hoc et illud, sed ita longe inter se distant haec, ut nulla plane ratio comparationis ea intercedere queat. Sententia igitur loci haec est: si tu concedis quidem inter rhetoras et turpitudines atque flagitia permultum interesse, contendis tamen adhuc eos nonnulla vitiorum attingi quasi affinitate, nego te verum dicere, etiamsi tu facias illam communionem quamvis distantem. Reisk. ἀντὶ οὐδὲ κατὰ μικρόν. τὸ δὲ παραπολὺ ἀντὶ τοῦ ὀλίγον ἐστί scholion in margine N. 10 ὅσον περ Iunt. ὅσον περὶ MN (et L apud Iebbium) Iebb. 11 ἔχοι] ἔχει L. 12 καὶ ἄλλο τι χρήσασθαι τὸ τοιοῦτον] Et aliis quibusdam similibus modis nave uti. idem enim est ac si dixisset καὶ πρὸς ἄλλο τι τοιοῦτον χρήσασθαι τῇ νηί, aut καὶ πρὸς ἄλλους τινὰς τοιούτους τρόπους αἰσχροὺς καὶ βλαβεροὺς ἀποχρήσασθαι τῇ νηί. Reisk. χρήσασθαι] χρήσεσθαι M. οὔτε λέγουσιν] οὔτι λέγουσιν N. 14 καταποντιστὰς οἶμαι τοῖς κυβερνήταις εἰς ἓν (οὐδεὶς rec. m. inter versus additum) τίθησιν L. καταποντιστὰς οἶμαι τοῖς κυβερνήταις οὐδεὶς εἰς ἓν τίθησιν N. „in margine N καταποντιστὰς τοῖς κυβερνήταις εἰς ἓν οἶμαι τίθησιν." Iebb. μὲν om. M. 15 τόν γε] τόν τε Θ.

Digitized by Google

ἰατρὸν ἀνάγκη καὶ τὰ σφαλερὰ τῷ σώματι γιγνώσκειν καὶ τὰ σωτήρια· χρῆσθαι δ᾽ ἑκατέρωθι τοῖς χρηστοῖς ἡ τέχνη βούλεται, εἰκότως καὶ κατ᾽ ἐπωνυμίαν. καὶ τοσοῦτόν γ᾽ (99)
59 ἀπέχει τοῦ περὶ ταῦτα κακουργῶν τις φυλάττειν τοὔνομα τῆς τέχνης, ὥστε κἂν ἄκων ἐξαμάρτῃ, φησὶν ὁ Πλάτων, οὐκ ἀκριβεῖ τῷ λόγῳ χρώμεθα, ἐπειδὰν φῶμεν ὅτι ὁ ἰατρὸς ἐξήμαρτεν ἢ ὁ κυβερνήτης. ἕως γὰρ ἂν ἡ τέχνη κρατῇ, ἁμάρτημα οὐκ ἔστιν, οὐ γάρ ἐστιν ἁμαρτεῖν κατ᾽ αὐτήν· τὸ γὰρ ἁμαρτεῖν οὐκ ἔστι τέχνη. κομιδῇ ἄρα ἐάν τις ἐξεπίτηδες τἀναντία οἷς ἡ τέχνη βούλεται ποιῇ, τοῦτον ᾧ μετέχει τῆς τέχνης ἀδικεῖν φήσομεν, ἢ τῇ τέχνῃ ποιεῖν ὄνειδος, ἀλλ᾽ οὐ τὴν τέχνην τούτῳ διπλοῦν ποιεῖν τοὔνειδος. καὶ τί δεῖ παραδειγμάτων ἑτέρων ἀλλ᾽ οὐ μικρῷ πρόσθεν ἡμεῖς τε ἐμεμνήμεθα καὶ Πλάτωνα σύμψηφον ἐδείκνυμεν; οἱ νόμοι σωτηρίας δή που τῶν πόλεων ἕνεκα καὶ τοῦ τὰ δίκαια βεβαιοῦν ἅπασι τίθενται, καὶ ἡ νομοθετικὴ καὶ κατ᾽ αὐτὸν ἐκεῖνον καὶ καθ᾽ ἡμᾶς καὶ κατὰ πάντας ἀνθρώπους χρηστὸν καὶ καλὸν καὶ σὺν δικαιοσύνῃ καταριθμεῖσθαι τοῦτ᾽ αὐτὸ δή που τὸ δικαίως οὐκ ἐκπε-

---

16 γιγνώσκειν] γινώσκειν N. 17 κατ᾽ ἐπωνυμίαν] ἡ μὲν γὰρ ἀπὸ τοῦ ἰᾶσθαι ὠνόμασται, ἰατρική· ἡ δὲ ἀπὸ τοῦ κυβερνᾶν, κυβερνητική. scholion in margine N.

59, 1 φησὶν ὁ πλάτων LMN. Legebatur φησὶ πλάτων. 2 ὁ ἰατρὸς] ὁ om. LM et N apud Iebbium. 3 ἡ τέχνη Θ Iunt. ἡ om. Iebb. ἁμαρτεῖν] ἁμαρτὴν N. κατ᾽ αὐτήν] καὶ ταύτην M. 4 ἔστι τέχνη] οὐκ ἔστι τέχνης E. 5 ἀδικεῖν] Subaudiri, aut potius addi oportet αὐτὴν, artem puta. vel etiam pro ᾧ legi potest ὅ. iniuriam facere illi parti artis, cuius est consors. Reisk. ἀλλ᾽ οὐ τὴν τέχνην] ἀλλὰ μὴ τέχνῃ τέχνην M. Fortasse ἀλλ᾽ οὐ τὴν τέχνην τούτῳ, καὶ διπλοῦν ποιεῖν τοὔνειδος. illum artj infamiam, eamque geminam, adspergere, non autem ipsum ab arte infamari. Est autem illa gemina infamia haec: una quod ars fini est alii adhibita quam ei cuius causa inventa est et ad quem tendit; altera quod malo et noxio fini est adhibita, seu per eam malo sunt mulctati homines. Reisk. 7 ἕνεκα] Scribebatur εἵνεκα. 8 καὶ τοῦ τὰ] καὶ τὸν τὰ N. καὶ κατ᾽] καὶ om. LMN. 9 καταριθμεῖσθαι] καταριθμεῖται Canterus. καταριθμεῖσθαι bene habet. Constructio est ἡ νομοθετική ἐστι χρηστόν τι καὶ καλὸν (scil. πρᾶγμα) καὶ οὐκ ἐκπεφευγὸς τὸ καταριθμεῖσθαι σὺν τῇ δικαιοσύνῃ. legislatoria est res utilis et

Digitized by Google

φευγός, Πλάτων δὲ αὐτὸ καὶ πρότερον τίθησιν. ἐὰν οὖν
τις ἡμᾶς ἔρηται λέγων ὡδί, Πόσοι δὲ ἤδη νόμους ἤνεγκαν (100)
οὐδὲν ὑγιὲς καὶ πάντ' ἔχοντας τὰ δεινότατα; πόσοι δ'
ἐν γραφαῖς ἑάλωσαν παρανόμων; ἢ πόσοι τῶν κυρίων ὄντες
νόμων ἐλύθησαν ὡς οὐκ ἄμεινον αὐτοῖς χρῆσθαι; τί οὖν;
πότερον τὴν νομοθετικὴν οὐ πάντῃ καλὸν φήσετε διὰ
τοὺς τοιούτους νόμους, ἢ πάντας τοὺς πώποτε γραφέν-
τας ἢ μέλλοντας γραφήσεσθαι νόμους εἶναι καλοὺς καὶ
δικαίους, ἐπειδὴ δεῖ πάντως καλὸν εἶναι τὴν νομοθετικήν;
ἆρ' ἄφυκτα ἐρωτᾶν αὐτὸν φήσομεν καὶ συγκαλυψόμεθα;
ἢ τίνος ἐστὶν εὐπορῆσαι μετρίας ἀποκρίσεως καὶ ἢ τὴν
νομοθετικὴν καὶ τοὺς τῷ ὄντι νόμους καλόν τε καὶ δίκαιον
εἶναι φήσει; τούτου γὰρ χάριν ἐλθεῖν εἰς ἀνθρώπους τὸ
πρῶτον, τὰ δὲ τοιαῦτα οὐ νόμους εἶναι μᾶλλον ἢ τὸ τοῦ
Δημοσθένους ἀνομίαν, καὶ ἃ κωλύουσιν οἱ νόμοι καὶ ὑπὲρ
60 ὧν εὑρέθησαν ὅπως μὴ γίγνοιτο. προσθείην δ' ἂν ἔγωγε
ὅτι ὦ ὡδὶ σὺ ἐρωτῶν οὐ φοβεῖ με τοῦτο, ὅτι ἑάλωσαν
παρανόμων νόμους ἤδη τινὲς γράψαντες. ἀλλὰ καὶ τοῦτο

---

praeclara, neque dissociata a posse numerari una cum iustitia civili. quod autem eiusmodi est ut non effugerit τὸ posse numerari cum aliqua re, id est procul dubio ἐν τῷ posse numerari cum ea. h. e. in numero est earum rerum, quae possunt una cum ea nominari eique adiungi. et id quidem potest fieri iure meritoque. quid quod Plato ipse non modo legislatoriam cum iustitia civili coniungit, sed etiam illam huic anteponit. Reisk. 12 ὄντες] ὄντων M, quod probat Reiskius. ἄμεινον] ὂν addit Reiskius. 15 ἐπειδὴ — νομοθετικήν om. MN, ab rec. m. habet L. 17 δίκαιον εἶναι] Aberat εἶναι, quod ex LN et margine M adscivi. φήσει] Leg. φύσει. dicemus natura esse praeclarum quid et iustum. nam φήσομεν e versu 15. etiam hic est tacite repetendum. Reisk. 18 τὰ δὲ τοιαῦτα] Non esse eas leges, sed potius, ut Demosthenis dictione utar, aliquid legibus repugnans. Reisk.

60, 1 γίγνοιτο ΘΕLN. γίγνηται Iunt. γίγνοιντο Steph. Iebb. Fortasse ὅτι ὦ ὡδὶ ἐλεεινῶς σὺ ἐρωτῶν οὐ φοβεῖ με τοῦτο. adderem ego quidem haec: o tu, quisquis es, qui mihi dubia tam misera et ridicula et futilia proponis, non hoc me terret. Reisk. ὅτι ὦ ὡδὶ ἐρωτῶν E: quod addito de Reiskii coniectura σὺ adscivi. ὅ, τι ὡδὶ ὡς σε ἐρωτῶν N. ὡδὶ ὥς σε ἐρωτῶ (ἐρωτῶ etiam M) Soph. ὅτι ἰδ' ὡδὶ ἐρωτῶν Canterus. Legebatur ὅτι ὡδὶ ἴσως σε ἐρωτῶν, quod ab correctore habet L, in quo primum fuit ὅτι ὡδὶ ὡς σε ἐρωτῶν.

ἐμοὶ μαρτυρεῖ. τοὺς γὰρ παρανόμων ἁλόντας οὐκέτ' εἶναι (101
νόμους τά γε ἀκριβές· οὐ γὰρ ἂν εἶεν νόμοι τε ἅμα καὶ παρὰ τοὺς νόμους. ὥστε παρανόμοις ἀκούειν οὐ νομίμοις προσήκει γράμμασιν αὐτοῖς. ταῦτά μοι καὶ ὑπὲρ ῥητορικῆς ἔστω πρὸς Πλάτωνα. ἣν δ' ἂν τότε κοινὴν ἐποιησάμεθ' ἀπόκρισιν, αὕτη νῦν ἐμοὶ πρὸς τὸ παρὸν γιγνέσθω. οὐκ ἂν ὁμοῦ κόλακές τε καὶ ῥήτορες εἶεν, οὐδὲ ὁμοῦ συκοφάνται καὶ ῥήτορες, εἴπερ ὄντως ἡ ῥητορικὴ τοῦ δικαίου χάριν εἰσῆλθε καὶ σωτηρίας τοῖς ἀνθρώποις, ὥσπερ οἱ νόμοι. ἀλλ' ἕως ἂν ἰατρικὴ σώζῃ τοὺς κάμνοντας καὶ κυβερνητικὴ σώζῃ τοὺς πλέοντας καὶ νόμοι τοὺς χρωμένους, οἱ ῥητορικῆς λόγοι σώζουσιν οὓς χρὴ καὶ τὸ δίκαιον φυλάττουσιν· ἐπεὶ καὶ τὴν ὑφ' ἡμῶν ταύτην κληθεῖσαν φιλοσοφίαν, εἴ τις βούλοιτο κακίζειν, πόλλ' ἂν ἔχοι παράγειν ἐν τοῖς λόγοις· οἷον εἰ Διαγόρου κατηγοροίη καὶ Ἀναξαγόρου καί τινας ἄλλους ἐκλέξας ὕστερον ἢ καὶ τὸ πρότερον γενομένοις ἀτόπους ἀνθρώπους· ὧν οἱ μὲν διέφθειραν δή που τινάς, οἱ δ' ἐβλασφήμησαν περὶ θεούς, οἱ δὲ λόγους ἄλλους τινὰς εἶπον, οὓς οὐκ ἄμεινον ἦν (102)
ὅλως, οἱ δὲ αὐθαδείας πλέον ἢ φρονήσεως εἰσηνέγκαντο. ἀλλὰ μὴ οὕτω βέλτιον ᾖ λέγειν, ὅτι οὐκ, εἴ τινες φιλοσοφίας προβλήματι χρώμενοι φαῦλοι καὶ μηδὲν βελτίους τῶν πολλῶν γεγόνασιν, ἢ νὴ Δία καὶ δεινότεροι κακουργεῖν,

---

Conf. p. 59, 11. γρ. ὅτι ὧδὶ ὥς σε margo Θ. 3 Post εἶναι aut post νόμους excidit φημί. Reisk. τό γε EL Iunt. τότε Steph. Iebb. 4 ἂν εἶεν LMN. Legebatur εἶεν ἄν. 6 δ' ἂν] δὲ ἂν ΘLN. ἐποιησάμεθ'] ἐποιησάμεθα N. γιγνέσθω] Scribebatur γινέσθω. 7 ὄντως Canterus. Legebatur οὕτως. 8 τοῖς ἀνθρώποις LN. τ' ἀνθρώποις E. Legebatur ἀνθρώποις, quod om. M. ἀλλ' ἕως] ἀλλέως Θ. 9 σώζει τοὺς πλέοντας ΘM. Legebatur σώζει τοὺς πλέοντας. 10 ἡμῶν] ὑμῶν Θ, quod expressit Canterus. ταύτην om. E. 11 πόλλ' ἂν ἔχοι] πολλὰ ἔχοι (superscr. πολλοὺς) L. πολλὰ ἔχει N. ἐν τοῖς λόγοις om. M. 12 ἐκλέξας ELMN Iebb. ἐκλέξαν Iunt. ἐκλέξαι Canterus. ἢ καὶ τὸ πρότερον E. Legebatur ἢ τὸ πρότερον. „τὸ delendum aut cum καὶ permutandum." Reisk. 13 διέφθειραν] διεφθείρησαν M. 14 ἦν ὅλως] In margine N suppletur εἰπεῖν. 15 εἰσηνέγκαντο] εἰσενέγκαντο N. εἰσενέγκατο (superscr. η, ν) L. ἀλλὰ μή] ὅρα δηλονότι scholion in L. ὅρα ἀπαγορεύει

Digitized by Google

οὐ διὰ ταῦτα ἀτιμαστέον φιλοσοφίαν, ἕως ἂν φιλοσοφία μὴ τὸ τὰ τοιαῦτα ποιεῖν ᾖ, ἀλλ' αὐτοῖς τούτοις τεκμηρίοις χρηστέον κατ' ἐκείνων, ὅτι διημαρτήκασι φιλοσοφίας.

61 οὐδὲ εἴ τινες, οἶμαι, κολακεύουσιν ἢ συκοφαντοῦσι, χείρω τοῦτο ποιεῖ ῥητορικήν, ἀλλ' ἡμαρτηκότας αὐτοὺς ῥητορικῆς ταύτῃ γε ταῦτα δεῖ δοκεῖν, ὥσπερ ἐκείνους φιλοσοφίας, ἐπὶ τῷ τοῦ καλλίστου προσχήματι τὴν τοῦ κακουργεῖν ἄδειαν ἑαυτοῖς ἐκπορίζοντας. ἄτοπον δ' ἂν εἴη, εἰ τὰ μὲν τῶν σκυτοτόμων καὶ τῶν τεκτόνων ἔργα μὴ ἐξ ὧν ἂν διαμάρτωσι κρινοῦμεν, ἀλλ' ἐξ ὧν ἂν ὡς δυνατὸν μάλιστα τύχωσι, ῥητορικὴν δ' οὐ μόνον οὐκ ἐκ τῶν κάλλιστα αὐτὴν ἀποτελεσάντων κρινοῦμεν, ἀλλὰ καὶ ἐκ τῶν αὐτὰ τἀναντία πραττόντων οἷς ἡ ῥητορικὴ βούλεται. ναί. ἀλλ' ἀδικεῖσθαι βέλτιον ἢ ἀδικεῖν. ἔστω ταῦτα. ἆρ' οὖν ὥσπερ (103) βέλτιον, οὕτω καὶ καθάπαξ αἱρετόν; οὔ. φησὶ γοῦν οὐδέτερον βούλεσθαι, δῆλον ὅτι καὶ τὸ ἀδικεῖσθαι κακὸν ἡγούμενος, ὀρθῶς, οἶμαι, καὶ γιγνώσκων καὶ λέγων. οὐκοῦν εἰ Πλάτων αὐτὸς ἡμῖν ἀποκρίναιτο, πλείστου γένοιτ' ἂν ἄξιον τῷ λόγῳ. ὑπάρχει δὲ καὶ τοῦτο. πῶς; ὡς αὐτῷ Σωκράτης ἀποκρινόμενος πεποίηται. ἔστι γὰρ καὶ αὐτὸ οὑτωσὶ διακείμενον. ἐρωτᾷ Πῶλος Σωκράτη, Σὺ δ' ἄρα ἀδικεῖσθαι βούλοιο ἂν μᾶλλον ἢ ἀδικεῖν; καὶ ὃς ἀμείβεται, Βουλοίμην μὲν ἂν ἔγωγε οὐδέτερον, εἰ δὲ ἀναγκαῖον εἴη

---

τοῦτο scholion in N. 17 ἕως ἂν M. Aberat ἄν. μὴ τὸ] τό om. M. τὰ τοιαῦτα LN. Aberat τά.

61, 1 συκοφαντοῦσιν L. τοῦτο LMN, Canterus, Iebb. τούτῳ Iunt. 2 ταῦτα] κατὰ ταῦτα E, Canterus. ταῦτα] Fort. τούτους, ob sequens ἐκείνους, aut πάντας. Reisk. 3 ἑαυτοῖς] αὑτοῖς M. 4 σκυτοτόμων] σκυτόμων L apud Iebbium. 5 κάλλιστα] κάκιστα N. 6 τἀναντία LN. Scribebatur τὰ ἐναντία. 7 ἆρ'] ἄρα Θ. 8 et 15 δῆλον ὅτι] δηλονότι N. 9 οἶμαι] εἶναι ΘLN. τὸ εἶναι παρέλκεται. γρ. οἶμαι margo L. Conf. infra 10. γιγνώσκων] Scribebatur γινώσκων. 10 ὑπάρχει δὲ ELMN. Legebatur ὑπάρχει τοίνυν. 11 ἀποκρινόμενος LN. Legebatur ἀποκρινάμενος. αὐτὸ] Fortasse αὐτῷ legendum est, quod idem erit atque παρ' αὐτῷ. est enim penes eum locus etiam sic conformatus, ut scilicet nos volumus, et ut statim dicam. in διακείμενον subauditur πρᾶγμα, negotium, res, ab eo conficta et verbis tradita, colloquium, fabula sic instructa et instituta. Reisk.
12 σωκράτη Θ Iunt. Steph. σώκρατην N Iebb. 13 εἴη] ᾖ M. εἰ

ἀδικεῖσθαι ἢ ἀδικεῖν, ἑλοίμην μᾶλλον ἀδικεῖσθαι. οὐκοῦν ὁπότε μηδέτερόν φησι βούλεσθαι, δῆλον ὅτι καὶ τὸ ἀδικεῖσθαι κακὸν ἡγούμενος οὔ φησι βούλεσθαι, ἀλλὰ τοῦ μὲν ἀδικεῖν ἄμεινον τὸ ἀδικεῖσθαι, οὐ μὴν ἐκείνου γε τοῦ μήτε ἀδικεῖν μήτε ἀδικεῖσθαι, ὀρθῶς, οἶμαι, καὶ γιγνώσκων καὶ λέγων. εἰ μὲν τοίνυν ἡ ῥητορικὴ ἀδικεῖσθαι μὲν ἐκώλυεν, ἀδικεῖν δὲ προσηνάγκαζεν, οὐδ᾽ οὕτω μὲν ἴσως ἂν καθάπαξ πονηρὸν ἦν, πονηρόν γε ὂν κωλύουσα τὸ ἀδι- (104
κεῖσθαι, χεῖρον δὲ ἂν ἴσως βελτίονος, εἴπερ ἀδικεῖσθαι
62 κρεῖττον ἢ ἀδικεῖν. εἰ δ᾽ οὔτ᾽ ἐκεῖνο ἐπαναγκάζει καὶ τοῦτο κωλύει, κατ᾽ ἐκεῖνο μὲν οὔτε ἀγαθὸν οὔτε κακόν πω, δῶμεν γὰρ ὡς ἐν τῷ παρόντι, κατὰ τοῦτο δὲ κυρίως ἀγαθὸν καὶ τοσούτῳ βέλτιον ἢ χεῖρον, ὅσῳ τοῦ βελτίονος μετείληφεν, ἀλλ᾽ οὐ τοῦ χείρονος, εἴπερ βέλτιον τὸ μήτε ἀδικεῖν μήτε ἀδικεῖσθαι, ἢ δυοῖν ἐκείνοιν τὸ ἕτερον. καὶ μὴν ὁ μὲν μὴ ἀδικεῖν ἐγνωκὼς οὐχ ἅμα αὐτός τε τοῦ κακουργεῖν ἀπέχεται καὶ τὸ ἀδικεῖσθαι πέφευγεν. αὐτὸ γὰρ τοῦτο ἦν ἀδικεῖν τὸ κακῶς ὃν οὐ προσῆκε ποιεῖν. ὥσθ᾽ ἕως ἂν ἐν ἀνθρώποις ᾖ τὸ κακουργεῖν, ἀδικήσεται. ὁ δὲ τὴν τοῦ μὴ ἀδικεῖσθαι φυλακὴν ἔχων ἅμα καὶ τὸ ἀδικεῖν που κωλύει. ὥσπερ γὰρ ἅμα τε ἠδίκηται καὶ ἠδίκηκεν ἕτερος, οὕτως ὁ τὴν τοῦ μὴ ἀδικεῖσθαι δύναμιν ἔχων τὴν αὐτὴν τοῦ μὴ ἐᾶν ἀδικεῖν ἔχει. ὥστε εἰ τὸ μὲν μὴ ἀδικεῖσθαι τῆς ῥητορικῆς τίθησι, τὸ δὲ μὴ ἀδικεῖν τῆς φιλοσοφίας, τοσούτῳ χείρων φιλοσοφία ῥητορικῆς, ὅσῳ τοῦ (10
ἀδικεῖσθαι τὸ ἀδικεῖν. ὁπότε δ᾽ αὖ πρὸ τούτου τίθησι τὸ μήτε ἀδικεῖν μήτε ἀδικεῖσθαι, τούτῳ βελτίων αὖ γίγνεται

---

I. a pr. m. et N. 14 ἑλοίμην μᾶλλον ΘELMN. Legebatur ἑλοίμην ἂν μᾶλλον. μηδέτερον] οὐδέτερον M. 16 γε om. M. 17 γιγνώσκων] Scribebatur γινώσκων. ἐκώλυεν] ἐκώλυσεν L. 18 μὲν ἴσως ἂν] μὲν ἂν ἴσως ἂν M. 19 εἴπερ Canterus. ὡς εἴπερ E. Legebatur ὅπερ. Aut εἴπερ legendum est cum Cantero, aut ὅσῳπερ. facile prima syllaba periit absorpta a fine proximâ voc. βελτίονος. Reisk.

62, 3 ὅσῳ τοῦ βελτίονος] τοῦ excidit ex Iebb. 4 ἐγνωκὼς om. M. 7 ἀδικήσεται] ἀδικηθήσεται M. ἔχων om. M. 8 ἅμα τε E. Aberat τε. ἠδίκηκεν] ἠδίκησεν Θ. 10 τίθησι] τίθησιν N. χείρων] χεῖρον Θ. φιλοσοφία ῥητορικῆς] φιλοσοφίας ῥητορικὴ MN. 12 βελτίων] βέλτιον LMN. γίγνεται] γι-

ῥητορικὴ φιλοσοφίας, ἐπειδή γε ὁμοῦ τῷ ἀδικεῖσθαι καὶ τὸ ἀδικεῖν ἀναιρεῖ. ἐπεὶ καὶ οἱ νόμοι κωλύοντες ἀδικεῖσθαι, ἅμα καὶ ἀδικεῖν δή που κωλύουσιν. οὐ γάρ ἐστιν οὐκ ὄντων τῶν ἀδικουμένων τοὺς ἀδικοῦντας εἶναι, μηδενὸς ὄντος ἐφ' ὃν τοῦτ' ἔρχεται. ὥσθ' ἡ ῥητορικὴ τὸ ἀδικεῖσθαι κωλύουσα συγκωλύει καὶ τὸ ἀδικεῖν αὐτῷ τούτῳ ᾧπερ τὸ ἀδικεῖσθαι. εἰ δὲ δὴ καὶ ὅλως βοηθείας ἕνεκα τῷ δικαίῳ τὴν ῥητορικὴν δείκνυμεν εὑρεθεῖσαν καὶ τὴν αὐτὴν καθαρῶς τάξιν ἔχουσαν τοῖς νόμοις, οὐ μόνον, ὡς ἔοικεν, ὁ ῥήτωρ οὐ τὸ μὲν ἀδικεῖσθαι φεύξεται, τὸ δ' ἀδικεῖν βεβαιώσει, ἀλλ' οὐδὲν οὕτως ὡς τὸ ἀδικεῖν κωλύσει. οὐ γὰρ μόνον τῶν εἰς αὐτὸν σχήσει πρόνοιαν, ἀλλ' ὅπως μηδ' ἄλλος πείσεται κακῶς, εἴπερ ὧν τοὺς νόμους χάριν, τούτων καὶ τὴν ῥητορικὴν εὑρέσθαι νενίκηκεν.

63 ἀλλὰ μὴν ὅ γε ἑτέρους τὰ δίκαια πράττειν ἐπαναγκάζων πολύ που πρῶτον αὐτός γε παρεσκεύασται. οὐ γὰρ ἐγχωρεῖ (106) βοηθεῖν μὲν τῷ δικαίῳ, τοῦ δὲ καταλύειν τὸ δίκαιον αὐτὸν πρῶτον ὑπάρχειν. οὐκοῦν ὁ ῥήτωρ οὐ μόνον αὐτὸς οὐκ ἀδικήσει, ἀλλ' οὐδ' ἕτερον ἐάσει· οὐδ' αὖ μόνον αὐτὸς οὐκ ἀδικηθήσεται, ἀλλ' οὐδ' ἕτερος τό γε τούτου μέρος. εἰ δὲ μήτ' ἀδικήσει μήθ' ἕτερον ἐάσει, κατὰ πάντας τοὺς τρόπους ἡ ῥητορικὴ καλὸν κἀγαθὸν καὶ καθ' ὃν

---

νεται M. ἐπειδή γε ὁμοῦ τῷ] ἐπεί γε ὁμοῦ τὸ N. 13 ἅμα καὶ LMN. Legebatur ἅμα τὸ. ἅμα τε Θ. δή που] ποῦ M. 14 τοὺς ἀδικοῦντας] καὶ τοὺς ἀδικοῦντας MN. 15 τοῦτ'] τοῦτο LN. συγκωλύει] συγκωλύειν M. καὶ τὸ L. Aberat καὶ. 16 αὐτῷ τούτῳ ELMN Soph. Legebatur αὐτὸ τοῦτο. ᾧπερ Soph. Legebatur ὥσπερ. „αὐτῷ τούτῳ ᾧπερ τὸ ἀδικεῖν, illud ipsum, illo ipso modo et instrumento, quo impedit iniuriam tolerandam.“ Reisk. 18 τὸ δ' Iebb. τὸ δὲ Θ Iunt. 19 αὐτὸν N. Scribebatur αὑτὸν.

ἐπ

63, 1 ἐπαναγκάζων] καταναγκάζων M. προσαναγκάζων N. που correctus L, in quo πως fuit. πρῶτον] πρότερον M. 3 αὐτὸς LMN Canterus, Iebb. αὐτοὺς Iunt. οὐκ ἀδικήσει] οὐκ om. N. οὐδ' ἕτερον ΘLN. Scribebatur οὐδέτερον. 4 μόνον Reiskius. Legebatur μόνος. οὐδ' ἕτερος ΘLN et Canterus. Scribebatur οὐδέτερος. ἀδικήσει μήθ' exciderunt ex Iebb. 5 ἐάσει] ἐάση N. ἡ ῥητορικὴ add. ELMN Soph. Iebb. om. Iunt. κἀγαθὸν LN. Legebatur κἀγαθόν τε. καὶ καθ' ὃν αἰσχρὸν ELMN, Canterus, Iebb. καὶ εἰ ὂν αἰσχρὸν Iunt. καὶ αἰσχρὸν Θ.



Digitized by Google

*αἰσχρὸν τὸ ἀδικεῖν καὶ καθ' ὃν κρεῖττον τὸ ἀδικεῖσθαι
ἢ ἀδικεῖν καὶ καθ' ὃν ὅλως βέλτιστον μήτε ἀδικεῖν μήτε
ἀδικεῖσθαι, καὶ πέφηνεν ὁ τῷ ὄντι ῥήτωρ ἀνδρὸς ἁπλῶς
εἰπεῖν ἀγαθοῦ τοσούτῳ κρείττων, ὅσῳ ὁ μὲν τὸ καθ'
αὑτὸν μόνον παρέχεται, ὁ δὲ καὶ τοὺς ἄλλους ὅπως τοιοῦ-
τοι γενήσονται παρασκευάζει. ὁ μὲν γὰρ καλός τε κἀγα-
θὸς οὐ πάντη ῥήτωρ, ὁ δὲ ῥήτωρ καλὸς κἀγαθὸς, ὅς γε
καὶ τοὺς ἄλλους ἐπὶ ταῦτ' ἄγει. οὐ μὴν ἀλλ' εἰ τούτῳ
Πλάτων ἰσχυρίζεται ὡς οὐ πολλήν τινα οὐδ' ἀξίαν σπου-
δῆς οὐδὲ λόγου χρείαν ἡ ῥητορικὴ παρέχεται, ὅτι οὐ τη-
λικοῦτόν ἐστι τὸ ἀδικεῖσθαι κακὸν ἡλίκον τὸ ἀδικεῖν, τί
κωλύει καὶ τοὺς νόμους αὐτὸν ἅπαντας τοῖς αὐτοῖς τού-
τοις διαγράφειν; οὐ γὰρ ἄλλο γ' οὐδὲν ἢ τοῦτο βούλον-
ται, μάλιστα μὲν μηδένα μηδὲ ὑφ' ἑνὸς πάσχειν κακῶς,* (107
*εἰ δὲ μὴ, δίκην τοῖς παθοῦσι παρὰ τῶν πραξάντων ἢ
τῶν αἰτίων γίγνεσθαι. ὥστ' οὐ μόνη ἄπεισιν ἐκ τῶν πό-
λεων ἐκκηρυχθεῖσα ὑπὸ τοῦ Πλάτωνος, ἀλλ' ὥσπερ ἑται-
ρείας καταγνωσθείσης μετὰ τῶν ταὐτὰ συμβουλομένων νό-
μων ἐξελαθήσεται· καὶ τότε ῥητορικὴν ἐκπέμψομεν καὶ
προπηλακιοῦμεν, ὅταν καὶ τοὺς νόμους συνεκπέμψαι κα-
λῶς ἡμῖν ἔχῃ. πότ' οὖν τοῦτ' ἂν γένοιτο; τίς ὁ καιρὸς*
64 *αὐτοῦ; τῶν Πλάτωνος ἑταίρων ἀποκρινάσθω τις, ἐπειδή-
περ αὐτὸν οὐκ ἔχομεν παραστήσασθαι. καὶ μὴν οὐδ' ἐν-
ταῦθα ἔξω μαρτυρίας ἡμῖν παντελῶς στήσεται, ἀλλὰ καὶ
ἔτι μᾶλλον ἐν τούτοις ἤπερ ἐν οἷς ἄρτι διέξεισι φαίνεται
μαρτυρῶν. οὐ γὰρ περὶ τῶν ἄλλων νόμων οὐδὲ πολιτειῶν*

---

6 *καθ' ὃν κρεῖττον*] *καθ' ὃ κρεῖττον* E. 8 Fort. *μόνον, ὅπως δεῖ, παρέχεται*, aut *ἄμεμπτον παρέχεται*. Reisk. 9 *καλός τε κἀγαθὸς* Θ. Scribebatur *καλός τε καὶ ἀγαθὸς*. *οὐ πάντη — κἀγαθὸς* om. E. Fort. *ὁ δὲ ῥήτωρ πάντη καλὸς*. Reisk. 10 *τούτῳ*] *τοῦτο* LN. 11 *κακὸν*] *καλὸν* LM. (*γρ. κακὸν* margo L). *τὸ ἀδικεῖν*] *τὸ μὴ ἀδικεῖν* LMN, *μὴ* in L ab rec. m. superscripto. 14 *παθοῦσι*] *πᾶσι* M. *γίγνεσθαι*] Scribebatur *γίνεσθαι*. *μόνη*] *μόνον* EMN. 15 *ὑπὸ τοῦ*] *τοῦ* om. N. *καταγνωσθείσης*] *καταγνωσθεῖσα* E. *ταυτὰ* N. Scribebatur *ταῦτα*. „Fort. *ταὐτὰ* (scil. *τῇ ῥητορικῇ*)." Reisk. 16 *νόμων*] *τῶν νόμων* Θ. 17 *τοῦτ' ἂν*] *τοῦτο ἂν* ΘLN. *αὐτοῦ*] *αὐτῶν* M.

64, 1 *ἀποκρινάσθω* L. Legebatur *ἀποκρινέσθω*. 3 *διέξεισι*]

διαλέξομαι, οὐδ' οὓς ὁ δεῖνα ἔθηκεν, ἀλλ' εἴ τις αὐτὸν ἔροιτο, ὦ δαιμόνιε καὶ πάντα σὺ θαυμαστὰ εὑρίσκων, εἰ μηδέν ἐστι πρᾶγμα τὸ ἀδικεῖσθαι, μηδ' ἡ τοῦτο κωλύουσα δύναμις μηδενὸς ἀξία λόγου, μηδ' ὁπόσα ἐστὶ καὶ γίγνεται μηδὲν χρηστὸν, ἀλλ' οὕτως ἄτιμον καὶ ἀνελεύθερον ὥστ' εἶναι μόριον κολακείας καὶ σκιᾶς, τοῦ χάριν οἰκίζων (108 ταύτην τὴν ἐν τῇ βίβλῳ πόλιν καθίστης αὐτῇ πολιτείαν, ἀφ' ἧς μηδ' ὁτιοῦν πείσεται, καὶ τὸ μάχιμον χωρὶς τῶν ἄλλων ἱδρύσθαι κελεύεις, τιμὴν τὴν πρώτην ἀποδοὺς, ἵνα μή τι πάθῃ, μηδὲ ὑπὸ ποίων ἀδικηθῇ πολεμίων; εἰ γὰρ ἐξήρκει μὴ ἀδικεῖν, τί δέδοικας, εἰ πρὸς τοῦτό γ' αὐτὴν παρεσκεύακας; εἰ δὲ δὴ καὶ χεῖρον τοῖς ἀδικοῦσιν ὅταν μὴ διδῶσι δίκην καὶ χρὴ δὴ κατὰ σὲ καὶ αὐτὸν ἑαυτοῦ κατήγορον ὅταν ἀδικήσῃ γίγνεσθαι καὶ παιδίων καὶ πατρὸς αὐτοῦ, τοὺς δ' ἐχθροὺς ἐᾶν, τί οὐ συνεύχει τοῖς πολεμίοις ἐπελθεῖν καὶ λαβεῖν τὴν πόλιν καὶ νὴ Δία τοὺς μὲν ἐν ἡλικίᾳ πάντας κατακόψαι καὶ ταῦτα πρὸς τοῖς βωμοῖς, παῖδας δὲ καὶ γυναῖκας ἐξανδραποδίσασθαι πέρα, εἰ βούλει, Γαδείρων, τὰ δὲ ἱερὰ συλήσαντας κατασκάψαι πάντα, μὴ λιπεῖν δὲ μηδὲ τοὺς τάφους ἀθώους τῆς ἑαυτῶν πλεονεξίας, ἵν' ἀδικήσαντες τὰ μέγιστα ἐν τοῖς μεγίστοις δὴ κακοῖς ὦσι μὴ δόντες δίκην, ἀλλὰ τοσοῦτον ἀπέχεις τοῦ ταῦτα συμπράττειν ὥστε κωλύεις, προσκόπτεις,

---

διεξῄειν, disputabam. Reisk. 6 ἀξία L.N. Vulgo ἄξια. γίγνεται] γίνεται M. 7 σκιᾶς] σκειᾶς N. σκιὰ Reiskius. ἐν τῇ βίβλῳ ΘLM. ἐν τῷ βιβλίῳ N. Legebatur ἐν βίβλῳ. τὴν ἐν γράμμασι μόνην γεγραμμένην scholion in N. 8 αὐτῇ] τῇ πόλει scholion in N. ἀφ' ἧς] πολιτικῆς scholion in N. μηδ' ὁτιοῦν] Scil. ἄχαρι vel βλαβερόν. vid. ad Dion. Cass. p. 26. Reisk. 9 τιμὴν αὐτοῖς τὴν πρώτην διδοὺς M. 10 παρεσκεύακας om. M. 11 δὴ LN, Canterus, Iebb. δεῖ Iunt. διδῶσι] διδῷ L. 12 ἑαυτοῦ] αὑτοῦ M. ὅταν ἀδικήσῃ om. M. γίγνεσθαι] γίνεσθαι L. 13 συνεύχει] Scribebatur συνεύχῃ. 14 παῖδας δὲ] παῖδάς τε Θ. 15 εἰ βούλει om. M. συλήσαντας] συλήσαντες L. 16 τὰ μέγιστα Θ Iunt. τὲ μέγιστα Iebb. 17 κακοῖς] κακοὶ correctius L. 18 κωλύεις] καὶ λίαν E. προσκόπτεις] πρόσκοπον E. προσκέπτεσαι superscriptum in L. προσκοπεῖς. Vulgata si servatur, subaudiri debet τούτῳ. offenderis illo, succenses illi. Reisk.

Digitized by Google

βίον ἐν τοῖς ὅπλοις εὕρηκας, ἵνα μή τι τοιοῦτον γένηται·
κἂν τις ἐγγένηται προδότης, τοῦτον οὐ στεφανοῦν κελεύεις (109)
οὐδὲ κηρύττειν, ἀλλὰ ταὐτὰ τοῖς ἄλλοις περὶ τούτων νομί-
ζεις. καίτοι κατὰ τούτους τοὺς λόγους τίνας μᾶλλον ἢ τοὺς
65 προδότας ἔδει τιμᾶν, ὅτι τοὺς οἰκείους καὶ τὴν χώραν
καὶ τὰ ἱερὰ καὶ πάντα τὰ ὄντα ὅπως ὑπὸ τοῖς πολεμίοις
ἔσται παρασκευάζουσιν, ἵν' ἐκεῖνοι τὰ μέγιστα ἀδικήσαν-
τες τοῖς μεγίστοις ἐνέχωνται κακοῖς; εἰπὲ πρὸς Διὸς τερα-
στίου, τί χρὴ περὶ τούτων ἡμᾶς νομίζειν; εἶεν, ὦ γενναῖε,
νόμους δὲ δὴ τοῦ χάριν ἡμῖν ἐτίθης χωρὶς αὖ τοσούτους
τὸ πλῆθος, οἳ τοῖς τ' εὖ βεβιωκόσι τιμὰς ὁρίζουσι καὶ
τοὺς ὁτιοῦν ἀδικοῦντας ἃ δεῖ πάσχειν λέγουσι· καὶ ῥητο-
ρεύεις καθ' ἕκαστον αὐτῶν σπουδῇ καὶ τιμᾷς τὰ προοί-
μια, καὶ παραδείγματα διττὰ ὥσπερ οἱ πλάσται προτίθης,
ὁ τῶν λόγων καταφρονῶν. εἰ γάρ, ὦ τᾶν, τὸ δίκην λαμ-
βάνειν καὶ τὸ μὴ ἐᾶν ἀδικεῖν οὐχ ἕν τι τῶν σπουδαίων
ἦν, τοῦ χάριν ταῦτα πραγματεύει καὶ σκοπεῖς ὅπως μη-
δεὶς ἀδικήσεται; οὐκοῦν ἢ ταῦτα πάντα τοσαῦτα τὸ πλῆ-
θος ὄντα ἡμαρτῆσθαι δεῖ τούτου ἑνὸς ὀρθῶς ἔχοντος
αὐτῶν, ἢ τάδ' ἐκείνοις ἐξελήλεγκται. καὶ μὴν ἐν μὲν οἷς (110)
ἡμεῖς λέγομεν καὶ τοῖς ἄλλοις συνδοκοῦν ἐστι καὶ τῷ Πλά-

---

τοιοῦτον] τοιοῦτο Θ. γένηται ΘLMN Iebb. γένοιτο Iunt.
19 προδότης] προδότη N. ταὐτὰ correctus L et Canterus. Scribebatur ταῦτα.

65, 2 ἐνέχωνται Steph. Iebb. ἐνέχονται N Iunt. συνέχωνται E et rec. m. L. 4 τοῦ χάριν ΘLMN. Legebatur τούτου χάριν. ἐτίθης] ἐτίθεις Θ. Aut plane delendum αὖ, aut eius loco legendum αὐτός. quare nobis praeter alias aliis de rebus leges tulisti tot numero seorsim ex illo genere, quod praemia definit integris vitae. In χωρὶς subauditur τῶν ἄλλων. Reisk. βεβιωκόσι] βεβηκόσι L. ὁρίζουσι] ὀρέγουσι N. 5 δεῖ om. M. 6 τὰ προοίμια] ἀντὶ τοῦ τὰ πρῶτα καὶ ἐξαίρετα. scholion in N. 6 προτίθης Reiskius. Legebatur προστίθης. προστίθεις LN. προτίθης. spectatum proponis ut sigillarii sua sigilla seu pupulas. Reisk. 8 πραγματεύει] Scribebatur πραγματεύῃ. 9 ἡμαρτῆσθαι] „ἁμαρτῆσαι MN. γρ. ἡμαρτῆσθαι margo N." Ego ex N ἁμαρτῆσθαι enotatum habeo. αὐτῶν] αὐτῷ. scil. Platoni. Si hoc unum illi, Platoni puta, recte habet, h. e. si ab eo recte pronunciatum est.

τωνι πρόσεστιν· ἃ δ' οὗτος ἐνταῦθα εἴρηκεν, οὐ μόνον τοῖς τῶν πραγμάτων λόγοις, ἀλλὰ καὶ τοῖς αὐτοῦ Πλάτωνος ἐξελέγχεται καὶ λόγοις καὶ βουλήμασιν. ἐκείνων μὲν οὖν ὀρθῶς ἔχειν συγχωρουμένων καὶ ἡ παρὰ τῶν ἄλλων μαρτυρεῖ δόξα καὶ ψῆφος ὀρθή· ταῦτα δ' εἰ δοίημεν κρατεῖν, ἄπεστι τὸ ὀτφρῦν συνδοκεῖν τῶν ἄλλων. ἰσχυρότερον δὲ τὸ καὶ ἅπασι καὶ Πλάτωνι τοῦ μηδενὶ καὶ μηδὲ Πλάτωνι συνδοκεῖν, ὡς οὗτος ἀλλαχοῦ. οὐκοῦν οὐ τὴν παρὰ τούτου μαρτυρίαν διὰ τὴν παρὰ τῶν ἄλλων φευξούμεθα, ἀλλὰ τῇ τῶν ἄλλων τὴν παρὰ τούτου προσθήσομεν. ἡγοῦ-

66 μαι μὲν τοίνυν κἂν τούτοις τὴν ἔργῳ μαρτυρίαν παρέχισθαι. τὸ γὰρ δὴ λόγοις πρὸς λόγους ἀγωνιζόμενον λόγοις ἑτέροις σπουδαίοις μαρτυροῦντα ἀποφαίνειν τὸν ἀντίπαλον τὴν ἔργῳ παρέχεσθαι μαρτυρίαν ἐστίν. οὐ μὴν ἀλλ' ἔτι καὶ προσωτέρω προελθεῖν βούλομαι, ἵνα ἐπειδὴ τιμᾷ τὸ ἕνα ἐπιψηφίζειν καὶ αὐτόν, πρὸς ὃν ἂν οἱ λόγοι γίγνωνται, καὶ λόγῳ καὶ ἔργῳ σύμψηφον ὄντα αὐτόν μοι δείξω. (111) φέρε δὴ προσέστω κἂν τούτοις ἐρώτησις, οἷον εἴ τις ἤρετο αὐτόν, ἡνίκα εἰς Σικελίαν ἔπλει τὸ δεύτερον ἢ τρίτον, ἤτοι σύμπλους ἢ καὶ αὐτὸς ὁ κυβερνήτης, σὺ δὲ δὴ τοῦ χάριν ἡμῖν ὦ Πλάτων εἰς Σικελίαν πλεῖς; ἢ εἰ μὴ τότε, ἀλλ' εἴ τις οἴκαδε αὐτὸν ἐπανελθόντα ἤρετο τὰς τῆς ἀποδημίας καὶ πλάνης αἰτίας καὶ τί δὴ παθὼν τὸ τρίτον

Reisk. 10 πρόσεστιν] πρόσεστι R. 12 λόγοις] λόγῳ LN. λόγοις superscriptum in L. Malim ἐκείνοις et συγχωρουμένοις, ut usitatius et planius. Reisk. 15 ὡς οὗτος ἀλλαχοῦ] Subaudi ἑαυτὸν παραφαίνει διακείμενον vel ἀποφαινόμενον. quod ne ipsi quidem Platoni placet, illi nempe, quem ipsemet sese alibi suorum operum spectandum exhibet. Reisk. οὗτος LMN Canterus, Iebb. οὕτως Θ Iunt. τούτου] τούτων correctus L. παρὰ τῶν ἄλλων] παρ' ἄλλων L. 16 φευξούμεθα] φευξόμεθα E. προσθήσομεν] προσθήσομαι ΘLMN.

66, 3 Malim ἵνα aut abesse, aut cum τινα mutari. quoniam Plato probat, si quis vel illius ipsius suffragium rogat, adversus quem disputat. Reisk. ἐπιψηφίζειν] ψηφίζειν M. Conf. ad p. 67, 8. 4 γίγνονται] γίνονται N. καὶ λόγῳ καὶ ἔργῳ] καὶ ἔργῳ καὶ λόγῳ N. ἔργῳ σύμψηφον] ἔργῳ...... φον M. 6 ἡμῖν] ὑμῖν N. om. M. 7 πλεῖς E et Reiskius. Legebatur ἔπλεις. 8 τῆς ἀποδημίας ΘELMN. Aberat τῆς. δὴ] δεῖ LN. παθὼν]

*αὖθις περὶ τὴν Χάρυβδιν ἐπραγματεύσατο, περὶ ἣν Ὀδυσσεὺς οὐ πλέον ἢ δὶς, τί ἂν ἀπεκρίνατο αὐτῷ; εἰ γὰρ τὸ βέλτιστον ἀληθὲς εἶναι δοίημεν, ἔφη Δημοσθένης, ὥσπερ ἀνάγκη δοῦναι Πλάτωνί γε, ἑτέραν αὐτῷ περὶ ὧν ἀμφισβητοῦμεν οὐ λείπει τοῦτο ἀπόκρισιν. διὰ τί; ὅτι, οἶμαι, * * φῆσαι, μᾶλλον δ' εἶπεν ἄν, Δίωνος χάριν ἀνδρὸς ἑταίρου καὶ ξένου πλεῦσαι, θέσθαι βουλόμενος τὰ πρὸς Διονύσιον αὐτῷ καὶ μὴ περιιδεῖν. εἶτ' ὦ πλέων καλῶς καὶ δικαίως ἀποδημῶν, σὺ μὲν ξένου Συρακοσίου κοινοῦ τῆς πατρίδος ἐχθροῦ τῆς σεαυτοῦ, — οὐ γὰρ προεδρία γ' ἦν Ἀθηναίοις ἐν Συρακούσαις, ἀλλ' ἃ μηδ' εἰπεῖν ἔστ' ἀδακρυτὶ, ταῦθ' ὑπὸ τῶν Δίωνος ἑταίρων καὶ πολιτῶν ὀλίγοις πρότερον χρόνοις ἐπεπόνθεσαν — ἀλλ' οὖν ἐπειδή γε ἅπαξ* (112) *αὐτὸν ἐδέξω φίλον νομίσας, ἔπλεις ἐκείνου χάριν ἐν γήρᾳ πέλαγος τοσοῦτον, καὶ ταῦτα πρὸς ἄνδρα παρ' ᾧ πάλιν κινδυνεύειν ἔδει καὶ οὐ συμμαχίαν ὑπισχνουμένου συνήθεις οὐ δεξαμένην τὴν σαυτοῦ πατρίδα· καὶ τὸ τυράννῳ συνεῖναι δοκεῖν οὐκ ἔφευγες, ὡς ἔχων παραμυθίαν τὸ σχῆμα τῆς διατριβῆς, ὃ Δίωνα μένειν οἴκοι καὶ τῆς οὐσίας κρατεῖν ἦν. τὴν δ' αὐτοῦ τις οἰκῶν καὶ τοῖς αὐτοῦ πολίταις*

---

*μαθὼν* ΘL Soph. et N apud Iebbium. *ἐπραγματεύσατο*] *ἐπραγματεύετο* LMN. 9 *αὐτῷ*] *αὐτὸς* rec. m. L. Fort. *τὸ ἀληθὲς βέλτιστον εἶναι.* Canteri prodit interpretatio, eum post *Πλάτωνί γε* comma collocasse. recte vero. *αὐτῷ* redit ad Platonem, *τούτῳ* ad gubernatorem navis, aut alium quemcunque, qui Platonem interrogans de causa itineris Siculi hic fingitur. Reisk. 10 *ἀνάγκη Πλάτωνι δοῦναι ἑτέραν* inter varias lectiones posuit Iebbius sine codicis sigla. Credo esse ex M. 11 *τοῦτο* LMN: quod testatur scholiasta p. 416, 20. Legebatur *τούτῳ.* Post *οἶμαι* indicavi lacunam, quae notata est in M. *ἀνάγκη φῆσαι* Reiskius.
12 *ἑταίρου* LN Iebb. *ἑτέρου* Iunt. *τὰ πρὸς*] *εὖ τὰ πρὸς* M.
13 *Συρακοσίου*] Scribebatur *Συρακουσίου.* 18 *δεξαμένην* ΘELN. Legebatur *δεξομένην.* Recte codices *δεξαμένην.* cuius societatem repudiatam esse a tua civitate ipse tu bene noras. Reisk. *σαυτοῦ*] *ἑαυτοῦ* N. *τὸ τυράννῳ* LMN. Legebatur *τῷ τυράννῳ.* 19 *ὃ*] Malim *ᾧ.* tu non recusasti mare Siculum traiicere, opinionemque, non sane illam honestissimam, consuetudinis cum tyranno in te suscipere, tu, cui licebat domi tuae Dionem opperiri tuamque rem familiarem curare. Reisk.
20 *αὐτοῦ — αὐτοῦ*] *αὑτοῦ — αὑτοῦ* LN.

Digitized by Google

67 καὶ γονεῦσι καὶ ἀδελφοῖς εἰ τὴν ὅπως μὴ ἀδικήσονται φυλακὴν ἔχοι καὶ σώζοι καὶ τούτους καὶ ἑαυτὸν, καὶ νὴ Δία γε, εἰ τοῦτ' αὐτὸ τύραννον ἔσεσθαι μέλλοντα καὶ Διονυσίῳ προσόμοιον οἷός τ' εἴη κωλῦσαι καὶ παρελέσθαι λόγῳ τὰς πράξεις καὶ τὴν ἐκ τῶν νόμων ἄδειαν ἅπασι βεβαιῶσαι, ἔπειτ' οὐδὲν σπουδαῖον τοῦτ' εἶναί φήσομεν, οὐδ' ἐπαινεῖν ἐχρῆν τὴν τοιαύτην εἴτε τέχνην εἴτε μηδὲ τέχνην εἰπεῖν δεῖ, ὅτι νὴ Δί' ἓν μέγα τοῦτ' ἦν κακὸν τὸ ἀδικεῖν, τὸ δὲ ἀδικεῖσθαι πρᾶγμα οὐδέν; ἆρά γε καὶ μειζόνως τις ἀμύνεται τὸν ἐχθρὸν ἐῶν ἀδικεῖν, καὶ σκοπούμενος ἐξ ὅτου τρόπου μηδ' ἄλλος δίκην παρ' αὐτοῦ λή- (113) ψεται; καὶ μὴν ἄχρι μὲν τούτων τῶν λόγων αἰνίγματ' ἂν εἴποι τις ταῦτ' εἶναι, ἐπηγμένων δὲ τούτων [καὶ ὑπὸ τοῦ Πλάτωνος] καὶ ἐξεληλέγχθαι καὶ λελύσθαι γ', οὐ τὸν εἰωθότα καὶ τὸν αὐτὸν τρόπον τοῖς ἄλλοις αἰνίγμασι δῆλα ἐξ ἀδήλων γεγονότα, ἀλλ' ὡς ἀληθῶς δῆλα οὗ τὸ σαθρὸν ἦν αὐτῶν.

---

67, 1 εἰ Canterus et LN apud Iebbium. εἰς Iunt. ἀδικήσονται ELN Iebb. ἀδικήσοντα Iunt. σώζοι] σώζει L apud Iebbium. 4 βεβαιῶσαι] βεβαιῶν error typotheticus Iebb. ἔπειτ' L. Scribebatur ἐπεὶτ'. ἐχρῆν ELMN. Vulgo χρῆν. „χρῆναι aut certe χρή.“ Reisk. 5 μηδὲ τέχνην] μήτε τέχνην M. Δί'] δία ΘLN. 6 οὐδὲν om. M. ἀρά γε] ἄρα δὲ Θ. ἄρα γε δὲ N. ἄρα solum est in L, ἀλλὰ in E. 7 δίκην] ἀδικεῖν MN, quorum M δίκην post αὐτοῦ infert. 8 αἰνίγματ' ἂν εἴποι] αἰνίγματα εἴποι N. Post εἶναι in L inseruntur verba expuncta ἐπειδὴ τιμᾷ τὸ ἕνα ψηφίζειν (ex p. 66, 3). ἐπηγμένων] Locus hic mihi obscurus et impeditus. id video ὑπ' ἐμοῦ e codice admitti oportere, et ἐξεληλέγχθαι et λελύσθαι infinitivos pendere ex praemisso εἴποι τις. patitur quidem ἐπειγομένων commodam interpretationem. acquiesco tamen vulgatae. Sententia videtur haec esse. postquam autem haec argumenta et a me et a Platone obmota fuerunt, dicat aliquis ea aenigmata refutata et dissoluta esse, non eo, quod altera ex alteris declarata sint, ut pleraque aenigmata soleant declarari, sed eo quod demonstrata sit sedes vitii. Reisk. ἐπηγμένων] ἐπειγομένων N. ἐπηγμένων, superscripto ὁμολογουμένων, L, in quo ab rec. m. correctum ἐπιγκειμένων. Post τούτων in N additum ὑπ' ἐμοῦ. καὶ ὑπὸ τοῦ Πλάτωνος interpretis additamentum pariter esse videntur atque illud modo enotatum ex N ὑπ' ἐμοῦ. 9 ἐξεληλέχθαι N. Quod praecedit καὶ N omittere traditur ab Iebbio. λελύσθαι] ταῦτα δηλονότι scholion in L. γ', οὐ] γοῦν MN. δῆλα ἐξ — ἀληθῶς om. N. 10 ἀδήλων

Φέρε δὴ καὶ ταῦτα σκεψώμεθα. οἶμαι γὰρ ἡμῖν ὥσπερ ἀπόντος ἐκμαρτυρίαν εἶναι. ἔστι δ᾽ ἐκ τῆς μακρᾶς ἐπιστολῆς. „Ταύτῃ μὲν τῇ διανοίᾳ τε καὶ τόλμῃ ἀπῆρα οἴκοθεν, οὐχ ᾗ τινὲς ἐδόξαζον, ἀλλ᾽ αἰσχυνόμενος μὲν ἐμαυτὸν τὸ μέγιστον μὴ δόξαιμί ποτε ἐμαυτῷ παντάπασι λόγος μόνον ἀτεχνῶς εἶναί τις, ἔργου δὲ οὐδενὸς ἄν ποτε ἑκὼν ἀνθάψασθαι, κινδυνεύειν δὲ προδοῦναι πρῶτον μὲν τὴν Δίωνος ξενίαν τε καὶ ἑταιρίαν ἐν κινδύνοις ὄντως γεγονότος οὐ μικροῖς, εἴτ᾽ οὖν πάθοι τι εἴτ᾽ ἐκπεσὼν ὑπὸ Διονυσίου καὶ τῶν ἄλλων ἐχθρῶν ἔλθοι πρὸς ἡμᾶς φεύγων καὶ ἀνέροιτο εἰπών, Ὦ Πλάτων, ἥκω σοι φυγὰς οὐχ ὁπλιτῶν δεόμενος οὐδὲ ἱππέων ἐνδεὴς γενόμενος ἀμύνεσθαι

68 τοὺς ἐχθρούς, ἀλλὰ λόγων καὶ πειθοῦς, ᾗ σὲ μάλιστα ἠπιστάμην ἐγὼ δυνάμενον ἀνθρώπους νέους ἐπὶ τἀγαθὰ καὶ δίκαια προτρέποντα εἰς φιλίαν τε καὶ ἑταιρίαν ἀλλήλοις καθιστάναι ἑκάστοτε. ὧν ἐνδείᾳ κατὰ τὸ σὸν μέρος νῦν ἐγὼ καταλιπὼν Συρακούσας ἐνθάδε πάρειμι. καὶ τὸ μὲν ἔλαττον ὄνειδος σοὶ φέρει· φιλοσοφία δέ, ἣν ἐγκωμιάζεις ἀεὶ καὶ ἀτίμως φῂς ὑπὸ τῶν λοιπῶν ἀνθρώπων φέρεσθαι, πῶς οὐ προδέδοται τὰ νῦν μετ᾽ ἐμοῦ μέρος ὅσον ἐπὶ σοὶ γέγονε; καὶ Μεγαροῖ μὲν εἰ κατοικοῦντες ἐτυγχάνομεν, ἦλθες ἂν δή πού μοι βοηθὸς ἐφ᾽ ἅ σε παρεκάλουν, ἢ πάντων ἂν φαυλότατον ἡγοῦ σαυτόν· νῦν δ᾽ ἄρα τὸ μῆκος τῆς πορείας καὶ τὸ μέγεθος δὴ τοῦ πλοῦ καὶ τοῦ (11

---

EL. Soph. et scholiasta p. 417, 2. Legebatur ἀλλήλων. δῆλα οὐ τὸ] δῆλον γὰρ τὸ N. δῆλα γὰρ οὐ τὸ M. 11 ἐκ τῆς μακρᾶς ἐπιστολῆς] VII. p. 328 c. 12 τε καὶ] τε om. M. 13 λόγος] λόγῳ LN. 14 κινδυνεύειν] κινδυνεύσειν Plato. 15 ξενίαν] ξενείαν L. ἑταιρίαν] Scribebatur ἑταιρείαν. ἑταιρίαν Θ. ἑτερείαν L. 17 ἡμᾶς] ὑμᾶς N.

68, 1 ᾗ] οἷς M. προτρέποντα ΘLMN et Canterus. πρέποντα Iunt. τρέποντα Iebb., qui προτρέποντα dare voluit. 2 ἑταιρίαν] ἑταιρείαν LN. 3 τὰ μὲν] τὸ μὲν ἐμὸν Plato. τὸ μὲν ἐμὸν] Subaudi μέρος προδιδόμενον καὶ ἀμελούμενον. meam quidem causam si prodideris atque neglexeris. Reisk. 4 φιλοσοφία Θ. Legebatur φιλοσοφίαν. φῂς] ἔφης EL. προδέδοται] προδότω N. προδοῦναι M. 5 τὰ νῦν] τὰ om. MN. Μεγαροῖ] ἐπίρρημα τοπικόν, scholion in N. 6 μοι om. MN: ab rec. m. habet L. ἅ σε] ὥς σε N. 7 δὴ τοῦ M. Legebatur δήπου τοῦ. Conf. p.

Digitized by Google

πόνου ἐπαιτιώμενος οἴει δόξαν κακίας ἀποφευξεῖσθαί ποτε πολλοῦ γε καὶ δεήσει. λεχθέντων δὲ τούτων τίς ἦν μα ἂν πρὸς ταῦτα εὐσχήμων ἀπόκρισις; οὐκ ἔστι." ταῦτα οὐχ ἕτερος περὶ αὐτοῦ γέγραφεν, οὐδὲ εἰκάζων τὴν ἐκεί νου γνώμην, ἀλλ' ὁ κάλλιστα εἰδὼς αὐτὸς περὶ αὐτο τούτων φησὶ χάριν ἐλθεῖν, τοὺς ὑπὸ τοῦ Δίωνος ἂν λεχ θέντας τούτους λόγους πρὸς αὐτὸν αἰσχυνθείς. καὶ ἔγωγ πιστεύω. μαινοίμην γὰρ ἄν, εἰ μή. οὐκοῦν ἐν τούτοις ἐστὶ ἥκω σοι, ὦ Πλάτων, οὐχ ὁπλιτῶν δεόμενος οὐδ' ἱππέω ἔρημος γενόμενος, ἀλλὰ λόγων καὶ πειθοῦς· ταῦτα ᾤμην παντὸς μᾶλλον εἶναι παρὰ σοί. καλῶς γε, ὦ Πλά των, αὐτός τε λέγων καὶ τὸν Δίωνα ταῦτ' εἰπεῖν ἂν νο μίζων πρὸς σέ. οὐκοῦν εἰ τὸ μὲν ἐκπεσεῖν ἢ παθεῖν τ Δίωνα δεινὸν περιφανῶς, τὸ δ' ὅπως μὴ ἐκπεσεῖται πρᾶξε καλὸν καὶ δίκαιον, οὕτω δ' ἔχων λόγων καὶ πειθοῦ ἐδεῖτο, σὺ δὲ τῷ ταῦτ' ἔχειν ἔπλεις, ὡμολόγηκας ἅπαντο καὶ δεῖν σπουδάζειν ὅπως τις ἐκ τῶν δυνατῶν μὴ ἀδική σεται, καὶ τὴν τῶν λόγων τοῦ πείθειν δύναμιν οὐ φαύλη εἶναι, καὶ τοὺς πείθοντας ὑπὲρ τούτων οὐ μόνον παρ ἀνθρώποις ἐπαίνων ἀξίους, ἀλλὰ καὶ παρὰ θεοῖς ἀμέμπτου

69 εἴπερ τοὺς ἐλλείποντας οὐδὲ ὁσίους. ἔτι δ' αὖ τὰ πλέο τῷ παντὶ πεποίηκας, εἴ γε μὴ μόνον δῆμον μηδὲ δικα στάς, ἀλλὰ καὶ τυράννους ὑπὲρ τούτων μὴ δεῖ φεύγει

---

69, 12. 8 ἀποφευξεῖσθαι] ἀποφεύξεσθαι E. Fort. ἀποφε ξεῖσθαι. πόθεν; πολλοῦ γε καὶ δεήσει. Verumtamen vulgata recurr p. 69, 13. ubi haec ipsa verba repetuntur. Reisk. 9 εὐσχ μων] ἀπροφάσιστος scholion in N. γέγραφεν L. Legebatur γεγρ φηκεν. 10 Aut εἰκάζων prodit aliquem defectum, aut legendu est εἴκαζε, aut tandem οὐδὲ delendum est. Mihi visus est aliquan Aristides scripsisse γέγραφεν ἀκηκοὼς aut ἀκοήν, ex auditione v fama, aut quod audisset et accepisset ex ore Platonis. Reisk. περὶ αὐτοῦ] περὶ αὐτοῦ N. φησὶ N. Vulgo φησίν. 12 δεόμ νος add. ELMN Iebb. om. Θ Iunt. 14 καλῶς γε] Subaudi ποιε Reisk. 15 ὅπως] ὅπου N. 16 λόγων M Iebb. λόγου Θ Iu Vid. p. 67, 18. 68, 13. 17 ὡμολόγηκας EN. Scribebatur ὁμ λόγηκας. ἐκ τῶν] ἑκὼν N. ἀδικήσεται] ἀδικήσηται N. 18 παρ' ἀνθρώποις om. N apud Iebbium, qui vereor ne M dice voluerit.

69, 1 δ' αὖ] δὲ αὖ L. 2 δεῖ Canterus. Libri δεῖν.

Digitized by Google

μεταπείθειν καὶ τοσοῦτον ὑπερορίους. αὐτὴν τοίνυν ὅλως τὴν ἐπιστολὴν τοῦ χάριν ἢ πειθοῦς γέγραφε; καὶ μὴν (11 αὐτό γε δηλοῖ τὸ πρᾶγμα καὶ τῆς ἐπιστολῆς αὐτὸς πολλαχοῦ. καὶ γὰρ τὸ ὧν χάριν ἦλθε διεξιέναι καὶ προσομολογεῖν ὅτι διὰ τοῦτο διεξέρχεται ὅπως τὴν ἀληθῆ δόξαν περὶ αὐτοῦ παραστήσειε πείθοντός ἐστιν. οὐκοῦν καὶ ἵνα πείσῃ γέγραφε καὶ γράφων τοῦ πεῖσαι χάριν φησὶν ἀπελθεῖν, μή τι πάθοι Δίων ἔρημος λόγων. πῶς οὖν αἰσχρὰ ποιοῦσιν οἱ ῥήτορες; ἢ καθ' ὁπότερον τούτων φαῦλον ἡ ῥητορική; πότερον καθ' ὃ τοῖς ἀδικουμένοις πέφυκε βοηθεῖν, κἂν ἀδοξία τις καὶ κίνδυνος προσῇ; ἀλλ' ὅτι τοῦ γε λόγῳ πείθειν καταφρονητέον; ἀλλ' αὐτὸς ὡς λόγῳ πείσων, ἔργῳ φῂς κινδυνεῦσαι. καὶ Μεγαροῖ μὲν εἰ κατοικοῦντες ἐτυγχάνομεν, ὁ Δίων σοι λέγει, ἦλθες δή που ἄν μοι βοηθὸς ἐφ' ἅ σε παρεκάλουν, ἢ πάντων ἂν φαυλότατον ἡγοῦ σαυτόν· νῦν δ' ἄρα τὸ μῆκος τῆς πορείας καὶ τὸ μέγεθος δὴ τοῦ πλοῦ καὶ τοῦ πόνου ἐπαιτιώμενος οἴει δόξαν κακίας ἀποφευξεῖσθαί ποτε; πολλοῦ γε καὶ δεήσει. τί οὖν; εἴ τις μεταστρέψας ὡδὶ φαίη πρὸς αὐτόν σε, (1 Καὶ πλεῖν μὲν εἰς Σικελίαν καὶ πάσχειν ὁτιοῦν οἴει δεῖν ὑπὲρ τοῦ τινὰ πεῖσαι ὡς χρή τινα τῶν ἐπιτηδείων οἴκοι μένειν· εἰ δέ τις μηδ' ὅσον Ἀθήνηθεν Μεγαράδε, ἀλλὰ μηδ' ἐλθεῖν ποι τὸ παράπαν δέον, ἀλλ' οἴκοι μένοντα τοὺς ἑαυτοῦ σῶσαι, τὴν ἐπὶ τούτῳ δύναμιν μεταχειρίζεται, οὐκ οἴει τοῦτον δόξαν κακίας ἀποπεφευγέναι πᾶσαν; πάλαι

---

3 αὐτό τε. ob sequens καὶ αὐτός. Reisk. 5 περὶ αὐτοῦ] περὶ αὑτοῦ N. 6 φησὶν] φύσιν M. πάθοι] πάθῃ LN. 8 πότερον] πότερα N. Post βοηθεῖν videtur aliquid deesse et locus ita integrandus πέφυκε βοηθεῖν; respond. ἀλλ' αὐτὸς φῂς βοηθεῖν. atqui tu ipse ais succurrendum esse, etiamsi —. Reisk. 12 δὴ τοῦ] δήπου τοῦ LN. Conf. p. 68, 7. πόνου] τόπου LN. 13 ἀποφευξεῖσθαι LMN Iebb. ἀποφεύξεσθαι Θ Iunt. Conf. p. 68, 8. 17 ἐπὶ τούτῳ LMN. Legebatur ἐπὶ τούτων. τὴν ἐπὶ τοῦτο δύναμιν. ad hanc lectionem, quae mihi vera videtur, paulo quam vulgata propius accedunt codices qui τούτῳ dant. Subauditur διήκουσαν vel χωροῦσαν vel τείνουσαν, eo tendentem, pertinentem, nitentem. vel etiam ἄγουσαν, προβιβάζουσαν, vel simile quid. Convenit hic locus cum initio p. 67. et aliquoties animadverti nostrum h. l. ταυτολογεῖν. Reisk. ἀποπεφευγέναι] ἀποφευγέναι M.

Digitized by Google

γε καὶ παρ' αὐτῷ σοι, εἴπερ γέ τι τῶν προειρημένων ὄφελος. πῶς οὖν ὁμοῦ μὲν ὁ μὴ βοηθῶν τῷ λόγῳ δόξαν κακίας ἐξοίσεται, ὁμοῦ δ' ὁ βοηθῶν δόξαν κακίας οὐ φεύξεται; οὐ τοίνυν τοῦτο λέγεις ὅταν καλῇς κολακείαν τὴν 70 ῥητορικὴν ᾗ ταῦτα ἀνάκειται; τίς ἂν ἦν μοι, φησὶ, πρὸς ταῦτα εὐσχήμων ἀπόκρισις; πρὸς δ' ἃ νῦν ἡμεῖς ἐρωτῶμεν, τίς ὦ πρὸς θεῶν; μικρὸν δέ τι βούλομαι διαλαβεῖν, μή τις ὅλως οἰηθῇ με τοῖς λόγοις κατηγορεῖν Πλάτωνος, ἢ λέγειν κακῶς μετὰ ἀφορμῆς. ἐγὼ γὰρ οὔτ' αὐτὸς ἔγκλημα δή που τοῦτο ποιοῦμαι εἴ ποι καὶ ὁπωσοῦν ᾠήθη δεῖν Πλάτων ἐλθεῖν ἡστινοσοῦν ἕνεκα αἰτίας οὐδ' ὅστις ἄλλος (118) προφέρει τι τοιοῦτον εὖ φρονεῖν ἡγοῦμαι, οὐδ' ὅλως ἔξω τῶν εἰς τὸν λόγον ἡκόντων οὐδὲν περιεργάζομαι, μὴ τοσούτου μηδὲν ἄξιον ἔστω νικητήριον, ἀλλ' ἃ αὐτὸς ἔπραξε καὶ τίνων ἔπραξε χάριν αὐτὸς καθαρῶς εἴρηκε, ταῦτα συμβαίνειν φημὶ τοῖς ὑπὲρ τῆς ῥητορικῆς λόγοις· καὶ

---

20 δόξαν κακίας οὐ LN. Legebatur κακίας δόξαν οὐ. οὐ τοίνυν] σὺ τοίνυν E.

70, 1 ἦν om. L. φησὶ] φῄς, εἰς. alloquitur Platonem. Reisk. 2 — 11 μικρὸν — ἀποφαίνω repetit infra p. 318, 17. — 319, 6. 2 Fort. μικρὸν δ' ἔτι τι βούλομαι διαλαβεῖν (subaudi περὶ τῶνδε). his de rebus adhuc paulum aliquid volo disputare, μή τις ὅλως οἰηθῇ με ἐπὶ τοῖς λόγοις τούτοις, ne quis omnino h. e. pertinaciter et certo existimet me per causam harum Platonicarum adversus Gorgiam et rhetoricam disputationum Platonis latus petere, eumque velle accusare, aut carpere, speciosa oblata eius rei occasione. Reisk. οἰηθείη με τοῖς λόγοις τούτοις M. λόγοις τούτοις etiam ab Cantero annotatum. 3 ἔγκλημα Reiskius. Legebatur ἐπ' ἔγκλημα. „In quibusdam libris fuit ἐπίκλημα, in aliis ἔγκλημα, eodem sensu. Hinc ex utraque lectione confusum exstitit ἐπ' ἔγκλημα. p. 318, 19. ubi locus hic iisdem paene verbis repetitur, ἔγκλημα legitur sine ἐπί." Reisk. 4 εἴ ποι] εἴ που 318. Πλάτων] πλάτωνα N apud Iebbium. ἐλθεῖν] ἀποδημῆσαι 318, omissis proximis ἡστινοσοῦν ἕνεκα αἰτίας. ἡστινοσοῦν] ἧς τινος M. 5 οὐδ' ὅστις ἄλλος] οὔτ' εἴ ἄλλος τις 318. προφέρει] προφέροι MN. In L scriptum fuerat προσφέρει, sed σ extritum est. εὖ φρονεῖν] νοῦν ἔχειν 318. 6 μὴ τοσούτου] μήπω τοσοῦτον 319. ἔστων ἰκητήριον N. ἃ αὐτὸς] ἅτε αὐτὸς 319. καὶ τίνων dedi ex 319. Legebatur καὶ ἅ τίνων. καὶ ἅτιν' ὧν N. 7 αὐτὸς] καὶ ἃ αὐτὸς 319, ubi libri quidam καὶ ἃ αὐτὸς ἄν.

τοσούτῳ δέω κακίζειν ἐκεῖνον τούτοις, ὥστ' εἰ δεῖ καὶ τοῦτ' εἰπεῖν, καὶ ἐν αὐτοῖς τούτοις σεμνύνειν αὐτὸν ἡγοῦμαι, εἰ τούτων ἐκείνοις ὑπεναντίως ἐχόντων μὴ τὰ ἔργα μηδὲ τὰς πράξεις αὐτοῦ διαβάλλω, ἀλλ' ἐκ τοῦ βίου καὶ τῶν ἔργων ἃ μεθ' ἡμῶν καὶ ὧν ἡμεῖς ἀξιοῦμεν εἶναι τίθημι, ταῦθ' ἑτέρως ἔχοντα ἢ ὥς τις πιστεύσειεν ἀποφαίνω. ὅτε τοίνυν ἑώρα Δίωνα παρασκευαζόμενον καὶ πράττοντα ὅπως δίκην ὧν ἔπαθε λήψεται, πότερόν ποτε ἐᾶν καὶ παρ' οὐδὲν ἄγειν ἐπιστέλλων αὐτῷ φαίνεται καὶ ὡς, εἰ μισεῖ τὸν Διονύσιον καὶ κακόνουν εἶναι ὑπολαμβάνει, χρὴ περιορᾶν καὶ συγχωρεῖν ὅπως τὰ μέγιστ' ἀδικῶν ἐν τοῖς ἐσχάτοις ᾖ κακοῖς, ἢ πολὺ τοὐναντίον προτρέπων καὶ θεραπευτικὸν ἀξιῶν εἶναι ὅπως ὡς πλείστους τοὺς συμπράττοντας ἐπ' αὐτὸν ἔχοι· (1 καὶ τὸν μὲν Διονύσιον πάντως ἐχθρὸν τιθείς, τὸ δὲ ὅπως ἀμυνεῖται συμβουλεύων σκοπεῖν καὶ τό γ' ἐφ' αὐτῷ συμπράττων, τὸ συμπλεῖν καὶ συστρατεύειν μόνον ἐξαρνούμενος· ὡς ἐπειδήπερ αὐτὸν ἔχων ὁ Διονύσιος ᾐδέσθη τότε καὶ οὐκ ἀπέκτεινεν, οὐχὶ

---

τῆς ῥητορικῆς] τῆς om. L. 8 τοσούτῳ N, quod p. 319. praebent meliores libri. Legebatur τοσούτου. τοῦτ'] τοῦτο ΘLN. 9 αὐτὸν N. Vulgo αὐτόν. μὴ — μηδὲ] οὐ — οὐδὲ N. 10 τίθησι] τίθημι Canterus. τίθησι recte habet pertinetque ad ἃ. τιθέναι μετά τινος est alicui assentiri, suffragari. Sententia est: si ex ipsa vita rebusque a Platone gestis demonstro hoc assertum eius de iniuriis tolerandis et de inimicis non ulciscendis longe aliter atque quis putet habere, quae vita Platonis et quae res gestae nobiscum sunt, et ea confirmant quae nos asseveramus. Facit tamen pro Canteri coniectura et interpretatione, ne quid dissimulem, quod p. 319, 5. τίθημι legitur. καὶ ὧν ἀξιοῦμεν idem est atque καὶ μετὰ τούτων, ἃ ἡμεῖς ἀξιοῦμεν. quae pono, h. e. aio esse nobiscum et cum iis, quae nos asseveramus. Reisk. Recepi τίθημι pro vulgato τίθησι. 11 ὥς τις LN. Scribebatur ὅστις. ὡς ἄν τις 319. 12 πράττοντα] πλάτωνα N. ἔπαθε LN Iebb. ἔπαθεν Iunt. 13 κακόνουν Θ Iunt. κακὸν LMN Iebb. γρ. κακόνουν margo L. χρὴ] καὶ ὡς χρὴ N. 14 ἐσχάτοις] αἰσχάτοις L. 16 καὶ τὸν — σκοπεῖν om. M. πάντως ἐχθρὸν] πάντων ἐχθρὸν ΘEN Soph. πάντων ἐχθρῶν L. τὸ δὲ] τῷ δὲ Canterus. ἀμυνεῖται] ἀμύνηται LN. 17 ἐφ' αὐτῷ LN. Scribebatur ἐφ' ἑαυτῷ. ἐπ' αὐτῷ M. μόνον om. MN, ab rec. m. habet L. 18 ὡς —] Sententia est: ea usus excusatione ut diceret adversus Dionysium

καλῶς ἔχον ἐλθεῖν ἐπ᾽ αὐτόν; καίτοι εἴ γε τοὺς ἐχθροὺς καὶ οὓς καθ᾽ ὑπερβολὴν μισεῖ τις ἐατέον ἦν ἀδικοῦντας, καὶ ἡ ῥητορικὴ φαῦλον καὶ ἄχρηστον ἡ δίκην ποιοῦσα παρ᾽ αὐτῶν εἶναι λαμβάνειν καὶ μὴ ἐῶσα προχωρεῖν ὡς ἐπὶ πλεῖστον, χρῆν δήπουθεν αὐτὸν μάλιστα μὲν διακωλύειν τὸν Δίωνα, ἑταῖρόν γε αὐτοῦ καὶ μαθητὴν ὄντα, καὶ ὑπομιμνήσκειν ὧν ποτ᾽ ἤκουσεν, εἴπερ ἤκουσεν, εἰ δὲ μὴ, τότε ἐπὶ τῶν ἔργων διδάσκειν ὅτι χρὴ φέρειν σιγῇ καὶ σκοπεῖν ὅπως μὴ μόνον αὐτὸς στερήσεται τῆς πατρίδος καὶ τῶν αὐτοῦ ὑπὸ Διονυσίου, ἀλλὰ καὶ ἄλλοι πολλοὶ καὶ ταῦτα καὶ τοιαῦθ᾽ ἕτερα πείσονται διὰ τέλους καὶ μὴ διαλείψει πάντας ἀνθρώπους ἀδικῶν Διονύσιος· καὶ ὅπως (120) γε μὴ μόνον Σικελίας ἔσται τύραννος, ἀλλὰ καὶ Καρχηδόνος καὶ Λιβύης, εἰ οἷόν τε, καὶ συμπάσης νὴ Δία τῆς γε Εὐρώπης, εἰ δέ τις εἴη μηχανὴ, καὶ τῆς Ἀσίας συνεύξασθαι· καὶ μὴ μόνον αὐτὸν μηδὲν ἐνθυμεῖσθαι περὶ καταλύσεως τοῦ τυράννου, ἀλλ᾽ ὅπως μηδ᾽ ἄλλος μηδεὶς ἐπιθήσεται μήτ᾽ ἐπ᾽ ἀναιρέσει μήθ᾽ ὥστ᾽ ἐκβαλεῖν, ἀλλὰ τοὐναντίον φυλακὴν τοῦ σώματος Διονυσίῳ φροντίσαι, ὅπως ἀθάνατος ᾖ πονηρὸς, καὶ πάντας πάντ᾽ ἀδικῶν ἐν ἅπασι τοῖς χρόνοις ἐν ἅπασι τοῖς κακοῖς ᾖ. μάλιστα μὲν ταῦτ᾽ ἐχρῆν προδιδάσκειν τὸν Δίωνα καὶ νουθετεῖν, εἴπερ

---

egredi et bello adversus eum gerendo interesse non decere se, cui Dionysius, cum in eius potestate esset, pepercisset et spiritus veniam dedisset. Reisk.

71, 1 ἔχον] ἐχὼν primum habuit L. καίτοι εἴ γε] καίτοι γε εἴγε M. 2 εἶναι λαμβάνειν Θ Iunt. εἶναι om. LN Iebb. et fortasse M. 4 αὐτοῦ] αὐτῷ MN apud Iebbium: ego αὐτῷ ex N enotatum habeo. ποτ᾽] ποτε N. 5 τότε] πότε M. τοῖς τε E. τότε γ᾽ Reiskius. 6 στερήσεται] στερηθήσεται N. αὐτοῦ Reiskius. αὐτοῦ ELMN Soph. Iebb. αὐτῶν Θ Iunt. ὑπὸ Θ Iunt. τῶν ὑπὸ ex LMN se edidisse ait Iebbius: sed in L scriptum ὢν ὑπὸ, expuncto ὢν, in N est ὢν ὑπὲρ. E vetusta lectione καὶ τῶν αὐτῶν ὑπὸ Διονυσίου effici debet aut καὶ τῶν ὄντων, aut καὶ τῶν αὐτοῦ ἁπάντων ὑπὸ Διονυσίου, ut patria facultatibusque suis omnibus a Dionysio privetur. Reisk. 7 διαλείψει] διαλείψῃ N. διαλείπῃ M. 9 καὶ συμπάσης LMN. Legebatur συμπάσης καί. Reiskio placebat Λιβύης καί, εἰ οἷόν τε, συμπάσης νὴ Δία τῆς Εὐρώπης.

12 μήθ᾽ ὥστ᾽] μηδ᾽ ὡς in MSS. esse ait Iebbius. 14 ταῦτ᾽ LN. Vulgo ταῦτα. προδιδάσκειν LMN Iebb. προσδιδάσκειν Θ

Digitized by Google

τούτοις τοῖς λόγοις ἐπίστευεν, εἰ δὲ μή, σκοπουμένῳ γε περὶ τιμωρίας μὴ συμπράττοντα φαίνεσθαι· ὃ πολλοῦ δεῖ ποιήσας, ἔργῳ μάρτυς ἡμῖν περὶ ὧν ἀπιστοῦμεν γεγένηται τοῦ μὴ ληρεῖν. βούλομαι τοίνυν αὐτὸν καὶ παροικησίᾳ τρόπον τινὰ μαρτυροῦντα ἐπιδεῖξαι. ὁ γὰρ ἐν Ποτιδαίᾳ παραταττόμενος Σωκράτης καὶ πάλιν γ' ἐπὶ Δηλίῳ καὶ τῆς τροπῆς συμβάσης ἀναχωρῶν, δῆλος ὢν παντὶ καὶ πάνυ πόρρωθεν ὅτι εἴ τις ἅψεται τούτου τοῦ ἀνδρός, μάλα ἐρρωμένως ἀμυνεῖται, πῶς οὐ σαφῶς οὑτοσὶ μαρτυρεῖ τοῖς (121

72 ἀδικεῖν ἐπιχειροῦσι μὴ δεῖν ἐπιτρέπειν; οὐδεὶς ἀντερεῖ δήπουθεν. οὐ γὰρ ἃ καὶ τελευτᾶν ὡραῖον ἤδη νομίζων εἶναι καὶ χαλεπὸν τὰς πολλὰς διαβολὰς ἐξελεῖν ἐκ πολλοῦ καὶ ὑπὸ πολλῶν συνειλεγμένας ὕστερον εἶπεν, οὐ ταῦτ' ἐστὶν ἰσχυρὰ τεκμήρια τῆς ἐκείνου γνώμης, ἀλλ' ἃ κωλύειν ἢ μὴ κύριος ὢν ἐφαίνετο ποιῶν. διὸ δὴ καὶ ἀσφαλῶς, φησίν, ἀπῄει καὶ οὗτος καὶ ὁ ἑταῖρος· σχεδὸν γάρ τι τῶν οὕτω διακειμένων οὐδὲ ἅπτονται ἐν τῷ πολέμῳ, ἀλλὰ τοὺς προτροπάδην φεύγοντας μᾶλλον διώκουσι. τουτὶ

---

Iunt. 16 Valde dubito num dictio ὃ πολλοῦ δεῖ ποιήσας idem significet in usuque pariter sit atque ὃ πολλοῦ δέον ποιῆσαι. Reisk. δεῖ] δεῖν E. τοῦ μὴ MN. Legebatur τὸ μή. 17 παροικησίᾳ] παροικεσίᾳ L. δηλίῳ M, Canterus, Iebb. δήλῳ Θ Iunt. 19 δῆλος ὢν — ἀμυνεῖται] Platonis verba Sympos. p. 221 b. τούτου τοῦ] „τούτου.... τοῦ L." Iebb. 20 οὑτοσὶ LN. Legebatur οὑτωσί.

72, 1 ἀντερεῖ LM, Canterus, Iebb. ἀναιρεῖ Iunt. ἀνέροι N. οὐ γὰρ — Constructio est οὐ γὰρ ἰσχυρὰ τῆς αὐτοῦ γνώμης τεκμήρια ταῦτα ἃ ὕστερον εἶπε νομίζων ἤδη ὡραῖον εἶναι τελευτᾶν καὶ χαλεπὸν εἶναι ἐξελεῖν τὰς πολλὰς διατριβάς, ἢ ἃ ἐν γήρᾳ εἶπεν, ἀλλὰ ἃ ποιῶν ἐφαίνετο. Reisk. ἃ καὶ N apud Iebbium et Canterus. Legebatur ἂν καὶ. ἄν γε καὶ E. 2 καὶ χαλεπὸν] καὶ ὡς χαλεπὸν E. 3 Post εἶπεν sequebatur ἢ οὐ (ἢ ἃ N) ἐν γήρᾳ, quod corruptum est praecedentium verborum interpretamentum, emendate scriptum in E, qui praebet ἤγουν ἐν γήρᾳ. 4 κωλύειν] κωλύοι N. 4 — 6 διὸ δὴ — διώκουσι] Platonis verba Sympos. p. 221 b. ἀπῄει] ἐπῄει N. 5 ἑταῖρος] ἕτερος apud Platonem. τι om. M. 6 φεύγοντας μᾶλλον LMN. Legebatur μᾶλλον φεύγοντας. Libri Platonici carent illo μᾶλλον. τουτὶ] Malim τί γὰρ προσγέγονε πλέον ἐκ τούτων αὖ; quid vero tandem hinc exsistit commodi? qui fructus inde ad causam nostram accedit? respondet, τὸ πάλιν —. aut si τουτὶ servatur, necesse est ἐβουλόμην excidisse, ut sit τουτὶ ἐβουλό-

γὰρ προσγέγονε πλέον ἐκ τούτων αὐτῷ, πάλιν σὺν τῷ Σωκράτει Πλάτωνος Πλάτωνα αὐτὸν συμμαρτυρῆσαι τῷ λόγῳ· τῶν οὕτω διακειμένων οὐ πάνυ τι ἅπτονται, ἀλλὰ τοὺς προτροπάδην φεύγοντας μᾶλλον διώκουσι. δηλονότι κἂν ταῖς πολιτείαις τῶν μὲν οὕτω διακειμένων ὡς ἀμύνεσθαι οὐ πάνυ τι ἅπτονται οἱ τὰ τοιαῦτα τηροῦντες, τοὺς δ' ὑπείκοντας διώκουσιν. ὥστ' εἰ τοὺς ἐν τοῖς πολέμοις ἀνδρείους ἐπαινεῖν εἰκὸς, καὶ τοὺς ἐνταῦθα τοιούτους. ὥστ' (122)
εἰ μηδὲ δι' ἓν ἄλλο, διὰ τοὺς συκοφάντας ἡ ῥητορικὴ καλόν. καὶ μὴν εἰ μὴ θαρροῦσι τοὺς τοιούτους ἀδικεῖν, ἄμφω χρηστὰ συμβαίνει καὶ τοῖς ἄρτι λόγοις ἀκόλουθα, μήτ' αὐτὸν ἀδικεῖσθαι μήθ' ἕτερον ἀδικεῖν ἐᾶν. ὁ τοίνυν καὶ μέχρι τοῦ Βαβυλωνίου πεδίου Κύρῳ συνανιὼν Ξενοφῶν ἐπὶ τὸν ἀδελφὸν αὐτοῦ στρατεύοντι ἀδικήσαντα πρότερον, πῶς οὐ καὶ οὗτος οἴκοθεν ὢν Πλάτωνι μάρτυς ἡμῖν ἐστιν εἰς τοὺς παρόντας τουτουσὶ λόγους; οὐ γὰρ ἐκεῖνό γε ἔστιν εἰπεῖν, ὡς ἐν μὲν τοῖς ὅπλοις καὶ ὑπὲρ τῶν ἀλλοτρίων εἰκός ἐστιν ἀμύνεσθαι τοὺς ἀδικεῖν ἐπι-
73 χειροῦντας, εἰ δέ τις λόγῳ ταυτὸν τοῦτο ποιοίη, φαυλίζειν, κἂν ὑπὲρ ὧν αὐτὸς πέπονθεν ἐπεξίῃ· οὐδέ γ' ἐκεῖνο μᾶλλον οὐκ ἔστιν εἰπεῖν, ὡς τὸ μὲν τοῖς ὅπλοις ἀμύνεσθαι τοῖς ἐν τοῖς λόγοις βεβιωκόσι τῶν προσηκόντων ἐστὶ, τὸ δὲ αὐτοῖς τοῖς λόγοις ἀμύνεσθαι ἐν ἀλογίᾳ θετέον. οὐδ' ἂν εἷς εἴποι ταῦτα. καὶ μὴν ὅσῳ κάλλιον φρόνησις ἀν-

μην. hoc volebam. (v. p. 73, 13.) τί γὰρ προσγέγονε —. Reisk. γὰρ om. MN. ἐκ τούτων rec. manu L. 7 συμμαρτυρῆσαι] προσμαρτυρῆσαι M. μαρτυρῆσαι N. 9 τῶν μὲν οὖν οὕτω E. πάνυ τι] πάνυ τοι M. πάνυ τοι N. 11 δι' om. L. συκοφάντας ΘEMN. Legebatur συκοφαντοῦντας. 13 ἀδικεῖν ἐᾶν] ἐᾶν ἀδικεῖν M. 14 συνανιὼν] συνανιῶν L. ξυνανιῶν N. συναναβὰς M. 15 μάρτυς ita positum est in bivio ut ad utrumque proximum ex utraque parte debeat referri. idem est ac si dixisset ὢν Πλάτωνι μάρτυς οἴκοθεν, ἡμῖν πάλιν αὖ μάρτυς ἐστίν. cum esset Platoni testis domesticus, nobis tamen e contraria parte testis accessit. Reisk. τοὺς παρόντας] τοὺς om. N. τουτουσὶ] τούτους N.

73, 1 ταυτὸν] ταυτὸ EMN. φαυλίζειν] φαυλίζει Θ. 2 Fort. ἐκείνου μᾶλλον τοῦτ' ἐστὶν εἰπεῖν. neque hoc magis dici potest quam illud. Reisk. 2 et 3 ἀμύνεσθαι] ἀμύνασθαι M.

δρείας, τοσούτῳ ῥητορικὴ τῆς κατὰ πόλεμον εὐψυχίας. εἰ γὰρ δεῖ συνελόντα εἰπεῖν, οὐδέν ἐστιν ἄλλο ῥητορικὴ ἢ φρόνησις λόγων δύναμιν προσειληφυῖα, ὡς μὴ μόνον αὐτὸς (123 ἔρδειν τὰ βέλτιστα, ἀλλὰ καὶ ἑτέρους πείθειν ἔχοι. ἡγοῦμαι μὲν τοίνυν καὶ ταῦτ' ἔχειν πίστεις ἱκανὰς τῆς ἀληθείας, εἰ μὴ καὶ πλείους ἄρα τῶν ἱκανῶν.

Εἶμι δ' ἐπ' αὐτὸν ἤδη τὸν κολοφῶνα τῶν Πλάτωνος, ὡς ἄν τις εἴποι, ῥημάτων. οὐ γὰρ μόνον ἐξ ὧν ἐλέγχεται βούλομαι φανῆναι μαρτυροῦντ' αὐτὸν, ἀλλὰ καὶ ὥσπερ ἂν εἰ παραστὰς αὐτὸς ἐμαρτύρει τῇ ἑαυτοῦ φωνῇ „Τοῖς δὲ εὐδαιμόνως ζῶσιν ὑπάρχειν ἀνάγκη πρῶτον τὸ μήτε ἀδικεῖν ἄλλους μήτε ὑφ' ἑτέρων αὐτοὺς ἀδικεῖσθαι. τούτοιν δὲ τὸ μὲν οὐ πάνυ χαλεπὸν, τοῦ δὲ μὴ ἀδικεῖσθαι κτήσασθαι δύναμιν παγχάλεπον· καὶ οὐκ ἔστιν αὐτὸ τελέως ἔχειν ἄλλως ἢ τελέως γενόμενον ἀγαθόν.“ ἰοῦ ἰοῦ τῆς μαρτυρίας. τούτων ἐδεόμην. ταῦτα λέγει Πλάτων, ὁ τοῦ ἐπιγράμματος μετέχων καὶ δι' ὃν τὸ Ἀρίστωνος γένος θεῖον ὡς ἀληθῶς. τελέως ἄρα, ὦ δαιμόνιε, ῥητορικὴ καλὸν καὶ οὐ πρὸς παντὸς οὔτε λαβεῖν οὔτε κεκτῆσθαι. φαίνει γὰρ καὶ σὺ τοῦτό γε συγχωρῶν, ὅτι ἐπὶ τῷ μὴ ἀδικεῖσθαι τέτακται. οὐκοῦν ὅτ' ἀδικεῖν μὲν οὐκ ἐπηνάγ- (12 καζεν, ἀδικεῖσθαι δ' οὐκ ἐᾷ, ὡς δ' ἐκ τοῦ λόγου συνέβαινεν, οὐδέτερον τούτων ἐᾷ, οὔτ' ἀδικεῖν οὔτ' ἀδικεῖσθαι,
74 εἰ μὲν καὶ τῆς φιλοσοφίας ὁ αὐτός ἐστιν ὅρος, φιλοσοφία τις οὖσα ἡ ῥητορικὴ φαίνεται. εἰ δ' ἐξαρκεῖ τῇ φιλοσοφίᾳ μὴ ἀδικεῖν, ἡ ῥητορικὴ τελεώτερον· τὸ γὰρ χαλε-

---

4 εἴποι] εἴπῃ M. ἀνδρείας] Vulgo ἀνδρίας. 6 αὐτὸς] αὐτοὶ M. αὐτὸν Opor. ἔρδειν L. Vulgo ἔρδεων. 7 ἔχοι] ἔχῃ M. ἤδη om. N. 8 τῶν Πλάτωνος] τοῦ πλάτωνος Soph. τῶν om. Θ. ῥημάτων MN, Canterus, Iebb. ῥήματι ΘL Iunt. ῥημάτων superscriptum in L. 9 μόνον] μόνων N. μαρτυροῦντ' αὐτὸν EMN Soph. Scribebatur μαρτυροῦν ταὐτὸν. 10 Post φωνῇ in Θ additum ἐκ τῶν νόμων. Quae enim sequuntur verba sunt Platonis ex Legum libro VIII. p. 829 a. 11 πάνυ om. MN, ab rec. m. habet L. 13 ἰοῦ ἰοῦ] ἰοὺ ἰοὺ LN. τοῦ ἐπιγράμματος] Vide scholiastam p. 420. et quem Canterus indicavit Platonem de Republ. II. p. 368 a. ubi epigrammatis initium memoratur Παῖδες Ἀρίστωνος κλεινοῦ θεῖον γένος ἀνδρός. 15 φαίνει] Vulgo φαίνῃ. 16 τῷ μὴ] τοῦ μὴ M. 17 ἐπηνάγκαζε Θ.

Digitized by Google

πώτερον· κτήσασθαι καὶ μεῖζον ἤδη προστίθησιν, ὅπως μηδ' αὐτὸς ὑπ' ἄλλων ἀδικήσεται. πῶς οὖν τὸ αὐτὸ ἅμα μὲν τελέως ἀγαθὸν καὶ μέγιστον τῶν ἀγαθῶν, ἅμα δ' ἔσχατον τῶν κακῶν καὶ κολακεία; καὶ πῶς ἐλάχιστον οἱ ῥήτορες δύνανται, εἴ γε οὐ παγχάλεπον κτήσασθαι δύναμιν, τοῦτ' αὐτοῖς περίεστιν; ἐγὼ μὲν οὐκ ἔχω συμβαλεῖν. εὐδαίμονες ἄρα, οὐκ ἄθλιοι, κατὰ τὸν Πλάτωνος λόγον οἱ ῥήτορες, εἴ γε ὁ μὲν τελέως ἀγαθὸς εὐδαίμων, τὸ δ' οὐκ ἔστι κτήσασθαι μὴ τελέως ἀγαθὸν γενόμενον. εἶτ' ἐλέγχειν μὲν βούλεται ῥητορικήν, κατηγορεῖ δὲ τῶν τυράννων καὶ δυναστῶν, τὰ ἄμικτα μιγνύς, ὥσπερ ἂν εἰ ὁ Ἡρακλῆς, ἵλεως δ' εἴη τῷ παραδείγματι, προσταχθὲν αὐτῷ τὸν ἐν τῇ Νεμέᾳ ἀνελεῖν λέοντα, εἶτ' ὄνῳ συμπλακεὶς καὶ (125) πνίγων τὸν λέοντα ἄγχειν ᾤετο καὶ τοῦθ' ὅπερ προὔθετο πράττειν. τοσοῦτον δὲ λείπεται τὸ παράδειγμα ὅσον οὗτός γε οὐχ ἕτερον ἀνθ' ἑτέρου ποιεῖ τοῦτον τὸν τρόπον τῷ λόγῳ χρώμενος, ἀλλὰ καὶ τοῖς ἐναντίοις περιπίπτει. τίς γὰρ οὐκ οἶδεν ὅτι ῥητορικὴ καὶ τυραννὶς τοσοῦτον ἀλλήλων κεχώρισται ὅσον τὸ πείθειν τοῦ βιάζεσθαι; ἀλλὰ μὴν ταῦτά γε οὐδείς ἐστιν ὅστις ἂν τὴν ἐναντίαν φύσιν εἰπὼν ἔχειν αἰσχυνθείη. ὥστ' εἰ δεινὸν τὸ βιάζεσθαι καὶ πλεονεκτεῖν, τό γε πείθειν καὶ τοῦ δικαίου προεστάναι καλὸν καὶ προσῆκον. οὐκοῦν οὐχ οὕτω ῥητορικὴ κακὸν ὡς τυραν-

---

74, 4 καὶ πῶς] ἢ πῶς N apud Iebbium. 5 οὐ] τὸ ex MN affert Iebbius: ego οὐ ex N enotatum habeo. παγχάλεπον] καὶ παγχάλεπον ΘL. 7 τὸ δ'] τοῦτο δ' Canterus. 8 δυναστῶν] τῶν δυναστῶν M. 10 εἶτ' ὄνῳ — τὸν λέοντα om. E. ὄνῳ] ὄνῳ τινὶ Θ. 11 τοσοῦτον ΘLN. Vulgo τοσοῦτο. λείπεται τὸ παράδειγμα] Scilicet τοῦ νυνὶ παρόντος λόγου. tantum abest simile hoc a re praesente. Reisk. 12 οὗτος] Plato puta. Reisk. οὐχ ἕτερον] οὐδ' ἕτερον N. Sententia flagitat οὐ μόνον ἕτερον. Plato non solummodo aliud pro alio sumit, (tyrannidem pro rhetorica) sed etiam permutat inter se res naturis repugnantes. Sed usitatum est Graecis atque Latinis in re simili μόνον et solum omittere. cuius rei tam crebra occurrunt exempla, ut necesse nil putem aliqua afferre. dabo tamen b. c. d. eorum gustum ad Polybii p. 431, 31. Reisk. 14 Notabile κεχώρισται ἀλλήλων pro κεχωρίδαται vel κεχωρισμέναι εἰσὶν ἀλλήλων. Reisk. ὅστις ΘEN. Legebatur ὅς. ὅς τε L. ἂν om. N. 16 προεστάναι] προ-



Digitized by Google

νίς, ἀλλ' εἰ κακὸν ἡ τυραννίς, ἡ ῥητορικὴ χρηστὸν ἐκ τῶν αὐτῶν· ἡ μὲν γὰρ βιάζεσθαι πανταχοῦ ζητεῖ, ἡ δὲ τὸ πείθειν τετίμηκεν. ὥσθ' ὅμοιον ποιεῖ τούτοις ἐκεῖνό γ' ἐλέγχειν νομίζων ὥσπερ ἂν εἴ τις τὸν ἐν τῇ νυκτὶ σκότον
75 καταμεμφόμενος καὶ τὰς ἄλλας ἀτοπίας τῆς ἡμέρας ἡγοῖτο κατηγορεῖν. καὶ τοτὲ μὲν κολακείαν εἶναί φησι τὴν ῥητορικήν, πάλιν δ' εἰς ταυτὸν τοὺς δυνάστας καὶ τοὺς ῥήτορας τίθησιν, οὐ μόνον οὐδέτερον προσὸν τῇ δυνάμει ταύτῃ λέγων, πρὸς δὲ τῷ μὴ προσεῖναι καὶ παντελῶς ἀλλότριον αὐτῆς, ἀλλὰ καὶ αὐτὰ τὰ ἐναντιώτατα δύο συντιθεὶς ἐγκλήματα. πῶς γὰρ ὁμοῦ μὲν κολακεύουσιν οἱ ῥήτορες, ὁμοῦ δ' ἐν τοῖς δυνάσταις εἰσίν; οἱ μὲν γὰρ κόλακες οἱ μέγιστοι δή που καὶ τελεώτατοι αὐτῶν εἰσὶ τῶν τυράννων πάντῃ θεραπευταί· εἰσὶ δ', οἶμαι, καὶ τῶν τυχόντων τινές· ὥσθ' ὅπερ δοῦλος πρὸς δεσπότην, τοῦτο κόλαξ πρὸς τύραννον συμβαίνει· οἱ δ' αὖ τύραννοι τοσοῦτον ἀπέχουσι τοῦ κολακεύειν ὥστε βίᾳ πάντας ὠθοῦσι καὶ οὐδὲ τῶν μετρίων οὐδενός ἐστι παρ' αὐτῶν τυχεῖν, μή τί γε δὴ τῆς ὑπὲρ τὸ προσῆκον θεραπείας· ὥσθ' ὁ τύραννος μικροῦ δεῖν καὶ τὸ τοῦ δεσπότου μέτρον παρελήλυθε. κόλακος μὲν γὰρ οὐδέν ἐστι ταπεινότερον οὐδ' ὅ τι μᾶλλον

---

ἑστάναι L. 18 ὅμοιον] ὁμοῦ N. 19 σκότον] σκοπὸν NS et a pr. m. L.

75, 1 ἡγοῖτο ΘLM. Vulgo ἡγεῖτο. εἶναί φησι τὴν ῥητορικὴν ΘLMN. Legebatur φησὶ τὴν ῥητορικὴν εἶναι. 2 ταυτὸν] Vulgo ταυτό. 3 ἀλλότριον ὂν αὐτῆς. Subaudi λέγων. Reisk. 5 γὰρ κόλακες] γέ που κόλακες vulgo. γάρ γέ που κόλακες LN. 6 εἰσὶ τῶν — θεραπευταί add. EL Soph. Iebb. om. Θ Iunt. πάντῃ L Iebb. πάντα Soph. πάνυ E. θεραπευταὶ E Soph. θεραπευσταὶ L Iebb. οἶμαι EL Soph. ὅμως Iebb., qui „*vox etiam*“ inquit „*οἶμαι in L rec. manu scripta pro ὅμως, cuius vestigia satis apparent.*“ De illo ὅμως ego nihil annotatum habeo. Praefero οἶμαι. adulatores in arte sua perfecti semper ipsis tyrannis consuescunt et blandiuntur. Sunt quoque qui sequioris conditionis homines officiis demereantur. Reisk. 7 κόλαξ — συμβαίνει] De hac structura verbi συμβαίνειν dixit Heindorfius ad Platonis Phaedon. p. 49. Recte autem Reiskius post συμβαίνει addere videtur εἶναι. 9 αὐτῶν] αὐτῷ M. μή τί γε ΘE et scholiasta p. 421, 1. Legebatur μήτοι γε. δεῖν] δεῖ N. 10 ἐστι ταπεινότερον] ἐστι δήπου

Digitized by Google

ᾑρῆσθαι δουλεύειν, τυράννου δὲ οὐδὲν ἂν εἴποις ἀγριώτερον οὐδ' ὅ τι μᾶλλον πρὸς τὸ δεσπόζειν ἐθέλειν ἐστίν. ὥστ' εἰ μὲν κολακεία ἡ ῥητορική, τὰ τῶν τυράννων ἐγκλήματα οὐ πρὸς αὐτήν ἐστιν, εἰ δ' ὁμοῦ τῇ τυραννίδι, τὴν κολακείαν μεγάλοις τοῖς ὁρίοις παρελήλυθεν. οὐκοῦν τά γε ἕτερα πάντως ἤδη ψευδῆ. ἐμοὶ μὲν τοίνυν, εἰ καὶ (127)
μηδὲν ἔχοιμι χρηστὸν εἰπεῖν περὶ αὐτῆς, ἱκανὸν τοῦτο, εἰ δείκνυμι καὶ οὑτωσὶ μὴ τἀληθῆ λέγοντα· τῷ δὲ, εἰ καὶ θάτερα ὀρθῶς ἐγκέκληκε, περὶ τῶν ἑτέρων λόγος οὐ λείπεται. ἀλλὰ μὴν ὡς οὐκ ὀρθῶς ἅμα ἀμφότερα ὑπὸ τῶν αὐτὸς αὑτοῦ λόγων ἐλέγχεται συγκρουόντων, ὡς δ' οὐδέτερον ὀρθῶς ἡμεῖς ἀρτίως ἐπεδείξαμεν, ἰδίᾳ μὲν ὡς οὐ κολακεία δείξαντες, πάλιν δ' ὡς οὐ κοινωνεῖ τῇ τυραννίδι. πῶς οὖν οὐ τρὶς ἡττᾶται, τῷ τε τοῦ συναμφοτέρου
76 λόγῳ καὶ τῷ καθ' ἕτερον χωρίς; ταυτὸν δὲ ἡμῖν ἐν ἅπασι σώζεται. περί τε γὰρ ἀμφοτέρων ὁμοῦ τοῖς αὐτὸς αὑτοῦ λόγοις περιωθεῖται καὶ πάλιν καθ' ἕτερον αὐτὸς αὖ μαρτυρεῖ, τῷ τε τὸ πείθειν φανῆναι τῶν χρησίμων ἕν τι παρ' αὐτῷ καὶ τῷ τῶν βιαζομένων καὶ ὑβριζόντων κατηγο-

---

ταπεινότερον Θ. δήπου in L superne adscriptum. 11 ᾑρῆσθαι] ᾕρηται Canterus. Fortasse ᾑρῆσθαι πρόθυμον δουλεύειν, aut ὅ τι μᾶλλον αἱρεῖται δουλεύειν. Reisk. 12 Post ἐθέλειν videtur καταφερὲς deesse. Reisk. ὥστ' εἰ μὲν κολακεία ἡ ῥητορικὴ ab rec. m. scripta in L. τὰ τῶν] τῶν om. N. 13 αὐτὴν] αὐτῆς N Soph., quod praefert Reiskius. ὁμοῦ] Sententia postulat aut ὁμοία aut ὅμοιον scil. ἐστὶ et distingui post τυραννίδι, ut sententia sit: quod si vero similis rhetorica tyrannidi sit, magnis spatiis adulationem superavit. et tunc punctum perfectum est versu 14. post παρελήλυθεν collocandum. Reisk. Vulgo comma post παρελήλυθεν est. 17 ἅμα] ἅμα καὶ N. αὑτοῦ] Vulgo αὐτοῦ. ἐλέγχεται] Vulgo ἐλέχεται (sic). ἐξελέγχεται ELN. 18 ἰδίᾳ ΘELN. Vulgo ἰδίως. 19 πάλιν δ'] πάλιν δὲ ΘL. πῶς οὖν οὐ τρὶς] πῶς οὖν εἰ τρὶς Θ. πῶς οὖν ἢ τρὶς N apud Iebbium. πλέιστων μὲν οὖν τρισὶν E.

76, 1 καὶ τῷ] καὶ τὸ L. χωρὶς — πάλιν καθ' ἕτερον om. M. ταυτὸν ELN. Vulgo ταὐτό. 2 αὑτοῦ] Vulgo αὐτοῦ. λόγοις] λόγος N. Fort. καὶ πάλιν κατὰ θάτερον αὐτὸς αὖ μαρτυρεῖ ἡμῖν, τῷ τε —. Reisk. 3 καὶ τῷ τῶν ΘK. Legebatur τῷ τε τῶν. καὶ ὑβριζόντων add. LMN Soph. Iebb. om. Iunt.

Digitized by Google

ροῦντά παρ' ὅλον τὸν λόγον φαίνεσθαι. τοσοῦτον γὰρ ἡ ῥητορικὴ κεχώρισται δυναστείας ὅσον, εἰ καὶ τοῦτ' εἰπεῖν δεῖ, Πλάτων Διονυσίου. ἔστι τοίνυν μαθεῖν καὶ παρ' αὐτοῦ τοῦ πράγματος καὶ τῶν συμπεπτωκότων ὅσον τὸ διάφορον τούτων ἑκατέρου, καὶ καθ' ὅσην τινα τὴν ἀνάγκην ἐστί. φανήσεται γὰρ οὐθ' ὅπου ῥητορικὴ σώζεται τύραν- (128 νος ἐγγιγνόμενος, μέχρι ἂν σώζηται λόγῳ, οὔτ' αὖ ῥητορικὴ περιοῦσα ἔνθα τυραννὶς κρατεῖ, ἀλλ' ὅ τε ῥήτωρ πάντα πράττων ὅπως μηδεὶς τύραννος ἐγγένηται τό τε αὑτοῦ καὶ τὸ κοινὸν ὁμοῦ προορῶν, ὅπως μηδεὶς αὐτὸν τὸ λόγῳ πείθειν παρελόμενος αὐτὸς ἄγῃ κατ' ἀρχὴν τὰ πράγματα, οἵ τε τύραννοι σκοποῦντες καὶ φοβούμενοι τῶν πάντων οὐδὲν μᾶλλον ἢ μή τις ἐγγένηται λέγειν καὶ πείθειν δυνατὸς, ὅστις συναγαγὼν τὰ πλήθη καὶ σύμβουλος καὶ μηνυτὴς τοῦ προσήκοντος γενόμενος ὁμοῦ τῆς τε ἀρχῆς καὶ τῆς ἐξουσίας ἀκύρους καταστήσει. διόπερ τὴν ἔχθραν ἀλλήλοις ἀναγκαίως ἔχουσιν· ἡ γὰρ τῶν ἑτέρων σωτηρία καὶ δύναμις μὴ εἶναι τοὺς ἑτέρους ἐστὶ τὴν ἀρχήν. ὥστε πόσου ποτ' ἂν πρίαιντο οἱ ῥήτορες, εἰ οἷόν τ' εἰπεῖν, φανῆναί τινα ὥσπερ ἐν μάχῃ σφίσιν, ἢ Πλάτωνα λέγω, ἢ καὶ ὀντινοῦν ἐπίκουρον καὶ βοηθὸν, τὰ τῶν τυράννων κακὰ εἰς μέσον οἴσοντα καὶ δείξοντα καὶ μηδὲ νύκτωρ ἀνήσοντα λέγοντ' αὐτοὺς κακῶς. σχεδὸν γὰρ ἤδη τοὺς τῆς ῥητορικῆς αὐτῆς ἀναλώσει καὶ δείξει λόγους ὁ ταῦτα δεικνὺς, καί τινα τρόπον οἴκοθεν τοῖς ῥήτορσιν ἡ βοή- (12 θεια ἀφίξεται. οἱ δ' αὖ τυραννεῖν ἐπιθυμοῦντες πόσου ποτ' ἂν πρίαιντο ἀπιστηθῆναι τὸ τῶν ῥητόρων ἔθνος ἐν

---

4 παρ' ὅλον τὸν λόγον κατηγοροῦντα M. 6 ἑκατέρου] ἑκατέρων M. ὅσην ELN, Canterus, Iebb. ὅσον Iunt. 7 ἐγγιγνόμενος L. Vulgo ἐγγινόμενος. μέχρι] Vulgo μέχρις. 8 ἔνθα] εἰ E. 9 ἐγγένηται] ἐγγενήσεται Θ. αὑτοῦ ΘN. Vulgo αὐτοῦ. 10 τὸ λόγῳ N et Reiskius. Legebatur τῷ λόγῳ. παρελόμενος] προελόμενος N. ἄγῃ] ἄγει M. ἀρχὴν] ἰσχὺν E. 11 τύραννοι] φανήσονται superscriptum in N. ἢ μή] ἢ εἰ μή LN. 13 Vulgo ἀκύρους αὐτούς. αὐτοὺς om. LMN. καταστήσει Θ. Vulgo καταστήσῃ. ἀλλήλοις ἀναγκαίως] ἀναγκαίως ἀλλήλοις LN. 14 ἐστὶ τὴν] ἐστὶ εἰς τὴν N. 16 ἢ Iunt. Steph. ἢ Iebb. Πλάτωνα] πλάτων E. Legebatur βοηθὸν ὄντα. ὄντα delevit Reiskius et om. E, in quo est τὸν τὰ τῶν τυράννων. 17 μηδὲ] μὴ N.

Digitized by Google

ταῖς πόλεσι καὶ κόλακας καὶ μαγείρων οὐδὲν βελτίους ὑπο-
77 ληφθῆναι, τοὺς τῷ λόγῳ πείθειν ἐπιχειροῦντας, ἵνα μὴ μάτην ἡ παροιμία τὰς ἐρήμους τρυγᾶν ἀγορεύῃ. εἶθ' ἃ τοῖς ἀδικεῖν ἐπιχειροῦσι λυσιτελεῖ, πῶς ταῦτα συγχωρητέον τοῖς τὰ δίκαια τιμῶσι; πῶς οὖν τἀναντία λέγουσιν ἀλλήλοις οἱ ῥήτορες; — ἔστι μὲν οὐκέτι τοῦτ' ἐν τοῖς εἰρημένοις ὑπὸ Πλάτωνος, ὅμως δὲ ὑπὲρ τοῦ πανταχῇ διακαθᾶραι τὸν λόγον μηδὲ τοῦθ' ἡμῖν ἀνεξέταστον ἀφείσθω, καὶ ταῦτ' ἰσχυρότατον πάντων ὂν σχεδὸν ὡς ἐν ψεύδεσιν ὧν ἐκεῖνος εἴρηκεν. — ὅτι, οἶμαι, καὶ ἡμῖν αὐτοῖς ἀπαντῶμεν ἐν τοῖς λόγοις, αὐτὸ τοῦτο ὃ κἀγὼ νῦν πεποίηκα· ἀλλ' οὐδὲν μᾶλλον ὅ γ' ἐξ ἀρχῆς λόγος διαφθείρεται, ἐπεὶ καὶ οἱ φιλοσοφεῖν οὕτω λεγόμενοι οὐ τοῖς αὐτοῖς λόγοις ἅπαντες δή που χρῶνται, ἀλλὰ καὶ τοῖς ἐναντιωτάτοις ἀλλήλοις. ἀλλ' οὐδὲν κωλύει κατὰ τοὺς τυγχάνοντας τῆς ἀληθείας φιλοσοφίαν εἶναι καλόν, οὐ δή που διπλοῦν (130) ἐστιν οὐδ' ἐναντίον αὐτὸ ἑαυτῷ. πῶς οὖν ἂν φαίη τις; ἢ φιλοσοφεῖν ἀμφοτέρους φήσομεν τἀναντία λέγοντας; ἢ τὸ φιλοσοφεῖν εἶναι καλὸν οὕτως ὡς ἔφην; ἴδοις δ' ἂν καὶ κυβερνήτας ἐναντία ἀλλήλοις ναυμαχοῦντας, ἀλλ' ὅμως τῆς κυβερνητικῆς ἐστι σώζειν τὴν ναῦν. οὕτω τοίνυν καὶ ὅταν οἱ ῥήτορες ἐναντία ἀλλήλοις, ὡς ἄν τις φαίη, λέγωσιν, οὐ κωλύεται τὸ ἐξ ἀρχῆς κεφάλαιον τῆς ῥητορικῆς, ἀλλὰ τὸ συμβαῖνον τῷ λόγῳ χρὴ σκοπεῖν μεμνημένους ὧν ἕνεχ' εὑρέθη. ὁ μὲν οὖν ὑπὲρ ῥητορικῆς λόγος οὗτος.

---

77, 1 ὑποληφθῆναι Θ. Legebatur ὑπολειφθῆναι. 3 πῶς οὖν] οὖν om. N. ἔστι μὲν οὐκέτι] ἔστι μὲν οὐκ ἔστι M. ἔτι μὲν οὐκ ἔστι N. 5 σχεδὸν add. L apud Iebbium, N Soph. Iebb. σχέδη M. om. Θ Iunt. 6 εἴρηκεν] εἴρηκε καὶ M. 7 ὃ κἀγὼ Reiskius. Aberat ὅ. 8 λόγοις ἅπαντες δή που LMN. Legebatur ἅπαντες δή που λόγοις. 9 καὶ τοῖς LN Soph. Aberat καί. 10 οὐ δή που — καλὸν ab rec. m. in margine habet L. οὐ δή που] οὐ δέ που E. 11 οὕτως ὡς ἔφην] Scilicet τυγχάνοντας τῆς ἀληθείας. Reisk. 13 ὅταν] ὅτ' ἂν Θ. ἐναντία ἀλλήλοις] ἀλλήλοις ἐναντία LN. 15 μεμνημένους] μεμνημένος LN. οὖν om. M.

# 78 ΠΕΡΙ ΡΗΤΟΡΙΚΗΣ ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ.

*Ἐπεὶ δὲ καὶ Μιλτιάδου καὶ Θεμιστοκλέους καθήψατο καὶ Κίμωνος καὶ Περικλέους, οὐ πρὸς τὸ βέλτιστον φάσκων προστῆναι τῆς πόλεως, ἔστι μὲν οὐδὲν ἴσως κατεπεῖγον περὶ τούτων νῦν διαφέρεσθαι. οὗτοι μὲν γάρ, εἰ δίκαια Πλάτων αὐτῶν κατηγόρηκε, δικαίως ἂν φαῦλοι νομίζοιντο· ῥητορικὴ δ', εἰ καὶ πάντων μοχθηροτάτους τούτους θείημεν, οὐδὲν μᾶλλον ἐλέγχεται. συγχωρούντων μὲν οὖν ἡμῶν ὅ γε ὑπὲρ ῥητορικῆς οὐκ ἀπόλωλε λόγος. εἰ* (131
*δὲ δὴ καὶ περὶ τούτων ἐλέγχοιτο οὐ παντάπασιν εὐγνωμόνως τῷ λόγῳ κεχρημένος, πανταχῇ δειχθήσεται φιλονεικῶν. τοῦτ' ἔστι προὔργου τὸ καὶ περὶ τούτων εἰπεῖν. φέρε δὴ πρὸς Διός, εἴ πως ἀναστάντες ἢ λαβόντες αἴσθησιν, ὥσπερ Πλάτωνι Δίων ὑπόκειται πρὸς Συρακοσίους λέγων, ταυτὶ πρὸς αὐτὸν εἴποιεν, ἡμεῖς, ὦ Πλάτων, ἄλλο μὲν οὐδὲν χρηστὸν τὴν Ἀθηναίων πόλιν εἰργασάμεθα· οὐ*

---

78, 1 „*ὑπὲρ ῥητορικῆς λόγος δεύτερος* LM. *πρὸς πλάτωνα ὑπὲρ τῆς ῥητορικῆς λόγος δεύτερος* N. *Ἀριστειδοὺ ρητορος υπερ ρητορικης λογος δευτερος* Iunt. *Una tamen sunt atque eadem oratio, ut in editione P. Stephani et hac nostra. Nec aliter iudicavit Sopater Apameensis, utpote qui ambabus unicam tantum praefixit hypothesin; quod et ante nos observaverat Nesselius in Catal. Biblioth. Caes. Vindobon.* p. 72.“ Iebb. Ex N ego *πρὸς πλάτωνα ὑπὲρ τῆς ῥητορικῆς λόγος βος* enotatum habeo. *Ἀριστείδου ῥήτορος ὑπὲρ ῥητορικῆς λόγος β' Θ.* In duas orationes divisam habuerunt scholiasta et Photius, quem vide p. 418 a. ed. Bekker. *Ἐπεὶ*] *ἐπειδὴ* N. 2 *νῦν*] *νυνὶ* M. 3 *κατηγόρηκε*] *κατηγόρηκεν* L. 4 *πάντων μοχθηροτάτους*] *πάνυ τῶν μοχθηροτάτων* M et margo L. *τούτους θείημεν*] *θεῖμεν*, omisso *τούτους*, L. *τούτους θείημεν* margo L. 5 *ῥητορικῆς*] *τῆς ῥητορικῆς* LN. 7 *τοῦτ' ἐστὶ*] Aut hic desunt quaedam aut locus alio quodam modo corruptus est. num *τοῦτ' οὖν ἡμῖν ἔστω προὔργου*, hoc itaque agamus, ut hac quoque de re disseramus. vel etiam sic, *εἰ δὲ δή, εἰ καὶ τούτων — δειχθήσεται φιλονεικῶν, τοῦτ' ἔστω προὔργου.* quod si autem libidine contentionis illum ardere demonstrabitur eo, quod (vel tum, cum) convincatur etiam in hos sermone malignius esse invectus, age, esto hoc nobis propositum ut — erit tum post *φιλονεικῶν* aut comma, aut semicolon ponendum. Reisk. *τοῦτ' ἔστι*] *τοῦτ' οὖν ἐστι* Canterus. *προὔργου τὸ καὶ*] *προὔργου ποιῶν καὶ τὸ* L. *προὔργου ποῖ καὶ τὸ* N. 8 *Συρα-*

Digitized by Google

γὰρ ἦμεν τῆς σῆς ἀρετῆς καὶ σοφίας ἐπιστήμονες, πάντα δ' οὐ πᾶσιν οἱ θεοὶ διδόασιν· ἃ δ' εἰς ἡμᾶς ἧκεν, εὔνοια, προθυμία, πίστις, ἀνδρεία, τὰ τοιαῦτα παρεσχόμεθα, ὥσθ' ὑπερβολὴν ἑτέρῳ μὴ λιπεῖν, ἐν τοῖς τοιούτοις καιροῖς, ὦ Πλάτων, ἐν οἷς ἦν ἐν μὲν τῷ κρατεῖν ἅμα δόξα καὶ σωτηρία καὶ τὰ ἐκ τῶν εὐχῶν, ἡττηθέντας δὲ μηδ' εἶναι τὸ παράπαν. λαβόντων δὲ ἡμῶν τούτους τοὺς λογισμοὺς καὶ τῶν θεῶν εὐμενῶς συναιρομένων ἐλευθέρα μὲν ἡ σὴ καὶ ἡμετέρα πατρὶς καὶ σώα καὶ ἀθῶος τῆς τῶν βαρβάρων ὕβρεως καὶ παρανομίας, ἐλευθέρα δὲ καὶ πᾶσα ἡ Ἑλλάς, ἐξουσία δὲ καὶ σοὶ φιλοσοφεῖν καὶ τοῖς σοῖς ἑταίροις ἐγένετο καὶ πλεῖν ἐλευθέρως ὅποι ἐβούλεσθε (132) καὶ ἔχειν ἡμῶν μνησθῆναι, καὶ ἔπειτα, εὔγνωμον δ' ἦν, ὡς ἐπὶ τὰ βελτίω. ὡς εἰ τότε ἡμεῖς ἀπειπόντες παρεδώκαμεν ἡμᾶς αὐτοὺς τοῖς βαρβάροις ἀμαχητί, τίς ἂν ἡμῶν λόγος κατ' ἀνθρώπους ἐγένετο; ἀλλ' οὔτε αὐτοὶ τοιοῦτον οὐδὲν ἐπάθομεν οὔτε τοὺς ἄλλους ἠνεσχόμεθα, οὐδ' ἐκο-
79 λακεύσαμεν οὐδετέρους, οὔτε τὸν βασιλέα δι' οὐδέτερον τούτων, ἢ φόβον, ἢ κέρδους ἐλπίδα, οὔτ' αὖ τὸν δῆμον τῶν Ἀθηναίων. οὐ γὰρ ἦν, εἰ κολακεύειν ἐβουλόμεθα, αὐτοὺς σῶσαι, οὐδ' ὅπως τι πρὸς ἡδονὴν ἀκούσονται παρ-

---

κοσίους] Scribebatur Συρακουσίους. 10 τῆς σῆς] σῆς om. N. 11 πίστις om. L. ἀνδρεία M. Vulgo ἀνδρία. 12 ὥσθ'] ὥσπερ M. λιπεῖν] λείπειν LMN. τοῖς τοιούτοις ΘΕLMN. Aberat τοῖς. 13 ἡττηθέντας] ἡττηθέντα E. εἶναι] γρ. εἰδέναι marg. LN. 14 τὸ παράπαν] γρ. τὸ πρᾶγμα marg. LN. εὐμενῶς] εὐμενεῖς a pr. m. L. εὐμενῶς correctus L. συναιρομένων] συναιρουμένων L. 15 σώα] Vulgo σῶα. σῷα L. 16 παρανομίας] πλεονεξίας M. 17 ὅποι] ὅπη LN. ὅποι superscriptum in L. ὅποιγε δὴ Soph. ἐβούλεσθε Reiskius. Legebatur βούλεσθε. βούλεσθαι Θ.

18 Hic aliquid turbatum videtur. verba scilicet καὶ ἔπειτα videntur post βελτίω esse collocanda, ut haec sit oratio καὶ ἔχειν ἡμῶν μεμνῆσθαι. εὔγνωμον δ' ἦν ὡς ἐπὶ τὰ βελτίω (scil. ἡμῶν ὑμᾶς μεμνῆσθαι.) καὶ ἔπειτα (scil. μεμνῆσθαι) ὡς ἔτι τότε, ut possetis nostri quoque meminisse. erat autem humanitatis meliorem partem (nostri meminisse.) tum quoque (meminisse) si tunc temporis —. Reisk. ὡς ἐπὶ] ὡς om. MN, ab rec. m. habet L. 19 ἡμῶν] ἡμῖν L. ὑμῶν N et Canterus.

79, 3 ἀκούσονται] ἀκούσωνται LN. Post παρεδίδου subaudi-

Digitized by Google

ἐδίδου τόθ' ὁ καιρός, ἀλλὰ τοσοῦτον ἀπείχομεν τοῦ κολακεῖς τοῦ πλήθους εἶναι ὥστ' οὐδὲ βουλομένοις ἡμῖν κολακεύειν ἐνῆν. ἀλλ' οὔτε προῃρούμεθα οὔτ' ἦν δυνατὸν οὔθ' οὕτω τὴν Ἑλλάδα ἐσώσαμεν χαριζόμενοι καὶ ψυχαγωγοῦντες, ὥσπερ ὧν σὺ μέμνησαι τῶν κιθαρῳδῶν, ἀλλ' ἐπεγείροντες, διδάσκοντες, αὐτοὶ παράδειγμα τοῖς ἄλλοις γιγνόμενοι τοῦ πῶς δεῖ καρτερεῖν ἐν αὐτοῖς τοῖς δεινοῖς καὶ ταῖς ἀκμαῖς τῶν κινδύνων, τὴν ἡμετέραν αὐτῶν, εἰ συγχωρεῖς εἰπεῖν, ἀρετὴν ἐπιδεικνύμενοι. τί οὖν ἡμῖν προφέρεις (133) κολακείαν καὶ διακονίαν, καὶ τοὺς ἰδίᾳ τροφεῖα μὴ ἐκτίνοντας φαύλους ἂν εἶναι συμφήσας αὐτὸς ἡμῖν οὐ καλὴν χάριν ἐκτίνεις τῆς κοινῆς τῶν Ἑλλήνων σωτηρίας καὶ τροφῆς, ἣν σύ τε καὶ οἱ ἄλλοι δι' ἡμᾶς ἐν ἐλευθερίᾳ τέθραφθε; εἰ ταῦτα λέγοιεν οἱ ἄνδρες, ποίους λαβυρίνθους σοφίας ἀνελίττων ἢ τί λέγων τῶν πάντων οἷός τε γένοιτ' ἂν ἀντειπεῖν; πᾶσι τοίνυν προτέροις ἐστὶ λόγος πρὸς ταῦτα ἢ Πλάτωνι. διὰ τί; ὅτι ἐν αὐτοῖς τούτοις ἃ πρὸς τοὺς Δίωνος γέγραφεν ἑταίρους καὶ ἐν οἷς ὁ Δίων αὐτῷ τετελευτηκὼς ὑπόκειται λέγων ὡς ἔμπνους ἔνεστι ταυτὶ „Δεξάμενοι δὲ τοὺς τοιούτους νόμους, ἐπειδὴ κατέχει κίνδυνος Σικελίαν, καὶ οὔτε κρατεῖτε ἱκανῶς οὔτ' αὖ διαφερόντως κρατεῖσθε, δίκαιον ἂν ἴσως καὶ συμφέρον γένοιτο ἡμῖν πᾶσι μέσον τεμεῖν τοῖς τε φεύγουσι 80 τῆς ἀρχῆς τὴν χαλεπότητα ὑμῖν καὶ τοῖς τῆς ἀρχῆς πάλιν ἐρῶσι τυχεῖν· ὧν οἱ πρόγονοι τὸ μέγιστον ἔσωσαν ἀπὸ βαρβάρων τοὺς Ἕλληνας, ὥστ' ἐξεῖναι περὶ πολιτείας νῦν ποιεῖσθαι λόγους· ἔρρουσι δὲ τότε οὔτε λόγος οὔτ'

---

tur ἀφορμήν. Reisk. τόθ'] τοῦθ' LN. τόθ' correctus L. τοσοῦτον] Vulgo τοσοῦτ'. 4 οὐδὲ] οὐδ' εἰ M. ὧν om. M. 6 γιγνόμενοι] γινόμενοι M. 9 ἐκτίνοντας] ἐκτείνοντας N. 10 οὐ καλὴν] οὐκ ἄλλην Opor. 11 τέθραφθε] τέτραφθε M. ποίους add. ELMN Iebb. om. Iunt. 13 πρὸς ταῦτα in M erasa sunt. 14 τοὺς Δίωνος] τοῦ δίωνος M. γέγραφεν] ἔγραφεν M. 15 Δεξάμενοι] Plato epist. VIII. p. 355 d. νόμους om. M. 16 οὔτ' αὖ] οὔτε αὖ L. 17 γένοιτο] γίνοιτο Θ. γίγνοιτο Plato. ἡμῖν] ὑμῖν Plato. τεμεῖν ex Platone dedi. Legebatur τε μένειν. τε μέλλον E.

80, 1 τυχεῖν om. M. πρόγονοι τότε Canterus ex Platone.

Digitized by Google

ἐλπὶς ἐλείπετ' ἂν οὐδαμῇ οὐδαμῶς." ἡμῶν δέ γε οὐχ οἱ πρόγονοι, φαῖεν ἄν, ἀλλ' ἡμεῖς αὐτοὶ τοῖς ἡμετέροις αὐτῶν ἔργοις καὶ βουλεύμασι καὶ λόγοις ἀπὸ τῶν βαρβάρων τοὺς Ἕλληνας ἐσώσαμεν, οὐ τὸ ἐν Σικελίᾳ κατοικοῦν μέρος αὐτῶν, ἀλλὰ τοὺς σύμπαντας καὶ τοὺς τῆς ἁπάσης οἰκουμένης τὸ ἕτερον μέρος νομισθέντας, ἐξ οὗ τότε τοῖς βαρβάροις ἀντάραντες ἐώσαντο, ὥστ' ἐξεῖναί σοι περὶ πολιτείας νῦν ποιεῖσθαι λόγους, καὶ περὶ αὐτῶν ἡμῶν, ἔρρουσι δὲ τότε οὔτε λόγος οὔτ' ἐλπὶς ἐλείπετ' ἂν οὐδαμῇ οὐδαμῶς. „Νῦν οὖν" φησὶν ὁ Δίων „τοῖς μὲν ἐλευθερία γιγνέσθω μετὰ βασιλικῆς ἀρχῆς, τοῖς δὲ ἀρχὴ ὑπεύθυνος βασιλική, δεσποζόντων νόμων τῶν τε ἄλλων πολιτῶν καὶ τῶν βασιλέων αὐτῶν, ἄν τι παράνομον πράττωσιν. ἐπὶ δὲ τούτοις ξύμπασιν ἀδόλῳ γνώμῃ καὶ ὑγιεῖ μετὰ θεῶν βασιλέα στήσασθε, πρῶτον μὲν τὸν ἐμὸν υἱὸν χαρίτων ἕνεκα διττῶν, τῆς τε παρ' ἐμοῦ καὶ τῆς παρὰ τοῦ ἐμοῦ πατρός· ὁ μὲν γὰρ ἀπὸ βαρβάρων ἠλευθέρωσεν ἐν τῷ τότε χρόνῳ (185)
τὴν πόλιν, ἐγὼ δὲ ἀπὸ τυράννων νῦν δίς, ὧν αὐτοὶ μάρτυρες ὑμεῖς γεγόνατε. δεύτερον δὲ δὴ ποιεῖσθε βασιλέα τὸν τῷ μὲν ἐμῷ πατρὶ ταυτὸν κεκτημένον ὄνομα, υἱὸν δὲ Διονυσίου, χάριν τῆς τε δὴ νῦν βοηθείας καὶ ὁσίου τρόπου· ὃς γενόμενος τυράννου πατρὸς ἑκὼν τὴν πόλιν ἐλευθεροῖ, τιμὴν αὐτῷ καὶ γένει ἀΐδιον ἀντὶ τυραννίδος ἐφη-

---

3 ἐλείπετ'] ἔλιπετ' correctus Θ. οὐδαμῇ οὐδαμῶς] οὐδαμῶς οὐδαμῇ LN. 4 αὐτῶν] ἑαυτῶν ΘELN. 6 τὸ ἕτερον μέρος] Graeci genus humanum duas in partes dividebant, Graecos et barbaros. ipsi ergo fuerunt sua sententia pars altera incolarum orbis terrarum, idque ex eo inde tempore, quo cum barbaris in aciem congressi eos depulerant. Reisk. τοῖς βαρβάροις] τοὺς βαρβάρους N. ἐώσαντο] ἐσώσαντο N. 7 ὥστ'] ὥστε LN. αὐτῶν om. M. 8 οὔτ' ἐλπὶς] οὔτε ἐλπὶς LN. ἐλείπετ'] ἔλιπετ' ΘN et correctus L. 9 γιγνέσθω] γενέσθω M. βασιλική] βασιλικῇ Canterus. 11 Vulgatum στήσασθαι ex Platone correxi. 12 ἕνεκα LMN. Vulgo εἵνεκα. τῆς παρὰ om. M cum codicibus Platonis duobus. 13 τυράννων] τῶν τυράννων L. δίς ὧν EM Iebb. cum Platone. δ' ἴσων Θ Iunt. 14 ὑμεῖς EM, Canterus cum Platone. Legebatur ὑμῖν. ἡμῖν Θ. δὲ δὴ ποιεῖσθε E et Plato. Vulgo δὲ δεῖ ποιεῖσθαι. μὲν ἐμῷ LMN. Legebatur ἐμῷ μέν. 15 δὴ νῦν] νῦν δὴ M. 16 αὐτῷ] αὐτοῦ N. 17 ἀΐδιον] ἀείζωον Plato. προκαλεῖσθαι] Legebatur

Digitized by Google

*μέρου καὶ ἀδίκου κτώμενος. τρίτον δὲ προκαλεῖσθαι χρὴ βασιλέα γίγνεσθαι Συρακουσῶν, ἑκόντα ἑκούσης τῆς πόλεως, τὸν νῦν τοῦ τῶν πολεμίων ἄρχοντα στρατοπέδου, Διονύσιον τὸν Διονυσίου, ἐὰν ἐθέλῃ ἑκὼν εἰς βασιλέως σχῆμα ἀπαλλάττεσθαι, δεδιὼς μὲν τὰς τύχας, ἐλεῶν δὲ*
81 *πατρίδα καὶ ἱερῶν ἀθεραπευσίαν καὶ τάφους, μὴ διὰ φιλονεικίαν πάντως πάντα ἀπολέσῃ, βαρβάροις ἐπίχαρτος γενόμενος.“*

*Εἰ τοίνυν καὶ τοιαῦτα γέρα τοὺς τῶν ἠλευθερωκότων τὴν πόλιν ἐκγόνους λαμβάνειν εἰκὸς, ὥστ' αὐτοὺς γίγνεσθαι δυνάστας καὶ βασιλέας ἀντὶ τῶν προτέρων ἐκείνων, ἤ που τούς γε αὐτοὺς ἐλευθερώσαντας ἅπαν τὸ τῶν Ἑλλήνων γένος οὐχὶ δίκαιον πρὸς τῷ μηδενὸς πλείονος ἀξιοῦν* (136)
*μηδ' ἐλευθέρους τὸ κοινὸν ἐᾶν εἶναι δοκεῖν. εἰ δὲ δὴ καὶ τὸν τοῦ τῶν πολεμίων ἄρχοντα στρατοπέδου δίκαιον βασιλέα ποιεῖσθαι, ἐὰν ἐθελήσῃ πατρίδα καὶ ἱερῶν ἀθεραπευσίαν καὶ τάφους ἐλεῆσαι, καὶ ὅπως μὴ διὰ φιλονεικίαν πάντως πάντα ἀπολέσῃ βαρβάροις ἐπίχαρτος γενόμενος, τούς γε οὐ μετὰ πολεμίων ταξαμένους, ἀλλὰ πρὸς τοὺς ἐξ ἁπάσης γῆς πολεμίους ἀντιταξαμένους, ποῦ θήσομεν, οἳ πρὸς τῇ σφετέρᾳ πατρίδι καὶ ἄλλοις πολλοῖς ὤρθωσαν τὰς πατρίδας, καὶ ἱερὰ καὶ τάφους διετήρησαν, καὶ οὔτε αὐτῶν οὐδεὶς βαρβάροις ἐπίχαρτος ἐγένετο οὔθ' ἡ Ἑλλὰς δι' αὐτούς; ἆρά γε φαῦλα ἢ φαύλης χάριτος ταῦτ' ἄξια τοῖς ἀνδράσιν; εἶθ' οὓς, εἰ δεῖ πείθεσθαι τοῖς Πλάτωνος λόγοις, τιμῶν ἀξιοῦν δεῖ καὶ πολὺ μειζόνων ἢ κατὰ τὰς συνήθεις, τούτους τοῖς Πλάτωνος λόγοις πεισθέντες κόλακας καὶ διακόνους καὶ τοῦ μηδενὸς ἀξίους προσεροῦμεν; οὐ μέντἂν δίκαια ποιοῖμεν.*

---

*προοκαλεῖσθαι* (*πρὸς καλεῖσθαι* Iunt.) Correxi ex Platone. 18 *γίγνεσθαι*] Vulgo *γίνεσθαι*. *Συρακουσῶν* ex Platone dedi. Legebatur *Συρακουσίων*. *ἑκόντα — πόλεως* om. M. 19 *ἐθέλῃ*] *θέλῃ* M.

81, 4 *πρὸς τῷ*] *πρὸς τὸ* L. 5 *τῶν πολεμίων*] *τῶν* om. LMN. 8 *ἀλλὰ πρὸς — ἀντιταξαμένους* om. M. 9 *σφετέρᾳ*] *σφετέρων* E. 11 *ἐγένετο*] In E et hoc et *γενόμενος* est. 12 *εἰ* ab N abesse ait Iebbius. 13 *τούτους τοῖς*] *τούτους δὲ τοῖς* N. 14 *πεισθέντες*] *πεισθέντας* M.

Τὸ δὲ πάντων ἀτοπώτατον, ὅτι χρῆται μὲν τούτοις ἐν ἐλέγχῳ τοῦ κολακείαν εἶναι τὴν ῥητορικὴν, ὡς δὴ τού- (137)
τους ὄντας ῥήτορας, πάλιν δ' αὐτὸς αὐτοὺς ἀφίησι τῆς κολακείας. οὔκουν φησί γ' αὐτοὺς ταύτῃ χρῆσθαι ἐν οἷς περὶ ὧν ἔπαθον λέγει. κἂν τούτοις οὖν ἀνάγκη θάτερον ἐψεῦσθαι. εἰ μὲν γὰρ ἡ ῥητορικὴ κολακεία, πάντως κόλακας δεῖ τούτους εἶναι, ῥήτοράς γε ὄντας, ὥς φησιν· εἰ δὲ
82 οὐδὲν οὗτοι κολακείᾳ προσήκουσι, ποῦ ῥητορικὴ κολακεία διὰ τούτους ἢ τί τούτων ἔδει τῶν παραδειγμάτων; ᾤμην δὲ οὐδὲ τοῦτο τῶν δικαίων εἶναι, τὰς προαιρέσεις τὰς ἐκείνων ἐξετάζοντας τὰς συμφορὰς αἷς ἐχρήσαντο ὑπολογίζεσθαι. οὐ γὰρ εἰ μὴ κατὰ νοῦν ἀπήλλαξαν, φαῦλοι γεγόνασιν, ἀλλ' εἰ μὴ τὰ βέλτιστα ἐβουλεύοντο τοῖς πράγμασιν. ἐκεῖνο μὲν γάρ ἐστι τῆς τύχης κατηγορεῖν, τοῦτο δὲ τὴν γνώμην ἐλέγχειν. φέρε γὰρ σὺ πρὸς τὸ βέλτιστον, ὦ Πλάτων, προύστης Ἀθηναίων ἢ τινος ἄλλου δήμου τῶν ἐν τοῖς Ἕλλησιν ἢ τοῖς βαρβάροις; ἐκείνων φαίη τις ἂν ἡδέως. οὐκ ἔχοις ἂν εἰπεῖν· οὐδὲ γὰρ προύστης ὅλως. τί δὲ ὁ σὸς διδάσκαλος καὶ ἑταῖρος Σωκράτης; οὐδ' οὗτος. τί δὲ Σπεύσιππος (138)
ἢ Χαιρεφῶν; οὐκ ἂν φαίης. πότερον οὖν ἔστι δῆμον καθάπαξ ἀποφῆναι χρηστὸν καὶ ἄμεμπτον καὶ δίκαιον, ἢ τοῦτο μὲν οὐδ' ἐπ' ἀνδρὸς οἷόν τε διισχυρίζεσθαι; καὶ μὴν εἰ μὲν ἐγχωρεῖ, τί παθὼν οὐκ ἀπέδειξας αὐτὸς, οὐδ'

---

17 χρῆσθαι] κεχρῆσθαι, *usos esse*, ut etiam Canterus reddidit. Reisk. 18 κἂν] καὶ E. θάτερον LN. Vulgo θάτερα. 19 ποῦ LN. Legebatur πῶς.

82, 1 κολακεία] κολακείᾳ προσήκει M. 2 ἐξετάζοντας] ἐξετάζοντα ELN. 5 γνώμην] τύχην M. 6 F. ἐκεῖνο, φαίη τις ἂν ἡδέως, οὐκ ἔχεις εἰπεῖν. hoc non potes dicere, facile dicat aliquis. ego tamen cur ἡδέως addat non plane video, nisi haec sit oratio personae Platoni inimicae tributa. cupide aliquis inimicorum tuorum, et velut insultans tibi atque exprobrans dicat. potest quoque sic legi, οὐδὲ τούτων, οὐδ' ἐκείνων, φαίη τις ἂν ἡδέως, ἔχεις εἰπεῖν. neque his barbaris te praefuisse, neque illis, Graecis, potes dicere. (sic libenter dicat aliquis.) Reisk. ἐκείνων — τις] Conf. infra v. 12. 7 Distinxi post ἡδέως. ἔχοις ἂν εἰπεῖν L. ἔχεις ἂν εἰπεῖν N. ἂν ἔχοις εἰπεῖν M. ἔχοις εἰπεῖν Θ. Legebatur ἔχεις εἰπεῖν. τί δὲ ὁ] τί δαὶ ὁ Θ. 8 τί δὲ] τί δαὶ Θ. Σπεύσιππος] πεύσιππος LN apud Iebbium. 9 πότερον LN. Legebatur πότερ'. 10 παθὼν ΘELN. Legebatur μαθών. 11 ἀπέδει-

Digitized by Google

ἐπ' αὐτῶν τῶν πραγμάτων ἐφάνης βελτίων πολίτης ἡμῶν;
εἰ δ' ἀμήχανόν ἐστι, τί προφέρεις ἡμῖν εἴ τι καὶ προσε-
κρούσαμεν, φαῖεν ἂν αὖθις ἐκεῖνοι, καὶ τί τῶν ἀδυνάτων
αἰτεῖς εὐθύνας; τοσούτῳ γὰρ ἡμεῖς λυσιτελέστεροι σοῦ τῷ
δήμῳ γεγόναμεν ὅσῳ σὺ μὲν οὔτε χεῖρον οὔτε βέλτιον οὐ-
δὲν οὔτ' εἶπας οὔτ' ἔπραξας, ἀλλ' ἀπώκνησας ἁπλῶς,
ἡμεῖς δ' ὅσον ἧκεν ἐφ' ἡμᾶς οὐ καθυφείκαμεν, ἀλλ' ὥσπερ
χρημάτων εἰσφορὰν πλήρη τὴν ἀπὸ τῶν λογισμῶν καὶ τῶν
λόγων παρεσχόμεθα τῇ πατρίδι, καὶ οὔτε πλῆθος τῶν
τἀναντία ἐρούντων ὠκνήσαμεν οὔτ' ἰσχὺν πλουσίων κατε-
δείσαμεν, οἷς ἀναγκαῖον ἦν τὸν ὑπὲρ τῶν κοινῶν πράττοντα
προσκρούειν, οὔτε δικαστὰς οὔτε κινδύνους οὔτε τοὺς οἴκοι (139)
οὔτε τοὺς ἔξω πρὸς τοὺς πολεμίους οὐδ' ὅλως τὰ τῆς τύ-
83 χης καὶ τοῦ μέλλοντος ἄδηλα. ἃ φυγεῖν μὲν δή που ῥᾷον
ἢ ὑποστῆναι παντί. τοῦτο δ' εἰ πάντες ἐν ταῖς ἀνάγκαις
λογίσαιντο, οἴχεται τὰ τῶν πόλεων πράγματα. ταῦτ' ἄν,
οἶμαι, φαῖεν, μετρίως, ὡς ἐγῷμαι, λέγοντες. εἶεν. τί δ'
εἰ βελτίστους μὲν μὴ ἀπέφηναν καθάπαξ Ἀθηναίους, βελ-
τίους δ' ἐστὶν ἥ; τί δ' εἰ μείζω καὶ περὶ τούτους καὶ περὶ
ἄλλους ἐξήμαρτον ἄν, εἰ μὴ τοῖς ὑπ' ἐκείνων λόγοις κα-
τείχοντο; ἔπειτα τὸν μὲν ἰατρὸν φῂς λιμῷ ἂν ἀποθανεῖν,
εἰ πρὸς τὸν ὀψοποιὸν ἀγωνίζοιτο ἐν παισὶν ἢ τοιούτοις
ἀνθρώποις, οἳ μὴ δύνανται γνῶναι τἀληθές· εἰ δὲ Μιλ-
τιάδης καὶ Κίμων καὶ Περικλῆς πρὸς τὸ βέλτιστον ἄγον-
τες τὰ πράγματα ἔσθ' ἃ καὶ προσέπταισαν, τοῦτο θαυ-
μάζεις;

Ἐνθυμοῦμαι δ' ἔγωγε πῶς ἀνέχεσθαι χρὴ ὅτ' Ἀλκι-

---

ξας] ἐπέδειξας LMN. 13 καὶ τί] ἢ τί E. αἰτεῖς] ἀπαιτεῖς M. τοσούτῳ] εἰς τοσούτῳ ΘLN. εἰ τοσοῦτο ΘM. εἰς τοσοῦτο coniicit Iebbius. 14 τῷ δήμῳ ante λυσιτελέστερον collocat M. ὅσῳ] ὅσον M. 15 καθυφείκαμεν LN. κατυφήκαμεν E. Legebatur καθυφεῖμεν. 16 παρεσχόμεθα] παρεχόμεθα Θ. 17 οὔτε πλῆθος] οὐδὲ πλῆθος N. οὔτε τὸ πλῆθος E.

83, 1 δή που om. M. ῥᾷον E et Reiskius. Legebatur ῥᾴδιον. *facilius* reddidit Canterus. τοῦτο δ'] ταῦτα δ'. Redit enim ad τὰ ἄδηλα τῆς τύχης. Reisk. 3 ὡς addidi ex M et Soph. 4 τί δ'] τί δὲ L. τί δαὶ ΘN. βελτίστους] βελτίους LN apud Iebbium. μὲν om. M. καθάπαξ] καθάπερ L. καθὰ N. 5 ἂν om. LMN. 8 ὅτ'] ὅταν ΘLMN et Photius Bibl. p. 418 b,

Digitized by Google

βιάδην μὲν καὶ Κριτίαν Σωκράτει συγγενομένους, οἳ τοσαύτας καὶ τηλικαύτας αἰτίας ἐσχήκασι καὶ ὑπὸ τῶν πολλῶν καὶ ὑπὸ τῶν ἐπιεικῶν, ὥστε Κριτίου γε οὐδ' ἐπινοῆσαι ῥᾴδιον ἐξωλέστερον, ὃς ἐν τριάκοντα τοῖς πονηροτάτοις (140) τῶν Ἑλλήνων πρῶτος ἦν, τούτους μὲν οὔ φασι δεῖν ἐν τεκμηρίῳ ποιεῖσθαι ὅτι Σωκράτης τοὺς νέους διέφθειρεν, οὐδ' εἶναι τἀκείνων ἁμαρτήματα οὐδ' ὁτιοῦν πρὸς Σωκράτη τὸν οὐδὲ αὐτὸν ἔξαρνον ὄντα τὸ μὴ οὐ διαλέγεσθαι τοῖς νέοις· εἰ δ' Ἀθηναίων δῆμος ἐν πολλοῖς καὶ μεγάλοις οἷς καὶ ὑπὲρ αὐτοῦ καὶ ὑπὲρ τῶν Ἑλλήνων διεχείρισεν ἔσθ' ἃ μὲν ὀρθῶς καὶ προσηκόντως ἐβουλεύσατο, ἔστι δὲ ἃ καὶ ἐξήμαρτεν εἰς τοὺς προεστηκότας, ταῦτ' ἀξιοῦσιν αὐτοῖς τοῖς προστάταις λογίζεσθαι. καὶ Λεσβίους μὲν Τέρπανδρος οὐχ οἷός τ' ἐγένετο πάντας ποιῆσαι μουσικούς, οὐδ' Ἀρίων, οὐδ' εἴ τις ἄλλος ἐν Λέσβῳ μουσικὴν ἐποιήσατο· εἰ δὲ Θεμιστοκλῆς καὶ Περικλῆς μὴ καθάπαξ ἐπαίδευσαν Ἀθηναίους τὴν πολιτικὴν ἀρετήν, τοῦτ' ἐκείνους, ὡς ἔοικεν, ἐλέγχει τοῦ μηδενὸς ἀξίους ὄντας, ὥσπερ ἂν
84 εἴ τις καὶ θεῶν κατηγοροίη τοῖς αὐτοῖς λόγοις, ὅτι χρῆν αὐτῶν τὴν πρόνοιαν εἶναι τοιαύτην ὥστ' ἀδικίαν καὶ ἀγνωμοσύνην ἀνελεῖν παντάπασιν ἐξ ἀνθρώπων καὶ μηδὲν ἁμαρτάνειν μηδένας ἀνθρώπων μηδαμῇ. νῦν δὲ πῶς ἢ προνοεῖν αὐτοὺς χρὴ νομίζειν, ὅταν μὴ παύωνται πλημ- (141) μελοῦντες ὧν ἄρχουσιν ἢ μὴ δικαίως ὑπ' ἐνίων ἀμελεῖσθαι; οὔκουν οἵ γ' ἵπποι τοὺς μὲν οὐδεπώποθ' ἀψαμένους αὐτῶν γνωρίζουσι προσβλέποντες, τοὺς δ' ἐφεστῶτας.

---

24. quod si probas, corrige φῶσι v. 11. 10 οὐδ'] οὐκ LN. 11 τῶν Ἑλλήνων om. LMN. τούτους] τοὺς Photius. 12 τἀκείνων] τὰ 'κείνων N. 13 σωκράτη Θ Iunt. Steph. Σωκράτην Iebb. nescio unde. τὸ μὴ ΘEN et Photius. Legebatur τοῦ μὴ. 14 δῆμος] ὁ δῆμος E. αὐτοῦ] Vulgo αὑτοῦ. 15 ὀρθῶς om. LN. ἐξήμαρτεν] ἐξήμαρτον L apud Iebbium. 16 καὶ Λεσβίους μὲν οὐ θαυμάζουσιν εἰ Τέρπανδρος Reiskius. οἷός τ' L. Vulgo οἷός τε. 17 μουσικὴν ἐποιήσατο] διδάσκων μουσικὴν ἐγένετο LN. μουσικὸς ἐγένετο EM. εἰ δὲ LMN Iebb. εἰ δὲ μὴ Iunt.

84, 1 χρῆν Θ Iunt. χρὴ Iebb. αὐτῶν] αὐτὴν Θ. 2 ἢ] εἰ LN. 3 χρὴ] φαῖμεν οὐ χρὴ M. ἄρχουσιν ἢ μὴ Canterus. Libri ἄρχουσι μὴ. 4 ἐφεστῶτας ΘLN, Canterus. Legebatur

Digitized by Google

μισοῦσι καὶ φεύγουσιν· ἀλλὰ τοῦτό γε καὶ τοῖς ὄνοις ἀπέδωκεν ἡ παροιμία, τὸν ξύοντα ἀντιξύειν· ἄνθρωποι δ' ἄρα ὑπὸ θεῶν ἀγόμενοι θεοὺς οὐ νομίζουσιν, ἢ περὶ αὐτούς τι φαῦλον τοὺς θεοὺς λέγουσι καὶ πράττουσι. καὶ ὁ μὲν ἡνίοχος παραλαβὼν λακτίζοντας τοὺς ἵππους πραΰνει καὶ τιθασεύει καὶ τελευτῶν ἐπ' αὐτῶν ἀσφαλῶς καὶ κατὰ πολλὴν ῥαστώνην εἶσιν ὅποι βούλεται· οἱ θεοὶ δὲ οὔπω καὶ νῦν ἐξῃρήκασιν ἐξ ἀνθρώπων ἀδικίαν ἐκ τοσούτου, καὶ ταῦτα ἐκ τοῦ παντὸς αἰῶνος πολιτευόμενοι, καὶ προσέτι εἰς ἑαυτοὺς ἁμαρτάνοντας ὁρῶντες ἔστιν οὓς αὐτῶν. ἀλλὰ μὴν ὅτε ταῦτα οὐδ' ἂν εἷς ὑγιαίνων εἴποι σπουδῇ πλὴν ὡς ἡμεῖς νῦν εἰς ἔλεγχον λόγου, πῶς οὐ κομιδῇ Πλάτων συκοφαντεῖ; εἰ γὰρ ἃ μηδ' οἱ θεοὶ πώποτε πεποιήκασι, μηδὲ παρ' αὐτῆς τῆς Ἀθηνᾶς τῆς πολιάδος εἶχεν ἀπαιτῆσαι, ταῦτα παρὰ Θεμιστοκλέους καὶ Περικλέους ἀπαιτεῖ, αὐτὸν ἐρωτῶ πῶς οὐ συκοφαντεῖ. ἀλλ' οἶμαι τὴν μὲν τοῦ δήμου φύσιν οὐκ ἠδυνήθησαν μεταποιῆσαι οὐδ' ἀφανίσαι· ἔστι δ' αὕτη μηδέποτε γενέσθαι πάντα χρηστὸν μηδ' ἀναμάρτητον· ὅσα δ' ἢ κινδυνεύοντας ἔδει προνοήσασθαι, ἐν οἷς ἅμα καὶ τῶν πολλῶν καὶ τῶν ἐπιεικῶν ἦν εὐεργέτας εἶναι, ἢ κατ' ἐξουσίαν πράττοντας ἀπάγειν ἀπὸ τῶν δυσχερεστάτων ἀεὶ καὶ ὡς ἐλάχιστον τρέπειν τὰ τῆς φύσεως ἁμαρτήματα, ταῦτ' οὐκ ἔστιν ὅπως οὐ παρὰ τούτοις ὄντα φανήσεται, καὶ ταῦτα πρὸς τῷ λόγῳ τῷ παρ' ἡμῶν καὶ ταῖς ἀποδείξεσι Πλάτων αὐτὸς ἐπισφραγίζεται καὶ ἔστιν ἡμῖν κἀνταῦθα μάρ-

(142

---

ὑφεστῶτας. 6 οὐ νομίζουσιν] ὀνομάζουσιν N. 8 τιθασεύει] Vulgo τιθασσεύει. ὅποι] ὅπου N. 9 ταῦτα . . τοῦ L, eraso, ut videtur, ἐκ. Mallem ἐκ τοσούτου abesse, aut sic legi καὶ ταῦτα ἐκ τοσούτου ἢ μᾶλλον ἐκ τοῦ παντός. Reisk. 10 ἑαυτοὺς ΘN. Scribebatur αὐτούς. 11 εἰς om. E. ὡς ἡμεῖς] ὡς ἡμεῖς γε E. 13 καὶ Περικλέους om. LN. ἐρωτῶ] ἐρῶ N. ἐρῶ (sic) L. 14 τὴν μὲν τοῦ ΘLN. Legebatur τοῦ μὲν, omisso τήν. 15 πάντα] πᾶν L, qui πάντα ab rec. m. habet. δ' ἢ] δὲ, omisso ἢ, ELN. κινδυνεύοντας] κινδυνεύοντα M. 17 πράττοντας] πράττοντα Θ. καὶ ὡς ἐλάχιστον] Fortasse καὶ εἰς ὡς ἐλάχιστον, et in quam minimum. Reisk. τρέπειν] πρέπειν N. 19 ἀποδείξεσι ΘN. Vulgo ὑποδείξεσιν. αὐτὸς] αὐτῷ N.

85 τως ὑπὸ τῆς αὐτῆς δεξιότητος ἥσπερ κἀν τοῖς ἄνω κατὰ τὴν χρείαν ἀεὶ καὶ τὸ λοιπὸν, ἐὰν αὐτὸς αὐτοὺς ἐπαινῶν ἐπιδειχθῇ. πῶς οὖν ἄν τις περιφανέστερον ἢ λαμπρότερον τοὺς ἄνδρας ἐπῄνεσεν ἢ ὡς οὗτος τὸν ἐπιτάφιον λόγον αὐτοῖς ποιήσας; ἐν ᾧ καὶ τοῖς ἄλλοις προξενεῖν φησι καὶ προμνᾶσθαι, εἰς ᾠδάς τε καὶ τὴν ἄλλην ποίησιν θεῖναι, (143) κοσμήσαντας ἀξίως τῶν πραξάντων, λέγω δὴ τὰ τούτων ἔργα. τοῦτο γάρ ἐστι τὸ χαριέστατον, ὅτι καὶ πάντα τἄλλα παρεὶς καὶ παριδὼν ἐπ' αὐτὰ τὰ τούτων ἴδια καὶ τὴν τούτων πολιτείαν ἐλήλυθεν, ὡς μάλιστα ἐκ τούτων ἐμφανιῶν τὴν τῶν τετελευτηκότων ἀρετὴν, μέγιστον μὲν θεὶς ἁπάντων τῶν ἔργων τὸ Μαραθῶνι, δεύτερον δὲ τὸ Σαλαμῖνι, κεφάλαιον δ' ἐπιθεὶς ὡς τοῖς βαρβάροις ἐπέδειξαν ὅτι πᾶς πλοῦτος καὶ δύναμις ἀρετῇ ὑπείκει.

Οὐκοῦν ὅτε τοὺς ταῦτα βουλευσαμένους καὶ πράξαντας ἐπαινεῖ, τὸν Θεμιστοκλέα καὶ τὸν Μιλτιάδην ἐπαινεῖ. οὗτοι γὰρ ἦσαν οἱ τούτων ἡγούμενοι. καίτοι πῶς οὐκ ἄτοπον ὧν τὰ ἔργα κοσμεῖ, τούτων τὴν πολιτείαν φαυλίζειν, καὶ ἃ τῆς τῶν πεισθέντων ἀρετῆς τίθεται δείγματα, ταῦτα μὴ τῆς τῶν πεισάντων πρῶτον ὑπάρχειν ἡγεῖσθαι; καὶ γὰρ ὅσοι μὲν ὑπὸ τῆς βουλῆς αἱρεθέντες ἐπὶ τοῦ πλήθους τοὺς ἐπιταφίους τούτους διεξέρχονται ἔχουσιν ἴσως ἀποφυγὴν ὡς ἐξ ἀνάγκης ἐκόσμησαν καὶ οὐκ ἄν (144) τις πρᾶγμα ποιοῖτο τοὺς λόγους αὐτῶν· ὅστις δ' ἐξεπίτηδες καὶ καθ' ἑαυτὸν ἐποίησε περὶ αὐτῶν, εὔδηλον ὡς

---

85, 1 δεξιότητος] ἀξιότητος N. ἥσπερ] οἵσπερ LN. Fort. ἀεὶ ἣν καὶ τὸ λοιπὸν ἔσται, ἐὰν —. Reisk. καὶ τὸ λοιπὸν] καίτοι τολοιπὸν LMN. 2 οὖν om M. ἢ λαμπρότερον est delendum, ut varians lectio aut scholium. Reisk. ἢ om. M. 3 τὸν ἐπιτάφιον λόγον] Menexenum. 5 λέγω] λέγων Canterus. τὸ χαριέστατον] τὰ om. ΘB. παρεὶς καὶ] καὶ παρεὶς καὶ LN. 7 θεὶς LN. Vulgo τιθεὶς. 10 πράξαντας] πράττοντας M. 11 ὧν τὰ ἔργα κοσμεῖ, τούτων] ἣν τὰ ἔργα κοσμεῖν τούτων, ΘLMN. τὴν πολιτείαν] τὴν δὲ πολιτείαν Θ. τὴν πολιτείαν δὲ LN. 13 βουλῆς καὶ τοῦ πλήθους αἱρεθέντες τοὺς ἐπιταφίους διεξέρχονται τούτους M. ἐπὶ] ὑπὸ ΘLN. ἢ ὑπὸ E. ἢ καὶ ὑπὸ Soph. 16 ὡς οὐκ ἂν] Tacite repetendum e superiore versu ἐποίησε. exempla huius moris, secundum aut plura post εὖ omittendi, dedi ad



Digitized by Google

οὐκ ἂν, εἰ μὴ καὶ αὐτοὺς ἀξίους λόγου καὶ τὰ ἔργα ἡγοῖτο. οὐ γὰρ κολακεύων γε Ἀθηναίους ταῦτα εἰρηκέναι φησὶν, οὐδ᾽ ἂν αὐτὸς λέγῃ πιστεύσομεν ἡμεῖς. εἰ γὰρ αὖ

86 λόγου χάριν καὶ δύναμιν δεικνὺς ἐνεχείρησε, πῶς ἔνεστιν αὐτῷ ῥητορικὴν ψέγειν ἐν ᾗ ταυτὸν ἦν; περὶ μὲν τοίνυν τούτων τῶν ἀνδρῶν οὕτω μεμαρτύρηκεν, ὅτι οὐ πρὸς τὸ χείριστον ἦγον τοὺς πολίτας, οὐδὲ τὰς ἐπιθυμίας αὐτῶν διετέλουν ἀποπληροῦντες, ἀλλὰ τοιούτων ἔργων ἡγεμόνες αὐτοῖς ἐγένοντο, ἃ καὶ Πλάτων οὐκ ἂν αἰσχυνθείη κοσμῶν, καὶ προστιθεὶς ἀρετὴν τοῖς εἰργασμένοις· οὐχ ὡς κατὰ Μίθαικον τὸν ὀψοποιὸν καὶ Θεαρίωνα τὸν ἀρτοποιὸν τὴν φύσιν γενομένων, ἀλλ᾽ ὡς χαλεπὸν τοῖς ἄλλοις καὶ εἰπεῖν πρεπόντως περὶ αὐτῶν. εἰς δὲ τὸν καθάπαξ λόγον πῶς αὖ καὶ ποῦ μαρτυρεῖ οὑτοσί; ἐν αὐτῷ Γοργίᾳ τούτῳ ἐν τοῖς Σωκράτους καὶ Καλλικλέους λόγοις. ἐλθὼν γὰρ ἐπ᾽ αὐτὸ τὸ λῦον τὸν λόγον καὶ φανερᾶς τῆς κρίσεως γενομένης σχίζεται περὶ αὐτὸ, καὶ ὁ μὲν οὕτως ἐρωτᾷ, ὁ δὲ ἀποκρίνεται ἀναμὶξ ὡδὶ „Πότερόν σοι δοκοῦσι πρὸς τὸ βέλτιστον ἀεὶ λέγειν οἱ ῥήτορες, τούτου στοχαζόμενοι ὅπως

---

Dion. Cassii p. 57. quibus possunt addi haec Aristidis I. p. 367, 18. II. p. 173, 4. Diogen. Laert. 82, 1. οὐκ (subaudi γενόμενος δεινὸς) ἦν γε —. Demosth. p. 422, 12. 724, 4. ubi leg. οὐκ, ἄν γε σωφρονῆτε. Reisk. μὴ om. LN. ἡγοῖτο] ἡγεῖτο LN. 17 εἰρηκέναι φήσειεν ἄν τις, οὐδ᾽ ἂν αὐτὸς λέγει, πιστεύσωμεν M. πιστεύσομεν] πιστεύομεν L.

86, 1 ἐνεχείρησεν LN. 2 ταυτὸν] Quodnam illud? Videtur aut τοῦτο aut ταῦτα legendum esse, scilicet τὸ δεικνύναι λόγου δύναμιν καὶ χάριν. Reisk. 3 ἀποπληροῦντες] πληροῦντες M. 5 Μίθαικον] μίθηκον N. μίθαικον τὸν ἀρτοποιὸν καὶ Θεαρίωνα τὸν ὀψοποιὸν LMN: qui debebant Θεαρίωνα τὸν ἀρτοποιὸν καὶ Μίθαικον τὸν ὀψοποιὸν, quo ordine hos homines nominat Plato in Gorgia p. 518 b. 6 χαλεπὸν ΘLN. Legebatur χαλεπῶς. τοῖς ἄλλοις] Aut τοὺς ἄλλους legendum, aut potius χαλεπὸν εἶναι τοῖς ἄλλοις. Reisk. 7 πῶς αὖ] πῶς οὖν LN. οὑτοσὶ N. Legebatur οὑτωσίν. οὑτωσὶ Θ. οὑτωσὶν ἐν αὐτῷ —] Distinguo sic. οὑτοσί; hic. Plato nempe. responsio: ἐν αὐτῷ —. Reisk. 8 ἐλθὼν] ἐλθὸν LN apud Iebbium. 9 γενομένης LN. Legebatur γιγνομένης. 10 Πότερον] Locus Platonicus Gorg. p. 502 e. quo Aristides rursus utitur p. 274, 18. ἀεὶ] Temere Iebbii editio αἰεί.

Digitized by Google

οἱ πολῖται ὡς βέλτιστοι ἔσονται διὰ τοὺς αὐτῶν λόγους, ἢ καὶ οὗτοι πρὸς τὸ χαρίζεσθαι τοῖς πολίταις ὡρμημένοι καὶ ἕνεκα τοῦ ἰδίου τοῦ αὐτῶν ὀλιγωροῦντες τοῦ κοινοῦ ὥσπερ παισὶ προσομιλοῦσι τοῖς δήμοις, χαρίζεσθαι αὐτοῖς πειρώμενοι μόνον· εἰ δέ γε βελτίους ἔσονται ἢ χείρους διὰ ταῦτα οὐδὲν φροντίζουσιν; Οὐχ ἁπλοῦν ἔτι τοῦτο ἐρωτᾷς. εἰσὶ μὲν γὰρ οἳ κηδόμενοι τῶν πολιτῶν λέγουσιν ἃ λέγουσιν, εἰσὶ δὲ καὶ οἵους σὺ λέγεις. Ἐξαρκεῖ. εἰ γὰρ καὶ τοῦτό ἐστι διπλοῦν, τὸ μὲν ἕτερόν που τούτων κολακεία ἂν εἴη καὶ αἰσχρὰ δημηγορία, τὸ δὲ ἕτερον καλόν." οὐκοῦν καὶ παρ' ἡμῶν ἐξαρκεῖ. εἰ γάρ ἐστι διπλοῦν καὶ μὴ ἀεὶ μὲν τὰ βέλτιστα λέγουσιν οἱ ῥήτορες, ἔστι δ', ὅτε καὶ τὰ βέλτιστα, ἢ νὴ Δί' οἱ μὲν οὕτως, οἱ δὲ ἐκείνως λέγουσιν, ὁ κολακείαν ὁριζόμενος τὴν ῥητορικὴν εἶναι λόγος ἐν βραχεῖ λύεται. ἔτι τοίνυν σαφέστερον ἐπὶ τελευτῆς τοῦ διαλόγου τὸ πᾶν ἀποκαλύψας ἐκπέφαγκεν· οὐ (146)
87 γὰρ ὑφ' ἡμῶν γε ταῦτα παρεμβέβληται „Ἀλλὰ γάρ, ὦ Καλλίκλεις, ἐκ τῶν αὐτῶν εἰσὶ καὶ οἱ σφόδρα πονηροὶ γιγνόμενοι ἄνθρωποι· οὐδὲν μὴν κωλύει καὶ ἐν τούτοις ἀγαθοὺς ἄνδρας ἐγγίγνεσθαι, καὶ σφόδρα γε ἄξιον ἄγασθαι τῶν γιγνομένων. χαλεπὸν γάρ, ὦ Καλλίκλεις, καὶ πολλοῦ ἐπαίνου ἄξιον ἐν μεγάλῃ ἐξουσίᾳ τοῦ ἀδικεῖν γενόμενον δικαίως διαβιῶναι· ὀλίγοι δὲ γίγνονται οἱ τοιοῦτοι, ἐπεὶ καὶ ἐνθάδε καὶ ἄλλοθι γεγόνασιν, οἶμαι δὲ καὶ ἔσονται καλοὶ κἀγαθοὶ ταύτην τὴν ἀρετὴν τοῦ δικαίως διαχειρίζειν ἄν τις ἐπιτρέπῃ. εἷς δὲ καὶ πάνυ ἐλλόγιμος γέγονε καὶ

---

τούτου ΘELN. Legebatur τούτους. 11 διὰ τοὺς αὐτῶν λόγους om. N. Post χαρίζεσθαι legebatur αὖ, quod omisi cum M. 12 καὶ om. M. αὑτῶν LN. Scribebatur αὐτῶν. παισὶ] παιδὶ LN. 14 εἰσὶ μὲν M. Aberat μέν. 16 τὸ μὲν ἕτερον — ἐστι διπλοῦν om. M. δημηγορία] δημογορία L. δημιγορία N. 17 ἡμῶν] ἡμῖν Reiskius. 19 τελευτῆς] τελευτῇ Soph. 20 ἀποκαλύψαι E. ἐκπέφαγκεν ΘEN Soph. et superscr. in L, qui ἐκπέφαγγεν praebet. Legebatur ἐκπέφακεν. παρεμβέβληται] παραβέβληται L.

87, 1 Ἀλλὰ γάρ] P. 526 a. ἐκ τῶν αὐτῶν ὦ καλλίκλεις εἰσὶ M. γιγνόμενοι] γινόμενοι L. γενόμενοι M. 2 ἀγαθοὺς ἄνδρας] ἄνδρας ἀγαθοὺς LN. ἐγγίγνεσθαι] ἐγγίνεσθαι LN. 5 κἀγαθοὶ ELN. Scribebatur καὶ ἀγαθοί. 6 Aut ἂν τις ex

εἰς τοὺς ἄλλους Ἕλληνας Ἀριστείδης ὁ Λυσιμάχου· οἱ δὲ πολλοί, ὦ ἄριστε, κακοὶ γίγνονται τῶν δυναστῶν." ἐνταῦθα τοσοῦτον αὖ περαιτέρω προβέβηκεν, ὅσον οὐ μόνον ὡς ἐγχωρεῖ γίγνεσθαι προσωμολόγηκεν, ἀλλὰ καὶ ἕνα γε αὐτὸς ὠνόμακε, Γεγόνασι δέ, φησί, καὶ ἕτεροι καὶ ἐνταῦθα καὶ ἄλλοθι. ἐγὼ τοίνυν ἀφαιρῶ τοῦτο τὸ καὶ ἕτεροι καὶ εἴ τις ἑτέρωθι· ὃν δὲ καὶ πάνυ ἐλλόγιμόν φησι γεγενῆσθαι καὶ οὐ μόνον εἰς τοὺς πολίτας, ἀλλὰ καὶ εἰς τοὺς ἄλλους Ἕλληνας, τοῦτον τίθημι μόνον. ἔγκειται μὲν (1 γάρ που ταῦτα μεταξὺ τοῦ μύθου οὐκ ἀσκέπτως ἐμοὶ δοκεῖν οὐδὲ φαύλως οὐδὲ ὡς ἐξέπεσεν, ἀλλ' ὅπως συγκρυφθείη τε ὡς δυνατὸν μάλιστα, καὶ εἴ τις εὑρὼν χρῷτο, μηδ' αὐτὸς δοκοῖ παρελθεῖν, ἀλλ' ἐνείη. οὕτω μέσην τινὰ τάξιν εὗρε, καὶ ἅμα πρὸς τῇ τελευτῇ τοῦ λόγου τοῦ παντὸς ἃ θεὶς ἐν ἀρχῇ τοῖς ἐφεξῆς οὐκ ἔμελλεν ἕξειν οἶμαι χρῆσθαι. οὐ

Platone, scribendum aut ἄν τις. 7 γίγνονται] γίνονται L. δυναστῶν] δικαστῶν M. 8 γίγνεσθαι] γίνεσθαι L. 9 ὠνόμακε] ὠνόμακεν (σι) L. 10 φησι] φημι N. φημι L. 11 Ad πολίτας in marg. L annotatum συμπολίτας. 12 ταῦτα μεταξὺ ΕΙ.ΜΝ. Legebatur ταῦτα τὰ μεταξύ. τοῦ μύθου] τῆς ὅλης κατασκευῆς τοῦ μύθου E Soph. ταῦτα λέγει ὅτι δυσχερές ἐστιν εὑρεῖν ἄνδρα ἄρχοντα δίκαιον. μεταξὺ δὲ λέγει τοῦ μύθου, τουτέστι τῆς ὅλης κατασκευῆς. scholion in marg. N. ἀσκέπτως] ἀσκήπτως LN. οὐδὲ ὡς] οὐδ' ἄλλως Reiskius. ὡς ἐξέπεσεν] ἔστι γὰρ ὅτε καὶ παρὰ προαίρεσιν ἀκολουθίας τοῦ νοήματος φερόμενοι ἐκπίπτομεν. scholion in marg. N. 13 ἀλλ' ὅπως] ἀπὸ κοινοῦ τὸ ὅπως. ὁ δὲ νοῦς οὕτως· καὶ ἵνα, φησί, ἐὰν εὑρών τις τὰ νοήματα ταῦτα ἀντιθῇ τῷ πλησίον, δόξῃ καὶ αὐτὸς μὴ ἀγνοεῖν αὐτά, ἀλλ' ὑπάρχειν ἐν τῷ διαλόγῳ. scholion in marg. N. μάλιστα om. MN. ab rec. m. habet L. δοκοῖ] δοκεῖ Θ Iunt. δοκῇ Canterus: quod Iebbius edidit „ex MSS" ut ait. δοκῇ ego nonnisi ex N enotatum habeo. 14 ἐνείη ΘΕLN. Legebatur ἐνθείη. Videtur scholiastes ἐνείη legisse, ut etiam duo codices exhibent. Mihi tamen legendum videtur ἐνθεῖναι, in libro suo posuisse, et αὐτὸς ad Platonem redire. Reisk. τάξιν addidi ex E Soph., Photio p. 419 a, 36. et scholiasta. καλῶς τὸ μέσην τάξιν δέδωκεν αὐτοῦ καὶ ἐν τέλει εἰ ταῦτα ἐν ἀρχῇ τάξας οὐκ ἐδύνατο χρῆσθαι ταῖς κατ' αὐτῶν διαβολαῖς. scholion in marg. N. εὗρε] εὗρεν L. Post ἅμα deest aliquid in hanc ferme sententiam, καὶ ἅμα διέβαλλε τὴν ῥητορικὴν καὶ τοὺς ἄνδρας, καὶ ἃ αὐτὸς διενοεῖτο, ἔθηκε πρὸς τῇ τελευτῇ. Reisk. 15 ἕξειν om. M. οἶμαι χρῆσθαι om. E. χρῆσθαι] χρῶσθαι N. Post ἡμᾶς deest εἰκός.

μὴν τούτου γε ἕνεκα καὶ ἡμᾶς ἀπορήσειν, ἕως ἂν τοῦ γε
αὐτοῦ καὶ περὶ τῶν αὐτῶν ὄντος τοῦ λόγου, προσθήσω
δ' ὅτι κἂν τοῖς αὐτοῖς τούτοις ἐνόντα φαίνηται. οὐκοῦν εἰ
ὅτι μάλιστα ἕτερος μὲν ἐν τοῖς πᾶσι μήτ' Ἀθήνησι μήτ'
88 ἄλλοθι μηδαμοῦ ῥήτωρ ἐλλόγιμος, μηδ' ἔξω τῆς τοῦ κο-
λακεύειν αἰτίας, γεγένηται δὲ εἷς Ἀθήνησι, τί μᾶλλον τό
γε πρᾶγμα καμπτέον ὡς ἀναγκαίως φαῦλον; οὐ γὰρ εἰ ῥᾴδιον
ἢ μὴ τῷ ὄντι γενέσθαι ῥήτορα προὔκειτο σκοπεῖν, ἐπεὶ τοῦτό
γε καὶ ἡμεῖς, εἰ βούλει, μαρτυροῦμεν, κἂν εἰ τὴν Στέντο-
ρος φωνὴν κτησαίμεθα, φθεγξαίμεθ' ἂν ὡς οὐ ῥᾴδιον, κἂν
ὁ Νεῖλος, ὦ μακάριε, τοῖς ἑπτὰ στόμασιν εἰ λάβοι φωνήν,
ὥσπερ ὁ Σκάμανδρος κατὰ τὸν Ὅμηρον, ἀλλ' εἰ δυνα- (148)
τὸν ἢ μὴ καὶ φύσιν ἔστ' ἔχον συμβῆναι, τοῦτ' ἦν ἐκ τοῦ
λόγου. φέρε γὰρ πρὸς Διός, εἰ πρὶν Ἀριστείδην γενέσθαι,
τοὺς κατὰ τῆς ῥητορικῆς λόγους τούτους ἐποιεῖτο, προθυ-
μούμενος ἐκ παντὸς τρόπου δεικνύναι φαῦλόν τι καὶ φυγῆς
ἄξιον, λέγων ὡς ἀδύνατον χρηστόν ποτε ἄνδρα ἢ δίκαιον
γενέσθαι λόγων τοιούτων προσαψάμενον, οὐκ ἂν ἐψεύ-
δετο; δηλοῖ τό γε Ἀριστείδην φανῆναι τοιοῦτον, εἴπερ μὴ
ψευδῆ Πλάτων εἴρηκε περὶ αὐτοῦ. οὐκοῦν δεινὸν εἰ πρὶν
μὲν Ἀριστείδην γενέσθαι προσδοκᾶν ἔδει γενήσεσθαί τινα

---

Reisk. 16 τοῦ γε] τούτου γε LN. τοῦ γε (vel potius τοῦ τε) αὐτοῦ] Non redit ad ἀνδρός, ut visum est Cantero, sed ad proximum λόγου. donec constabit haec e Platone modo recitata (p. 86, 10 sqq.) esse ex eadem disputatione deprompta, e qua sunt superiora, adversus quae dimicavimus, et eo quidem disputationis illius loco, quo non aliis de rebus, sed iisdem adhuc agitur atque in tota reliqua disputatione: denique, ut hoc addam, donec constabit haec a Platone in clausula illius disputationis posita inesse rebus ipsis ibi agitatis et ex ipsis manare. Reisk. 17 φαίνηται LMN Iebb. φαίνεται Iunt. πᾶσι] πᾶσιν Θ.

88, 2 τί μᾶλλον τό γε] τί γε μᾶλλον τόγε LM. 4 οὐ ῥᾴδιον ELMN Iebb. et Photius p. 419 b, 4. οὐ om. Θ Iunt. μὴ ῥᾴδιον Canterus. 5 κατὰ τὸν ὅμηρον E. Aberat τὸν. καθ' Ὅμηρον Photius. 6 τοῦτ' ἦν ἐκ τοῦ λόγου] Subaudi σκοπεῖν e versu 3. Reisk. 7 κατὰ τῆς om. M. τούτους ἐποιεῖτο] ἐποιεῖτο τούτους LN. 8 ἀδύνατον] οὐ δυνατὸν E. λόγων] λέγων N, si fides Iebbio. 10 εἰ om. N, ab rec. m. habet L. 11 παντάπασι νομίζειν ἀδύνατον, ἐπεὶ δ' οὕτως ἐμφανὲς M. 12 Mirifice dictum pro εἶτα ἐγκαλεῖν, ὡς μηδὲ γενομένου τούτου, μηδὲ ὅλως ἐγχωροῦν γίγνε-

Digitized by Google

καὶ μὴ νομίζειν καθάπαξ ἀδύνατον, ἐπεὶ δ' οὗτος ἐμφα-
νὲς παράδειγμα ὑπάρχει, μήθ' ὡς γενομένου τούτου μήθ'
ὡς ἐγχωροῦν ὅλως ἐγκαλεῖν. καὶ μὴν οὐδ' ἐκεῖνο ἴσον,
μὴ γενομένου μὲν ὅλως χρηστοῦ μηδενὸς τοῦτ' ἂν ποιεῖ-
σθαι τεκμήριον κατὰ τῆς ῥητορικῆς ὡς ἄφυκτον, ὁμολο-
γουμένου δ' ὑπ' αὐτοῦ τοῦ κακῶς ἀγορεύοντος αὐτὴν καὶ
γεγενῆσθαί τινας ἀξίους λόγου καὶ ἔσεσθαι, τοῦτο γάρ
ἐστιν ὑπερφυὲς τὸ καὶ περὶ τῶν μελλόντων προλέγειν ὡς
ἔσονται, εἶτ' οἴεσθαι μηδὲν εἶναι πλέον. ἕτερον τοίνυν, (14
ὅπερ ἐστὶν ἐκ τῆς τελευταίας ταυτησὶ μαρτυρίας, ὅτι καὶ
πολλῷ μειζόνων εἶναι τοὺς τοιούτους ἐπαίνων ἀξίους προσω-
μολόγηκεν αὐτός. χαλεπὸν γάρ, φησίν, ὦ Καλλίκλεις, —
οὐκοῦν καὶ ὦ Πλάτων — ἐν μεγάλῃ ἐξουσίᾳ τοῦ ἀδικεῖν
γενόμενον δικαίως διαβιῶναι. εἰ τοίνυν ῥητορεύειν μέν ἐστιν
89 ἀδικεῖν δύνασθαι κατ' αὐτόν σε, δυνατὸν δ' ἐστὶ καὶ δι-
καίως διαβιῶναι ῥητορεύοντα, μεῖζον δὲ τεκμήριον δικαιο-
σύνης τὸ δυνάμενον ἀδικεῖν ἡσυχάζειν ἢ τὸ μή, πῶς οὐ
πολὺ τῶν κολάκων ἀπέχουσιν οἱ τοιοῦτοι, οἵ γε καὶ τῶν
ἀναγκαίως δικαίων τοσοῦτον προέχουσιν; ἔοικεν οὖν τὸ
τοῦ Ὁμήρου συμβαίνειν

---

σθαι. Reisk. μήθ' ὡς ἐγχωροῦν] μήδ' ὡς ἐγχωροῦν Θ. ἐγχω-
ροῦν] ἰσχωρεῖν, superscripto ἰσχωροῦν, L. ἐγχωρεῖ M. ἐγχωρεῖν N.
13 χρηστοῦ] Subaudi ῥήτορος. Reisk. 14 ὁμολογουμένου] ὡμολο-
γημένου M. 15 τοῦτο LMN Iebb. τουτὶ Θ et Canterus. τοῦ τὶ
Iunt. ἐστιν ὑπερφυὲς ΘLN. Legebatur ἐστι τὸ ὑπερφυές.
16 ὡς... εἶτ' ἐκ τούτου μηδὲν M. οἴεσθαι] ἔσται N. Litteras
οιεσθ ab rec. m. habet L. ἕτερον ELMN Iebb. ἔτι Θ Iunt.
18 χαλεπὸν] Vide supra p. 87, 3. καλλίκλεις ὁ πλάτων M.
19 τοῦ] τὸν L. γενόμενον LN. Legebatur γενομένου. ἐστιν]
ἐστι N. δύνασθαι] „*Aliquid hic in MS. Coisliniano altera manu
emendatur, quod legi non potest.*“ Iebb. Ante δύνασθαι excidit ἀδι-
κεῖν. si ergo res civiles agere et causas in foro dicere idem est
atque posse iniqua et violenta perpetrare, quod ipse tu, Plato,
ais. Et sic quoque suspicor in codice Coisliniano fuisse. Reisk.
Addidi ἀδικεῖν.

89, 1 καὶ] σὲ L. καὶ δικαίως] σὲ δικαίων N. 2 ἢ τὸ
μή] εἴτε μὴ N. γρ. εἴτε μὴ L. ἢ τί μὴ M. Subaudi δυνάμενον
ἀδικεῖν ἡσυχάζειν. quam eum se continere et modeste agere cui fa-
cultas desit insolescendi. Reisk. 3 τοσοῦτον.... ἔοικεν M. Unde
vulgatum τοσοῦτο mutavi. 4 Ὁμήρου] Odyss. ξ, 466.

Digitized by Google

Καί τι ἔπος προέηκεν ὅπερ τ' ἄρρητον ἄμεινον.

τὸν γὰρ Ἀριστείδην οὐ μόνον οὐ κακῶς εἰπεῖν δυνηθεὶς, ἀλλὰ καὶ διαφέροντα ἀναγκαίως θεὶς, καὶ Μιλτιάδου καὶ Θεμιστοκλέους τοῦτο ὃ κατηγόρηκεν αὖθίς ἐστι διεφθορώς. ἀνδρῶν γὰρ ἂν εἴη τοῦτό γε ἤδη κατηγορεῖν, οὐ ψέγειν ῥητορικὴν, ὡς αἰτίαν τοῦ λέγειν ἢ πράττειν κακῶς. ὥσπερ τοίνυν αὐτὸς τὰ μὴ ἀναγκαῖα κατηγόρηκεν ἐκείνων, τί κωλύει καὶ ἡμᾶς αὖ τὰ μὴ ἀναγκαῖα ὑπὲρ αὐτῶν (150)
ἀντιθεῖναι; καίτοι διά γε τοῦτον ἐξ ἡμισείας ἀναγκαῖα. φανήσεται γὰρ οὐχ ἁπλῶς οὐδ' ὡς νῦν μόνον δείκνυμεν εἰς τοὺς ἐναντίους λόγους ἐληλυθὼς αὐτὸς αὑτῷ, ἀλλὰ καὶ ἐξ ὧν ἐκείνους ᾐτίαται τοῦτον ἐπαινεῖν οὐκ ἔχων, ἢ εἴπερ ὀρθῶς ἐπαινεῖ τοῦτον, δι' αὐτὸ τοῦτο οὐδ' ἐκείνους ἔχων αἰτιάσασθαι. πῶς; ὅτι σύμβολον οἶμαι ποιεῖται τοῦ κακῶς Ἀθηναίων ἐκείνους προστῆναι τὸ παθεῖν αὐτοὺς ὑπ' Ἀθηναίων κακῶς, ὡς οὐκ ἂν τούς γε βελτίους ὑπ' αὐτῶν γενομένους ἁμαρτόντας εἰς τούτους ὑφ' ὧν μηδ' εἰς τοὺς ἄλλους ἁμαρτάνειν ἐπαιδεύθησαν. ταῦτα δ' οὕτω
90 θεὶς καὶ ἡνιόχους καὶ τὰ τοιαῦτα ἐπεισαγαγὼν ἐνταυθοῖ τόν γε Ἀριστείδην οὐ μόνον οὐδὲν φλαῦρον εἴρηκεν, ἀλλὰ καὶ σαφῶς ἐξαίρετον τῶν ἄλλων πεποίηται. καίτοι εἰ τὸ παθεῖν κακῶς ὑπ' Ἀθηναίων δεῖγμα τοῦ μὴ καλῶς Ἀθηναίων προστῆναί ἐστιν, οὐδ' Ἀριστείδης προὔστη καλῶς·

---

προέηκεν ex Homero dedi. Scribebatur προέοικεν. προσέθηκεν ΘELN. 5 διαφέροντα ἀναγκαίως θεὶς] διαφερόντως ἀναγκασθεὶς E. 6 αὖθις] Malim εὐθύς. Reisk. αὖθις om. E. διεφθορώς] διεφθορός N. 8 Ante κατηγόρηκεν LMN temere inferunt ὑπὲρ αὐτῶν ἀντιθεῖναι (ἀντιθεὶς N), eadem verba infra exhibentes. 9 αὖ τὰ Reiskius. Legebatur αὐτὰ τά. 10 ἐναντίους] ἐναντίους μόνον LMN, μόνον in M abraso. 11 λόγους om. LN. αὐτὸς addidi ex ΘELMN Soph. et Photio p. 419 b, 9. apud quem scriptum αὐτὸς ἑαυτῷ. ᾐτίαται] αἰτιᾶται E. 12 δι' αὐτὸ] διὰ τὸ αὐτὸ ELMN. γρ. δι' αὐτῶν τούτων margo L. πῶς om. M. σύμβολον] σύμβουλον N. 14 βελτίους LMN. Legebatur βελτίστους. ἁμαρτόντας] ἁμαρτάνοντας L. εἰς τούτους] εἰς αὐτοὺς M.

90, 1 τὰ τοιαῦτα M. Aberat τά. οὐδὲν] οὐδὲ M. 2 ἐξαίρετον] καὶ ἐξαίρετον M. πεποίηται] πεποίηκε M. δεῖγμα] ἦν τι δεῖγμα MN et L apud Iebbium. 3 ἐστιν om. M. cui ne LN consentire suspiceris, ἐστὶν ex N diserte enotatum esse scito.

οὐδὲ γὰρ οὗτος ἀθῷος δή που διέφυγεν, ἀλλ' ἐξέπεσε, προσθήσω δ' ὅτι οὗτός γε οὐδὲ ἐν δικαστηρίῳ δυστυχήσας ὥσπερ Μιλτιάδης καὶ Περικλῆς οὐδ' ὑπὸ τούτων οἷς (151)
προσέκρουσεν ὑπὲρ τῶν πολλῶν, ἀλλ' ἐξοστρακισθεὶς ὑπ' αὐτοῦ τοῦ δήμου. οὐκοῦν εἰ μὲν μηδέν ἐστι τοῦτο σύμβολον κακίας, εἴ τις ῥήτωρ ἠτύχησε πρὸς τούτους ὧν προὔστήκει, οὔτε Μιλτιάδης οὔτε Θεμιστοκλῆς, οὐδ' εἴ τις ἄλλος, ἅμα τ' ἔπταισαν καὶ δικαίως ἂν φαῦλοι νομίζοιντο· εἰ δ' ἐκεῖνοι τούτοις ἐξελέγχονται, τί κωλύει μηδ' Ἀριστείδην ἐλλόγιμον μηδ' ἔξω τῆς ἐκείνων αἰτίας τιθέναι; ὥσθ' οὐ μόνον τοῖς κατὰ ῥητορικῆς λόγοις, ἀλλὰ καὶ τοῖς ἰδίᾳ κατὰ τῶν ἀνδρῶν, ὅ γε Ἀριστείδης ὑπεναντίως ὑπ' αὐτοῦ τιμηθεὶς ἐκείνοις οὓς κακίζει βοηθῶν φαίνεται, ὥσπερ ἐπεισόδιον παρὰ δόξαν προχωροῦν. ἔπειτ' ἄγει τὸν κυβερνήτην, καὶ τίνος ἕνεκα, φησίν, οὐ φρονεῖ μέγα οὐδὲ ἴσον τῷ ῥήτορι, σώζων ἐκ θανάτου καὶ οὗτος ἀνθρώπους καὶ αὐτοὺς καὶ χρήματα; ἐγὼ δὲ ὁρῶ μὲν κἀκεῖνο ὑπάρχον ἀντερωτῆσαι, τίνος οὖν ἕνεκα οὐδὲ αὐτὸς τῷ κυβερνήτῃ παραχωρεῖς; εἰ γὰρ φιλοσοφίας ἕνεκα ἀτίμως ὑπὸ τῶν πολλῶν ἀγομένης πλεῦσαι φῂς εἰς Σικελίαν τῷ (152)
Δίωνι βοηθός, οὐχ ἧττον ὁ κυβερνήτης ἐκεῖνον ἔσωζεν ὁ σὲ ἄγων, καὶ ταῦτα μέντοι διὰ τοῦ μεγίστου τῶν πελαγῶν, ἀλλὰ τοσούτῳ σοῦ πλέον εἰπεῖν ἔχει, ὅσῳ καὶ αὐτὸν τὸν μέλλοντα σώζειν τὸν Δίωνα ἔσωζεν. ἀλλ' ἐῶ ταῦτα. ἀλλὰ πῶς οὐκ ἄτοπον ὡς ἀληθῶς, εἰ αὐτὸς μὲν ὁ κυβερνήτης μὴ ἀξιοῖ τὸ ἴσον φρονεῖν τῷ ῥήτορι μηδ' ἀμφισβη-
91 τεῖ, σὺ δὲ χρῇ τούτῳ παραδείγματι, ὥσπερ ταπεινοτέρους

4 ἐξέπεσε] ἐξέπεσεν L. 5 ὑπὸ τούτων] ὑπὲρ τούτων LN. 6 μὲν om. M. 7 προὔστήκει ΘLMN. Scribebatur προειστήκει. Videndum tamen ne codices illi προὔστη dare voluerint. οὔτε Μιλτιάδης om. LMN, post ἔπταισεν infert E. 8 ἔπταισαν] ἔπταισεν E. 10 κατὰ ῥητορικῆς] κατὰ τοῖς ῥητορικοῖς L. κατὰ τῆς ῥητορικῆς MN. ἀλλὰ om. M. 11 Fortasse οὓς οὗτος κακίζει. quia κακίζει et φαίνεται non ad unum refertur, sed illud ad Platonem, hoc ad Aristidem. Reisk. 12 ἔπειτ' ἄγει] Fortasse ἔπειτ' εἰσάγει. Reisk. ἕνεκα LN. Vulgo εἵνεκα. 13 ἀνθρώπους post σώζων collocat M. αὐτοὺς] αὐτὸς Θ. 15 φιλοσοφίας ἕνεκα L. Vulgo φιλοσοφίας εἵνεκα. 16 ἔσωζεν] ἔσωσεν M.

91, 1 χρῇ] χρὴ Iunt. χρῇ ΘN. χραῖ L. χρῇ margo L. εἰ] ἢ

Digitized by Google

τι ταύτῃ ποιήσων τοὺς ῥήτορας, εἰ πάντες εἴκουσιν αὐτοῖς. καὶ μὴν ὅτι γε οὐχ ὑπ' ἀνοίας ὁ κυβερνήτης ὑποχωρεῖ τῷ ῥήτορι οὐδὲ ἔχοι τις ἂν αὐτὸν νουθετῶν εἰπεῖν, ὥσπερ ἐν ἀγῶνι παρ' ἀξίαν εἴκοντα. ὦ οὗτος, ὅρα τί ποιεῖς· ὁ ῥήτωρ οἰχήσεται τὸν στέφανον λαβών· οὐ μέγα ἀγώνισμα τῆς ῥητορικῆς τοῦτο ἐπιδεῖξαι. καὶ γὰρ οἶδε καὶ οὐ δεῖται τοῦ διδάξοντος, τοσοῦτόν γε νοῦ μετέχων, ὅτι αὐτὸς τῶν μὲν ναυτῶν ἐστιν ἄρχων, τῶν δὲ ἐμπλεόντων διάκονος καὶ ὑπηρέτης. καὶ τῶν γε καιρῶν τοσοῦτον αὐτῷ μέτεστιν, ὅσον τοῖς ἐγνωκόσι πλεῖν σημῆναι, καὶ νὴ Δία ὁρμοῦντας ἐπ' ἀκτῆς ἀναστῆσαι προσάγοντος τοῦ πνεύματος· τὸ δὲ ὁπότε πλεῖν ἄμεινον καὶ ὁπότε οἴκοι μένειν καὶ (153) ὅποι καὶ ὑπὲρ ὧν πλεῖν οὐδὲν οὔτε ἰδεῖν ὢν ἑτέρου μᾶλλον δυνατὸς οὔτε συμβουλεῦσαι κύριος. τὸ δὲ τοῦ ῥήτορος οὐ τοιοῦτόν ἐστιν, ἀλλ' ὥσπερ οἱ κυβερνῆται τῶν ναυτῶν ἄρχουσιν, οὕτως αὖ τῶν κυβερνητῶν οἱ ῥήτορες ἄρχουσιν, ὅταν τὰ κράτιστα δέῃ νεῶν. καὶ τοσούτῳ γέ τι τῶν κυβερνητῶν οἱ ῥήτορες κυριώτεροι ἢ τῶν ναυτῶν ἐκεῖνοι, ὅσον οἱ μὲν πλεόντων εἰσὶ κύριοι τῶν ναυτῶν, οἱ δὲ καὶ αὐτοῦ τοῦ πλεῖν ἢ μὴ τοὺς κυβερνήτας· μᾶλλον δὲ ἀμφοτέρων εἰσὶ κύριοι, καὶ τῶν κυβερνητῶν καὶ τῶν ἐμπλεόντων, οἱ ῥήτορες. διδάσκουσί γε καὶ πείθουσιν ἐξ ἀρχῆς πότε καὶ ποῖ πλευστέον· καὶ πάλιν ἡνίκα ἂν τού-

---

Canterus. 2 ὁ κυβερνήτης ὑποχωρεῖ τῷ ῥήτορι οὐδὲ] τῷ κυβερνήτῃ οὐδὲ M. 3 ἔχοι] ἔχει N. εἴκοντα] ἥκοντα N apud Iebbium. 5 οἶδε καὶ οὐ] οἶδε καὶ ὅτι οὐ L. Ex eodem codice enotatum est καὶ γὰρ οἶδε καὶ οὐ δεῖται φησὶν ὁ κυβερνήτης τοῦ διδάξαντος. φρόνιμος γὰρ ὤν. διδάξοντος N et scholiasta p. 426, 21. Legebatur διδάξαντος. νοῦ] οὐ MN. οὐ (νοῦ) L. 7 σημεῖναι Iunt. ὁρμοῦντας] ὁρμῶντας LN. 8 ἄμεινον om. LMN. καὶ ὁπότε] ὁπότε om. LMN. 9 οὔτε ἰδεῖν om. E. ἑτέρου] ἑταίρου L apud Iebbium. 10 τὸ δὲ τοῦ] τοῦ δὲ M. αὖ τῶν] αὐτῶν τῶν Reiskius. 11 τὰ κράτιστα idem est atque τὰ μάλιστα. Reisk. γέ τι] γ' ἔτι ΘN et Canterus. 12 ἐμπλεόντων] Malim πλεόντων. diversi enim nautis sunt οἱ ἐμπλέοντες seu vectores. nisi mavis legere τῶν τ' ἐμπλεόντων εἰσὶ κύριοι καὶ τῶν ναυτῶν. Reisk. Dedi πλεόντων pro vulgato ἐμπλεόντων. κύριοι τῶν ναυτῶν] κύριοι τῶν αὐτῶν LN. 14 ἐμπλεόντων] πλεόντων ELN.

του δέῃ κωλύουσιν. ὥστε οὐκ ἴσον μισθώσαντα ὑπηρετεῖν καὶ νικήσαντα ἀποστεῖλαι οὐδὲ τὸ σεσωκέναι τὴν ναῦν, οὐδὲ τοὺς ἐν τῇ νηὶ σκοπεῖν οἴεται δεῖν ὁ κυβερνήτης, ἀλλὰ τὸ σχῆμα προσεξετάζειν τοῦ πράγματος, ὥσπερ ὁ δήμιος οὐκ ἀξιοῖ μεῖζον τοῦ δικαστοῦ φρονεῖν οὐδὲ ἴσον,
92 ὅτι δὴ αὐτὸς ἀποκτιννύει, εἰ δὲ μή, ἀλλ' ὅτι καὶ αὐτός, (154)
ἀλλ' οἶδεν αὐτὸς μὲν ὑπηρέτης ὤν, τοῦτο ἀνάγκῃ ποιῶν, τὸν δὲ μετ' ἐξουσίας κρίνοντα τὸ δίκαιον ἐξεπίτηδες. ἔτι δὲ ὁ μὲν κυβερνήτης ἐξ ἡμισείας τὴν ἰσχὺν ἔχει. τὸ γὰρ σώζειν μόνον ἐστὶν αὐτοῦ, ἀπέκτεινε δὲ οὐδεὶς οὐδένα πω τῷ λόγῳ τῆς τέχνης, ἀλλ' ἐάν τινες καὶ ναυαγίας συμβάσης διαφθαρῶσι, παραιτεῖται καὶ οὐ σεμνύνεται. ὁ δὲ ῥήτωρ οὐ σώζειν οἶδε μόνον, ἀλλὰ καὶ ἀποκτιννύειν καὶ ἐκβάλλειν οὓς ἄμεινον· ὥστε τέλειον ἐξ ἀμφοτέρων τὸ κράτος τῷ ῥήτορι. καὶ ὁ μέν γε κυβερνήτης οὐδὲ οὓς σώζει πρὸς ἀξίαν σώζει, ἀλλ' ὥσπερ καὶ τὸ παράδειγμα λέγει, οὐκ ἀπεικὸς ἡγεῖται τοιούτους ἐνεῖναί τινας οἷς τεθνάναι κρεῖττον ἢ ζῆν· ὁ δὲ ῥήτωρ καὶ τὴν τοῦ σώζειν μερίδα σὺν τῷ δικαίῳ πληροῖ. οὐκοῦν οὐχ ὅμοιον γίγνεται τὸ

---

15 τούτου δέῃ] δέῃ τούτου Θ (β α). δέῃ] δεῖ LM et margo N. 16 μισθώσαντα] μισθοῦν dicitur nauclerus suam navem vectoribus, qui eam ipsis ad brevis usuram temporis elocat. μισθοῦσθαι dicitur vector, qui eam conducit et mercede transvectionem redimit. Reisk. νικήσαντα] Subaudi τῇ γνώμῃ. Reisk. σεσωκέναι] σεσῳκέναι N. sic idem codex alibi σῴζειν. 17 Semicolon post τὴν ναῦν est commate mutandum. Idem est ac si dixisset καὶ οἴεται ὁ κυβερνήτης δεῖν ἑαυτὸν οὐ μόνον σκοπεῖν τὸ σεσωκέναι τὴν ναῦν καὶ τοὺς ἐν αὐτῇ, ἀλλὰ καὶ δεῖν ἑαυτὸν πρὸς τούτῳ ἐξετάζειν καὶ τὸ σχῆμα τοῦ πράγματος. appellat autem τὸ πρᾶγμα conservationem navis cum vectoribus, τὸ σχῆμα dignitatem et rationem sui operis ad opus oratoris. Reisk. 18 προσεξετάζειν] προσετάξῃ M.

92, 1 ὅτι δὴ] ὅτι δεῖ N. αὐτὸς ἀποκτιννύει] αὐτὸς significat idem atque αὐτὸς μόνος. non ideo fit arrogans carnifex, quod sontes morti damnatos ipse solus occidit. εἰ δὲ μὴ — aut si non, scil. hoc verum est, aut, si non potest ille hoc de se verum praedicare, ἀλλ' ὅτι — at ob hoc tamen spiritus attollit, quod communem cum iudice occidendi potestatem habet? est haec obiectio et dubitatio, cui respondetur sic: ἀλλ' οἶδεν —. Reisk. ἀλλ' ὅτι καὶ] ἀλώσεται καὶ E Opor. 7 μέν γε] γε om. L. 9 καὶ τὴν τοῦ]

Digitized by Google

παράδειγμα, ὅταν δυοῖν ὄντοιν ὁ μὲν ἀμφοῖν ᾖ σὺν τῷ δικαίῳ κύριος, ὁ δὲ καὶ θάτερον ἐξ ἡμισείας ἔχῃ. διὰ ταῦτα ὁ κυβερνήτης δύο ὀβολοὺς πραξάμενος, ἐὰν ἐξ Αἰγίνης, ἐὰν δὲ ἐξ Αἰγύπτου, φῄς, ἢ τοῦ Πόντου, δύο δραχμὰς, ἐὰν πάμπολυ, ἐκβὰς παρὰ τὴν θάλατταν καὶ (155)
τὴν ναῦν περιπατεῖ ἐν μετρίῳ σχήματι. λογίζεται γάρ, φῄς, ὅτι ἄδηλόν ἐστιν οὕστινας ὠφέληκεν αὐτῶν καὶ οὕστινας ἔβλαψε, καὶ διὰ ταῦτα οὐ νόμος ἐστὶ σεμνύνεσθαι τὸν κυβερνήτην καίπερ σώζοντα ἡμᾶς. ὁρᾷς τί λέγεις; οὐ νόμος ἐστί, φῄς· ἀλλὰ τόν γε ῥήτορα νόμος, οὐκοῦν καὶ δίκαιον. ἀλλ᾽ ὁ κυβερνήτης ἐκεῖνά τε οἶδε καὶ πρὸς ἐκείνοις εἰ μὲν καὶ ταῦτα λογίζεται οὐκ ἂν ἔχοιμι εἰπεῖν, ἔστι δὲ καὶ
93 κυβερνήτῃ καὶ παντὶ συνιδεῖν ὅτι κυβερνήτης μὲν ὅστις

---

τὴν om. LN. γίγνεται M. Scribebatur γίνεται. 10 δυοῖν ὄντοιν] Scilicet τοῦ σώζειν καὶ τοῦ ἀπολλύναι. Reisk. θάτερον] Scilicet τὸ σώζειν. Reisk. 11 ἔχῃ] ἔχει LN. ἔχῃ correctus L. ἔχῃ] Nam servandi partes non potest plena cum iustitia administrare. non potest perdere; quod si mortem merito eveniat, id est servare. nam conservatio duobus modis fit, altero cum vita digni in vivis retinentur, altero quum supplicium meriti de medio tollentur. gubernator itaque navis, quoscunque servans vectores nullo discrimine, immeritos cum meritis, dimidia tantum ex parte fungitur servatoris munere. Reisk. 11 — 15 Ex Platonis Gorgia p. 511 d — 512 b., verbis mutatis. 12 ἐὰν δὲ ex Platone dedi. Legebatur ἐάν τε. τοῦ πόντου LMN. Aberat τοῦ. τοῦ in L rec. m. deletum. δραχμὰς] δραγμὰς N. 13 θάλατταν ΘN. Vulgo θάλασσαν. περιπατεῖ] περιπατῇ N. σχήματι ELN Iebb. τῷ σχήματι Θ Iunt. φῄς] Legebatur φησίν. φησι Θ. 14 οὕστινας] οὓς LMN. ὠφέληκεν αὐτῶν καὶ restitui ex E et scholiasta p. 427, 13. ὠφέληκε τῶν ἐν τῇ νηὶ δηλονότι καὶ vulgo. ὠφέληκε τῶν καὶ ΘLM. ὠφέληκε τῶν ἐν τῇ νηὶ καὶ N. Apud Platonem est ὠφέληκε τῶν συμπλεόντων οὐκ ἐάσας καταποντωθῆναι καί. οὕστινας] οὓς M. ἔβλαψε] ἔβλαψεν N. ταῦτα οὐ] οὐ om. N. 15 σώζοντα] ζῶντα M. ἐστί, φῄς ELMN Iebb. ἐστί om. Iunt. 16 οἶδε] εἶδε N. (οἶδε) 17 εἰ μὲν ab rec. m. habet L, om. N.

93, 1 ὅστις] οὐκ ἔστιν ὅστις M. „Si lectio codicis Coisliniani admittitur, delendum erit πλείστους. Hoc autem deleto legendum erit ὅστις πλείστους ἀφρόνους ἔσωσεν, οὐκ ἔσωσεν ὑπὲρ τοὺς χιλίους.“

πλείστους ἀθρόους οὐκ ἴσμεν ὑπὲρ χιλίους, τὸ δὲ τοῦ ῥήτορος πλήρωμα ὃ σώζει οὐ κατὰ ναῦν ἐστιν Αἰγυπτίαν, οὐδέ γε ὅλως μετρεῖται στόλῳ, ἀλλὰ καὶ λιμένες αὐτοὶ καὶ πόλεις, οὐ μυρίανδροι μόνον ἀντὶ τῶν μυριοφόρων, ἀλλὰ καὶ μετρῆσαι χαλεπαὶ τῇ τῆς ῥητορικῆς ὑποπίπτουσι τύχῃ τε καὶ προστασίᾳ. καὶ ὁ μέν γε κυβερνήτης κατάρας οὐκ ἔχει τί χρήσεται τῇ τέχνῃ, τοῦ δὲ ῥήτορος οὐδέν ἐστι χωρίον ἐξαίρετον. καταχώσει, φησὶν, ἡμᾶς ὁ μηχανοποιὸς τοῖς λόγοις. ποίοις, ὦ Γοργεία κεφαλή; μέχρι μὲν γὰρ (156)
ἁπλῶς μηχανοποιός ἐστι; μὴ ὅτι κομπεῖν ἔχει λόγῳ τὴν τέχνην, ἀλλ᾽ οὐδὲ τὰ τῆς τέχνης παρέχειν ἕως ἂν μὴ νικήσωσιν οἱ ῥήτορες· εἰ δὲ μέλλοι καταχώσειν τοῖς λόγοις, τίς ἡ τούτων προεστηκυῖα δύναμις; οὐκοῦν ὅτε καὶ μηχανοποιῷ ῥητορικὴ χρήσιμον, εἴ γέ τι μέλλει περὶ τῆς τέχνης ἕξειν εἰπεῖν, πῶς οὐ πανταχῇ ῥητορικὴ χρήσιμον; ἧττον μὲν οὖν ἴσως τούτων ἄτοπα, ἀκόλουθα δὲ ὅμως ποιεῖ καὶ παιδοτρίβας ἰατρῶν ἐντιμοτέρους ἄγων. εἰ μὲν γὰρ οὐ ταύτην λέγεις γυμναστικὴν, ἀλλ᾽ ἁπλῶς τὴν ὁπωσοῦν τὸ σῶμα κινοῦσαν, πάντες ἄνθρωποι μετέχουσι γυμναστικῆς· πάντες γὰρ ὁπωσοῦν κινοῦνται. καίτοι θαυμάσαιμ᾽ ἂν εἰ πάντας ἀμείνους εἶναι συγχωρητέον τῶν

---

Reisk. οὐκ ἴσμεν Soph. Aberat οὐκ. 2 αὐτοὶ] αὐτῷ L. αὐτοὶ correctus L. αὐτῶν N. 3 μυρίανδροι ΘELN. Vulgo μυρίανδρος. 6 γοργεία ΘN. Vulgo Γοργία. ἁπλῶς om. L. ἁπλῶ N. ἐστι] ἐστιν N. ἔχει] ἔχοι LMN. 7 τὰκ] τὰ E. 8 λόγοις] λογισμοῖς M. τίς] Malim τί, scilicet ποιήσει. si machinarius hoc facit, quid tandem faciet eloquentia, praeses huius facultatis, (alios verbis obruendi?) potest tamen etiam vulgata facile defendi. si machinarius hoc potest, quaenam est facultas huius rei? tum mihi dic quaeso unde habet? nonne ab eloquentia? Reisk. 9 ἕξειν] ἕξην M. 10 μὲν οὖν LN Soph. Aberat οὖν. τούτων om. LN. γρ. τούτων margo L ab rec. m. ὅμως] ὁμοίως E.

11 ταύτην] Hanc quam vulgo gymnasticam appellamus paedotribarum. Recte itaque codices addunt ἀλλὰ ante ἁπλῶς, quae particula si repudiatur, etiam οὐ debet expungi. Reisk. λέγεις] In Minoe. Canter. λέγει LN Soph. ἀλλ᾽ ἁπλῶς ΘELN et Iunt. ἀλλὰ τὴν ἀλλ᾽ ἁπλῶς M. ἁπλῶς Steph. Iebb., omisso ab typotheta ἀλλ᾽. τὸ σῶμα — γὰρ ὁπωσοῦν om. MN, in marg. ab rec. m. habet L. 12 θαυμάσαιμ᾽] θαυμάσοιμ᾽ LN. πάντας] πάντως

ἰατρῶν καὶ τεχνικωτέρους χρῆσθαι σώματι. εἰ δὲ ἧς οἱ παιδοτρίβαι προεστᾶσι περὶ ταύτης λέγει, πῶς γε ἂν ταύτην εἰς ταυτὸν ἄγειν ἰατρικῇ; πᾶσι γὰρ ὑπάρχει ἰδεῖν τοῦθ᾽ ὅτι χωρὶς μὲν παιδοτριβῶν πολλὰ γένη τῶν ἀν-
94 θρώπων ἄγεται καὶ σώζεται, ἰατρικὴν δ᾽ εἶναι καὶ μὴ πᾶσι τὸ πᾶν ὡς εἰπεῖν διαφέρει. ἀλλ᾽ ἵνα μὴ λόγος ἡμῖν λόγον ἐκδέξηται, ἀγαπητὸν ἂν εἰ καὶ τοῖς ἐπικαίροις ἐξαρ- (157)
κέσαιμεν, ἐῶ τὸ νῦν εἶναι τὴν ὑπὲρ τούτου διαφοράν. καὶ ἡ τοῦ νεῖν ἐπιστήμη, φησὶν, ἐκ θανάτου σώζει. ὥστε τί οὐ καὶ ταύτην σεμνύνομεν; ὅτι, ὦ βέλτιστε — οὐδὲν γὰρ οὐδ᾽ ἡμεῖς ὑποστελούμεθα αἰσχύνῃ τὸ περὶ τῶν φανερῶν λέγειν — ὁ μὲν κάλλιστα νεῖν εἰδὼς αὐτὸς ἀρκούντως ἔχει σωθείς. ἕτερον δ᾽ οὐδεὶς πώποτε ἐπινέοντα ἔσωσεν αὐτῷ, ὅτι μὴ ὁ δελφὶς λέγεται τὸν Μηθυμναῖον Ἀρίονα. ὁ δὲ ῥήτωρ οὐχ αὑτὸν μόνον οὐδὲ ἄλλον ἕνα συσσώζειν, ἀλλὰ καὶ φίλους καὶ πόλιν καὶ συμμάχους δυνήσεσθαι μεμελέτηκε. καὶ ὅστις μὲν ἄριστος κολυμβητὴς, τριῶν καὶ τεττάρων πλέθρων οὐκ ἐπινεῖ περαιτέρω, πλὴν εἰ Σκύλλαν εἴποις· οὐδὲ ὅταν ἐκβῇ τῆς θαλάττης ἢ τῆς λίμνης ἢ τοῦ ποταμοῦ, χρήσιμον οὐδὲν τὸ νεῖν αὐτῷ· τῷ δὲ ῥήτορι καὶ λίμνας καὶ πελάγη καὶ ποταμοὺς ἐπελθεῖν δυνατὸν τῇ τέχνῃ· καὶ μένων οἴκοι καὶ πλέων καὶ καθεζόμενος καὶ βαδίζων ὁ αὐτός ἐστιν. ἆρ᾽ ἴσα πρὸς ἴσα ἀμειβόμεθα; καὶ οὔπω τὸ κυριώτατον εἴρηκα, ἀλλὰ νῦν προσαποκρινοῦμαι, ὅτι, ὦ θαυμάσιε, νεῖν μὲν καὶ σύες (158)
καὶ αἱ κύνες αἱ φαυλόταται πάντων ἐπίστανται, καὶ πολύ

---

N apud Iebbium. 13 ἧς οἱ] ὅσοι MN et a pr. m. L. 14 ὑπάρχον ΘLMN. Legebatur ὑπάρχει. 15 τοῦθ᾽] τοῦτο LN. γένη om. M. δ᾽ εἶναι L. Vulgo δὲ εἶναι.

94, 2 νεῖν LN, Canterus, Iebb. νῦν Iunt. 4 ὑποστελούμεθα] ὑποστελλούμεθα LN. τὸ περὶ ΘLMN. Legebatur τοῦ περὶ. 5 ἔχει] ἔχοι ΘLN. ὅτι μὴ] ὅτι μὴ δὲ LN. 6 ἀρίονα N et a pr. m. L. ἀρείονα correctus L. Vulgo Ἀρίωνα. συσσώζειν] σώζειν L. συζῴσειν M. 8 πλέθρων hoc loco LN. Legebatur post ἐπινεῖ. ἐπινεῖ] ἐπαινεῖ N et a pr. m. L. εἴποις... ὅταν M. θαλάττης] θαλάσσης Θ. 9 τῷ δὲ ῥήτορι ΘLN. Legebatur τὸ δὲ ῥήτορι. 10 ἐπελθεῖν Reiskius. Legebatur ὑπελθεῖν. τῇ τέχνῃ] τῇ om. L. 11 ὁ αὐτὸς] ὁ om. ΘLN. ἆρ᾽] ἄρα N. 12 καὶ σύες] καὶ αἱ σύες Reiskius. καὶ αἱ κύνες] καὶ γυναῖκες L.

Digitized by Google

γε ἱκανώτερον ἀνθρώπου, καὶ τάς γε ἐλάφους φασὶν ἐπινεῖν ἐπὶ πλεῖστον τῆς θαλάττης ἐχομένας ἀλλήλων, πρώτην καὶ τελευταίαν ἀεὶ γιγνομένην τὴν αὐτὴν ἐκ διαδοχῆς. τὴν δὲ τοῦ λόγου φύσιν καὶ δυνάμιν οὐ λαγωοῖς καὶ πιθήκοις οὐδὲ ἐλάφοις ἐνέθηκεν ὁ πάντα δημιουργήσας θεὸς, οἶμαι δὲ οὐδὲ τοῖς λέουσιν οὐδὲ τῶν ἄλλων ζώων οὐδέσιν, οὔθ' ὅσα ἐν θαλάττῃ οὔθ' ὅσα κατ' ἤπειρον οὔθ' ὅσα ὑπερπέταται, ἀλλ' ἐν δυοῖν γένεσι μόνοις τοῦτο ἴδρυται, προτέρῳ μὲν καὶ τελεωτάτῳ τῷ πάντων ἀρίστῳ, δευτέρῳ δὲ τῷ πάντων τῶν λοιπῶν ἀρίστῳ, δι' ἓν τοῦτο ὃ
95 ῥητορικὴ παραλαβοῦσα ἄγει καὶ κοσμεῖ τὸν ἔχοντά τε καὶ τοὺς χρωμένους αὔξουσα τὸ προσῆκον αὔξεσθαι κατὰ τὴν φύσιν ἀνθρώπῳ. καίτοι εἰ τοσαῦτα Πλάτων ἐπέδειξεν ὑπὲρ τοῦ κολακείαν εἶναι ῥητορικὴν, ὅσα νῦν ἡμεῖς ὑπὲρ παντὸς τοῦ ἐναντίου δείκνυμεν, οὐκ οἶδ' ὅπως ἄμεινον ἐπιστώσατο τὸν λόγον. εἰ δὲ οἴεται παραδειγμάτων φαυλότητι καταισχύνειν αὐτῆς τὴν ἀξίαν, ἐμοὶ μὲν οὐκ ἔτι τἀπὶ τούτοις ῥητά· δύναιτο δ' ἄν τις τὸ τοῦ Ὁμήρου σώζων ἔπος (159)
πρὸς ἔπος τὸ ὅμοιον ἀνταποδιδοὺς ὑπολαμβάνειν, τί δαί; οὐχὶ καὶ αἱ τιτθαὶ τοῖς παιδαρίοις ταῦτα λέγουσι καὶ οἱ γραμματισταὶ καὶ οἱ παιδαγωγοί; ὑπερεμπίπλασθαί σε οὐ χρὴ καὶ βαδίζειν ἐν ταῖς ὁδοῖς ὅτι χρὴ κοσμίως καὶ τοῖς

---

καὶ αἱ γυναῖκες. N. φαυλόταται] φαυλότατοι LN. 13 φασὶν ἐπινεῖν] φασι ἐπινεῖν N. νεῖν φασιν Thomas Mag. p. 624. 14 ἐχομένας ΘΜ et Thomas. Legebatur ἐχομένοις. ἐχόμεναι LN. γιγνομένην τὴν αὐτὴν] τὴν αὐτὴν γινομένην M. 15 καὶ πιθήκοις] οὐδὲ πιθήκοις LMN Soph. 17 οὔθ' ὅσα ἐν] οὐδ' ὅσα ἐν MN. οὔθ' ὅσα κατ'] οὐδ' ὅσα κατ' N. ὑπερπέταται ΘLMN. Vulgo ὑπερπέτεται. ὑπερπέταται idem est atque ὑπὲρ ἡμᾶς πέταται, super capitibus nostris volitant. Reisk. 18 πάντων LMN Iebb. πάντα Θ Iunt. πάντων ἀρίστῳ] Significat genus divinum. Reisk. 19 τῶν λοιπῶν] Cum ab illo divino genere discesseris. Reisk. δι' ἓν τοῦτο] Subaudi χρῆμα, aut γέρας, aut δῶρον, aut πρωτεῖον; aut simile quid. Reisk.

95, 3 ὅπως ἄμεινον ΘLMN. Legebatur ὅπως ἢ ἄμεινον. ὅπως ἂν ἄμεινον Soph. 5 Ὁμήρου] Iliad. υ, 250. ὁπποῖόν κ' εἴπῃσθα ἔπος, τοῖόν κ' ἐπακούσαις. 6 δαὶ ΘLN. Vulgo δέ. τιτθαὶ] Vulgo τίτθαι et hic et paullo post. ταῦτα λέγουσι] λέγουσι ταῦτα LN. 7 οὐ χρὴ] οὐ om. E. βαδίζειν — ἐπαλλάξ] Ari-

πρεσβυτέροις ὑπανίστασθαι καὶ τοὺς γονέας φιλεῖν καὶ μὴ θορυβεῖν μηδὲ κυβεύειν μηδ' ἴσχειν, εἰ βούλει, τὼ πόδ' ἐπαλλάξ· ἀλλ' ὅμως οὐ διὰ ταῦτα μέγα φρονοῦσιν αἱ τιτθαὶ οὐδὲ ἀξιοῦσι πρὸ τῶν φιλοσόφων εἶναι. ὥστε τὴν ἂν πλείστου θῆς ἀξία δυοῖν ἴσως ἢ τριῶν μνῶν. οἱ δὲ παιδαγωγοὶ καὶ ὑποβαρβαρίζοντες ταῦτα νουθετοῦσιν οἱ πολλοὶ καὶ φέρουσιν ἐνίοτε ἀντὶ παιδαγωγῶν θυρωροὶ γιγνόμενοι τοῖς αὑτῶν δεσπόταις, ὁπόταν καταλύσωσι τὴν τέχνην· καὶ οὐ μὰ Δία οὐκ εἰ τῶν ῥητόρων ἔλαττον ἕξουσι δυσκολαίνουσιν, οὐδέ γε ἐκεῖνο λέγουσι, τί δή ποτε αὐτοὶ μὲν ὁσημέραι βοῶντες καὶ κονδυλίζοντές γε ἐνίοτε καὶ οὐχ ὅσον ἀφοσιώσασθαι νουθετοῦντες οὐκ ἀνεσπάκασι τὰς ὀφρῦς, οὐδὲ εἰς τὴν προεδρίαν ὠθίζονται, οὐδὲ τὴν τοῦ τὰ μέγιστα τῶν ἀνθρωπείων πραγμάτων ἐπίστασθαι δόξαν (160)
οὐδέπω καὶ νῦν εἰλήφασιν· οἱ δὲ φιλόσοφοι σεμνύνονται καὶ γαυριῶσι καὶ πρωτείων ἀντιποιοῦνται καὶ μεγάλους αὑτοὺς ἄγουσι καὶ ταῦτα λέγοντες ἐν αὑτοῖς, καὶ οὔτε

---

stophanes Nub. v. 964. 983. 993. 994. εἶτα βαδίζειν ἐν ταῖσιν ὁδοῖς εὐτάκτως — οὐδ' ἴσχειν τὼ πόδ' ἐναλλάξ — καὶ τῶν θακῶν τοῖς πρεσβυτέροις ὑπανίστασθαι προσιοῦσι, καὶ μὴ περὶ τοὺς αὑτοῦ γονέας σκαιουργεῖν —. εἰ βούλει post τὼ πόδε habet E. ἐπαλλάξ] ἐναλλάξ superscriptum in L. πόδ'] Vulgo πόδε. 10 ἀξιοῦσι] ἀξιοῦσιν N. πλείστου] πλείστους L. ἀξία LMN. Legebatur ἄξιον. ἀξίαν Reiskius. δυοῖν ἴσως LN. Legebatur δυοῖν ἐστιν ἴσως.
11 οἱ δὲ παιδαγωγοὶ] οἱ δ' ὑπαιδαγωγοὶ Θ. ταῦτα] Fortasse ταὐτὰ, illa ipsa, haec eadem atque versu 7. 8. tradiderat. οἱ πολλοὶ pertinet ad ὑποβαρβαρίζοντες. paedagogi eadem suis pueris subiiciunt et inculcant, et horum plerique id faciunt eo sermone Graeco, qui originem eorum barbaricam prodit. et tamen aequo animo patiuntur se ad ianitorum sordes detrudi ab heris, quum per aetatem non amplius possunt pueros in scholam deducere et inde rursus domum reducere, eamque professionem eiurarunt. notum est in operarum servilium honestissimis fuisse paedagogos, in abiectissimis ianitores. Reisk. 12 γιγνόμενοι LM. Vulgo γινόμενοι. καὶ οὐ] καὶ om. Θ. 14 ἀφοσιώσασθαι νοθετοῦντες L. 15 εἰς τὴν προεδρίαν ὠθίζονται] Aristophanes Acharn. v. 42. εἰς τὴν προεδρίαν πᾶς ἀνὴρ ὠστίζεται. 17 αὐτοὺς] αὑτοὺς ΘN et a pr. m. L. καὶ ταῦτα LN. Aberat καί. ταῦτα suspectum. In codicibus est καὶ ταῦτα, quo nil profecimus. Fortasse legendum οὐκ ἀνεκτὰ λέγοντες ἐφ' αὑτοῖς. Reisk. 18 αὑτοῖς LN. Vulgo

Digitized by Google

τοῖς ῥήτορσιν ὑπείκουσιν οὔτε τοῖς παιδαγωγοῖς ἴσον οἴονται δεῖν φρονεῖν. ἀλλ' αὖτε ταῦτα ἔχει λόγον ὑγιᾶ κἀκεῖνα
96 τούτοις ἔοικεν. ἔγραφον δ' ἂν καὶ τὴν τέχνην, εἰ μὴ μειρακιῶδες. οὐ μὴν ἀλλ' ἔν γε τοῖς ἄνω λόγοις ἐπειρώμην δεικνύειν ὅτι ῥητορικὴ διὰ πάντων τῶν τῆς ἀρετῆς μορίων διήκει, φρονήσει μὲν εὑρεθεῖσα, εὑρεθεῖσα δὲ ὑπὲρ δικαιοσύνης, σωφροσύνῃ δὲ καὶ ἀνδρείᾳ φυλαττομένη. τοῦτο δὲ καὶ κατὰ τούτους τοὺς λόγους αὐτῆς ἰδεῖν ἔστιν. ἔστι μὲν γὰρ δή που ῥητορεύειν τὸ τὰ δέοντα ἐξευρεῖν καὶ τάξαι καὶ τὰ πρέποντα ἀποδοῦναι μετὰ κόσμου καὶ δυνάμεως. φαίνεται δὲ ἡ μὲν εὕρεσις κατὰ τὴν φρόνησιν ἔχουσα, εἴπερ ἀμήχανον φρονήσεως ἀπολειπόμενον τῶν χρησίμων εὑρεῖν ὁτιοῦν, ἡ δὲ σωφροσύνη κατὰ τὴν διαχείρισιν οὖσα καὶ τὴν τῶν ἡγουμένων τε καὶ εἰκότων συμφωνίαν· ἀντὶ δὲ αὖ τῆς δικαιοσύνης τὸ πρέπον τίθει. τοῦτο δέ ἐστιν (161)
ὁποῖα ἄττα καὶ ὁπόσα ἑκάστῳ προσήκει τῷ πράγματι σῶσαι. ἀλλὰ μὴν ἀνδρείας ἐκ τοῦ εὐθέος οὐδὲν οὕτω μετέχειν ὡς ὁ λόγος βούλεται. τὸ γὰρ ταπεινὸν καὶ ἀγεννὲς οὐδὲν οὕτως ὡς ὁ λόγος ἐξορίζει καὶ ὑπερφρονεῖ. εἶεν. ἐχόντων δὴ τούτων οὕτως τίνος ὧν εἶπον λαβόμενον κακίζειν ἔνεστι τὴν ῥητορικήν; ἢ τίς ἄμεινον καὶ καθαρώτερον ἐκ τῶν εἰκότων ἀνθρώπῳ προσφέροιτ' ἂν ἢ ὅστις δύναιτο

---

αὐτοῖς ῥήτορσιν] ῥήτορσι N. 19 κἀκεῖνα] Exempla ab urinatoribus et gubernatoribus petita. Reisk. τούτοις] His exemplis nutricum et paedagogorum. Reisk.

96, 1 οὐ μὴν om. N. 3 ἀνδρείᾳ M. Vulgo ἀνδρίᾳ. 4 αὐτῆς] οὓς μέλλω εἰπεῖν αὐτῆς Photius p. 420 a, 5. ubi haec verba omittit codex optimus, et si αὐτῆς excipias, recte omittit: sunt enim ex scholio, quod edidimus p. 429, 2. αὐτῆς] Leg. αὖθις vel αὖτις. opponitur enim praemisso ἐν τοῖς ἄνω λόγοις versu 1. Reisk. 5 καὶ τάξαι om. LMN. τὰ πρέποντα si bene habet, accipi debet adverbialiter pro ἐς τὰ πρέποντα, πρεπόντως, ὡς πρέπει. ut paulo ante habebamus τὰ κράτιστα pro ὡς μάλιστα. Reisk. 6 φρόνησιν] φρόνεσιν N. 7 διαχείρισιν Θ et Reisk. Vulgo διαχείρησιν. 8 εἰκότων] εἰκόντων Canterus. ἀντὶ δ' Soph. Scribebatur ἀντὶ δὲ. ἀντὶ δι' LN. αὖ τῆς Reiskius. Scribebatur αὐτῆς. τίθει] τιθεῖ LN. ὁποῖα Steph. ἡ ποῖα ΘN Iunt. 9 προσήκει om. M. ἀνδρείας Θ. Scribebatur ἀνδρίας. 11 οὕτως ELN. Vulgo οὕτω. 12 ἢ τίς] εἴ τις Θ. εἰκότων

ὁποίους χρὴ καὶ ὁπόσους καὶ πρὸς ὁποίους καὶ οὕστινας δεῖ ποιεῖσθαι τοὺς λόγους, ἢ πῶς ἔξω τῆς τοιαύτης δυνάμεως ἔνεστιν ἢ πολλοῖς ἢ ὀλίγοις ὀρθῶς διαλεχθῆναι; ἢ πῶς ἀδελφῷ προσομιλεῖν, νεωτέρῳ ἢ πρεσβυτέρῳ λέγω, ἢ πῶς γονεῦσιν, ἢ πῶς ἑταίροις, ἢ πῶς εἰδόσιν, ἢ πῶς ἀγνοοῦσιν, ἢ πολεμίοις, ἢ συμμάχοις, ἢ τρυφῶσιν, ἢ δεομένοις, ἢ μυρία ἄν τις ἕτερα ἐπιδιαιροῖ; ὁ γὰρ τὸ πρέπον τῶν λόγων ἐξητακὼς πανταχοῦ καὶ τὸν καιρὸν εἰδὼς καὶ δυνάμενος ταῦθ' ὥσπερ οἶδε καὶ περαίνειν, αὐτός ἐστιν ὁ μόνος πᾶσιν οἷς εἶπον χρῆσθαι δυνάμενος, οὗτος ὁ νουθετῶν ἀνύτειν, οὗτος ὁ κατηγορῶν πιστεύεσθαι, οὗτος ὁ (162)
πανταχοῦ κρείττων τοῦ κατὰ ταῦτα ἀπολειπομένου. καὶ μὴν ὅ γε εἰδὼς τί δεῖ λέγειν οἶδε τί δεῖ σιωπῆσαι καὶ πότ'
97 ἄμεινον εἰπεῖν καὶ πότ' ἐᾶσαι, ὥσπερ καὶ ὅστις οἶδε πότε πλεῖν καιρὸς, οὐκ ἀγνοεῖ καὶ πόθ' ὁρμεῖν· ὅστις δὲ λόγου καὶ σιωπῆς καιρὸν ἐπίσταται, κατ' οὐδέτερον τούτων ἁμαρτήσεται. ὁ δὲ μήτε λέγων μήτε σιωπῶν οὐδέποτε ἐκ τῶν εἰκότων κατὰ γοῦν τὴν τέχνην. οὐκ ἄρα τοῦ φιλοσόφου μᾶλλον ἢ τοῦ ῥήτορος εἰδέναι πότε χρὴ σιωπᾶν. καὶ μὴν ὅστις γε ἃ προσήκει λέγειν οἶδεν οἶδεν ἃ πράττειν

om. N. ἀνθρώπῳ] ἀνθρώπων LN. ἀνθρώποις E. προσφέροιτ' ἂν ἢ Canterus et Iebb. προφέροιτ' ἂν ἢ Iunt. προφέροιτο ἢ ΘELN. Fallitur Iebbius, qui N cum Cantero consentire affirmat. ὅστις] ὅστις ἂν M. 15 νεωτέρῳ] ἢ νεωτέρῳ Soph. λέγω] λόγῳ N. 16 πῶς ἀγνοοῦσιν] πῶς om. M. Fort. ἃ ἄν τις ἕτερα ἐπιδιαιρῇ. Reisk. 17 ἐπιδιαιροῖ Θ Iunt. ἐπιδιαιρεῖ Iebb. 18 μόνος om. M. 19 ἀνύτειν] ἀνύττειν N. 20 δεῖ om. N: ab rec. m. habet L. πότ' ἄμεινον] πότε ἄμεινον ΘLN.

97, 1 πότ' ἐᾶσαι E et Canterus. Legebatur πότε φῶσαι. πότε ἡσυχάσαι Reiskius. ὁ δὲ LMN Soph. Iebb. εἰ δὲ Θ Iunt. Debeat εἰ δὲ servari. nova lectio ὁ δὲ meliorem locum non fecit. semper aliquid deest. f. leg. εἰ δὲ μὴ, sin minus, ἀεὶ ὀφθήσεται vel φανήσεται μήτε λέγων — quod si autem loquendi vel tacendi tempora nescit, semper apparebit eum, cum loquitur, cumve tacet, neque loqui neque tacere consentaneе idoneis rationibus saltim per artem. Postrema haec, quae non nihil habent obscuritatis, haec videntur velle dicere. forte fiat ut eiusmodi homo temporum ignarus suo tempore loquatur et item taceat. non tamen facit hoc ex idoneis rationibus ad praescriptum artis oratoriae, convenienter eius principiis, sed aut nescit quare faciat, aut mera facit ductus probabilitate. Reisk. 4 καὶ μὴν ὅστις] ὅστις om. M.



Digitized by Google

προσήκει. οὐδεὶς γάρ ἐστιν ὅστις ἃ προσήκει πράττειν εἰπεῖν εἰδὼς ἃ προσήκει πράττειν ἀγνοεῖ, οὐδὲ ὅστις ἀγνοῶν ἃ προσήκει πράττειν εἰπεῖν ἔχει. καὶ μὴν ὅ γε εἰδὼς ἑτέρῳ τί πρακτέον οἶδε καὶ τί αὑτῷ δή που, ὥσπερ γε καὶ ὅστις διψῶντα ἕτερον παύειν ἑαυτὸν οὐκ ἀγνοεῖ. ὁ αὐτὸς ἄρα ἐκ τοῦ λόγου φαίνεται λέγειν τε ἃ δεῖ καὶ πράττειν δυνάμενος καὶ ὁ αὐτὸς περὶ ἀμφοτέρων κατὰ τὸ εἰκὸς ἁμαρτών.

Ταῦτ' ἄρα καὶ οἱ παλαιοὶ συνῆπτον τὰς δυνάμεις καὶ οὐ διέκρινον. ἀλλ' Ὅμηρος μὲν ἔφη τὸν Φοίνικα ὑπὸ (16 τοῦ Πηλέως πεμφθῆναι τῷ Ἀχιλλεῖ

μύθων τε ῥητῆρ' ἔμεναι πρηκτῆρά τε ἔργων,

ὡς τὸν αὐτὸν εἰδότα ἅ τε δεῖ λέγειν καὶ ἃ πράττειν ἄμεινον. καὶ πρό γε τούτου πρότερον αὐτὸς συνῆψεν εἰπὼν

οὔπω εἰδόθ' ὁμοιίου πολέμοιο,
οὐδ' ἀγορέων, ἵνα τ' ἄνδρες ἀριπρεπέες τελέθουσιν,

τὸ μὲν πρακτικὸν ἐξ ἑνὸς εἴδους τοῦ κατὰ τὸν πόλεμον ἐμφανίζων, τὸ δ' αὖ λογικὸν ἐκ τοῦ κατὰ τὰς ἀγοράς, μνησθεὶς δὲ ὅμως ἀμφοτέρων τὸ „ἵνα τ' ἄνδρες ἀριπρεπέες τελέθουσι" ταῖς ἀγοραῖς προσέθηκεν, οὐ τῷ πολέμῳ, ὡς ἀμείνω τὸν ῥήτορα ὄντα ὅταν λέγῃ περὶ τῶν πρακτέων, ἢ ὅταν αὐτὸς πράττῃ τὴν πρᾶξιν. εἰκότως. ὅσῳ γὰρ βέλτιον ἄρχειν ἢ διακονεῖν, τοσούτῳ λέγειν τὰ δέοντα βέλτιον ἢ πράττειν. ὁ μὲν γὰρ οἶμαι πολλοῖς σύμβουλος γίγνεται, ὁ δὲ ἀνθ' ἑνὸς ἄλλου τινὸς γίγνεται. ὥσπερ οὖν

---

7 αὑτῷ Θ. Vulgo αὐτῷ. διψῶντα] ἤδη διψῶντα E. διψῶντα ἕτερον παύειν ἑαυτὸν οὐκ ἀγνοεῖ] διψῶν ἕτερον παύειν ἀγνοεῖν LN. Post διψῶν corrector in marg. L inserenda ἀγνοεῖ τὴν θεραπείαν τοῦ πάθους posuit. διψῶν. ἀγνοεῖ τὴν θεραπείαν τοῦ πάθους, καὶ ἕτερον διψῶντα παύειν ἀγνοεῖ M. οὐκ ἀγνοεῖ. ὁ αὐτὸς] οὐκ ἀγνοεῖ. ὥσπερ γε καὶ ὅστις οἶδε τί μὴ πρακτέον ἑαυτῷ οἶδε καὶ ἕτερον παύειν ἀγνοοῦντα. ὁ αὐτὸς E. 8 ἄρα] καὶ ἄρ' M. 9 ἁμαρτών] ἁμαρτῶν L. ἁμαρτάνων Soph. 10 μύθων] Iliad. ι, 443. ἔμεναι Steph. Iebb. ἔμμεναι LN Iunt. 11 πρηκτῆρα] πρακτῆρα LMN. αὐτὸν εἰδότα] αὐτὸν αὐτὸν εἰδότα LN. 12 οὔπω εἰδόθ'] Iliad. ι, 440. πολέμοιο M. πτολέμοιο vulgo. πολέμου LN. οὐδ'] δ' M. ἀγορέων] ἀγορειῶν E. 13 τελέθουσιν N. Vulgo τελέθουσι. τὸ μὲν] τὸ μὲν γὰρ Θ. 16 πρακτέων] πραγμάτων L. 18 σύμβουλος γίγνεται] Vulgo σύμβουλος γίνεται. ὁ δὲ ἀνθ' — γίγνεται om. LN, in margine habet L, nisi quod γίνεται scriptum.

τοὺς ἀρχιτέκτονας τῶν τεκτόνων ἀνάγκη προέχειν, ὄντας ὅμως περὶ ταῦτα ἃ τῆς τῶν τεκτόνων ἐστὶν ἐμπειρίας,
98 οὕτω τοὺς ἐν ταῖς ἀγοραῖς καὶ τοῖς λόγοις προέχοντας τῶν τούτοις ὑπηρετούντων βελτίους ὁ ποιητὴς ἔθηκε καὶ προσεῖ- (164) πεν ἀριπρεπεῖς, μάλα ὀρθῶς προσειπών. ὁ μὲν γὰρ ἐν πολλοῖς πράττων οὐκ ἔκδηλος γίγνεται· πολλοὶ γὰρ οἱ μετέχοντες· ὁ δὲ εἰς τὸ μέσον λέγων ἅπαντας ἐφέλκεται καὶ πάντες εἰς αὐτὸν ὁρῶσιν·

Ὁ δ᾽ ἀσφαλέως ἀγορεύει,
αἰδοῖ μειλιχίῃ, μετὰ δὲ πρέπει ἀγρομένοισιν.

εἰς γὰρ ἕτερα αὖ παραπλήσια σχεδὸν αὐτομάτως ἥκει φέρων ὁ λόγος· ἐν οἷς Ὅμηρος σαφῶς μαρτυρεῖ ὅτι οὐ κολακεύων ὁ ῥήτωρ λέγει οὐδὲ ὑποπεπτωκώς, οὐδὲ τὸν δεῖνα ἢ τὸν δεῖνα θαυμάζων, οὐδὲ ἐπίκαιρον ἡδονὴν διώκων, ἄλλος ἀλλοθι γιγνόμενος, ὥσπερ οἱ ὀψοποιοὶ χάριν ἡδονῆς ἑτέρου, οὐδὲ σχηματιζόμενος ὡς δοῦλος τῶν ἀεὶ δυναμένων, ἀλλ᾽ ἀσφαλῶς ἀγορεύει, φησί. τὸ δὲ ἀσφαλῶς ἐστιν ἀπταίστως. ἀμήχανον δὲ ἀπταίστως λέγειν ὅστις μὴ ὑγιῶς λέγει. αἴτιον δὲ τούτου φησὶν ὅτι αἰδοῖ μειλιχίῃ, οὐ τὸ ἀναιδέστατον ἦθος τὸ τοῦ κόλακος λαμβάνων ἐν τῇ ψυχῇ καὶ ἀναματτόμενος, ἀλλ᾽ αἰδούμενος. τοῦ γὰρ τοιούτου καὶ τοὺς λόγους ἀνάγκη κοσμίους εἶναι, κόσμον δὲ καὶ τάξιν ἔχοντα κρατεῖν. Ἡσίοδος δ᾽ αὖ φησι καὶ τοὺς βασιλέας θείᾳ μοίρᾳ καὶ δόσει γίγνεσθαι λόγων μετόχους, (165) λέγων ὅτι ἡ Καλλιόπη

καὶ βασιλεῦσιν ἅμ᾽ αἰδοίοισιν ὀπηδεῖ.
ὅντινα τιμήσουσι Διὸς κοῦραι μεγάλοιο,
γιγνόμενόν τ᾽ ἐσίδωσι διοτρεφέων βασιλήων,

---

γίνεται etiam M. 19 τῆς τῶν τεκτόνων ΘELMN Soph. Aberat τῶν.

98, 2 ἔκδηλος] εὔδηλος LMN. γίγνεται] Scribebatur γίνεται. 4 ὁ δ᾽ ἀσφαλέως (ἀσφαλῶς E)] Odyss. θ, 171. 6 ὑποπεπτωκὼς] ὑποπεπτωκὸς L. 7 ἄλλος LN. Legebatur ἄλλοτε. γιγνόμενος] Legebatur γινόμενος. γινόμενος ΘELN. οἱ ὀψοποιοὶ ELMN. Aberat οἱ. 8 ἀλλ᾽ ab rec. m. habet L. 9 ἀμήχανον] ἀδύνατον M. 12 ἔχοντα] ἔχοντας Canterus. Ἡσίοδος] Theogon. v. 80. γίγνεσθαι M. γίνεσθαι ΘN. Legebatur γενέσθαι. 14 γιγνόμενον] γινόμενον M. γεινόμενον Hesiodus. διοτρε-

τῷ μὲν ἐπὶ γλώσσῃ γλυκερὴν χείουσιν ἀοιδήν,
τοῦ δ' ἔπε' ἐκ στόματος ῥεῖ μείλιχα· οἱ δέ τε λαοὶ
πάντες ἐς αὐτὸν ὁρῶσι διακρίνοντα θέμιστας
ἰθείῃσι δίκῃσιν· ὁ δ' ἀτρεκέως ἀγορεύων
αἶψά τε καὶ μέγα νεῖκος ἐπισταμένως κατέπαυσε·

σχεδὸν οὐ μόνον κατὰ ταὐτὰ, ἀλλὰ καὶ ταὐτὰ ἄντικρυς Ὁμήρῳ λέγων, μᾶλλον δὲ πολὺ κυριώτερον καὶ λαμπρότερον οὗτος τῇ ῥητορικῇ συναγορεύων, ὁπότ' οὐ μόνον πράττειν τὰ δέοντα τὸν αὐτὸν ὅνπερ λέγειν τὰ δέοντα
99 τίθησιν, ἀλλὰ καὶ τοὺς ἀρίστους τῶν βασιλέων ῥητορικῆς φησι μετουσίᾳ γίγνεσθαι τοιούτους. καὶ προστίθησι

Τοὔνεκα γὰρ βασιλῆες ἐχέφρονες, οὕνεκα λαοῖς
βλαπτομένοις ἀγορῆφι μετάτροπα ἔργα τελεῦσι,
ῥηιδίως μαλακοῖσι παραιφάμενοι ἐπέεσσι·

δύ' ἐν τούτοις μαρτυρῶν, ὅτι τε ἡ ῥητορικὴ σύνεδρος τῆς βασιλικῆς καὶ ὅτι περὶ τὸν αὐτόν ἐστι τό τε τοῦ ἐχέφρονος πρόσρημα καὶ τὸ λέγειν καλῶς. ὁ γὰρ ἐν μὲν τοῖς (16 ἄνω ποιήσας ὡς ἄρα ἡ Καλλιόπη τοῖς αἰδεσιμωτάτοις τῶν βασιλέων ἕπεται καὶ ποιεῖ δύνασθαι λέγειν, ἐνταῦθα δὲ προσθεὶς „Τοὔνεκα γὰρ βασιλῆες ἐχέφρονες," ὥστε διαιρεῖν τὰ τοῦ δήμου διάφορα, δεικνύει ἐν ᾗ μοίρᾳ πρόσθεν ἔθηκε τοὺς λόγους, ἐν ταύτῃ τὴν σωφροσύνην, καὶ πάλιν

---

φέων] διοτρεφέων LN. μὲν ἐπὶ] μέν τ' ἐπὶ M. γλώσσῃ] γλώσσης E. γλώσσην LN. 15 χείουσιν EL. Scribebatur χεύουσιν. ἀοιδὴν] ἐέρσην Hesiodus. ἔπε' ex Hesiodo addidi. τοῦ δ' ἄρ' ἐκ E. δέ τε] τε om. L. δέ νυ Hesiodus. ἐς αὐτὸν] εἰς αὐτὸν N. 16 ἰθείῃσι] ἠθείῃσι LN. ἀτρεκέως] ἀσφαλέως Hesiodus. 17 κατὰ ταὐτὰ Canterus, Reiskius. Scribebatur κατὰ ταῦτα. ἀλλὰ καὶ ταυτὰ Θ Iunt. ἀλλὰ καὶ κατ' αὐτὰ LMN Iebb. 19 τὸν αὐτὸν] τῶν αὐτῶν ΘE. ὅνπερ N. Legebatur ὥσπερ. λέγειν] τὸ λέγειν Θ.

99, 1 γίγνεσθαι] γίνεσθαι LM. τοὔνεκα γὰρ ΘELN. τοὔνεκεν γὰρ Iunt. τοὔνεκεν ἄρ' Iebb. 2 τελεῦσι Θ Iunt. τελοῦσι Iebb. 3 παραιφάμενοι] παραφάμενοι N. ἐπέεσσι] ἐπέεσι N. δύ'] δύο LN. ὅτι τε] τε om. M. 4 ὁ μὲν γὰρ ἐν E. 5 αἰδεσιμοτάτοις N. 7 δεικνύει ἐν ΘELM. δεικνύεν ἐν N. Legebatur δείκνυσιν δὲ ἐν. ἔθηκε] ἔθηκεν L. ἐν ταύτῃ] Locus hic vitio laborat et desunt quaedam. Fortasse legendum ἐν ταύτῃ νῦν θεὶς τὴν σωφροσύνην καὶ πάλιν αὖ θεὶς, ὡς οὐχ ὑπ' ἀνοίας ἀγομένους (vel κατεχομένους) τοὺς ῥήτορας, ἀλλ' ἀτρεκεῖς ὄντας καὶ ἐχέφρονας.

Digitized by Google

*αὖθις ὡς οὐχ ὑπ' ἀνοίας τοὺς ῥήτορας ὄντας καὶ ἐχέφρονας, ῥητορικῆς μὲν ἀρχὴν φρόνησιν καὶ σωφροσύνην τιθείς, ταύτας δ' αὖ συνάψας πρὸς ἀλλήλας, τήν τε βασιλικὴν καὶ δικαστικὴν, ὀρθῶς ἀγορεύων Ἡσίοδος καὶ τὰς Μούσας ἀμειβόμενος δικαίως, παρ' ὧν καὶ τὸ δύνασθαι περὶ τούτων λέγειν παρειληφὼς ἦν. οὐκοῦν οἱ μὲν ἐχέφρονες περὶ τούτων λέγουσι τὰ δέοντα, οἱ δὲ βασιλεῖς λέγειν εἰδότες εἰσὶν ἐχέφρονες, οὐ μόνον ἵν' αὐτοὶ τὰ δέοντα πράττωσιν, ἀλλ' ἵνα καὶ ἑτέρους παρασκευάζωσιν. ἔστιν ἄρα ῥητορικῆς ἔργον καὶ φρονεῖν ὀρθῶς καὶ μὴ μόνον αὐτὸν ἃ δεῖ πράττοντα, ἀλλὰ καὶ ἑτέρους πείθοντα ἃ δεῖ πράττειν παρέχεσθαι, καὶ ὅλως εἶναι βασιλικόν. οὐκ* (167) *ἀποστατεῖ δὲ οὐδὲ ἡ παροιμία τούτων ἡ λέγουσα οἷος ὁ τρόπος, τοιοῦτον εἶναι καὶ τὸν λόγον· καὶ πάλιν τὸ ἕτερον ὡσαύτως. οὕτω καὶ τοῖς παρ' ἡμῶν λόγοις, μᾶλλον δὲ οἷς αὐτὸς ὑποτίθησιν ὁ λόγος, καὶ τῇ παρὰ τῶν πραγμάτων μαρτυρίᾳ καὶ τῇ παρὰ τῶν ἐντιμοτάτων ποιητῶν καὶ τῇ τῶν παροιμιῶν πίστει παρ' ἡμῖν τἀληθές ἐστιν.*

*Εἰ δὲ δεῖ καὶ μῦθον λέγειν, δέδοικα μὲν ἐγὼ μὴ καὶ ταῖς γραυσὶν ἡμᾶς ἐξούλης ὀφλεῖν ἐπισκώπτων φῇ τις ἀνὴρ κωμικός. ἐρῶ δὲ οὐ μῦθον ἄλλως αὐτὸν εἰς αὐτὸν τελευτῶντα, ἀλλὰ καὶ ἐνταῦθα ἡ παρὰ τῶν πραγμάτων προσέσται* 100 *πίστις, ἵν' ὡς ἀληθῶς καὶ τὴν τοῦ Ἀμφίονος ῥῆσιν ἀνταποδῶ καὶ τὸν Ζῆθον ἀναμνησθῶμεν εἰπεῖν, εἰ μὴ κατὰ*

---

Reisk. 8 *ὡς οὐχ ὑπ' ἀνοίας*] *ὡς ὑπ' εὐνοίας* E. 9 Ante *τιθεὶς* videtur *φαίνεται* deesse. Reisk. 11 *οἱ μὲν*] *εἰ οἱ μὲν* LMN. *ἐχέφρονες*] *ἐχέφρενες* L. 12 *ἵν'*] *ἵνα* ΘLN. 13 *αὐτὸν* LN. Vulgo *αὐτὸν*. 14 *οὐδὲ* om. ELMN. 15 *τὸ ἕτερον ὡσαύτως*] Scilicet *οἷος ὁ λόγος, τοιοῦτος καὶ ὁ τρόπος.* Reisk. Illa ipsa verba addit E. 19 *ὀφλεῖν*] Scribebatur *ὄφλειν.* *αὐτὸν εἰς αὐτὸν τελευτῶντα*] Quae nullum alium praeter se auctorem fundumque habet. Reisk. *αὐτὸν*] *αὐτὸν* Θ.

100, 1 *ἀμφίονος* LN. Scribebatur *Ἀμφίωνος.* *Ἀμφίονος ῥῆσιν*] Plato Gorg. p. 506 b. *καὶ αὐτὸς ἡδέως μὲν ἂν Καλλικλεῖ τούτῳ ἔτι διελεγόμην, ἕως αὐτῷ τὴν τοῦ Ἀμφίονος ἀπέδωκα ῥῆσιν ἀντὶ τῆς τοῦ Ζήθου.* Conf. Valckenar. Diatrib. Eurip. p. 69. Locus hic perobscurus nec facile sic declarandus ut tenebrarum nihil supersit. Conabor tamen ei tantum lucis affundere quantum penes me est e Canteri Nov. Lect. VII. 27. haustum. Zetho apud Euripidem

τὸν Εὐριπίδην εἰς ἀμφοτέρους ποιήσει τοὺς λόγους, ἀλλὰ κατ' αὐτοὺς ἐκείνους διειλόμεθα. νεωστὶ γὰρ τῶν ἀνθρώπων γεγονότων καὶ τῶν ἄλλων ζώων θόρυβος πολὺς ἦν κατὰ τὴν γῆν καὶ ταραχή. οὔτε γὰρ αὐτοὶ σφισιν εἶχον ὅ τι χρήσονται, οὐδὲ γὰρ ἦν οὐδὲν τὸ συνάγον, ἀλλ' οἱ μείζους τοὺς ἐλάττους ἦγον, οὔτε τοῖς ἄλλοις ζώοις εἶχον (168) ἀνταρκεῖν· πᾶσι γὰρ πάντων ἀπελείποντο ἄλλοτε ἄλλων, τάχει μὲν τῶν πτηνῶν ἁπάντων — ὅπερ οὖν Ὅμηρος ἔφη τοὺς Πυγμαίους πάσχειν ὑπὸ τῶν γεράνων, πᾶσι τοῖς τότε ὑπὸ πάντων συνέβαινε τῶν ἀλκίμων ὀρνίθων — κατ' ἰσχὺν δ' αὖ πόρρω καὶ τῶν λεόντων καὶ τῶν κάπρων καὶ πολλῶν ἄλλων ἦσαν· ὥστ' ἀπώλλυντο σιγῇ. καὶ μὴν τῇ γε κατασκευῇ τοῦ σώματος οὐ μόνον τῶν προβάτων, ἀλλὰ καὶ τῶν κοχλιῶν ἀπελείποντο, οὐδεὶς αὐτῶν ὑπάρχων αὐτάρκης. φθειρομένου δὲ οὕτω τοῦ γένους καὶ κατὰ μικρὸν ὑπορρέοντος κατιδὼν ὁ Προμηθεὺς ἀεί πως ὢν φιλάνθρωπος ἀνέρχεται πρεσβευτὴς ὑπὲρ τῶν ἀνθρώπων, οὐχ ὑπὸ τῶν ἀνθρώπων πεμφθείς, οὐδὲ γὰρ πρέσβεις

---

contra litterarum studia disputanti similem facit Aristides Platonem rhetoricae obtrectantum. Amphionis contra, pro litteris pugnantis, personam hic induit ipse Aristides rhetoricam defendens. Adhuc quidem, ait, Zethi sermonem, h. e. Platonis, attuli. nunc tempus admonet, ut Amphionis quoque responsionem ex eadem Euripidis fabula referam. καὶ πρὸς τὸν Ζῆθον ἀναμνησθῶμεν (sic videtur legendum esse) et nos velim meminisse Amphionem adversus Zethum disputare, si non ea utimur ratione qua Euripides usus est, ut uni utriusque personam in dicendo imponamus, sed, ut ipsi fratres duo diversi sunt, sic quoque disputationem cuique suam attribuimus. Itaque versu 2. εἰς legendum pro εἰς. Haec pauca neque omnino sufficientia ad h. l. habemus. Quia fabula ipsa Euripidis periit, tantum per transennam et nebulam sententiam huius loci e Platone repetiti intelligimus. Reisk. 2 εἰς Soph. et Reiskius. Vulgo εἰς. ποιήσει NS. Legebatur ποιήσῃ. ἀλλὰ κατ' αὐτοὺς] ἀλλὰ καὶ κατ' αὐτοὺς Soph. ἀλλὰ καὶ αὐτοὺς E. ἀλλὰ κατ' αὐτὸν ἐφ' αὐτὸν M. 4 χρήσονται] χρήσωνται M. 6 ἄλλοτε] ἄλλῳ τε L. Ὅμηρος] Iliad. γ, 6. 7 ὑπὸ τῶν γεράνων πάσχειν, τοῦτο πᾶσι M. ὑπὸ πάντων συνέβαινε] συνέβαινεν (συνέβαινε N) ὑπὸ πάντων LN. 9 ἀπώλλυντο N. ἀπόλλυντο Θ Iunt. ἀπόλυντο Iebb. 10 προβάτων] κοράκων (sic apud Iebbium) M. ἀπελείποντο] ὑπελίποντο N. αὐτῶν] Malim αὐτῷ. nemo sibimet ipse solus sufficiebat. Reisk. 13 οὐδὲ γὰρ] οὐ

πέμπειν ἦν πω τότ᾽ εἰδέναι, ἀλλ᾽ αὐτὸς ἀφ᾽ ἑαυτοῦ. ὁ δὲ Ζεὺς τοῦ τε Προμηθέως ἀγασθεὶς δίκαια λέγοντος καὶ ἅμα καθ᾽ ἑαυτὸν εἰληφὼς λογισμὸν τοῦ πράγματος, τῶν αὑτοῦ παίδων Ἑρμῆν κελεύει ῥητορικὴν ἔχοντα ἐλθεῖν εἰς ἀνθρώπους. ὁ μὲν οὖν Προμηθεὺς καθ᾽ ἕκαστον ἅπασι τάς τε αἰσθήσεις καὶ τἆλλα μέλη τοῦ σώματος ἦν συμ- (169) πεπλακὼς πρότερον, τὸν δὲ Ἑρμῆν οὐχ οὕτως ἐκέλευσεν ὥσπερ θεωρικοῦ διάδοσιν διελεῖν, ἵνα πάντες ῥητορικῆς ἐφεξῆς μετέχοιεν, ὥσπερ ὀφθαλμῶν καὶ χειρῶν καὶ ποδῶν, ἀλλ᾽ ἐπιλεξάμενον τοὺς ἀρίστους, καὶ γενναιοτάτους καὶ
101 τὰς φύσεις ἐρρωμενεστάτους, τούτοις ἐγχειρίσαι τὸ δῶρον, ἵν᾽ ὁμοῦ σφᾶς τε αὐτοὺς καὶ τοὺς ἄλλους σώζειν ἔχοιεν. ἀφικομένης δὲ ῥητορικῆς εἰς ἀνθρώπους οὕτως ἐκ θεῶν ἠδυνήθησαν μὲν οἱ ἄνθρωποι τὴν μετὰ τῶν θηρίων δίαιταν χαλεπὴν ἐκφυγεῖν, ἐπαύσαντο δὲ ἐχθροὶ πάντες ὄντες ἀλλήλοις ἐν κύκλῳ, κοινωνίας δ᾽ εὗρον ἀρχήν. καταβάντες δὲ ἐκ τῶν ὀρῶν ἄλλοι κατ᾽ ἄλλα μέρη τῆς οἰκουμένης ἐπλησίασαν, τό γε πρῶτον ὕπαιθροι, μετὰ δὲ τοῦτο ἤδη λόγου νικήσαντος πόλιν τε κατεσκευάσαντο καὶ διεκρίθησαν οὐχ ὥσπερ πρότερον ὡς ἔτυχεν, ἀλλ᾽ εἴς τε συντάξεις κοινωνιῶν καὶ τοὺς πόλεων ἡγεμόνας νόμους ἔθεντο καὶ

---

γὰρ L. οὐδὲ γὰρ — τότε γ᾽ εἰδέναι] Nemo enim, tum quidem temporis adhuc, poterat scire modum mittendorum legatorum. homines enim tunc adhuc ratione carebant. Reisk. πω τότ᾽ L. πω τότε MN. Legebatur πω τότε γ᾽. πώποτ᾽ E. ἀφ᾽ ἑαυτοῦ] ἐν ὑφ᾽ ἑαυτῶν L. ὑφ᾽ ἑαυτοῦ N. 15 αὑτοῦ] αὐτοῦ Θ. ἔχοντα ἐλθεῖν LN Iebb. ἐλθεῖν ἔχοντα Θ Iunt. 16 καθ᾽ ἕκαστον] οὐ καθ᾽ ἕμαστον (sic) N. καθάπερ ἐπί σοι M. τάς τε αἰσθήσεις καὶ] ὥσπερ τάς τε αἰσθήσεις διαδοὺς καὶ LN. 17 συμπεπλακὼς πρότερον om. L, qui proxima τὸν δὲ ἑρμῆν (sic) ab rec. m. inter versus scripta habet. συμπεπλακὼς — Ἑρμῆν om. MN. ἐκέλευσεν] ἐκέλευσεν αὐτὴν LN. 18 μετέχοιεν] ἔχοιεν L. κατέχοιεν N. καὶ χειρῶν καὶ ποδῶν] ἢ χειρῶν ἢ ποδῶν Soph. 19 ἐπιλεξάμενον] ἐπιλεξάμενος M.

101, 1 ἵν᾽] ἵνα ΘN. 2 ἠδυνήθησαν μὲν LN. Scribebatur ἐδυνήθησαν μὲν. μὲν ἠδυνήθεισαν Θ. ἠδυνήθησαν etiam supra dedi p. 84, 14. pro vulgato ἐδυνήθησαν. οἱ ἄνθρωποι LN. Aberat οἱ. 3 ὄντες ELMN Iebb. ὄντα Iunt. om. Θ. 5 τό γε] τότε M. τὸ μὲν πρῶτον, et πόλεις. nam paulo ante dixerat ἄλλοι κατ᾽ ἄλλα μέρη τῆς οἰκουμένης. ergo non unam urbem, sed plures condi-

ἄρχοντας καὶ πολιτείαν ἐνόμισαν, καὶ θεοῖς χαριστήρια ἀνήγαγον, πρώτας ἀπαρχὰς ποιησάμενοι τὰς ἀπὸ τῶν λόγων, αἷς ἔτι καὶ νῦν χαίρειν μάλιστα τοὺς θεούς. λόγος (170 αἱρεῖ, ὅτι καὶ γνωρίσαι πρῶτον αὐτοῖς τοὺς θεοὺς ὑπῆρξεν ἐντεῦθεν. οὕτως ἄνθρωπος ἤρθη μέγας ἐξ ἀσθενοῦς καὶ σαθροῦ τοῦ κατ᾽ ἀρχάς, καὶ πρόσθεν καταφρονούμενος ὡς οὐδὲν πρᾶγμα κύριός ἐστιν ἐξ ἐκείνου τοῖς ἐν τῇ γῇ, τοῦτο ὅτι βούλεται χρῆσθαι, πρόβλημα ποιησάμενος ἀντ᾽ ἄλλου φυλακτηρίου τὸν λόγον. καὶ ὁ μὲν μῦθος ἡμῖν ταύτην ἐχέτω τὴν τελευτήν, οἶμαι κεφαλὴν οὐδὲν ἄτιμον εἰληφώς. ὅτι δ᾽ οὐκ ἄλλως μῦθος ταῦτα οὐδ᾽ ὄναρ, ἀλλ᾽ ὕπαρ, καὶ ὁ τῶν πραγμάτων αὐτῶν ἐστι λόγος δῆλον ἐξ αὐτῶν. οὐκοῦν οὐ μόνον ἐξ ἀρχῆς ῥητορικῆς δύναμις διώρισε ταῦτα καὶ κατέστησεν, ἀλλὰ καὶ τὰς ἐκ πλείστου τῶν πόλεων οἰκουμένας ἔτι καὶ νῦν ῥητορικὴ συνέχει τε καὶ κοσμεῖ, πρὸς τοὺς παρόντας ἀεὶ κόσμους ζητοῦσα τὸ πρόσφορον. ὥσπερ γὰρ ἔφην ἀρτίως, ἡ μὲν νομοθετικὴ θεῖσα τοὺς νόμους εὐθὺς ἀπήλλακται, καὶ ἡ δικαστικὴ μετὰ τὴν ψῆφον οὐδὲν πολυπραγμονεῖ, ἡ δὲ ὥσπερ τις ἄγρυπνος φρουρὸς οὐ καταλύει τὴν φυλακήν, ἀλλ᾽ ἐκείναις τε συνῆν ἐξ ἀρχῆς ἡγουμένη τε καὶ προδιδάσκουσα (171)
καὶ καθ᾽ αὑτὴν αὖθις ἕκαστα ἐπέρχεται, εἰσηγουμένη,
102 πρεσβεύουσα, ἀεὶ τὸ παρὸν συντιθεμένη· καὶ οὐδ᾽ ἂν πάντα τἀδικήματα καὶ ἁμαρτήματα ἐξ ἀνθρώπων ἀπέλθῃ, οὐδὲν μᾶλλόν ἐστιν ἄχρηστον, ὥσπερ νόμων οὐδὲ δικαστῶν οὐδὲν ἄν που δέοι τούτου συμβάντος· ἀλλὰ ἕως ἂν

---

derunt. Reisk. πόλιν] πόλεις Soph. 7 ἄρχοντας] ἀρχὰς ab rec. m. M. 8 Legebatur ἀπαρχὰς αὐτοῖς. αὐτοῖς om. LMN. 9 τοὺς θεοὺς] τοὺς ab rec. m. habet L: primum fuit καί. 12 μὲν μῦθος LN. Legebatur μῦθος μέν. Fortasse ἐχέτω τὴν τελευτήν, οὐδ᾽ αὐτὸς φαύλην, οἶμαι, κεφαλήν. Reisk. 13 οὐδὲν LN. Legebatur οὐδέ. ἄλλως] ἄλλος a pr. m. L. 14 δύναμις] ἡ δύναμις M. 15 ἀλλὰ καί] καὶ om. N. ἔτι καὶ νῦν LMN Iebb. ἔτι νῦν Θ Iunt. 16 παρόντας om. N teste Iebbio. 19 ἐπέρχεται] ὑπέρχεται N.

102, 1 συντιθεμένη] εὖ τιθεμένη E et Canterus. τἀδικήματα Θ Iunt. τὰ ἀδικήματα LN Iebb. καὶ ἁμαρτήματα om. MN. οὐδὲ δικαστῶν] καὶ δικαστῶν M. 3 δέοι] Legebatur δέῃ.

Digitized by Google

ἢ τὸ χρῆσθαι καὶ καθ᾽ αὐτοὺς ἀλλήλοις καὶ τοῖς ἄλλοις, τὰ ἔργα τῇ ῥητορικῇ σώζεται. οὐ μόνον δὲ τῶν ἄλλων ζώων τῇ τοῦ λόγου φύσει προέχοντες τοσοῦτον ἐσμὲν πρότεροι, ἀλλ᾽ οὐδὲ τῶν ἄλλων ζώων οὐδὲ τῶν ὁμοφύλων τοσοῦτον διαφέρει παρ᾽ οὐδὲν τῶν ἰδίων ὡς ἄνθρωπος ἀνθρώπου παρὰ τὸν λόγον. οὐ τοίνυν οὐδὲ ἐν ἀνθρώποις αἵ γε ἄλλαι δυνάμεις τοσοῦτον παραλλάττουσιν ἢ διαρκοῦσιν. ὁ μὲν γὰρ χρήμασι νικῶν ἕνα καὶ δύο ἴσως νικᾷ, τριῶν δὲ ὁμοῦ καὶ τεττάρων ἀναμιξάντων τὰς οὐσίας οὐκ ἂν εἴη πλουσιώτερος· εἰ δὲ καὶ τεττάρων, ἀλλ᾽ οὐ δὶς τοσούτων· εἰ δέ τοι καὶ πολλαπλασίων, ἀλλ᾽ οὐ πάντων τῶν ἐν τῇ πόλει· εἰ δὲ καὶ πάντων τῶν ἐν τῇ ἑαυτοῦ, ἀλλ᾽ οὐ δή που καὶ τῶν ἀστυγειτόνων· εἰ δὲ κἀκείνων, (172) ἀλλ᾽ οὐκ ἀμφοῖν γε ὁμοῦ, πολὺ δὲ οἶμαι καὶ μᾶλλον οὐ τῶν κατὰ πᾶσάν γε ὁμοῦ τὴν Ἑλλάδα, παντάπασι δὲ ἀμήχανον τῶν κατὰ πᾶσαν τὴν ἤπειρον. ὁ δὲ δὴ λόγῳ νικῶν ὁμοίως καθ᾽ ἕκαστον καὶ πάντων ἀθροισθέντων ἐστὶν ἔμπροσθεν, καὶ ὅσον κρατεῖ, μένει διηνεκὲς αὐτῷ, καὶ οὐκ ἀπόλλυσιν. οὐ γὰρ δὴ συνεισενεγκεῖν γε ἔστιν ὥσπερ χρήματα, οὐδὲ ἐράνῳ τὸ ἔλλειμμα ἀναπληρῶσαι. καὶ ὁ μέν γε κατ᾽ ἰσχὺν προφέρων εἰ καὶ ἑνὸς εἴη κρείττων, ὑπὸ δυοῖν γ᾽ ἂν αὐτὸν κατείργεσθαί φησι καὶ Ἀρχίλοχος

---

4 τοῖς ἄλλοις] Subaudi πράγμασιν, donec homines et cum hominibus sui similibus et cum rebus aliis, quarum quotidianus usus est, versabuntur. Reisk. 5 πρότεροι] πρότερον N. ἀλλ᾽ οὐδὲ τῶν ἄλλων ζώων οὐδὲν οὐδενὸς τῶν ὁμοφύλων. nullum est animal, quod sui generis animalium ullum aliquod ulla quapiam virtute suo generi propria tantum superet, quantum homo hominem ratione superat. Reisk. 6 τοσοῦτον] οὐδὲν τοσοῦτον Canterus. ὡς ἄνθρωπος LMN. Legebatur ὅσον ἄνθρωπος. 7 οὐ τοίνυν οὐδὲ — πόλει] ὅρα τὸ τῆς κλίμακος τελειώτατον. in margine N annotatum. ἢ διαρκοῦσιν] οὐδὲ ἀρκοῦσιν LMN. ἢ διαρκοῦσιν] Aut ad aeque multos usus pertinent, et ad aeque longum tempus perdurant. Reisk. 9 ἀλλ᾽] ἀρ᾽ vitium typotheticum Steph. Iebb. οὐ δὶς Θ lunt. οὐδεὶς EM Steph. Iebb. οὐ δεῖ L. οὐ δὲ N. τοσούτων] τοσοῦτον ΘE. 10 τῶν ἐν τῇ ἑαυτοῦ] τῶν om. N. 12 οὐ τῶν — ἀμήχανον τῶν om. M. 13 καθ᾽ ἕκαστον] καὶ καθ᾽ ἕκαστον N. καθεκάστων Reiskius. 15 συνεισενεγκεῖν] συνενεγκεῖν ΘLN. 17 κατείργεσθαι] Num κατειργάσθαι; a κατεργάζεσθαι, conficere, ut

Digitized by Google

καὶ ἡ παροιμία. εἰ δ' οὖν καὶ ἀμφοτέρων ὑπερέχοι, ῥᾴδιον εὑρεῖν ὁπόσοι κρείττους περιφανῶς γένοιντο. „Συμφερτὴ δ' ἀρετὴ πέλει ἀνδρῶν“ ἔφη Ὅμηρος, τὴν κατ' ἰσχὺν ὀνομάζων. ἀλλ' οὐχὶ λόγους γ' ἂν ἀμείνους σύμ-
103 παντες παράσχοιντο ἑνὸς τοῦ καθ' ἕκαστον ὑπερφέροντος, οὐδὲ συμφερτῇ ἀρετῇ τοῦτο κρίνεται, ἀλλ' εἷς καὶ πολλοὶ τὸ ἴσον δύνανται, τὸ ἐπιβάλλον τῆς ἥττης σώζων ἕκαστος ὥσπερ ἐν κάλλει. ἕως γὰρ ἂν μὴ παρ' αὐτοῦ τὸ κρεῖττον παρέλθῃ, ἥ γε κοινωνία καὶ τὸ πλῆθος οὐδενὸς ἄξιον, (173)
οὐδ' ἂν τὴν Δαρείου στρατιὰν ἄγῃς. ᾧ καὶ μεγίστῳ δείκνυται ὅση τις ἡ τῷ λόγῳ πρὸς τὸ καλὸν συγγένεια, καὶ ὅτι τοῦτ' ἐν ψυχῇ λόγοι, ὅπερ κάλλος ἐν σώματι. καίτοι καὶ περὶ τούτου τοῦ μέρους ἔχοι τις ἂν εἰπεῖν ὅτι κάλλος μὲν χρόνος ἐξελέγχει ῥᾳδίως, ἀμέλει καὶ τὸ τῆς ὥρας ὄνομα αὐτῷ συγκεκλήρωται· οἱ δὲ λόγοι τῷ χρόνῳ συμπροβαίνουσι, καὶ τούς γε βελτίστους αὐτῶν οὐδὲν οὕτως ὡς χρόνος δείκνυσιν, ὥσπερ τὸν δίκαιον ἄνδρα ἔφη Σοφοκλῆς μόνῳ τῷ χρόνῳ φαίνεσθαι· τὸ τῆς προσθήκης ἀφαιρῶ,

---

bestiarius bestiam conficit. Potest tamen vulgata facile ferri. Reisk. ὑπερέχοι] ὑπερέχει LN. ὑπερέχοι superscriptum in L. 18 πέλει ἀνδρῶν om. M. 19 Ὅμηρος] Iliad. ν, 237. γ' ἂν] τ' ἂν ΘLN.

103, 1 καθ' ἕκαστον] καθ' ἕκαστα LN. ὑπερφέροντος] Subaudi τοῖς λόγοις. Reisk. συμφερτῇ ἀρετῇ Steph. Iebb. et correcti ΘL. συμφερτῆ ἀρετὴ Iunt. συμφερτὴ ἀρετὴ LN. 2 τῆς ἥττης] τῆς γῆς et τῆς ἥττης habet E. ὥσπερ ἐν κάλλει] In sapientiae iudicio, ut in formae, tantum quisque concedens alteri, quantum sibi sortito obtigit ut minus posset. profecto etiam τῆς ὥρας vocabulum ipsi (pulchritudini) est attributum velut in sortem et peculium. est autem ὥρα nomen omnis maturitatis, fugacis et caducae, sive ea maturitas in tempore est, sive in corpore, sive in fructibus, quos terra parit. ut si maioribus nostris placuisset idem nomen *Wetter* et cum ea re, quam nunc sic appellamus, et cum formositate communicare. Reisk. 5 ψυχῇ] τῇ ψυχῇ M. ὅπερ] ὅτι περ Θ. 6 τὸ τῆς LMN Iebb. τῷ τῆς Iunt. 8 Σοφοκλῆς] In Oedipo rege v. 613. χρόνος δίκαιον ἄνδρα δείκνυσιν μόνος. 9 τὸ τῆς] τὸ γοῦν τῆς LN. ἐγὼ δὲ τοῦτο τὸ τῆς M. καὶ τὸ τῆς Canterus. Addit Coislinianus ἐγὼ δὲ, quod absit, adsit parum refert. omitto, quod illis superioribus mantissae loco addi potest, neque commemoro hoc, quod —. Reisk. 10 μόνῳ τούτῳ] μόνων τούτων. redit enim ad τοὺς λόγους. et e versione Canteri colligo

Digitized by Google

ὅτι οὐ μόνον τῷ χρόνῳ οἵ γε δὴ λόγοι, ἀλλὰ καὶ παρα-
χρῆμα ἅπτεσθαι πεφύκασι, καὶ μόνων τούτων τὴν ὥραν
ἀθάνατον εἶναι συμβέβηκε. καὶ ὁ μὲν χρήματα κεκτημένος
οὓς ἂν εὖ ποιεῖν οἴηται δεῖν, ἀφαιρῶν ὧν ἔχει ποιεῖ, ὥστ'
ἐλάττω τὰ λοιπὰ καθίστησι τοῖς προειμένοις· εἰ δὲ δὴ
καὶ συνεχῶς ἐμμείνει τῇ τοιαύτῃ φιλονεικίᾳ, ταχὺ δή που
τοῦ ταῦτα ἐπικουρήσαντος αὐτῷ προσδεήσεται· ἡ δὲ τῶν
λόγων κτῆσις καὶ δύναμις παρὰ τὴν χρῆσιν οὐκ ἀναλίσκε-
ται, ἀλλ' εἰ οἷόν τε εἰπεῖν, καὶ μάλιστα τούτῳ αὔξεσθαι (174)
πέφυκε. τὸ δὲ αἴτιον ὅτι χρήματα μὲν κάτωθεν λαμβάνο-
μεν ἐκ τῶν μετάλλων καὶ λιθοτομιῶν καὶ παρὰ σκυθρω-
πῶν τῶν ἔργων, λόγοι δὲ ἡμῖν παρὰ τῶν οὐδὲν ἀπολλύν-
των δι' ὧν ἡμᾶς εὖ ποιοῦσιν ἥκουσι. τῆς οὖν θείας φύ-
σεως εἰκότως μετέχουσι μόνοι. καὶ μὴν νόσους μὲν εἴ τις
ἐξ ἀνθρώπων ἀνέλοι τῷ λόγῳ, μηδὲν δεῖν ἰατρικῆς ἔστ'
εἰπεῖν, ὥσπερ μηδὲν δεῖν κυβερνήτου μὴ πλέοντι· ῥητο-
104 ρικῇ δὲ οὐ μόνον εἰ καὶ πάντα τὰ τῶν ἰδιωτῶν ἁμαρτή-
ματα, ἀλλ' εἰ καὶ πόλεμοι πάντες ἐξ ἀνθρώπων ἀπέλθοιεν,
οὐκ ἄπορα τὰ πράγματα, οὐδὲ πέπτωκεν αὐτῆς ἡ δύναμις
ὥσπερ ῥίζης ὑφαιρεθείσης. ἔτι γὰρ μᾶλλον αἱ πανηγύρεις
καὶ τὰ τῆς εἰρήνης χαρίεντα τοῦ παρ' αὐτῆς κόσμου
προσδεῖται, καὶ νὴ Δία αἵ τε θεῶν τιμαὶ καὶ ἡρώων καὶ
ὅσαι τοῖς ἀγαθοῖς τῶν ἀνδρῶν ὀφείλονται δικαίως εὐφη-
μίαι. πάντα γὰρ ταῦτα ἐπέρχεται καὶ κοσμεῖ καὶ πᾶσιν

---

eum quoque sic legisse. Reisk. Vertit *solasque* (orationes) *pulcritudinem obtinere immortalem*. Recepi Reiskii emendationem vulgati μόνῳ τούτῳ. 11 συμβέβηκεν L. 12 ποιεῖ] ποιεῖν E. ὥστ'] ὥστε L. καθίστησιν N. προειμένοις] In L primum fuisse videtur προκειμένοις, nunc correctum προειμένοις. προειρημένοις MN. τοῖς προειμένοις recte habet. per largitiones suas, per ea quae e manibus suis emisit. Reisk. συνεχῶς] συνέχων N et a pr. m. L. ἐμμείναι] Scribebatur ἐμμεῖναι. ἐμμεῖναι χρὴ Canterus. 13 φιλονεικίᾳ potest defendi et explicari, contentio cum amico inope in conferendis beneficiis, uter plura dare an accipere possit. aptius tamen esset φιλοτιμίᾳ. Reisk. ταῦτα] ταὐτὰ, *eodem genere*. Reisk. ἐπικουρήσοντος] ἐπικουρήσαντος N. 15 πέφυκεν L. 16 καὶ τῶν λιθοτομιῶν E. 19 μηδὲν δεῖν] μηδὲ δεῖν. subaudi a communi μηδέν. Reisk. ῥητορικῇ] ῥητορικὴ L.

104, 1 τὰ τῶν] τὰ om. LN. 2 αὐτῆς E et Canterus. Le-

αὐτῇ πρέπουσα ὁμοίως φαίνεται. εἰ δὲ δὴ καὶ κοινωνήσειέ τινι τῶν ἄλλων τεχνῶν καὶ δυνάμεων, Ἡράκλεις, ὡς οὐδ' εἰπεῖν ἔστιν ὡς ἐκφαίνει τὸ παρ' αὐτῆς. οἷον ἰατρὸς εἰ προσλάβοι ῥητορικήν, τῆς ἰατρικῆς αὐτῆς μάλιστα οὕτω (175) τὴν χάριν εἴσεται. εἰ γὰρ προσέλθοι τὸ δύνασθαι πείθειν τοῖς ἄλλοις τοῖς ὑπάρχουσιν αὐτῷ κατὰ τὴν τέχνην, τί κωλύει προθεραπεύειν τὰ πολλὰ τῇ ῥητορικῇ, πρὶν τῶν τῆς ἰατρικῆς ὀργάνων ἅψασθαι, τῷ σοφωτάτῳ τῶν φαρμάκων, ἔφη τις, χρώμενον; μετὰ τοίνυν τῆς στρατηγικῆς γενομένη πολλῷ μᾶλλον σώζει αὐτὰ τὰ τῆς στρατηγικῆς πέφυκεν· ἃ δὴ καὶ Ὅμηρος πανταχοῦ σαφῶς δηλοῖ

Ὣς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου

καὶ

Ὣς ἔφαθ', οἱ δ' ἄρα μᾶλλον ἐπ' Ἀργείοισιν ὄρουσαν

καὶ

Τοῖσι δ' ἄφαρ πόλεμος γλυκίων γένετ' ἠὲ νέεσθαι
ἐν νηυσὶ γλαφυρῇσι φίλην ἐς πατρίδα γαῖαν.

τοιαῦτ' ἀεὶ τοῖς λόγοις προστίθησιν. ἐκφανέστατα δὲ αὐτὸ καὶ μόνον οὐχ ὑπὸ κήρυκος βεβαιοῖ, ποιήσας τὸν Ἀγαμέμνονα τῶν μὲν

ἀσπίσι καὶ κορύθεσσι καὶ ἔγχεσι πεφρικυίας

τὰς τάξεις παρεχομένων Αἰάντων ἅπαντας λαβεῖν τὸν θυμὸν εὐχόμενον

Τοῖος πᾶσιν θυμὸς ἐνὶ στήθεσσι γένοιτο·

τοῦ δὲ τὰ βέλτιστα συμβουλεύσαντος τῷ στρατοπέδῳ Νέστορος δέκα τοὺς πάντας συμβούλους μὴ χείρους λαβεῖν.

---

gebatur αὐτῷ. αὐτοῖς LN. 7 προσλάβοι] προσλάβει L. προλάβοι N. προσλάβοι καὶ M. 8 προσέλθοι] προσέλθῃ LN. τοῖς ἄλλοις] τοὺς ἄλλους E. 9 προθεραπεύειν ΘELM Soph. προσθεραπεύειν N. Legebatur θεραπεύειν. 11 ἢ αὐτὰ τὰ —. multo magis illa servat quam ipsa imperatoris militum munia. v. p. 105, 1 Reisk. Ὣς εἰπὼν] Iliad. ε, 470. 12 Ὣς ἔφαθ'] Iliad. ο, 726. ὄρουσαν] ὤρουσαν LMN. Τοῖσι δ' ἄφαρ] Iliad. β, 453. Hunc et sequentem versum om. M. 14 τοιαῦτ'] τοιαῦτα ΘLN. ἐκφανέστατα] ἐμφανέστατα M. αὐτὸ] αὐτῷ Θ. μόνον οὐχ] μόνον οὐ N. 15 ἀσπίσι] Iliad. η, 62. κορύθεσσι] κορύθεσι LN. 16 Τοῖος] Iliad. δ, 289. πᾶσιν] πᾶσι LN. στήθεσσι] στήθεσι LN. Post γένοιτο ELN addunt ἐποίησεν αὐτὸν εὐχόμενον ἕως (τὴν add. E) Τροίαν ἕλῃ. In M est ποιήσας

Τοιοῦτοι γάρ, ἔφη, δέκα μοι συμφράδμονες εἶεν (176)
Ἀχαιῶν·
τῷ κε τάχ' ἠμύσειε πόλις Πριάμοιο ἄνακτος
χερσὶν ὑφ' ἡμετέρῃσιν ἁλοῦσά τε περθομένη τε·

105 θεὶς τὴν ῥητορικὴν τῆς στρατηγικῆς τοσούτῳ κυριωτέραν, ὅσῳ δέκα ἄνδρες δέκα μυριάδων ἐλάττους ἀριθμῷ· εἰκότως. οὐ γὰρ πόρρωθεν εἰλήφει τὸν ἔλεγχον, ἀλλ' εἰ τότε ὡρμημένους Ἀχαιοὺς ἀνίστασθαι καὶ ὑφαιροῦντας ἤδη τὰ ἔρματα τῶν νεῶν καὶ τὴν θάλατταν ὑπερβοῶντας μὴ κατέσχον οἱ δύο οὗτοι ῥήτορες, τί πλέον τῶν τακτικῶν ἦν, τί δὲ ἀσπίδων καὶ δοράτων καὶ νεῶν πλήθους καὶ χρημάτων καὶ σκευῶν; ἀλλ' ὡς ἀληθῶς ὅπερ οἱ σκευοφόροι τοῖς ὁπλίταις εἰσί, τοῦτ' ἐφάνη τότε πᾶσα οὖσα παρασκευὴ πρὸς τὴν ἐπιστατοῦσαν ἅπασι τούτοις ῥητορικήν. κυβερνήτης δ' αὖ προσλαβὼν μόριον ταύτης τῆς δυνάμεως, εἰδὼς καὶ φοβεῖν ἡνίκα καιρὸς καὶ πάλιν θαρρεῖν παρασκευάζειν, (177) πόσῳ προφέρει πρὸς αὐτὰ τὰ τῆς κυβερνητικῆς πράγματα; οὐκοῦν ἰδίᾳ τε πανταχοῦ θαυμαστὴ καὶ οἷς ἂν προσγένηται ῥοπὴν τοσαύτην παρέχεται; φημὶ δ' ἔγωγε καὶ κάλλος τε καὶ ῥητορικὴν συνελθόντα τῇ ῥητορικῇ κριθήσεσθαι, καὶ οὐδένα τὸν τοιοῦτον ἡδέως ὄψεσθαι μᾶλλον ἢ ἡδέως ἀκούσεσθαι λέγοντος. ἔοικε δὲ καὶ τοῦτο Ὅμηρος μαρτυρεῖν

---

αὐτὸν εὐχόμενον ἵνα τροίαν ἕλοι. 18 Τοιοῦτοι] Iliad. β, 372. 19 περθομένη] πορθομένη M. πορθουμένη LN.

105, 1 τοσούτῳ] τοσοῦτον M. ἀριθμῷ] ἀριθμοὺς M. 4 τί δὲ] τί δαὶ N. νεῶν πλήθους LMN. Legebatur νεῶν καὶ πλήθους. 5 ὅπερ] ὥσπερ LMN. ὅπερ correctus L. 6 τοῦτ'] τοῦτο Θ. τότε om. M. 9 τε πανταχοῦ ΘΕ. Legebatur τε καὶ πανταχοῦ. Post θαυμαστὴ deest ᾗ vel εἰ. Reisk.

10 κάλλος τε καὶ ΘΕLN. Aberat τε. κάλλος — ῥητορικὴν] Accusativi hi sunt loco genitivi consequentiae. ubi forma cum eloquentia copulata est, ibi eloquentiam esse punctum omne laturum. Reisk. 11 τὸν τοιοῦτον M. Legebatur τῶν τοιούτων. Recte dat codex Coislinianus τὸν τοιοῦτον. neminem fore, qui libentius talem, hominem puta formosum eundemque disertum, spectet, quam verba facientem audiat. Reisk. ἢ ἡδέως om. M. ἀκούσεσθαι] ἀκούεσθαι LMN. In E utrumque est. 12 λέγοντος] μέλλοντος LMN. λέγοντος correctus L. Ὅμηρος] Iliad. γ, 224.

Digitized by Google

Οὐ τότε γ' ὧδ' Ὀδυσῆος ἀγασσάμεθ' εἶδος ἰδόντες, ὡς ἔφη, τὴν πυκνότητα τῶν νοημάτων καὶ τῶν ῥημάτων καὶ τῆς φωνῆς τὴν μεγαλοπρέπειαν, διοσημίᾳ παρεικάζων τὴν ῥητορείαν αὐτοῦ. μαρτυρεῖ δὲ καὶ ἐν οἷς ἀρτίως ἐλέγομεν

Ἄλλος μὲν γάρ τ' εἶδος ἀκιδνότερος πέλει ἀνήρ,
ἀλλὰ θεὸς μορφὴν ἔπεσι στέφει·

οὐκ ἀργῶς οὐδ' ἁπλῶς εἰπὼν τὸ στέφει, ἀλλ' ἐνδεικνύμενος ὅτι οὐ μόνον τὰ ἐλαττώματα ἀναπληροῖ, ἀλλὰ καὶ προσέτι νικᾶν ποιεῖ, ἐπειδή γε καὶ ὁ στέφανος νίκης ἐστὶ σύμβολον. τὸν οὖν αἰσχρὸν καλῶς δυνάμενον λέγειν ὅτι τοῦ καλλίστου, λέγειν δὲ ἀδυνάτου, πρότερον τίθησι, τὸν ἅμα καλὸν καὶ ῥήτορα εἰκότως καὶ ἀκολούθως φησὶ μᾶλ-
106 λον θαυμασθῆναι παρὰ τοὺς λόγους. Πίνδαρος δὲ τοσαύτην ὑπερβολὴν ἐποιήσατο ὥστε ἐν Διὸς γάμῳ καὶ τοὺς θεοὺς αὐτούς φησιν ἐρομένου τοῦ Διὸς εἴ του δέοιντο (178)
αἰτῆσαι ποιήσασθαί τινας αὐτῷ θεούς, οἵτινες τὰ μεγάλα ταῦτ' ἔργα καὶ πᾶσάν γε δὴ τὴν ἐκείνου κατασκευὴν κατακοσμήσουσι λόγοις καὶ μουσικῇ. καὶ ταῦτα οὐ ποιηταὶ μόνοι, ἀλλὰ καὶ πάντες ἄνθρωποι προσομολογοῦσιν· ὡς τὰ μὲν ἄλλα ἢ ψυχαγωγίαν ἢ χρείαν ὡς ἐπὶ πλεῖστον εἰπεῖν ἔχει, μόνον δὲ τοῦτο μάλιστά γε ἄμφω πληροῖ καὶ

---

τότε γ' ὧδ' Ὀδυσῆος ex Homero dedi. Legebatur τότ' Ὀδυσσῆος. τότ' ἐγὼ δ' ὀδυσσῆος E. 13 Fortasse distinguendum post νοημάτων, ut ipsi proprium sit πυκνότητα, sequens autem μεγαλοπρέπειαν commune cum ῥημάτων et φωνῆς. quamquam nihil impedit etiam verbis crebritatem, densitatem tribuere. Reisk. τῶν ῥημάτων] τῶν om. LN. In M est τῶν ῥημάτων καὶ νοημάτων. 14 διοσημίᾳ] διοσημείᾳ ΘΕΜΝ. διοσημίᾳ] Procellae grandine, nive et imbre mixtae. Reisk. 15 Ἄλλος] Odyss. θ, 169. ἀκιδνότερος] ἀκιδνότερα L. ἀλλὰ] ἄλλῳ δὲ LN. 16 στέφει] στέφῃ M. οὐκ ἀργὸν οὐδὲ ἁπλῶς ἀντὶ τοῦ κοσμεῖν εἰπὼν τὸ στέφει Reiskius. ἀργῶν typothetae errore Iebb., quod Reiskium movisse videtur ut ἀργὸν scriberet. 17 ἀλλὰ καὶ LN. Aberat καὶ. 19 τίθησι Θ. Vulgo τίθησιν. φησὶ μᾶλλον] μᾶλλον φησὶ M.

106, 1 Πίνδαρος] Fragm. 7. p. 562. ἐν Διὸς γάμῳ om. M. 2 αὐτῷ] Legebatur αὐτοῖς. αὐτῷ ELMN. αὐτῶν Θ et rec. m. L. 3 ταῦτ'] ταῦτα LN. γε δὴ] γε om. E. 4 λόγοις] λόγῳ M. μόνοι] μόνον M. 5 προσομολογοῦσιν] Vulgo προσομολογοῦσι. ὡς τὰ μὲν ἄλλα L. ὡς τὰ μὲν γὰρ ἄλλα N. τὰ μὲν οὖν ἄλλα Photius

Digitized by Google

μετὰ τῶν ὠφελειῶν τὴν χάριν θαυμαστὴν ἔχει, ὥστε καὶ ὅταν εἰς πολέμους ἀλλήλοις ἔλθωσιν ἄνθρωποι, τοὺς παρὰ τῶν αὐτοχείρων πρέσβεις ἀφικνουμένους δέχονται καὶ ἀποπέμπουσιν, ἐνθυμούμενοι τὸ τῶν ῥητόρων φῦλον, ὑπεξαιρούμενοι τὴν τοῦ λόγου φύσιν, αἰδούμενοι ὅτι ἐξ ἀρχῆς ἐπὶ σωτηρίᾳ καὶ κοινῇ χρείᾳ τοῦ γένους εἰσῆλθε. καὶ ἡ μὲν ἐν τοῖς ὅπλοις ἕξις ἄχρηστος ἐπ' εἰρήνης, ἡ δ' ἐν τοῖς λόγοις δύναμις ἐν τοῖς πολέμοις οὐκ ἄτιμος, ἀλλὰ καὶ πολίταις χρήσιμος καὶ πολεμίοις αἰδέσιμος, καὶ τῶν ὅπλων πολλάκις ἐν τῷ τῶν ὅπλων καιρῷ περιγέγνεται. δοκοῦσι δ' ἔμοιγε καὶ τὸν Ἑρμῆν οἱ ποιηταὶ τὸν τῆς σοφίας ταύτης ἡγεμόνα καὶ προστάτην τούτου χάριν τῷ κοινῷ τῶν θεῶν μόνον καλεῖν ὀνόματι. κοινῇ μὲν γὰρ ἅπαντας δωτῆρας (179)

---

p. 420 b, 26. 6 τοῦτο] τὸ LN. τοῦτο ἢ Reiskius. μόνον δὲ τὸ τῆς ῥητορικῆς μάλιστά γε ἄμφω πληροῖ Photius. 7 ἄνθρωποι] Vulgo ἄνθρωποι. 8 ἀποπέμπουσιν] οὐκ ἀποπέμπουσιν N. Sic distinguo et lego, ἐνθυμούμενοι τὸ τῶν ῥητόρων φῦλον ὑπεξαιρούμενον, τὴν τοῦ λόγου φύσιν αἰδούμενοι. secum recogitantes exemtum licentia nocendi genus oratorum esse, et reverentes initia sermonis, quippe qui repertus et a principio statim in vitam immissus est eo, quo eius ope nostrum genus conservaretur et necessitatibus suis potiretur. Sic nos olim. nunc probabilius est turbatum esse verborum ordinem, sic restituendum ἀφικνουμένους ὑπεξαιρούμενοι (scil. τῆς τοῦ κακοῦν ἐξουσίας, aut τῶν τοῦ πολέμου δεινῶν) δέχονται καὶ ἀποπέμπουσιν ἀθῴους, αἰδούμενοι τὸ τῶν ῥητόρων φῦλον καὶ ἐνθυμούμενοι τὴν τῶν λόγων φύσιν. eximentes (a belli molestiis) legatos ad se venientes et admittunt remittuntque illaesos, cum quod reverentur genus oratorum, tum quod recogitant secum naturam et ortum eloquentiae, scil. eam primitus ingressam esse in vitam, quo servaret genus humanum eique prodesset in commune. Reisk. ἐνθυμούμενοι τὸ χρήσιμον (φῦλον superscriptum in L) τῶν ῥητόρων καὶ τὸ φαῦλον ὑπεξαιρούμενοι LN. ἐνθυμούμενοι et αἰδούμενοι sedes suas mutare volebat Canterus. Quod ita probo ut scribendum existimem αἰδούμενοι τὸ τῶν ῥητόρων φῦλον, ὅτι ἐξ ἀρχῆς —. eiectis quae interpreti deberi videntur verbis. Vulgatam scripturam habuit Photius. φῦλον] φαῦλον M. 9 εἰσῆλθε] εἰσῆλθεν N. μὲν ἐν τοῖς LMN, Canterus, Iebb. ἐν om. Iunt. ἕξις] In L ab alia m. adscriptum ἡ μάθησις. 10 δύναμις καὶ ἐν τοῖς Reiskius. 12 περιγίγνεται] Scribebatur περιγίνεται. δ'] δὲ Θ. τὸν Ἑρμῆν] Vide Spanh. in Callimach. p. 179. Iebb. ἡγεμόνα in M abrasum. 14 δωτῆρας Steph. Iebb. δοτῆρα Iunt. θεῶν om. M. In L su-

ἐάων ὀνομάζουσιν, ἰδίᾳ δ' οὕτως μόνον τοῦτον· καὶ ἀκάκητά γε καὶ ἐριούνιον, ὅτι κακὸν μὲν οὐδὲν ἢ παρ' αὐτοῦ δωρεά, ἀγαθὰ δ' ἑξῆς ἅπαντα πορίζει τοῖς ἀνθρώποις, ἐν πολέμοις, ἐν εἰρήνῃ, ἐν γῇ, ἐν θαλάττῃ, ἐν δυσκολίαις, ἐν εὐφροσύναις, πανταχοῦ. δοκεῖν δ' ἔμοιγε καὶ τὸ τῶν δαιμόνων γένος, εἰ δεῖ Πλάτωνι πιστεύειν, διαγγέλλον τε τοῖς θεοῖς τὰ παρ' ἀνθρώπων καὶ ἀνθρώποις τὰ παρὰ θεῶν ταύτῃ κεχρῆσθαι φημί. ὥστε καὶ σύνδεσμον τὴν ῥητορικὴν τοῦ παντὸς ὀρθῶς ἂν καὶ κατὰ τοῦτο εἴποι τις.

107 μέγιστον δὲ καὶ τοῦτ' ἔστιν εἰπεῖν ὑπὲρ ταύτης τῆς δυνάμεως, ὅτι οὐδὲν ὁμοῦ τοῖς τε πολλοῖς οὕτω κοινόν ἐστι καὶ τοσοῦτον αὖ τὴν τῶν πολλῶν ἕξιν καὶ φύσιν ἐκπέφευγεν· ἀεὶ δὲ ὂν ὡς εἰπεῖν ἐν ἀνθρώποις χαλεπώτατα εὑρίσκεται τό γε παντελές. ὥσπερ γὰρ οἱ λέοντες καὶ ὅσα ἐντιμότερα τῶν ζώων σπανιώτερα τῶν ἄλλων ἐστὶ τῇ φύσει, οὕτω καὶ κατ' ἀνθρώπους οὐδὲν οὕτω σπάνιον ὅσον ἄξιον προσειπεῖν ῥήτορα· εἷς δὲ ἀγαπητῶς καὶ δεύτερος ὥσπερ ὁ Ἰνδικὸς ὄρνις ἐν Αἰγυπτίοις ἡλίου περιόδοις φύε- (180 ται. οἱ δὲ πολλοὶ μορίοις τισὶ τῆς τέχνης περιτυχόντες Ὁμήρου δέονται προσαγορεύοντος αὐτούς, ὥσπερ ἐκεῖνος

---

perscriptum ἀγαθῶν. δ'] δὲ LN. οὕτως ΘELN. Scribebatur οὕτω. ἀκάκητά γε] ἀκαμητάγε N. 16 θαλάττῃ ΘLN. Vulgo θαλάσσῃ. εὐφροσύναις] εὐφροσύνῃ M. 17 δοκεῖν LN. Legebatur δοκεῖ. δαιμόνων ΘLMN. Legebatur δαιμονίων. Πλάτωνι] In Sympos. p. 202 e. διαγγέλλον τε Reiskius. Legebatur διαγγέλλοντι. διαγγέλλον E et Canterus. ταύτῃ κεχρῆσθαι φημί add. LN, Iebb. om. Θ Iunt. Aut delendum est φημί, aut legendum est ταύτῃ κεχρῆσθαι, ῥητορικῇ φημί. Reisk. 19 τοῦ παντὸς τὴν ῥητορικὴν M. καὶ κατὰ τοῦτο LN et Canterus. Aberat κατά. καὶ κατὰ τοῦτο om. M. Aut e codicibus mss. assumendum est καὶ κατὰ τοῦτο, *etiam hac ratione*, aut legendum καὶ κατὰ τοῦτον, etiam secundum Platonem ipsum. Reisk. τοῦτ'] τοῦτο ΘLN.

107, 1 τοῖς τε Reiskius. Legebatur τοῖς γε. 4 ὅσον LMN. Legebatur ὡς ὅσον. Leg. ὡς ὅν, quam ille quem appellare fas est rhetorem. Reisk. 5 Αἰγυπτίοις M. Legebatur Αἰγυπτίαις. ἐν Αἰγύπτῳ πολλαῖς (vel μυρίαις) ἡλίου περιόδοις Reiskius. 7 Sententia est, merentur aliquo eorum vocabulorum appellari, quae Homerus solet usurpare, quum herois alicuius, viri principis et ex ordine primario, famulum hominem, secundi aut tertii significare

„ἔσκεν ὑφηνίοχος" φησὶ καὶ πάλιν „Ποσειδῶνος ὑποδμώς." τὸ μὲν ἀρχή που, τὸ δὲ ἀκροτελεύτιον ἔπους ἐστίν. οὕτω πολλοῦ δέουσι κατὰ Μίθαικον καὶ Θεαρίωνα οἱ τῷ ὄντι ῥήτορες εἶναι τὴν φύσιν. καὶ ὅσα τοίνυν εἴδη λόγων ἕτερα, ἵνα μηδὲ τοῦτο παρέλθωμεν, ταυτὸν πέπονθε πρὸς τοὺς τῆς ῥητορικῆς λόγους ὅ τί περ τὰ πέμματα πρὸς τὰ τῷ ὄντι σιτία καὶ κρέα. ὥστε καὶ τῶν περὶ ἕκαστα οὗτοι μάλιστα εὐδοκιμοῦσιν οἵτινες ἂν πλεῖστον ῥητορικῆς εἰσενέγκωνται, καὶ τούτων αὐτῶν μάλιστα ὃς ἂν ἐγγύτατα ἥκῃ ῥητορικῆς. Ὅμηρος καὶ τῶν Ὁμήρου ταῦτα, Σοφοκλῆς καὶ τῶν Σοφοκλέους ταῦτα. Πλάτων δὲ αὐτὸς ἡμῖν τί φησιν; ἡμεῖς μὲν γὰρ αὐτὸν οὐκ ἀγνοοῦμεν, ἀλλ' ἐν τῷ καλλίστῳ τοῦ χοροῦ τάττειν ἕτοιμοι. τί δῆτα αὐτή γε καθ' ἑαυτὴν ἡ ῥητορικὴ καὶ ὁ ῥήτωρ; ἐγὼ μὲν γὰρ οὐκ ἀποκνήσαιμ' ἂν φάναι τοῦτον ἄριστον εἶναι περὶ λόγους ὅστις ἀνὴρ ἄρι-

---

vult, e. e. ὑφηνίοχος, aut ὑποδμώς. Reisk. ἐκεῖνος ἔσκεν] ἐκεῖνον ἔσχεν E. ἔσκεν ὑφηνίοχος] Iliad. ζ, 19. Ποσειδάωνος ὑπόδμώς Odyss. δ, 384. 8 ἔπους] ἔπος LN. 10 ταυτὸν] ταῦτα ΘLMN. ταυτὰ πέπονθεν ὡς πρὸς τοὺς E. τῆς ῥητορικῆς] τῆς om. Θ. πέμματα] πράγματα LMN. πέμματα margo L. 12 ὃς ἂν] Leg. ὅσ' ἂν vel ὅσα ἄν. quaecunque dictiones, loci, particulae Homeri, Sophoclis, caeterorum, prae aliis eorundem locis enitescunt colore rhetorico. Reisk. ἂν om. N. ἐγγύτατα] ἐγγυτάτω M. 13 Ὅμηρος καὶ τῶν Ὁμήρου τὰ τοιαῦτα. Σοφοκλῆς καὶ τῶν Σοφοκλέους τὰ τοιαῦτα. totus Homerus, totus Sophocles, sed illi tamen eorum huc praecipuè pertinent loci, qui sunt eiusmodi, ut eos esse voluerius, h. e. qui prae ceteris attingunt rhetoricam. Reisk. Ὁμήρου ταῦτα] ταῦτα om. N, ab rec. m. habet L. Σοφοκλῆς — ταῦτα om. E. 14 αὐτὸς ἡμῖν] ἡμῖν αὐτὸς LN. 15 αὐτή] αὕτη Θ et correctus L. ἀποκνήσαιμ' ἂν] ἀποκνήσαιμι ΘELMN. τοῦτον ἄριστον] περὶ ἑαυτοῦ λέγει. ὁ γὰρ ἀριστείδης οὐκ εὐχερῶς ἐπεδείκνυτο ἐν θεάτροις, ἀλλ' ἐξεδίδου τοὺς λόγους. scholion in marg. N. ἀνὴρ ἄριστος M. Vulgo ἀνὴρ ῥήτωρ ἄριστος. Recte abest ῥήτωρ a codice Coisl. Sententia haec est. ille mihi eloquentissimus esse videtur, qui erit vir optimus. sed, ut fatear quod res est, haereo hoc in loco, neque dubito ei aliquid deesse. nam neque secum haec neque cum superioribus cohaerent; dubito etiam eane quae hic Platoni tribuuntur uspiam penes eum legantur. videtur potius Aristides ea finxisse Platoni dicenda, si quis eum interroget quid censeat esse oratoriam. Reisk. τις καὶ τοιοῦτος] καὶ τοιοῦτός τις M.



Digitized by Google

108 στος. εἰ τοίνυν τις καὶ τοιοῦτος ἐγγένοιτο οἷος ῥητορικὴν ἔχων εἰς μὲν δήμους ῥᾳδίως μὴ εἰσιέναι, μηδὲ περὶ πολι- (18 τείας ἀμφισβητεῖν ὁρῶν ἑτέρως ἔχοντα τὰ πράγματα, καὶ ταῦτα οὐκ ἐν ὑστάτοις ὧν δόξης ἕνεκα καὶ τιμῶν καὶ τῶν ἐπικαίρων φιλοτιμιῶν, αὐτὸς δὲ ἐφ' ἑαυτοῦ τοῖς λόγοις χρῷτο, τὴν αὐτῶν φύσιν καὶ τὸ ἐν αὐτοῖς καλὸν τετιμηκὼς, καὶ θεὸν ἡγεμόνα καὶ προστάτην ἐπιγραψάμενος τοῦ τε βίου καὶ τῶν λόγων, οὐδὲ τούτῳ χαλεπὸν πρὸς Πλάτωνα ἀντειπεῖν, ἀλλ' οὗτος ἂν καὶ πολὺ καλλίστων καὶ δικαιοτάτων εὐπορήσειε λόγων, ὅτι, ὦ θαυμάσιε, ἐγὼ ταύτην τὴν δύναμιν ἐξ ἀρχῆς ἐτίμησα καὶ περὶ πλείστου πάντων κερδῶν καὶ πραγμάτων ἐποιησάμην, οὐχ ἵνα τὸν δῆμον κολακεύω οὐδ' ἵνα τῶν πολλῶν στοχάζωμαι οὐδὲ ἀργυρίου χάριν, ἀλλὰ καὶ ὅστις πρὸς τοῦτο ὁρᾷ καὶ τῶν διδόντων ἐστὶ, μισθωτὸν καλῶ τοῦτον, οὐ ῥήτορα, καὶ πολλοῖς ἑτέροις φημὶ λελοιπέναι τόπον ἀμφισβητεῖν εὐδαιμονίας, εἰ ταύτῃ σεμνύνεται, ἀλλ' ὑπ' αὐτῶν τῶν λόγων ἀχθεὶς καὶ νομίσας εἶναι πρέπον ἀνθρώπῳ κτῆμα λόγους καλοὺς, οὕτως ἐργάζομαι κατὰ δύναμιν τὴν ἐμαυτοῦ. τί οὖν μοι προφέρεις κολακείαν, ὃς τοσοῦτον ἀπέχω τοῦ κολακεύειν ὥστε οὐδ' ὅπως ἐμὲ ἕτεροι κολακεύσουσι σκοπῶ; (18 οὐδὲ εἰ μὴ θαυμασθήσομαι παρὰ τοῖς πολλοῖς, οἰδέν μοι διαφέρει, ἀλλ' ὥσπερ ὁ φίλοινος οὐχ ἡγεῖται ζημίαν, εἰ μηδεὶς αὐτῷ πίνοντι συνείσεται, καὶ ὁ παιδεραστὴς καὶ ὁ φιλογύνης οὐ πρὸς τὴν ἑτέρων μαρτυρίαν τὴν ἐπιθυμίαν

---

108, 1 εἰς] ἐς ΘΝ. 2 ἑτέρως ἔχοντα] ἐπειδὴ Ῥωμαῖοι νῦν εἶχον τὴν ἀρχὴν, τοῦτο ὅ φησιν, ἵνα μὴ νομισθῇ ὑπὸ ἀσθενείας φεύγειν τὸ συμβουλεύειν. scholion in marg. N. 4 θεὸν] θεῶν M. θεὸν ἡγεμόνα] τὸν ἀσκληπιὸν λέγει. εἰρήκαμεν γὰρ ὅτι περὶ αὐτοῦ λέγει. καὶ πόθεν δῆλον. ἐπειδὴ εἶπεν ἡγεμόνα θεὸν ἔχειν τοῦ βίου καὶ τῶν λόγων. τὸ μὲν γὰρ τῶν λόγων ἁρμόζει ἐπὶ τοῦ σω̄ (σόλωνος legit Langbaenius) τοῦ σοφιστοῦ· τὸ δὲ τοῦ βίου ἐπὶ μόνου τοῦ ἀριστείδου. οὐδὲν γὰρ ἔπραττεν ἐκτὸς τοῦ ἀσκληπιοῦ. scholion in marg. N. 5 τούτῳ] τοῦτο MN. 8 οὐδ' ἵνα LN. Vulgo οὐδὲ ἵνα. στοχάζωμαι] στοχάζομαι N. 9 διδόντων] λαμβανόντων E. 11 σεμνύνεται] σεμνύνονται LMN. σεμνύνεται ab rec. m. L. 12 προφέρεις EM, Soph. Iebb. φέρεις Θ Iunt. 13 οὐδ'] οὐδὲ ΘLN. κολακεύσουσι Θ Iunt. κολακεύσωσι LMN Iebb., in L punctis notatum. 15 μηδεὶς Steph. Iebb. μὴ εἰς LN μηδεεὶς Iunt. 16 οὐ πρὸς]

Digitized by Google

μετέρχονται, ἀλλὰ στέργουσιν ἂν ἔχωσιν οἷς χαίρουσιν,
οὕτω καὶ ἐγὼ λόγοις συνὼν καὶ τούτοις ἀνθ᾽ ἑτέρων χρώ-
μενος τέρπομαι τὴν πρέπουσαν ἴσως μᾶλλον ἐλευθέρῳ
τέρψιν καὶ ἡδονήν· ὥστε μηδ᾽ ἂν τῶν γειτόνων μοι συν-
ειδῇ μηδείς, οὐ τίθεμαι βλάβος. σὺ μὴν καὶ τὸν ἔχοντα
109 τὴν ἰατρικὴν ἐπιστήμην ἰατρὸν καλεῖς, κἂν μὴ δημοσιεύῃ
τὴν τέχνην, καὶ πολιτικόν γε τὸν ταύτην τὴν ἐπιστήμην
ἔχοντα, κἂν τὰ αὑτοῦ πράττων * * τοιοῦτον εἶναι. διὰ
ταῦτα οὐκ ἐγχωρεῖ φῆσαι σοί γε μᾶλλον ἢ ἐμοὶ κολακείαν
γε ἐπιτηδεύειν οὕτω διακείμενον πῶς ἔνεστιν εἰπεῖν, ἢ πῶς
τῶν αἰσχρῶν τινος εἶναι προστάτην, ὃν εἰ μηδὲ δι᾽ ἕτε-
ρον, δι᾽ αὐτά γε ταῦτα ἃ τιμᾷ καὶ διώκει πλεῖστον
ἀνάγκη πάντων τῶν αἰσχρῶν ἀπηλλάχθαι. ἀγαπητὸν γάρ, (183)
εἰ πάντα τἆλλα παριδών τις καὶ πόρρω θέμενος καὶ ταύ-
την μίαν ἡδονὴν προστησάμενος, μηδεμιᾷ δὲ ἑτέρᾳ δου-
λεύσας, εἶτα δύναιτο ταύτης σὺν θεῷ βοηθῷ κατατυχεῖν.
ὃ γὰρ περὶ τῶν ναυτικῶν ἔφη Θουκυδίδης, περὶ ῥητορι-
κῆς ὅδε φήσει καὶ λόγων πολὺ μᾶλλον εἰπεῖν ἁρμόττειν,

---

οὐδὲ πρὸς E. τὴν ἐπιθυμίαν om. M. 17 οὕτω καὶ N. Legebatur οὕτω δὲ καί. ἀνθ᾽ ἑτέρων] Scil. τῶν ἐμὲ βλεψόντων καὶ ἐμοὶ συνεσομένων, aut τῶν τερπόντων καὶ ψυχαγωγούντων. Reisk. τινὲς τὸ ἑταίρων διφθογγίζουσιν. scholion in marg. N. 18 ἴσως om. E. τέρψιν καὶ LMN. Legebatur τέρψιν τε καί. 19 συνειδῇ] συνείδῃ L, sed correctum συνειδῇ. σὺ μὴν] οὐ μὲν L. οὐ μὴν correctus L (non N, ut Iebbius ait). Satius est lacerum hunc locum omittere quam multis vexare coniecturis, quarum nulli certam fidem praestare possis. multa mihi in mentem venerunt, quae neque male sententiae convenirent, neque multum a vestigiis litterarum recederent. Sed sine libris bonis in eiusmodi locis omnis opera luditur. Reisk.

109, 1 δημοσιεύῃ] δημοσιεύσῃ N. 2 αὑτοῦ] Scribebatur αὐτοῦ. Post πράττων indicavi lacunam. 4 δι᾽ αὐτά γε ταῦτα] διὰ ταῦτά γε ταῦτα M. 5 τἆλλα Soph. Legebatur ταῦτα. πόρρω θέμενος LMN. πόρρω που θέμενος vulgo. 6 ἡδονὴν om. M. προστησάμενος] παραστησάμενος LN. 6 μηδεμιᾷ δὲ] Falso Iebbius γὲ ait pro δὲ in L scriptum exstare. 7 κατατυχεῖν] κατασχεῖν E. Θουκυδίδης] 1, 142. τὸ δὲ ναυτικὸν τέχνης ἐστὶν ὥσπερ καὶ ἄλλο τι καὶ οὐκ ἐνδέχεται, ὅταν τύχῃ, ἐκ παρέργου μελετᾶσθαι, ἀλλὰ μᾶλλον μηδὲν ἐκείνῳ πάρεργον ἄλλο γίγνεσθαι. 8 φήσει Canterus



Digitized by Google

ὅτι οὐκ ἔστιν ὡς ἂν τύχῃ ταῦτα ἐκ παρέργου μελετᾶν, ἀλλὰ μᾶλλον μηδὲν τούτοις πάρεργον ἄλλο τι γίγνεσθαι. οὐ μόνον δὴ κολακείας αὐτὸν ἐφ' αὑτοῦ καθαρεύειν ἀνάγκη καὶ μηδ' ὁτιοῦν ἔχειν κίβδηλον τῇ ψυχῇ, ἀλλὰ καὶ πόρρω κολάκων ἁπάντων εἶναι καὶ πασῶν αἰσχρῶν συνόδων τε καὶ ὁμιλιῶν. τί οὖν οὐ ποιεῖς, ὦ βέλτιστ', ἐρεῖ, παλινῳδίαν, εἴ τί σοι μέλει τῆς ἀληθείας; οὐκοῦν καὶ κατὰ τοὺς ἐξ ἀρχῆς λόγους καὶ κατὰ τοὺς δευτέρους τούτους καὶ ὅποι στρέφοι τις ἂν καλὸν καὶ γενναῖον κτῆμα καὶ ἔργον ἀνδρὸς ἡ ῥητορικὴ καὶ φιλοτιμίαν δικαίαν ἔχον καὶ τῷ κεκτημένῳ καὶ ὅσοι τούτῳ χρῶνται, καὶ οὐ μόνον παρὰ ἀνθρώποις, ἀλλὰ καὶ παρὰ θεοῖς πλείστης ὥρας καὶ τιμῆς ἐξ ἀρχῆς τε τυχὸν καὶ διὰ παντὸς δικαίως τυγχάνον.

Λοιπὸν ἕν μοι δεῖξαι, ὅτι καὶ Πλάτων αὐτὸς ταὐτὰ ἐμοὶ περὶ ῥητορικῆς φθέγγεται. λέγει γὰρ ἐν μὲν τῷ Πολιτικῷ δή που λόγῳ ταυτὶ „Κατὰ ταὐτὸν τοίνυν ἔοικε καὶ νῦν ἡμῖν τὰ μὲν ἕτερα καὶ ὁπόσα ἀλλότρια καὶ τὰ μὴ φίλα πολιτικῆς ἐπιστήμης ἀποκεχωρίσθαι, λείπεσθαι δὲ
110 τὰ τίμια καὶ ξυγγενῆ. τούτων δέ ἐστι δή που στρατηγία καὶ δικαστικὴ καὶ ὅση βασιλικῇ κοινωνοῦσα ῥητορεία πείθουσα τὸ δίκαιον συγκυβερνᾷ τὰς ἐν ταῖς πόλεσι πράξεις.“ ἃ μικρῷ πρόσθεν ἡμῖν Ἡσίοδος λέγων ἐφαίνετο, ταῦτα ἄντικρυς καὶ σχεδὸν τὸ μέτρον λύσας ἐν τούτοις Πλάτων ὁμολογεῖ, κοινωνὸν τῆς βασιλικῆς τὴν ῥητορικὴν ἀποφαίνων ὑπὲρ τοῦ δικαίου. ἐν δὲ τῇ Σωκράτους ἀπο-

---

et Reiskius. Legebatur φησί. λόγων Canterus et Reiskius. Libri λόγῳ. εἰπεῖν addidi ex LMN Soph. τύχῃ] τύχοι M.

9 μηδὲν τούτοις LMN. Legebatur μηδὲν ἐν τούτοις. μηδ' ἐν τούτοις Θ. 9 γίγνεσθαι] γίνεσθαι LN. 10 αὐτὸν] αὐτὸν Θ. αὑτοῦ LN. Vulgo ἑαυτοῦ. τῇ ψυχῇ ELMN. Legebatur ἐν τῇ ψυχῇ. 12 βέλτιστ' N. Vulgo βέλτιστε. 13 δευτέρους] Illam significat disputationem in clausulam Gorgiae abstrusam a Platone, qua ipse se velut retractat, quod noster p. 87. ipsi obiectat. Reisk. στρέφοι] στρέφει LN. 15 διὰ παντὸς] ἔτι νῦν M. 17 Πολιτικῷ] P. 303. 304. ἔοικε] ἔοικεν L. 18 Fort. καὶ μὴ φίλια, sine τά. Reisk. μὴ φίλα] μὲν φίλα N.

110, 1 καὶ ξυγγενῆ ELN. Legebatur καὶ τὰ ξυγγενῆ. τούτων ex Platone dedi. Legebatur τοῦτο. τούτῳ LMN. τοῦτο correctus L. βασιλικῇ Steph. Iebb. βασιλικὴ LN Iunt. 2 καὶ πείθουσα Canterus. 5 ἐν δὲ τῇ LN. Aberat τῇ. Σωκράτους ἀπολογίᾳ]

Digitized by Google

λογίᾳ ταυτὶ πάλιν αὖ λέγει „Δικαστοῦ μὲν γὰρ αὕτη ἀρετή, ῥήτορος δὲ τἀληθῆ λέγειν.“ εἰπὲ δή μοι πρὸς θεῶν, εἴτε Πλάτων εἴτε ἄλλος τις ὑπὲρ ἐκείνου βούλεται, ἔσθ᾽ ὅ τι ἀλλοτριώτερόν ἐστι τῷ κόλακι ἢ τἀληθῆ λέγειν; τί δαί; τῷ τἀληθῆ λέγοντι ἄλλο τι τοῦ κόλακος ἐχθρότερον; καὶ μὴν αὐτό γε τοῦτ᾽ ἐστὶν ἡ κολακεία, μὴ τἀληθῆ λέγειν· οὐκοῦν ἡ παλινῳδία καὶ δὴ φανερά. ἣν γὰρ ἐνταῦθα (185) εἶναι κολακείαν φησὶν, ἐκεῖ μὴ κολακείαν εἶναι, ἀλλὰ τοῦ τἀληθῆ λέγειν προεστάναι σαφῶς οὑτωσὶ διορίζεται. ταῦτα ἄρα Πλάτωνι νῦν ἡμεῖς λέγομεν περὶ ῥητορικῆς, δοκοῦντες ἐναντία. ἐὰν τοίνυν ἔτι τούτων ἐγγυτέρω προσαγάγω τὸν λόγον, ἦ πού τρυφή τις ἂν εἴη τῆς ἀποδείξεως καὶ οὔτε ἔννοιαν οὔτε ἐλπίδα ἐλέγχων ἰσχυροτέρων οὐδ᾽ ἂν εἷς ἔτι δή που λάβοι. οὐ γὰρ μόνον αὐτὸς Πλάτων, ἀλλὰ καὶ ἐν αὐτοῖς τούτοις τοῖς λόγοις τῷ παραδόξῳ δὴ συγγράμματι διαρρήδην ὁμολογεῖ τῇ ῥητορικῇ τὰ κάλλιστα εἶναι πράττειν, καὶ μὴ τὴν αὐτὴν χώραν ἔχειν αὐτὴν τῶν αἰσχρῶν μηδενὶ, προσθεὶς ἐπὶ τελευτῆς τὸ βραχὺ τοῦτο καὶ εὐμνημόνευτον „Καὶ τῇ ῥητορικῇ οὕτω χρηστέον ἐπὶ τὸ δίκαιον ἀεί.“ εἶεν ὦ γενναῖος, ἔστιν ὅπου ἐγχωρεῖ κολακείᾳ χρῆσθαι πρὸς τὸ δίκαιον ἀεί; οὐκ ἔστιν οὐδέποτε. καὶ μὴν ὑπὲρ καλοῦ χρώμενοι τῇ ῥητορικῇ, καλὸν ἄν τι πράττοιμεν ὑπ᾽ αὐτῆς. οὐκοῦν καλὸν ἡ ῥητορικὴ μετὰ τοῦ δικαίου γιγνομένη. καὶ μὴν κολακεία γε σαφῶς αἰσχρὸν

11 ἀεί. οὐκοῦν οὗτος ἐκεῖνος Πλάτων ὁ τοῦ Ἀρίστωνός ἐστιν, (186) ὁ φάσκων μὴ κολακείαν εἶναι τὴν ῥητορικὴν, μηδὲ τῆς αὐτῆς ἔχεσθαι φύσεως. παραλείπω δὲ νᾶμά τε κάλλιστον πάντων ναμάτων καὶ τοὺς ἐκ τοῦ σωφρονοῦντος στόματος

---

P. 18 a. τἀληθὲς λέγειν ex E enotatum nescio utrum ad hunc an ad inferiorem locum pertineat. 6 βούλεται] βούλοιτο M. 7 τί δαί ΘN. Legebatur τί δὲ. 8 τοῦτ᾽] τοῦτο ΘL. ἡ κολακεία] ἡ om. M. 11 προσαγάγω] προσάγω ELN. 12 ἦ που] εἴ που L. 13 εἷς om. M. δή που λάβοι] λάβοι δήπου LN. 15 χώραν bis scriptum in L. 16 τελευτῆς ELN. Legebatur τελευτῇ. εὐμνημόνευτον ΘELN. Vulgo ἀμνημόνευτον. 18 πράττοιμεν ΘELMN. Legebatur πράττοιεν. 19 γιγνομένη] Legebatur γενομένη. γινομένη ΘM.

111, 2 πάντων LN. Vulgo ἁπάντων. 3 τοιαῦτ᾽] τοιαῦτα

ἰόντας λόγους καὶ ὅσα τοιαῦτ' ἄλλα ἄλλοθι ῥητορικὴν εἴρηκεν ἐπικοσμῶν.

Εἰ δέ τις ἡμῖν περὶ Πλάτωνος ὑπολάβοι ὅτι οὐ ταύτην κακῶς εἴρηκε τὴν ῥητορικὴν ὑπὲρ ἧς νῦν ἡμεῖς τοὺς λόγους ποιούμεθα, ἀλλὰ δύο οὐσῶν τὴν ἑτέραν κακίζει, πρῶτον μὲν οὐδὲν μᾶλλον τά γε ἡμῖν εἰρημένα φαύλως ἔχοντα ἐλέγχεται, ἀλλὰ καὶ αὐτὸ τοῦτο καλῶς καὶ προσηκόντως ἅπαντα ταῦτα ἠνύσθαι μαρτυρεῖ. ὥσπερ γὰρ ἐκεῖνος τὴν φαύλην δικαίως ψέγει, τί κωλύει τήν γε ἐναντίαν ἡμᾶς ἐπαινοῦντας ὀρθῶς ποιεῖν; ἔπειτα οὐκ ἀναιρεῖ τοὺς παρ' ἡμῶν ἐλέγχους ἡ παραίτησις αὕτη, ἀλλὰ καὶ οὕτως ἐναντία φαίνοιτ' ἂν εἰρηκὼς αὐτὸς ἑαυτῷ, εἰ διττὴν εἶναι τὴν ῥητορικὴν ἀξιῶν, εἶθ' ὡς μιᾶς καὶ ἁπλῆς τινος οὕτως τὴν κατηγορίαν πεποίηται. δῆλον γὰρ ὅτι εἰ τοῦτ' ἐστὶν ἀληθές, τὴν μὲν φαυλίζειν, τὴν δὲ ἐπαινεῖν αὐτῷ προσῆκε διελομένῳ, ὥσπερ ἐν τοῖς περὶ ἔρωτος λόγοις (187 φαίνεται πεποιηκώς, καὶ πολύ γε μειζόνων εὐφημιῶν τὸν χρηστὸν ἠξιωκὼς ἢ οἵων τὸν ἕτερον βλασφημιῶν. θαυμάζω δ' ἔγωγε τί ἄν ποτ' ἐποίησε, μόνην ταύτην εἰδὼς οὖσαν ῥητορικὴν περὶ ἧς ταῦτα διεξέρχεται, ὁπότε οὐσῶν, ὡς ἂν φαίη, δυοῖν καὶ τοσοῦτον διαφερουσῶν τοσαύτην φαίνεται σπουδὴν πεποιημένος τοῦ καθάπαξ κακῶς εἰπεῖν. τί γὰρ μᾶλλον φαῦλον ἡ ῥητορικὴ ἢ χρηστόν, εἴπερ ἐστὶ διττόν; οὐκοῦν οὐκ εἰς τὰς ἴσας λαβὰς ἥκομεν, ἀλλὰ τὸ τῶν

---

ΘL. ἄλλα om. E. 5 τὴν ῥητορικὴν LMN. Aberat τήν. δύο ΘELMN et Photius p. 420 b, 37. Legebatur δυοῖν. 6 τά γε ἡμῖν] τὰ παρ' ἡμῶν E. 7 ἐλέγχεται] ἐλέγχονται LN. ἀλλὰ καὶ αὐτὸ Photius p. 421 a, 1. Legebatur ἀλλὰ κατ' αὐτό. ἀλλὰ καὶ κατ' αὐτὸ M. 8 δικαίως τὴν φαύλην M. ψέγει] λέγει E. 9 παρ' ἡμῶν] παρ' ἡμῖν LN. 10 φαίνοιτ'] φαίνοιτο ΘLN. ἑαυτῷ] αὐτῷ M. 11 οὕτως N. Vulgo οὕτω. 15 ποτ'] ποτε ΘLN. 15 εἰδὼς οὖσαν] οὖσαν εἰδὼς M. οὖσαν] In E εἶναι et οὖσαν est. ταῦτα] Testimonia puta Platonis pro rhetorica p. 110. et alibi prolata. Reisk. 16 φαίη] αὐτὸς φαίη Soph. τοσοῦτον] τοσοῦτο M. 17 Post τοῦ videtur τὴν φαύλην aut τὴν ψευδῆ excidisse. Reisk. φαῦλον om. LN. 18 Obscurior haec dictio οὐκ εἰς τὰς ἴσας λαβὰς ἥκομεν et τὸ τῶν ἴσων κατ' ἐκείνου γίγνεται. prior significat haec: non licet dicere Platoni non minus licuisse rhetoricam malam aut falsam vituperare quam mihi bo-

Digitized by Google

ἴσων κατ᾽ ἐκεῖνον γίγνεται. ἔπειτα τί κωλύει κἀμὲ τῶν αὐτῶν τούτων λόγων ἐχόμενον φάσκειν ὅτι καὶ ἡ δια-
112 λεκτικὴ διττὴ καὶ οὐχὶ μία ἐστὶν ἁπλῶς, ἀλλ᾽ ἡ μὲν οἵα παρακρούεσθαι καὶ ἐξαπατᾶν καὶ χρόνους τρίβειν καὶ εἰς ὑγιὲς οὐδὲν πάντῃ τὴν γλῶτταν ἄγουσα, ψυχρά τις καὶ ἀγεννὴς καὶ κακοῦργος καὶ ἀπατηλὴ καὶ ἀνελεύθερος, ἡ δὲ οἵα χαρίεντας παρέχεσθαι καὶ δεξιούς; καὶ δὴ καὶ φαίη τις ἂν εἴτ᾽ οὖν ὀρθῶς εἴτε μὴ ὅτι καὶ μέρος εἶναι κινδυνεύει τῆς ῥητορικῆς ἡ διαλεκτική, ὥσπερ τὰ ἐρωτήματα τοῦ λόγου παντός. ἀλλ᾽ ἔστω ταῦτα χωρίς. ὁ δ᾽ οὖν αὐ- (188)
τὸς λόγος καὶ περὶ πάσης φιλοσοφίας, καὶ περί γε τῶν τῆς ἀρετῆς μερῶν, εἴ τις βούλοιτο διαιρούμενος πρῶτον μὲν σοφίας δύο προσαγορεύειν, τὴν μὲν ᾗ τὰ βέλτιστα συνίεμεν, τὴν δ᾽ ἑτέραν ᾗ κακουργοῦσιν, ἔπειτα σωφροσύνην διπλῆν, τὴν μὲν σπουδῆς ἀξίαν καὶ πολιτικήν, τὴν δὲ νωθρῶν τε καὶ ὑπτίων, ἔτι δ᾽ αὖ δικαιοσύνην ὀρθὴν καὶ ἑτέραν ταπεινήν, καὶ διπλῆν ἀνδρείαν, τὴν μὲν σὺν νῷ καὶ φρεσί, τὴν δὲ ἀπόνοιαν καὶ μανίαν οὖσαν. ἀλλ᾽ οἶμαι πάντα ταῦτα τῶν φυρόντων ἐστὶ τὰ ὀνόματα, καὶ διῄρηται σοφία καὶ κακουργία, σωφροσύνη καὶ βλακεία, δικαιοσύνη τε καὶ εὐήθεια, ἀνδρεία καὶ θρασύτης, οὐδέτερον δέ γε οὔτε καλὸν οὔτε προσῆκον, οὔτε τὰς κακίας ὑποκορίζεσθαι τῷ τῆς ἀρετῆς ὀνόματι οὔτε τὰς ἀρετὰς

---

nam aut veram laudare. altera hoc: sed potius necesse esse dicere, etiamsi admittamus paritatem iuris ab utraque parte laudandi et reprehendendi, illius tamen esse deteriorem conditionem, eo quod finxerit, quo haberet quod oppugnaret, aliquam rhetoricam falsam, quae nulla usquam esset. Dictio εἰς τὰς ἴσας λαβὰς ἥκειν desumta ab amphora diota, quam duo tenent, e sua quisque ansa. Reisk.

19 γίγνεται] Vulgo γίνεται.

112, 2 γλῶτταν] γλῶσσαν Θ. 3 ἀπατηλὴ] ἁπαλὴ M. 4 εἴτε καὶ μὴ LMN. Aberat καί. 5 ἡ διαλεκτικὴ LMN. Aberat ἡ. 7 μερῶν om. ΘLMN et Photius p. 421 a, 14.: habuit scholiasta, cuius vide annotationem p. 431, 25. τὴν μὲν] τῶν μὲν LN. 9 νωθρὰν τε καὶ ὑπτίαν LMN et Photius: sed νωθρῶν τε καὶ ὑπτίων Photii codex Marcianus. 10 ἀνδρείαν L. Vulgo ἀνδρίαν. 13 ἀνδρεία Photius. Scribebatur ἀνδρία. οὐδέτερον δέ γε Θ et Photius. Legebatur οὐδέτερόν γε. καλὸν οὔτε E. Legebatur καλὸν οὔτε χαλεπὸν οὔτε. Apud Photium est καλὸν χαλεπὸν οὔτε. 14 ὑποκορίζεσθαι] ἐνταῦθα ἡ λέξις αὕτη καὶ παρὰ τῷ ῥη-

Digitized by Google

φαυλίζειν τὰ τῆς κακίας ἑκάστῃ παρατιθέντα. οὕτω τοίνυν καὶ ῥητορικὴν κατὰ τοὺς ὀρθῶς μεταχειριζομένους καὶ τῷ ὄντι τυγχάνοντας αὐτῆς, ἀλλ' οὐ κατὰ τοὺς πρόσχημα ποιησαμένους τῆς ἑαυτῶν πλεονεξίας ἢ φαυλότητος ἐξετάζειν εἰκός, κατ' αὐτόν γε τὸν τοῦ πράγματος λόγον, εἰ (189)
καὶ μηδεὶς τετύχηκε, καὶ διαιρεῖν συκοφαντίαν καὶ κολακείαν ἀπὸ τῆς ῥητορικῆς, ὥσπερ δὴ καὶ μαγγανείαν καὶ
113 τερατείαν ἀπὸ πάσης φιλοσοφίας. οὐκοῦν κολακείας, οὐ ῥητορικῆς, Πλάτων ἐν τούτοις κατηγόρηκε, καὶ συκοφαντίας, οὐ ῥητορικῆς. οὔτ' οὖν εἰ τὴν τῷ ὄντι ῥητορικὴν κακῶς εἴρηκεν οὔτ' εἰ τὴν δοκοῦσαν, ἔστι τοῦτο πρὸς λόγον, ὡς ὀρθῶς ῥητορικήν γε εἰρήκει καλῶς, εἴπερ ἐσθ' ἕτερον τὴν δοκοῦσαν εἶναι ῥητορικὴν κακῶς εἰπεῖν. μὴ γὰρ εἶναι τὸ τοιοῦτον ῥητορικὴν, οὐκ αἰσχρὸν εἶναι ῥητορικὴν χρῆν αὐτὸν λέγειν, ὥσπερ ἐκεῖνό πού φησιν αὐτὸς, ὅτι εἰ μὲν θεῶν παῖδες, οὐ φιλοχρήματοι· εἰ δὲ φιλοχρήματοι, οὐ θεῶν παῖδες. ἀμφότερα δὲ οὐκ ἔδει λέγειν. οὐκοῦν οὐδὲ ἐνταῦθα ἀμφότερα ἐᾶν ὁ λόγος φαίνεται· ἐπεὶ καὶ αὐτὸ

---

μοσθέντι ἐπὶ τοῦ εὐφημεῖν καὶ τὸ αἰσχρὸν εὐφήμως ὀνομάζειν τίθεται. καὶ γὰρ κἀκεῖνος ἐν τῷ παραπρεσβείας φησὶ „αὐθαίρετον αὐτοῖς ἐπάγονται δουλείαν φιλίππου ξενίαν καὶ ἑταιρίαν καὶ τὰ τοιαῦτα ὑποκοριζόμενοι.“ scholion in marg. N. 16 ἀλλ' οὐ] ἀλλὰ οὐ LN. ἀλλὰ καὶ οὐ E. 17 λόγον] λόγος M. τετύχηκεν L. 18 ὥσπερ δὴ — συκοφαντίας, οὐ ῥητορικῆς om. E. ὥσπερ δὴ] ὥσπερ δὲ ΘLN. μαγγανείαν] μαγγανίαν LN.

113, 2 οὖν εἰ] εἰ om. LN. 3 ἔστι τοῦτο πρὸς] ἐστί τι πρὸς LMN. ἐστί τι τοῦτο πρὸς E. καλῶς] κακῶς ab rec. m. L et Canterus. εἴπερ εἰς ἕτερον] Cogitavi aliquando παρεὶς ἑτέροις *permittens aliis*. sed non satisfacit. etiam post ὀρθῶς deesse videtur τὴν τῷ ὄντι. Canterus etiam, quod Latina satis produnt, velut in tenebris micat. debebat enim sic reddere: quare sive veram sive imaginariam exagitavit rhetoricam Plato, ad rem nil quicquam facit. nam recte laudasset veram, falsae increpatione aliis permissa. Sed sequentia non satis apte respondent. Reisk. ἔσθ' ἕτερον E. Legebatur εἰς ἕτερον. ἐστὶ ἕτερον correctus L, qui primum εἰς ἕτερον habuisse videtur. 4 εἶναι ῥητορικὴν] ῥητορικὴν εἶναι LN. 5 ὅτι εἰ μὲν] De Republ. III. p. 391 d. 6 εἰ δὲ οὐ θεῶν παῖδες φιλοχρήματοι M. 7 ἐᾶν ὁ λόγος φαίνεται LN. Legebatur ἐὰν ὁ λόγος φαίνηται. Ab vero prope abfuit Reiskius, cuius haec est annotatio „Posset facili negotio restitui ἐᾶν ὁ λόγος

Digitized by Google

τοῦτο ὑπὲρ αὐτοῦ Πλάτωνος ἡμεῖς νῦν ποιοῦμεν. εἰ γὰρ ὅτι μάλιστα οὕτω διενοεῖτο, ὥσπερ ἔγωγε οὐκ ἀντιλέγω, ἀλλ' ὑπεξῄρηται τὴν καθαρὰν καὶ τῷ ὄντι ῥητορικὴν, ἄξιον μὴ παρακρουσθῆναι μηδὲ ἀγνοῆσαι τοῦτο αὐτὸ τοὺς πολλοὺς, μηδὲ ὡς ψήφῳ καθαρᾷ προσέχοντας θᾶττον ἢ συμφέρει βουλεύσασθαι περὶ τῶν τηλικούτων. περὶ τοίνυν (190)
αὐτοῦ πάλιν τοῦ μέρους αὐτὸς ὡδὶ μαρτυρεῖ „Οὐκ οἶσθα ὅτι ἐπὶ παντὶ ἐπιτηδεύματι οἱ μὲν πολλοὶ φαῦλοι καὶ οὐδενὸς ἄξιοι, οἱ δὲ σπουδαῖοι ὀλίγοι καὶ παντὸς ἄξιοι; ἐπεὶ γυμναστικὴ οὐ καλόν σοι δοκεῖ εἶναι καὶ χρηματιστικὴ καὶ ῥητορικὴ καὶ στρατηγία; Ἔμοιγε πάντως δή που. Τί οὖν; ἐν ἑκάστῳ τούτων τοὺς πολλοὺς πρὸς ἕκαστον τὸ ἔργον οὐ καταγελάστους ὁρᾷς; Νὴ τὸν Δία καὶ μάλα ἀληθῆ λέγεις. Τί οὖν τούτου ἕνεκα αὐτός τε φεύξει πάντα τὰ ἐπιτηδεύματα καὶ τῷ υἱεῖ οὐκ ἐπιτρέψεις;" οὐκοῦν χρὴ, ὦ Πλάτων, οὐδὲ τὴν ῥητορικὴν ἀπὸ τῶν φαύλως μεταχειριζομένων κρίνειν, ἀλλ' ἀπὸ τῶν ὡς ἄριστα προϊσταμένων, ἢ γελοῖόν γε ἂν εἴη, μᾶλλον δὲ ὑπερφυὲς, εἰ δι' ὧν παραδειγμάτων οὐκ ἀξιοῖς φιλοσοφίαν φαῦλον ἡγεῖσθαι,
114 ταῦτα οὐκ ἀρκέσει ῥητορικῇ, καὶ ταῦτα ἐν αὐτοῖς οὔσῃ τοῖς παραδείγμασιν, ἃ μηδὲ κρίνειν πονηρὰ ὁμολογεῖς. εἶεν. τίνες οἱ τυγχάνοντες αὐτῆς ὀρθῶς, καὶ τοῦτο ἐκ τῶν Πλάτωνος δείξομεν. „Τὸ μὲν δύνασθαι, ὦ Φαῖδρε, ὥστε

---

φαίνεται, apparet rectam rationem non concedere. postremum quoque manu exarati codicis auctoritate confirmatur. Sed rursus parum cohaerent proxima et videntur, ut versu quarto, ita hoc quoque nonnulla deesse." 9 Fort. ἄξιον μὴ ἐὰν παρακρουσθῆναι. Reisk. 11 αὐτοῦ] Fort. τούτου. Reisk. ὡδὶ μαρτυρεῖ] In Euthydemo p. 307 a. 12 οἱ δὲ] οὐδὲ N. 13 ἐπεὶ ex Platone restitutum. Libri ἔτι. 15 τὸ ἔργον] τῶν ἔργων M. ἀληθῆ ΘMN. Legebatur ἀληθῶς. Τί] ἢ Plato. 16 φεύξει] Vulgo φεύξῃ. 17 ἀλλ' ἀπὸ] ἀλλὰ ἀπὸ ΘL. 19 φαῦλον ἡγεῖσθαι] ἡγεῖσθαι (β) φαῦλον (α) Θ. ἡγεῖσθαι καὶ (φαῦλον) L. φαῦλον om. MN.

114, 1 οὔσῃ] οὖσι MN et a pr. m. L. Post μηδὲ deest αὐτὸς aut σύ γε. Reisk. μηδὲ] οὐδὲ M. τίνες οἱ ΘELMN. Legebatur τίνες μὴν οἱ. Τὸ μὲν] Ex Phaedro p. 269 d.
3 Sententia est: consentaneum est, nescio quoque an sit necessarium, ut a natura tributam ad artem quamque afferat quisque

ἀγωνιστὴν τέλεον γενέσθαι εἰκὸς, ἴσως δὲ καὶ ἀναγκαῖον, (191) ἔχειν ὥσπερ τὰ ἄλλα· εἰ μέν σοι ὑπάρχει φύσει ῥητορικῷ εἶναι, ἔσει ῥήτωρ ἐλλόγιμος, προσλαβὼν ἐπιστήμην καὶ μελέτην· ὅτου δ' ἂν ἐλλείπῃς τούτων, ταύτῃ ἀτελὴς ἔσει· ὅσον δ' αὐτοῦ τέχνη" — ἀλλ' ἐῶ τό γε ἐφεξῆς.

Εἰ τοίνυν δεῖ τὸν μέλλοντα ἔσεσθαι ῥητορικὸν φύσιν καὶ τέχνην καὶ μελέτην ὁμοῦ κτήσασθαι, δῆλον ὅτι ὁ ἐκπεπτωκὼς τῆς τέχνης καὶ τῆς φύσεως τῆς βελτίστης ἀτελής ἐστι ταύτῃ. πῶς οὖν τοῦτο δεῖ ῥητορικῇ προστιθέναι; εἴπερ ὁ μὲν μὴ πάντα παρασχόμενος παρὰ τὴν ἔνδειαν ἀτελής ἐστι, τὰ δὲ ἐπιτηδεύματα ἐκ τῶν κατορθούντων, οὐκ ἐκ τῶν ἀποτυχόντων κρίνεται. ὃ δὲ δὴ μὴ μόνον τέχνης, ἀλλὰ καὶ φύσεως καὶ μελέτης δεῖται, πῶς τοῦτο ἔνεστι μηδεμίαν εἶναι τέχνην φάσκειν, ἢ πῶς τὸν ἐλλείποντα ὅτου δὴ μέρους ἀτελῆ κατὰ ταῦτο δίκαιον λέγειν, τούτου ὅστις ἂν διὰ πάντων τύχῃ, κολακείαν ἔνι φῆσαι μετέρχεσθαι; πανταχῇ δὲ καὶ διὰ πάντων ἡμῖν ἐκπίπτουσιν αἱ ψῆφοι. πρῶτος δὲ Πλάτων αὐτὸς ψηφίζεται καὶ μέσος (192) φασὶ καὶ τελευταῖος· καὶ κινδυνεύω δοκῶν ἀντιλέγειν Πλάτωνι παντὸς μᾶλλον συναγορεύειν. εἰ δὲ δεῖ τι καὶ παῖξαι, δοκῶ μοι κατὰ τοὺς κωμῳδιοποιοὺς ὥσπερ ἀποδιδράσκοντα αὐτὸν ἕλξειν εἰς τοὺς ῥήτορας ὅ τι μαθὼν καλλωπίζεται.

---

facultatem cognatam, a qua adiutus fiat in arte sua vel opere Roscius, idque ut in aliis rebus, ita in hac. Reisk. γενέσθαι om. E. ἀναγκαῖον, ἔχειν] ἀναγκαίως ἔχει Soph. 4 ἔσει] Vulgo ἔσῃ. εἴῃ LN. 5 ἀτελὴς ἔσει] Vulgo ἀτελὴς ἔσῃ. δὲ Θ Iunt. δ' Iebb. αὐτοῦ] αὐτῇ M. 7 δῆλον ὅτι ὁ] δηλονότι ὅτε LN. ὅτι ὁ ἐκπεπτωκὼς] ὅτι ἐκπίπτωκὸς Θ. 9 κατορθούντων] κατορθωσάντων Soph. 10 κρίνεται] γίνεται LN. 11 εἶναι τέχνην] τέχνην εἶναι LN. ἢ πῶς τὸν] ἢ πῶς εἰ τὸν Soph. ἢ πῶς, οὐ τὸν Reiskius. ὅτου δὴ] ὅτου δεῖ LN. 12 τούτου ΘN. Legebatur τοῦτον. τούτοις La pr. m. τοῦτον correctus L. ὅστις ἂν] Legebatur ὅστις ἐὰν. 13 ἔτι] Leg. ἔστι. aut quomodo licebit dicere eum adulationi operam dare, qui perfectionem eius rei consecutus sit omni ex parte, cuius rei in quacunque demum parte deficientem fas est imperfectum ex ea parte appellare. Reisk. ἔτι pro ἔνι apud Iebbium typothetae error est. δὲ καὶ] δὴ καὶ E. πάντων ἡμῖν] πάντων ἂν ἡμῖν Soph. 15 ἀντιλέγειν] ἀντιλέγων E. κατὰ abrasum in M et omisit Photius p. 421 b, 1. 16 κωμῳδιοποιοὺς] Vulgo κωμῳδοποιούς. ἕλξειν LMN Oper..

εἰ δέ τινες καὶ ἄλλοι παραβοῶντες ῥητορικὴν ψέγουσι, μᾶλλον δὲ τονθορύζοντες ἐκ τοῦ ψόφου τοξεύοντες κατὰ Ἀλκαῖον, ὧν οὐδὲ τὰ ὀνόματα ἀγαγεῖν ῥᾴδιον εἰς λόγον,
115 οὐχ οἷς καλοῦνταί φημι, πλὴν εἴ τις καὶ τοῦτο προστίθησιν, ἀλλ᾽ οἷς γε χρώμενοι ταῦτα σοφίζονται, τοσοῦτόν μοι πρὸς τούτους ἀποκεκρίσθω, ὅτι ῥητορικῇ παρὰ πόδας διδόασι τὴν δίκην. πρὸς δὲ Πλάτωνα τὸν τῶν ῥητόρων πατέρα καὶ διδάσκαλον ἀναγκαῖον ἦν ὥσπερ φιλοτησίαν προλαβόντα ἀντιπληρώσασθαι. δέχοιτο δὲ γενναίως, ὅτι καὶ προὔπιεν· ἐπεὶ καὶ τὸν βαλόντα μὴ δεῖ ἐκφυγεῖν. παρὰ δὲ τῶν ἄλλων ἡμῖν συγγνώμη δικαίως ἂν εἴη, τοὺς λογίους θεοὺς εἰ Πλάτωνος τοῦ καλοῦ περὶ πλείονος ποιούμεθα. ἐξαιρεῖται δὲ ἡμᾶς αἰτίας καὶ ὁ πάντα ἄριστος Ἀσκληπιὸς, ψῆφον οὐκ ἄτιμον οὐδὲ αὐτὸς διδοὺς, τὰ μὲν ἐν μέτροις, τὰ δὲ οὑτωσὶ πεζῇ.

---

Photius, Iebb. ἔξειν Iunt. Post ῥήτορας aliquid deest. necesse est finem huius disputationis in illo antiquo libro, undé exempla nostra manarunt, situ et vermibus misere corrosum et corruptum fuisse. ὅ τι μαθὼν significat quorsum aut qua de causa. Reisk. Post ῥήτορας nihil excidit. ὅ τι] Vulgo ὅτι. 17 τονθορύζοντες] τονθορίζοντες M. ψόφου] σκότου E. καὶ ἐκ τοῦ ψόφου Reiskius. 18 οὐχ οἷς] ἐφ᾽ οἷς LN.

115, 1 καὶ τοῦτο] καὶ τοῦτο καὶ N. σοφίζονται] σωφίζονται L. ψηφίζονται Soph. 4 ὅτι καὶ] ὡς ὅτι καὶ LMN. Fortasse ὡς καὶ legendum. βαλόντα] λαβόντα L. 5 δεῖ. nam qui alterum iaculo feriit, eum oportet non aufugere, sed ictum huius vicissim ipsum quoque manere et tolerare. Reisk. Dedi δεῖ pro vulgato δεῖν. ἐκφυγεῖν LMN. Legebatur ἐκφεύγειν. παρὰ δὲ τῶν M Soph. Aberat δὲ. 8 πεζῇ] παίζει LN.

# XLVI.

## ΠΡΟΣ ΠΛΑΤΩΝΑ (193)

## ΥΠΕΡ ΤΩΝ ΤΕΤΤΑΡΩΝ.

116 Παραιτεῖσθαι μὲν οὐκ οἶδ' ὅ τι δεῖ περὶ τῶν αὐτῶν πολλάκις, ἄλλως τε καὶ οὐ πρὸς ἄνδρας μέλλοντας ἐρεῖν μᾶλλον ἢ ὑπὲρ ἀνδρῶν καλῶν καὶ ἀγαθῶν, καὶ τούτων

---

*ΤΕΤΤΑΡΩΝ*] Vulgo *ΤΕΣΣΑΡΩΝ*.

In *Θ* haec praemissa *ὑπόθεσις* est: *Πλάτων ὁ ἀρίστωνος ἐπισημότατος ἐν φιλοσοφίᾳ γενόμενος, τὴν ἑαυτοῦ τέχνην εἰς μέγεθος ἆραι βουλόμενος τοὺς νέους προτρέπεται εἰς φιλοσοφίαν, τῇ ῥητορικῇ λοιδορούμενος. ἐπειδὴ γὰρ ὁ τῶν ῥητόρων βίος ὥσπερ εἰκὸς ἐν ταῖς πόλεσιν ὡς δυνατὸς ἐθαυμάζετο, συνέγραψέ τινα διάλογον γοργίαν οὕτω καλούμενον, ἐν ᾧ διαβάλλει τὸν τῶν ῥητόρων καὶ τὸν τῶν τυράννων βίον ὡς φαῦλον ὄντα καὶ ἄδικον. καὶ πρῶτον μὲν αὐτὴν διασύρει τὴν τέχνην, φημὶ δὴ τὴν ῥητορικήν. ἔπειτα δὲ αὐτὸς διαβάλλει τοὺς ῥήτορας ἐν παραδείγματος μέρει τὴν κατηγορίαν ποιούμενος. οὐ γὰρ προηγουμένως οὐδ' ἐξαρχῆς τοῦτο προθέμενος, ἀλλὰ καὶ τοὺς ἐπισήμους ἐν αὐτῇ δοκοῦντας εἶναι τῇ τέχνῃ τούτους ἐκκρίνας, κωμῳδεῖ μᾶλλον ἢ τῆς ἀληθείας ἀντέχεται. φημὶ δὴ θεμιστοκλέα τὸν ῥήτορα καὶ μιλτιάδην καὶ περικλέα τὸν πάνυ καὶ κίμωνα, καὶ μέρει τινὶ τὴν κατὰ πάντων ἐκφέρεται ψῆφον, ἐκ τῶν ἐπιφανῶν τὴν κρίσιν ποιούμενος, εὖ εἰδὼς ὡς ἡ πρὸς τούτους οὖσα φαυλότης καὶ αὐτῆς ὡς εἰπεῖν τῆς ῥητορείας καθάπτεται. πρὸς ταύτην τοίνυν τὴν λοιδορίαν, οὐ γὰρ κατηγορίαν ὀνομάσαι σεμνὸν, ἀριστείδης, βοηθῶν ἅμα κινδυνευούσῃ τῇ τέχνῃ, καὶ περὶ πλείστου τὴν συμμορίαν ποιούμενος ἀνθίσταται, τοῖς λόγοις ὡς ὅπλοις χρησάμενος, οὐ τῇ ῥητορίᾳ μᾶλλον, ὅσον τῷ βίῳ συμμαχῆσαι βουλόμενος. καὶ δύο μὲν λόγοις τὴν περὶ τῆς τέχνης ἀπολογίαν πεποίηται, ἐν οἷς οὐ τέχνης μόνον, ἀλλὰ καὶ κρεῖττον ἢ τέχνην οὖσαν αὐτὴν ἀποδείκνυσι. περιουσίᾳ δὲ λόγων ἐπὶ τὸ τῶν ῥητόρων ἐνταῦθα μεταβαίνει κεφάλαιον, καὶ τούτοις ὥσπερ χρέος τὴν γενομένην ἀπονέμων βοήθειαν.* Quibuscum comparentur quae inter scholia edidi p. 433. 435.

116, 1 *οἶδ'*] *οἶδα* *Θ*EGL. *ὅ τι*] *ἐὰν* superscriptum in L. 2 *οὐ* om. G. *πρὸς ἄνδρας*] Subaudi e sequentibus *καλοὺς*

Digitized by Google

οὐκ ὀλίγων, οὐδὲ ἧττον παλαιῶν ἢ Πλάτων; ὅτι μὴ καὶ
πρεσβυτέρων ἐκείνου, εἴ τῳ καὶ τοῦτ' ἄξιον αἰδοῦς εἶναι
δοκεῖ. παρέστη δέ μοι θαυμάσαι πολλάκις ἄλλα τε δὴ τῶν
ἐν Γοργίᾳ καὶ τὴν κατηγορίαν ἣν ἐποιήσατο Μιλτιάδου
καὶ Θεμιστοκλέους καὶ Περικλέους καὶ Κίμωνος, καὶ ταῦτ'
ἀφελῶς οὕτως καὶ ἀνειμένως, ὃ μηδ' ἂν εἷς εἰκάσειε πρὶν
διακοῦσαι τοῦ διαλόγου. πρῶτον μὲν γὰρ οὐδὲ τὸ πρᾶγμα (194)
ἐπηνάγκαζεν, οὐδ' ἔχοι τις ἂν εἰπεῖν. νὴ Δία, ὁ γὰρ
λόγος αὐτῷ διεφθείρετο μὴ τούτους κακῶς εἰπόντι· ἀλλὰ
ἐξῆν καὶ χωρὶς τῆς βλασφημίας ταύτης περαίνειν τὴν ὑπό-
θεσιν. εἰ μὲν γὰρ τοῦτ' εὐθὺς ἐξ ἀρχῆς προὔθετο καὶ
τοῦτ' ἐνεστήσατο ἐξετάσαι τοὺς Ἀθήνησι πολιτευσαμένους,
ἐκ τοῦ πράγματος ἦν ἴσως καὶ περὶ τούτων λέγειν. νῦν
δὲ τί φησὶ καὶ πρὸς τί προσῆγε τὸν λόγον; δύο ταύτας
εἶναι παρασκευὰς περὶ σῶμα καὶ ψυχήν, μίαν μὲν πρὸς
ἡδονὴν ὁμιλεῖν, τὴν ἑτέραν δὲ πρὸς τὸ βέλτιστον· καὶ τὴν
μὲν πρὸς ἡδονὴν ἀγεννῆ καὶ κολακείαν εἶναι, τὴν δὲ ἑτέ-
117 ραν σπουδαῖον καὶ καλόν. ὥστε τίς ἦν βλάβη τῷ λόγῳ
μὴ τούτων τῶν ἀνδρῶν κακῶς ἀκουσάντων; καὶ μηδὲν

---

καὶ ἀγαθούς. Constructio perplexae huius sententiae est haec: οὐκ οἶδα μὲν ὅ τι δεῖ παραιτεῖσθαι μέλλοντας (scilicet ἡμᾶς) ἐρεῖν πολλάκις περὶ τῶν αὐτῶν, οὐ μᾶλλον πρὸς ἄνδρας καλοὺς καὶ ἀγαθοὺς ἢ ὑπὲρ ἀνδρῶν καλῶν καὶ ἀγαθῶν. vix puto necesse esse veniam ut rogem ideo, quod iisdem de rebus iterum sim atque iterum dicturus, non magis ad viros probos et honestos quam pro talibus aliis. Si quis versu 2. μέλλοντα malit in singulari, propterea quod praecessit οἶδα, me non habebit repugnantem. Reisk. 4 τοῦτ'] τοῦτο L. παρέστη] παρέστι ΘG. 5 δὴ τῶν] δὴ καὶ τῶν G. καὶ Θεμιστοκλέους] καὶ typothetae culpa excidit ex Steph. Iebb. 6 οὕτως ΘGLN. Vulgo οὕτω. ὃ μηδ'] ὡς μὴ δ' N. γρ. ὃ μηδ' margo N ab rec. m. 7 διαλόγου] λόγου L. 8 Post εἰπεῖν ponendum colon. nam a νὴ Δία incipit ficta excusatio Platonis, qua utatur aliquis ei amicus, qui eum defendat. Reisk. Comma post εἰπεῖν est in L. 10 τοῦτ' εὐθὺς G. Vulgo τοῦτο εὐθύς. 11 ἐκ τοῦ πράγματος ἦν] ἐκ τῆς πραγματείας ἦν αὖ varia lectio in E. 12 προσῆγε Canterus. προσῆχε Iunt. προσεῖχε Steph. Iebb. καὶ ψυχὴν] καὶ περὶ ψυχὴν N, expuncto περί.

117, 1 εἴ γε] εἰ γὰρ ΘEGLN. μηδὲν μᾶλλον] Subaudi παρὰ τοῦτο et nihilo magis (omissa horum virorum contumelia atque criminatione) futurum erat ut honestum atque utile haberetur iu-

μᾶλλον ἐκινδύνευε τό γε δή που πρὸς χάριν ἀντὶ τοῦ τὰ βέλτιστα λέγειν χρηστὸν νομισθῆναι, ἄλλως τε καὶ τοῦ Καλλικλέους ἀπειρηκότος ἤδη πολλάκις, ὡς αὐτὸς ἐνδείκνυται, καὶ τελευτῶντος εἰπόντος „Σὺ μὲν οὐκ οἶδ᾽ ὅντινά μοι τρόπον δοκεῖς εὖ λέγειν, ὦ Σώκρατες· πέπονθα δὲ τὸ τῶν πολλῶν πάθος, οὐ πάνυ σοι πείθομαι.“ οὐ γὰρ δὴ τοῦτό γε ἔστιν εἰπεῖν, ὡς εἰ ψέξειεν ἐκείνους, μᾶλλόν (195) τι πείσειν αὐτὸν ἡγεῖτο καὶ προσάξεσθαι. τοὐναντίον γὰρ ἔμοιγε δοκεῖ μᾶλλον ἂν καὶ παροξῦναι καὶ πλέον θάτερον ποιῆσαι τῇ ᾽κείνων βλασφημίᾳ, ὥστε οὕτω γ᾽ ἄν, ὅ φησιν αὐτός, ἀνεσόβει τὴν θήραν, καὶ ταῦθ᾽ ὅπερ ἐβούλετο δηλοῦν ἔχων ἤδη καὶ συνειληφώς. γνοίη δ᾽ ἄν τις ἐξ αὐτῶν τῶν ῥημάτων. προελθὼν γὰρ τοῦ λόγου, Ἆρ᾽ οὖν, φησίν, οὕτως ἐπιχειρητέον ἡμῖν ἐστι τῇ πόλει καὶ τοῖς πολίταις θεραπεύειν, ὡς βελτίστους αὐτοὺς τοὺς πολίτας ποιοῦντας; Πάνυ γ᾽, εἴ σοι ἥδιον, φησὶν ὁ Καλλικλῆς. ἔνθ᾽ ὅτε ὡμολόγητο καὶ συγκεχώρητο ὑπὲρ οὗ πᾶς ἠνύετο λόγος καὶ πρὸς ὃ πάντα ταῦτ᾽ εἶχε τὴν ἀναφοράν, τίς ἦν ἡ ζημία τῶν ἀνδρῶν μὴ προσκαθάπτεσθαι; νῦν δὲ ὥσπερ ὠδίνων καὶ περιβαλλόμενος κύκλῳ τὴν ἐπ᾽ ἐκείνους ὁδὸν οὕτως ἐπιβούλως ἐλθὼν ἐπὶ τοὺς λόγους φαίνεται. καὶ μὴν τὸ μὲν διάφορον οὐχὶ μικρόν. ἐκεῖνο μὲν γὰρ ἦν ὑπὲρ αὐτῆς τῆς ἀληθείας ἀγωνίζεσθαι, τοῦτο δὲ ἐγὼ μὲν οὐδέποτε ἂν φήσαιμι, ἄλλος δ᾽ ἄν τις εἴποι διαβάλλων οὐ πόρρω κακοηθείας εἶναι. καίτοι πῶς οὐκ ἄτοπον το-

---

cunda pro salutaribus suadere. Reisk. 2 τὰ βέλτιστα] τὰ om. G. 3 ἀπειρηκότος ΘLN. Scribebatur ἀπηρηκότος. ὡς] καὶ G. 4 Σὺ μὲν οὐκ οἶδ᾽] P. 513 c. οἶδ᾽] οἶδα EGL. 6 ἔμοιγε] ἐμοὶ L. παροξῦναι S. 7 πλέον ἀποκλῖναι πρὸς θάτερον. et effecturus fuisse ut alteram magis in partem se Callicles inclinaret. Reisk. τῇ ᾽κείνων N. Vulgo τῇ ἐκείνων. 8 δ᾽ ἂν] δὲ ἂν L. 9 Ἆρ᾽] ἆρ᾽ N. ἡμῖν] ἡμῶν G. 10 τοῖς πολίταις] τοὺς πολίτας E. Ante θεραπεύειν videtur aliquid deesse. Reisk. Nihil mutant libri Platonici p. 513 e. ποιοῦντας] καταποιεῖν in E superscriptum. 11 εἴ σοι Iebb. Canterus ex Platone, consentiente L, si Iebbio fides. εὖ ἴσθι Θ Iunt. ὅτε N. Legebatur ὅταν. ὑπὲρ οὗ] ὑπὲρ ὃν L. λόγος Steph. Iebb. ὁ λόγος GL. ὁ superscriptum in N. λόγους Iunt. 15 οὐδέποτ᾽ ἂν G. Vulgo οὐδέποτε ἄν. οὐκ ἄν ποτε ἂν L. 16 τοσοῦτον] τοσοῦτο Θ.

σαυτον προέχοντα φιλανθρωπίᾳ καὶ μεγαλοψυχίᾳ τὴν βασκαίνειν δοκεῖν παρέχειν λαβὴν ὅσα γε ἐκ τῶν λό θαυμάζω δὲ εἰ κωμῳδίαν μὲν ἔξεστι ποιεῖν, κἂν μὴ

118 μαστὶ κωμῳδεῖν ἐξῇ, πιστοῦσθαι δὲ οὐκ ἐνῆν τὸν λό εἰ μή τινας εἶπε κακῶς ὀνομαστί. φέρε γὰρ πρὸς θ εἰ πρὸ τούτων τῶν ἀνδρῶν ἔτυχε γενόμενος, ἢ νὴ Δί τις ἄλλος τῶν ὑπὲρ τούτους ἄνω τὸν αὐτὸν τοῦτον λ ἠγωνίζετο, ἆρ' ἂν οἷός τ' ἦν Μιλτιάδου κατηγορεῖν Θεμιστοκλέους καὶ τῶν μήπω γεγενημένων; οὐδαμῶς. τοίνυν ἦσαν λόγοι τῷ πράγματι καὶ χωρὶς τῆς περὶ των μνήμης, οὐ μετ' ἀνάγκης ἤκουον οὗτοι κακῶς. τοίνυν οὐδ' ἀληθῆ κατ' αὐτῶν εἴρηκεν, ἄνευ τοῦ μ προσήκειν βλασφημεῖν, εἰ καὶ τὰ μάλιστα ἐλέγχειν ἐμ τοῦτ' ἤδη πειράσομαι δεικνύναι.

Καὶ πρῶτον μὲν τὸν Περικλέα σκεψώμεθα, ἐπ καὶ πρῶτον ἐξετάζειν ἐκεῖνον ἐπεχείρησεν, εἰ ἄρα ἀ ἀνὴρ ἀκοῦσαι ταῦτα, ἢ τῶν ἰδίων ἕνεκα ἢ τῆς πολιτ ἐκεῖνος τοίνυν λέγεται βιῶναι μὲν οὕτως σεμνῶς ὥστε μ τῶν προφητῶν καὶ τῶν ἱερέων τὸν ἐκείνου βίον διαφέ οὕτω δὲ εἶναι σώφρων ὥστε καὶ βαδίζειν τεταγμένα τὴν ὀρθὴν ὁδὸν σώζειν κατὰ τὴν παροιμίαν, διαίτη τάξιν τὴν μέσην προῃρῆσθαι, μήτε ὑπερήφανον μήτε λεύθερον, ὥσπερ τοὺς πρεσβυτάτους Ἀθηναίων ὁ Π τωνος ὑμνεῖ λόγος· δημοτικὸς δὲ ὢν τῇ προαιρέσει καὶ π

---

118, 2 Δί'] Δία LN. 3 τοῦτον om. E. ἆρ' ἂν G. ἂν LN. Scribebatur ἄρα ἄν. τ' ἦν] τε ἦν G. 4 καὶ Aut delendum καὶ aut legendum καὶ τῶν ἄλλων μήπω γεγ. REISK γεγενημένων] γεγεννημένων G. 6 προσήκειν] προσήκει N. 9 ἕνεκα] εἵνεκα G. βιῶναι μὲν οὕτω λέγεται G. οὕτω Vulgo οὕτω. 10 οὕτω δὲ εἶναι σώφρων] De Periclis mo Plutarchus in eiusdem vita p. 281. προσώπου σύστασις ἄθρυπτο γέλωτα καὶ πρᾳότης πορείας καὶ καταστολὴ περιβολῆς. πρὸς οὐδὲν ταραττομένη πάθος ἐν τῷ λέγειν καὶ πλάσμα φωνῆς ἀθόρυβον καὶ τοιαῦτα, πάντας θαυμαστῶς ἐξέπληττεν. IEBB. 13 ὑμνεῖ] διυμν ἀνυμνεῖ LN. Locus Platonicus est in Critia p. 112 c. δημ κὸς] Populi quidem e partibus contra divites et Thucydidem tisse Periclem inter omnes convenit; ingenio tamen fuisse mi populari docet Plutarchus vit. Periclis p. 283. οὕτω δὴ φέρων δ ρικῆς τῷ δήμῳ προσένειμεν ἑαυτὸν ἀντὶ τῶν πλουσίων καὶ πενήτων μενος παρὰ τὴν αὐτοῦ φύσιν ἥκιστα δημοτικὴν οὖσαν. IEBB.

Digitized by Google

των ὑπὲρ τοῦ πλήθους ἐναντία Θουκυδίδῃ πλεῖστον τῆς ἀγοραίου προπετείας καὶ κομψότητος ἀποσχεῖν, ὅς γε οὐδὲ γελῶν οὐδ' ὑφ' ἑνὸς πώποτε ὀφθῆναι, ἀλλὰ τῆς μὲν πολιτείας τῇ φυλακῇ καὶ τῷ τὸ ἴσον τοῖς ἄλλοις ἔχων ἀνέχεσθαι κοινὸς εἴπερ τις ἀνθρώπων εἶναι, τῷ δὲ ἀξιώματι τῆς γνώμης καὶ τῷ μὴ τῶν αὐτῶν ἡττᾶσθαι τοῖς πολλοῖς ὀλίγοις καταλιπεῖν ἐγγὺς ἐλθεῖν ἑαυτοῦ. χρημάτων τοίνυν τοσοῦτον γενέσθαι κρείττων ὥσθ' ὅτι μὲν καὶ τοὺς ἀγροὺς
119 ἠφίει τῇ πόλει παρίημι, μή τις ἄρα εἴπῃ ὡς φόβῳ τῆς διαβολῆς εἶδεν αὐτό· ἐδόκει γὰρ ὥσπερ ἄλλο τι καὶ τοῦτο σύμβολον τοῦ Περικλέους εἶναι, τὸ ὑπερφρονεῖν χρημάτων. ὥστε καὶ αὐτὸς ποτὲ ἐν τῷ δήμῳ παρρησιαζόμενος καὶ (198)
λέγων περὶ τῶν αὐτῷ προσόντων ἀγαθῶν ἕν τι καὶ τοῦτο ἐν πρώτοις ἐτίθει τὴν περὶ ταῦτα μεγαλοψυχίαν. οὕτω δ' ἦν παραπλήσιος κατὰ τὸν βίον καὶ τὴν πολιτείαν καὶ τοσοῦτον ἀπεῖχε τοῦ ζῆν πρὸς τὰς ἑτέρων ἡδονὰς ὥστε φασὶν οἱ γράψαντες περὶ αὐτοῦ διδασκάλου τάξιν πρὸς παῖδας πρὸς τοὺς Ἀθηναίους αὐτὸν ἔχειν, ὥστε ἀπόντος μὲν Περικλέους ἐν ἀταξίᾳ πολλῇ καὶ ῥαθυμίᾳ τὴν ἐκκλησίαν εἶναι πολλάκις, φανέντος δὲ εὐθὺς μεταβάλλεσθαι

---

15 κομψότητος] Iactantiae crimen Pericli olim obiecisse Ionem poetam auctor est Plutarchus vit. Periclis p. 281. quam tamen infamiae notam omnino reiiciendam censens insigne Zenonis de hac re elogium protulit: τοὺς δὲ τοῦ Περικλέους τὴν σεμνότητα δοξοκομπίαν τε καὶ τῦφον ἀποκαλοῦντας ὁ Ζήνων παρεκάλει καὶ αὐτούς τι τοιοῦτον δοξοκομπεῖν, ὡς τῆς προσποιήσεως αὐτῆς τῶν καλῶν ὑποποιούσης τινὰ λεληθότως ζῆλον καὶ συνήθειαν. Thucydides autem iste, de quo hic agit Aristides, erat optimatum quidam, diuque Periclis in republica adversarius, eodem teste Plutarcho p. 281. Iebb. ὀφθῆναι] Subauditur λέγεται e superioribus. Reisk. 16 ἔχων] ἔχων N. ἔχειν correctus L. 17 ἀνθρώπων εἶναι EGLN, Iunt. et, ut suspicor, Θ. ἀνθρώπων ἐσπούδαζεν εἶναι Steph. Iebb. 18 ἑαυτοῦ EGLN. Vulgo αὐτοῦ. 19 ἠφίει] ἠφία G. παρίημι] περίημι G.

119, 1 εἴπῃ] εἴποι GN. εἶδεν si bene habet, locum tenet verbi συνεῖδεν, boni duxit, existimavit sibi sic faciendum esse, probavit et sibimet iniunxit. Reisk. ἐδόκει δ' εἴπερ ἄλλο τι, καὶ τοῦτο —. necessario requiritur δέ. nam alias μὲν versu ultimo paginae superioris pendebit. Reisk. ὥσπερ ἄλλο EGN, non I., quem addit Iebbius. 2 Fort. εἰς τὸ ὑπερφρονεῖν. Reisk.

Digitized by Google

καὶ σωφρονίζεσθαι πρὸς τὴν ὄψιν, ὥσπερ δεδιότας μή τι γνοίη Περικλῆς ὧν ἡμάρτανον. ὃ δέ φασιν ὑπάρξαι Σωκράτει σοφιστῶν διαφερόντως, τοῦτ᾽ ἐκείνῳ δημαγωγῶν· ἐπαρθέντα μὲν γὰρ τὸν δῆμον καὶ μεῖζον φρονήσαντα δεινότατον εἶναι συστεῖλαι καὶ καθελεῖν, ἀθυμήσαντα δὲ καὶ ταπεινωθέντα ἀναγαγεῖν αὖ τοῖς λόγοις καὶ μεστὸν ἐλπίδων ποιῆσαι, ὥσπερ ἐκεῖνος εἰώθει περὶ τοὺς νέους ποιεῖν. συνελόντι δ᾽ εἰπεῖν σχῆμα τῆς πόλεως ἦν Περικλῆς, οὐ δουλεύειν ταῖς τῶν πολλῶν ἐπιθυμίαις, ἀλλ᾽ αὐτὸς ἄρχων τῶν πολλῶν, οὐδ᾽ ὅ τι δόξειεν ἐκείνοις, τοῦτο λέγειν ἀξιῶν, ἀλλ᾽ ὅ τι δόξειεν αὐτῷ, τοῦτ᾽ ἐκείνους πράττειν ἐπαναγκά- (199) ζων· οὐδ᾽ ἐν κόλακος μοίρᾳ προσκείμενος, ἀλλ᾽ οὐδαμοῦ τοῖς κόλαξι πάροδον τὸ καθ᾽ αὑτὸν διδούς, τῇ μὲν χρηστότητι καὶ ταῖς ἐπιεικείαις ἐν πατρὸς ὢν τάξει τῷ δήμῳ, τῷ δὲ καθείργειν ἅπαντας καὶ πάνθ᾽ ὑφ᾽ αὑτὸν ἔχειν πλέον ἢ τύραννος. ἐξ ὧν, ὡς ἔοικεν, ἔξεστι σαφῶς ἰδεῖν ὅτι εἴ τις ἄλλος καὶ Περικλῆς ἑκὼν δίκαιος. οὐδαμοῦ γὰρ τὴν πλεονεξίαν ἀντὶ τῶν νόμων ἠγάπησεν, οὐδ᾽ ὅπως μείζων τῆς τάξεως ἔσται προὐνοήθη, παρὸν αὐτῷ μᾶλλον παντὸς
120 Πεισιστράτου· ἀλλ᾽ ἦν παραπλήσιος κατέχοντι τὴν ἀκρόπολιν ἐπὶ τῷ σώζειν τοὺς νόμους καὶ τῷ πάντας εὖ ποιεῖν ἐκ μέσου. καίτοι εἰ τὸν Ἀρχέλαον κακίζεις ὡς ἄθλιον καὶ κακοδαίμονα, ὅτι οὐδαμόθεν προσῆκον αὐτῷ τὴν τυραννίδα ἐκτήσατο, ὑπερβὰς τὸ δίκαιον καὶ διαφθείρας οὓς ἥκιστα εἰκὸς ἦν, ᾧ γε ἐξὸν ἐκείνῳ ὁμοίως τυραννεῖν, εἴπερ ἐβούλετο, οὐ ταῦτα ἔδοξεν, ἀλλὰ τοὺς νόμους καὶ τὸ δίκαιον πλείονος ἄξια τοῦ κέρδους ἐποιήσατο, πῶς οὐ τούτῳ συγχαίρειν εἰκὸς ἦν;

---

9 διαφερόντως] διαφερόντος (sic) G. 10 μεῖζον] μείζονα LN. μείζω G apud Iebbium. 12 οὐ δουλεύειν] Similia prorsus Plutarchus in Periclis vita p. 293. unde et idem dictus a M. Tullio *princeps consilii publici* lib. I. de Orat. p. 41. ed. Manut. Iebb. 16 ἐπιεικείαις] ἐπιεικίαις G. καθείργειν LN. Vulgo κατείργειν. 17 ἰδεῖν] εἰδεῖν G. 18 ἑκὼν ἦν δίκαιος Reiskius. οὐδ᾽] οὐδὲ ΘGL.

120, 2 προσῆκον αὐτῷ] αὐτῷ προσῆκον N. 3 ἐκτήσατο] ἐκτίσατο G. 4 πλείονος ἄξια] τοῦ πλείονος ἄξια καὶ N.



Digitized by Google

Εἰ μὲν τοίνυν περὶ ἄλλου του πράγματος ἢ δόγματος συνέβαινεν εἶναι τὸν λόγον, οὐδ' ἂν αὐτὸς φήμην δεῖν (20
καταφεύγειν εἰς μάρτυρας, ἀλλ' ἐπ' ἐμαυτοῦ δεικνύναι τἀληθὲς ὅπως ἔχει· ἐπεὶ δὲ ὑπὲρ ἀνδρῶν πάλαι γεγενημένων ἐξέτασις πρόκειται, ποῖοί τινες ἦσαν καὶ τίνα τάξιν τῆς πολιτείας προείλοντο, δεῖ δή τινος, ὦ Πλάτων, καὶ μάρτυρος, ὦ τῶν μαρτύρων ὑπερορῶν, αὐτὸς δ' οὐδέποτ' ἂν φωραθεὶς οἶμαι προσχρώμενος οὐδενί. τοὺς μὲν οὖν ἄλλους ἅπαντας παραλείψω, πολλοὺς ἂν ἔχων εἰπεῖν, ἕνα δὲ ἀρκοῦντα παρέξομαι, Θουκυδίδην τὸν Ὀλόρου· ὃς οὐ μόνον τῇ τῶν λόγων δυνάμει καὶ σεμνότητι, ἀλλὰ καὶ τῇ τῶν πραγμάτων ἀκριβείᾳ πλεῖστον προέχειν τῶν συγγραφέων δοκεῖ. φέρε δὴ τί τῷ Περικλεῖ μαρτυρεῖ καὶ ποῖόν τινά φησι γενέσθαι τοὺς τρόπους αὐτὸν, καὶ πῶς ἄγειν τὸν δῆμον; ἡ γὰρ ἐκείνου φωνὴ γένοιτ' ἂν ἡμῖν ὥσπερ ἂν εἰ αὐτὸν ἐν ὀφθαλμοῖς εἴχομεν τὸν Περικλέα καὶ συνόντες ἑωρῶμεν ὁποῖός τις ἦν. „Ὅσον τε γὰρ χρόνον προὔστη τῆς πόλεως ἐν τῇ εἰρήνῃ μετρίως ἐξηγεῖτο καὶ ὡς ἀσφαλῶς διεφύλαξεν αὐτὴν, καὶ ἐγένετο ἐπ' αὐτοῦ μεγίστη· ἐπειδὴ δὲ ὁ πόλεμος κατέστη, ὁ δὲ φαίνεται (20
καὶ ἐν τούτῳ προγνοὺς τὴν δύναμιν. ἐπεβίω δὲ δύο ἔτη καὶ ἓξ μῆνας· καὶ ἐπειδὴ ἀπέθανεν, ἐπὶ πλέον ἔτι ἐγνώσθη ἡ πρόνοια αὐτοῦ εἰς τὸν πόλεμον. ὁ μὲν γὰρ ἡσυχά-
121 ζοντάς τε καὶ τὸ ναυτικὸν θεραπεύοντας καὶ ἀρχὴν μὴ ἐπικτωμένους ἐν τῷ πολέμῳ μηδὲ τῇ πόλει κινδυνεύοντας ἔφη περιέσεσθαι· οἱ δὲ ταῦτά τε πάντα εἰς τοὐναντίον ἔπραξαν καὶ ἄλλα ἔξω τοῦ πολέμου δοκοῦντα εἶναι κατὰ τὰς ἰδίας φιλοτιμίας καὶ ἴδια κέρδη κακῶς ἔς τε σφᾶς αὐτοὺς καὶ τοὺς συμμάχους ἐπολίτευσαν, ἃ κατορθούμενα μὲν τοῖς ἰδιώταις τιμὴ καὶ ὠφέλεια μᾶλλον ἦν, σφαλέντα δὲ τῇ πόλει εἰς τὸν πόλεμον βλάβη καθίστατο. αἴτιον δὲ

---

6 συνέβαινεν GN. Legebatur συμβαίνει. συμβαίνειν ΘL. 9 προείλοντο] προείχοντο E. 10 οὐδέποτ' GN. Vulgo οὐδέποτε. 15 ὁποῖος] ποῖος G. 16 Ὅσον τε γὰρ] Thucydides II, 65. Conf. infra p. 126, 1. ὡς ἀσφαλῶς] In Thucydide, quem hodie habemus, solummodo posterius legitur vocabulum. sed ὡς interdum etiam adiungitur adverbiis a gradu positivo deductis. v. supra ad p. 96 t. I. et ad Dion. Cassii p. 371, 97. Reisk. 18 δύο ἔτη] ἔτη δύο G. 19 πλέον] Vulgo πλεῖον.

Digitized by Google

ἦν ὅτι ἐκεῖνος μὲν δυνατὸς ὢν τῷ τε ἀξιώματι καὶ τῇ γνώμῃ, χρημάτων τε διαφανῶς ἀδωρότατος γενόμενος κατεῖχε τὸ πλῆθος ἐλευθέρως καὶ οὐκ ἤγετο μᾶλλον ὑπ' αὐτοῦ ἢ αὐτὸς ἦγε, διὰ τὸ μὴ κτώμενος ἐξ οὐ προσηκόντων τὴν δύναμιν πρὸς ἡδονήν λέγειν, ἀλλ' ἔχων ἐπ' ἀξιώσει καὶ πρὸς ὀργήν ἀντειπεῖν. ὁπότε γοῦν αἴσθοιτό τι αὐ- (202) τοὺς παρὰ καιρὸν ὕβρει θαρσοῦντας, λέγων κατέπλησσεν ἐπὶ τὸ φοβεῖσθαι, καὶ δεδιότας αὖ ἀλόγως ἀντικαθίστη πάλιν ἐπὶ τὸ θαρσεῖν· ἐγίγνετο δὲ λόγῳ μὲν δημοκρατία, ἔργῳ δ' ὑπὸ τοῦ πρώτου ἀνδρὸς ἀρχή. οἱ δ' ὕστεροι ἴσοι μᾶλλον αὐτοὶ πρὸς ἀλλήλους ὄντες καὶ ὀρεγόμενοι τοῦ πρῶτος ἕκαστος γίγνεσθαι ἐτράποντο καθ' ἡδονὰς τῷ δήμῳ τὰ πράγματα ἐνδιδόναι, ἐξ ὧν ἄλλα τε πολλὰ ὡς ἐν μεγάλῃ πόλει καὶ ἀρχὴν ἐχούσῃ ἡμαρτήθη καὶ ὁ ἐς Σικελίαν πλοῦς." εἶτα ἐπὶ τούτοις τὸ ἀκροτελεύτιόν ἐστι „Τοσοῦτον τῷ Περικλεῖ ἐπερίσσευσε τότε, ἀφ' ὧν αὐτὸς προέγνω, καὶ πάνυ ἂν ῥᾳδίως περιγενέσθαι τὴν πόλιν Πελοποννησίων αὐτῶν τῷ πολέμῳ."

Ταῦθ' ὑπὲρ τῆς Περικλέους προαιρέσεως καὶ πολιτείας ἀνὴρ διεξέρχεται, πρῶτον μὲν κατ' αὐτὸν ἐκεῖνον γεγονὼς καὶ συγγεγονώς, οὐχ ὥσπερ Πλάτων οὐδὲ ἰδὼν αὐτὸν φαίνεται· ἔπειτ' οὐ φιλονεικίας ἕνεκεν οὐδεμιᾶς,
122 οὐδ' εἰς ἀγῶνος χρείαν, οὐδ' εἰς ἓν ὃ προὔθετο πάντα ἀναφέρων, ἀλλ' ἐν ἱστορίᾳ καὶ διηγήσει τἀληθὲς ἁπλῶς (203) οὑτωσὶ παραδιδούς, ὥσπερ ὅταν περὶ τῆς Πελοποννησίων

121, 6 χρημάτων τε Θ. Legebatur χρημάτων δὲ. 8 λέγειν] λέγει G apud Iebbium. 9 ἐπ' ἀξιώσει est idem atque μετ' ἀξίας. Reisk. 10 κατέπλησσεν GL. κατέπλησεν N. Scribebatur κατέπληττεν. 11 τὸ θαρσεῖν] τῷ θαρσεῖν GL. 11 ἐγίγνετο ΘN. Vulgo ἐγίνετο. δημοκρατία] δημοκρατεία G. 13 πρῶτος] πρῶτος αὐτὸς N. γίγνεσθαι] γίνεσθαι EGLN. Post δήμῳ est in Thucydide καὶ unde fortasse legendum τῷ δήμῳ ὁμιλεῖν καὶ τὰ πράγματα ἐνδιδόναι. Reisk. 14 ἐν μεγάλῃ] ἐν expunctum in N. 15 ἐστι] ἐστιν G. ἐπερίσσευσε L. Legebatur ἐπερίσσευε. ἐπερίσευε GN. 16 Ταῦθ'] ταῦτα EN. 17 ἀνὴρ] Vulgo ἀνήρ. ὁ ἀνὴρ EG. πρῶτον] καὶ πρῶτον L.

122, 1 οὐδ' εἰς ἓν GN. Vulgo οὐδὲ εἰς ἕν. ἐν ἱστορίᾳ] ἐν erasum in LN. 2 ὅταν] ὅτ' ἂν N. τῆς Πελοποννησίων]



Digitized by Google

εἰσβολῆς, ἢ τινος ἄλλου τῶν ἐφ' αὑτοῦ διηγῆται. εἰ μὲν τοίνυν ἠμφισβητεῖτο τῷ Θουκυδίδῃ περὶ τούτων, ἄλλος ἂν ἦν λόγος· διδόντας δὲ καὶ πειθομένους ἀναγκαίως τοιοῦτον γενέσθαι τὸν Περικλέα, ποῦ τῶν βλασφημιῶν τούτων εἰκὸς ἀξιοῦν, ὡς διάκονος ἀντὶ προστάτου καὶ τῶν ὀψοποιῶν οὐδὲν ἦν βελτίων οὐδ' ἐπιτηδειότερος χρῆσθαι πόλει; πολλοῦ μέντἂν ἄξιον ἦν κολακεία, εἰ Περικλεῖ τοῦτ' ἦν ἐπενεγκεῖν τὸ πρόσρημα· ἐπεὶ σὺ μὴ μόριον μόνον κολακείας αὐτῷ προσθῇς, ἀλλὰ καὶ πᾶσαν τὴν κολακείαν φέρων ἀνάθες, καὶ νὴ Δί', εἰ βούλει, τὴν ἰδέαν αὐτήν, ἐφ' ἣν πάντα ἀνάγεις, ἐὰν δείξῃς ὡς ὅτῳ ταῦτα ὑπῆρχε, τῇ Θεαρίωνος καὶ Μιθαίκου τύχῃ συνεκεκλήρωτο, καὶ τούτων ἀντίστροφος ἦν τὰ πολιτικά. ἀλλ' ἴσως οἱ κόλακες πρότερον τἀληθῆ φανοῦνται λέγοντες ἢ ἡμεῖς, εἴ τι τοιοῦτον ἐκείνῳ προφέρειν ἀξιοῖμεν. φέρε δὴ πόθεν αὐτῷ πᾶς οὗτος ὁ λόγος ὡρμήθη καὶ πόθεν εἰς τὰς βλασφημίας τὰς κατὰ τῶν ἀνδρῶν ἀφίκετο; ἴσως οὐ χεῖρον ὡς πρὸς παρόντα καὶ συνόντα ποιήσασθαι τοὺς λόγους, ἀναμιμνήσκοντας οὑτωσί· ἔφησθα μὴ χρῆναι τὸν ἀγαθὸν πολίτην τὰς ἐπιθυμίας ἐκ παντὸς τρόπου ζητεῖν ἀποπιμπλάναι, μήτ' αὑτὸν ἑαυτοῦ μήτε τῶν πολιτῶν, μηδὲ τοῦτον ὅρον τῆς εὐδαιμονίας τίθεσθαι, ἀλλὰ τὰ βέλτιστα ἀντὶ τῶν ἡδίστων προαιρεῖσθαι· μηδὲ γὰρ εἶναι τὸ ἡδὺ πάντως ἀγαθόν, μηδ' αὖ τὸ ἀγαθὸν τοῦ ἡδέος χάριν, ἀλλὰ τὸ ἡδὺ τοῦ ἀγαθοῦ χρῆναι διώκειν. οὐ ταῦτα κυκλεῖς ἄνω καὶ κάτω; καλῶς γε ποιῶν, ὦ ἑταῖρε, τὸ σὸν δὴ τοῦτο, καὶ τἀληθῆ λέγων. οὐδεὶς ἀντερεῖ μέχρι τούτου, οὐκοῦν

---

τῆς τῶν πελοποννησίων N. 3 αὐτοῦ] ἑαυτοῦ E. διηγῆται] διηγεῖται GL. 4 ἦν ΘGLN Opor. ἦ Iunt. Iebb. 5 τούτων] τοῦτον EGL. 6 βελτίων] βελτίον (sic) ex G affert Iebbius. οὐδ'] οὐδὲ G. ἦν om. N, qui in marg. ἦν habet inter εἰκὸς et ἀξιοῦν ponendum. 7 ἐπενεγκεῖν] ὑπενεγκεῖν G. προσθῇς] προσθεὶς L. πρόσθες Reiskius. Sic in lemmate scholii est p. 455, 20. 8 βούλει] γε in marg. addit N. 9 συνεκεκλήρωτο] συγκεκλήρωτο N. 11 οὗτος ὁ] ὁ τοιοῦτος E. 13 Legebatur ἀναμιμνήσκοντας αὐτὰ οὑτωσί. αὐτὰ om. N, lacuna relicta. αὐτὰς G. αὐτὸν (h. e. Platonem) Reiskius. 14 τὸν ἀγαθὸν] τὸ ἀγαθὸν G apud Iebbium. 16 προαιρεῖσθαι] προηρῆσθαι G. 17 τοῦ ἡδέος] ου τ τοῦ ἡδέως G. 18 τἀληθῆ] τἀληθὲς S.

Digitized by Google

*ὅστις γε μὴ κἀμοί. ὅρα δή, τάχα γὰρ ἄν τι καὶ ἀλλοῖον ἐκβαίη. Περικλέους μοι λέγεις, ὦ ἄριστε, βίον καὶ πολι-*
123 *τείαν, ὅταν ταῦτα λέγῃς, καὶ οὐκ ἐλέγχεις τὸν ἄνδρα, ἀλλ' ἐπιψηφίζεις, ὡς αὐτὸς καλεῖς, καὶ παρὸν αὐτῷ χρῆσθαι μάρτυρι τῶν λόγων μεθίστης οὐκ οἶδ' ὅπως εἰς τοὺς ἀντιδίκους τὸν ἄνδρα. ἃ γὰρ σὺ διδάσκεις τῷ λόγῳ, ταῦτ' ἐπὶ τῶν ἔργων ἐκεῖνος δείξας πρότερος φαίνεται· ὥστ' εἰ μηδὲν προσέθηκας, ἀλλ' ἐν τούτοις ἔστης, πᾶς τις ἂν εὗρεν ἐκ τῶν εἰρημένων τὸν Περικλέα, ὥσπερ τοὺς ἀπὸ τῶν γνωρισμάτων ἐν τοῖς δράμασι. σκόπει γὰρ πάλιν ἐξ* (205)
*ἀρχῆς ὥσπερ νόμον. οὐ χρὴ τὰς ἐπιθυμίας θεραπεύειν οὐδ' εἰς ἀπέραντον ἐᾶν προϊέναι, ἀλλὰ κρατεῖν τῶν ἡδονῶν τόν γε δὴ χρηστὸν καὶ σώφρονα, καὶ τοὺς πολίτας μὴ συνεθίζειν τὸ πλέον ζητεῖν ἔχειν. ὁ τοίνυν Περικλῆς οὕτως ἦν ἄπο πολλοῦ τοῦ δουλεύειν ταῖς ἐπιθυμίαις ἢ τὸ πρὸς ἡδονὴν ζητεῖν ἢ πρὸς πλεονεξίαν, ἀλλὰ μὴ πρὸς τὸ βέλτιστον ἄγειν, ὥστ' ἀπ' αὐτῶν τῶν ἐναντιωτάτων φαίνεται τὴν δόξαν λαβών. αὐτός τε γὰρ τοῦ πλείονος τοσοῦτον ὑπερεῖδεν, ὅσον πλεῖστον ἐξῆν, τῇ τε πόλει συνεβούλευε μήτ' ἀρχὴν ἐπικτᾶσθαι μήτ' ἔξω τῶν ἀναγκαίων μηδὲν πραγματεύεσθαι, ἀλλ' ἡσυχαζούσῃ τὸν πόλεμον διαφέρειν. καίτοι ὅτε τὸν πόλεμον μεθ' ἡσυχίας παρῄνει διαφέρειν, σχολῇ γ' ἂν ἄλλως ἐπέτρεψε πολυπραγμονεῖν εἰκῇ. καὶ μὴν αὐτός τε ἐν τάξει ζῆν, οὐχ ὡς ἥδιστα, προείλετο, καὶ τὸν δῆμον εἴ ποτ' αἴσθοιτο ὑβρίζοντα κατεῖχε. πῶς ἄν τις μᾶλλον τοῖς Πλάτωνος λόγοις πειθόμενος φανερὸς γένοιτο, εἰ χρὴ τοῖς Πλάτωνος φῆσαι πείθεσθαι τὸν*

---

19 *βίον λέγεις ὦ ἄριστε* E.

123, 1 *ταῦτα λέγῃς* ΘN. Legebatur *ταῦτα λέγεις.* 3 *ταῦτ'* N. Vulgo *ταῦτα.* 5 *τοὺς ἀπὸ τῶν γνωρισμάτων*] Subaudi *ἀνευρισκομένους ἐν τοῖς δράμασιν.* Cogitavi aliquando post *τοὺς* deesse *συγγενεῖς* vel *φίλους.* nolim tamen hoc urgere. Reisk. 7 *τῶν ἡδονῶν*] *τῆς ἡδονῆς* G. *χρηστὸν καὶ σώφρονα*] *σώφρονα καὶ χρηστὸν* E. 9 *ἢ τὸ πρὸς*] *ἢ τοῦ τὸ πρὸς* margo L. 12 *μήτ' ἀρχὴν*] Vulgo *μήτε ἀρχὴν.* *μήτ' ἔξω* N. Vulgo *μήτε ἔξω.* 14 *ἐπέτρεψε*] *γρ. ἐπέστρεψε* margo N. *καὶ μὴν, εἰ αὐτός τε ἐν τάξει,* et deinde punctum post *κατεῖχε* commate mutari debet. Reisk. *αὐτός τε* N. Legebatur *αὐτός γε.* 15 *πῶς οὖν ἄν τις* Canterus.

Digitized by Google

τοσοῦτον πρότερον Πλάτωνος, ἢ πῶς ἂν Πλάτων μᾶλλον (206)
ἐλεγχθείη τἀναντία αὐτὸς ἑαυτῷ λέγων ἢ εἰ φαίνοιτο ἅμα
τ' ἀξιῶν μὴ πρὸς ἡδονὴν μηδ' ἐν κόλακος μοίρᾳ τοῖς δή-
μοις ὁμιλεῖν, ἀλλὰ πρὸς τὸ βέλτιστον, καὶ Περικλέα κα-
κίζων, ὃς οὐ πρὸς ἡδονήν, ἀλλ' ἀπὸ τῆς ὀρθοτάτης ἀεὶ
γνώμης ὡμίλει; ὅμοιον γάρ ἐμοὶ δοκεῖ ποιεῖν ὥσπερ ἂν
εἰ προειπὼν τοῖς ἀνθρώποις ὅτι οὕτω χρὴ προΐστασθαι
124 τῶν πόλεων, ὡς Περικλέα ποτὲ τῶν Ἀθηναίων ἑωρᾶτε,
εἶτ' ἀπηγόρευε πάλιν μὴ οὕτως ὥσπερ ἐκεῖνος προΐστασθαι.
φαίνεται γὰρ βουλομένῳ σκοπεῖν ὀρθῶς κἀν τοῖς λόγοις
κἀν τοῖς ἔργοις τὰ κεφάλαια τοῦ διαλόγου πεπληρωκὼς
ἀνήρ, λέγω τοῖς μὲν λόγοις οἷς διεξῄει πρὸς τὸ πλῆθος
ἑκάστοτε, τοῖς δὲ ἔργοις ἅ τε αὐτὸς αὐτοῖς ἐπὶ τοῦ βίου
τοῦ καθ' ἡμέραν ἐπεδείκνυτο, ἄξια τῆς παρρησίας ταύ-
της καὶ κακῶν ὧν ἐπὶ τῶν ἐκείνου καιρῶν ἀπέσχετο ἡ
πόλις. μέχρι μὲν γὰρ ἐδημηγόρει Περικλῆς καὶ καθεῖργε
τὸ πλῆθος, οὔτ' εἰς Σικελίαν ἀποστόλους ἔπεμπον Ἀθη-

---

17 μᾶλλον ἐλεχθείη (sic) πλάτων G. μᾶλλον om. E. 18 μηδ' ἐν N. Vulgo μηδὲ ἐν. 20 ἀλλ' ἀπὸ] ἀλλὰ ἀπὸ Θ.

124, 1 ἑωρᾶτε] ὁρᾶτε EL. ὡρᾶτε G. εἶτ'] εἶτα Θ. 3 ἀνήρ] Vulgo ἀνήρ. ὁ ἀνὴρ E. Post ἀνὴρ distinguitur, λέγω ad proxima relato, in GLN. ἀνήρ, ὃν λέγω Reiskius. οἷς EGLN. οὗ Iunt. οὓς Canterus, Iebb. 4 αὐτοῖς] αὐτοὺς ΘG et a pr. m. N, in quo αὐτοὺς expunctum est. Facile carerem αὐτοῖς, quod videri potest e proximo αὐτὸς natum esse. Reisk. 5 Mirifica dictio ἔργα ἄξια τῶν κακῶν ὧν ἀπέσχετο ἡ πόλις τότε. res eius gestae sat magnae gravesque sunt, ut comparari possint cum malorum magnitudine, a quibus ille civitatem, se vivo, cohibuit et servavit intactam. Reisk. 6 Vulgo κατεῖργε. κατεῖχε G. ἔπεμπεν (sic) ἀθηνῶν ἀποστόλους G. εἰς Σικελίαν] Expeditionem innuit, cui praeerat Nicias de qua videatur Thucyd. Histor. lib. 6 et 7. Vir autem quantus esset Pericles, nulla magis ostendere, quam quae post illius mortem commissa fuerunt ab Atheniensibus delicta, et praecipue bellum hoc Sicelicum. Quam infausto omine susceptum fuerit, eventus docuere. Quid autem de istiusmodi excursione sentiret Pericles, discere est ex iis, quae scribit Plutarchus Pericl. pag. 298. Πολλοὺς δὲ καὶ Σικελίας ὁ δύσερως ἐκεῖνος ἤδη καὶ δύσποτμος ἔρως εἶχεν, ὃν ὕστερον ἐξέκαυσαν οἱ περὶ τὸν Ἀλκιβιάδην ῥήτορες. ἦν δὲ καὶ Τυρρηνία καὶ Καρχηδὼν ὄνειρος, οὐκ ἀπ' ἐλπίδος, διὰ τὸ μέγεθος τῆς ὑποκειμένης ἡγεμονίας, καὶ τὴν εὔροιαν τῶν πραγμάτων. ἀλλ' ὁ Περικλῆς κατεῖχε τὴν ἐκδρομὴν ταύτην, καὶ περιέκοπτε

Digitized by Google

ναῖοι οὔτε μακροὺς καὶ ἀνηνύτους τοῦ πολέμου κύκλους περιεβάλλοντο, ἀλλὰ καὶ τοῦ τείχους ἔξω προϊέναι περίεργον ἐπείθοντο εἶναι καὶ οὐκ ἀσφαλὲς οὐδὲ εἰδότων τὰ (207) ὑπάρχοντα σώζειν. ἐπειδὴ δὲ ἐτελεύτησεν ἐκεῖνος, ὠνειροπόλουν μὲν Σικελίαν, ἐφίεντο δὲ Ἰταλίας, ὠρέγοντο δὲ Καρχηδόνος καὶ Λιβύης, πάντας δὲ ἀνθρώπους περιεσκόπουν, ἤρκει δὲ οὐδὲν αὐτοῖς, μακροτέραν δὲ τοῦ πολέμου τὴν παρενθήκην ἐποιήσαντο. ὁ δὲ ταῦτα πείθων ἦν, ὦ Πλάτων τε καὶ Σώκρατες, ὁ ὑμέτερος κοινωνὸς μὲν οὐκ ἔστιν εἰπεῖν, ἑταῖρος δὲ καὶ αὐτὸς ἂν φαίης, μᾶλλον δὲ εἴρηκας. πῶς οὖν ἄν τις ταῦτα δικαίως κατηγοροίη Περικλέους, ἢ πῶς οὐκ ἀναγκαίως Ἀλκιβιάδου, ὅστις παραλαβὼν τὴν πόλιν εἰδυῖαν ἀκούειν συμβούλων εἶθ' οὕτως ἐξέμηνε; Περικλῆς μὲν γὰρ οἶμαι Ἀναξαγόρᾳ συγγενόμενος βελτίων ἢ κατ' ἐκεῖνον ἐγένετο, Ἀλκιβιάδης δ' ἑταίρῳ χρώμενος Σωκράτει μικρὰ, μᾶλλον δ' οὐδὲν ἀπώνατο τῆς συνουσίας. ὥστ' οὐκ ἀνεκτὸν εἴ τις ἐκεῖνον ἐπαινῶν τούτῳ μέμφεται. Πλάτων τοίνυν ὥσπερ ἐξεπίτηδες ἐναντία τῶν ὄντων λέγων ἢ τοὺς θαυματοποιοὺς μιμούμενος οὐ μόνον Περικλέους κατηγόρηκεν ἃ μὴ προσῆκεν, ἀλλὰ καὶ δεινόν τί φησιν εἶναι, εἴ τις Ἀλκιβιάδην αἰτιάσεται τῶν αὐτῶν τούτων πραγμάτων. ἐκ δὲ τοῦ λόγου φαί- (208) νεται τῷ μὲν οὐδ' ὁτιοῦν προσῆκον τῶν αἰτιῶν, τῷ δ' οὐκ ἐλάχιστον μέρος. ὁ μὲν γὰρ ἡσυχάζοντάς τε καὶ τὸ ναυτικὸν θεραπεύοντας, τοῦτο δ' ἦν τὰ ὑπάρχοντα σώζοντας, καὶ ἀρχὴν μὴ ἐπικτωμένους ἔφη περιέσεσθαι, ὁ δὲ

---

κὴν πολυπραγμοσύνην. Id quidem sibi satis habuit Pericles, si Lacedaemoniorum vim coercere potuisset. Videatur idem Plutarchus in Alcib. p. 363. Iebb. 8 Progredi extra moenia putabant neque sibi tutum esse, et decere homines eos, qui nesciant opes suas conservare praesentes. Reisk. 14 ἐξέμηνε] ἐξόμανε (sic) G. Ἀναξαγόρᾳ] Confer Platonem in Phaedro, Tom. 3. p. 270. De Alcibiade vero consulantur quae idem scribit in Alcib. 1. p. 104. Tom. 2. Sic etiam Corn. Nep. in Alcibiade, cap. 2. *Educatus est in domo Periclis, eruditus a Socrate.* Iebb. 15 συγγενόμενος] ξυγγενόμενος L. δ' ἑταίρῳ] δὲ ἑταίρῳ G. δὲ ἑτέρῳ N. 16 ἐκεῖνον redit h. l. ad proximum Alcibiadem, τοῦτον ad remotum Periclem. Reisk. 17 τούτῳ GLN. Legebatur τοῦτον.

Digitized by Google

τῶν τὰ πολλὰ πράττειν πεισάντων εἰς ἦν. ἐν οἷς ἄλλα τε πολλὰ καὶ ὁ εἰς Σικελίαν ἡμαρτήθη πλοῦς, ἐξ ὧν πλείους τῶν συμμάχων τοὺς πολεμίους ἐκτήσαντο καὶ τελευτῶντες ἀπήλλαξαν ὡς ἴσμεν. οὔκουν ὁ Περικλῆς ἦν ὁ ποιήσας οἰδεῖν καὶ ὕπουλον εἶναι τὴν πόλιν, οὐδὲ δι' ὃν τῶν ἀρχαίων σαρκῶν, ὡς σὺ φῂς, ἐστερήθησαν, ἀλλ' ὁ τὰς ἐπιθυμίας ἐπαύξων αὐτοῖς καὶ τοῖς τῶν Αἰγεσταίων χρήμασι δελεάζων καὶ τὴν Σικελικὴν τράπεζαν προξενῶν, ἅτε καὶ αὐτὸς ὢν τοιοῦτος καὶ μηδαμοῦ στῆναι τῶν ἐλπίδων ἐῶν τὸν δῆμον, ἀλλ' ἀεὶ μακρότερ' αὐτοῖς ὧν ἐβούλοντό τε καὶ ἐδέοντο ὑποτιθεὶς καὶ τἀναντία τῷ Περικλεῖ πολιτευόμενος, μετὰ τὴν ἐκείνου τελευτήν. οὐκοῦν πρίν τινα τῶν (209) ἀντιπάλων ἑλεῖν, ἕνα τῶν φίλων θηρεύσας ἄγεις, καὶ πέπονθας ταυτὸν τῷ Πινδάρου Πηλεῖ, ὃς τῆς τε θήρας διήμαρτε καὶ τὸν Εὐρυτίωνα φίλτατον ὄντα ἑαυτῷ προσδιέφθειρε. τὸ δ' αὐτὸ κἂν τοῖς ὕστερον οἶμαι Ἀδράστῳ τῷ Γορδίου φασὶ συμβῆναι.

Ἐγὼ τοίνυν περὶ μὲν Ἀλκιβιάδου τὰ νῦν οὐδὲν δέομαι λέγειν, ἀλλὰ καὶ τοῦθ' ὑπ' αὐτοῦ τοῦ λόγου προήχθην ἄκων εἰπεῖν· εἰ δὲ ἡ γεωμετρία καλὸν καὶ ἡ κατ' αὐτὴν ἰσότης, καὶ δεῖ μὴ τούτων ἀμελεῖν, εὑρίσκω τὸν Περικλέα τὴν ἰσότητα κάλλιστα τιμήσαντα οὐ μόνον ἐν τοῖς
126 ἰδίοις, ἀλλὰ κἀν τοῖς κοινοῖς. ὅσον τε γὰρ χρόνον ἐν τῇ εἰρήνῃ προὔστη, μετρίως ἐξηγεῖτο, φησὶν ὁ τἀκείνου καλῶς εἰδὼς — τοῦτο δ' ἐστὶν ἐναντίον τοῦ βιαίως καὶ πλεονεκτικῶς, ὧν σὺ κατηγορεῖς — ἐπειδή τε ὁ πόλεμος συνέστη, μόνος ᾔδει τί πράττουσιν ὑπάρχει σωθῆναι. οὐκ-

---

125, 5 τελευτῶντες N et Canterus. Legebatur τελευτῶν. ἀπήλλαξαν] ἀπήλλαξεν GL. ὁ περικλῆς Θ et correctus N, qui primum habuit vulgatum οὐ περικλῆς. 6 φῂς] ἔφης L. 11 Πινδάρου] Fragm. 17. p. 566. 12 φίλτατον] φίλον GN. φίλιον superscriptum in L. 13 Γορδίου N, Canterus, Iebb. γοργίου Iunt. Vide Herodoti I, 35. 15 κατ' αὐτὴν] κατὰ ταύτην Θ. μὴ] μὴ δὲ N. τούτων] Scilicet geometriae et aequalitatis. Mallem tamen ταύτης. Reisk.

126, 1 ὅσον τε γὰρ —] Thucydidis verba supra apposita p. 120, 16. 2 τἀκείνου] τὰ ἐκείνου EG. 3 ἐναντίον] ἐναντίως EGN. ἐπειδή τε] ἐπειδὴ δὲ ΘL: quod convenit p. 120, 17.

Digitized by Google

οὖν τῷ μὲν ἅπαντος κέρδους κρείττω παρέχειν ἑαυτὸν δικαιοσύνην ἀσκῶν δῆλος ἦν, τῷ δὲ τὸν ἐν τάξει βίον ἀντὶ τοῦ πρὸς ἡδονὴν προῃρῆσθαι σωφροσύνης πίστιν παρείχετο ἐμφανῆ, καὶ μὴν ἀνδρείας γε ἐν οἷς οὐ πρὸς χάριν (210) οὐδ' ὑποπεπτωκώς, ἀλλ' ὡς οἷόν τε μάλιστα ἐλευθέρως ὡμίλει τῷ δήμῳ. μόνος τοίνυν καὶ τὰ μέλλοντα ἔσεσθαι προειδὼς καὶ τοῖς παροῦσι χρήσασθαι δυνηθεὶς πῶς οὐκ ἂν σοφίας δικαίως δόξαν φέροιτο τῆς γέ που χρησιμωτάτης, εἴ τις ἀνθρωπίνως ἐθέλοι λογίζεσθαι; εἶθ' ὃν ἐξ ἁπάντων τῶν τῆς ἀρετῆς μορίων ὑπάρχει προσειπεῖν, ἀνδρεῖον, δίκαιον, φρόνιμον, σώφρονα, τοῦτον Πλάτων μετὰ τῶν κολάκων ἠρίθμησε; λάλους γάρ, φησίν, Ἀθηναίους ἐποίησε καὶ ἀργοὺς καὶ δειλοὺς καὶ φιλαργύρους, εἰς μισθοφορὰν καταστήσας. περὶ μὲν δὴ λάλων, ὦ Πλάτων, καὶ ἀργῶν καὶ δειλῶν αὐτόθεν κατάβαλε,

μή πού τις καὶ Τρῶας ἐγείρησιν θεὸς ἄλλος,

καὶ δῶμεν λαβὴν καθ' ἡμῶν αὐτῶν, προσήκουσαν μὲν ἥκιστα, ὅμως δὲ τὸ τοῦ Ὁμήρου κἀνταῦθα νικᾷ τὸ

Ὁπποῖόν κ' εἴπησθα ἔπος, τοῖόν κ' ἐπακούσαις.

ἐγὼ μὲν γὰρ οὐδὲν ἂν εἴποιμι φλαῦρον οὐδὲ προαχθείην, μήποθ' οὕτω μανείην· ἀλλ' ἐμαυτοῦ πρότερον τὰ ἔσχατ' ἂν καταγνοίην ἢ Πλάτωνα τῶν μεγίστων εὐφημιῶν ἑκὼν ἂν ἀποστερήσαιμι. ἕτεροι δ' εἰσὶν ἴσως τινὲς οἷς ἔλαττον (211)

---

4 ἅπαντος EGLN et Photius p. 423 b, 28. Legebatur παντὸς. 5 τὸν] τῶν a pr. m. L. τὸν ἐν om. G. 6 προῃρῆσθαι] προηρεῖσθαι L. προαιρεῖσθαι N. ἀνδρείας Θ et Photius. Scribebatur ἀνδρίας. 7 προειδὼς] προορῶν N. γρ. προειδὼς margo N. 8 δόξαν φέροιτο] φέροιτο δόξαν N. 9 ἐθέλοι Steph. Iebb. et Photius. ἐθέλει EGLN Iunt. 11 Πλάτων] πλάτων μὲν N, expuncto μὲν. 13 αὐτόθεν κατάβαλε] Verbum non amplius, omitte hoc statim. in ipso quasi limine onus depone, h. e. nolim chordam hanc tangere, ne ipse tibi malum, ignominiam, acres adversariorum impetus contrahas, nudumque latus illis monstres. nam hoc vult dicere Iliad. κ, 511. Reisk. ἐγείρησιν Θ. Vulgo ἐγείρῃσι. ἐγείρησοι G. 14 τὸ τοῦ L. Vulgo τὰ τοῦ. Ὁμήρου] Iliad. υ, 250. ὁπποῖον L Steph. Iebb. ὁποῖον ΘG. εἴπησθα] εἴποισθα N. ἐπακούσαις L. Legebatur ἐπακούσῃς. ἐπακούσῃ GN. 16 προαχθείην] Subaudi εἰπεῖν. Reisk. μήποθ' N. Vulgo μήποτε. ἀλλ'] ἀλλὰ Θ. ἔσχατ' N. Vulgo ἔσχατα.

127 μέλει τῆς σῆς ἀξίας, ἄλλως τε κἂν προφάσεως εὐπροσώπου λάβωνται, ὡς ὑπὲρ ἀνδρῶν οὐδ' αὐτῶν φαύλων οὐδ' ἀξίων κακῶς ἀκούειν ἀμύνονται. ἐπεὶ ὅτι γε ᾔδειν καὶ περὶ τούτων λέγειν, ὡς οὐδὲ τούτοις ἔνοχος Περικλῆς, σιωπῆσαι χαλεπώτερον ἢ πειρωμένῳ δεικνύειν εὑρεῖν ὅ τι χρὴ λέγειν.

Πρῶτον μὲν οὖν ὡς οὐ λάλους ἐποίησε μέγιστον, οἶμαι, κἀνταῦθα σημεῖον τὸ μὴ ἐπὶ τῶν ἐκείνου χρόνων γενέσθαι τῇ πόλει τὴν διαβολὴν ταύτην, ἀλλ' ὕστερον ἡνίκα τὸν μὲν ἤδη λαμπρῶς ἐπόθουν, τοὺς δὲ παρόντας πλείω λαλοῦντας ἢ φρονοῦντας εὕρισκον καὶ οὐδαμῶς τὸ τοῦ Περικλέους ἀγαθὸν σῴζοντας. ὥστ' ἐξ αὐτῶν ὧν τοὺς ὕστερον ᾐτιάσαντο καὶ ὧν ὑπὸ τῶν μετ' ἐκεῖνον διεβλήθησαν τά γ' ἐκείνου σεμνύνεται. ὥσπερ γὰρ ἰατροῦ χρηστοῦ τελευτήσαντος καὶ κατὰ πολλὴν τὴν ἄδειαν ἤδη διαιτωμένων ὕστερον ἡ νόσος ἐπελθεῖν ἴσχυσεν. ὥστ' ἔκ γε τῶν εἰκότων οὐκ ἀφεῖσθαι μόνον τῆς αἰτίας, ἀλλὰ καὶ κατ' αὐτὸ τοῦτο μειζόνως εὐδοκιμεῖν αὐτῷ προσῆκεν ἀντὶ τοῦ μέχρι τούτου τοῦ χρόνου, ὥσπερ ἡ Διοτίμα δέκα ἔτη (212) τῆς νόσου δυνηθεῖσα ἀναβαλέσθαι τῇ πόλει εἰς εὐεργε-

127, 1 μέλει] μέλλει N. 2 ἀμύνονται GLN. Legebatur ἀμύνωνται. Fort. legendum καὶ αὐτὸς περὶ τούτων. verba haec ἐπεὶ ὅτι γε καὶ (αὐτὸς) περὶ τούτων λέγειν videtur Canterus pro inutilibus et aliunde intrusis ideoque amputandis habuisse. praeteriit quidem in Latinis, sed bene habent si αὐτὸς additur. nam me ipsum quoque his de rebus habere quod dicam, Periclem scilicet his se criminibus nunquam obligasse, hoc vero reticere multo mihi accidit difficilius quam invenire quod dicerem, si proposuissem mihi id demonstrare. Illud *me ipsum quoque habere quod dicam pro Pericle*, pertinet ad illud superius de hominibus Platonis minus quam Periclis eiusque aequalium studiosis. *me ipsum* quoque habere quod dicam non minus atque *illi* habent quod pro Pericle dicant. Reisk.

10 εὐδοκιμεῖν GLN Opor. Iebb. εὐδοκιμῶν Iunt. 11 Post χρόνου deest aut solum ἐπισχεῖν aut αὐτὴν ἐπισχεῖν vel κωλῦσαι, scil. τὴν νόσον, de qua sermo praecessit, aut τὴν νόσον ἐπισχεῖν. Reisk. τῆς νόσου] Fort. τὴν νόσον legendum et δέκα ἔτη accipiendum pro εἰς δέκα ἔτη ἐξήκοντα vel τετελεσμένα. et sic quoque accipi debet apud Platonem in Convivio p. 1193 b. qui fundus est huius loci, ubi sic de Diotima iudicatur: ἣ ταῦτά τε σοφὴ ἦν καὶ ἄλλα πολλὰ καὶ Ἀθηναίοις ποτὲ θυσαμένη πρὸ τοῦ λοιμοῦ δέκα ἔτη ἀναβολὴν ἐποίησε τῆς νόσου. Reisk.

Digitized by Google

σίας μέρος, οἶμαι, κατέθετο καὶ οὐδεὶς ἐκείνην αἰτιᾶται τῶν ὕστερον συμβάντων, ἀλλὰ τοῦ μὲν μὴ πρότερον συμβῆναι πάντες ἂν εἰκότως, τοῦ δὲ ὅλως οὐδείς. οὐ γὰρ ἐκείνη ταῦτα ἐποίησεν, ἀλλ᾽ εἰς ὅσον ἐξῆν ἐκώλυσεν· ὥστ᾽ οὐδ᾽ ἂν συμβεβηκὸς εἴη τὴν ἀρχὴν τό γε ἐκείνης μέρος. σὺ δὲ Μαντινικὴν μὲν ξένην καὶ Μιλησίαν ἐπίστασαι κοσμεῖν καὶ οὕστινας ἄν σοι δοκῇ πάνυ ῥᾳδίως μεγάλων ἠξίωσας, τῶν δὲ Ἑλλήνων τοὺς ἄκρους καὶ παρὰ πᾶσι βεβοημένους ἐν φαύλῳ καθαιρεῖς, οὐδὲν διαφερόντως ἢ εἴ τίς τινα τῶν μαγείρων ὡς ἀληθῶς, ἢ καὶ ἄλλο τι τῶν τυχόντων ἀνδραπόδων. αἴτιον δὲ οὐ τὰ ἀγνοεῖν τὴν ἀξίαν,

128 ἀλλὰ πῶς ἂν εἴποιμι εὐπρεπῶς; σφόδρα τῶν λόγων γίγνει. ἀλλ᾽ ἐκεῖσε ἐπάνειμι, ὅτι πρῶτον μὲν οὐ τῶν Περικλέους καιρῶν, ἀλλὰ τῶν ὕστερόν ἐστι τὸ τῆς λαλιᾶς ἔγκλημα τοῦτο, ὑπ᾽ ἀνδρῶν οὐδὲν ὁμοίων ἐκείνῳ γενομένων, ἔπειτα καὶ τὸ εἰκὸς οὕτω σώζεται, ὡς πάντες μᾶλλον ἢ Περικλῆς ἐπηρκὼς ἂν εἴη λαλεῖν αὐτούς, καὶ τοσοῦτον ἧττων (213) ἐκείνου ἡ αἰτία — καὶ μηδεὶς θαυμάσῃ τὸ παράδοξον —

12 *μέρος* om. L. *μέρος, οἶμαι*] *οἶμαι μέρος* G. *κατέθετο*] *καθίστατο* E. 13 *συμβάντων*] *συμβαινόντων* LN et, ut Iebbius ait, G. *πάντες*] *πάντως* Θ. Breviter ita constrinxit quae sic uberius explices *πάντες ἂν εἰκότως αἰτιῷντο, τοῦ δὲ ὅλως* (hoc est *τὴν ἀρχὴν*) *συμβῆναι οὐδεὶς ἂν αἰτιῷτο.* Reisk. 14 *ἀλλ᾽ εἰς ὅσον*] Legebatur *ἀλλ᾽ ἐκείνη ταῦτα εἰς ὅσον*. Verba *ἐκείνη ταῦτα* in interpretatione Latina omisit Canterus. 15 *ἐκείνης*] *ἐκείνοις* L.

*Μαντινικὴν μὲν ξένην*] Diotimam, quam sapientiae nomine admiratus est Socrates, et ad quam discendi causa proficisci solitus est. Plat. in Conviv. pag. 206. *Μαντινικὴ* autem nomen est gentile. ἀπὸ τῆς *Μαντινείας*, unde ortum duxerit Diotima, derivatum. Sic de eadem Socrates in eodem Convivio pag. 201. *τὸν δὲ λόγον τὸν περὶ τοῦ ἔρωτος, ὅν ποτ᾽ ἤκουσα γυναικὸς μαντικῆς* ubi legendum monet Serranus *Μαντινικῆς*) *Διοτίμας, ἣ ταῦτά τε σοφὴ ἦν καὶ ἄλλα πολλά.* Iebb. *Μιλησίαν*] Aspasiam, praeclaram Rhetorices magistram, de qua Plato in Menexeno pag. 235. 249. Iebb. *μιλισίαν* G. 16 *δοκῇ*] *δοκεῖ* G.

128, 1 Nimium indulges et servis sententiae, quam animo tuo induxisti et defendendam suscepisti. Reisk. *γίγνει*] Scribebatur *γίγνῃ*. 3 *γενομένων*] *γενόμενον* EG. 4 Notanda dictio *πάντες μᾶλλον ἢ Περικλῆς ἐπηρκὼς εἴη* pro vulgari *πάντες ἂν μᾶλλον ἐπηρκότες εἶεν ἢ Περικλῆς*. v. p. 148, 8. Reisk. *ἐπηρκὼς* ΘGLN. Scribebatur *ἐπηρηκώς*. *ἧττων*] *ἧττον* G apud Iebbium.

ὅσωπερ ἀμείνων ἦν λέγειν, εἰ δὴ τοῦτό γ' ἀληθές ἐστιν. εἰ μὲν γὰρ αὐτὸς ὅπως ἔτυχε τοὺς λόγους μετεχειρίζετο, ἢ κατήγαγεν εἰς φαῦλον τὸ πρᾶγμα, ὡς παντὶ τῷ βουλομένῳ λαβεῖν εἶναι, εἰκότως ἂν πολλοὺς ἐδόκει διαφθεῖραι καὶ πεῖσαι λαλεῖν τοῦ φρονεῖν ἀμελήσαντας, ὥσπερ οἵ τι τῶν ῥᾳδίων ἄλλο προδείξαντες ταχέως πολλοὺς ἐπισπῶνται. ὅτε δὲ αὐτὸς ἐν κόσμῳ καὶ νόμῳ καὶ μετὰ παντὸς τοῦ γιγνομένου καλοῦ τοὺς λόγους ἐδείκνυεν αὐτοὺς καὶ τὸ τοῦ Λάχητος, εἰ δὲ βούλει Πλάτωνος, ὁμοῦ συνδιέσωζεν, οὐδὲν χείρω τῶν λόγων τὸν βίον παρεχόμενος, πῶς ἂν εἴη διεφθαρκὼς Ἀθηναίους, ἢ πῶς λάλους εἶναι πεποιηκώς, ὅς γε κἂν τοῖς λόγοις αὐτοῖς τὸ μηδὲν φαύλως μηδ' εἰκῇ τιμήσας φαίνεται; τοὐναντίον γὰρ ἔμοιγε πᾶν αὐτοὺς ἐθίσαι δοκεῖ, μήτε λέγειν ὅπως ἔτυχε μηδὲν μήτε ποιεῖν ἀπὸ τοῦ πρώτου παραστάντος. τριῶν γοῦν ἕν γέ τι δεῖ λελύσθαι· ἢ γὰρ οὐδὲν φαῦλον οὐδὲ αἰσχρὸν λάλους εἶναι, ἢ Περικλῆς οὐκ ἂν εἴη λάλους πεποιηκώς, εἴπερ ἦν ἀγα- (214) θὸς λέγειν, ἢ δή τοι τό γε τρίτον, Περικλῆς οὐ δεινὸς λέγειν, οὐδ' ὑπὲρ τοὺς ἄλλους. οὐκοῦν ὡς δεινὸς καὶ ὡς ὑπὲρ τοὺς ἄλλους λοιπὸν ἂν εἴη διδάσκειν.

---

ἥττων legatur an ἧττον perinde est. si prius, erit haec sententia: non attingit eum, neque adhaerescit ei haec accusatio. si posterius: minus erit eius (vel contra eum) haec accusatio. praefero tamen vulgatam. Reisk. 5 ὅσωπερ] ὅσονπερ GN. 6 μετεχειρίζετο EN. Vulgo μεταχειρίζετο. κατήγαγεν] κατῆγεν correctus N. 7 λαβεῖν] λαβὴν GN. 8 οἵ τι] εἴ τι E. ὅ τι N, sed οἵ τι in margine. προδείξαντες] παραδείξαντες N. 9 γιγνομένου] Conveniente, necessario, ei rei proprio et accommodato. Reisk. 10 αὐτοὺς] Malim αὐτοῖς. Reisk. 11 συνδιέσωζεν correctus L: codex διέσωζεν. τὸν βίον τῶν λόγων G. 13 πᾶν ab rec. m. habet L. 14 γοῦν] γὰρ N. 15 Videbatur aliquando λελεῖφθαι aut λελέχθαι leg. pro λελύσθαι. sed hoc bene habet. λύσις est conclusio e praemissis pronunciatis, λύεσθαι colligi ratiocinando. Est itaque sententia: oportet has tres quaestiones expediri et ratiocinando evinci, ut nihil supersit dubii, quod alicuius animum impeditum et constrictum teneat. Reisk. 16 ἢ δή τοι Reiskius. Libri ἤδη τοι. Περικλῆς οὐ δεινὸς λέγειν] Quem tamen oratorum omnium perfectissimum agnoscit Plato in Phaedro pag. 269. Κινδυνεύει, ὦ ἄριστε, εἰκότως ὁ Περικλῆς πάντων τελεώτατος εἰς τὴν ῥητορικὴν γενέσθαι. Adde M. Ciceronem Orat. p. 305. *Ne Pericles quidem dixit Attice, cui primae sine controversia deferebantur.* Iebb. 17 καὶ

Digitized by Google

Τίνες οὖν ἂν μᾶλλον ἀξιόχρεῳ γένοιντο ἐπαινέται καὶ μάρτυρες τῆς ἐκείνου δεινότητος καὶ δυνάμεως ἢ οἷς συνηθέστερον ψέγειν ἅπαντας ἢ κοσμεῖν; εἰ γὰρ οὗτοι φανεῖεν
129 διδόντες τὴν ψῆφον, σχολῇ γ' ἂν ἄλλος τις ἀποστεροίη. ἐπὶ δ' ἄλλου μέν τινος πράγματος σκήπτεσθαι μάρτυρι κωμῳδοδιδασκάλῳ τάχ' ἂν οὐκ ἰσχυρὸν ἦν, εἰς δὲ λόγων κρίσιν μήποθ' οὕτως σεμνὸς γενοίμην ὥσθ' ὑπεριδεῖν τῶν ἀνδρῶν τούτων ὡς οὐδενὸς ἀξίων. λέγω δὲ ἤδη ταῦτα πρὸς οὓς ἔξεστι. τῶν δὲ βεβήλων ὀλίγος ὁ λόγος. πάντως οὐδὲν δεῖ πύλας αὐτοὺς ἐπιθέσθαι τοῖς ὠσὶν, ἀλλ' ἐπίκεινται πάλαι· τοὺς δὲ λέληθε καὶ αὐτὸ τοῦτο, οὕτω παντάπασιν ἀναισθήτως ἔχουσι καὶ τοσοῦτόν εἰσι πόρρω τῶν ἱερῶν. οὐκοῦν τῶν μαρτύρων ἡμῖν τῶν εἰς τοὺς λόγους κεκλημένων τῷ Περικλεῖ καὶ οἷς οὐκ ἐλάχιστον μετεῖναι φαίημεν ἂν τῆς περὶ ταῦτα ἐμπειρίας ὁ μὲν τῶν Ἑλληνίδων μεγίστην τὴν ἐκείνου γλῶτταν εἴρηκε, λέγων μὲν ἴσον τι καὶ φωνὴν, ἀναμίξας δέ τι τῆς παρὰ τῆς τέχνης πι- (215)
κρίας τοῖς ἀπὸ τῆς ἀληθείας. ὅμως δ' οὐκ ἐξέφυγε τὸ μὴ οὐ τὰ πρῶτα δοῦναι τῷ ἀνδρὶ, μηδ' ἐνδείξασθαι τὴν με-

---

ὡς ὑπὲρ GL. Aberat ὡς. οὖν ἂν] ἂν om. E. 18 δυνάμεως καὶ δεινότητος L.

129, 1 ἐπὶ Reiskius. Libri ἔτι. σκήπτεσθαι πράγματος G. κωμῳδοδιδασκάλῳ] Scribebatur κωμῳδιοδιδασκάλῳ. κομωδιδιδασκάλῳ N. κωμω, διδιδασκάλῳ L. γρ. κωμωδιοδιδασκάλῳ καὶ κωμοδιδασκάλῳ margo L. κωμῳδίας διδασκάλῳ EG. 2 τάχ'] τάχα G. μήποθ' N. Vulgo μήποτε. οὕτως EN. Vulgo οὕτω. 4 βεβήλων] Allusio est ad Orphicum illud, — θύρας δ' ἐπιθέσθε βεβήλοις. Iebb. πάντως οὐδὲν ΘEGLN. Legebatur πάντως δὲ οὐδὲν. 5 ἀναισθήτως] ἀναισθήτους G apud Iebbium. 7 περὶ] παρὰ L a pr. m.: περὶ ab correctore. τῶν Ἑλληνίδων μεγίστην — γλῶτταν] Dubitat scholiasta utrum hoc Eupolidis an Cratini dictum sit. Cratino tribuit Photius p. 424 a, 21. et recte tribuit. Aristides supra p. 19, 15. ὦ μεγίστη σὺ γλῶττα τῶν Ἑλληνίδων, ἔφη Κρατῖνος. 8 εἴρηκε EG. Vulgo εἴρηκεν. φωνὴν] φρονῶν Canterus. Recte habet φωνὴν neque audiendus Canterus. est enim ἴσον τι καὶ φωνὴν idem atque si dixisset ἴσον τι τῷ φωνήν. *vocabulum γλῶτταν usurpavit pro vocabulo φωνήν*. est tamen prius paulo mordacius atque contumeliosius. alterum, φωνὴν puta, fuisset paulo decentius atque benignius. illo enim una potuit cupiditatem et voracitatem et garrulitatem Periclis notare. Reisk. τῆς] τοῖς L a pr. m.: τῆς correctus. παρὰ] ἀπὸ L. 10 ὁ δ']

γαλοπρέπειαν τὴν περὶ τοὺς λόγους αὐτοῦ· ὁ δ' ἀστράπτειν καὶ βροντᾶν καὶ κυκᾶν αὐτόν φησι δημηγοροῦντα. μὴ γάρ μοι τοῦτο εἴ τι μέμφεται αὐτοῦ, ἀλλ' ὅσον εἰς τὸν παρόντα προσήκει λόγον τῆς μαρτυρίας λάβωμεν, ἔπειτα κἀκεῖνα μικρὸν ὕστερον, ἄν τι δέῃ, πρὸς ἡμῶν ὄντα φανήσεται. ὁ δὲ δὴ τρίτος ἄντικρυς ὥσπερ οὐδὲ κωμῳδίας οὗτός γε ποιητής, ἀλλ' ὡς ἂν εἷς τῶν καλῶν κἀγαθῶν ἀνεπίφθονον αὐτῷ καὶ καθαρὰν τὴν μαρτυρίαν ἀποδέδωκε λέγων ὡς ἐκ δέκα μὲν ποδῶν ᾕρει τοὺς ῥήτορας ἐν τοῖς λόγοις, μόνου δὲ πειθώ τις ἐπεκάθιζεν ἐπὶ τοῖς χείλεσι· πάντα δ' εἶναι φλυαρίαν πρὸς ἐκεῖνον. φησὶ γοῦν οὑτωσὶ δυσχεραίνων

---

Aristophanes Acharn. v. 531. Conf. infra p. 137, 5. ὁ δ' ἀστράπτειν etc.] Versus ex Aristophanis Acharnensibus desumptus. De Pericle scribens M. Cicero in Orat. pag. 305. *Qui si tenui genere uteretur, nunquam ab Aristophane poeta fulgurare, tonare, permiscere Graeciam dictus esset.* Confer et Plutarchum in Vita Peric. Tom. 1. pag. 284. Eadem verba legere est apud Diodorum Siculum Biblioth. lib. 12. pag. 307. non tamen Aristophani, sed Eupolidi poetae adscripta, si modo vulgati codices germanam adhibeant lectionem. *Καὶ πάλιν ἐν ἄλλοις Εὔπολις ὁ ποιητής, — Περικλέης οὐλύμπιος Ἤστραπτ', ἐβρόντα, συνεκύκα τὴν Ἑλλάδα. Πειθώ τις ἐπεκάθιζεν ἐπὶ τοῖς χείλεσιν.* Sic editi; mallem vero, *Καὶ πάλιν ἐν ἄλλοις, Περικλέης οὐλύμπιος Ἤστραπτ', ἐβρόντα, συνεκύκα τὴν Ἑλλάδα. καὶ Εὔπολις ὁ ποιητής, Πειθώ τις ἐπεκάθιζεν ἐπὶ τοῖς χείλεσιν, Οὕτως ἐκήλει, καὶ μόνος τῶν ῥητόρων Τὸ κέντρον ἐγκατέλειπε τοῖς ἀκροωμένοις.* Aristophanis etenim testimonium in verbis proxime praecedentibus adduxerat Diodorus; et sic sua cuique constabunt. Iebb.
καὶ βροντᾶν om. EG, expuncta habet N. 12 προσήκει] Malim ἥκει simplex, aut saltem ἀνήκει. Reisk. ἔπειτα] Leg. ἐπεί τοι quoniam. Reisk. 13 φανήσεται πρὸς ἡμῶν ὄντα EG. ὁ δὲ δὴ τρίτος] Eupolis in *Δήμοις*: vid. scholia et Wyttenbachium ad Plutarchum de S. N. V. p. 7. 8. (310. 311. ed. nov.) 14 ἀποδέδωκε] ἀπέδωκε G. 15 ἐκ δέκα Wyttenbachius ex Themistii orat. XXVII. p. 339 c. et Isidoro Pelusiota l. IV. epist. 205. p. 102. Legebatur ἑκκαίδεκα. μόνου δὲ πειθὼ] Praeter Diodorum Siculum in loco quem iam protulimus, de hoc dicto meminerunt M. Cicero et Plinius. Quorum prior haec habet in lib. de Cl. Orat. pag. 205. *Πειθὼ quam vocant Graeci, cuius effector est orator, hanc Suadam appellavit Ennius, quam deam in Periclis labris scripsit Eupolis sessilavisse.* Confer Plin. Epistol. lib. 1. Iebb.
16 φλυαρίαν] φλυαρία Θ.

130 Ῥήτωρ γάρ ἐστι νῦν τις ὤν γ' ἐστὶν λέγειν;
ὁ Βουζύγης ἄριστος ἀλιτήριος.
οὕτως ἴσασιν οὕς τε προσήκει διασύρειν ἐπὶ τοῖς λόγοις καὶ οὓς ἄξιον θαυμάσαι.

Ἆρ' οὖν ὁ τοσοῦτον αἱρῶν τοὺς ῥήτορας, τὴν πειθὼ (216) δὲ ἐπὶ τῶν χειλῶν ἔχων, τοσαύτης δὲ αἰδοῦς παρὰ πάντων τυγχάνων, τοιαῦτα δ' ἀκηκοὼς ὑπὸ τῶν ἅπαντας ἐρευνώντων περὶ τἄλλα καὶ εἰς αὐτὸ τοῦτο κωμῳδούντων ὡς ἀδυνάτους εἰπεῖν, φλυαρίαν τινὰ καὶ λαλιὰν ἐπεδείκνυτο ἐν ταῖς ἐκκλησίαις, ἢ παντὸς ἀνδρὸς πρᾶγμα διεπράττετο, ἀλλ' οὐ πολλῇ τινι τῇ περιουσίᾳ χρώμενος οὕτω διεγίγνετο, πόῤῥω μὲν αὐτὸς ὢν τοῦ ληρεῖν, πλεῖστον δὲ τοὺς ἄλλους ἐθίζων ἀπέχειν; σκεψώμεθα γὰρ τί τῆς λαλιᾶς ἐστὶ καὶ τί τῶν λόγων τῶν ἐμφρόνων. λαλιᾶς μὲν οἶμαι διὰ κενῆς ληρεῖν καὶ εἰς μηδὲν δέον καὶ διατρίβειν τηνάλλως, λόγων δὲ ἀληθινῶν τῶν καιρῶν καὶ τῶν πραγμάτων στοχάζεσθαι καὶ τὸ πρέπον σώζειν πανταχοῦ. τούτοις γοῦν ἕπεται καὶ τὸ κρατεῖν οἶμαι καὶ τὰς ψυχὰς προσάγεσθαι τῶν ἀκουόντων. ὁ τοίνυν Περικλῆς τοσοῦτον νικῶν καὶ τοσαῦτα ἀφ' ὧν ἐνίκα πράττων λάλος μὲν ἥκιστα οἶμαι, λέγειν δὲ ἄριστος εἰκότως ἐνομίζετο. καὶ μὴν ἐν οἷς γε καὶ τοὺς ἄλλους

---

130, 1 ὤν γ'] ὅν γ' GL. Si probamus lectionem ὅν γε, quorundam codicum auctoritate ipsiusque scholiastae munitam, subaudiendum erit ῥήτορα. quem appellare fas est oratorem. sed ὢν bene habet. pendet enim ex ἄριστος. ἄριστος ὢν γ' ἐστὶ λέγειν idem est atque ἄριστος τῶν ῥητόρων, οὕς γε ῥήτορας ἔξεστιν ὀνομάζειν. cum aliquis superiora ad laudem Periclis dixisset, alter ipsum interpellans praeter exspectationem, ridiculi comici gratia, subiicit ἀλιτήριος. haec personarum varietas partiumque dicendi commutatio in eiusmodi fragmentis difficilius quam in fabulis integris sentitur. Reisk. ἐστὶν Θ. Vulgo ἐστί. ἀλιτήριος] Scribebatur ἀλιτήριος. ἀλητήριος G. 2 οὕς τε GLN. Legebatur οὕσπερ. θαυμάσαι ΘEGL. Legebatur θαυμάζειν. 3 χειλῶν] χειλέων EL.
4 Fort. ἐρευνώντων καὶ ἔς τι τἄλλα καὶ ἐς αὐτὸ τοῦτο —. Reisk. τἄλλα] τὰ ἄλλα GL. 6 τῇ περιουσίᾳ] τῇ om. EGN.
7 ἐθίζων ἀπέχειν] ἐθίζειν ἀπέχων ΘEGLN. 8 ἐστι] ἐστιν G.
9 τηνάλλως] τηνάλως ΘLN. 10 τῶν καιρῶν EGL. Legebatur καὶ τῶν καιρῶν. καὶ expunctum in N. Ceterum hic finitur codex Baroccianus G. 12 τοσοῦτον ΘE. Scribebatur τοσοῦτο.

Digitized by Google

αἰτιῶνται, ἅμα τοῦτόν τ' ἀφιᾶσι καὶ τίνας ἀντὶ τούτου προσήκει μέμφεσθαι διδάσκουσιν. εἰ δὲ δεῖ καὶ σεμνοτέρου (217
μάρτυρος, σκόπει τί φησιν ὁ Θουκυδίδης ἐν τοῖς περὶ αὐτοῦ λόγοις. εὑρήσεις γὰρ ἁπανταχοῦ μεμνημένον ὡς ἀρίστου λέγειν καὶ οὐδ' ἀμφισβήτησιν δόντα ὅτι μὴ καὶ πράττειν οὗτός γε πρὸς τῷ λέγειν προστίθησιν, ἐπειδὰν
131 πρῶτον αὐτὸν εἶναι φῇ. καὶ οὗτος ὁ μάρτυς, ὦ χρηστέ, τῶν Ἀντιφῶντος ἑταίρων ἐστὶ καὶ ἅμα ὡς τὸ εἰκὸς καὶ ἐφ' ἑαυτῷ τι φρονῶν, ἀλλ' ὅμως ἀποδίδωσιν ἐκείνῳ τὰ πρέποντα. ἦ που σοί γε τῷ τὴν Ἀσπασίαν ἐπαινοῦντι πρὸ

---

14 τοῦτόν τ' ex lemmate scholii p. 474, 31. dedi. Legebatur τοῦτόν γ'. 16 ὅτι μὴ καὶ λέγειν οὗτός γε πρὸς τῷ πράττειν προστίθησιν. (subaudi αὐτῷ) nullum dubium relinquit quin ipse certe (Thucydides) tribuat ei (Pericli) facultatem optime dicendi una cum scientia optime rempublicam gerendi, in eo, quod ipsum principem Graeciae appellat. Reisk. μὴ καὶ] μὴ καὶ μὴ LN.
17 πρὸς τῷ] πρὸς τὸ LN apud Iebbium. φῇ LN. Legebatur φησί.

131, 1 χρηστὲ] χρηστὸς N. Ἀντιφῶντος] Antiphon iste Rhamnusius erat, eloquentiae magister, de quo videatur Plato in Menexeno, pag. 236. Tom. 2. Iebb. Commemorat Antiphontem, cum quod magister eloquentiae esset, tum quod adversarius Periclis. ut intelligens praeceptorum dicendi poterat optime de Periclis eloquentia iudicare, et quum esset adversarius inimicusque Periclis, non potuit honorificum eius de Periclis eloquentia testimonium alii causae quam vi veritatis tribui, quae vel ab invito testimonium hoc expresserit. Pericles erat popularis, Antipho autem, teste Thucidide VIII, 68. aversus a populo eoque Pericli iniquior. urget itaque noster hic vim et auctoritatem testimonii ab inimico profecti. Reisk. ἑαυτῷ] αὑτῷ L. ἀλλ'] ἀλλὰ Θ.
2 Si Thucydides Periclem ob eloquentiam laudavit, qui Thucydides discipulus Antiphontis fuit, quem Antiphontem tu laudas, tametsi minus quam Aspasiam: multo magis tu debes Pericli debitas laudes deferre, qui Aspasiae discipulus fuit. Inest vis argumenti subobscuri in hoc. Aspasia fuit Antiphonte eloquentior. sed eloquentior de diserto rectius iudicabit quam minus eloquens. Thucydides autem, qui fuit discipulus Antiphontis, magistri minoris, bene iudicat de Periclis eloquentia, qui discipulus fuit Aspasiae, magistrae maioris. Te itaque, Plato, multo magis decet de eodem Pericle bene sentire, te, qui per Socratem Aspasiae eiusdem discipulus recte haberis. Reisk. πρὸ] „Ita MSS. et Can-

τοῦ Ἀντιφῶντος συγχωρητέον ταῦτα. καὶ τί δεῖ Θουκυδίδου λοιπόν; ἥκει γὰρ πρὸς τοὔσχατον τῆς μαρτυρίας ὁ λόγος. αὐτὸς γάρ ἐστι Πλάτων ἡμῖν ὁ τὴν Ἀσπασίαν ὑμνῶν ὡς διδάσκαλον θαυμαστὴν ῥητορικῆς, καταφεύγων ἐπὶ τὸν Περικλέα καὶ δι᾽ ἐκείνου πιστούμενος καὶ διαρρήδην γε οὑτωσὶ διαφέροντα τῶν Ἑλλήνων αὐτὸν προσειρηκώς· τοσοῦτον φαίνεται τῷ Περικλεῖ νέμων εἰς λόγους. καίτοι οὐ δή που τοῦ μὲν Ἀσπασίᾳ μετεῖναι λόγων σημεῖον ἦν Περικλῆς οὕτω λέγων, τῆς δ᾽ αὐτοῦ Περικλέους δυνάμεως ἑτέρωθεν χρὴ τὸ σύμβολον ζητεῖν· οὐδέ γε ὑπὲρ (218)
μὲν Ἀσπασίας διαφέροντα τῶν Ἑλλήνων αὐτὸν ἔδει προσειπεῖν, τῷ δὲ καθ᾽ αὐτὸν πράγματι μηδενὸς βελτίω τῶν πολλῶν. καὶ οὐκ ἐνταῦθα μόνον ταῦτ᾽ εἴρηκε περὶ τοῦ ἀνδρὸς, ἀλλὰ καὶ ἑτέρωθι εἰκότως φησὶ τέλεον τὸν Περικλέα τὴν ῥητορικὴν γενέσθαι συγγενόμενον Ἀναξαγόρᾳ. ἀλλὰ μή πω πᾶν τοῦτο. ἀλλ᾽ ὅτι γε ὡμολόγηκε τέλεον γενέσθαι κατὰ τοὺς λόγους δῆλον. πῶς ἂν οὖν ὁ τοσοῦτον ὑπερέχων καὶ μόνος πᾶσι τοῖς κριταῖς νικῶν τὴν τοῦ φλυαρεῖν εἰκῇ καὶ παρὰ καιρὸν Ἀθηναίους ἀνεῖναι φέροιτ᾽ ἂν δόξαν; ἐγὼ μὲν γὰρ τοὐναντίον ἡγοῦμαι, σιωπῆς αἴτιον αὐτὸν πλείονος ἢ προπετείας καταστῆναι. ἴσμεν γοῦν ὅτι κἂν ταῖς ἄλλαις δή που δυνάμεσιν οὗ μὲν πολλοὶ παραπλήσιοι καὶ ἐφάμιλλοι πρὸς ἀλλήλους, πολλὰ τὰ πράγματα καὶ πλείων ἡ ἔρις, ἐπειδὰν δέ τις εἷς ὑπέρσχῃ λαμπρῶς, ἅπαντες ἤδη συγκεχωρήκασιν. οὕτω δὴ καὶ λέ-

---

*terus e Platone in Menexeno sub init.*" Iebb. πρὸς Iunt. Ego nihil ex codicibus enotatum habeo. καταφεύγων] Alludit ad verba Platonis in Menex. pag. 235. ἥπερ (nimirum Aspasia) καὶ ἄλλους πολλοὺς καὶ ἀγαθοὺς ἐποίησε ῥήτορας, ἕνα δὲ καὶ διαφέροντα τῶν Ἑλλήνων, Περικλέα τὸν Ξανθίππου. Iebb. 7 σημεῖον correctus L: σημείων a pr. m. 10 καὶ οὐκ] Malim καίτοι οὐκ, *quamvis*, vel *atqui*. Reisk. ἑτέρωθι] In Phaedro p. 270 a. 12 γε om. L. ὡμολόγηκε ΘLN. Vulgo ὁμολόγηκε. οὖν om. EN. 15 μὲν πολλοὶ] πολλοὶ μὲν L. 16 πολλὰ τὰ πράγματα] *Multi magnique tumultus et contentiones.* Reisk. 17 λαμπρῶς ad sequentia refert N. ἅπαντες LN Iebb. ἃ πάντες Iunt. καὶ λέγειν ΘELN et Photius p. 424 b, 1. κἂν τῷ λέγειν Iunt. Iebb. et margo L.

132 γειν ἐπειδάν τις εἷς ἄκρος ἐγγένηται, στέργειν ἀνάγκη τοὺς πλείους καὶ μὴ πολυπραγμονεῖν, ἀλλ' ὡς οἷόν τε μάλιστα εὐλαβεῖς καὶ κοσμίους εἶναι περὶ τοὺς λόγους. οὐ γὰρ ἂν (219 ᾧ γέ τίς ἐστι βέλτιστος, τούτῳ χείρους ἀπεργάζοιτο, ἄλλως τε καὶ πρὸς αὐτὰ ταῦτα ἃ βέλτιστός ἐστιν. ὥσπερ γὰρ ἐν τοῖς κατὰ τὸν βίον πράγμασιν ὅστις ἑαυτὸν κόσμιον παρέχει καὶ σώφρονα καὶ τοῖς πᾶσιν εὔτακτον, οὐδ' ἂν εἷς εἴποι δή που τοῦτον ὡς ταύτῃ διαφθείρει τοὺς ἐντυγχάνοντας, ὅτι μὴ καὶ τοῦ σωφρονεῖν παράδειγμα πάντες ἂν αὐτὸν εἶναι φαῖμεν, εἴπερ αὐτοὶ μέλλομεν δόξειν σωφρονεῖν, οὕτω κἂν τοῖς λόγοις ὅστις τὴν τοῦ καλοῦ καὶ πρέποντος φυλακὴν ἔχει καὶ μηδαμοῦ παρορᾷ τὸ βέλτιον, μηδ' ἀμελεῖ τοῦ περὶ ταῦτα κόσμου, τὸ σόν, ὦ Πλάτων, ποιεῖ, τό γε σύμπαν τοῦτο ὡς κόσμος ἐκλήθη λογιζόμενος, ἀλλ' οὐχὶ ἀκοσμία οὐδ' ἀταξία οὐδὲ τῶν περὶ ταῦτα ὀνομάτων οὐδέν. καὶ τοὺς κρείττους εἰς ὅσον οἷόν τ' ἐστὶν ἐν τοῖς αὐτοῦ μιμούμενος. οὐκ ἂν οὖν εἴη φλυαρίας αἴτιος, οὐδ' ἡγεμών, οὐδ' ἀταξίας, οὐδὲ τῶν αἰσχρῶν οὐδενός, οὐ μᾶλλόν γε ἢ τὸν γυμναστὴν ἐθίζειν ἀμελεῖν τοῦ σώματός ἐστ' εἰπεῖν ᾧ γε ὅπως τὸ σῶμα καλῶς ἕξει μέλειν ὁ σοφὸς Πλάτων φησίν. ἐὰν δὲ δή τις καὶ τὸν βίον ἐξ ἴσου τοῖς λόγοις καταστήσῃ καὶ μὴ μόνον λέγων εἰς κάλ- (220 λος, ἀλλὰ καὶ ζῶν ᾖ φανερός, πῶς οὗτος ἐθίζει λαλεῖν ἢ

---

132, 1 ἐπειδάν τις] ἐπειδὰν δέ τις L. Idem fuit in N, sed δὲ abrasum est. ἐγγένηται] γένηται N. 2 τοὺς λόγους LN Opor. et Photius. Legebatur τὸν λόγον. 5 εἴποι] εἴπῃ L. 6 ὅτι μὴ καὶ] *quid quod etiam — imo vero etiam.* v. Viger. de Idiotism. L. G. p. 422. sed ille rationem aut originem huius dictionis omisit indicare, quae mihi videtur haec esse. integre sic diceretur οὐκ ἐρῶ νῦν ὁρατέον εἶναι μὴ καὶ φαῖμεν ἂν — omitto nunc dicere, videndum etiam esse anne simus dicturi. h. e. ne nunc dicam facile fieri posse ut dicamus. Reisk. μέλλομεν] Aut μέλλοιμεν aut ἐμέλλομεν legendum. Reisk. 8 μήδ' L. Vulgo μηδὲ. Πλάτων] In Gorgia. Canter. 9 κόσμος] Modestiam: nam κόσμος Graece et mundum et modestiam notat. Canter. οὐδ' ἀταξία N. Vulgo οὐδὲ ἀταξία. καὶ ἀταξία L, qui οὐδὲ ἀξία ab correctore habet. 10 οἷόν τ' L. Vulgo οἷον τε. αὐτοῦ N. Vulgo ἑαυτοῦ. 11 οὐδὲ ἡγεμὼν οὐδὲ ἀταξίας L. οὐδὲ ἀταξίας etiam N. 12 σώματος. ἐστὶ δὲ εἰπεῖν ὥγε N. 13 Πλάτων] In Amatoribus sub init. Canter. 14 οὗτος] οὕτως L apud Iebbium. ἢ καὶ]

καὶ ἄλλ' ὁτιοῦν ποιεῖν ἄνευ τῆς τοῦ βελτίονος μοίρας; ἐγὼ μὲν οὐκ ἔχω πεισθῆναι. ἀλλὰ δυοῖν ἔμελλον, οἶμαι, θάτερον οἱ τότ' ἐκείνῳ συνόντες ἢ ζηλώσαντες αὐτοῦ τὴν δύναμιν, χρηστόν τι καὶ παραπλήσιον κατὰ τοὺς λόγους ἐπιτηδεύειν, καὶ ὅσῳ μᾶλλον ἐτίμων κἀκεῖνον καὶ τοὺς λόγους, τοσούτῳ κοσμιώτερον καὶ σωφρονέστερον αὐτῶν ἕξεσθαι καὶ πάσης παρανομίας ἀφέξεσθαι, ἢ καὶ παντάπασιν ἀπογνόντες καὶ νομίσαντες κρεῖττον ἢ καθ' αὐτοὺς εἶναι τὸ πρᾶγμα τὴν ἡσυχίαν σχήσειν καθαρῶς, ὡς τὸ μὲν εἶναι ῥήτορα τοῦτο ὄν, ὅπερ ἦν ὁ Περικλῆς, αὐτοῖς
133 δ' οὐκ ἐξ ἴσου τὴν τύχην οὖσαν. ὥστε καὶ οὕτως κἀκείνως ἥκιστα ἔμελλον ἔσεσθαι λάλοι.

Ὁρῶ δέ τοι καὶ περὶ τὴν τραγῳδίαν Αἰσχύλον μὲν αἰτίαν οὐ σχόντα ὡς εἰσαγάγοι λαλιάν, οὐδὲ τὸν ἥδιστον εἰπεῖν Σοφοκλέα οὐδαμοῦ ταῦτ' ἀκούσαντα ὡς ἐπῆρεν Ἀθηναίους λαλεῖν, ὅτι, οἶμαι, τῆς σεμνότητος ὡς οἷόν τε μάλιστα ἀντείχοντο καὶ κρείττονα ἢ κατὰ τοὺς πολλοὺς τὰ ἤθη παρείχοντο· Εὐριπίδην δὲ λαλεῖν αὐτοὺς (221)
ἐθίσαι καταιτιαθέντα, ἀφελεῖν τι δόξαντα τοῦ βάρους καὶ τῶν καιρῶν, καὶ μετ' ἐκεῖνον αὖ πλεῖν ἢ σταδίῳ λαλίστερα Ἀριστοφάνης μειράκια γενέσθαι φησίν, ἅτ', οἶμαι, τοσοῦτον Εὐριπίδου λειπόμενα κατὰ τὴν ποίησιν. τοῦ γὰρ κόσμου κατὰ μικρὸν ὑπορρέοντος εἰς τοῦτο ἔδει τὸ ἁμάρτημα κατενεχθῆναι καὶ δοκεῖν λαλεῖν μᾶλλον ἢ ποιεῖν.

---

καὶ om. Θ. 17 ἐπιτηδείων] ἐπιτηδεύσειν N. 18 τοσούτῳ] τοσοῦτο N. Vulgata idem dicit ac si dixisset κοσμιώτεροι καὶ σωφρονέστεροι αὐτῶν ἔσεσθαι. tanto decentius atque temperantius imposterum sese esse habituros quam antea habuissent, h. e. gessissent, et quam in ipsorum aut natura aut more esset positum. Reisk. αὐτῶν] Vulgo αὐτῶν. αὐτὸν (ῶ ab rec. m.) N. 19 ἢ καὶ Θ. Aberat καί, quod in L superne adscriptum est.

133, 1 αὐτοῖς δ'] αὖθις δὲ E. οὕτως ΘEL. Scribebatur οὕτω. 2 δέ τοι] δέ τι ΘLN. 3 ταῦτ'] ταῦτα L. 6 Ἀριστοφάνης] Ranar. v. 91. 8 ὑπορρέοντος] ὑπορέοντος N.

9 ποιεῖν si de solis garrulis poetis ibi loquitur Aristophanes, bene habet. alias suaderem νοεῖν vel φρονεῖν, ut p. 127, 6. Reisk. πολιτικούς] Subaudi ἔχει. vel possunt etiam sublato puncto sequentia cum superioribus copulari et περὶ ad σεμνότητα

οὕτω δὴ καὶ περὶ τοὺς λόγους τοὺς πολιτικοὺς οὐχ ὁ σεμνότατος οὐδ' ᾧ τῶν ῥημάτων ὁ νοῦς ἡγεῖτο, οὐδ' ὃς ἄνευ μὲν φρονήματος οὐκ ᾤετο δεῖν λέγειν, τὸ φρόνημα δ' ἐξ ἁπάντων ὧν ἑαυτῷ συνῄδει δικαίως ἐκέκτητο, οὐχ οὗτος ἦν ὁ λάλους ἀντὶ κοσμίων ποιήσας, ἀλλὰ οὗτος ὁ κωλύων εἶναι λάλους τὸ καθ' αὑτόν. οὔκουν ὅ γε Ὀδυσσεὺς οὐδὲ ὁ Νέστωρ αἰτίαν ἔσχον ὡς διαφθείροντες τῶν Ἀχαιῶν τὸ στρατόπεδον, ἀλλ' ὁ Θερσίτης μᾶλλον,

Ὅς ῥ' ἔπεα φρεσὶν ᾗσιν ἄκοσμά τε πολλά τε ᾔδει
μὰψ, ἀτὰρ οὐ κατὰ κόσμον ἐριζέμεναι βασιλεῦσι.

διὸ καὶ κατεῖχεν αὐτὸν ὁ τῷ Περικλεῖ προσόμοιος ῥήτωρ (22 καὶ οὐκ εἴα λαλεῖν. σὺ δὲ ποιεῖς παραπλήσιον ὥσπερ ἂν εἴ τις τὸν Ὀδυσσέα τότε ᾐτιᾶτο θόρυβον ἐν τῷ στρατοπέδῳ ποιεῖν, ὃς τοὺς ἄλλους τοῦ θορυβεῖν ἔπαυεν· ὥσπερ ἂν εἰ καὶ τὸν Ἡρακλέα φαίης τοὺς ἀνθρώπους ἐθίζειν αὐθάδεις εἶναι καὶ θρασεῖς, ὅτι τοῖς τόξοις καὶ τῷ ῥοπάλῳ περιῄει χρώμενος, τοὐναντίον γε πᾶν ἐθίζων, ὦ
134 χρηστὲ, πάντας κοσμίους εἶναι καὶ τοῖς νόμοις ἐμμένειν, καὶ χρῆσθαί γε τοῖς ὀργάνοις τούτοις ὥσπερ ἐκεῖνον ἑώρων μετὰ παντὸς τοῦ βελτίονος. οὕτω καὶ Περικλεῖ μοί τις ἂν ἐγκαλέσαι δοκεῖ λάλους ποιεῖν· ὃς τοσοῦτον ἅπαντας καθεῖργεν ὥστε σιωπᾶν καὶ ἄκοντας αὐτῷ· καὶ τοσοῦτον ἀπεῖχε τοῦ τὸ πλῆθος ἐπαίρειν ὥστε καὶ τοὺς ῥήτορας ἡσυχίαν ἔχοντας ὡς τὰ πολλὰ παρείχετο. ὥστε εἰ μὴ καθ' Ἡρακλέα, κατὰ γοῦν τὸν Ἰόλεων ἦν ἐπικάων, ὡς τὸ τοῦ κωμικοῦ ῥῆμα, τὰς κεφαλὰς τῶν πλειόνων. εἶτα λέγεις ὡς λάλους Ἀθηναίους Περικλῆς ἐποίησεν; ὥσπερ ἂν εἴ τις τὸν διδάσκαλον αἰτιῷτο τοὺς παῖδας λάλους ποιεῖν, ὅτι αὐτοῖς ἅπαντα ἐξηγεῖται. καὶ μὴν ὅ γε αὐτὸς οὗτος οὐδὲ (22

---

referri. Reisk. οὐχ ὁ σεμνότατος ΘELN. Legebatur οὐχ ὃς σεμνότητος. 13 διαφθείροντες] διαφθείραντες N, non quem Iebbius dicit L. 14 ὅς ῥ' N cum Homero Iliad. β, 213. Aberat ῥ'. πολλά τε] τε om. E. ᾔδη Θ. Scribebatur ᾔδει. 15 ἀτὰρ] αὐτὰρ L. προσόμοιος] παρόμοιος N.

134, 1 καὶ χρῆσθαι] κεχρῆσθαι N. γε] τε E. 3 καὶ ἑκόντας] καὶ om. E. 5 τὰς κεφαλὰς ἦν ἐπικάων τῶν πλειόνων E. Sic etiam N, qui verba ἦν ἐπικάων etiam post Ἰόλεων habet, sed expuncta. 7 λάλους correctus L: λαλεῖν a pr. m. 8 οὐδὲ

Digitized by Google

φθέγγεσθαί ποτε αὐτοὺς εἴα, ἀλλὰ καὶ τῶν λόγων αὐτῶν μέρος ἦν αὐτῷ τὸ τὴν ἡσυχίαν ἄγειν εἰδέναι προστάττειν. οὐδὲ γὰρ Σωκράτη φαίην ἂν ἔγωγε ὡς ἐποίησεν Ἀθηναίους λάλους καὶ φιλονείκους, ὅτι πλεῖστα Ἀθηναίων ἐπὶ τῶν τραπεζῶν καὶ τῶν ἐργαστηρίων διελέγετο καὶ πρὸς τοὺς ἀστοὺς καὶ πρὸς τοὺς ξένους· οὐδ' εἰς ταὐτὸν τὸ τοῦ Ἡσιόδου φέρειν, ἐπιτιμῶντος καὶ διακωλύοντος,

Πὰρ δ' ἴθι χάλκειον θῶκον καὶ ἐπαλέα λέσχην·

ἀλλὰ καὶ τοῖς χαλκείοις ἂν αὐτὸν καὶ τοῖς ἄλλοις ἐργαστηρίοις θαρραλέως κελεύειν προσιέναι, οὗ τι μέλλουσι τοιοῦτον ἀκούσεσθαι ἢ τῶν νέων ἢ τῶν πρεσβυτέρων τινές. οὐ γὰρ ἂν εἴη φλυαρεῖν ἐθίζεσθαι τὸ τὶ τῶν χρησίμων ἀκούειν, ὥσπερ γε καὶ αὐτοῦ τοῦ Ἡσιόδου ταῦτα συμβουλεύοντος ἀκούσαντες οὐκ ἀπολλύναι τὸν χρόνον ἡγούμεθα οὐδὲ χείρους γίγνεσθαι. εἰ δέ τινες Σωκράτους ἢ Περικλέους ἀκούοντες, εἶτα τῆς ἐκείνων δυνάμεως ἐπιθυμήσαντες κακῶς ἐμιμήσαντο, οὐ τοῦτό γε ἐκείνων αἴτιον. ἐκεῖνοι μὲν γὰρ τοῖς ἀκούουσι λέγοντες τὰ βέλτιστα οὕτως ἐπεδείκνυντο τὴν δύναμιν, οἱ δ' ἁμαρτύντες τοῦ κεφα- (224)
λαίου καὶ πρὸς οὐδὲν χρήσιμον τοὺς λόγους ἀναλίσκοντες εἰκότως ἂν τὴν μέμψιν φέροιντο καὶ οὐδὲ ταὐτὸν ἂν
135 ἐκείνοις, οἶμαι, δοκοῖεν ποιεῖν, ἀλλ' αὐτὰ τὰ ἐναντιώτατα, ὥσπερ οἱ παρὰ τοὺς νόμους γράφοντες, νόμους δὲ ὅμως

---

N et Canterus. Legebatur οὔτε. τὸ τὴν LN, Canterus. Legebatur τῷ τὴν. „Aut prorsus est delendum τῷ ut e fine proximi vocabuli αὐτῷ perperam iteratum, aut eius loco legendum est τὸ, quod cum προστάττειν cohaeret et a codicibus mstis confirmatur." Reisk. 9 Σωκράτη] σωκράτην EN. 10 ὅτι πλεῖστα] Confer Platonem in Apolog. Socr. p. 22. seq. Iebb. τραπεζῶν] Mensas trapeziticas vel foenebres intellige. Reisk. 11 Ἡσιόδου] Ἔργ. v. 491. 12 χάλκειον] χάλκεον N. ἐπαλέα Θ. Vulgo ἐπ' ἀλέα. 13 μέλλουσι] μέλλοντι N. μέλλουσι margo N. 14 ἢ καὶ τῶν πρεσβυτέρων LN. τινὲς margo N: in textu τινάς. οὐ γὰρ ἂν — ἀκούειν expuncta sunt in N, excepto verbo ἐθίζεσθαι. 15 ταῦτα om. N. 16 γίγνεσθαι ΘLN. Vulgo γίνεσθαι. 17 τοῦτό γε ΘLN. Legebatur τό γε. τούτων τότε E. 18 ἐπεδείκνυντο] ἐπεδεικνύοντο (γρ. ἐπεδείκνυντο) N. 19 ἁμαρτόντες] ἁμαρτάνοντες superscriptum in N. 20 οἶμαι] Fort. ἐμοί. Reisk.

Digitized by Google

ὄνομα οἷς γράφουσι τιθέμενοι. Περικλῆς τοίνυν κάλλιστον νόμον περὶ δημηγοριῶν ἔθηκε, μηδαμοῦ τῆς σεμνότητος ὑφίεσθαι. πῶς οὖν τῆς περὶ ταῦτα ὀλιγωρίας αἴτιος; ἀλλὰ μὴν ὡς αὐτό γε οὐκ ἄτιμον τὸ δύνασθαι λέγειν οὐδ' εἰς ὄνειδος φέρον, οὐδὲ κατηγορίας ἄξιον, οὐδέ γε συγγνώμης, ἀλλά τινος κρείττονος, αἰσχυνοίμην ἂν τοὺς λογίους θεούς, εἰ ζητοίην ἀποδεικνύναι, πλήν γε τοσοῦτον ἂν εἴποιμι, — ἐμοὶ γὰρ εἴη εἴ τις ἄλλος δυσχεραίνει καὶ τρέποιτό ἅπαν εἰς ἐμέ, καὶ οὐ μέμψομαι τῷ δαίμονι — ὡς ἐγὼ δεξαίμην ἂν δύνασθαι λέγειν μετὰ χρηστοῦ βίου καὶ σώφρονος εἰς ὅσον οἷόν τε κάλλιστα ἀνθρώπων μᾶλλον ἢ μυριάκις Δαρεῖος ὁ Ὑστάσπου γενέσθαι· καὶ μικρά μοι πάνθ' ὡς ἀληθῶς πρὸς τοῦτ' ἤδη φαίνεται. οἶδα δὲ καὶ τὰ Πλάτωνος πράγματα, εἰ μὴ τετυφώμεθα, οὐδὲν ἄλλο σχε- (225)
δὸν ὄντα ἢ λόγους, καὶ συγχαίρω τῆς λέξεως αὐτῷ, κἂν με προσπαίζων οὑτωσὶ πείθῃ, μὴ πάνυ τούτου φροντίζειν, οὐ πάνυ πείσομαι, ἀλλ' εἴσομαι σφόδρα σπουδάζοντα, καὶ τηνικαῦτα μάλιστα ἡνίκ' ἂν ὡς παίζων λέγῃ. ὥστε τὸν οἴκοι θησαυρὸν διαβάλλοιμεν ἂν εἰ ταῦτα διασύροιμεν. ἀλλ' ὑπὲρ μὲν τούτων οὐδὲ λέγειν ἄξιον, ἀλλὰ τοσούτῳ ἧττον ὅσῳπερ ἂν ᾖ κρεῖττον τὸ δύνασθαι λέγειν. εἶεν. ἀργοὺς δὲ δὴ πῶς ἡμῖν ἐποίησεν Ἀθηναίους Περι-

135, 2 δημηγοριῶν] δημογοριῶν Θ. δημῖγοριῶν N. ἔθηκε] ἔθηκεν L. 3 ὑφίεσθαι L. Legebatur ἀφίεσθαι. 5 λογίους θεούς] Dii λόγιοι dicti eloquentiae praesides. sic de Mercurio Lucianus in Pseudomant. κακὸν κακῶς σε ὁ λόγιος Ἑρμῆς ἐπιτρίψειεν αὐτοῖς λόγοις. Reisk. ζητοίην] ζητοίην N. ζητώην L. 6 τοσοῦτον N. Vulgo τοσοῦτ'. δυσχεραίνει] δυσχεραίνων E. 7 ἅπαν ΘLN Iunt. ἅπαντ' Steph. Iebb. Apud Photium p. 424 b, 11. est καὶ τρέπει τὸ ἅπαν εἰς ἐμέ. 8 οἷόν τε] εἰ οἷόν τε L. ἀνθρώπων Photius. Legebatur ἀνθρώπῳ. ἀνθρώπω (ν ab rec. m.) N. 10 τοῦτ'] τοῦτο L. Post Πλάτωνος in N superne insertum αὐτοῦ. οὐδὲν] μηδὲν EN. 12 μὴ πάνυ τούτου φροντίζειν] Unde et oratoribus semper illudentem Plato inducit Socratem. Confer quae habentur in Menexeno sub initio. Iebb. τούτου] Scil. τοῦ ἐς κάλλος λέγειν. Reisk. 13 ἡνίκ'] ἡνίκα N. 14 ἀλλὰ τοσούτῳ] Pro ἀλλὰ sententia loci requirit καὶ ταῦτα, idque tanto minus. Reisk. 15 δύνασθαι λέγειν] λέγειν δύνασθαι L.

Digitized by Google

κλῆς; ἢ σὺ λίαν ἐνεργοὺς ἡμᾶς ποιήσεις, ἀναγκάζων πρὸς ἕκαστον τῶν εἰρημένων ἀποκρίνεσθαι, οὐχ οὗτός ἐστιν ὁ πανταχοῖ κομίζων ἐκείνους, οὐχ οὗτος ὁ μηδαμοῦ καθεύδειν ἐῶν, ἐπὶ μὲν Σάμῳ δέκατος αὐτὸς στρατηγῶν, ἀποκρύψας τοὺς ἄλλους ἅπαντας στρατηγοὺς καὶ δείξας ὄνομα ἄλλως ὄντας, καὶ τοὺς Σαμίους καταστήσας εἰς πολιορ-
136 κίαν, οὐχ ἡσυχάζων, ἀλλ' ἐκπλέων μέρει τινὶ τῶν νεῶν ἐπὶ Καρίας, καὶ μετὰ ταῦτ' ἀπελθόντος αὐτοῦ θαρρήσαντας ἐπεξελθεῖν καὶ πλέον σχόντας τῶν ἐφορμούντων ἀναστρέψας αὖθις καθείργων ἕως παρεστήσατο, καὶ πάλιν (226) Εὐβοέων ἀποστάντων ἄγων εἰς Εὔβοιαν Ἀθηναίους, καὶ Πελοποννησίων ἀγγελθέντων εἶναι Μεγαροῖ κομίζων αὖθις εἰς Μέγαρα κἀκ τῶν Μεγάρων πάλιν εἰς Εὔβοιαν, ἕως καὶ ταύτην κατεστρέψατο; τί δ' ἄν τις λέγοι περίπλους Πελοποννήσου καὶ ἀποβάσεις πανταχοῖ τῆς πολεμίας καὶ πραγμάτων συνέχειαν οὐδεμιᾶς ἄλλης πόλεως εἰκάσαι; εἶτα τὸν οὕτως ὀξὺν καὶ ἄγρυπνον καὶ ἥδιστ' ἂν εἴποι ὑπόπτερον τοῦτον ἢ αὐτὸν ἀργεῖν ἢ ἑτέρους ἐθίζειν ἐγὼ πεισθῶ; οὐκ ἄρ' ἐπίστασθαι δόξω τῶν πραγμάτων οὐδέν, ὅστις γε μὴ ὅτι Ἀθηναίοις, ἀλλ' οὐδὲ τοῖς πολεμίοις ἀργεῖν ἐπέτρεπεν, ἀλλὰ κἀκείνους ἐποίησε μεταβαλεῖν τοὺς τρόπους, τοσαύτας ἀνάγκας αὐτοῖς περιίστη τοῦ κινεῖσθαι. καὶ τὸ

---

17 ὁ πανταχοῖ Θ. Legebatur ἁπανταχῇ (ἀπανταχῇ Iunt.). ὁ πανταχῇ ELN Opor. 18 καθεύδειν] καθεύδων L. ἐπὶ μὲν Σάμῳ] Historiam refert Diodorus Siculus Biblioth. lib. XII. p. 301. seq. Confer etiam Plutarchum in vita Periclis p. 301. et seqq. et Thucydidem lib. I. Huius expeditionis in Samum comes aderat Pericli Sophocles poeta, teste Strabone Geogr. lib. XIV. p. 638. ed. Casaubon. Iebb.

136, 2 Vulgo κατείργων. 4 εἰς Μέγαρα] Plutarch. T. 1. p. 310. Καὶ κατὰ γῆν αὐτὸς (Pericles) ἐμβαλὼν εἰς τὴν Μεγαρικὴν ἔφθειρε πᾶσαν. Adde Diod. Sic. l. 12. p. 309. Gravius autem Megarenses persequebatur Pericles, propter privatum quoddam odium, contra illos susceptum, de quo Plutarchus ibid. p. 306. ὑπῆν μὲν οὖν τις, ὡς ἔοικεν, αὐτῷ καὶ ἰδία πρὸς τοὺς Μεγαρεῖς ἀπέχθεια. Iebb. Μεγάρων] μεγαρέων E. 5 λέγοι] λέγῃ N. 6 πανταχοῖ Θ. Legebatur πανταχῇ. Post συνέχειν deest οἵαν, ubi subauditur ἐστί. Reisk. 9 μὴ ὅτι dedi ex Photio p. 424 b, 29. Vulgo μὴ ὅτ'.

Digitized by Google

δικαίως προσῆν, ἔφη Δημοσθένης. ἀλλ' ὅμως Πλάτων ᾐτιάσατο αὐτὸν ἀργοὺς καὶ δειλοὺς πεποιηκέναι. τί λέγεις, δειλοὺς Περικλῆς, ὦ θεοὶ, δειλοὺς, ὃς καὶ δημηγορῶν εὐθὺς ἐνθένδε ἤρξατο, Τῆς μὲν γνώμης, ἔφη, τῆς αὐτῆς, ὦ Ἀθηναῖοι, ἀεὶ ἔχομαι, μὴ εἴκειν Πελοποννησίοις. ὃ τίς (227) τῶν εἰς ἐκείνην τὴν ἡμέραν εἰσάπαξ εἰπεῖν ἐθάρρησεν; οἵ γε καὶ ἡνίκ' ἔσωζον τὴν Ἑλλάδα, Λακεδαιμονίοις εἶξαν αὐτῶν. ὁ δ' οὐδὲν προκαλυψάμενος, οὐδ' ἀναμείνας, εἰ μή τι ἄλλο, τήν γ' ἐκ τοῦ προοιμίου παραμυθίαν εὐθὺς ἐν ἀρχῇ τῶν λόγων μάλα ῥᾳδίως ἐξεῖπε τὸ δοκοῦν αὐτῷ, ὡς ἄν τις αὐτός τε κρείττων ἀξιῶν εἶναι τῶν ἀκουόντων κἀκείνους τῶν ἀνταγωνιστῶν. πότερ' οὖν φοβεῖσθαι τοὺς πολεμίους καὶ ὑποχωρεῖν, ἢ θαρρεῖν καὶ ὑπερφρονεῖν συνε-

137 θίζοντος τὴν φωνὴν εἶναι φῶμεν καὶ τὴν ἀνδρείαν αὐτόθεν δεικνύντος; ἐγὼ μὲν οὕτω μᾶλλον ἡγοῦμαι. εἰ μὲν γὰρ ἢ τὸν πόλεμον κεκινηκέναι, ἢ πραγμάτων αἴτιον αὐτὸν γεγενῆσθαι, ἤ τι τῶν τοιούτων ᾐτιᾶτο, ἀληθῆ μὲν οὐδ' οὕτως — ὕστερον γοῦν ἅπαντες συνεχώρησαν μὴ ἐκεῖθεν λελύσθαι τὰς σπονδὰς — εἰρημένα δ' ἂν καὶ ὑπ' ἄλλων ἐδόκει λέγειν. νῦν δὲ πῶς ἔνεστι κατηγορεῖν δειλίαν, οὗ τἀναντία ἤδη τινὲς ᾐτιάσαντο; ἃ γοῦν τῆς Ἀριστοφάνους κωμῳδίας παρεθέμεθα ἀρτίως ἐκείνως ἔχοντα, λέγω τὸ,

Ἤστραπτεν, ἐβρόντα, συνεκύκα τὴν Ἑλλάδα, (228)
ἐτίθει νόμους ὥσπερ σκόλια γεγραμμένους,

---

11 Δημοσθένης] De corona, sub finem. CANTER. 13 Τῆς μὲν — Πελοποννησίοις] Apud Thucydidem I, 140. ἔφη om. E: expunctum habet N. ὦ ἀθηναῖοι τῆς αὐτῆς E. 15 αὐτῶν Steph. Iebb. αὐτῶν N Iunt. ἑαυτῶν interpretatur scholiasta p. 487, 6. εἶξαν ἐφ' αὐτῶν, *cedebant sponte sua*. Reiskius. δ' L. Vulgo δὲ. προκαλυψάμενος LN et Reiskius. Legebatur προσκαλυψάμενος. 16 τήν γ'] τήν γε L. 17 αὐτῷ Iebb. αὐτῷ Θ Iunt. 18 πότερ'] πότερα ΘLN. 19 θαρρεῖν] θαρσεῖν L.

137, 1 ἀνδρείαν] Vulgo ἀνδρίαν. 3 γοῦν] δ' οὖν EL. μὴ expunctum in LN. 5 παρεθέμεθα] Supra p. 129, 10. ἐκείνως N. Legebatur ἐκεῖνον. ἀρτίως, ὡς ἐκεῖνον ἔχοντα, id est πρὸς ἐκεῖνον φέροντα vel τείνοντα. ad eum, Periclem puta, pertinentia. ὡς idem hic est atque εἰς. REISK. 6 Ἤστραπτεν] Acharn. v. 531. σκόλια] Vulgo σκολιά. γεγραμμένους] γεγραμμένα N.

Digitized by Google

ὡς χρὴ Μεγαρέας·

ταῦτα οὐ δειλίαν αἰτιώμενά ἐστιν ἐκείνου, ἀλλ' ἴσμεν ἅ γε αἰτιᾶται, ὧν ὄντων μὲν ἀληθῶν τά γ' ἐναντία ψευδῆ· εἰ δὲ μηδὲ ἐκείνων προσήκει τῷ Περικλεῖ μηδὲν τῶν ἐγκλημάτων, ἀλλὰ καὶ δίκαια καὶ ἀναγκαῖα ἐβουλεύσατο ὑπὲρ τῶν πραγμάτων, πῶς οὐχ ἅμα τε αἰτίας ἀφεῖσθαι καὶ πάσης εὐφημίας δίκαιος τυγχάνειν ἐστίν; ἆρ' οὖν πρὸς μὲν Λακεδαιμονίους μόνους οὕτως εἶχε τὴν γνώμην ὡς ἄν τις ἰδίᾳ φιλονεικῶν, πρὸς δὲ τοὺς ἄλλους ὑφειμένως; ὅστις ἠξίου μὲν αὐτοῖς ὁρμητήριον ἀποχρῶν εἶναι τὸν Πειραιᾶ, θαυμάζειν δὲ οὐκ εἴα οὔτε βασιλέα οὔτ' ἄλλον τῶν πάντων οὐδένα, ἀπέφαινε δὲ τὴν ἰσχὺν αὐτοῖς ἐξ ἡμισείας οὖσαν πρὸς τοὺς ἄλλους ἅπαντας ἀνθρώπους, ὡς τοὺς μὲν ἄλλους ἄλλοθι κρατεῖν, τῆς δὲ θαλάττης αὐτοὺς πανταχοῦ. καίτοι ταῦτα πότερον ἀργίαν καὶ δειλίαν καὶ ἀνανδρείαν καὶ ταπεινότητα καὶ νωθείαν εἰσάγοντος εἰς τὴν πόλιν καὶ τὰς ψυχὰς αὐτῶν ἦν, ἢ δέδοικα μή τι καὶ
138 ἀλλοῖον εἴπῃ τις, πλήν γε ὅσον οὐκ ὀρθῶς ἐρεῖ. ὥσπερ (229)
τοίνυν φῂς ἐκεῖνα ἀκούειν λεγόντων εἰς Περικλέα, οὕτως ἀντάκουε καὶ τῶν τἀληθῆ περὶ ἐκείνου λεγόντων καὶ οἷς οὐδεὶς ἀντεῖπεν εἰς τήνδε τὴν ἡμέραν, ἐπειδή γε καὶ αὐτὸς φῂς οὐκ ἀπὸ τῆς σεαυτοῦ γνώμης κατηγορεῖν, ἀλλ' ἀκοήν.

---

7 Satis prodidit Canterus interpretando, sibi locum hunc vitiosum visum esse. sit, nec ne sit, haud dixerim. est quidem ea non de nihilo coniectura. si bene habet locus, ferendus est. laudari quidem nequit. quid secutus sit Canterus non perspicio. e vulgata haec exsistit sententia. sed bene novimus quid in his verbis Pericli Aristophanes dederit; (studium puta pacis conturbandae et rerum omnium miscendarum bellique conflandi, id quod Aristides, quia invidiosum erat, disertis verbis appellare noluit.) Atqui si verum dixit Aristophanes, Plato profecto mentitus est. Reisk. Interpretatus est Canterus, *De quibus igitur illum accusat, haec talia sunt ut, si quidem vera sunt, contraria sint utique falsa.*
8 τά γ'] τά γε L. 10 ἆρ'] ἆρα Θ. 13 οὔτ' ἄλλον] οὔτε ἄλλον LN. 14 ὡς τοὺς μὲν ἄλλους om. ΘΕLN. 15 ἀνάνδρειαν] Vulgo ἀνανδρίαν. 16 νωθείαν LN. Vulgo νοθείαν. νωθρείαν E. τὰς ψυχὰς] εἰς τὰς ψυχὰς E.

138, 4 Sic distinguo, ἀλλ' ἀκοήν. ταῦτά γε, ὁ Κρὴς τὸν πόντον, φήσει τις. haec sunt illa, quae proverbio dicuntur: Cretensis mare. hoc est, ita te geris ut Creti sis similis, illi in proverbio, neganti

ταῦτά γε ὁ Κρὴς δὴ τὸν πόντον, φήσει τις. ἐπειδὴ τοίνυν ἐκεῖνα μὲν ἀξιοῖς ἀκούειν, ταῦτα δ᾽ οὐ βούλει, φέρε ἐγώ σοι καὶ ἕτερα μείζω τούτων ἔτι καὶ τελεώτερα ἐπιδείξω τῆς Περικλέους ἀνδρείας καὶ ῥώμης καὶ φιλοτιμίας σημεῖα, κἂν σὺ δείξῃς ἐνοῦσαν ὑπερβολήν, ἅπαντ᾽ ἔστω λῆρος τὰ παρ᾽ ἡμῶν. νὴ Δί᾽, εἴποι γὰρ ἄν τις ὡς οὐδὲν μέγα οὐδ᾽ ἱκανὸν τὸ πρὸ τοῦ πολέμου θρασύνεσθαι. ἀλλ᾽ ἐκεῖνός γε καὶ τὰς πρεσβείας ἠξίου κατὰ χώραν ἱδρυμένων Πελοποννησίων δέχεσθαι τῇ πόλει, ἐξεστρατευμένων δὲ μὴ καὶ τὸν Μελήσιππον προπεμψάντων. οὕτω σφόδρα δειλὸς ἦν, ἐπειδὴ προσάγειν τοὺς πολεμίους ἐπύθετο, ὥστε ἔργῳ τὰς ἀποκρίσεις ἔδωκεν αὐτῷ περὶ ἁπάντων, παραδοὺς τοῖς ἄξουσιν αὐτὸν ἔξω τῆς χώρας. καὶ τὸ δὴ πάντων ἔσχατον καὶ μέγιστον ἀκοῦσαι, μὴ ὅτι μιμήσασθαι· παρόντος μὲν (230
ἤδη τοῦ πολέμου καὶ συνεστηκότος, τῆς νόσου δ᾽ ἐπικειμένης, καὶ τῆς μὲν γῆς δῃουμένης, τῶν δὲ ἀνθρώπων ὁσημέραι φθειρομένων καὶ τοσούτων ἤδη κειμένων ὅσων καὶ πολλοστὸν μέρος ἐξέπληξεν ἂν τοὺς πολεμίους, εἰ παρ᾽ ἐκείνοις ἡ συμφορὰ συνέβη, καὶ διὰ ταῦτα δὴ πάντα ἀθύμως καὶ δυσχερῶς ἔχοντας ὁρῶν τοὺς πολλοὺς καὶ περὶ ὧν μὲν ἐψηφίσαντο μετεγνωκότας, ἐπικηρυκεύεσθαι δὲ ἀξιοῦντας Λακεδαιμονίοις καὶ ἑτέρους ὑπὸ τῶν κακῶν γεγενημένους οὐδὲν μᾶλλον ἀνῆκεν, οὐδ᾽ ἐξέστη τῆς ἀρχαίας γνώμης, οὐδὲ ἐστράφη τὴν ψυχὴν ὑπὸ τῶν συμφο-
139 ρῶν, ἀλλὰ καίπερ τοσοῦτον τῶν ἄλλων τοῖς δεινοῖς πλεονεκτῶν ὥσθ᾽ οἱ μὲν ἄλλοι τοῖς παροῦσι τούτοις ἠθύμουν, ὁ δὲ καὶ τοῦτ᾽ αὐτὸ προσειλήφει μεῖζον τὸ τοὺς πολίτας

---

mare nosse. optime nosti Periclem et quae ab aliis in eum laudes congestae sunt, quamquam ille vis videri, qui eum minime noris. Reisk. ταῦτά γε vulgo ad praecedentia refertur. Recte distinctum in L. 6 ἀνδρείας Iebb. ἀνδρίας Iunt. 7 Δί᾽] δία LN. γὰρ ἂν] γ᾽ ἂν N. 8 ἀλλ᾽ L. Vulgo ἀλλὰ. 10 Μελήσιππον] μὲν λέξιππον E. 13 νόσου δ᾽ N. Vulgo νόσου δὲ. 14 μὲν γῆς] γῆς μὲν N. τοσούτων — ὅσων Reiskius. Legebatur τοσοῦτον — ὅσον. 17 ἀξιοῦντας ΘLN et Canterus. Legebatur ἀξιοῦντα. 18 γεγενημένους] γενημένους L. οὐδ᾽ — οὐδ᾽ N. Vulgo οὐδὲ — οὐδὲ. 19 τοσοῦτον] τοσούτῳ E.

139, 3 καὶ ταῦτα] καὶ διὰ ταῦτα Opor. ἀλλὰ κἀκείνῳ]

οὕτως ἔχοντας ὁρᾶν, ὥστ' ἀπόρους εἶναι χρῆσθαι, καὶ ταῦτα οὐχ ὅσον τοῖς πολεμίοις ὑποπεπτωκέναι, ἀλλὰ κἀκείνῳ δυσμεναίνειν ὡς τῶν παρόντων πραγμάτων αἰτίῳ· πρὸς δυοῖν τοῖν ἀπὸ τῆς τύχης, τῷ πολέμῳ καὶ τῇ νόσῳ, δύο ταῦτα προσειληφότας ὁρῶν αὐτοὺς, λύπην καὶ παροξυσμὸν (231) εἰς αὐτὸν, ἐν μέσοις τοῖς δεινοῖς ἐμβεβηκὼς καὶ πανταχόθεν μεμονωμένος ὡς εἰπεῖν, οὐκ ἔδεισεν οὐδ' ὑπεχώρησεν, οὐδ' ὥσπερ χροιὰν τὴν γνώμην μετέβαλε, τοῖς τε πολίταις ὁμοῦ καὶ τοῖς πολεμίοις ἀντιτεταγμένος· ἀλλ' ὥσπερ ἂν ἄλλο τι μάθημα διδάσκων αὐτοὺς, κατὰ ταὐτὰ ἃ καὶ πρότερον διεξῄει, καὶ οὐ διέφθειρε τὰ δόγματα ἐπὶ τῶν κινδύνων, οὐδ' ἐπὶ τῆς ἐξουσίας ἐφιλοσόφησε μόνον, ἀλλ' ὡς περὶ ἀριθμῶν ἢ μέτρων ἐρωτηθεὶς ταυτὸν ἂν ἀπεκρίνατο καὶ ὕστερον καὶ πρότερον, οὕτω καὶ τότε τὰς αὐτὰς ἠφίει φωνὰς ὑπὲρ τῶν ὅλων πραγμάτων, οὔτε τοῖς δεινοῖς εἴκειν ἀξιῶν οὔθ' αὑτῷ μέμφεσθαι, αἰσχύνεσθαί τε ὑπὲρ αὐτῶν ἑτέρων ἅμα τοῖς καιροῖς γεγονότων. ὥστ' ἔμοιγε καὶ τὸν Αἴαντα τὸν πρὸ τῶν νεῶν μαχόμενον καὶ βοῶντα ἐν κουφοτέροις καὶ ῥᾴοσιν εἶναι δοκεῖν. τῷ μὲν γὰρ πρὸς τοὺς Τρῶας ἦν μόνον ἡ μάχη, τὰ δὲ τῶν οἰκείων εὐμενῆ δήπουθεν ὑπῆρχε, τῷ δ' οὐχ ἧττον πονήρως εἶχε τῶν ἔξω τὰ ἔνδον καὶ πλείων ἦν ὁ φόβος τῶν πολιτῶν ἢ τῶν πολεμίων. ἐν οἷς ἔδειξεν οὐ τοῖς ὀψοποιοῖς (232) ἐοικὼς οὐδὲν Περικλῆς, ἀλλὰ τοῖς ἄκροις τῶν Ἑλλήνων. ὥστ' ἐμοὶ μὲν, ὅταν βλέψω πρὸς ταύτας τὰς ἀπορίας καὶ

---

Diod. Sicul. Hist. lib. 12. pag. 310. *Μετὰ δὲ ταῦθ' οἱ Ἀθηναῖοι, τῆς μὲν χώρας δενδροκοπημένης, τῆς δὲ νόσου πολλοὺς διαφθειρούσης, ἐν ἀθυμίᾳ καθειστήκεισαν, καὶ τὸν Περικλέα νομίζοντες αἴτιον αὐτοῖς γεγονέναι τοῦ πολέμου δι' ὀργῆς εἶχον. διόπερ ἀποστήσαντες αὐτὸν τῆς στρατηγίας, καὶ μικράς τινας ἀφορμὰς ἐγκλημάτων λαβόντες ἐζημίωσαν αὐτὸν ὀγδοήκοντα ταλάντοις.* Consulatur Plutarchus in vita Periclis pag. 312. ubi de mulctae summa diversa traduntur. Jebb. 6 *οὐκ* (ου) *ἔδεισεν* ΘL. Legebatur *οὐδ' ἔδεισεν.* 8 *αὐτοὺς*] *αὐτὰς* N. Proximum *κατὰ* om. N, lacuna relicta. 9 *οὐδ' ἐπὶ* N. Vulgo *οὐδὲ ἐπὶ.* *ἐφιλοσόφησε* ΘELN. Vulgo *φιλοσόφησε.* 11 *οὔθ' αὑτῷ*] Vulgo *οὔτε αὐτῷ. οὔθ' αὐτῷ* N. *οὔτε ἑαυτῷ* Photius. 12 *τὸν Αἴαντα*] Iliad. *μ.* Canter. 13 *ἦν μόνον*] *μόνον ἦν* LN, *μόνον* in N expuncto. 16 *μὲν*] Malim *γε.* Reisk.

*τὸν ὄχλον τῶν πραγμάτων αὐτοῦ, κυβερνήτου τινὸς ἔννοιαν παρίστασθαι περικλυζομένης αὐτῷ τῆς νεὼς καὶ τῶν νεφῶν καταρρηγνυμένων ἐπὶ τῶν οἰάκων μένοντος καὶ οὐ μεθιέντος, καὶ πρός γ' ἔτι τῶν ἐμπλεόντων ἀπειλούντων καὶ ἑτοίμων ὄντων διασπάσασθαι, κατέχοντος καὶ νουθετοῦντος καὶ ἅμα ὑπέρ τε τοῦ σκάφους ἀγωνιζομένου καὶ πρὸς τοὺς ἐν τῷ σκάφει.*

140 *Πόθεν οὖν ἔτι χρὴ τὴν ἀνδρείαν θεωρῆσαι; εἴτε γὰρ ἐκ τῶν ἔργων εἴτ' ἀπὸ τῶν λόγων ὁρῶμεν τὸν ἄνδρα, πῶς ἄν τις μᾶλλον ἔδειξε παντὸς ἀφεστὼς δέους, ἢ πῶς ἄμεινον πρὸς εὐψυχίαν αὐτός τε πεφυκὼς καὶ τοὺς ἄλλους ἄγων, ὅστις οὔτ' ἐκείνους ἠξίου φόβῳ τῶν πολεμίων προέσθαι τὰ γνωσθέντα ἐξ ἀρχῆς οὔτ' αὐτὸς ἐκείνων φόβῳ τοὺς ὑπὲρ τῶν δικαίων λόγους ἐγκαταλιπεῖν; εἰ δὲ λέγεις ὅτι οὐκ ἐπεξῆγε, σκόπει μὴ οὐδεὶς τῶν στρατηγικῶν ταῦτ' ἀποδέξηται τὰ ἐγκλήματα. οὔτε γὰρ ἐν παντὶ καιρῷ οὔτ'* (233 *ἐν ἅπαντι δή που χωρίῳ συμφαῖεν ἄν, ἀρχὴν δ' οὐ μάχεσθαι χρῆναι πάντως τόν γε δὴ χρηστὸν στρατηγόν, ἀλλὰ μάλιστα μὲν ἥκιστα κινδυνεύειν καὶ τοῖς βουλεύμασι μᾶλλον ἢ ταῖς χερσὶ πολεμεῖν, ὥσπερ καὶ Λακεδαιμονίοις ἐπιχώριον εἶναι δοκεῖ· εἰ δ' αὖ καὶ μάχης δεήσειεν, ἄμεινον μετὰ συμμάχων ἐθέλειν ἢ μόνους καὶ μετὰ πλειόνων ἢ μετ' ἐλαττόνων καὶ μετὰ κρειττόνων ἢ μετὰ χειρόνων,*

---

19 *ἐμπλεόντων*] *πλεόντων* L.

140, 1 *ἀνδρείαν* Θ. Vulgo *ἀνδρίαν*. 2 Vulgo *πῶς γὰρ ἄν*. *ἀφεστὼς* ΘLN Opor. Legebatur *ἐφεστώς*. Recte emendatum fuit in Oporini codice *ἀφεστώς*. potest tamen vulgata defendi e Latino *superior omni metu*. Reisk. 3 *ἄγων ἢ ὅστις* — aut *τούτου, ὅστις*. Reisk. 6 *οὔτ' ἐν* L. Vulgo *οὔτε ἐν*. *συμφαῖεν*] Subauditur e proximo *μάχεσθαι*. Constructio est *συμφαῖεν ἂν πάντες οἱ στρατηγοί, οὔτε ἐν παντὶ καιρῷ οὔτε ἐν παντὶ χωρίῳ μάχεσθαι χρῆναι, ἀρχὴν δ' οὐ μάχεσθαι χρῆναι πάντως*. id omnes uno ore confiteantur imperatores, neque omni tempore neque omni loco dimicare oportere, et, si verum velis, plane non dimicare oportere imperatorem, verum quidem illum et idoneum. Reisk. 7 *χρηστὸν* add. ΘE et superne ab eadem manu adscriptum habet L: om. Iunt. Iebb. 8 *ὥσπερ*] *γρ. ὅπερ* margo N. 10 *μόνους*] *μόνον* N. *μετ' ἐλαττόνων*] *μετὰ ἐλαττόνων* LN. *μετ'* om. E. 11 *εἰς ὅσον ἂν περιῇ*] In tantum, quantum harum rerum alicui quid suppetat, h. e. cum tanta earum copia et opportunitate, quantacunque

εἰς ὅσον ἂν περιῇ τινί. εἰς ἀνάγκην μὲν γὰρ καταστάντας οὐκ εἰκὸς ἀκριβῶς λογίζεσθαι, ἕως δέ τίς ἐστι κύριος γνώμης, ἄνοια πολλὴ καὶ δυστυχία τῆς ἀσφαλείας ἀφέμενον ὃ τοῖς πολεμίοις συνοίσει, τοῦτ' ἐξεπίτηδες αἱρεῖσθαι. ἐκείνοις γὰρ ἂν ἤδη στρατηγοίη καὶ γίγνοιτ' ἂν αὐτοῖς ἀντὶ τοῦ παρ' αὐτοῖς ἡγουμένου. μὴ δὴ τοῦτο λέγωμεν ὡς οὐκ ἐξῆγεν, ἀλλ' εἰ προσῆκον ἐξάγειν καὶ μάχεσθαι παρεώρα, τοῦτο σκοπῶμεν, ἐπεὶ καὶ Λακεδαιμονίους ἀκούομεν δή που προσκειμένων αὐτοῖς ποτὲ Θηβαίων καὶ κελευόντων ἐξιέναι καὶ μάχεσθαι ἢ χείρους ὁμολογεῖν εἶναι σφῶν, ἀποκρίνασθαι περὶ μὲν τοῦ πότεροι βελτίους (234) τὰς πράξεις κρίνειν τὰς ὑπὲρ τῶν Ἑλλήνων ἑκατέροις πεπραγμένας, μαχεῖσθαι δὲ οὐκ ἐν τῷ τῶν πολεμίων καιρῷ οὐδ' ὅτ' ἐκεῖνοι κελεύουσιν, ἀλλ' ἡνίκ' ἂν αὐτοῖς δοκῇ,
141 καὶ οὐ χρήσεσθαι περὶ τούτου συμβούλοις Θηβαίοις. καὶ ταῦτ' ἀπεκρίναντο καὶ ταῦτα ἐποίουν Ἀγησιλάου προεστηκότος αὐτῶν, ὅς εἴπερ τις ἄλλος τῶν Ἑλλήνων γενέσθαι ἐδόκει φιλοπόλεμος. ἀλλὰ τί χρῆν ποιεῖν τὸν Περικλέα; εἰπὲ γάρ ὦ πρὸς θεῶν, μᾶλλον δὲ εἰ στρατηγῶν αὐτὸς ἐτύγχανες ἡμῖν κατ' ἐκείνους τοὺς χρόνους, τί ποιεῖν ἂν ἢ τί λέγειν ᾤου δεῖν, ὄντων μὲν συμπάντων Ἀθηναίων τόσων καὶ τόσων, τῶν δὲ συμμάχων τῶν μὲν ἐν ταῖς νήσοις, τῶν δὲ κατ' ἤπειρον μεμερισμένων, μυριάσι δὲ ἐξ στρατιᾶς τῶν πολεμίων εἰσβεβληκότων, καὶ τούτων Πελοποννησίων, οὐδὲ γὰρ τοῦτο φαῦλον εἰς προσθήκην, ἀνθρώπων ἱκανῶν καὶ πρὸς ἅπαντας τοὺς Ἕλληνας μάχεσθαι, καὶ οὓς ἐγὼ φαίην ἂν ἡγουμένων γε Ἀθηναίων καὶ Περικλέους οὐ χαλεπῶς ἂν καὶ πᾶσαν γῆν ὑφ' αὐτοῖς ποιήσασθαι. καὶ οὔπω λέγω τὴν νόσον τοσοῦτον πρᾶγμα,

---

ei praesto sit. Reisk. ἀκριβῶς λογίζεσθαι] ἀκριβολογεῖσθαι N. 14 γίγνοιτ'] γίγνοιτο LN. 15 ἐπεὶ καὶ] ἐπεὶ δήπου καὶ N, δήπου expuncto. 17 βελτίους τὰς πράξεις] τὰς πράξεις βελτίους N. 19 ὅτ' N. Vulgo ὅτε.

141, 1 ταῦτ' N. Vulgo ταῦτα. ἀπεκρίναντο L. Vulgo ἀπεκρίνοντο. Ἀγησιλάου] Hunc pro Cleombroto ponit memoriae lapsu Xenoph. VI. Canter. 2 προεστηκότος] προεστῶτος N ab rec. m. 6 στρατιᾶς] στρατιάς N. 8 γε] τε N. 10 τοσοῦτον BLN. Vulgo τοσοῦτο.

ἢ προσέκειτο ἐλαύνουσα καὶ τοὺς μὲν ὅλως ἀπαν ηλώκει (23
τῶν ἀνθρώπων, τοὺς δ' ἀχρήστους εἰς τὰ παρόντα ἐπεποιήκει, ἣν καὶ χωρὶς μάχης καὶ πολέμου προσβολῆς οὐχ ἕν τι τῶν ῥᾴστων ἦν ὑπενεγκεῖν. καὶ μὴν οὐδ' ἐκεῖνο ἠγνόει Περικλῆς ὅτι νικήσας μὲν πολλῷ πλείοσιν αὖθις μαχεῖται καὶ πολλοὺς ἄλλους εὑρήσει τοὺς ἀμφισβητοῦντας τοῦ τροπαίου, καθάπερ Κορίνθιοι πρότερον, καὶ κληρονομοῦντας τῶν αὐτῶν τούτων πραγμάτων· ὥστε τὴν Καδμείαν νίκην ἡγεῖτο νικήσειν, ὡς ἑτέρως δὲ πράξας
142 ἀπολεῖν τὴν πόλιν. τοῖς μὲν γὰρ πολεμίοις μέρος ἑκάστοις ἐκινδύνευεν, αὐτοῖς δὲ καὶ τοὔδαφος τῆς πόλεως συνυπέκειτο τῷ κινδύνῳ, καὶ εἰς ὑπὲρ πάντων κύβος ἀνερρίπτετο, σωμάτων, χρημάτων, δόξης, ἡγεμονίας, τοῦ βάθρου τῆς πόλεως, τῶν ἐλπίδων, ὅτου τις ἂν εἴποι παντός. οὔκουν ᾤετο δεῖν οὕτως ἄνισον ἀγῶνα ἀγωνίζεσθαι, οὐδ' ἐπὶ μηδενὶ πλείονι πᾶσι τοῖς οὖσι κινδυνεύειν, σωφρονῶν οἶμαι καὶ στρατηγοῦ λογισμῷ χρώμενος. ὁρῶμεν δὲ δή που καὶ τοὺς παλαιστὰς οὐκ εἰς τὰ τῶν ἀντιπάλων ἰσχυρὰ συγκαθιέντας, οὐδ' ἐξεπίτηδες καθ' αὑτῶν παρέχοντας λαβάς, (23
ἀλλ' ἀπὸ τούτων μὲν ὡς οἷόν τε μάλιστα ἀποχωροῦντας, τοῖς δὲ αὑτῶν πλεονεκτήμασι χρῆσθαι πειρωμένους καὶ τὴν νίκην ἀπὸ τούτων διώκοντας. ἃ καὶ Περικλῆς ἐνθυμούμενος οὐκ ἔδωκε τοῖς πολεμίοις τοσαύτην κατὰ τῆς πόλεως λαβήν, ἀλλ' ἐάσας ἐκείνους ἐν τῇ Ἀττικῇ ληρεῖν ἑκατὸν νεῶν ἐπίπλουν ἐξήρτυε τῇ Πελοποννήσῳ καὶ αὐτὸς ἐμβὰς ἐκόμιζε τὴν στρατιάν. καὶ περιῆν τοῖς μὲν τῆς Ἀττικῆς μέρος τι τετμηκέναι, τοῖς δ' ὡσπερεὶ πᾶσαν τὴν πολεμίαν. ὥστε ἠναγκάζοντο ἤδη φεύγειν ἐκ τῆς Ἀττικῆς οἱ τότε ὡς ἐπὶ ἕρμαιον βαδίζοντες. οὕτως ἃ μὲν οὐκ ἐκίνει, προνοίας, οὐ δειλίας ἦν, ἃ δὲ κἂν τούτοις ὄντας ἠξίου τολμᾶν ἔσχατον δεῖγμα τῆς ἀνδρείας ἔχει τῆς ἐκείνου. καίτοι πῶς οὐκ ἄτοπον, εἰ ὅτι μὲν οὐκ ἐξῆγεν αἰτιασόμεθα,

---

ἢ προσέκειτο N. Vulgo ἢ καὶ προσέκειτο.
142, 1 μέρος] Subaudi τῆς δυνάμεως vel αὐτῶν. Reisk.
2 εἰς] οἷς N. ἀνερρίπτετο correctus L: ipse ἀνερριπτεῖτο.
4 πᾶσι expunctum in N. 6 αὑτῶν N. Vulgo ἑαυτῶν. λαβὰς] τὰς λαβὰς L. 7 αὐτῶν] αὑτῶν L. 11 μέρος τι] τι om. EN.
13 τούτοις] τοιούτοις Reiskius. ἀνδρείας ΘN. Vulgo ἀν-

Digitized by Google

ὅτι δὲ ἔξω τῆς Ἀττικῆς ἦγεν αὐτοὺς οὐ θαυμασόμεθα; καὶ ὅτι μὲν οὐκ ἐμάχετο οὗ μὴ προσῆκεν ἐπιτιμήσομεν, ὅτι δ' ἠπίστατο ποῦ χρὴ τοῦτο ποιεῖν οὐ διαλογιούμεθα; καὶ ὅτι μὲν οὐ τὴν Ἀττικὴν ἐνεπίμπλη πολέμου καὶ ταραχῆς κατηγορήσομεν, ὅτι δὲ εἰς τὴν πολεμίαν ἀπέβαινε καὶ (237)
ἀντιμεθίστη τῇ Πελοποννήσῳ τὴν πολιορκίαν οὐ θήσομεν εἰς λόγον; ἀλλὰ τὰ μὴ πραχθέντα ἀντὶ τῶν πεπραγμένων ζητήσομεν; καὶ ὅτι μὴ νοσοῦντας μὲν οὐκ ἐξῆγεν οὐ συγγνωσόμεθα, ὅτι δὲ καὶ νοσοῦντας ἐξῆγεν οὐ θαυμασό-

143 μεθα; ὅστις οὕτω καμνόντων ἡγεῖτο, ὡς οὐδ' ἂν εἷς τῶν ἐρρωμένων καθαρῶς. οὕτω καὶ τῶν πολεμίων καὶ τῶν πολιτῶν καὶ τοῦ λοιμοῦ καὶ παντὸς ἦν κρείττων πράγματος. καίτοι σχολῇ γ' ἂν Ἀθηναίους ἑαυτῶν ὄντας εἴασεν ἀργεῖν, ἢ ὑποκατακλίνεσθαί τισιν ἀνθρώπων, ὅστις οὐδὲ κάμνειν αὐτοῖς ἐπέτρεπεν, ἀλλ' εἴς γε τὸν περὶ τῆς ἐλευθερίας ἀγῶνα καὶ τὸ μὴ λιπεῖν τὴν τοῦ φρονήματος τάξιν ἠξίου καὶ παρὰ τὴν ὑπάρχουσαν τύχην ἐρρῶσθαι. πρότερον δ' ἔγωγ' ἂν ᾤμην τὸν Μελέαγρον ὀφλῆσαι δειλίας ἢ Περικλέα, ὅν γε καὶ πρὶν γενέσθαι προσεῖπεν ἀπ' αὐτῶν τῶν ἐναντιωτάτων ὁ θεός, προειπὼν αὐτοῦ τῇ μητρὶ λέοντα τέξεσθαι· ἡ δ' ἐπὶ ταύτῃ τῇ ὄψει τίκτει Περικλέα.

---

δρίας. 14 ἔξω τῆς Ἀττικῆς] Diod. Sic. Hist. lib. 12. pag. 308. Τῶν δὲ Ἀθηναίων παροξυνομένων διὰ τὴν τῆς χώρας καταδρομὴν, καὶ βουλομένων παρατάξασθαι τοῖς πολεμίοις, Περικλῆς στρατηγὸς ὢν, καὶ τὴν ὅλην ἡγεμονίαν ἔχων, παρεκάλει τοὺς νέους ἡσυχίαν ἔχειν, ἐπαγγελλόμενος ἄνευ κινδύνων ἐκβαλεῖν τοὺς Λακεδαιμονίους ἐκ τῆς Ἀττικῆς. πληρώσας οὖν ἑκατὸν τριήρεις, καὶ δύναμιν ἀξιόλογον εἰς τὰς ναῦς ἐνθέμενος, καὶ στρατηγὸν ἐπιστήσας Καρκίνον καὶ ἑτέρους τινὰς, ἐξέπεμψεν εἰς τὴν Πελοπόννησον. οὗτοι δὲ πολλὴν τῆς παραθαλαττίου χώρας πορθήσαντες, καί τινα τῶν φρουρίων ἑλόντες, κατεπλήξαντο τοὺς Λακεδαιμονίους. διὸ καὶ τὴν ἐκ τῆς Ἀττικῆς δύναμιν ταχέως μεταπεμψάμενοι, πολλὴν ἀσφάλειαν τοῖς Πελοποννησίοις παρείχοντο. τούτῳ δὲ τῷ τρόπῳ τῆς Ἀττικῆς ἐλευθερωθείσης, ὁ μὲν Περικλῆς ἀποδοχῆς ἐτύγχανε παρὰ τοῖς πολίταις, ὡς δυνάμενος στρατηγεῖν, καὶ τοῖς Λακεδαιμονίοις διαπολεμεῖν. Iebb. 16 ποῦ] πῶς L. 17 ἐνεπίμπλη] Scribebatur ἐνεπίπλη. ἐνεπίμπλα ΘΕ. ἐνεπίπλα L. ἐνεπίπλει (η superscr.) N. ἀπέβαινε] ἐπέβαινε L, sed alterum superscripsit corrector.

143, 2 ἑαυτῶν ὄντας] Subaudi κυρίους. Reisk. 3 κάμνειν ELN, Opor. Canterus, Iebb. κάμνειν iunt. 7 προειπὼν] Confer

ὥσθ' ὅρα μὴ λέοντα ξυρεῖν ἐπιχειρῶμεν, οὐ Θρασύμαχον (23 συκοφαντεῖν ἐπιχειροῦντες, ἀλλὰ κωμῳδεῖν Περικλέα, καὶ ταῦτα εἰς δειλίαν, ἔπειτ' αὐτοὶ δόξωμεν ἀνδρειότεροι τοῦ δέοντος εἶναι τοῖς βουλομένοις ἀντικατηγορεῖν, καὶ φανῇ τι καὶ δειλίας, εἰ δὲ βούλει, σιωπῆς ἀκίνδυνον γέρας, ὥς τις τῶν Κείων ἔφη ποιητής.

Ἀλλὰ γὰρ λίνον λίνῳ συνάπτει, φασίν. ὃς γὰρ ἐτόλμησεν εἰπεῖν ὅτι καὶ φιλαργύρους ἀπέφηνε Περικλῆς ἀνθρώπων καὶ οὕστινασοῦν τί τις ἂν λέγοι; νὴ Δία, πρῶτος γὰρ εἰς μισθοφορὰν κατέστησε τὰ πράγματα. ἐγὼ δὲ εἰμὶ μὲν οὐδ' αὐτὸς τῶν ἐπαινούντων τὸ μισθοφορεῖν, καὶ τούτου σχεδὸν ἔργῳ πεῖραν ἐγὼ δεδωκέναι νομίζω. οὔκουν μέτεστί μοι τοῦ πράγματος οὐδέν, ἀλλὰ καὶ τῶν λόγων προὔστην καθαρώτερον ἢ τῶν φόρων οἶμαι τὸν ὁμώνυμον,
144 εἴ τι δεῖ καὶ νεανιεύσασθαι. ὁ μὲν γὰρ τὸ σύμμετρον τάξας ἑκάστοις οὕτως εὐδοκίμησεν, ἐγὼ δ' οὔτε πλέον οὔτ' ἔλαττον οὐδενὶ πώποτε· ἀλλ' οὐδ' ὅσαι διαδόσεις πρὸς οὐδε-

---

Plutarch. in vita Periclis p. 279. Iebb. 8 μὴ λέοντα ξυρεῖν] Id quod esset perinde ac leonem radere, inquit Plato I. de republ. Canter. 9 δόξωμεν] δόξομεν L. 11 ὥς τις] ὅστις N. κείων (ἢ τῶν ἀπὸ τῆς κέω marg.) N. ποιητής] Simonides fr. 152. p. 400. ed. Gaisford. Athenodoro tribuit Stobaeus Florileg. XXXIII, 5. vol. II. p. 39. Gaisf. ab Cantero indicatus. λίνον λίνῳ] λίνῳ λίνον LN. 12 συνάπτει ΘLN. Vulgo συνάπτειν. συνάπτει] Plato scilicet. et in φασὶν subauditur ὡς. ut aiunt homines in proverbio. Reisk. φιλαργύρους LN Iebb. φυλαργύρους Iunt. Sic distinguo ἀπέφηνε Περικλῆς, ἀνθρώπων καὶ οὓς τινας οὖν — τί τις ἂν λέγοι; post οὖν est aposiopesis. debebat enim sequi βλασφημοίη. sed quoniam hoc iniurium esset nimisque acerbum in Platonem, cui modis omnibus noster parcit, invidiosi et ignominiosi verbi loco ait: *quid iam dicam?* non habeo satis aptum verbum, molle, neque laedens dignitatem divini hominis, sed idem tamen satis indicans id quod volo. tunc incipit nova sententia et dubitatio. atqui νὴ Δία πρῶτος —. Reisk. 14 οὐδ' αὐτὸς N. Vulgo οὐδὲ αὐτός. 15 Significat se a pueris institutionis literariae mercedem nullam exegisse. Reisk.

144, 2 οὔτ' ἔλαττον N. Vulgo οὔτε ἔλαττον. ἀλλ' N. Vulgo ἀλλά. διαδόσεις] Sportulae. vidit hoc etiam scholiastes, qui tamen Romani moris non satis gnarus, ut homo Graecus, σπορίδας appellavit pro σπυρίδας. illo autem, non hoc modo, cum exarasse

Digitized by Google

μίαν πώποτε ἀπήντησα, εἰ μή τις ἑκὼν ἔπεμψεν. ἀλλὰ καὶ (239)
τὴν Σωκράτους εἴτε χρὴ σοφίαν εἴτε φιλοσοφίαν λέγειν, ἢ καί τι ἄλλο, καὶ τοῦτ' ἄγαμαι, τὸ μὴ καπηλεύειν μηδ' ἐπὶ τοῖς βουλομένοις ὠνεῖσθαι ποιεῖν ἑαυτὸν, μηδ' οὕτω σφόδρα φάσκειν ἑαυτὸν πεπαιδεῦσθαι ὥστε δουλείαν αὐτοῦ καταψηφίζεσθαι. ἐγὼ μὲν οὖν ὅπερ λέγω περὶ τούτων, οὕτω καὶ χαίρω τῇ μεγαλοπρεπείᾳ παντὸς μᾶλλον, ὥς γε ἐμαυτὸν πείθω· ὁρῶ δὲ ὅτι πολλὰ τῶν πόλεών ἐστιν ὥσπερ ἐφόλκια, οἷς ἀνάγκη συγχωρεῖν ὥσπερ ἐν σώματι. καὶ γὰρ τὰ σώματα καὶ τὰ χείριστα καὶ τὰ κάλλιστα ἀκούω ἐκ τῶν αὐτῶν κεκρᾶσθαι, τῷ δ' ἢ πλείονος ἢ ἐλάττονος τούτων ἕκαστον μετέχειν, τούτῳ κρίνεσθαι τό τε χεῖρον καὶ τὸ βέλτιον. οὕτω δὴ καὶ τὰς πόλεις ἀνάγκη τῆς φύσεως τῆς ἀνθρωπείας ἀπολαύειν, κἂν ὡς βέλτιστα οἰκεῖσθαι δοκῶσιν. ἐπεὶ κἂν τῷδε τῷ παντὶ τοσούτων καλῶν καὶ τοσαύτης ἀγαθῆς τύχης μετειληφότι καὶ οὐδὲν ἔξω δήπουθεν αὐτοῦ λελοιπότι τῶν καλῶν πολλὰ ἂν εὕροις οἷς ἥκιστα ἂν ἡσθείης· ἀλλ' οὐ κατηγορεῖς διὰ ταῦτα τοῦ παντὸς οὐδὲ τοῦ ποιήσαντος, οὐδὲ νομίζεις ἄλλον (240)
τινὰ δή που βελτίω γενέσθαι ποτ' ἂν αὖθις δημιουργὸν τῶν ὅλων, ἀλλὰ δίδως τῇ φύσει ταῦτα ἐφειλκύσθαι καὶ οὐ πολυπραγμονεῖς. τί δὴ θαυμαστὸν εἰ καὶ Ἀθήνησί τι

---

prodit inepta eius deductio a verbo σπείρειν. Reisk. 3 τὴν Σωκράτους] Videantur quae de eadem re adhibentur supra p. 223. (ed. Steph.) et quae de sui ipsius moribus edisserentem Plato inducit Socratem in Apolog. p. 22 et seqq. Iebb. 4 ἢ καί] εἴτε N. εἰ καὶ Canterus. ἄλλο] ἄλλο λέγειν L. τοῦτ' N. Vulgo τοῦτο. 5 Neque se ita eruditum ferre, h. e. dicere, se ad eam vitae et morum elegantiam et in praedicando de aliis modestiam institutum et assuefactum esse, ut nimia illa cura atque cautione, ne quem verbis laedat offendatve, domestico quasi praeconio testes quam plurimos ignaviae suae pusillique et abiecti animi colligat; vel palam de se praedicet liberum verbum et ingenuo homine viroque forti dignum proferre se non audere. Reisk. 6 ὅπερ] ὥσπερ Reiskius. Vulgatam scripturam habet Photius p. 425 a, 29. 9 τῷ δ'] τὸ δ' N. 10 ἑκάστου] ἕκαστον. scil. σῶμα. Reisk. ἕκαστον N. Legebatur ἑκάστου. 13 αὐτοῦ] αὑτοῦ ΘL. εὕροις ΘLN et Photius. Vulgo εὕρῃς. 14 κατηγορεῖς] κακηγορεῖς a pr. m. L. ταῦτα] τοῦτο N. 15 ποτ' N. Vulgo ποτε.



Digitized by Google

τῶν πάντων οὕτως ἴσχεν ὥσπερ ἴσως ἂν που καὶ ἄλλοθι, καὶ συνεχώρησαν οἱ προεστῶτες ἅμα μὲν τὴν τῶν πολλῶν πενίαν καὶ χρείαν ἐπανορθούμενοι, δι' ἣν οὐκ ἐλάχιστα τῶν ἁμαρτημάτων συμβαίνει, ἃ κωλύειν μᾶλλον οὕτως
145 ἡγοῦντο, ἅμα δὲ εὐλαβούμενοι μή τι καὶ χεῖρον ἐξεργάσαιντο τῷ καθείργειν παντελῶς αὐτούς. τί γὰρ οὐκ ἦν προσδοκῆσαι ποιήσειν ἀνθρώπους τοσούτους τὸ πλῆθος καὶ οὕτως ὀξεῖς, καὶ χρημάτων τοσούτων παρόντων, εἰ μηδεὶς αὐτοῖς μεταδίδοιη τὰ μέτρια; ἆρ' οὐ πάντ' ἂν αὐτοῖς ἐπιχειρῆσαι λαβεῖν; ἔτι δὲ ὥσπερ ἐν τοῖς ἰδίοις οἴκοις πᾶς τις οἶμαι βούλεται τῶν προσόντων ἀπολαύειν, οὕτως οὐδὲν ἀπεικὸς καὶ πόλιν ἄλλως τε καὶ ἀρχὴν ἔχουσαν, ἐν οἷς οὐχ ὁ τὸ πᾶν κωλύων ἴσως βέλτιστος, ἀλλ' ὅστις τοῦ μετρίου ποιεῖται λόγον. ἢ τί χρῆν ἢ φόρους ἔτι λαμβάνειν ἢ πράγματ' ἔχειν, εἰ μηδὲν ἔμελλον ἀπ' αὐτῶν κουφιεῖσθαι; ὥσθ' ὅταν ταῦτα λέγῃς, οὐ τὸν μισθὸν ἐγκαλεῖς, (241)
ἀλλὰ τὴν ἀρχήν. ἐπεὶ ὅτι γε ἀναγκαῖον ἐν πόλει μισθὸς καὶ οὐκ ἔνεστι παρελθεῖν οὐδὲ τῷ σεμνοτάτῳ τὸ μὴ οὐκ ἐπιχορηγῆσαι καὶ φιλανθρωπεύσασθαι οὐδὲν δέομαι μαρτύρων πολλῶν, ἀλλ' εἷς ὁ τῶν Ἑλλήνων ἄριστος ἐξαρκεῖ μοι. τίς οὗτος; αὐτὸς σύ. τῇ γὰρ εὐδαίμονί τε καὶ ἀγαθῇ πόλει — πῶς γὰρ οὐκ εὐδαίμων ἧς γε οἰκιστής ἐστι Πλάτων; — τοὺς φύλακας διδοὺς τάττεις μισθὸν αὐτοῖς δημοσίᾳ, ὡς οὔτ' αὐτὸς αἰσχρὸν οὐδὲν συμβουλεύων οὔτ' ἐκείνους ποιήσοντας οὐδετέρους, οὔτε τοὺς δώσειν οὔτε τοὺς λήψεσθαι μέλλοντας. εἰ δὲ μὴ ἀργύριον μηδὲ χρυ-

---

145, 1 τῷ] τὸ N. 3 αὐτοῖς] αὑτοῖς Θ. 6 λόγον] τὸν λόγον L. πράγματ' N. Vulgo πράγματα. 9 ἀλλ' εἷς N. Vulgo ἀλλὰ εἷς. 11 τάττεις μισθὸν] Allusio est ad verba Platonis in lib. III. de Repub. ad finem, τὰ δ' ἐπιτήδεια, ὅσων δέονται ἄνδρες ἀθληταὶ πολέμου σώφρονές τε καὶ ἀνδρεῖοι, ταξαμένους παρὰ τῶν ἄλλων πολιτῶν, δέχεσθαι μισθὸν τῆς φυλακῆς τοσοῦτον, ὅσον μήτε περιεῖναι αὐτοῖς εἰς τὸν ἐνιαυτὸν, μήτε ἐνδεῖν. Iebb. 12 οὔτε αὐτὸς L. οὔτε ἐκείνους ΘL. ποιήσοντας] ποιήσων E. 13 τοὺς δώσειν] τοὺς om. G. εἰ δὲ μὴ ἀργύριον] Dixerat etenim Plato ibidem constituendum esse, magistratibus nefas esse aurum vel argentum tractare et tangere, aut sub tectum suum comportare, aut ad vestitus ornamentum secum afferre, aut ex auro vel argento bibere;

Digitized by Google

σίον ὁ μισθός ἐστιν, ἀλλ' ἕτερόν τι, ἕτερος λόγος οὗτος. πρὸς
γὰρ τὰ σχήματα τῶν πολιτειῶν οἶμαι καὶ τοὺς μισθοὺς
εἰκὸς εἶναι. οὐδὲ γὰρ εἰ Βυζάντιοι σιδήρῳ νομίζουσι, τού-
του χάριν εἰσὶ δίκαιοι τῶν Ἑλλήνων καταγελᾶν, οὐδ' ἧτ-
τόν τι δοκεῖν ἂν φέρειν μισθὸν, ὅτι οὐ χρυσίον οὐδὲ ἀρ-
γύριον φέρουσιν· οὐδέ γε εἰ Καρχηδόνιοι σκύτεσιν· εἰ μὴ
κἂν τινες ἀργύριον φέρωσιν, ὅτι οὐ τὸ τιμιώτερον αὖ
146 φέρουσι χρυσίον, ἄλλο τι τοῦτ' ἢ μισθὸν εἶναι φήσουσιν. (242)
ἀλλ' οὐδ' ἂν εἷς οἶμαι ταῦτα συγχωρήσειεν. οὐδὲ γὰρ τὰς
τροφὰς ἅπασι τὰς αὐτὰς αἱρεῖσθαι νόμος, δεῖ δὲ ὅμως
ἅπασι τροφῶν. οὕτω δὴ κἀνταῦθα μή τίς ὁ μισθὸς, ἀλλ'
ὅλως εἰ μισθὸν εἴρηκας· εἰ μὴ καὶ ὁ Εὔνεως προῖκα τὸν
οἶνον ἔπεμπε τοῖς Ἀχαιοῖς, ὅτι οὐκ ἀργύριον αὐτῷ διέ-
λυον, ἀλλ' οἱ μὲν χαλκὸν, ἄλλοι δ' αἴθωνα σίδηρον. ἀλλ'
οὐδ' αὐτὸς ταῦτά γε ἠλαζονεύετο. Περικλῆς τοίνυν οὐκ
αὐτὸς κοψάμενος νόμισμα, ἀλλ' ὄντων ἐν ἀκροπόλει χρη-
μάτων ἐκεῖθεν ἔσωζε τὸν μισθόν. ὥστ' οὐδετέρου δίκαιος
ἔχειν αἰτίαν, οὔτε τοῦ νομίσματος οὔτε τοῦ μισθοῦ. καὶ
τί ταῦτα ἀγωνίζομαι σφόδρα; εἰ γὰρ ὡς οἷόν τε μάλιστα
αἰσχρὸν ἡ μισθοφορὰ καὶ τὸ νέμειν, οὐ τῆς Περικλέους
ἐστὶ πολιτείας, οὐδ' ἀπὸ τῶν ἐκείνου χρόνων ἤρξατο, ἀλλὰ

---

ita vero et sibi et civitati salutares fore. Iebb. 14 ἕτερος] Deest οὐχ ante ἕτερος. Canter. 15 εἰκὸς εἶναι] εἶναι εἰκός N. 16 οὐδέ γε ἀργύριον G. εἰ καρχηδόνιοι ΘEGLN, Canterus. Legebatur οἱ Καρχηδόνιοι. Solum καρχηδόνιοι est in S.
17 σκύτεσιν] Scil. νομίζουσι. ut v. 15. neque fas est Carthaginiensibus ideo, quod pecunia scortea utuntur, Graecos argenteam usurpantes deridere. Reisk. φέρωσιν ΘGLN. Vulgo φέρουσιν. τιμιώτερον] τιμιώτατον G.

146, 2 ἅπασι τροφῶν] ἅπαση τρόφη G. 3 ὅλως Reiskius. Vulgo ὅμως. Εὔνεως] εὔνεος N. 4 Fort. ἀλλ' ἄλλοι μὲν χαλκόν. et sic quoque est Iliad. η, 473. ἄλλοι μὲν χαλκῷ, ἄλλοι δ' αἴθωνι σιδήρῳ. Reisk. οἱ μὲν] οἶμαι G. 5 γε om. E.
6 ἔσωζε] Coacervabat, cogebat quasi εἰς σωρόν. nam σώζειν hoc proprie significat, coacervare, congerere, aut exaggeratum aliquid integrum servare, ne quid acervus minuatur cavere. a σάω et σόω fit σωρὸς et σώζω et σῶμα. Reisk. ὥστ' N. Vulgo ὥστε.
9 Fort. καὶ τῶν ἄνω νομοθετῶν τις ἤδη ταῦτ' ἐνόμιζε vel εἰσηγήσατο. possit ᾔδει defendi, interpretando *exercebat*. ille usus verbi εἰδέναι, quo notat exercere, agitare, factitare rem, ei operam et studium



Digitized by Google

καὶ τῶν νομοθετῶν τις ᾔδει ταῦτα· τοὺς γὰρ ἄλλους σιωπῶ. οὕτω τὰ μὲν ὕστερα τῆς ἐκείνου πολιτείας ἐγκέκληκεν, ἃ μικρῷ πρόσθεν ἠλέγχομεν, τὰ δὲ πρεσβύτερα, τὰ περὶ τοῦ νομίσματος, ὥσπερ ἃ νῦν αὖ δείκνυται. πῶς ἂν τις χρήσαιτο ῥᾷον ἄνθρωπος λόγοις, ἢ πῶς μετὰ (243)
πλείονος ἐξουσίας; ὅλως δ᾽ ἔγωγε θαυμάζω, εἴ τίς ἐστιν ἁπλούστερος ἢ δικαιότερος τρόπος ἐξετάσεως· εἰ φιλαργύρους ἐποίησε Περικλῆς Ἀθηναίους ἢ καὶ ἄλλους τινὰς ἀνθρώπους Ἑλλήνων ἢ καὶ βαρβάρων, ἢ αὐτὸν ἰδεῖν καὶ σκέψασθαι τὸν Περικλέα ποῖός τις ἦν. ὁ γὰρ τοῦ Ξενοφῶντος λόγος ἐρρῶσθαί μοι δοκεῖ. ὥσπερ γάρ, ἔφη, τοὺς παιδοτρίβας ὁρῶμεν τὰ μὲν τῇ φωνῇ τοῖς παισὶν εἰσηγουμένους, τὸ δὲ πλεῖστον τῷ παραδεῖξαι προσβιβάζοντας, οὕτω καὶ Σωκράτη φησὶ κρίνειν δίκαιον. οὕτω τοίνυν καὶ Περικλέα δὴ θεασώμεθα, πῶς αὐτὸς εἶχε πρὸς χρήματα καὶ ποῖόν τινα παρεῖχεν ἑαυτὸν παράδειγμα τοῖς τε Ἀθηναίοις καὶ τοῖς ἄλλοις Ἕλλησι κατὰ τοῦτο τὸ μέρος· κἂν μὲν εὑρίσκω-
147 μεν αὐτὸν ἀγεννῆ καὶ ἀνελεύθερον καὶ τοῦ κέρδους ἥττω,

---

navare, est Homero perquam usitatus. sed oratore videtur alienius. Reisk. 10 Fort. οὕτως, εἰ τὰ μὲν ὕστερα τῆς ἐκείνου πολιτείας. appellat autem posteriora administratione Periclis illa Atheniensium perniciosa instituta, tenente bello ditionem suam amplificandi, contra quam Pericles suaserat. v. p. 124, 125. ille enim locus est, ad quem ipse noster hic oblegat in verbis ἃ μικρῷ πρόσθεν ἠλέγχομεν. Reisk. 11 μικρῷ] μικρὸν G. ὡς, παρ᾽ ἃ νῦν αὖ, (scil. ἠλέγχομεν) δείκνυται. quemadmodum efficitur ex iis, quae nunc modo arguimus. vel simplicius ἃ delendum est, aut ὡς, aut scribendum ὡς τὰ νῦν αὖ, ut τὰ νῦν sit adverbiale pro νῦν simplici. Reisk. 12 χρήσαιτο ῥᾷον L. Legebatur ῥᾷον (ῥᾴων G) ἐχρήσατο. 13 ἔγωγε] ἐγὼ EGN. 14 εἴτε] Leg. εἰ. nam post illud deberet sequi εἴτε καὶ μή. Reisk. Recepi Reiskii emendationem. εἴτε μὴ post βαρβάρων inserebat Canterus. περικλῆς φιλαργύρους ἐποίησεν N. 16 Ξενοφῶντος] Memorabil. I. 2, 17.
17 προσβιβάζοντας ΘGLN Opor. Legebatur προσβιάζοντας. προσβιβάζοντας recte dant codices et sic quoque est libro primo Memorabil. Socratis. v. infra p. 158, 12. 166, 15. Reisk.
18 Σωκράτη] σωκράτην LN. σωκράτης. G. δὴ] δήπου L.
20 εὑρίσκωμεν] εὑρίσκομεν G.

147, 1 ἀγενῆ Θ Iunt. ἀγεννῆ Iebb. ἥττω] ἥττονα ΘGLN.

φῶμεν καὶ τοὺς ἄλλους ταῦτα διδάσκειν καὶ διαφθείρειν καὶ παραπλησίους αὐτῷ ποιεῖν· εἰ δὲ τοσοῦτον ἐπερεῖδε χρημάτων, ὅσου οὐκ οἶδ' εἴ τις τῶν πώποτε, πῶς ἐποίει φιλοχρημάτους, ἢ πῶς ἑτέρους διέφθειρεν, ἐν οἷς αὐτὸς χρηστὸς ἦν; ὥσπερ ἂν εἰ λέγοις τὸν Ῥαδάμανθυν ἐθίζειν τοὺς ἀνθρώπους ἐπιορκεῖν, ᾧ τοσοῦτον περιῆν εὐσεβείας (244) καὶ δικαιοσύνης ὥστε καὶ τελευτήσας τοῖς ἐκεῖσε ἀφικνουμένοις δικάζειν δοκεῖ περὶ τῶν ἐν τῷ βίῳ πραχθέντων. καὶ σὺ δείξας οὖν πρότερον τὸν Περικλέα μικρὸν καὶ ἀγεννῆ καὶ ταπεινὸν καὶ πρὸς ἀργύριον βλέποντα, τότε δὴ φάθι καὶ τοὺς ἄλλους πεποιηκέναι τοιούτους· ὥσπερ καὶ τοὺς περὶ τῶν γραμμάτων διδασκάλους ἔστιν εἰπεῖν· οὐκέθ' αὕτη Ξενοφῶντος ἡ εἰκών, ἀλλ' αὐτοῦ Πλάτωνος. ὥσπερ γάρ, φησίν, οἱ γραμματισταὶ τοῖς μήπω δεινοῖς γράφειν τῶν παίδων ὑπογράψαντες γραμμὰς τῇ γραφῖδι οὕτω τὸ γραμματεῖον διδόασι καὶ ἀναγκάζουσι γράφειν κατὰ τὴν ὑφήγησιν τῶν γραμμάτων, οὕτω δὴ καὶ ἡ πόλις. ἀλλ' ἡμεῖς ἀντὶ τῆς πόλεως λάβωμεν τὸν Περικλέα. Περικλῆς τοίνυν τὰ μὲν λέγων, ὡς ἔοικεν, ὑφηγεῖτο τοῖς Ἀθηναίοις, ἐν οἷς οὐδὲν ἦν ἀνελεύθερον οὐδ' ἀγεννές· τὰ δὲ ἐπ' αὐτοῦ τοῦ βίου δεικνὺς ἑαυτὸν καὶ παρέχων σκοπεῖν ὁποῖός τις ἦν. πότερ' οὖν εἰς κάλλος αὐτοῖς ζῆν ὑπέγραφε τοιοῦτος ὢν οἷον ἀκούομεν, ἢ πρὸς κέρδος καὶ τὴν χεῖρα ὑφεικότας καὶ ὡς ἥκιστα ἔμελλον ὀρθῶς πράξειν; καὶ μὴν λέγοντος μὲν αὐτοῦ ἐν ταῖς ἐκκλησίαις ἤκουον (245) κἂν τῷ βουλευτηρίῳ, τὸν δὲ βίον καθ' ἑκάστην ἑώρων δή

---

ταῦτα διδάσκειν ΘΝ. ταυτα διδάσκειν L. Legebatur διδάσκειν ταυτά. 2 αὐτῷ ΘΝ. Vulgo αὐτῷ. τοσοῦτον] Vulgo τοσοῦθ'. 3 οἶδ' N. Vulgo οἶδα. 6 τῷ βίῳ GLN. Aberat τῷ. 7 ἀγεννῆ Iunt. ἀγενῆ N Iebb. φάθι] Vulgo φᾶθι. 8 τοὺς περὶ] περὶ τοὺς E. 9 Πλάτωνος] In Protagora p. 326 d. 10 γραφῖδι] Vulgo γραφίδι. 11 διδόασιν L. καὶ ἀναγκάζουσι — γραμμάτων in textu omissa in margine habet L. ὑφήγησιν] ἀφήγησιν N. γραμμάτων] γραμμῶν Plato. 13 οὐδ' N. Vulgo οὐδέ. 14 πότερ'] πότερον G. 15 τὴν χεῖρα ὑπέχειν dicitur ille, qui manum curvatam vel cavatam subiicit alterius manui, tanquam rete, quo dona eius colligat et complectatur. ὀρθῶς πράττειν est secunda fortuna uti, in rebus prosperis et lae-

που τὴν ἡμέραν. ὥστε εἴπερ ἑώρων πρὸς ἐκεῖνον, ἔμελλον κρείττους εἶναι χρημάτων.

Φέρε δὴ καὶ περὶ τῶν ἄλλων ἁπασῶν αἰτιῶν αὖ τούτου σκεψώμεθα καὶ διέλθωμεν τὸν αὐτὸν τρόπον ὅνπερ περὶ τῆς φιλαργυρίας, κατ' ἀμφοτέρας ταύτας τὰς εἰκόνας, τήν τε τοῦ παιδοτρίβου καὶ τοῦ γραμματιστοῦ, καὶ συγκεφαλαιωσώμεθα. πάντα ἐν βραχεῖ. λάλους, φησίν,
148 ἐποίησε· καὶ μὴν οὐκ ἦν αὐτὸς λάλος. ἀργούς· ὁ δ' ἐνεργὸς ἦν. δειλούς· ὁ δὲ νικῶν ἀνδρείᾳ φαίνεται. φιλοχρημάτους· ὁ δ' ἥκιστα ἐτίμα χρήματα. πῶς οὖν αὐτὸς ὢν ἀγαθὸς λέγειν, ἱκανὸς πράττειν, ἀνδρεῖος, κρείττων χρημάτων, ἐποίει λάλους, ἀργούς, δειλούς, ἀνελευθέρους; ἢ γὰρ ὄναρ λέγεις, ἢ γρῖφον, ἢ οὐκ ἔχω τί φῶ. πῶς γὰρ οὐκ ἄτοπον, εἰ οἷος μὲν αὐτὸς ἦν οὐκ ἐποίει τοιούτους, οἷος δ' ἥκιστα αὐτὸς ἦν, τοιούτους ἀπειργάζετο; ἐμοὶ μὲν γὰρ τοὐναντίον ἐκ τούτων φαίνεται, τὸ γοῦν καθ' αὑτόν, πεποιηκὼς δεξιούς, ἐνεργούς, ἀνδρείους, μεγαλοπρεπεῖς· εἰ (246)
μή τι καὶ κατὰ Σωκράτους χρὴ πιστεύειν, ὅτι τοὺς νέους διέφθειρεν, ὃς αὐτοῖς παράδειγμα παντὸς ἦν χρηστοῦ. οὐκ ἔστι ταῦτα, ὦ Πλάτων, ἀλλὰ δυοῖν θάτερον· ἢ οὐκ ἦσαν Ἀθηναῖοι τοιοῦτοι οἵους σὺ κατῃτιάσω, ἢ πάντες μᾶλλον ἢ Περικλῆς αἴτιος, εἴπερ γε μήτε φαύλως ἐδείκνυ τὰ παλαίσματα μήτε ἀσαφεῖς τινὰς ἢ κιβδήλους ἢ σκολιὰς παρεῖχε τὰς γραμμάς. ἔτι τοίνυν τῶν ἀνωτέρω μνημονεύσωμεν καὶ συλλογισώμεθα, καὶ ταῦτα ἐκ τῶν πεφηνότων. Πλάτων εἶπε μὴ δεῖν κολακεύειν τὰ πλήθη· Περικλῆς δέ γε πλείστῃ παρρησίᾳ χρησάμενος φαίνεται. διαμάχεσθαι δεῖν ὑπὲρ τοῦ βελτίονος· ὁ δ' ἐν καιροῖς τοιούτοις

tis esse. Reisk. 18 αἰτιῶν αὖ τούτου σκεψώμεθα] αὐτοῦ αἰτιῶν σκεψόμεθα N. τὸν αὐτὸν] τὸν αὐτοῦ N. 19 κατ' ἀμφοτέρας] Facit hoc p. 148, 9. Reisk.

148, 1 ἀργούς] ἀργοὺς δὲ N, δὲ expuncto. ἀνδρείᾳ Θ. Vulgo ἀνδρίᾳ. ἀνδρίᾳ (ει superscr.) N. 2 ὢν ἀγαθὸς ΘGLN. Aberat ὤν. ἀγαθὸς ὢν E. 3 γρῖφον] Vulgo γρίφον. 6 ἀνδρείους] ἀνδρίους L. 7 οὐκ ἔστι ΘEGLN et Photius p. 425 b, 17. Legebatur οὐκέτι. 8 δυοῖν θάτερον] δεῖν θάτερα E. Ἀθηναῖοι] οἱ ἀθηναῖοι N. 9 παλαίσματα EGLN Opor. Iebb. πλάσματα Iunt. 10 ἀνωτέρω] ανωτέρων L. 12 πλείστῃ] πλήστῃ L. διαμάχεσθαι] διαμα-

ἐμάχετο οἷς ἀρτίως ἡμεῖς ἐπεδείκνυμεν· μὴ ζητεῖν ἀποπεπλάναι τὰς ἐπιθυμίας· ἐκεῖνος τοίνυν κατεῖχε καὶ οὐκ ἤγετο μᾶλλον ἢ αὐτὸς ἦγε. μηδ' ἐκ παντὸς τρόπου συνεθίζειν πλέον ἔχειν, φησὶν ὁ τὸν νόμον τιθείς· ὁ δ' ἀφ' ἑστίας ἀρξάμενος τῆς αὐτὸς αὑτοῦ τὸ σύμμετρον ᾑρεῖτο πρὸ τοῦ πλέονος. οὐκοῦν ταῦτ' ἐδόκει Πλάτωνι, ταῦτα ποιῶν Περικλῆς φαίνεται. πῶς ἂν τις μᾶλλον κατὰ τοὺς Πλάτωνος λόγους φανείη βεβιωκὼς ἢ πεπολιτευμένος; ἢ (247)
τίνα χρῆν ὑπὲρ ἐκείνου πρῶτον εἰπεῖν, εἴ τις ἐπῃτιάσατο;
149 [Πλάτωνα.] μέγιστον δὲ κἀκεῖνο σημεῖον τῆς Περικλέους ὀρθότητος ἄνευ τῶν εἰρημένων, καὶ ὡς οὐκ ἐκεῖνος ἦν ὁ διαφθείρας οὐδ' ἐθίσας Ἀθηναίους φιλαργύρους εἶναι, οὐδ' ἐκ παντὸς τρόπου τὸ πλέον ζητεῖν ἔχειν. οὔτε γὰρ τοὺς φόρους Περικλῆς εἰς ἄπειρόν ἐστιν ὁ ἐξαγαγών, ἀλλὰ καὶ ταύτης τῆς ἀμετρίας, ὦ φίλε Σώκρατες, εἰ ζητοίης τὸν αἴτιον, τὸν ἑταῖρον εὑρήσεις τὸν σεαυτοῦ· ἐκεῖνος γάρ ἐστιν ὁ πρὸς τοσοῦτον προαγαγὼν τοὺς φόρους, ὅσον οὐδὲ βουλομένοις φέρειν ἐξῆν, οὔτε σοὶ πειθόμενος οὐδὲν οὔτε τὸν Περικλέα μιμούμενος. ἀλλ' οὐ Περικλῆς τοιοῦτος οὔτ' ἐνταῦθα οὔτε ἄλλοθι, ἀλλ' οὕτω σφόδρα πόρρω τῆς πλεονεξίας ἦν καὶ τοῦ συμβουλεύειν Ἀθηναίοις τὰ μὴ προσήκοντα πράγμαθ' αὑτοῖς προστίθεσθαι ὥστε τῷ προτέρῳ πολέμῳ κεκρατηκότας αὐτοὺς Πελοποννησίων καὶ ἔχοντας Μέγαρα, Νίσαιαν καὶ Τροιζῆνα καὶ Πηγὰς καὶ Ἀχαΐαν ἔπεισε ταῦτα ἀποδόντας εἰρήνην συνθέσθαι, τοσούτου

---

χέεσθαι L. 13 ἀποπεπλάναι] ἀπαιπλάναι L. 14 ἦγε. μηδ'] ἦγεν. μηδὲ L. 15 ἀφ' ἑστίας] Consulatur Plutarchus vit. Peric. pag. 294. Quippe rem familiarem adeo dispensavit Pericles, ut ampla in domo et opibus affluentibus nihil effluerет, verum impensae omnes certa essent ratione et modo constitutae. Iebb.
16 πλέονος Θ. Vulgo πλείονος. Fort. οὔκουν εἰ, ἅ γ' ἐδόκει Πλάτωνι. Reisk. 17 τοὺς Πλάτωνος] τοῦ πλάτωνος G. 18 πλάτωνα ΘEGLN. Legebatur ἢ πλάτωνα. Delendum videtur Πλάτωνα.

149, 2 πλέον L. Scribebatur πλεῖον. Restitue πλέον ex N supra p. 20, 2. 8 Ἀθηναίοις] τοῖς ἀθηναίοις N. αὑτοῖς L. Vulgo ἑαυτοῖς. 9 Νίσαιαν Steph. νήσαιαν ΘN Iunt. νησίαν G. Νίσωαν Iebb. Vide Thucydidem I, 115. 10 ταῦτα ἀποδόντας εἰρήνην συνθέσθαι] Supra noster in Panathenaica pag. 274. ed. Steph. cum omnes superasset urbs, inquit, pacem fecit; τοῖς δὲ Ἕλλησιν, ὧν

Digitized by Google

ἔδει προσδιδάσκειν πλέον ἀεί τι τῶν ὑπαρχόντων αὐτοὺς
ἔχειν. ὥστ' ἔγωγε νομίζω πρὸς ταῦθ' ὁρῶν καὶ τούτοις (248)
τεκμαιρόμενος, εἰ ἐπεβίω Περικλῆς καὶ μὴ πρότερον ᾤχετο
ἀπιὼν, οὐκ ἂν εἰς ἔσχατον κακῶν ἐξοκεῖλαι τοὺς Ἕλλη-
νας, ἀλλ' ἐπειδὴ τοὺς ἄνδρας τῶν Λακεδαιμονίων εἶχον
Ἀθηναῖοι καὶ Πύλον, οὐδὲν ἂν αὐτοὺς πλέον ζητῆσαι,
ἀλλ' εὐθὺς ἐλευθέρως ἂν ταῦτ' ἀποδόντας ποιῆσαι τοῖς
Ἕλλησι κοινὴν εἰρήνην. οὐδὲ γὰρ αὐτὸν τὸν πόλεμον πλεο-
νεξίας ἕνεκα αὐτοῖς προελέσθαι συνεβούλευσεν, ἀλλὰ τοῦ
μὴ τῶν ὑπαρχόντων ἀποστῆναι· ἀρχὴν δ' ἐκεῖνός γε οὐδ'
ἠξίου γίγνεσθαι πόλεμον, ἀλλὰ δίκῃ διαλύεσθαι περὶ τῶν
διαφόρων. οὕτω καὶ πόλεμον ἐξ εἰρήνης ᾔδει δέχεσθαι καὶ
παρὸν εἰρήνην ἄγειν οὐδαμοῦ τὸν πόλεμον προῃρεῖτο· οὐδὲ
τοῦ πλείονος αὐτοὺς ἔχεσθαι συνείθιζεν, ἀλλὰ τοῦ προσή-
κοντος. καίτοι ταῦτά ἐστιν ἀνδρείας, εὐβουλίας, δικαιοσύ-
νης, τῶν καλλίστων ἐπιδείγματα, ἀλλ' οὐχ ὧν Πλάτων
150 ἀνέθηκεν αὐτῷ. οἶμαι τοίνυν ἔγωγε καὶ τὴν ἐπωνυμίαν ἣν
ἔσχεν ἐκεῖνος ἐν τοῖς Ἕλλησιν, οὐχ ἥνπερ Μίθαικός τε
καὶ Θεαρίων, ἀλλὰ τὴν αὐτὴν τῷ Διὶ, μαρτύριον μέγι-
στον εἶναι τοῖς ὑπὲρ αὐτοῦ λόγοις καὶ ὡς οὐ τῶν φαύλων
τις ἦν. ἢ τῆς μὲν Ἀριστείδου δικαιοσύνης σύμβολον τὴν (249)
ἐπωνυμίαν ποιούμεθα — οὐ γὰρ αὐτοί γέ που τάττοντι
παρῆμεν αὐτῷ τοὺς φόρους — τῆς δὲ Περικλέους ἀρετῆς
τε καὶ φύσεως οὐ ποιησόμεθα τὴν ἐπωνυμίαν σύμβολον,

---

ἐπὶ τοῦ πολέμου κατέστη κυρία, ταῦτ' ἀπέδωκε, Μέγαρα, Τροιζῆνα, Πηγὰς, πᾶν τὸ Ἀχαϊκόν. Videantur etiam, quae ibi ex Thucydide adduximus. Iebb. τοσούτου] τοσοῦτον N. προσδιδάσκειν] πρὸς τὸ διδάσκειν E. Fort. προδιδάσκειν. nam id verbum, a Demosthene acceptum, nostro usurpatur de magistris, qui pueris literarum figuras et vim pingunt ante oculos atque demonstrant docentque imitari. Reisk. 11 πλέον ἀεί τι] ἀεί τι πλέον G. πλέονα, εἴ τι N. ἀεί τι] ἄρτι G. 13 κακῶν] κακὸν L apud Iebbium. 14 ταῦτ' L. Vulgo ταῦτα. 17 οὐδ'] οὐκ N. γίγνεσθαι ΘEN. Scribebatur γίνεσθαι. γενέσθαι L. δίκῃ] δίκην G. δίκη (ν ab correctore) L. διαφόρων] διαφορῶν N. 18 ᾔδει] ᾔδη N. πλέονος L. Vulgo πλείονος. 19 ἀνδρείας Θ. Vulgo ἀνδρίας.

150, 4 τάττοντι ΘEGLN. Vulgo τάττοντες. 5 ποιησόμεθα

Digitized by Google

ἣν οὐκ ἀφ' ἑνὸς τῶν τῆς ἀρετῆς μορίων, ἀλλ' ἀπὸ πάντων συλλήβδην ἐκτήσατο; ὅτι γὰρ οὐκ ἀτιμαστέον αὖ τοὺς πολλοὺς οὐδὲ ἀμελητέον τῆς δόξης τῆς παρ' αὐτῶν, ἀλλ' ἔνι τι κἀν τούτοις εὔστοχον θείᾳ τινὶ μοίρᾳ τῆς ἀληθείας ἐφαπτόμενον, αὐτὸς Πλάτων ὁ διδάσκων καὶ λέγων ἐστίν· ἔτι δὲ ἀνωτέρω Πλάτωνος πολλαῖς γενεαῖς ὕμνησεν Ἡσίοδος ποιήσας τὰ ἔπη ταῦτα ἃ πάντες ᾄδουσι

Φήμη δ' οὔτις πάμπαν ἀπόλλυται ἥντινα πολλοὶ
λαοὶ φημίξωσι· θεός νύ τίς ἐστι καὶ αὐτή.

οὐκοῦν ἡ φήμη μαρτυρεῖ τῷ Περικλεῖ τὰ κάλλιστα, καὶ θεὸς οὖσα αὕτη φησὶν ἐκεῖνον κρείττονα ἢ κατ' ἄνθρωπον γενέσθαι. καὶ μὴν οὐδ' ἐκεῖνό γ' ἔστιν εἰπεῖν ὡς ἄρα φαύλως πράττοντες ὑπὸ συμφορῶν Ἀθηναῖοι ταύτην αὐτῷ παρεῖσαν τὴν τιμήν, ὥσπερ χρόνῳ ὕστερον ἔσθ' ἃ καὶ

---

GLN. Vulgo ποιησώμεθα. 6 ἀλλ' ἀπὸ πάντων] De Olympii cognomine verba faciens Plutarchus, scribit nonnullos esse arbitratos eo nomine insignitum fuisse Periclem propter praeclaram suam in dicendo indolem, alios hunc honorem a monumentis quibus exornavit urbem derivasse, alios a potentia quam domi militiaeque habuit; ipse autem cum Aristide nostro hanc laudem ex multis, quibus inclaruit, virtutibus esse conflatam docet: Καὶ συνδραμεῖν οὐδὲν ἀπέοικεν ἀπὸ πολλῶν προσόντων τῷ ἀνδρὶ αὐτῷ τὴν δόξαν. Meminit cognomenti huiusce Diodorus Siculus Hist. lib. XII. pag. 30[illegible]. hoc tamen Periclem obtinuisse tradit propter summam, qua pollebat, eloquentiam; ταῦτα δὲ ῥᾳδίως συνετέλεσε διὰ τὴν δεινότητα τοῦ λόγου, δι' ἣν αἰτίαν ὠνομάσθη Ὀλύμπιος. Iebb. οὐκ ἀτιμαστέον] Alludit ad Platonis verba in lib. 12. de Leg. pag. 950. Tom. 2. χρὴ δὲ οὔποτε περὶ σμικροῦ ποιεῖσθαι τὸ δοκεῖν ἀγαθοὺς εἶναι τοῖς ἄλλοις, ἢ μὴ δοκεῖν. οὐ γὰρ ὅσον οὐσίας ἀρετῆς ἀπεσφαλμένοι τυγχάνουσιν οἱ πολλοί, τοσοῦτον καὶ τοῦ κρίνειν τοὺς ἄλλους οἱ πονηροὶ καὶ ἄχρηστοι· θεῖον δέ τι καὶ εὔστοχόν ἐστι καὶ τοῖσι κακοῖς, ὥστε πάμπολλοι καὶ τῶν σφόδρα κακῶν εὖ τοῖς λόγοις καὶ ταῖς δόξαις διαιροῦνται τοὺς ἀμείνους τῶν ἀνθρώπων καὶ τοὺς χείρους. Iebb. 8 Πλάτων] In Critonis initio et XII. de Legibus. 9 Ἡσίοδος] Ἔργ. v. 761. 10 οὔ τις] οὔτι E. οὔτις τι G. ἥντινα Steph. Iebb. ἥντιν' ἂν Iunt. φημίξωσι Θ Iunt. φημίξουσι FN. φημίζουσι GL. φημίζωσι Steph. Iebb. θεὸς οὖσα] Unde et huic ara, tanquam numini, apud Athenienses dicata. Pausan. Attic. pag. 29. ed. Wechel. καὶ γὰρ Αἰδοῦς σφίσι βωμός ἐστι, καὶ Φήμης, καὶ Ὁρμῆς Iebb. αὕτη] αὐτὴ Reiskius. 13 ἐκεῖνό γ' N. Vulgo ἐκεῖνό γε. 14 Pro ταύτην αὐτῷ παρεῖσαν (παρῆσαν E) in Steph. et Iebb. typothetae culpa legitur

Digitized by Google

παρ' ἀξίαν συνεχώρησαν ταπεινωθέντες. ἀλλ' εἴπερ ποτὲ (250) ἄλλοτε ἤκμαζον καὶ τότε καὶ ἦν ἡ πόλις αὐτοῖς ἐπ' ἐκείνου μεγίστη, ὡς ἂν ἡμεῖς, ὦ Πλάτων, μεγίστην φαῖμεν. ἀλλ' οὐδέν γε τοῦτο βλάβος τῷ λόγῳ. τοὺς γὰρ οὕτως ὡς λέγω πράττοντας ἀνάγκη πλεῖστον ἐφ' αὐτοῖς οἶμαι φρονεῖν καὶ πορρωτάτω μὲν ταπεινότητος, ἐγγυτάτω δὲ αὐθαδείας εἶναι. τότε τοίνυν αὐτὸν προσεῖπον 'Ολύμπιον,
151 τοσοῦτον ἦν τὸ συγκεχωρηκός. καίτοι τί λέγω; εἰ γὰρ τὰ μάλισθ' ὑποπεπτώκεσαν, περιετρέπετο καὶ οὕτως ὁ λόγος Πλάτωνι. ἐκεῖνοι γὰρ ἐκεῖνον ἤδη κολακεύοντες φαίνοιντ' ἄν, οὐ Περικλῆς 'Αθηναίους. ἀλλὰ οὔτ' 'Αθηναίους Περικλῆς οὔτ' 'Αθηναῖοι Περικλέα. πόθεν; ἀλλ' ὁρῶντες ἄνδρα καὶ λέγειν καὶ πράττειν ἄκρον καὶ δουλείας μὲν οὐδαμῶς ἐγγύς, ἄρχειν δ' ἐπιτηδειότατον καὶ ἱκανώτατον καὶ πάντων ὑπερπεφυκότα τῶν ἄλλων, ἔπαθόν τι 'Ομηρικὸν καὶ παραπλήσιον αὐτὸν τοῖς θεοῖς ἐνόμισαν. εἶθ' ὃν οἱ χρώμενοι καὶ συνόντες καὶ μετὰ τῆς πείρας εἰδότες τῆς αὐτῆς θεοῖς προσηγορίας ἠξίωσαν, τοῦτον ἡμεῖς Θεαρίωνι (251) καὶ Μιθαίκῳ τοῖς καὶ οὐκ οἶδ' ὅτῳ τῷ τρίτῳ γραφώμεθα τῆς αὐτῆς; οὐκ ἄρ' εὖ φρονεῖν δόξομεν.

'Αλλὰ νὴ Δία ὁ Κίμων φαῦλός τις ἄνθρωπος, ἢ τοιοῦτος οἷον ἀπεύξαιτ' ἄν τις μὴ γενέσθαι παιδίον αὐτῷ. ἀλλὰ τούτου γε καὶ χάριν ἄν τις Πλάτωνι δικαίως ἔχοι, ὅτι καὶ τοῦτον ἡμῖν εἰς τοὺς ῥήτορας ἐγγράφει. ὡς ἐγὼ μᾶλλον ἂν τοῦτ' ἔδεισα, μή τις αὐτὸν τῶν ῥητόρων μὲν ἀποστεροίη, τιθείη δὲ τῶν στρατηγῶν. νῦν δὲ ἀκριβῶς τὸ τοῦ 'Ομήρου συμβαίνει, τὸν αὐτὸν ἂν ἀρκεῖν

---

ταύτην παρ' ἀξίαν. 14 καὶ παρ' ἀξίαν Steph. Iebb. καὶ παραξίαν N Iunt. 16 ὡς ἂν ἡμεῖς φαῖμεν] Simile illi quod ante dixerat εἰ δεῖ ἀνθρωπίνως λέγειν. appellabimus *maximam*, ex illa vulgari usurpatione. nam in sermone Platonico, qui non humanus, sed divinus est, aliique vitae, non huic humanae, convenit, voc. μέγιστος longe aliud quid significat. Reisk. ἀλλ'] ἀλλὰ N. 17 αὐτοῖς] ἑαυτοῖς LN. 18 αὐτὸν προσεῖπον] προσεῖπον αὐτὸν G. 151, 1 συγκεχωρηκός] συγκεχωρηκώς G. γὰρ om. N. 2 οὕτως] οὗτος N. 7 Θεαρίωνι] Θεωρίωνι N. 8 ὅτῳ] ὅτι E. τῷ delebat Reiskius. τρίτῳ] Sarambo. Conf. infra p. 192, 15. γραφώμεθα] γραφόμεθα GLN. 9 In ΘL est inscriptio Κίμων: in N 'Αριστείδου κίμων. 10 αὐτῷ] Vulgo αὐτῷ. γε om. L. 11 τοῦτ' N. Vulgo τοῦτο. 12 'Ομήρου]

μύθων τε ῥητῆρ' ἔμεναι πρηκτῆρά τε ἔργων,

εἰ δὴ καὶ Κίμων ἔσται μεθ' ἡμῶν. οὕτως οὐδὲν ὄνειδος τῇ ῥητορικῇ Κίμων ἐγγραφόμενος. ἐβουλόμην δ' ἂν καὶ πρὸς ἄλλον τινά μοι τὸν ἀγῶνα τυγχάνειν ὄντα καὶ μὴ πρὸς Πλάτωνα, καὶ περὶ τούτου λέγω καὶ περὶ τῶν ἄλλων, ἵνα πᾶσιν οἷς εἶχον ἐχρώμην θαρρούντως καὶ μὴ συνέβαινέ μοι παραπλήσιον ὥσπερ ἂν εἰ πλέων καὶ παρὸν ἐξ οὐρίας κομίζεσθαι, εἶτα ὑφιέμην ὑπὸ δειλίας, ἢ καὶ
52 ἵπποις ἀγωνιζόμενος, ἐξὸν καὶ ταχὺ καὶ τοσοῦτον ὅσον βούλομαι παρενεγκεῖν, εἶτ' ἀνεῖχον ἐξεπίτηδες φειδοῖ τοῦ
προειληφότος· οὕτω πολὺ πλείω ποιοῦμαι λόγον μηδὲν (252)
ἀπηχὲς εἰς Πλάτωνα τυχεῖν εἰπὼν μηδ' ὡσπερεὶ θρασύνεσθαι δοκεῖν, ἢ 'κείνων ἕκαστον ἐπαινέσαι. εἰκότως· οὐδὲ γὰρ ἐλάττονος ἄξια χάριτός μοι τὰ πρὸς τοῦτον. οὐ μὴν ἀλλ' εἴ γ' ἄμφω συμβήσεται, καὶ τὰς κατ' ἐκείνων αἰτίας ἀπολύσασθαι καὶ Πλάτωνι πᾶν ὅσον αἰδοῦς καὶ τιμῆς ἔξεστι σεσωκέναι, καὶ προσέσται τὸ δίκαιον ἀμφοτέροις, μετρίως ἂν ἔχοι πανταχῇ. ὅτι μὲν τοίνυν οὐχ εἷς τῶν κομψῶν οὐδ' οἷος ὑπελθεῖν καὶ κολακεῦσαι Κίμων ἐγένετο οἱ μηδὲ τὰ πατρῷα ἐθελήσαντες αὐτῷ παραδοῦναι μέχρι πόρρω τῆς ἡλικίας ἐπίτροποι μαρτυροῦσιν· οὕτως εὐήθη καὶ μᾶλλον ἀρχαῖον ἡγοῦντο. ὅτι δ' οὐ παντὸς ἀνδρὸς τὰ Κίμωνος πράγματα οὐδὲ τῆς ἐσχάτης μοίρας, ἀλλὰ καὶ λογίσασθαι περὶ πραγμάτων δεινὸς ἀνὴρ καὶ καταπρᾶξαι, καὶ τοιοῦτος οἷος μὴ μόνον παρ' Ἀθηναίοις εἰκότως εὐ-

---

Iliad. ι, 443. 13 ῥητῆρα — τ' ἔργων L. ἔμεναι Steph. Iebb. ἔμμεναι N Iunt. 14 καὶ πρὸς LN et Photius p. 425 b, 29. Aberat καί.

152, 1 βούλομαι] Fort. βουλοίμην aut ἐβουλόμην. Reisk. 3 ἢ 'κείνων correctus N. ἢ ἐκείνων L, Photius, Canterus, Iebb. ἢ ἐκεῖνον Iunt. 7 ὑπελθεῖν] ἐπελθεῖν N. τὰ πατρῷα] Ceteri tamen omnes uno ore consentiunt patrem eius Miltiadem, quod litem aestimatam populo solvere non potuisset, in vinculis publicis decessisse; ipsum etiam Cimonem ob eandem causam in custodia fuisse detentum, donec Callias, qui sororem suam uxorem duxerat, pecuniam pro illo solvisset. Videantur Plutarchus et Corn. Nepos in Cimoni Vita. Adolescentia igitur inopi admodum usus esse videtur, nec divitias a patre accepisse, quippe qui pauper adeo mortuus est, ut non haberet, quo seipsum a vinculis libera-

Digitized by Google

δοκιμεῖν, ἀλλὰ καὶ παρὰ Λακεδαιμονίοις οὐ χαλεπῶς ἂν τὰ πρῶτα ἔχειν, ἐφεξῆς ἂν εἴη λέγειν. ἅπαντα μὲν τοίνυν τἀκείνου διηγεῖσθαι ἢ καὶ τὰ τῶν ἄλλων τῶν ὑπολοίπων ἔξω τοῦ καιροῦ παντελῶς γίγνοιτ' ἄν, ἄλλως τε καὶ μηδεμιᾶς αἰτίας εἰρημένης κατ' αὐτῶν πρὸς ἣν ἀπολογεῖσθαι δεῖ, πλήν γε δὴ ὡς διάκονοί τινες ἦσαν. ἃ δ' ἐστὶν ὡσπερεὶ κεφάλαια καὶ ὅσα οὐδὲ βουλομένῳ παρελθεῖν δυνατὸν, ταῦτ' εἰρήσεται. ἀνάγκη δὲ ἴσως τοσοῦτον ὑπειπεῖν. εἰ μὲν γὰρ ἅπαντα ταῦθ' ἡμῖν ἐστι διακονία καὶ νόμους θεῖναι καὶ πολιτείαν καταστῆσαι καὶ στρατοπέδων ἄρξαι (25

153 καὶ ἀρχὴν ἐπέτειον ἐν πόλει, καὶ προσέτι προβουλεῦσαι, προεδρεῦσαι, πρεσβείαν τελέσασθαι, δικάσαι δίκας, πανηγύρεις, ἂν οὕτω τύχῃ, κοσμῆσαι, λέγω συνελὼν ἅπασαν πρᾶξιν καὶ προστασίαν, εἰ διακονίαν καὶ ὑπηρεσίαν χρὴ καλεῖν, οἷον δὴ καὶ βασιλείαν αὐτὴν καὶ δυναστείαν ἅπασαν, καὶ ἔτι γ', εἰ βούλει, πρότερον οἰκίας ἄρχοντα μὴ ἄρχειν μᾶλλον ἢ δουλεύειν, καὶ τὸ τοῦ κωμῳδιοποιοῦ βεβαίως καὶ παγίως ἔχει ὡς ἄρ' εἰς εἴη τῆς οἰκίας δοῦλος ὁ δεσπότης· εἰ ταῦθ' οὕτως ὥσπερ ἔφην ἔχει, πρῶτον μὲν ἔγωγε οὐχ ὁρῶ πῶς ἂν μᾶλλον πάντ' ἄνω καὶ κάτω γένοιτο. εἰ γὰρ τἀναντία τοῖς ἐναντίοις ὁριούμεθα, πῶς (2 ἕκαστον ἔθ' ἡμῖν σώσει τὴν αὑτοῦ φύσιν; εἰ γὰρ ἡ ἀρχὴ δουλεία, σχολῇ γ' ἂν ἄλλο τι δουλείαν ἐκφύγοι· κἂν εἴ γε τὴν ἀρχὴν δουλείαν εἶναι τιθείημεν, τί κωλύει καὶ τὴν δουλείαν ἀρχὴν τοῖς αὐτοῖς τούτοις τιθέναι λόγοις; κἀκ τούτου περίεισιν ἡμῖν ἡ θέσις, καὶ οὐδέποτ' ἐν ταὐτῷ μένει, ἀλλ' ἡ μὲν ἀρχὴ δουλεία πρότερον γενομένη δι'.

---

ret. Iebb. 11 παρ'] παρὰ N. παρὰ Λακεδαιμονίοις] Plutarch. in Cimone pag. 886. Tom. 2. οἱ δὲ ταῦτα κολακείαν ὄχλου καὶ δημαγωγίαν εἶναι διαβάλλοντες, ὑπὸ τῆς ἄλλης ἐξηλέγχοντο τοῦ ἀνδρὸς προαιρέσεως, ἀριστοκρατικῆς καὶ Λακωνικῆς οὔσης. Simile confer Stesimbroti Thasii testimonium apud eundem pag. 263. Iebb. τἀκείνου ΘLN. Vulgo τὰ ἐκείνου. 14 γε δὴ ELN Iebb. γε δεῖ Iunt. 16 ὑπειπεῖν] εἰπεῖν correctus N. γὰρ om. N. 17 θεῖναι ΘLN. Vulgo θῆναι.

153, 3 εἰ διακονίαν] καὶ διακονίαν L. 5 κωμῳδιοποιοῦ Iunt. κωμῳδοποιοῦ Steph. Iebb. ἄρ'] ἄρα Θ. 7 τἀναντία] τὰ ἐναντία N. σώσει ΘEL et Photius p. 426 a, 7. Legebatur σώζει. αὑτοῦ] Vulgo αὐτοῦ. ἑαυτοῦ Photius. 8 ἄλλο τι τὴν δου-

*ἐκείνης πάλιν ἀρχὴ γίγνεται, ἡ δ' αὖ δουλεία πρότερον ἀρχὴ νομισθεῖσα ὑπ' αὐτῆς τῆς ἀρχῆς ἐπάνεισι δουλεία πάλιν εἶναι. καὶ οὕτω πλανήσεται καὶ μεταχωρήσει τὰ ὀνόματα ταῦτα τῶν ἐναντίων πραγμάτων ὄντα, εἰ δὲ βούλει, τἀναντία τοῦ πράγματος. καὶ μὴν οὐδὲ ὅ τι λοιπὸν ἔσθ' ἡμῖν τούτων περιῃρημένων ῥᾴδιον εὑρεῖν. εἰ γὰρ μὴ προστησόμεθα μήτε πολλῶν μήτε ὀλίγων, μήτε οἰκίας μήτε ἡμῶν αὐτῶν, ὡς ἔπος εἰπεῖν, μηδὲ κινήσει μηδένα ἡμῶν μήτε χρεία πατρίδος μήτε ἑστία πατρῴα μήτ' οἰκέται ὁρῶντες εἰς ἡμᾶς μήτ' ἄλλο τῶν ἀνθρωπίνων μηδέν, ἀλλ' οὕτως φυγῇ φευξούμεθα τὰ πράγματα καὶ καθεδούμεθα ὥσπερ ἐν μέσῳ τῷ ἀέρι, τῆς γῆς οὐδὲν προσαπτόμενοι,* (255) *οὐδὲ φροντίζοντες οὐδενὸς πράγματος, οὐδ' ἂν προσαγγέλλῃ τις ἡμῖν ἅπερ τῷ Μελεάγρῳ,*

154 *Ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει,*
*τέκνα δέ τ' ἄλλοι ἄγουσι βαθυζώνους τε γυναῖκας,*

*ἀλλὰ πάντα ταῦτα ἀνελευθερίαν καὶ ταπεινότητα εἶναι καταγνωσόμεθα, καὶ πρὸς ἅπανθ' ἡμῖν οὗτος ὁ λόγος ἀρκέσει, τὸ διακονεῖν ταῦτ' εἶναι καὶ ὑπηρετεῖν καὶ τὸ ἀδικεῖσθαι κρεῖττον ἢ ἀδικεῖν, ἄλλο τι ἢ τῶν ἀψύχων ἐγγύτατα ζῆν λείπεται, καὶ τοῖς κάμνουσι παραπλησίως, ὅταν αὐτοῖς ὑπὸ τῶν ἰατρῶν ἡσυχάζειν ἐπιταχθῇ; εἰ δ' οὖν καὶ διακονία πάντα ταῦτ' ἐστὶ καὶ οὐδὲν σεμνόν, τί μαθών, ὦ φίλη κεφαλή, αὐτὸς ἡμῖν τοὺς διακόνους μιμεῖ, πολιτείαν κατασκευαζόμενος καὶ νόμους συγγράφων, καὶ λέγεις μὲν καὶ τυραννίδα συντελεῖν εἰς νόμων θέσιν, λέγεις*

---

*λείαν* N. 11 *γίγνεται* EN. Vulgo *γίνεται*. 13 *ταῦτα*] *ταὐτά*. eadem vocabula rerum diversarum. ut *imperium* erit voc. et imperii et servitutis et contra pariter servitus erit nomen et servitutis et imperii. Reisk. 14 *προσθησόμεθα* L. 15 *κινήσει*] *κινήσῃ* L. 16 *μήτ' οἰκέται* L. Vulgo *μήτε οἰκέται*. 17 *οὕτως* L. Vulgo *οὕτω*. *φευξούμεθα* L. Vulgo *φευξόμεθα*. 18 *οὐδὲν* ΘELN. Vulgo *μηδέν*. *οὐδὲ*] *οὐδὲν* LN apud Iebbium. 19 *Ἄνδρας*] Iliad. ι, 593.

154, 1 *πάντα ταῦτα* ΘLN. Legebatur *ταῦτα πάντα*. 3 *εἶναι*] Fort. *ἐστί*. Reisk. 6 *αὐτὸς*] *αὐτοὺς* L apud Iebbium. *ἡμῖν*] *ἡμᾶς* E. *μιμεῖ*] Vulgo *μιμῇ*. 7 *καὶ τυραννίδα συντελεῖν εἰς νόμων θέσιν*] Plato lib. 4. de leg. pag. 711. Tom. 2. *Ὅταν εἰς ταὐτὸν τῷ φρονεῖν τε καὶ σωφρονεῖν ἡ μεγίστη δύναμις ἐν ἀνθρώπῳ ξυμ-*

Digitized by Google

δὲ τῇ φιλοσοφίᾳ δυναστείας προσδεῖν καὶ μὴ πρότερον παύσεσθαι κακῶν τὰς πόλεις, πρὶν ἂν σοι τὸ πολυύμνητον δὴ τοῦτο ἢ οἱ βασιλεῖς φιλοσοφήσωσιν, ἢ βασιλεύ- (2 σωσιν οἱ φιλόσοφοι; ὡς εἰ μὴ ταῦτα συνέλθοι, φιλοσοφία καὶ δύναμις πολιτικὴ, οὐδὲν πλέον εἰς τὸ κοινὸν τοῖς ἀνθρώποις ἐσόμενον. καὶ τὸ δὴ μέγιστον ἁπάντων, ἐν γὰρ αὐτοῖς οἷς πολιτεύει καὶ νομοθετεῖς, ἀφορίζεις μὲν φύλακας τῇ πόλει, οἵτινες τὴν αὐτὴν ἕξουσι τέχνην Κίμωνι, δίδως δὲ αὐτοῖς τὰ πρεσβεῖα τῶν ἄλλων πολιτῶν, οὐκ ὀλίγον τι προκρίνας, καὶ τιμὰς καὶ προεδρίας καὶ ζῶσι καὶ τελευτήσασιν, ὃς ἂν αὖ τούτων ἄριστος φανῇ, καὶ ὅλως περὶ τούτους διατρίβεις τὰ πλεῖστα, ὡς μίαν οὖσαν ταύτην τῇ πόλει σωτηρίαν, εἰ τὰ τῶν φυλάκων εὐθενοῖ. καὶ οὔτε μισθωτοὺς αὐτοὺς καλεῖς, καίτοι μισθὸν τάξας αὐτοῖς παρὰ τῶν ἄλλων ἐν τῇ πόλει, οὔτε τῶν κοινῶν διακόνους, καὶ ταῦτα ὑπὲρ πάντων ἀγρύπνους μέλλοντας διάξειν καὶ κινδυνεύσειν ἅπαντα κίνδυνον ὑπὲρ τῆς πόλεως ἁπάσης· οὐδ' ἡγήσω μισθοφόροις τισὶ καὶ ξένοις ὡς ἀληθῶς αὐτοὺς προσεοικέναι δόξειν, οὐδ' ἐν Καρῶν σχήματι καὶ μοίρᾳ θρέψεσθαι, πολλὰ πράγματ' ἔχοντας, ὀλίγου καὶ
156 ταῦτα μισθοῦ, ἀλλ' ἱκανὴν αὐτοῖς ἡγεῖ φιλοτιμίαν, ἐὰν τὴν χώραν σώζειν ἐπίστωνται καὶ ἡ πόλις ἅπασα πρὸς αὐ- (25

---

πάσῃ,. τότε πολιτείας τῆς ἀρίστης καὶ νόμων τῶν τοιούτων φύεται γένεσις. Iebb. 8 μὴ πρότερον] Plato lib. 5. de Repub. pag. 473. Tom. 2. Ἐὰν μὴ, ἦν δ' ἐγὼ, ἢ οἱ φιλόσοφοι βασιλεύσωσιν ἐν ταῖς πόλεσιν, ἢ οἱ βασιλεῖς τε νῦν λεγόμενοι καὶ δυνάσται φιλοσοφήσωσι γνησίως τε καὶ ἱκανῶς, καὶ τοῦτο εἰς ταὐτὸν ξυμπέσῃ, δύναμίς τε πολιτικὴ καὶ φιλοσοφία, — οὐκ ἔστι κακῶν παῦλα, ὦ φίλε Γλαύκων, ταῖς πόλεσι. Iebb. 9 οἱ βασιλεῖς ΘLN. Aberat οἱ. φιλοσοφήσουσιν ἢ βασιλεύσουσιν LN. 10 εἰς τὸ] ἐς τὸ Θ. 11 πολιτεύει] Vulgo πολιτεύῃ. ἀφορίζεις μὲν φύλακας] Consulatur Plato de Republ. III. p. 376. et seqq. IV. p. 535. Iebb. 15 ταύτην] ταύτῃ N. εὐθενοῖ] Legebatur εὐθενεῖ. εὐθηνοῖ Θ. εὐθυνοίη N. εὐθηνεῖ L. εὐθενεῖς E. 16 αὐτοὺς] Legebatur αὖ τοὺς αὐτούς. αὖ τοὺς delevit Reiskius. τῶν κοινῶν] τῶν κοινῶν (supra: τὸ ἐν) Θ. τὸ κοινὸν a pr. m. L: illud ab correctore. 18 μισθωφόροις L. αὐτοὺς ab rec. m. L. 19 πράγματ' N. Vulgo πράγματα.

155, 1 μισθοῦ] τοῦ μισθοῦ LN. ἡγεῖ] Vulgo ἡγῇ.

τοὺς ἀποβλέπῃ. εἰ γὰρ αὖ πάντα ταῦτα καλῶς καὶ δικαίως ἔχει σοι καὶ οὐκ ἄχρηστος ἡ σπουδὴ οὐδ' ἀνελεύθερος, οὐδ' αἰσχύνην ἔχουσα κατασκευάσθαι τοιαύτην φυλακὴν πόλει καὶ τοιούτους ἄνδρας, ὁποῖοι τοῖς τε φίλοις βοηθεῖν καὶ τοὺς ἐχθροὺς ἀμύνεσθαι δυνήσονται, σκόπει τὸν Κίμωνα μὴ πόρρωθεν, ἀλλ' ἐκ τούτων, καί σοι πάντες οὗτοι μάρτυρες παρεῖναι δόξουσι τῷ ἀνδρὶ, μὴ διάκονον μηδὲ τῶν πρὸς ἡδονὴν ὁμιλούντων γεγενῆσθαι, ἀλλ' ὡς ἐλευθεριώτατα καὶ ὡς κάλλιστα ἔχειν αὐτῷ τὰ τῆς πολιτείας, καὶ σχεδὸν ὥσπερ σοὶ τὰ τῆς πολιτείας ἔχει τῆς ἀκινδύνου ταύτης.

Σκέψαι δὴ αὐτὸν μὴ μόνον ὡς τὴν πόλιν καὶ τὴν χώραν ἐφύλαξεν, ἀλλὰ καὶ ἐκ δυοῖν τοῖν ἐσχάτοιν ὅροιν, ὅπως τοῖς τε Ἕλλησι προσηνέχθη καὶ ὅπως τοῖς βαρβάροις· ἐπειδή γε καὶ αὐτῷ σοι δοκεῖ μὴ τὸν αὐτὸν δεῖν ἀμφοτέροις τρόπον, ἀλλὰ τοῖς μὲν ὡς τοῖς ὁμοφύλοις εἰκὸς, τοῖς δ' ὡς χρὴ τοῖς φύσει πολεμίοις. ἐκεῖνος γὰρ συμβάσης μὲν ἐν Πελοποννήσῳ ταραχῆς οὐ φαύλης οὐδὲ μικρᾶς τινος, ἀλλ' ὥστε Λακεδαιμονίους εἰς πᾶν ἐλθεῖν τῶν εἰλώτων ἐπαναστάντων, καὶ ἅμα τῶν σεισμῶν ἐπικειμένων, (258) ἀγαγὼν Ἀθηναίους τετρακισχιλίους ὁπλίτας, οὓς σὺ τιμᾷς, ὦ Πλάτων, ἔσωσε μὲν τὴν πόλιν αὐτοῖς καὶ τὴν χώραν, ἔλυσε δὲ τοὺς περιστάντας ἅπαντας φόβους, κατέστησε δὲ τὰ ἐν Πελοποννήσῳ πράγματα. τοιοῦτος μὲν πρὸς τοὺς Ἕλληνας καὶ τῶν Ἑλλήνων τοὺς ἀρίστους καὶ ἅμα συμμάχους. πρὸς δὲ τοὺς βαρβάρους καὶ πολεμίους

---

2 ἀποβλέπῃ] ἀποβλέπει L. εἰ γὰρ] εἰ δ' Reiskius. πάντα ταῦτα] ταῦτα πάντα LN. 3 οὐδ' αἰσχύνην LN. Vulgo οὐδὲ αἰσχύνην. 4 ταῖς τε φίλοις ELN Iebb. τῆς τε φίλοις Iunt. καὶ τοὺς LN, Canterus, Iebb. καὶ om. Iunt. 9 ἐπειδή γε] Plato in Menexeno pag. 242 de Atheniensibus scribens, ἡγούμενοι πρὸς μὲν τὸ ὁμόφυλον μέχρι νίκης δεῖν πολεμεῖν, καὶ μὴ δι' ὀργὴν ἰδίαν πόλεως τὸ κοινὸν τῶν Ἑλλήνων διολλύναι, πρὸς δὲ τοὺς βαρβάρους μέχρι διαφθορᾶς. Iebb. 11 συμβάσης μὲν ἐν Πελοποννήσῳ] Rem totam videas apud Plutarchum in Cimone pag. 803. seq. Tom. 2. Consulatur itidem Pausanias in Messenicis pag. 262. Iebb.

12 τινος ab rec. m. L. ὥστε LN. Legebatur ὥστε καὶ. εἰλώτων Steph. Iebb. εἱλώτων Iunt. 15 πελοποννήσῳ Θ. Legebatur τῇ Πελοποννήσῳ. 17 πολεμίους ELN. Vulgo τοὺς πολεμίους.

Digitized by Google

ὁποῖός τις, οὐκ εἰσὶ τῶν Ἑλλήνων οὐδενὶ πλείους οὐδὲ ὀνομαστότεραι πράξεις ἐν τῇ ὑπερορίᾳ, οὐδὲ τρόπαια καλλίω βαρβάρων, οὐδ' ὧν μᾶλλον ἄγασθαι προσήκει τῆς ἀνδρείας ἅμα καὶ τῆς ὑποθέσεως. οὐ γὰρ ἐπειδὴ διήμαρ-

156 τον ὧν ἤλπισάν τε καὶ προὐθυμήθησαν, καὶ δὴ διὰ τοῦθ' ὥσπερ εὐεργέτας αὐτοὺς ἠξίωσεν ἀφεῖναι, οὐδ' ἠμνημόνησε τῶν ἱερῶν τῶν ὑπ' ἐκείνων ὑβρισθέντων, οὐδ' ὧν ἐν οἷς ἠδυνήθησαν ἐπεδείξαντο, ἀλλὰ καὶ τούτων ἀξιῶν αὐτοὺς ὀφείλειν δίκην τὴν ἐσχάτην καὶ ἔτι μειζόνων, ἅ, εἰ κατώρθωσαν, δῆλοι πᾶσιν ἦσαν ἐξεργασάμενοι, οὐκ ᾤετο δεῖν τὴν ἡσυχίαν ἄγειν οὐδὲ τοῖς ἄλλοις παραινεῖν, οὐδὲ τοῖς θεοῖς αἰσχρῶς ἔχειν τὴν χάριν, ἀγαπῶντας εἰ (25 σώζονται, ἀλλ' ὃ ποιηταὶ καὶ νομοθέται καὶ παροιμίαι καὶ ῥήτορες καὶ πάντες κελεύουσιν, ἀμύνεσθαι τοὺς ὑπάρξαντας, τοῦτο εἰσηγεῖτο καὶ πρὸς τοῦτ' ἦγεν αὐτούς, οὐχ ὡς ἄν τις τὸ ἥδιστον, ἀλλ' ὡς ἄν τις τὸ δικαιότατον λέγων. πρὸς δὲ τούτοις καὶ τῆς Ἑλλάδος φυλακὴν ἀληθεστάτην ἡγεῖτο οὐκ εἰ καθείρξας αὐτοὺς οἴκοι παρέχοι καθεύδειν ἀσφαλῶς, ἀλλ' εἰ τοῖς βαρβάροις φόβον ἐμβάλοι μηδὲν ἔτι τοιοῦτον ἐνθυμηθῆναι τοῦ λοιποῦ, καὶ εἰ τῆς Ἑλλάδος αὐτοὺς ἀπώσαιτο ὡς δυνατὸν πορρωτάτω. διὰ ταῦτα εἰς τὴν ἐκείνων ἐξῆγε τὸν πόλεμον καὶ περιέπλει μὲν Κύπρον, παρέπλει δὲ Παμφυλίαν, ἐναυμάχει δὲ Φοίνιξι καὶ Κυπρίοις

---

ὁποῖος ΘΕLΝ. Legebatur ποῖος. 18 ὧν ELN. Vulgo ὄν. ἀνδρείας Θ. ἀνδρείας N. Scribebatur ἀνδρίας.

156, 1 προὐθυμήθησαν] προὐθύμησαν Θ. Post καὶ δὴ ideoque videtur ἀπεχώρησαν vel ἀπήλλαξαν vel simile quid deesse. Reisk. 3 ἠδυνήθησαν] ἐδυνήθησαν L. 4 τὴν ἐσχάτην EL. Legebatur τήν γε ἐσχάτην. 8 καὶ τῆς] καὶ expunctum est in N. 9 οὐκ εἰ] οὐκ εἴγε ELN. παρέχοι] παρέχει LN. 10 ἐμβάλοι] ἐμβάλλει N. μηδὲν] καὶ μηδὲν, ut videtur, N. 12 περιέπλει μὲν Κύπρον] Diod. Sicul. Hist. lib. 12. p. 292. ὁ δὲ Κίμων καταπλεύσας εἰς τὴν Κύπρον, καὶ θαλαττοκρατῶν, Κίτιον μὲν καὶ Μαλὸν ἐξεπολιόρκησε, καὶ τοῖς κρατηθεῖσι φιλανθρώπως προσηνέχθη. μετὰ δὲ ταῦτα ἐκ Κιλικίας καὶ Φοινίκης προσφερομένων τριήρων τῇ νήσῳ, Κίμων ἐπαναχθεὶς καὶ πόλεμον συγκρούσας, πολλὰς μὲν τῶν νεῶν κατέδυσεν, ἑκατὸν δὲ σὺν αὐτοῖς τοῖς ἀνδράσιν εἷλε, τὰς δὲ λοιπὰς μέχρι τῆς Φοινίκης κατεδίωξεν. Confer Plutarchum in Vita Cimonis p. 896. seq. et Cornelium Nepotem in Cimone p. 78. Iebb. παμφυλίαν L.

καὶ οἷστισι προσμίξαιεν αὐτῶν. ἐπὶ δὲ Εὐρυμέδοντι ποταμῷ ναυμαχίας καὶ πεζομαχίας μνημεῖα ἔστησεν ἀμφότερα ἡμέρᾳ μιᾷ νικῶν. ὥστε τοῖς προτέροις ἔργοις ἐκπεπληγμένων τῶν ποιητῶν τοῖς ὅτ' ἐπήεσαν οἱ βάρβαροι πραχθεῖσιν, ὅμως τις ὕμνησεν αὐτῶν εἰς ταῦτα ὕστερον, οὐ πάντα, ἀλλὰ μιᾶς τινος ἡμέρας ἔργα·

Ἐξ οὗτ' Εὐρώπην Ἀσίας δίχα πόντος ἔκρινε (260)
καὶ πόλιας θνητῶν θοῦρος Ἄρης ἐφέπει,
οὐδενί πω κάλλιον ἐπιχθονίων γένετ' ἀνδρῶν
ἔργον ἐν ἠπείρῳ καὶ κατὰ πόντον ὁμοῦ.
οἵδε γὰρ ἐν γαίῃ Μήδων πολλοὺς ὀλέσαντες
Φοινίκων ἑκατὸν ναῦς ἕλον ἐν πελάγει
ἀνδρῶν πληθούσας, μέγα δ' ἔστενεν Ἀσὶς ὑπ' αὐτῶν
57 πληγεῖσ' ἀμφοτέραις χερσὶ κράτει πολέμου.

καὶ ταῦτα οὐκ ἀπεικότως παρύμνησεν οὐδ' ἐξῆρεν οὕτως ὡς ποιητής. ἐκεῖνα μὲν γὰρ ἐν πύλαις τῆς Ἑλλάδος ἐκιν-

ἐναυμάχει] ἐναυμάχη E. 13 προσμίξαιεν N. ἐπὶ δὲ Εὐρυμέδοντι] Aristides noster in Panathenaica p. 203. ἤδη δὲ καὶ δύο τρόπαια εἰς μίαν ἡμέραν ἦλθε, καὶ ναυμαχία πεζομαχίᾳ παρισώθη. τοσοῦτο δὲ τῷ βασιλεῖ περιεγένετο, ὥστε ἐνδοξοτέραν αὐτοῦ τὴν ἀρχὴν καὶ τοὺς τόπους ταῖς νίκαις ἐποίησαν. ὁ δ' οὖν Εὐρυμέδων οὐχ ἥκιστα δὴ διὰ τούτους ᾄδεται. Videantur quae ad hunc locum annotavimus. Iebb.
14 μνημεῖα] γρ. σημεῖα margo N. ἔστησεν] ἔστησαν L.
15 ἐπήεσαν] ἐπίασιν E. 16 εἰς] Leg. εἷς. unus eorum, poetarum puta, aliquis. vulgata servata necesse est ut ἀπιδὼν vel tale quid desideretur. εἰς ταῦτα ἀπιδὼν τὰ ὕστερον. Reisk. ταῦτα τὰ ὕστερον Θ. Ἐξ οὗτ'] Haec forsan ex Archelai aut Melanthii scriptis desumpsit Aristides; hi etenim ambo carmina in Cimonis laudem composuerunt, teste Plutarcho in Cimone p. 878. Iebb. Est Simonidis epigramma, quo iterum utitur infra p. 380, 4. Attulit etiam scriptura pluribus in locis diversa Diodorus Siculus XI, 62. et exstat in Anthologia Palatina VII, 296. vol. I. p. 392. ἐξ οὗτ' Steph. Iebb. ἐξοῦτ' Iunt. ἐξ οὗ γ' Diodorus et Anthologia.
19 ἕλον] εἷλον EN. ἔστενεν] ἔσταινεν E. ἔστεμεν L.

157, 1 ἀμφοτέραις χερσὶ ELN. Legebatur ἀμφοτέρᾳ χειρί.
2 παρύμνησεν] ὕμνησεν correctus N. παρυμνεῖν est temere sine caussa et sine veritatis suffragio aliquid celebrare. Reisk.
ἐκεῖνα μὲν] Priora nempe ad incursum barbarorum gesta, quibus obstupefacti poetae. De proeliis autem ad Thermopylas et ad Artemisium confer Aristidem nostrum in Panath. p. 228. seq. et mox

συνείστο, τὰ μέν γε ἐν αὐταῖς Πύλαις, τὰ δ' ἐπ' Ἀρτεμισίῳ τῆς Εὐβοίας, ταῦτα δ' ἐν μέσῃ τῇ πολεμίᾳ. καὶ τότε μὲν διείλοντο τὸν κίνδυνον αἱ πόλεις, ταῦτα δ' ἀμφότερα ἑνὸς ἀνδρὸς καὶ ἑνὸς ἦν στόλου. κἀκεῖνοι μὲν ὥσπερ τὸν κίνδυνον, οὕτω καὶ τὴν τύχην ὡς εἰπεῖν διείλοντο· Ἀθηναῖοι μὲν γὰρ καὶ Θεμιστοκλῆς ἐνίκων ἐπ' Ἀρτεμισίῳ λαμπρῶς, οἱ δ' εἰς Πύλας ἀπαντήσαντες οὐδὲν πλέον κατεπράξαντο τῇ Ἑλλάδι, πλὴν ὅσον τὰ σώματα εἰσήνεγκαν, (26 τῷ θανάτῳ τοὺς βαρβάρους ἐκπλήξαντες, ἐπισχεῖν ὧν ὥρμηντο αὐτοὺς οὐ δυνηθέντες. οὗτοι δέ, φησί, καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἐνίκων τοὺς πολεμίους, καὶ τοσούτους αἰχμαλώτους εἷλον αὐτῶν ὅσοις ἔργον ἦν καὶ τοῖς ἅπασιν ἀντιστῆναι. διὰ ταῦτα, φησί, λέγω θαρρῶν

Οὐδενί πω κάλλιον ἐπιχθονίων γένετ' ἀνδρῶν
ἔργον ἐν ἠπείρῳ καὶ κατὰ πόντον ὁμοῦ.

οὕτως ἀκριβής τις καὶ βέβαιος ἐκεῖνος φύλαξ ἦν τῆς Ἑλλάδος, οὐ μόνον τῆς ἑαυτοῦ πόλεως, καὶ τοιούτους ἐπικούρους, ὦ Πλάτων, τοῖς Ἕλλησι παρέσχετο. ὥστε ἕως ἔζη Κίμων τεθνάναι περιῆν τοῖς βαρβάροις τῷ φόβῳ τοὺς Ἕλληνας καὶ μὴ σκοπεῖν ὅντινα τῶν παρ' ἡμῶν ὑφ' ἑαυτοῖς ποιήσονται, ἀλλ' ὅπως αὐτοὶ σωθήσονται. ἐξ ὧν τάς τε πόλεις ἁπάσας ἀφεῖσαν καὶ τῆς κάτω χώρας οὐκ ὀλίγης ἀπέστησαν, ὧν τἀναντία ὕστερον συνεχώρησαν Λακεδαιμόνιοι, πρὸς οὓς σὺ βλέπων καὶ ἁμιλλώμενος τοὺς

---

infra pag. 309. Simili modo victorias Cimonis celebrioribus Graecorum proeliis contra barbaros gestis anteferendas docet Plutarchus Cimon. pag. 889. *Κίμων δ', ὥσπερ ἀθλητὴς δεινὸς, ἡμέρᾳ μιᾷ δύο καθῃρηκὼς ἀγωνίσματα, καὶ τὸ μὲν ἐν Σαλαμῖνι πεζομαχίᾳ, τὸ δ' ἐν Πλαταιαῖς ναυμαχίᾳ παρεληλυθὼς, τρόπαιον ἐπηγωνίσατο ταῖς νίκαις.* Ubi errorem, ex transpositione verborum male ortum, hoc modo licet corrigere: *καὶ τὸ μὲν ἐν Σαλαμῖνι ναυμαχίᾳ, τὸ δ' ἐν Πλαταιαῖς πεζομαχίᾳ παρεληλυθώς.* Pugna etenim navali ad Salamina, terrestri ad Plataeas, contra Persas Graeci contenderunt. Iebb. 4 *ταῦτα δ'* N. Vulgo *ταῦτα δέ.* 9 *θάλατταν*] *θάλασσαν* N. *αἰχμαλώτους* om. E. 10 *ἅπασιν* ΘELN. Vulgo *ἅπασι.* 11 *ἀκριβής τις* ΘELN. Vulgo *ἀκριβής τε.* 14 *τοὺς Ἕλληνας*] Temere Iebbius tacito posuit *τῶν Ἑλλήνων*, in nullo libro inventum. *ἢ διὰ τοὺς Ἕλληνας* scholion in marg. N. Vide scholia p. 526, 15. et Photium p. 426 a. 15 *ἀλλ'*] *ἀλλὰ* ΘN. 17 *καὶ οὓς*] *καὶ* delendum

Digitized by Google

σαυτοῦ συγκροτεῖς, οἷς ἡ τῶν εἰς τοὺς πολέμους ἐμπειρία καὶ ἕξις πρόσκειται μόνη. τοσούτῳ κρεῖττον Κίμων ἐφύλαξε
158 τοὺς Ἕλληνας καὶ οὕτω πολλοῦ τινος ἄξιος ἦν καὶ λέγων καὶ πράττων. ἆρ᾽ οὖν ταῦτα ἂν οὕτω κατείργαστο, ἢ νίκας (262)
οὕτω πολλὰς καὶ λαμπρὰς καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἐφεξῆς ἀνῃρεῖτο, εἰ δουλεύειν ἠξίου τῷ πλήθει καὶ μὴ τοὐναντίον εἰς ὅσον ἐξῆν ἦρχεν ἀκριβέστατα, ἢ κόσμου καὶ τάξεως χωρὶς ἦγε τὸ στρατόπεδον καὶ συνεχώρει πᾶν ὃ βούλοιντο, ἀλλὰ μὴ πανταχοῦ πᾶσαν φροντίδα καὶ πρόνοιαν ἐποιεῖτο εὐταξίας καὶ εὐαρμοστίας αὐτῶν καὶ τοῦ πρὸς ἅπαντα ὑπάρχειν εὐκόλους αὐτῷ; ἐγὼ μὲν γὰρ οὐκ ἀσελγαίνοντας οὐδ᾽ ὑβρίζοντας αὐτοὺς οὐδὲ τῶν ἡδονῶν ἡττωμένους, ἀλλ᾽ ὡς οἷόν τε μάλιστα κοσμίους ὄντας καὶ τὴν τάξιν φυλάττοντας, καὶ ὅ φησιν Ὅμηρος αἰδουμένους κρατεῖν ἂν τῶν πολεμίων οἶμαι καὶ χρησίμους εἶναι κἀκείνῳ καὶ σφίσιν αὐτοῖς. καί μοι πάντ᾽ ἐκεῖνα ἤδη λέγε, τὸν ναυπηγὸν ὡς εἰς τάξιν τίθησι τὰ ξύλα, τὸν τέκτονα ὡς εἰς τάξιν τοὺς λίθους, τὸν χοροποιόν, τὸν

---

est. Sententia haec: in quos tu intuens illos tuae imaginariae civitatis viros fingis et excudis, quibus id unum a te datum est operis, ut habiles sint bellis eorumque usu calleant. συγκροτεῖν inter alia dicitur de fabro aerario, qui multis e frustis unum simulacrum aeneum conflat aut excudit martello, et quasi *conducit*, si fas est dicere Reisk. Delevi καί. τοὺς πολέμους ΘN. Aberat τούς. 18 πρόσκειται] ἔγκειται (γρ. πρόσκειται) N.

158, 1 ταῦτα ἄν] ἄν om. N. κατείργαστο] κατειργάσατο N. 2 θάλατταν] θάλασσαν LN. 3 ἦγε] εἶργε N. 4 τὸ πᾶν] Aut delendum est τό, aut legendum συνεχώρει αὐτῷ πᾶν ὃ βούλοιτο. Reisk. πᾶν N. Legebatur τὸ πᾶν. 5 εὐκόλους] εὐκόλως L. 6 ἡττομένους L. 7 Ὅμηρος] Iliad. ε, 531. ἀλλήλους τ᾽ αἰδεῖσθε κατὰ κρατερὰς ὑσμίνας· αἰδομένων δ᾽ ἀνδρῶν πλέονες σόοι ἠὲ πέφανται. 8 καί μοι πάντ᾽ ἐκεῖνα] Alludit ad Platonis verba in Gorgia pag. 503. Tom. 1. φέρε γάρ, ὁ ἀγαθὸς ἀνὴρ καὶ ἐπὶ τὸ βέλτιστον λέγων ἃ ἂν λέγῃ, ἄλλο τι ἢ οὐκ εἰκῇ ἐρεῖ, ἀλλ᾽ ἀποβλέπων πρός τι; ὥσπερ καὶ οἱ ἄλλοι πάντες δημιουργοί, βλέποντες πρὸς τὸ ἑαυτῶν ἔργον ἕκαστος οὐκ εἰκῇ ἐκλεγόμενος ἃ προσφέρει πρὸς τὸ ἔργον τὸ αὑτοῦ, ἀλλ᾽ ὅπως ἂν εἶδός τι αὐτῷ σχῇ τοῦτο ὃ ἐργάζεται, οἷον, εἰ βούλει ἰδεῖν τοὺς ζωγράφους, τοὺς οἰκοδόμους, τοὺς ναυπηγούς, τοὺς ἄλλους πάντας δημιουργούς, ὅντινα βούλει αὐτῶν, ὡς εἰς τάξιν τινὰ ἕκαστος ἕκαστον τίθησιν ὃ ἂν τιθῇ, καὶ προσαναγκάζει τὸ ἕτερον τῷ ἑτέρῳ πρέπον τε εἶναι καὶ ἁρμόττειν, ἕως ἂν τὸ ἅπαν συστήσηται τεταγμένον τε καὶ κε-



Digitized by Google

ὁντιναδήποτε. ὅ τι γὰρ ἂν τούτων εἴπῃς, ὑπὲρ τῆς Κίμωνος ἐρεῖς ἡγεμονίας καὶ πολιτείας. καὶ μὴν ὅτι καὶ τὸ πᾶν τοῦτο κόσμος ἐκλήθη λέγεις ὀρθῶς, ὡς ἔγωγέ φημι προσβιβάζων ὑμᾶς πρὸς τὸ μηδὲν εἰκῇ πράττειν· Κίμων τοίνυν τῆς τοῦ παντὸς ἐπωνυμίας τὸ γιγνόμενον τῇ πόλει (26 διεσώσατο. κοσμίους γὰρ ἅπαντας παρεῖχεν εἰς δύναμιν. τοιαῦτα ἐπολιτεύετο καὶ τοιαῦτα ἐδίδασκε κἂν τῇ πόλει τὸν δῆμον κἂν ταῖς στρατείαις τοὺς ἑπομένους. νὴ Δία ἀλλ' ἐξωστράκισαν αὐτόν, ὅπως αὐτοῦ δέκα ἐτῶν τῆς φωνῆς μὴ ἀκούσειαν. καὶ πάλιν γε κατήγαγον πρὶν τὰ δέκα ἐξήκειν ἔτη, ἵν' αὐτοῦ τῆς φωνῆς ἀκούσειαν· οὕτως ἐπόθησαν. σὺ δὲ ὡς μὲν κατέγνωσαν λέγεις, ὡς δὲ μετέγνωσαν οὐκ ἐνθυμεῖ. καὶ ἃ μὲν οὐ δικαίως ἐψηφίσαντο κατ' ἀμφοτέρων λέγεις, ἃ δ' ὀρθῶς ἐβουλεύσαντο οὐχ ἡγεῖ τοῖς μὲν προαχθεῖσι παραίτησιν, τῷ δὲ ἀφεθέντι μεγίστην πίστιν τῆς ἀρετῆς ἔχειν. καὶ ὡς ἔοικεν, οἱ μὲν
159 καταγνόντες αὐτοὶ μετέγνωσαν καὶ οὐκ ἔμειναν ἐφ' ὧν ἔγνωσαν ἐξ ἀρχῆς· σὺ δὲ ὥσπερ τι κύριον ἐγκέκληκας, καὶ οὐκ ἠξίωσας ταύτῃ μιμήσασθαι τοὺς Ἀθηναίους, ἀφεὶς

---

κοσμημένον πρᾶγμα. Iebb. 10 εἴπῃς] εἴποις L. 11 καὶ μὴν] Plato in Gorgia p. 507. φασὶ δ' — καλοῦσιν. Videatur idem in Timaeo p. 40. Iebb. τὸ πᾶν τοῦτο] τοῦτο τὸ πᾶν correctus L. 12 ἔγωγέ φημι] ἐγώ φημι L. προσβιβάζων] προβιβάζων litura relicta N. 13 Cimon salvum, sartum et tectum civitati servavit illud, quod ex hac universi rerum appellatione (κόσμος) efficitur. quidnam efficitur? E κόσμος fit κόσμιος. peperit ergo ille atque asseruit suae patriae τὸ κόσμιον aut τὴν κοσμιότητα. Reisk. γιγνόμενον LN. Vulgo γινόμενον. 14 ταῖς στρατείαις] τοῖς στρατίαις N. 16 πρὶν τὰ δέκα] *Post annum quintum, quo expulsus erat*, inquit Corn. Nepos in Cimone p. 77. *in patriam revocatus est*. Imo ex Plutarcho licet coniicere, Cimonem haud quinquennium a patria abfuisse. Scribit enim, ὅθεν οὐδὲ τῷ πρὸς Κίμωνα θυμῷ πολὺν χρόνον ἐνέμειναν, τὰ μέν, ὡς εἰκός, ὧν ἔπαθον εὖ μεμνημένοι, τὰ δὲ τοῦ καιροῦ συλλαμβανομένου. Plutarch. in Cimon. p. 895. Plebiscitum de Cimonis reditu scripsit Pericles, qui inter accusatores eius unus a populo fuerat delectus. Plutarch. ibid. et in Pericle p. 286. seq. Iebb. 17 ἐνθυμεῖ] Vulgo ἐνθυμῇ.
18 οὐ δικαίως LN, Photius p. 426 a, 31., Canterus, Iebb. οὐ omlunt. ἐψηφίσαντο] κατεψηφίσαντο EN, correctus L, non Photius. ἡγεῖ] Vulgo ἡγῇ.

159, 1 ἐφ' ὧν] ἐφ' οἷς Reiskius. 2 ἐγκέκληκας ΘEI.N, Pho-

τὸν ἄνδρα τῆς αἰτίας, ἀλλ' ὃ μὲν ἦν χαλεπώτερον αὐτῶν ἐμιμήσω, τὸ δὲ λοιπὸν εἴασας, καὶ ταῦθ' ὃ πάντων ἀτοπώτατόν ἐστι, κατηγορῶν αὐτῶν τῶν Ἀθηναίων, καὶ τό γε κάλλιον, οὐ τὰ δεύτερα ταῦτα, ἀλλ' ἐκεῖνα ἅ τις ἂν (264) χαίρων τῷ Κίμωνι. καὶ μηδενὸς μὲν ἂν τοιούτου συμβάντος οὐκ εἶχες ὅ τι κατηγόρεις, ἐπεὶ δ' ἔλυσαν τῇ μετανοίᾳ τὸ συμβὰν καὶ τὴν αἰτίαν ἐφ' αὑτοὺς μετέθεσαν, οὐκ ἴσον τι νομίζεις εἶναι ὥσπερ ἂν εἰ μηδὲν ἐξ ἀρχῆς εἰπεῖν εἴχομεν; καὶ μὴν πολὺ μεῖζον καὶ κάλλιον εἰς ἀρετῆς λόγον ἐκπεσόντα κατελθεῖν ἢ μὴ φυγεῖν ὅλως. τὸ μὲν γὰρ καὶ τοῖς τυχοῦσιν ὑπάρχει δή που, τοῦτο δ' οὐ κατὰ τοὺς πολλοὺς ἄνδρας ἦν· κἀκεῖνο μὲν ἂν τῇ τύχῃ τις εἶχε λογίζεσθαι, τοῦτο δὲ τῷ κρείττονα ἢ κατὰ τοὺς ἄλλους ὄντα γιγνώσκεσθαι. τοῦ μὲν γὰρ ἐκπεσεῖν καὶ φεύγειν φθόνος αἴτιος καὶ τάχα ἄν τι καὶ ἄλλο τοιοῦτον φανείη, τῆς δὲ πρὸ τοῦ χρόνου κλήσεως καὶ παρακλήσεως οὐδὲν ἔσθ' ἕτερον πλὴν τῆς ἀρετῆς αἰτιᾶσθαι, δι' ἣν καὶ ἀπόντα ᾐσχύνοντο καὶ παρεῖναι λυσιτελεῖν αὑτοῖς ὑπελάμβανον, καὶ τὸ μέγιστον, σφῶν αὐτῶν καταγιγνώσκειν μᾶλλον ἠξίουν ἢ 'κείνου. ὥστ' εἰ μὲν αὐτὸν ἐφ' αὑτοῦ δεῖ σκοπεῖν, τί δεῖ λέγειν, εἴ τις εἰς ἐκεῖνον ἐξήμαρτεν; εἰ δ' ἀπὸ τῶν ἄλλων αὐτὸν δεῖ θεωρῆσαι, διαφερόντως οὗτος τιμηθεὶς (265)

---

tius. Vulgo ἐγκέκλικας. 4 Integre et explicate sic dixisset, οὐ τὰ δεύτερα ταῦτα κατηγορεῖς, ἀλλ' ἐκεῖνα τὰ πρῶτα, ἃ καὶ πᾶς τις ἂν κατηγορῇ, χαίρων τῷ Κίμωνι. non ideo accusas Athenienses quod Cimonem ab exsilio revocarunt, sed propter eius eiectionem e patria, propter quam ipsam alius quisquis eos accuset, qui Cimone delectetur. Reisk. 5 μηδενὸς] μηδὲν E. εἶχες] εἶχες ἂν N.

6 κατηγόρεις Reiskius. Vulgo κατηγορεῖς. 7 εἴχομεν] Cimonis conditionem eodem esse loco atque si nunquam quidquam habuissemus dicere, quod ei posset ignominiae dari. Reisk.

9 τοῦτο δ' οὐ] τὸ δ' οὐ N. ἄνδρας] ἀνδρός. viri erat non cum plebeiis comparandi, neque de faece plebis. Reisk.

10 γιγνώσκεσθαι Θ. Vulgo γινώσκεσθαι. 11 τοιοῦτον N. Vulgo τοιοῦτο. 12 Fort. οὐδενὸς ἔσθ' ἑτέρου. Reisk. παρεῖναι] παρόντα EN, quod superscriptum in L. 13 καταγιγνώσκειν] καταγινώσκειν Θ. μᾶλλον ἠξίουν] ἠξίουν μᾶλλον N. 14 ἢ 'κείνου] Vulgo ἢ ἐκείνου. ὥστ'] ὥστε N. ἐφ'] ἀφ' Canterus. αὑτοῦ ΘL. Vulgo ἑαυτοῦ. 15 θεωρῆσαι] γρ. θεωρεῖν margo N. οὗτος] οὕτω L.

Digitized by Google

φαίνεται. ἀλλὰ μήπω ταῦτα; αὐτίκα γὰρ μᾶλλον ἴσως ἁρμόσει. ὃ δὲ πολλῶν καὶ μεγάλων ὄντων ὧν ἄν τις ἐπαινέσαι Κίμωνα δικαίως μέγιστον καὶ ὡσπερεὶ κεφάλαιόν ἐστι καὶ διαφερόντως ἐκείνῳ προσῆκον, τοῦτ' εἰπεῖν ἔτι βούλομαι καὶ ἀποδοῦναι ὥσπερ ἄλλο τι τῷ ἀνδρί. σχεδὸν γὰρ ἐν ὀλίγοις τῶν πάντων, ὥς γέ μοι φαίνεται, καὶ τῶν πρότερον καὶ τῶν ὕστερον ἀντέχει τῷ λόγῳ τούτῳ καὶ οὐ συναγωνίζεται οὐδὲ δίδωσι χώραν τῇ βλασφημίᾳ, ὡς ἄρα
160 τῶν καλῶν καὶ ἀγαθῶν ἀνδρῶν ὥσπερ εἱμαρμένον εἴη τοὺς υἱεῖς φαύλους ἀποβαίνειν καὶ ὀλίγου τινὸς ἀξίους τῆς πατρῴας ἀρετῆς, ὅστις υἱὸς ὢν Μιλτιάδου καὶ κληρονομῶν τοσούτου κινδύνου τῆς ἐκείνου δόξης οὐ κατήσχυνεν οὐδὲν τῶν ὑπαρχόντων οὐδ' ἀποχρῆν ἡγήσατο ἐπιγράφεσθαι τοὔνομα τοῦ πατρὸς, ὥσπερ τις Ὀλυμπίασιν ἀξιῶν νικᾶν ὅτι ἐστὶν Ὀλυμπιονίκου πατρός· ἀλλ' οὕτως εὖ καὶ καλῶς ἐκεῖνον ἐμιμήσατο καὶ ὥσπερ ἰχνῶν εἴχετο τῶν ἔργων τοῦ πατρὸς, ὥστ' εἰ μηδεὶς τῶν συγγραφέων ἐτύγχανεν εἰρηκὼς ὅτου παῖς ἦν, ἀπ' αὐτῶν εἶναι τῶν ἔργων εἰκάσαι τὸν πατέρα αὐτοῦ καὶ ὅτῳ προσῆκεν.

Περιήκει δ' ἡμῖν ὁ λόγος εἰς αὐτὸν Μιλτιάδην, ὃν (266
ἐγὼ μᾶλλον ἂν αἰσχυνοίμην ἐπαινῶν ἢ ψέγων· οὕτω μοι δοκῶ πάντ' ἂν ἔλαττον εἰπεῖν ἢ βούλομαι. καίτοι τοσοῦτόν γ' ἂν εἴποιμι θαρρούντως· εἰ γὰρ ἀναστὰς, λέγω, Πλάτων αὐτὸς ἀξιώσει κατηγορεῖν Μιλτιάδου καὶ τοῦ βελτίονος αὐτῷ τοῦτο λόγου κρινεῖ, πάνθ' ἕτοιμος ἔγωγε συγχωρεῖν καὶ μὴ πολλοῦ τινος ἄξιον τὸν ἄνδρα ἐκεῖνον ἡγεῖσθαι. ἀλλὰ οὐκ ἄν μοι δοκεῖ ῥᾳδίως, ὅς γε καὶ μνησθεὶς περὶ αὐτοῦ, Μιλτιάδην δὲ, φησὶ, τὸν ἐν Μαραθῶνι.

---

160, 2 ὀλίγου τινὸς] ὀλίγους τινὰς N apud Iebbium. Recte dat codex mstus ὀλίγους τινάς. sed hoc admisso videtur εἶναι vel γεγονέναι post ἀρετῆς deesse. ἄξιος τῆς ἀρετῆς dicitur qui par est alterius virtuti et cum ea componi atque comparari potest. Reisk. 3 ἡγήσατο om. E. 4 Ὀλυμπίασιν] Scribebatur Ὀλυμπιάσιν. 6 ὥστ' LN. Vulgo ὥστε. ἦν] εἴη E. 8 Μιλτιάδης inscriptio in ΘL: ἀριστείδου μιλτιάδης in N. In Θ praemissa ὑπόθεσις eadem quae est in editione Iuntina. 11 ἔγωγε] ἐγὼ N. 12 ὅς γε καὶ] καὶ om. EN. μνησθεὶς περὶ αὐτοῦ] In Gorgia p. 516 d. 13 ἐν Μαραθῶνι] ἐν om. N, litura relicta. Conf. p.

*καίτοι τοῦτό ἐστιν ἐγγυτέρω θρήνου τινὸς ἢ μέμψεως καὶ τιμῶντος μᾶλλον ἢ κακίζοντος, ὥσπερ οὓς Σιμωνίδης εἰώθει τιμᾶν ἐν τοῖς ἐπιγράμμασιν. ὅμως δὲ καὶ Μιλτιάδης μετέχει τοῦ καταλόγου καὶ περιέστηκεν αὐτῷ τὸ τῶν Πλα-*
161 *ταιέων τῶν ὑπ' αὐτοῦ τότε κοσμηθέντων. κατηγορίας γὰρ οὐδεμιᾶς αὐτοῦ προειρημένης ἐξ ἀνάγκης τρόπον τινὰ ἀγωνίζεται, διὰ τὸ ἐνεῖναι τοὔνομα ἐν τοῖς διακόνοις αὐτοῦ. καίτοι, ὦ Πλάτων, φαίη τις ἂν τῶν δικανικῶν ἀνδρῶν, ὀρθῶς ἐποίησεν ὁ θεὶς τὸν νόμον ἀξιώσας διαρρήδην ἔχειν* (267)
*τάς τε δίκας καὶ τὰς γραφάς, ἔβλαψέ με ὁ δεῖνα τὸ καὶ τὸ ποιήσας· καὶ τάδε εἶπε παράνομα· κἄν τί τις ἄλλο κατηγορῇ, τὸν αὐτὸν τρόπον φράζειν καὶ μὴ τηνάλλως φοβεῖν. σὺ δ', ὅ τι μὲν ποιῶν ἢ λέγων ἕκαστος τῶν ἀνδρῶν τούτων ἠδίκει εἰς τὴν ὑστεραίαν, ὡς ἔοικεν, ἀνεβάλου δηλώσειν, ὥσπερ ἐν ἄλλῳ τῳ διαλόγῳ, πάντας δ' αἰτίᾳ κοινῇ καὶ οὐδὲ ὧν τῶν ἄλλων διαφερόντως ἠξίωσας τιμῆσαι τὸν Περικλέα μερίσας τὰς αἰτίας αὐτῷ καὶ πλείστας ἁπάντων ἀναθεὶς, οὐδὲ τοῦτον ἐξήλεγξας, οὐδ' ἀπέφηνας τί λέγων ἢ τί ποιῶν ἐποίει τοιούτους, ἀλλ' ἐνὶ τούτῳ παρὰ τοὺς ἄλλους ἐτίμησας, πλείους ποιήσας τὰς αἰτίας αὐτῷ καὶ ὡσπερεὶ σαφεστέρας, ὥστ' εἰδέναι περὶ ὧν χρὴ λέγειν. ἀλλ' ἐκεῖνος μὲν οὐδὲ τοῖς παρ' ἡμῶν ἴσως ἔλαττον ἔσχηκεν, ὥστε ταύτῃ γε μηδ' ἂν πάνυ τι μέμψασθαι τῷ τὴν ἀρχὴν παρασχόντι. εἶεν. Μιλτιάδην δὲ τὸν ἐν Μαραθῶνι ποῦ χοροῦ τάξομεν ἢ τάξιν τινά; ἢ δῆλον*

---

161, 12. καίτοι] καί τι Θ et a pr. m. L. θρήνου] θρόνου Θ, correctus L, margo N. 14 Inter Μιλτιάδης et μετέχει in N superscriptum ἡμῖν. 15 τὸ τῶν Πλαταιέων] Soli Plataeenses ad Marathonem venerunt Atheniensibus opitulatum. Corn. Nep. in Miltiade cap. 5. *Hoc in tempore nulla civitas Atheniensibus auxilio fuit praeter Plataeensium; ea mille misit militum.* Eadem habet Iustinus Histor. lib. 2. Consulatur etiam Herodotus in Erat. Iebb.
τότε κοσμηθέντων] κοσμηθέντων τότε N.

161, 2 ἐνεῖναι] εἶναι E. εἶναι, litura relicta, N. 4 τί τις] τίς τι N. ἄλλο] ἄλλον (γρ. ἄλλο) L. 5 τηνάλλως] τηνάλως LN et correctus Θ. 6 ἀνεβάλου] ἀνεβάλλου N. πάντας δ' ΘL et Canterus. Aberat δ'. 8 ἁπάντων ΘELN. Legebatur πάντων. 9 ἀλλ' N. Vulgo ἀλλά. ἐτίμησας N, correctus L, Canterus. Legebatur τιμήσας. 10 αἰτίας] κατηγορίας (γρ. αἰτίας) L. 11 πάνυ τι N. Aberat τι. πάνυ τοι E. 12 ἐν Μα-

Digitized by Google

ὅτι τὴν πρὸ τοῦ θεάτρου καὶ οὐ πᾶσιν ἐν καλῷ τῆς θέας ἔσται; πλήν γ᾽ ὅσον οὐκ ἀριστεροστάτης ἀνὴρ μᾶλλον ἢ (268)
τοῦ δεξιοῦ τοῖς Ἕλλησι κέρως. καὶ νὴ Δί᾽ εἴ γέ τις αὐτὸν ἐρωτῴη καὶ ἀναποδίζοι καθ᾽ ἕκαστον ἐξ ἀρχῆς, ὥσπερ Πλάτων εἴωθεν ἐρωτᾶν, τί διδάσκων ἢ τί συμβουλεύων
162 ἐποίει βελτίους Ἀθηναίους, ἢ πῶς ἄγων καὶ τρέφων ἐκ νέων εὐθύς, ἢ ποῖ᾽ ἄττα ἔθη καὶ ἐπιτηδεύματα εἰς τὴν πόλιν εἰσάγων, φαίημεν ἂν οὐκ ἀπορήσειν αὐτὸν μετρίας καὶ ἀληθοῦς ἀποκρίσεως, ἀλλ᾽ ἀποκρινεῖσθαι ταυτί, καὶ παραγράψομεν τοῖς ἔπεσι Μιλτιάδου ἀποκρίσεις·

Λέξω τοίνυν τὴν ἀρχαίαν παιδείαν ὡς διέκειτο,
ὅτ᾽ ἐγὼ τὰ δίκαια λέγων ἤνθουν καὶ σωφροσύνη νενόμιστο.
πρῶτον μὲν ἔδει παιδὸς φωνὴν γρύξαντος μηδέν᾽ ἀκοῦσαι·
εἶτα βαδίζειν ἐν ταῖσιν ὁδοῖς εὐτάκτως ἐς κιθαριστοῦ
τοὺς κωμήτας γυμνοὺς ἀθρόους, κεἰ κριμνώδη κατανίφοι.

εἶθ᾽ ὑπὲρ τῆς μουσικῆς ἐρεῖ τῆς τότε ὁποία τις ἦν, ὡς

---

ῥαθῶνι] ἐν om. N, litura relicta. Conf. ad p. 160, 13. Dictio ποῦ χοροῦ τάξομεν videtur ex aliquo tragico desumta. Videor mihi aliquando hunc senarium legisse: ὅπου χοροῦ τάξωμεν, ἢ τάξιν τίνα; Reisk. Id saltem ποῦ τοῦ χοροῦ dicendum fuisset. δῆλον ὅτι N. Vulgo δηλονότι. 13 πλήν γ᾽ ὅσον] πλὴν ὅσον E. ἀριστεροστάτης Θ et Thomas Mag. p. 797. Legebatur ἀριστεροτάτης. ἀριστερωτάτης LN. ἀριστεροστάτης in sinistra parte stans, ut πρωτοστάτης, ὑστεροστάτης et reliqua cum στάτης composita. tantummodo vir hic habeatur magis pro ductore dextri cornu quam pro sinistri commilitone. Reisk. 14 κέρως] ἡγεῖτο adscriptum in marg. N. ἀναποδίζοι L. Vulgo ἀναποδίζει.

162, 1 ποῖ᾽] ποῖα L. ἄττα] Vulgo ἅττα. ποιάττα N. ἔθη καὶ Reiskius. Libri ἔθηκεν. 2 εἰσάγων] εἰσαγαγὼν N. φαίημεν] φαῖμεν N. ἂν om. L. ἀποκρινεῖσθαι N. Legebatur ἀποκρίνασθαι. ἀποκρίνεσθαι L. Fort. τοῖς Ἀριστοφάνους ἔπεσι τὰς Μιλτιάδου ἀποκρίσεις. Reisk. ἀποκρίσεις] τὰς ἀποκρίσεις N. Λέξω] Aristoph. Nub. v. 961. 5 μηδέν᾽] Vulgo μηδὲν. μηδὲν sive cum ἀκοῦσαι iungas et accipias pro μὴ ἀκοῦσαι, sive legas cum apostropho, ut sit pro μηδένα, nihil plane refert. Reisk. ταῖσιν] ταῖς EN. 6 κιθαριστοῦ] γρ. κυθαριστοῦ margo N. γυμνοὺς non videtur esse plane nudos, sed in sola tunica sine pallio. Reisk. κεἰ N. Vulgo καὶ εἰ. κριμνώδη E, Iebb. κριμώδη N.

Digitized by Google

οὐ τὸ παναρμόνιον οὐδὲ τῷ πρὸς ἡδονὴν αὐτῆς ἐτιμᾶτο, ἀλλὰ

ἢ Παλλάδα περσέπολιν δεινάν, ἢ τηλέπορόν τι βόαμα
ἐρεῖν ἔδει
ἐντειναμένους τὴν ἁρμονίαν ἣν οἱ πατέρες παρέδωκαν,
εἰ δέ τις αὐτῶν βωμολοχεύσαιτ' ἢ κάμψειέν τινα καμπήν, (269)
ἐπετρίβετο τυπτόμενος πολλάς, ὡς τὰς Μούσας ἀφανίζων
ἐν παιδοτρίβου δὲ καθίζοντας

καὶ τἄλλα δὴ καθ' ἕκαστον διεξελθὼν τελευτῶν ἐπιθήσει πρός τινας τῶν δυσχεραινόντων

Ἀλλ' οὖν τάδ' ἐστὶν ἐκεῖνα,
ἐξ ὧν ἄνδρας Μαραθωνομάχους ἡμὴ παίδευσις ἔθρεψε.

Τοιαῦτ' ἄττα ὁ Μιλτιάδης ἀποκρινεῖται, οὔτ' ἄλλως φαῦλα ἐμοὶ δοκεῖν οὔτε που ψευδῆ, ἀλλ' αὐτῷ τε προσήκοντα ταῦτα παιδεῦσαι προστάτῃ κατ' ἐκείνους τοὺς χρόνους ὄντι καὶ τοῖς Ἀθηναίοις πάλαι πεπαιδευμένοις ἥκειν ἐπὶ τὴν μάχην. οὐ γὰρ ἐνῆν, οὐκ ἐνῆν αὐθημερὸν ἄνδρας γενέσθαι κοσμίους καὶ ἀνδρείους καὶ τῶν δεινῶν κρείττονας, ἐν ῥαθυμίᾳ τραφέντας ἐξ ἀρχῆς καὶ φαύλως ἐν τοῖς
163 ὅλοις ἠγμένους, ἀλλ' ἔδει καὶ τροφῇ χρηστῇ καὶ λόγοις ἐπιεικέσι καὶ ἔθεσι μετρίοις καὶ δόξαις ταῖς βελτίσταις πόρρωθεν κατειλῆφθαι. οὔκουν Δολόπων γε οὐδεὶς ἐπ' ἐκείνην τὴν ἡμέραν ἀπήντησεν, οὐδὲ τῶν ἄλλων τῶν ὁμοίως ἐκείνοις ἠγμένων. οὐ τοίνυν οὐδ' ὁ τοῦ τῶν πολεμίων στρατοπέδου κύριος καὶ

κρυμιώδη Θ Iunt. 7 τῆς τότε] τίς τότε N. 8 περσέπολιν] Vulgo περσέπτολιν. βόαμα] βόημα L. 9 ἁρμονίαν L. βωμολοχεύσαιτ' N. Vulgo βωμολοχεύσαιτο. κάμψειεν] κάμψειε LN. 11 τἄλλα] N. Vulgo τὰ ἄλλα. διεξελθὼν] διεξιὼν superscriptum in L. 12 τάδ'] ταῦτ' Aristophanes. ἐστὶν LN. Legebatur ἔνεστιν. 13 ἔθρεψε] ἐξέθρεψε L. τοιαῦτάττα N. ἀποκρινεῖται N et Reiskius. Vulgo ἀποκρίνεται. οὔτ' ἄλλως N. Vulgo οὔτε ἄλλως. 16 ἀνδρείους] ἀνδρίους L. 17 ὅλοις] Fort. ὅπλοις. Reisk.

163, 1 χρηστῇ] χορηγεῖν E. ἔθεσι EN Iunt. ἤθεσι Steph. Iebb. 4 στρατοπέδου κύριος καὶ ἡγεμὼν Δάτις] Plato in Menex. p. 240. Αἰτιασάμενος δὲ Δαρεῖος ἡμᾶς τε καὶ Ἐρετριέας, Σάρδεσιν ἐπιβουλεῦσαι προφασιζόμενος, πέμψας μυριάδας μὲν πεντήκοντα ἔν τε πλοίοις καὶ ναυσί, ναῦς δὲ τριακοσίας, Δᾶτιν τε ἄρχοντα, εἶπεν ἥκειν

Digitized by Google

ἡγεμὼν Δᾶτις οὔτ' αὐτὸς ἀνὴρ ἀγαθὸς αὐθημερὸν οἷός τ' ἦν (270) γενέσθαι οὔτε ποιῆσαι τοὺς ὑφ' αὐτῷ τοσαύτους ὄντας. καίτοι προείρητό γε ὑπὸ τοῦ βασιλέως αὐτῷ στέρεσθαι τῆς κεφαλῆς, εἰ μὴ Ἐρετριέας καὶ Ἀθηναίους ἀγάγοι. ἀλλ' ὅμως οὐδὲν αὐτὸν βελτίονα ἐποίησεν ὁ φόβος. ἐκεῖνα μὲν γὰρ ἦν ἐντολαὶ πρόσκαιροι παρὰ τοῦ δεσπότου, Μιλτιάδης δὲ πάλαι πεπεικὼς ἦν Ἀθηναίους μηδένα δεσπότην πλὴν τῶν νόμων ἡγεῖσθαι, μηδὲ τοῦ καλοῦ καὶ δικαίου μηδένα κρείττω νομίσαι φόβον, μηδ' οὕτως ἀνάγκην ἰσχυρὰν δι' ἣν προσήκειν γενέσθαι χείροσι. διὰ ταῦτα εἶχεν ὅ τι χρῷτο αὐτοῖς. ἐπεὶ ναύτας γε οὐκ ἂν ἐξαίφνης οὕτως αὐτοὺς ἐποίησεν, οὐδ' εἰ σφόδρα ἔδει ναύτας ἐκείνην τὴν ἡμέραν εἶναι, οὐδέ γε μουσικούς, οὐδέ γε ἱππικούς. οὐ τοίνυν οὐδ' ὁπλίτας ἀγαθούς, οὐδὲ συλλήβδην εἰπεῖν, ἄνδρας ἀγαθοὺς καὶ λυσιτελοῦντας ἑαυτοῖς οὐκ ἂν οὕτω βραχὺς καιρὸς ἤρκεσε ποιῆσαι, ἀλλ' ὥσπερ οἱ γεωργοὶ πολλοστῷ μηνὶ τῶν σπερμάτων τὴν ἐπικαρπίαν κομίζονται καὶ οὐχ ἅμα τῷ καταβαλεῖν, οὕτω κἀκείνους Μιλτιάδης παλαιαῖς ὁμολογίαις κατειληφὼς εἶχεν ἐν τῷ καιρῷ χρησίμους, οὐκ ἐπὶ τῆς χρείας λαμβάνοντας τὰ μαθήματα — (271) αἰσχρῶς γὰρ ἂν οὕτω γε ὁ χορὸς ἠγωνίσατο αὐτῷ —, ἀλλ' ἐπὶ τῆς ἐξουσίας εἰς τὴν χρείαν ἠσκημένους. καὶ γάρ τοι τῆς ἀσκήσεως αὐτῶν καὶ τῆς ἐπιμελείας ἅπασα ἡ

---

ἄγοντα Ἐρετριέας καὶ Ἀθηναίους, εἰ βούλοιτο τὴν ἑαυτοῦ κεφαλὴν ἔχειν. Confer eundem lib. 3. de legibus p. 698. et Plutarchum in Aristide p. 588. Alii tamen scribunt Artaphernem una cum Datide exercitus a Dario praefectum esse constitutum. Corn. Nep. in Miltiade cap. 4. *Darius autem quum ex Europa in Asiam rediisset, hortantibus amicis, ut Graeciam in suam redigeret potestatem, classem quingentarum navium comparavit, eique Datim praefecit et Artaphernem.* Quibus similia leguntur apud Herodotum in Erat. Ἄλλους δὲ στρατηγοὺς ἀποδέξας ἀπέστελλε ἐπί τε Ἐρέτριαν καὶ Ἀθήνας, Δᾶτίν τε ἐόντα Μῆδον γένος καὶ Ἀρταφέρνεα τὸν Ἀρταφέρνεος παῖδα. IEBB.

δᾶτις L. Vulgo Δᾶτις. 5 τοσούτους] τοιούτους N. 9 μηδ'] μηδὲ ΘLN. προσήκειν] προσήκει N. 10 χείροσι] χείροσιν Θ. 11 οὐδ' εἰ N. Vulgo οὐδὲ εἰ. 13 ἀλλ' ὥσπερ οἱ γεωργοὶ τῶν σπερμάτων πολλοστῷ μηνὶ κομίζονται τὴν ἐπικαρπίαν E. 14 τῷ καταβαλεῖν libri omnes: temere Iebbii editio τῷ σπόρῳ. οὕτω κἀκείνους N. οὕτω καὶ ἐκείνους Θ Iunt. οὕτως ἐκείνους Iebb. 17 ἅπασα] ἁπάσης E.

Ἑλλὰς κοινοὺς τοὺς καρποὺς ἐκομίζετο. καὶ μὴν εἰ μηδὲν ἄλλο τις εἰπεῖν εἶχε Μιλτιάδου, μηδὲ ἦν εὑρεῖν πολλὰ καὶ σεμνά, ἐξαρκεῖν ἄν ἔμοιγε δοκεῖ τὸ ψήφισμα ἀντ' εἰκόνος
164 αὐτοῦ τῆς ψυχῆς ἅπασιν εἶναι. ἢ πρὸς θεῶν τῶν μὲν ἡμετέρων λόγων καὶ συγγραμμάτων τὸ φρόνημα καὶ τὴν ῥώμην ἀξιώσομεν εὐδοκιμεῖν, κἄν τι πρὸς ἀνδρείαν ἢ δικαιοσύνην αὐτῶν ᾖ φέρον, οὐκ ἄχρηστον φήσομεν ταῖς ἐθέλουσι χρῆσθαι, τῆς δ' ἐκείνου προαιρέσεως καὶ διανοίας ὁποία τις ἦν καὶ πότερον τῶν τυχόντων ἢ τῶν ἐπιεικεστέρων μιμήσασθαι, οὐχ ἱκανὸν σημεῖον τὸ ψήφισμα, ὃ παρ' αὐτοὺς τοὺς κινδύνους συνεγράψατο, μίαν γνώμην εἰς τοὺς Ἕλληνας εἰπὼν περὶ παντὸς τοῦ δικαίου. καὶ μὴν εἰ προγόνους ἄξιον τιμᾶν, πῶς οὐκ ἄξιον Μιλτιάδην ὥσπερ πρόγονον κοινὸν τῶν μετ' ἐκείνους τοὺς χρόνους Ἑλλήνων; ὁ γὰρ οὐ μόνον τῆς σωτηρίας αὐτῶν προστὰς, ἀλλὰ καὶ δείξας ὁποίους τινὰς ἐν τοῖς περὶ τῆς (272)
ἐλευθερίας ἀγῶσιν εἶναι δεῖ καὶ παράδειγμα πᾶσιν εὔδηλον ἐκθεὶς οὗτός ἐστι φανερώτατα τῶν ἄνω πάντων. εἰ τοίνυν καὶ Σόλωνα καὶ Λυκοῦργον ἐπαινοῦμεν κατὰ τοὺς νόμους οὓς ἔθηκαν, πῶς οὐ δίκαιον Μιλτιάδην ἐπαινεῖν, ὃς ἔργῳ τοῦτον ἔθηκε τὸν νόμον, μηδένα τῶν χειρόνων θαυμάζειν μηδὲ τὸ ῥᾷστον αἱρεῖσθαι πρὸ τοῦ κρείττονος; σκεψώμεθα γὰρ δὴ παρὰ τὸν Λυκοῦργον τὸν Μιλτιάδην ἐξετάζοντες. οὐ γὰρ δή που κἀκεῖνον ἔστ' εἰπεῖν ὅτι ὡς τῶν διακόνων ἕν' ἔθηκε Πλάτων· οὐκ ἔστι ταῦτα οὐδ' ἐγγύς. Λυκοῦργος μὲν τοίνυν ὅτι τοὺς νόμους ἔθηκε πρὸς ἀνδρείαν καὶ καρτερίαν βλέποντας καὶ ὅτι βελτίους ἐποίησε τὰ τοῦ πολέμου τοὺς πολίτας, οὕτως εὐδοκιμεῖ, καθάπερ τις γυμναστὴς ἑτέρους παρασκευάσας πρὸς τὸ νικᾶν, αὐ-

---

164, 2 ἀνδρείαν] ἀνδρίαν LN. 3 φέρον] φανερὸν E. δ'] δὲ ΘN. προαιρέσεως] προαιρήσεως Θ. 4 ἢ τῶν] καὶ τῶν ΘL. μιμήσασθαι] αὐτὴν μιμήσασθαι Canterus. 7 ὥσπερ] ὡς N. 8 περὶ τῆς ἐλευθερίας] ὑπὲρ ἐλευθερίας EL. 9 εὔδηλον] ἔκδηλον Θ. φανερώτατα τῶν ἄνω] φανερώτατος τῶν ἄλλων E. 14 ἕν' ἔθηκε] ἔθηκεν ἕνα E. οὐδ' LN. Vulgo οὐδέ. λυκοῦργος LN Iebb. λυκοῦργον Iunt. 15 ὅτι τοὺς] ὅτι ἐπεὶ τοὺς ΘEL. ἀνδρείαν Θ. Vulgo ἀνδρίαν. 16 εὐδοκιμεῖ] εὐδοκί-

τὸς δ' οὐδ' ὁτιοῦν ἀποδειξάμενος τοιοῦτον. Μιλτιάδης δὲ πρὸς τῷ τὰ βέλτιστα ἐθίσαι τοὺς πολίτας καὶ τῷ παρασκευάσαι μηδενὸς ὑστέρους εἶναι πρὸς τὰ τοῦ πολέμου πράγματα καὶ τοῦ μεγίστου τῶν ἔργων αὐτὸς ἡγεμὼν

165 γεγονὼς φαίνεται. οὕτως οὐ πολλῷ τινι τοῦ Λυκούρ- (273) γου δεύτερος ἡμῖν φαίνεται γεγονώς, οὐδὲ παρ' ἄλλοις τισὶ μᾶλλον δίκαιος εὐδοκιμεῖν ἢ παρὰ τοῖς ἐκεῖνον δικαίως ἐπαινοῦσι. καὶ μὴν ἐν μὲν τοῖς ἄλλοις ἔργοις λέγω καὶ ἐπιτηδεύμασι καὶ τέχναις οἱ μὲν ὡς ἄρξαντες ἐτιμήθησαν, οἱ δὲ ὡς ὑπερβαλλόμενοι· Ὅμηρον δ' ἐπαινοῦσιν, ὡς αὐτὸν ἀρξάμενόν τε καὶ ἀπεργασάμενον ὡς κάλλιστα ποίησιν. Μιλτιάδης τοίνυν ἅμα τ' αὐτὸς ἦρξε τῆς ἐλευθερίας τοῖς Ἕλλησι καὶ οὐδενὶ τῶν Ἑλλήνων ὑπερβολὴν τῶν ἔργων τῶν ἑαυτοῦ κατέλιπεν, οὔκουν ὅσους γε ἀπὸ τῶν ἄλλων πόλεων ἔχομεν λέγειν. ὥστε δέδοικα μὴ τῶν αὐτῶν ᾖ μήτε Ὅμηρον δέχεσθαι τῇ πόλει μήτε Μιλτιάδην ἐθέλειν ἐπαινεῖν. εἶτα ἐρωτᾷ Πλάτων τίνα βελτίω Μιλτιάδης ἐποίησεν ἢ τῶν πολιτῶν ἢ τῶν ξένων, ἢ δοῦλόν φησιν ἢ ἐλεύθερον, ἢ ἄνδρα ἢ γυναῖκα; τίνα μὲν οὖν, ὦ Πλάτων, χείρω Μιλτιάδης ἐποίησεν ἢ τῶν πολιτῶν ἢ τῶν ξένων, ἢ δοῦλόν φημι ἢ ἐλεύθερον, ἢ ἄνδρα ἢ γυναῖκα; ἢ τῷ τῶν πάντων εἰς ὄνειδος καὶ ζημίαν ἐτελεύτησεν ἡ πρὸς ἐκεῖνον ὁμιλία; καὶ δή σοι λαμπρῶς ἀποκρινοῦμαι (274) τίνα βελτίω Μιλτιάδης ἐποίησε, καὶ οὐ κατ' ἄνδρα εἴποιμ' ἄν σοι καὶ γυναῖκα, ὥσπερ οἱ περὶ μικρῶν ἔργων ἐρευνῶντες, ἀλλ' εἴ μοι δίδως εἰπεῖν, ἅπαντας Ἀθηναίους ἐκεῖ-

---

μησε N. 17 αὐτὸς δ' Θ. Vulgo αὐτὸς δέ. οὐδ' ὁτιοῦν] οὐδεοτιοῦν Θ. τοιοῦτον] τοσοῦτον L. 18 πρὸς τῷ] πρὸς τὸ N. πρὸς τῷ τὰ] πρὸς ταῦτα E. τὰ βέλτιστα] πρὸς τὰ βέλτιστα Canterus et Reiskius. καὶ τῷ N et Reiskius. Legebatur κἂν τῷ.

165, 2 ἐπαινοῦσιν Θ. 4 ὑπερβαλλόμενοι] ὑπερβαλόμενοι Θ. Ὅμηρον δ'] Vide Velleii Paterculi Histor. lib. I. Iebb. 7 μήτε Ὅμηρον δέχεσθαι] Alludit ad Platonis sententiam in lib. 2. de Repub. traditam, ubi fabulas eas esse repudiandas docet, quas et Hesiodus et Homerus reliquique poetae nobis commemorarunt. Ipsum consulas auctorem. Iebb. 12 οὐκ ἄνδρα (ατ) L.

Digitized by Google

νος βελτίους ἐποίησε καὶ ὅλην βελτίω τὴν πόλιν, ὡς πόλιν
εἰπεῖν λέγω καὶ ὡς δῆμον λέγω καὶ ὡς τὸ κοινὸν εἰρῆσθαι.
μὴ γάρ μοι διὰ πάσης ἀκριβείας μηδὲ πρὸς ἓν μέτρον,
μηδὲ ὥσπερ τὰς τοῦ Γηρυόνου κεφαλὰς ἴσους δι' ἁπάν-
166 των οἷου δεῖν ἐφεξῆς εἶναι, ἀλλὰ καὶ χείρους τινὰς λίπε,
ἐπεὶ οὗτοι πάντες ὁμοῖοι ἀνέρες ἐν πολέμῳ. οὔκουν οὐδ'
ἐν πόλει πάντες ὅμοιοι τὴν γνώμην, οὐ μᾶλλόν γε ἢ τὰ
σώματα πάντες ἴσοι καὶ παραπλήσιοι· ἀλλ' ὥσπερ τῶν
προστατῶν αὐτῶν οἱ μὲν χείρους, οἱ δὲ βελτίους, οὕτω καὶ
δῆμος οὐκ ἄν ποτε εἰς ἀκριβῶς γένοιτο, ἀλλ' ἀνάγκη τοὺς
μὲν χεῖρον, τοὺς δὲ βέλτιον ἔχειν πρὸς αὐτὸ τὸ πείθε-
σθαι τοῖς προεστῶσιν. οἷον τοίνυν καὶ Μιλτιάδου προε-
στῶτος τοὺς μὲν ὡς πλεῖστον τῆς ἐκείνου δυνάμεως ἀπο-
λαῦσαι, τοὺς δὲ μέσως, κἂν τῷ μέσῳ τὸ παραλλὰξ αὖ
τίθει. γένοιτο δ' ἄν τις ἐν πλήθει καὶ περὶ ὦτα ἀτυχέ-
στερος. οὔτοι πάντας οὐδ' ὁ ἥλιος οἷός τ' ἐστὶ θερμαί- (275)
νειν, ἀλλ' ἤδη τις ἐν καθαρῷ τῆς μεσημβρίας ἐρρίγωσε
τῆς καταβολῆς ἐπελθούσης. ἂν οὕτω μετρίως καὶ πρὸς
δύναμιν τῆς φύσεως ἐξετάζῃς, φανεῖταί σοι καὶ Μιλτιάδης

---

εἴποιμ' ἂν σοι] εἴποιμί σοι ΘEL. 14 εἰπεῖν λέγω] λέγω εἰπεῖν LN. 16 τὰς τοῦ Γηρυόνου κεφαλὰς] Geryon Chrysaoris erat filius, triceps, quem pugna interfecit Hercules, cum boves illius prius ademerat. Olim vero tricorpor etiam habitus Geryon. Pausan. in Eliac. α'. p. 325. de rebus gestis Cypseli arcae inscalptis: Καὶ Ἡρακλέους ὁ πρὸς Γηρυόνην ἀγών· τρεῖς δὲ ἄνδρες Γηρυόνες εἰσὶν ἀλλήλοις προσεχόμενοι. Iebb. δι' ἁπάντων correctus N. Aberat δι'. Probo δι' ἁπάντων, sed praeterea quoque ἴσους legendum. subauditur enim πολίτας. Reisk. Dedi ἴσους δι' ἁπάντων ex scholiasta p. 547, 10. δεῖν om. E.

166, 1 λίπε] λίπεν N. ἐπεὶ] Iliad. μ, 270. ἐπεὶ οὔπω πάντες — πολέμῳ. οὗτοι] οὔτι E. 6 αὖ τίθει N et Photius p. 426 b, 35. Aberat αὖ. τὸ παραλλὰξ αὖ τίθει recte dat codex. et in hoc ipso ordine mediocrium pone τὸ παραλλὰξ seu discrepantiam, ut alius alii praestet ad parendi voluntatem. Reisk. 7 οἷός τ'] οἷός τε L., καθαρῷ] Ruhnkenius in notis ad Timaei Lexicon Platon. p. 168. [236. ed. sec.] coniicit legendum esse σταθερῷ. scita est coniectura, sed vereor ut vera sit. docta sunt et proba quae vir doctus ibi de v. σταθερὸς origine disputat et ab Arabico sermone confirmantur, in quo قائم الظهيرة *stans meridiei* est ipse maximus et fla-

Digitized by Google

*ὅλην τὴν πόλιν εὖ πεποιηκώς. εἰ δὲ κατ' ἄνδρα ζητήσεις τοὺς ἀρίστους, οὐδὲ τοὺς ἵππους τοὺς Θετταλοὺς ἐφεξῆς ἅπαντας ἀρίστους εὑρήσεις, οὐδὲ τὰς κύνας τὰς Λακαίνας, ἀλλ' ὅμως σώζεται τοῖς γένεσι τοὔνομα. οὕτω δὴ καὶ τοὺς Ἀθηναίους ἐξέταζε, τὸ πᾶν ἦθος τῆς πολιτείας ὁρῶν αὐτῶν καὶ πῶς ἔπραττον κατ' ἐκείνους τοὺς χρόνους κοινῇ, ὥσπερ που καὶ φαμὲν πόλιν εὐνομεῖσθαι, καίτοι γ' οὐ δυνατὸν γενέσθαι πόλιν τοιαύτην, ἐν ᾗ μηδὲν μήτε μεῖζον μήτ' ἔλαττον ἁμάρτημα συμβαίνει μηδ' ἁμαρτάνει μηδείς. καὶ μὴν καθ' ὑμᾶς τοὺς σοφοὺς ἔχοι τις ἂν ὡδὶ προσβιβάζειν τῷ λόγῳ, ὡς ἄρ' ἂν ἡ πόλις εὐνομῆται, ἀνάγκη τοὺς οἰκοῦντας αὐτὴν πάντας εὐνόμους εἶναι, καὶ ἄνδρας καὶ γυναῖκας· εἰ δ' εὐνόμους, εὐτάκτους· εἰ δ' εὐτάκτους, σώφρονας· εἰ δὲ σώφρονας, καὶ φρονίμους· φρονίμων δ' ὄντων ἁπάντων οὐχ οἷόν τε δήπουθεν ἁμαρτάνειν οὐδένα· ὥσθ' ἕως ἂν ἡ πόλις εὐνομῆται, ἀνάγκη μηδένα μηδὲν* (276)
167 *ἁμαρτάνειν. ἀλλ' οὔτε τοῦτο οἶμαι δυνατὸν οὔθ' ὡς εἰ μὴ τοῦτο γενήσεται, οὐδεμίαν δοκεῖν δεῖ πόλιν εὐνομεῖσθαι*

---

grantissimus aestus. Reisk. 10 ζητήσεις] ζητοίης N. τοὺς ἵππους] De equis Thessalicis loquuntur Graeci fere omnes, ut et de canibus Lacaenis. Erant autem hae canes ad pugnandum cum fera acerrimae. Unde et in apri silvestris venatione adhibendas esse docet Xenophon de Venat. p. 991. Iebb. ἐφεξῆς ἅπαντας] ἅπαντας ἐφεξῆς LN. 11 ἀλλ' ὅμως] ἀλλὰ ὅμως L. 13 καὶ φαμὲν] καὶ om. E. 14 μήτ'] μήτε L. συμβαίνῃ — ἁμαρτάνῃ L: sed correctum συμβαίνει — ἁμαρτάνει. 15 ὑμᾶς] ὑμῶν S. ἔχοι] εὕροι E. προσβιβάζειν ΘELN Opor. Legebatur προσβιάζειν. Conf. ad p. 146, 17. ὡς ἄρα ἂν ἡ] ὡς ἄρα εἰ E. ὡς ἄρα ἂν εἰ L. ὡς ἄρα ἡ πόλις εὐνομεῖται N. 16 ἀνάγκη δείκνυσι τὸν συλλογισμὸν λόγῳ μὲν δυνατὸν γενέσθαι, ἔργῳ δὲ οὐδαμῶς μηδένα μηδὲν ἁμαρτάνειν. ἀλλ' οὔτε τοῦτο — L, verbis τοὺς οἰκοῦντας — μηδὲν ἁμαρτάνειν in marg. ab m. rec. adscriptis. οἰκοῦντας] οἰκοῦντας N (superscr. κατ'). πάντας εὐνόμους ELN, Canterus, Iebb. εὐνόμους om. Iunt. 18 ὥσθ' ΘELN Canterus. Legebatur οὔθ'. ἡ πόλις] ἡ om. ELN. μηδένα in N expunctum et in marg. correctum est ἀνάγκη τοὺς κατοικοῦντας αὐτὴν πάντας μηδὲν ἁμαρτάνειν.

167, 1 οὔθ' ELN, Canterus, Iebb. ὥσθ' Iunt. Apparet typothetam Iuntinum ὥσθ' et οὔθ' p. 166, 18. 167, 1. traiecisse. 2 δεῖ Canterus et Reiskius. Legebatur δεῖν. 4 λογίζει]

φαίης ποτ' ἄν, ἀλλὰ τὸ κοινὸν σχῆμα τῆς πολιτείας ἐξετάζων καὶ ἅμα πρὸς τὰς ἄλλας πόλεις τὴν πόλιν κρίνων τὰ μὲν τοῖς νόμοις, οἶμαι, καὶ τοῖς ἔθεσι λογίζει, τὰ δὲ ταῖς τῆς φύσεως ἀνάγκαις ἀποδίδως. ἐὰν οὕτω σκοπῇς καὶ τοὺς Ἀθηναίους καὶ μὴ καθ' ἕκαστον ὥσπερ τοὺς θεσμοθέτας ἀνακρίνῃς, ἔχω σοι καὶ ἑτέραν προσθήκην ἔτι μείζω καὶ θαυμασιωτέραν εἰπεῖν, ὅτι Μιλτιάδης οὐ μόνον τὴν πόλιν βελτίονα ἐποίησεν, ἀλλὰ καὶ τὴν Ἑλλάδα πᾶσαν πρὸς τῇ πόλει· καὶ ὥσπερ σὺ λέγεις, τίνα τῶν πολιτῶν ἢ τῶν ξένων, οὕτως ἐγώ φημι καὶ πολίτας καὶ τοὺς ἄλλους ἅπαντας Ἕλληνας ὅτι βελτίους ἐκεῖνος ὁ ἀνὴρ ἀπειργάσατο. πᾶσι γὰρ ἡγεῖτο πρὸς τὰ κάλλιστα, ὥστε χείρω μὲν οὐδένα, βελτίους δ' ἅπαντας ἐποίει τό γ' αὐτοῦ μέρος. σκόπει δ' ἐξ ὧν αὐτὸς ὡρίσω, μηδὲν τοῖς ἐμοῖς προσέχων λόγοις, εἰ μή τι ἀπὸ τῆς ἀνάγκης συμβαίνοι. ἄλλο τι ἢ (277) τοῦτο λέγεις παρ' ὅλον τὸν λόγον, ὡς ἡ δικαιοσύνη καλὸν καὶ ὡς ὅ τι ἂν τις πράττῃ σὺν τούτῳ πρακτέον καὶ τῇ ῥητορικῇ χρηστέον πρὸς τὸ δίκαιον ἀεί; κἂν τύπτῃ μέ τις, φῄς, δικαίως ἢ μή, διαφέρει, κἂν ἐξελαύνῃ τις, ἐὰν ἀδίκως, ἄθλιος, καὶ πανταχοῦ ταύταις χρῇ ταῖς προσθήκαις δικαίως ἢ ἀδίκως λέγων· καὶ τὸ μὲν δικαίως καλῶς ἀξιοῖς εἶναι, τὸ δ' ἐναντίον κακῶς· καὶ τὸ μὲν εὐδαίμονος ἀνδρὸς εἶναι, τὴν δικαιοσύνην, τὸ δὲ τοῦ ἐναντίου, τὴν ἀδικίαν· καὶ τὸ μὲν ὡς οἷόν τε διώκειν χρῆναι, τὸ δὲ φεύγειν ὡς ἕκαστος ἔχει τάχους. οὐ ταῦτ' εἰσὶν οἱ λόγοι; οὐ δικαίως μὲν ἅπαντα πραττόμενα ἐπαινεῖς, ὡς ἑτέρως δὲ ψέγεις; ἔχε δὴ καὶ σκόπει. μὴ γὰρ ὥσπερ ἐν νυκτομαχίᾳ τῶν φίλων ἁπτώμεθα. ἆρ' οὖν δίκαιον ἀμύ-

---

Vulgo λογίζῃ. 5 θεσμοθέτας] νομοθέτας LN. θεσμοθέτας marg. LN. 8 ἅπαντας Ἕλληνας ELN. Aberat ἅπαντας. ὁ ἀνὴρ Steph. Iebb. ὁ om. Iunt. 12 σὺν τούτῳ] Deberet σὺν ταύτῃ esse dictum. praecessit enim δικαιοσύνη. sed refertur oratio ad rem significatam, ad τὸ δίκαιον puta, quod etiam statim sequitur. Reisk. 13 φῄς Reiskius. Legebatur φησί. διαφέρει LN. Vulgo διαφέρῃ. 14 ἄθλιος (scil. ἐστί) Reiskius. Legebatur ἀθλίως. ἀθλίως Θ. ἄθλιον Soph. χρῇ] χρῇται L. χρῇ ἀντὶ τοῦ χρῆσαι marg. N. 16 τοῦ ἐναντίου] τοὐναντίον L. τοῦ ἐναντίον N. 19 ἆρ' οὖν] ἆρ' οὐ ELN.

νεσθαι τοὺς ἐπιόντας; δικαιότατον μὲν οὖν. τί δαί; τῶν
Ἑλλήνων πλείω ποιεῖσθαι λόγον ἢ τῶν βαρβάρων οὐ δί-
καιον; πᾶς τις ἂν φήσαι τόν γε Ἕλληνα δήπουθεν.

Μιλτιάδης τοίνυν ἐπιόντων τῶν βαρβάρων τοῖς Ἕλ-
168 λησιν οὐδὲν πρότερον τῆς κοινῆς σωτηρίας ἐποιήσατο, οὐδ'
ἰδίᾳ περὶ τῶν ἑαυτοῦ πραγμάτων ἐσκέψατο, οὐδ' ἀνεβά-
λετο εἰς ἕτερον καιρὸν τὴν ἀρετὴν δεῖξαι τὴν ἑαυτοῦ. καίτοι (278
παρῆν αὐτῷ μὴ πρὸς τὸ βέλτιστον ὁρῶντι, ἀλλὰ ταὐτὰ
τοῖς τυράννοις διώκοντι, εἰ μὲν ἐβούλετο μετὰ Ἱππίου καὶ
τῶν Πεισιστρατιδῶν συνεπιστρατεύειν ἐπὶ τὴν Ἑλλάδα, εἰ
δὲ ἐβούλετο μετ' Ἀλευαδῶν ἐκ Θετταλίας, ἢ πρό γε Ἀλευα-
δῶν. οἶμαι δὲ οὐδ' ἂν ἐκ Λακεδαίμονος τῶν ταὐτὰ βου-
λομένων ἠπόρησε. καὶ μὴν οὐδ' οἱ βάρβαροί γ' ἂν ἧττον
ἐκεῖνον ἡδέως ἐδέξαντο ἢ πολλοὺς ἑτέρους. ἀλλ' ὡς ἔοι-
κεν, οὐ πρὸς αὑτοῦ ταῦθ' ἡγεῖτο Μιλτιάδης, ἀλλὰ ταῦτα
πάντα ἀφεὶς καὶ παριδὼν καὶ τοῦ μηδενὸς ἄξια κρίνας εἰς
ἀρετῆς λόγον τῇ κοινῇ χρείᾳ τῆς πατρίδος καὶ τῶν Ἑλλή-
νων προσένειμεν αὑτόν. καίτοι ταῦτα ποιῶν καὶ ταῦτα
προαιρούμενος πότερον δικαιοσύνης καὶ καλοκαγαθίας, ἢ
κακίας καὶ ἀδικίας δεῖγμα ἐξέφερεν; ἢ οὐδετέρου φήσο-
μεν; ἐγὼ μὲν γὰρ εὐδαίμονα καὶ ζηλωτὸν ἀκούειν οὐδὲν
κωλύειν ἐκεῖνον ἡγοῦμαι, εἴπερ ἀληθὴς ὁ Πλάτωνος λόγος
ὡς τό γε δίκαιον αὐτὸ λαμπρὸν ἔπεστι τοῖς πεπολιτευμέ-
νοις. εἶεν. ἀλλ' ὑπὲρ τῆς ἀνδρείας τῆς ἐκείνου δείσομεν, ἢ
μικρούς τινας καὶ φαύλους καιροὺς τοὺς δείξαντας αὐτὴν
εἶναι φήσομεν; οὐ πάντες μὲν ἄνθρωποι μικροῦ δέω λέ- (279
γειν τότε Πέρσαις ὑποπεπτώκεσαν, τὰ δὲ πλεῖστα ἐξ ἐντο-

---

20 τί δαὶ Θ. Legebatur τί δέ. τί δὲ καὶ L.

168, 2 ἀνεβάλετο ΘΝ. Vulgo ἀνεβάλλετο. 3 βέλτιστον] βέλτιον N. 4 μετ' Ἀλευαδῶν] μετὰ τῶν ἀλευαδῶν N. 5 ἢ πρό γε Ἀλευαδῶν] Hi Xerxi in Graeciam irruenti Thessaliam prodidere. Pausan. in Achaic. p. 415. Ξέρξῃ δὲ ἐπὶ τὴν Ἑλλάδα ἐλαύνοντι Θεσσαλία τε δι' Ἀλευαδῶν προυδόθη. {Confer Herodot. in Polyhymn. p. 243. Aleuadae autem fuerunt nobiles Thessali, vel, ut Herodotus, Thessalorum reges, de quibus videatur Casaubonus ad Theocriti Idyll. 17. Iebb. 9 ταῦτα ποιῶν καὶ om. E, in marg. habet N. 10 οὐδετέρου] οὐδὲ ἕτερον E. οὐδέτερον N. 12 αὐτὸ] αὐτῷ N. 13 ἀνδρείας ΘΝ. Vulgo ἀνδρίας. 14 Post φήσομεν in E per errorem repetuntur verba superiora ἐγὼ μὲν γὰρ —

Digitized by Google

λῆς τῷ βασιλεῖ κατειργάζετο; ὅποι δ᾽ ὁρμήσειαν, ἔχειν ὑπελάμβανον, οἵ γε καὶ ἐπὶ Σκύθας ἐλθόντες ἔδοξαν δυστυχῆσαι, ὅτι οὐκ ἠδυνήθησαν εὑρεῖν αὐτούς· Αἰγύπτιοι δὲ οἱ σοφώτατοι πάντων μίαν τῶν πασῶν μηχανὴν οὐχ εὗρον, δι᾽ ἧς ἐκφεύξονται τὸ μὴ δουλεῦσαι. Λιβύην δ᾽,
9 οὐδεὶς λόγος ἦν ὁ διαιρῶν ἀπὸ τῆς Ἀσίας τότε, ἀλλ᾽ ἦν ἅπαντα μία ἤπειρος ὡς Πέρσαις εἶναι. τῶν δὲ Ἑλλήνων οἱ μὲν τὴν Ἀσίαν οἰκοῦντες οἱ μὲν ἐκ τριγονίας ἐδούλευον, οἱ δ᾽ ἐκ πλείονος, αἱ νῆσοι δ᾽ οὐδὲν ἦσαν πρᾶγμα, Ἐρε-

---

δίκαιον αὐτὸ, punctis notata. 15 κατειργάζετο ΘLN. Scribebatur κατηργάζετο. 16 ἔχειν] οὐκ ἔχειν Canterus. Dubito probemne Canteri emendationem οὐκ ἔχειν, an legam ταῦτα ἔχειν. quoquo se verterent, illa in sua iam habere potestate existimabant. Reisk. ἐπὶ Σκύθας ἐλθόντες] Expeditionis huiusce historiam fusius enarrant Herodotus in Melpom. Iustin. Hist. lib. 2. et Diodor. Sicul. Bibl. lib. 11. Adde et Cornel. Nepot. in Miltiade cap. 3. Causam huius belli aliam tradit Herodotus, alteram Iustinus. Scribit Herodotus ideo bellum Scythis Darium intulisse, quod priores iniuriam obtulissent, quum Mediam ingressi essent, et eos qui occurrerant proelio vicissent. Siquidem persequentes olim gentem Cimmeriam, ingressi Asiam, abrogarunt imperio Medos, qui ante eorum adventum Asiam obtinuerant. Tradit vero Iustinus ex Trogo Pompeio Darium propterea Scythis infensum, quod Leuthius, seu ut alii, Tancyrus, horum rex, filiam suam, quam uxorem vellet ducere, ei denegasset. Utcunque se res habeat, bellum inferre decrevit, Scythae autem pro domibus plaustra habentes, ne capi quidem possent, nec inveniri, si nollent. Aufugientes itaque, et regionem circumcirca vastantes, effecerunt tandem ut re infecta, et multo milite amisso, errabundus Darii exercitus in Asiam rediret, fuga sibi salutem nactus. Iebb.
17 ὅτι Reiskius. Legebatur καὶ ὅτι. Aut delendum καὶ aut addendum ἡττηθῆναι. videbantur irritam atque infelicem sibi expeditionem suscepisse et victi esse in eo, quód in Scythia quos vincerent homines nullos reperissent. Reisk. ἠδυνήθησαν EL. Vulgo ἐδυνήθησαν. 18 δι᾽ ἧς] Unde Persarum regi ab Aegypto et Libya Aegypto contermina septingenta provenerunt talenta, ex tributo quod ab iis exigebat Darii edictum, praeter pecuniam ex piscario proventu lacus Murios, et certum frumenti λόγος] Fort. ὅρος. sed est Herodotus in Thalia p. 120. Iebb. numerum, uti auctor facilè vulgata, sensu *rationis* et *modi* accepta, defendatur. Reisk.

169, 2 οἱ μὲν ἐκ τριγονίας] Ionas intelligit, quos in servitutem redegerat Cyrus. Herodotus in Clio p. 43. οἱ δ᾽ ἄλλοι Ἴωνες, πλὴν

*τριεῖς δ' Εὐβοέων χεῖρας ἀνταράμενοι τριῶν ἡμερῶν ἤγοντο πανοικησίᾳ· τῶν δ' ἄλλων τῶν ἐν τῇ Εὐρώπῃ οἱ μὲν τὸ ὕδωρ καὶ τὴν γῆν ἐδεδώκεσαν, οἱ δὲ τὸ μέλλον ἀπεσκόπουν, τοσοῦτον αὑτοὺς Ἐρετριέων εὐτυχεστέρους νομίζοντες, ὅσον ὕστεροι ταὐτὰ πείσεσθαι. Λακεδαιμόνιοι δὲ, εἴθ' ὑπὸ τοῦ πρὸς Μεσσηνίους πολέμου εἴτε καὶ τὴν πανσέληνον μένοντες, οὐδὲ αὐτοὶ βοηθεῖν εἶχον. ὁ δὲ στρατὸς ἦν καὶ δὴ Μαραθῶνι κατηρκὼς ἐξ Ἐρετρίας ὡς ἐπὶ τοῖς ἴσοις. οὐ διακόνων ἐκεῖνος ὁ καιρὸς ἦν, οὐδ' ὑφειμένων ἀνθρώπων, οὐδ' ἐκ πολλοῦ τὸ κελευόμενον ποιεῖν εἰδότων, οὐδ' εἰς τὸ δοκοῦν ἑτέροις βλεπόντων, οὐδ' ὅπως ἀσφαλῶς*

---

*Μιλησίων, διὰ μάχης μὲν ἀπικέατο Ἁρπάγῳ, καθάπερ οἱ ἐκλιπόντες, καὶ ἄνδρες ἐγένοντο ἀγαθοὶ, περὶ τῆς ἑωϋτοῦ ἕκαστος μαχόμενοι· ἑσσωθέντες δὲ καὶ ἁλόντες, ἔμενον κατὰ χώραν ἕκαστος, καὶ τὰ ἐπιτασσόμενα ἐπιτέλεον.* Iebb. 3 *δ' Εὐβοέων χεῖρας*] *δὲ σὺν εὐβοεῦσι* correctus N. *τριῶν ἡμερῶν*] Scribit tamen Herodotus in Erat. p. 232. Eretrienses per sex dies contra Persarum copias acri pugna dimicasse, septimo autem urbem hostibus fuisse proditam. Haec autem omnia a Platone desumpsit noster, cuius verba in Menexeno p. 239. seq. hic libet apponere. Virtutem Graecorum, qui victoria potiti essent Marathonia, commendaturus inquit, *Δεῖ δὴ αὐτὴν ἰδεῖν, εἰ μέλλει τις καλῶς ἐπαινεῖν ἐν ἐκείνῳ τῷ χρόνῳ γενόμενον λόγῳ, ὅτε πᾶσα μὲν ἡ Ἀσία ἐδούλευε τρίτῳ ἤδη βασιλεῖ· ὧν ὁ μὲν πρῶτος Κῦρος, ἐλευθερώσας Πέρσας τοὺς αὑτοῦ πολίτας τῷ αὑτοῦ φρονήματι, ἅμα καὶ τοὺς δεσπότας Μήδους ἐδουλώσατο, καὶ τῆς ἄλλης Ἀσίας μέχρις Αἰγύπτου ἦρξεν. ὁ δὲ υἱὸς αὐτοῦ, Αἰγύπτου τε καὶ Λιβύης ὅσον οἷόν τε ἦν ἐπιβαίνειν. τρίτος δὲ, Δαρεῖος, πεζῇ μὲν μέχρι Σκυθῶν τὴν ἀρχὴν ὡρίσατο, ναυσὶ δὲ τῆς τε θαλάττης ἐκράτησε καὶ τῶν νήσων· ὥστε μηδὲ ἀξιοῦν ἀντίπαλον αὐτῷ μηδένα εἶναι.* Et mox, *ὁ δὲ* (Datis scilicet, praefectus copiarum Darii) *πλεύσας εἰς Ἐρέτριαν ἐπ' ἄνδρας, οἳ τῶν τότε Ἑλλήνων ἐν τοῖς εὐδοκιμωτάτοις ἦσαν τὰ πρὸς πόλεμον, καὶ οὐκ ὀλίγοι, τούτους ἐχειρώσατο μὲν ἐν τρισὶν ἡμέραις.* Iebb. 4 *πανοικησίᾳ*] Vulgo *πανοικεσία*. 6 *ὕστεροι*] *ὕστερον* E. *Λακεδαιμόνιοι*] Confer Herodot. in Erat. p. 233. Iebb. *εἴθ'* N. Vulgo *εἴτε*. *πρὸς μεσσηνίους* ΘLN. Legebatur *πρὸς τοὺς Μεσσηνίους*. *ὁ δὲ στρατὸς*] Plato, ubi supra, in Menex. p. 240. *τῇ δ' αὐτῇ διανοίᾳ κατηγάγοντο ἐξ Ἐρετρίας εἰς Μαραθῶνα, ὡς ἕτοιμον σφίσιν ὄν, καὶ Ἀθηναίους ἐν τῇ αὐτῇ ταύτῃ ἀνάγκῃ ζεύξαντας Ἐρετριεῦσιν, ἄγειν.* Iebb. 8 Exercitus Persarum iam ex Eretria Marathonem appulerat, pariter et hic sibi sperans secundam, ut ibi, fortunam. aut, quasi res ipsis hic aeque prospere essent successurae atque ibi successerunt. Reisk. 9 *οὐδ' εἰς* LN. Vulgo *οὐδὲ εἰς*.

Digitized by Google

βιώσονται ζητούντων, οὐδὲ τοῦθ᾿ ἡγουμένων ἄρχειν, ἀλλ᾿
ἐκεῖνος ὁ καιρὸς ὥσπερ κῆρυξ ἐκάλει τῶν Ἑλλήνων τὸν
ἀνδρειότατον καὶ τὸν ἐκ πλείστου τοῖς ἀρίστοις λογισμοῖς
ὡμιληκότα, καὶ ὅστις οἶδεν ὅπως δεῖ σῴζειν τε καὶ σῴζε-
σθαι. οὐδ᾿ ἡμεῖς τῶν ἀνδρῶν ἐκείνων τοῦτο ἐπαινοῦμεν,
λέγω τῶν ἐν ἐκείνοις τοῖς χρόνοις προστάντων, ὅτι τὴν
Ἑλλάδα ἔσωζον ὁπωσοῦν, ὥσπερ ὃν σὺ λέγεις τὸν κυβερ-
νήτην τὸν ἐξ Αἰγίνης ἢ τοῦ Πόντου κομίζοντα· ἀλλ᾿ ὅτι
ἔσωζον καὶ πολίτας καὶ πάντας σὺν καλῷ τῷ σχήματι. εἰ
μὲν γὰρ τὰ ὅπλα παραδόντας ἢ τοῖς κήρυξιν ὁμολογήσαν-
τας, ἢ τὸν Περσῶν βασιλέα δεσπότην ἀντὶ τῶν νόμων
ἑλομένους ἠξίουν σῴζεσθαι, οὐκ ἂν ἔγωγε συγχαίρειν
ᾤμην δεῖν οὔτε τοῖς πείθουσι τῶν λόγων οὔτε τοῖς πει-
σθεῖσι τῆς σωτηρίας, ἀλλ᾿ ὡς ἀληθῶς διακόνους ἂν ἐκεί-
νους εἶχον καλεῖν, καὶ τοῦ πρὸς ἡμέραν ὑπηρέτας ὥσπερ (281)
τοὺς πορθμέας, οὐ μόνον, εἰ βούλει, τοὺς κυβερνήτας. εἰ
δ᾿ ἀπ᾿ αὐτῶν τῶν κηρύκων ἀρξάμενοι καὶ τῆς ἀποκρίσεως
70 προηγόρευον Ἀθηναίοις ὅτι δεῖ μελετᾶν τὸν ὑπὲρ τῆς τῶν
Ἑλλήνων ἐλευθερίας ἀγῶνα καὶ μὴ λιπεῖν τὴν τοῦ φρο-
νήματος τάξιν, καὶ οὐ τὰ ὅπλα ῥίψαντας οὐδὲ τοῖς φόβοις
εἴξαντας, ἀλλ᾿ ἀναλαβόντας τὰ ὅπλα καὶ τῶν φόβων
κρείττους γενομένους, μᾶλλον δ᾿ ἕνα τοῦτον φόβον καὶ
δεινὸν καὶ ἀφόρητον νομίσαντας εἶξαι τοῖς χείροσι καὶ
παραχωρῆσαι τοῦ πατρίου σχήματος, εἰ ταῦτα λέγοντας

---

13 *ἐν ἐκείνοις*] *ἐν* om. L. 14 *ὃν σὺ λέγεις*] In Gorgia p. 511 d. 16 *γὰρ τὰ* ΘELN. Legebatur *γὰρ ἢ τά.* 18 *ἀλλ᾿ ὡς*] *ἀλλὰ ὡς Θ.* 20 *εἰ δ᾿*] *οἱ δ᾿* E. *ἀπ᾿ αὐτῶν τῶν κηρύκων*] Priusquam exercitum in Graeciam traiecisset Darius, feciales in omnem civitatem misit, qui aquam et terram peterent. Hos in barathrum coniecerunt Athenienses, et aliis dederunt in mandatis ut responsa Regi referrent; ipsum etiam literarum interpretem interfecerunt, quia voce quidem barbaris inserviisset. Confer Aristidem nostrum in Panath. p. 121. seq. Iebb.

170, 1 *Ἀθηναίοις*] *ἀθηναῖοι* ΘE. 2 Post *ῥίψαντας* videtur aliquid deesse, v. c. *φεύγειν* vel *ὑπείκειν*. Reisk. 3 *ἕνα τοῦτον*] *ἕνα τούτου* E. 4 *εἰ ταῦτα λέγοντες* (sic enim leg. in nominativo) *καὶ οὕτω παρεσκευασμένους ἠξίουν*] Haec verba sunt tantummodo recapessendae orationis caussa interiecta, ne lector filum amitteret. detractis enim illis orationi nihil ad integritatem deerit. Reisk.



Digitized by Google

καὶ οὕτω παρεσκευασμένους ἠξίουν ἀπαντᾶν ἐπὶ τὴν κρίσιν τὴν περὶ τῶν ὅλων καὶ δέχεσθαι τὸ ἐκβησόμενον ὡς ἐπ' ἀμφότερα ὁμοίως κερδανοῦντας, οὐχ ὁρῶ τίνα ταῦτ' ἔχει διακονίαν ἀγεννῆ ἢ πῶς ἔοικε τοῖς τοῦ κυβερνήτου λογισμοῖς. ἀλλ' εἰ μὲν τοῦτο λέγεις ὡς τὸν αὐτὸν τρόπον ὥσπερ ἐν νηὶ μέγιστον ὁ κυβερνήτης καὶ πρὸς τοῦτον ἅπαντα καὶ τὰ τῶν ναυτῶν καὶ τὰ τῶν ἐμπλεόντων, οὕτω καὶ τότ' εἰς ἐκείνους ἧκε τὰ τῶν Ἑλλήνων πράγματα καὶ ὑπὸ τῆς ἐκείνων γνώμης ἤγετο, εἰ τοῦτο λέγεις καὶ ὅσον παραδείγματι χρῇ τῷ κυβερνήτῃ, ὥσπερ Ὅμηρος τοῖς λέουσι καὶ τοῖς κάπροις καὶ πολλοῖς τοῖς ἄλλοις οὐκ εἰσάπαξ εἰκάζων, ἀλλ' εἰς ὅσον προσήκει τῷ λόγῳ, εἰ κατὰ τοῦτο τὸ μέρος καὶ σὺ μέμνησαι τοῦ κυβερνήτου, δίδωμι καὶ συγχωρῶ· εἰ δ' ἐπὶ πᾶσι τοῖς αὐτοῖς καταχρῇ τῷ λόγῳ καὶ ταὐτὸ δίκαιον ἐπ' ἀμφοτέροις τάττεις, οὐκ οἶδα ὅστις ταῦτα ἀποδέξεται, οἶμαι δὲ οὐδὲ αὐτὸς σὺ σαυτοῦ. δύο, φῄς, ὀβολοὺς λαβὼν ἢ δραχμὰς ὁ κυβερνήτης ἀπήλλακται. ἀλλ' οὐ Μιλτιάδης δυοῖν ὀβολοῖν οὐδὲ δραχμαῖν, οἶμαι δὲ οὐδὲ πολλῶν χρημάτων ἐν Ἀθηναίοις ταῦτα ἐπολιτεύετο, μᾶλλον δ', εἰ χρὴ τἀληθὲς εἰπεῖν, ἐν ἅπασι τοῖς Ἕλλησιν, ἀλλ' ἄμισθον τὴν ἀρετὴν εἰς τὸ μέσον παρείχετο τῇ Ἑλλάδι, ὥσπερ σὺ φῂς τὸν Σωκράτη τοῖς νέοις. οὐδὲν βελτίους ὁ κυβερνήτης ποιεῖ τότε τοὺς ἐμβάντας εἰς τὴν ναῦν. ὑπερεὖ γε, ὦ Πλάτων, καίτοι καὶ ὁ κυβερνήτης ἴσως βελτίους τοὺς ναύτας τά γε ναυτικὰ ποιεῖ. ἀλλ' ἐῶ τοῦτο. ἔστω μηδένα μηδὲν ὁ κυβερνήτης βελτίω ποιῶν, ἀλλὰ Μιλτιάδης καὶ πρὶν εἰς τὸν κίνδυνον ἐμβαίνειν ἅπαντας

---

5 παρασκευασμένους L. 6 ἐπ' ἀμφότερα] Sive vincant, sive occumbant. Reisk. 7 ἀλλ' εἰ] ἀλλὰ εἰ Θ. 8 ἅπαντα] Subaudi ὁρᾷ vel ἥκει e versu proximo. quia tamen posteriore loco ἥκε cum εἰς construit et priore construxisse cum πρὸς in tanta vicinitate vix videtur, malim ex ἅπαντα facere ἀπαντᾷ. πρὸς τοῦτον ἀπαντᾷ καὶ τὰ τῶν ναυτῶν. *ad eum redeunt et res nautarum et vectorum.* Reisk. 10 χρῇ LN, Canterus, Reiskius. Vulgo χρή. ὥσπερ] καὶ ὥσπερ ELN. 11 οὐκ εἰσάπαξ ΘELN. Legebatur καθάπαξ. 17 Σωκράτη] σωκράτην LN. 18 τότε τοὺς ἐμβάντας L. Aberat τούς. τότε in τοὺς mutabat Reiskius. 19 ποιεῖ τοὺς ναύτας τά γε ναυτικὰ N. ποιεῖ om. E. 20 ἐμβαίνειν ΘLN, Canterus. Legebatur ἐκβαίνειν.

ἤσκει πρὸς τὸ βέλτιστον, καὶ ἰδιώτας ἐξαγαγὼν ὡς εἰπεῖν
171 ἐπανήγαγε νικηφόρους. μὴ τοίνυν κατὰ τὸν κυβερνήτην (283)
θῇς αὐτὸν, ὦ χρηστὲ, τὸν εἰς τὴν Ὀλυμπίαν κομίζοντα, ἀλλὰ μᾶλλον φῶμεν αὐτὸν ἐοικέναι τῷ γυμναστῇ, ὃς πάλαι παρασκευάσας ἐκεῖσε τὸν ἀθλητὴν, εἶτα ἐξαγαγὼν νικῶντα ἐπανήγαγεν. εἰ δὲ δὴ προσίεται τούτῳ τὸ καὶ αὐτὸν ἀνῃρῆσθαι τὰ πρῶτα τῆς ἀγωνίας ἐπὶ τῆς αὐτῆς Ὀλυμπιάδος, Ἡράκλεις, τίς ἂν διακονίαν τοῦ τοιούτου κατηγοροίη, ἢ τίς οὐκ ἂν τῶν στεφάνων συνήδοιτο; οὐκ ἔνι τῷ κυβερνήτῃ πρὸς οὐδένα τῶν ἐμπλεόντων εἰπεῖν ὅτι χρὴ τοῦ θανάτου καταφρονῆσαι, οὐδ' ὅτι ἐξεπίτηδες αὐτὸν εἰς τὴν θάλατταν ῥῖψαι, ἀλλ' ὅσον τῶν σκευῶν ἐκβαλεῖν, καὶ ταῦτα ὑπὲρ σωτηρίας τῶν σωμάτων, ἄχρι τούτου κελεύειν ὁ κυβερνήτης κύριος. τὸ δὲ σύμπαν σώζειν προείρηται παρὰ τῆς τέχνης αὐτῷ καὶ μὴ πολυπραγμονεῖν. ἀλλ' οὐκ ἐν τοῖς Μιλτιάδου λόγοις ταῦτ' ἐνῆν ἐκ παντὸς τρόπου σώζεσθαι, καὶ οὐδὲ τὰ ὅπλα, ἂν οὕτω τύχῃ, ῥίψαντας ὑπὲρ τούτου. πόθεν; ἀλλ' αὐτὸ τοὐναντίον, μὴ ζητεῖν ἐκ παντὸς τρόπου σωθῆναι, ἀλλ' εἰ καὶ τεθνάναι δέοι, τολμᾶν ὑπὲρ πατρίδος καὶ ἱερῶν καὶ τά-
φων καὶ πολιτείας· ὁρᾷς ὅσῳ καὶ τὸν κυβερνήτην παρελή- (284)
λυθε. καὶ γάρ τοι ὅσοι μὲν τοῦτ' ἐπείσθησαν αὐτῷ, σεμνοὶ σεμνῶς κεῖνται, κάλλιστα δὴ πάντων Ἑλλήνων καταλύσαντες τὸν αἰῶνα, μνημεῖον τῆς ἀρετῆς τὸν τάφον κεκτημένοι καὶ ὑπὸ γῆς ὄντες τὴν γῆν φυλάττοντες αὐτὴν, ἀλλ' οὐχ ὑπ' αὐτῆς ἐχόμενοι, τῆς Ἡσιόδου προσρήσεως ἐγγύτατα ἥκοντες μετέχειν, ἣν ἐκεῖνος εἰς τὴν τελευτὴν τοῦ

171, 3 τὰ πρῶτα] Fort. τὰ πρωτεῖα. Reisk. 6 αὐτὸν] Vulgo αὐτόν. θάλατταν] θάλασσαν Θ. 8 προείρηται] προ(ει)ήρηται L. προήρηται ΘΝ. καὶ μὴ πολυπραγμονεῖν] Verba haec omissa sunt in Latinis Canteri, ut alia alias. Sententia est: universe ars ipsi imperavit ante alia omnia unum hoc spectare et in hoc uno maxime elaborare, ut navem et vectores servet, ceterorum nihil ad se putet pertinere, neque rebus alienis sese immisceat, aut imperium in alios sibi arroget. Reisk. 9 καὶ οὐδὲ] οὐδὲ καὶ correctus N. 11 ὅσῳ] ὅσον N. 15 Ἡσιόδου] Ἔργ. v. 121. προσρήσεως] προρρήσεως N.

χρυσοῦ γένους ἐποίησεν εἰπὼν

Οἱ μὲν δαίμονες ἁγνοὶ ὑποχθόνιοι καλέονται,
ἐσθλοὶ, ἀλεξίκακοι, φύλακες θνητῶν ἀνθρώπων.

κἀκείνους πλὴν ὅσον οὐ δαίμονας, ἀλλὰ δαιμονίους καλῶν, θαρρούντως ἂν ἔχοις λέγειν, ὑποχθονίους τινὰς φύλακας καὶ σωτῆρας τῶν Ἑλλήνων, ἀλεξικάκους καὶ πάντα

172 ἀγαθοὺς, καὶ ῥύεσθαί γε τὴν χώραν οὐ χεῖρον ἢ τὸν ἐν Κολωνῷ κείμενον Οἰδίπουν, ἢ εἴ τις ἄλλοθί που τῆς χώρας ἐν καιρῷ τοῖς ζῶσι κεῖσθαι πεπίστευται. καὶ τοσούτῳ γέ μοι δοκοῦσι τὸν Σόλωνα παρελθεῖν τὸν ἀρχηγέτην ὥσθ᾽ ὁ μὲν ἐν τῇ Σαλαμῖνι σπαρεὶς φυλάττειν τὴν νῆσον Ἀθηναίοις δοκεῖ, οἱ δὲ ὑπὲρ ἧς ἐτάχθησαν πεσόντες διε- (285)
τήρησαν ἅπασαν τὴν Ἀττικὴν, μᾶλλον δὲ καὶ τὴν ἄλλην Ἑλλάδα πᾶσαν, οὐ μόνον οἷς αὐτοὶ παρέσχοντο οὐδ᾽ οἷς ἐκώλυσαν τοὺς ἐπελθόντας, ἀλλ᾽ ὅτι καὶ τοῖς ὕστερον κατέδειξαν ὁποίους τινὰς εἶναι δεῖ καιρῶν ὁμοίων ἐπιστάντων. ἀλλὰ μὴν ὅτε καὶ τοῖς τελευτήσασιν αὐτῶν οὐ χαμᾶζε ἔπεσε τὸ κέρδος, ἀλλ᾽ ἀπέλαυσαν τῆς διανοίας καὶ αὐτοὶ τῆς ἑαυτῶν καὶ οἱ ἄλλοι πάντες τῆς ἐκείνων, πόσον τι τοῖς γε ζῶσι καὶ κρατήσασι περιεγένετο; οἶμαι δ᾽ ἔγωγε καὶ τὸν Ἡρακλέα καὶ τὸν Πᾶνα καὶ τοὺς ἐπὶ τὴν μάχην ἀπαντήσαντας καὶ συστρατηγήσαντας Μιλτιάδῃ μάρτυρας ἀξιόχρεως τῆς ἀνδρείας τῆς ἐκείνου πρὸς ἅπαντας ἀνθρώπους εἶναι καὶ φέρειν οὐκ ἔλαττω τοῦτο Μιλτιάδῃ φιλοτι-

---

19 ῥύεσθαί τε E. οὐ χεῖρον] οὐχ ἧττον E.

172, 1 ἐν Κολωνῷ] Ubi situm esse Oedipum docet Sophocles. Haec autem finxisse poetam discere est ex iis, quae scribit Pausanias in Attic. p. 52. Ἔστι δὲ ἐντὸς τοῦ περιβόλου (Areopagi scilicet) μνῆμα Οἰδίποδος. πολυπραγμονῶν δὲ εὕρισκον τὰ ὀστᾶ ἐκ Θηβῶν κομισθέντα· τὰ γὰρ ἐς τὸν θάνατον Σοφοκλεῖ πεποιημένα τὸν Οἰδίποδος Ὅμηρος οὐκ εἴα μοι δόξαι πιστὰ, ὅς ἔφη Μηκιστέα, τελευτήσαντος Οἰδίποδος, ἐπιτάφιον ἐλθόντα ἐς Θήβας ἀγωνίσασθαι. Iebb. ἐν καιρῷ] ἐγκαίρως superscriptum in N. 2 πεπίστευται] πιστεύεται L. τοσούτῳ] τοσοῦτο N. ὥσθ᾽ ὁ μὲν] Vide Plutarchum in vita Solonis p. 150 seq. Iebb. 6 ὅτε καὶ] ὅτι καὶ E. 7 χαμᾶζε] Vulgo χαμάζε. ἀπέλαυσαν] ἀπήλαυσαν L. 8 ἄλλοι om. Θ. περιεγένετο] περιεγένοντο L. 10 ἀνδρείας ΘN. Vulgo ἀνδρίας.

173 μίαν εἰς ἅπασαν τὴν πολιτείαν ἢ Πινδάρῳ φασὶν εἰς τὴν μουσικὴν τὸ τὸν αὐτὸν τοῦτον θεὸν ὀρχήσασθαί τι τῶν ᾀσμάτων αὐτῷ. καὶ μὴν τεχνικόν γε εἶναι περὶ λόγους Πᾶνα τὸν Ἑρμοῦ Πλάτωνος ἡ φωνή· ἀλλαχοῦ δὲ καὶ λόγον αὐτὸν εἶναι λέγει, ἤτοι λόγου γε ἀδελφόν. φαίνεται τοίνυν οὗτος οὕτως αὐτῷ χαίρων τῷ Μιλτιάδῃ, οὐκ ἄν, εἴ γε (286) ἑώρα φαῦλον περὶ τοὺς λόγους ὄντα. οὐκοῦν πάνθ᾽ ἅμα μαρτυρεῖ καὶ τὴν ῥητορικὴν τέχνην, ἀλλὰ μὴ ἄτεχνον τριβὴν εἶναι, καὶ τὸν Μιλτιάδην καὶ τοῦ λέγειν τεχνίτην καὶ τὴν ἀνδρείαν ἐπὶ τῶν ἔργων τοῖς λόγοις παραπλήσιον. ἆρά γε ἢ πρὸς ἀνθρώπων ἢ πρὸς θεῶν βέλτιον περὶ Μιλτιάδου τι βλασφημεῖν; ἄτοπον δ᾽ ἄν τις ἡγήσαιτο Ἀθηναίους μὲν ἐκ τούτων τῶν ἔργων ἱδρύσασθαι τῷ Πανὶ τὸν νεών, οὐ πρότερον συννοήσαντας, Πλάτωνα δὲ τῶν

173, 1 φασὶν] φησὶν ΘEL. 2 Πλάτωνος] In Phaedro p. 263 d. ἀλλαχοῦ] Allúdit ad Platonis verba in Cratylo p. 408. Tom. I. ubi Socratem et Hermogenem sic mutuo conloquentes inducit: ΣΩ. Καὶ τό γε τὸν Πᾶνα τοῦ Ἑρμοῦ εἶναι υἱὸν διφυῆ, ἔχει τὸ εἰκὸς, ὦ ἑταῖρε. ἙΡΜ. πῶς δή; ΣΩ. Οἶσθα ὅτι ὁ λόγος τὸ πᾶν σημαίνει, καὶ κυκλεῖ, καὶ πολεῖ ἀεί. Iebb. 3 λόγου γε N. Legebatur λόγον δὲ. οὗτος οὕτως] οὗτος delendum ut natum e proximo οὕτως. sed αὐτῷ etiam ilia trahit, nervos habiturum si sic enunciasset φαίνεται τοίνυν οὗτος τοιοῦτος ὢν ὡς ἑτέρῳ τοιούτῳ ὄντι καὶ αὐτῷ χαίρων Μιλτιάδῃ. Reisk. 4 οὐκ ἂν] Scil. χρησόμενος. v. pag. 57. Animadv. ad Dion. Chrysost. Reisk. ἑώρα] ἠώρα E. 6 ἀνδρείαν Θ. Vulgo ἀνδρίαν. 7 ἢ πρὸς θεῶν ἢ πρὸς ἀνθρώπων L. βέλτιον hic est, ut alias ἄμεινον, nihilo plus quam ἀγαθόν. Reisk. 8 ἡγήσαιτο] ἡγήσατο ΘN. τῶν ἔργων] τῶν om. L. ἱδρύσασθαι τῷ Πανὶ τὸν νεών] Pausan. in Attic. pag. 51. seq. περὶ δὲ τοῦ Πανὸς φασὶν ὡς πεμφθείη Φιλιππίδης ἐς Λακεδαίμονα ἄγγελος ἀποβεβηκότων Μήδων ἐς τὴν γῆν· ἐπανήκων δὲ Λακεδαιμονίους ὑπερβαλέσθαι φαίη τὴν ἔξοδον, εἶναι γὰρ δὴ νόμον αὐτοῖς μὴ πρότερον μαχουμένους ἐξιέναι πρὶν ἢ πλήρη τὸν κύκλον τῆς σελήνης γενέσθαι. τὸν δὲ Πᾶνα ὁ Φιλιππίδης ἔλεγε, περὶ τὸ ὄρος ἐντυχόντα οἱ τὸ Παρθένιον, φάναι τε ὡς εὔνους Ἀθηναίοις εἴη, καὶ ὅτι ἐς Μαραθῶνα ἥξοι συμμαχήσων. οὗτος μὲν οὖν ὁ θεὸς ἐπὶ τάύτῃ τῇ ἀγγελίᾳ τετίμηται. Panis templum sub arce erat extructum, et annuae hostiae ab hoc usque tempore ad illius aram immolatae, et supplicationes ardenti lampade factae. Herodot. in Erat. pag. 233. Quem vero Pausanias, et cum eo Corn. Nep. in Miltiade et Plinius, vocat Philippidem, hunc Phidippidem, Φειδιππίδην, nominat Herodotus. Et recte qui-

Digitized by Google

ἔργων τούτων ὑπαρχόντων περὶ Μιλτιάδου τολμᾶν τὰ χείρω λέγειν καὶ τοσοῦτον ἀπέχειν τοῦ τιμᾶν ὥστε καὶ τὴν ὑπάρχουσαν αὐτῷ δικαίως τιμὴν τὸ καθ' αὑτὸν ἀποστερεῖν· ὅστις καὶ δέκατος αὐτὸς στρατηγήσας μόνος ὡς εἰπεῖν ὀνομάζεται, καὶ ταῦτα Ἀριστείδου τοῦ Λυσιμάχου παρόντος, ὃν οὐδὲ Πλάτων αἰτιάσασθαι μόνον τῶν πάντων ἠξίωσεν, ἀλλ' ᾐσχύνθη. ἀλλ' ὅμως ἐκεῖνος Πλαταιᾶσι μὲν ἐκφανὴς ἦν μετὰ Παυσανίου στρατηγῶν, Μαραθῶνι δὲ ἐκρύπτετο ὑπὸ τῷ Μιλτιάδῃ καὶ οὐκ ἠμφισβήτει τῶν ἴσων, δίκαιος ὤν, ὡς σὺ φῄς, καὶ ταῦτα ἀμέλει δίκαια ποιῶν. καὶ γὰρ ὁ τὴν μάχην γενέσθαι σπεύσας καὶ οὐ περιιδὼν (287 διαφθαρέντα τὰ πράγματα ἐν τῇ τριβῇ καὶ ὁ πάντα εἰς ἑαυτὸν ἀναδεξάμενος καὶ δείξας ὃ σὺ χρησμῳδεῖς, οὐκ ἐν ἄλλοις εἰκὸς ἔχειν τὰς ἐλπίδας, ὧν ἢ εὖ ἢ κακῶς πραξάντων ἀνάγκη πλανᾶσθαι καὶ αὐτὸν καὶ τὰ αὑτοῦ τινός, ἀλλ' αὐτὸν ἐν αὑτῷ, τόν γε δὴ σώφρονα καὶ τὸν ἀνδρεῖον καὶ φρόνιμον, Μιλτιάδης εἷς ἀνήρ ἐστιν, οὐκ ἄλλος οὐ-
174 δείς. διὸ δὴ καὶ προὐκρίθη μόνος ἐξ ἁπάντων, ὥς φασι, τὴν χεῖρα ἐκτεταχὼς γραφῆναι, ὡς τότε ἔτυχε τοῖς στρατιώταις παρακελευόμενος. οὕτως ἐκεῖνός γε οὐ μόνον ἐν πνυκὶ [τῇ ἐκκλησίᾳ], ἀλλὰ καὶ Μαραθῶνι ῥήτωρ χρηστὸς ἦν καὶ τὸ τῶν λόγων ἀγαθὸν παρείχετο σῶν πανταχοῦ.

---

dem pro Salmasii sententia, qui in Notis ad laudatum Corn. Nep. locum *Phidippidem* reponendum esse docet. Iebb. 10 τοσοῦτον] τοσοῦτο Θ. τοσούτῳ EN. 12 μόνος, ὡς εἰπεῖν, ὀνομάζεται] Corn. Nep. in Miltiade cap. 6. *Namque huic Miltiadi, qui Athenas totamque Graeciam liberavit, talis honos tributus est in porticu, quae Poecile vocatur, quum pugna depingeretur Marathonia, ut in decem Praetorum numero prima eius imago poneretur, isque hortaretur milites, proeliumque committeret.* Videatur Pausan. in Attic. pag. 28. Iebb. καὶ ταῦτα Ἀριστείδου] Consulatur Plutarchus in vita Aristidis pag. 588. seq. Iebb. 14 πλαταιᾶσι L. Vulgo Πλαταιάσι. ἐκφανὴς] ἐμφανὴς ΘL. 16 δίκαια ποιῶν] οὐ δίκαια ποιῶν E. σπεύσας] σπουδάσας E. 18 ὃ σὺ χρησμῳδεῖς] In Menexeno sub finem. Canter. οὐκ] ὡς οὐκ N. Fort. εἰκὸς εἶναι ἔχειν. aut alias εἰκὸς erit delendum. Reisk. 19 αὑτῷ N. Vulgo αὐτῷ. ἑαυτῷ correctus N.

174, 2 πνυκὶ] Nisi πυκνὶ scripsit et πύκνα p. 182, 7. Seclusi τῇ (καὶ τῇ N) ἐκκλησίᾳ. 3 καὶ Μαραθῶνι] καὶ om. N.

Digitized by Google

*ἔπειτ᾽ Ἀθηναῖοι μὲν καὶ τοὺς πεσόντας τόθ᾽ αὐτῶν ἔθαψαν ἐν αὐτῷ τῷ χωρίῳ καὶ οὐκ ἀνέμιξαν τοῖς ἄλλοις τοῖς ἐν τοῖς δημοσίοις μνήμασι κειμένοις, ἀλλ᾽ ἀξιοῦντες κρείττους ἢ κατὰ τοὺς ἄλλους εἶναι τὴν ἀρετὴν ἰδίας καὶ τῆς τιμῆς ἠξίωσαν· σὺ δὲ τὸν τούτων ἡγούμενον καὶ τὸν ἅπασι τοῖς Ἕλλησι τῶν ἀναγκαιοτάτων ἅμα καὶ τῶν καλλίστων κατάρξαντα, σωτηρίας, ἐλευθερίας, εὐκλείας, οὐκ* (288) *ᾐσχύνθης τιθεὶς μετὰ τῶν ὀψοποιῶν, καὶ τοῖς ἐσχάτοις ὀνείδεσι δουλείας εἰ μὴ περιβαλεῖς, οὐκ ἀρκεῖν ἀξιῶν. τί λέγεις; δοῦλος Μιλτιάδης, δι᾽ ὃν οὐκ ἐδούλευσεν ἡ Ἑλλάς; καὶ διακονῶν Ἀθηναίοις διεγένετο, δι᾽ ὃν οὐ διηκόνησαν Ἀθηναῖοι Πέρσαις τὰ αἴσχιστα καὶ δι᾽ ὃν οὐκ ἠδυνήθη Δᾶτις τῷ βασιλεῖ διακονῆσαι τὰ ἐπεσταλμένα; καὶ τῆς περὶ τὴν κομμωτικὴν συμμορίας ἀπογράψομεν ἄνδρα οὕτως αὐχμῶντα καὶ κεκονιμένον κάλλιον ἢ τῶν παλαισάντων καὶ τῶν γυμναστικῶν ὁστισοῦν; πολλὴν μέντἂν ὄφλοιμεν τὴν ἀλογίαν.*

*Σκέψαι δὴ καὶ τοὐνθ᾽ ὁπόσον τι τῆς ἐκείνου σωφροσύνης τεκμήριον, καὶ ὅτι εἰ χρυσῆν ἐτύγχανεν ἔχων τὴν ψυχήν, οὐκ ἂν αὐτῇ καλλίω βάσανον προσήνεγκεν. ἐκεῖνος γὰρ τοσοῦτον ἔργον ἐξεργασάμενος καὶ τοῖς Ἕλλησιν αἰτιώτατος τῆς ἐλευθερίας γενόμενος καὶ μονονοὺ κρείττων ἢ κατ᾽ ἄνθρωπον νομισθείς, οὐκ ἔπαθε ταὐτὸν Παυσανίᾳ τῷ τὴν Πλαταιᾶσι μάχην κατορθώσαντι, οὐδ᾽ ἐπήρθη τοῖς πεπραγμένοις, οὐδ᾽ ἐξύβρισεν, οὐδ᾽ ἐφρόνησε μεῖζον οὐδὲν ἢ πρὸ τῆς μάχης. οὕτως εὔτακτος καὶ κόσμιος ἦν* (289) *διὰ τέλους. καίτοι Παυσανίας μὲν οὔτε πρῶτος δή που τοὺς βαρβάρους ἐνενικήκει, ἀλλ᾽ εἰς παράδειγμα βλέπων*

---

4 *τόθ᾽ αὐτῶν* L. Vulgo *τόθ᾽ ἑαυτῶν*. 7 *τὸν ἅπασι*] *τῶν ἅπασι* N. 11 *Δᾶτις* LN. Vulgo *Δάτις*. 12 *περὶ τὴν*] *περὶ τὸν* N apud Iebbium. *κομμωτικὴν* Canterus. Legebatur *κομμώτην*. *ἀπογράψομεν* LN. Legebatur *ἀπογράψωμεν*. 13 *παλαισάντων*] *παλαιστῶν* N. 14 *τοὐνθ᾽* N. Vulgo *τοῦτο*. 18 *Πλαταιᾶσι*] Vulgo *Πλαταιάσι*. 19 *οὐδ᾽ ἐφρόνησε μεῖζον οὐδὲν*] Quod quidem post pugnam ad Plataeas fecerat Pausanias. Corn. Nep. in vita Pausan. cap. 1. *Victoria elatus plurima miscere coepit, et maiora concupiscere.* Confer Aristot. Polit. lib. 5. cap. 7. Iebb. *μεῖζον*] *μέγα* E. 20 *πρῶτος*] *πρῶτον* N.

175 τὴν Μαραθῶνι μάχην ἠγωνίζετο, οὔτε μόνους Λακεδαιμονίους ἔχων, ὥσπερ Μιλτιάδης Ἀθηναίους, ἀλλὰ καὶ αὐτῶν τῶν Ἀθηναίων παρόντων καὶ τῶν ἄλλων Ἑλλήνων, οἷς ταῦτα ἤρεσκε· καὶ σχεδὸν τῶν γε Ἀθηναίων κἀκεῖ τὰ πλεῖστα συνεπεξεργασαμένων λέγονταί γε καὶ τὴν ἵππον τῶν βαρβάρων διαφθεῖραι καὶ τῶν Ἑλλήνων τῶν ἀντιτεταγμένων κρατῆσαι, καὶ τά γε τῆς τειχομαχίας ἐπ' ἐκείνους παντελῶς ἐλθεῖν. ἀλλ' ὁ Μιλτιάδης οὐκ ἀνέμεινε τοὺς Λακεδαιμονίους τότε οὐδ' ἄλλους ἀνθρώπους οὐδένας, οὐδ' ἐκοίνωσε τὸ ἔργον, ἀλλὰ τοὺς ἀπὸ τῆς πόλεως ἔχων, ὅτι μὴ Πλαταιέων φασί τινας προσδραμεῖν, τὸν μὲν κίνδυνον αὐτοῦ, τὴν δ' ὠφέλειαν κοινὴν ἐποιήσατο ἁπάντων, πρῶτος καὶ μόνος τῶν Ἑλλήνων νικήσας ἓξ καὶ τετταράκοντα ἔθνη τὰ σύμπαντα. ὥστ' ἐκεῖνον προσῆκεν ἐπιγράφειν ὅτι „στρατὸν ὤλεσε Μήδων." αὐτοῦ γὰρ ὡς εἰπεῖν ἦν τὸ ἔργον. καὶ τό γε τούτου πρότερον, τὸ „Ἑλλήνων ἀρχηγὸς" ἀκριβῶς ἥρμοττεν αὐτῷ· πᾶσι γὰρ αὐτὸς (290)
ἦρξε τῆς ἐλευθερίας. ἀλλ' ὅμως καὶ ταῦτα πράξας ἠπίστατο σωφρονεῖν καὶ οὐδεὶς αὐτοῦ κατηγόρησε τοιοῦτον οὐδὲν οἷα Παυσανίας πολλὰ κατηγορήθη. ἀλλὰ στάσεσι καὶ θορύβοις ἔχοιμεν ἂν εὑρεῖν αὐτὸν προσκείμενον, ὥσπερ Λύσανδρον τὸν ἐν Αἰγὸς ποταμοῖς τὰ θαυμαστὰ δὴ πρά-

---

175, 1 παράδειγμα] τὸ παράδειγμα LN. 9 τῶν Ἑλλήνων] Imo vero τῶν βαρβάρων. Reisk. τετταράκοντα] τεσσαράκοντα N. ὥστ' ἐκεῖνον] ὡς ἐκείνῳ γε N. ἐκεῖνον bene habet, quamquam neque ἐκείνῳ improbo. ἐκεῖνον ἐπιγράφειν ὅτι ὤλεσεν idem est atque ἐπιγράφειν ὅτι ἐκεῖνος ὤλεσε. Reisk. ὅτι στρατὸν] Fragmentum est epigrammatis, quod Pausanias tripodi Apollini dicato inscripsit. Cant. Epigramma hunc in modum recitat Thucydides lib. 1.

Ἑλλήνων ἀρχηγὸς, ἐπεὶ στρατὸν ὤλεσε Μήδων
Παυσανίας, Φοίβῳ μνῆμ' ἀνέθηκε τόδε.

Hos versus exsculpendos curarunt Lacedaemonii, et eorum loco ἐπέγραψαν ὀνομαστὶ τὰς πόλεις, ὅσαι συγκαθελοῦσαι τὸν βάρβαρον ἐστήσαντο ἀνάθημα, uti eodem inquit in loco Thucydides. Jebb.
11 αὐτῷ] αὐτῷ Θ. 14 ὥσπερ Λύσανδρον] Corn. Nep. in Lysandro cap. I. *Nam quum hanc causam Lacedaemonii dictitassent sibi esse belli, ut Atheniensium impotentem dominationem refringerent, postquam apud Argos flumen Lysander classis hostium est potitus, nihil aliud molitus est, quam ut omnes civitates in sua teneret potestate, quum id se Lacedaemoniorum causa facere simularet.* De victo-

ξαντα καὶ δόξαντα μὲν καθελεῖν τὸν πόλεμον τὸν πρὸς
Ἀθηναίους, τῇ δ' ἀληθείᾳ πολλῶν καὶ μεγάλων κακῶν
αὐτὸν τοῖς Ἕλλησιν ἄρξαντα. ἀλλὰ τοιοῦτον μὲν οὐδὲν
οὔτε πράξαντα οὔτε βουλεύσαντα Μιλτιάδην, ἡττηθέντα
δέ πως φιλοτιμίας καὶ τῷ τοὺς φίλους τοὺς ἑαυτοῦ συναύ-
ξειν ζητεῖν τὸ κοινῇ συμφέρον παρορῶντα ἐνίοτε, ὥσπερ
176 Ἀγησίλαον, ὃς φιλότιμος ὢν καὶ φιλέταιρος πέρα τοῦ με-
τρίου παραλαβὼν τὴν πόλιν τὴν Λακεδαιμονίων γῆς καὶ
θαλάττης ἄρχουσαν οὐ διεφύλαξεν ἐν τούτῳ τῷ σχήματι.
καὶ σκόπει παρ' οὕστινας αὐτὸν ἐξετάζω· Λυκοῦργον, Παυ-
σανίαν, Λύσανδρον, Ἀγησίλαον. ἀλλὰ ταῦτα μὲν οὐδ'
ἂν εἷς αἰτιάσαιτο· ἐκρατεῖτο δὲ ὑπὸ τῶν τοῦ σώματος
ἡδονῶν, ὥσπερ Θίβρωνα τὸν Σπαρτιάτην ἤδη τινὲς ᾐτιά- (291)
σαντο καὶ μυρίους ἑτέρους ἔστι λέγειν καὶ Ἑλλήνων καὶ
βαρβάρων. ἀλλ' οἷα δὴ τὰ τῆς δημοκρατίας ἐπιχώρια,

---

ria ad Aegos Potamos consulatur Xenoph. Hist. Graec. lib. 2. pag. 456. seq. Iebb. 16 κακῶν αὐτὸν] αὐτὸν κακῶν L. τοιοῦτον] τοιοῦτο Θ. 17 οὔτε πράξαντα] τυχὸν πράξαντα N. πράξαντα] Subaudi e versu 13. repetendum ἔχοιμεν ἂν εὑρεῖν aut εὑρίσκοιμεν ἄν. Reisk. βουλεύσαντα] Exquisitior ratio postulat βουλευσάμενον. verum iuniores Graeci βουλεύειν et βουλεύεσθαι haud raro commutant. Reisk. καὶ τῷ] καὶ τοῦ N.

176, 1 ὥσπερ Ἀγησίλαον] Confer Plutarchum, Corn. Nepotem, et Xenophontem, Vitae Agesilai scriptores. Iebb. φιλέταιρος N. Vulgo φιλεταῖρος. 2 τὴν Λακεδαιμονίων] τῶν Λακεδαιμονίων LN. 4 τῶν τοῦ ΘELN Opor. Aberat τῶν. 5 Θίβρωνα ΘELNS, scholiasta p. 570, 15. Legebatur Βρίθωνα. Βρίθωνα τὸν Σπαρτιάτην] De Brithone Spartano nihil me unquam legisse memini. MSS. unus et alter legunt Θίβρωνα. Unde literam excidisse reor, et legendum esse Θίμβρωνα. Huius frequens est mentio apud veteres, quem saepius contra Persas copiarum suarum praefectum miserunt Lacedaemonii. Xenoph. Hist. Graec. lib. 3. pag. 480. et lib. 4. pag. 539. Plutarch. in Artaxerxe pag. 1867. Quam probe autem cum Aristidis nostri *Brithone* conveniat *Thimbron*, exinde licet colligere, quod scribat Xenophon eum fuisse interfectum, dum Thersandri tubicinis contubernio uteretur. Et mox de Diphrida, qui Thimbroni successit in praefectura, verba faciens, ideo huic illum anteponit, quod non pateretur se vinci a corporis voluptatibus: Ἦν δὲ οὗτος ὁ ἀνὴρ εὔχαρίς τε οὐχ ἧττον τοῦ Θίμβρωνος, μᾶλλόν τε συντεταγμένος καὶ ἐγχειρητικώτερος· οὐδὲ γὰρ ἐκράτουν αὐτοῦ αἱ τοῦ σώματος ἡδοναί. Xenoph. Hist. Graec. lib. 4. pag. 539. Iebb.

Digitized by Google

φαίνειν, ἐνδεικνύναι, δημεύειν, ὥσπερ Κλέωνα καὶ Κλεοφῶντα καὶ Ὑπέρβολον καὶ ἑτέρους ἀνθρώπους, οὐ ῥήτορας οὐδαμῶς, — οὔκουν εἴπερ γε ἦσαν τοιοῦτοι — εἴδωλον δέ τι ῥητορικῆς ἀπειληφότας, εἰ δὴ τὸ μηδαμῇ μὲν ὅμοιον, πανταχῇ δ' ἀσθενέστερον εἴδωλον χρὴ καλεῖν. ἀλλ' ἐκεῖνός γε πάντων τούτων καθαρός. πῶς οὖν οὐκ ἐλυσι-

---

Vera nominis forma est Θέβρων, de qua dixi ad Isocratis Panegyr. p. 59. 7 Κλέωνα] Cleon hicce Periclis adversarius, dum civitatem in eum infensam conspexerit, dicteriis mordens, ignominiam et populi invidiam ei conciliavit. Plutarch. in Peric. pag. 310. Et alibi scribit, eundem levitate et scurrilitate Athenienses mulcere solitum, dum ad gratiam populi demerendam senectutem componeret suam, et largitiones ei obiiceret. In Nicia p. 958. Confer etiam pag. 963. Iebb. Ὑπέρβολον] Plutarchus in Alcibiade pag. 358. Ἦν δέ τις Ὑπέρβολος Περιθοίδης, etc. *Erat Athenis Hyperbolus quidam Perithoedes (cuius Thucydides quoque ut hominis tetri meminit, et qui materiam comicis pene omnibus perpetuam dicteriorum in theatris praebuit) homo autem perfrictae frontis, et gloriae incuria probri contemptor. Quae cum impudentia sit et vecordia, audaciam eam nominant nonnulli et fortitudinem. Hic nemini quidem erat probatus, verum ad suggillandos perstringendosque principes utebatur eo populus frequenter.* Huius autem causa ab Atheniensibus abrogatus est ostracismus. Nicias et Alcibiades, quorum summa erat in civitate auctoritas, in factiones abiere. Ubi iam populus Hyperboli impulsu unum aut alterum in decennale exilium erat missurus, inter se collocuti et amicos suos utrinque coniungentes Hyperbolum, nihil minus cogitantem, ostracismo e civitate eiecerunt. Risum populo haec res primo movit; post vero aegre ferentes dignitatem poenae per hominem adeo vilem fuisse imminutam, hoc genus exilii Athenienses antiquarunt. Consulatur Plutarchus in Alcibiade pag. 358. seq. in Aristide pag. 591. in Nicia pag. 969. Iebb. 8 εἴπερ Steph. Iebb. ὕπερ Iunt. εἴδωλον δέ τι ῥητορικῆς] De Cleone Plutarchus in Nicia pag. 965. *Τὸν ἐπὶ τοῦ βήματος κόσμον ἀνελών, καὶ πρῶτος ἐν τῷ δημηγορεῖν ἀνακραγών, καὶ περισπάσας τὸ ἱμάτιον, καὶ τὸν μηρὸν πατάξας, καὶ δρόμῳ μετὰ τοῦ λέγειν ἅμα χρησάμενος τὴν ὀλίγον ὕστερον ἅπαντα τὰ πράγματα συγχέασαν εὐχέρειαν καὶ ὀλιγωρίαν τοῦ πρέποντος ἐνεποίησε τοῖς πολιτευομένοις.* Iebb. 9 εἰ δὴ] εἴπερ Opor. μηδαμῇ] Fort. ἀμηγέπη. *quodammodo.* nam alias inutile esset sequens πανταχοῦ δ' ἀσθενέστερον, et suffecisset eo omisso sic dicere εἰ δὴ τὸ μηδαμῇ ὅμοιον εἴδωλον χρὴ εἰπεῖν. Reisk. πανταχῇ] ἁπανταχῇ L. 10 πάντων τούτων] τούτων πάντων N. ἐλυσιτέλει] ἐλυσιτέλοι N.

τέλει τοῖς Ἕλλησι τοιοῦτος ὤν; ἢ πῶς οὐκ ἐποίει βελτίους, εἴ τις προσεῖχεν αὐτῷ τὸν νοῦν; πολλῆς ταῦτα τῆς ἀνάγκης ἐστίν. εἰ δὲ μὴ σοφὸς ἦν τὰ μετέωρα ὥσπερ Ἀναξαγόρας, οὐδὲ Σωκράτης σοφὸς ἦν ταῦτά γε, καὶ ταῦτά γε, ὥς φασιν, ὁμιλήσας ἐκείνῳ. ἀλλ' οὐδὲ Σωκράτης Ἀναξαγόρου φαυλότερος, οὔκουν, ὥς γε ὑμεῖς ἂν φαίητε, οὐδὲ Μιλτιάδης οὐδὲν ἴσως τῶν σοφιστῶν. οἶμαι δὲ κἂν ἐν θεῶν δικαστηρίῳ Μιλτιάδην κρινόμενον ἁπάσαις ἀποφυγεῖν, οὐχ ὥσπερ τὸν Ὀρέστην φασὶ τὰς ἡμισείας μεταλαβόντα. (292)
εἰκότως· ὁ μὲν γὰρ τὴν μητέρα ἀπέκτεινε δικαίως, ὁ δὲ τὴν Ἑλλάδα ἔσωσε δικαίως, καὶ τὰ τροφεῖα κάλλιστα ἀνθρώπων ἐξέτισεν οὐ μόνον τῇ πατρίδι, ἀλλὰ καὶ τῇ κοινῇ φύσει τοῦ γένους τοῦ Ἑλληνικοῦ. καὶ γάρ τοι κατὰ πόλεις
177 μὲν ἄλλους ἄλλοι νομίζουσιν ἀρχηγέτας, κοινὸν δὲ τῆς Ἑλλάδος ἀρχηγέτην ἐκεῖνον δικαίως ἄν τις ἡγοῖτο. νομίζω δ' ἔγωγε καὶ τὴν αἰτίαν ἣν ὕστερον ἔσχεν, εἰ δεῖ τι καὶ περὶ ταύτης εἰπεῖν ἤδη, μέγιστον σύμβολον εἶναι τοῦ πολλῷ τινι τῶν ἄλλων ἐκεῖνον διενεγκεῖν. ἅπαντας γὰρ ἠξίουν ἡττᾶσθαι τῆς ἀρετῆς τῆς ἐκείνου καὶ μηδὲν ἀήττητον εἶναι μηδὲ ἀνάλωτον, ὅπου Μιλτιάδης παρείη. εἶτ' ἐγὼ τὸν οὕτως ἀνδρεῖον καὶ φρόνιμον καὶ σώφρονα, τὸν διὰ βίου μελετήσαντα ἀρετήν, τοῦτον κολακείας μορίῳ σχολάσαι δοκῶ; τὸν οὐδ' ὅτ' ἐκρίνετο οὐδὲν πλέον τοῖς δικασταῖς δείξαντα τοῦ τραύματος, οὐ δακρύσαντα, οὐ παιδία ἀναβιβασάμενον, ὄντος αὐτῷ Κίμωνος, τοῦτον ἐγὼ κόλακα οὑτωσὶ προσεῖπω μεγαλοπρεπῶς; καὶ τοῦτ' ἦν τὸ κεφάλαιον τῶν ἐκείνῳ πεπολιτευμένων καὶ βεβιωμένων, (293)

---

12 εἰ δὲ μὴ σοφὸς ἦν μετέωρα] Alludere videtur Aristides ad verba Platonis de Pericle in Phaedro p. 270. προσπεσὼν γάρ, οἶμαι, τοιούτῳ ὄντι Ἀναξαγόρᾳ, μετεωρολογίας ἐμπλησθεὶς καὶ ἐπὶ φύσιν νοῦ τε καὶ ἀνοίας ἀφικόμενος (ὧν δὴ πέρι τὸν πολὺν λόγον ἐποιεῖτο Ἀναξαγόρας) ἐντεῦθεν εἵλκυσεν ἐπὶ τὴν τῶν λόγων τέχνην τὸ πρόσφορον αὐτῇ. Iebb. τὰ μετέωρα ΘELN. Aberat τὰ. 13 ὥς φασιν] ὥς φησι N. ὡς φησὶν E. 14 οὐδὲ μιλτιάδης N et Reiskius. Legebatur οὔτε Μιλτιάδης. 15 ἁπάσαις] ἁπάσαις Photius p. 427 a, 36. 18 γένους] γέννους N.

177, 2 τὴν αἰτίαν] Videantur Herodotus in Erat. sub fine, et Corn. Nep. in Vita Miltiadis cap. 7 et seq. Iebb. 4 τῆς ἐκείνου] τῆς om. N. 7 ὄντος αὐτῷ] αὐτῷ om. E. 8 μεγαλοπρε-

κολακεία; καὶ πῶς οὐ δικαίως ἄν τις ἡμᾶς αἰτιῷτο αὐτοὺς κολακεύειν καὶ διακόνων ἔργοις, οὐκ ἐλευθέρων ποιεῖν, εἰ τὴν ἑτέρου χάριν διώκοντες τἀληθὲς ἑκόντες διαφθείροιμεν; καὶ μὴν Πλάτωνι μὲν ἂν καὶ ἄλλα πολλὰ χαριζοίμεθα, ἐκείνου δὲ εἰ ταῦτα καταψηφιούμεθα, ἄλλην τίν' ἂν αὐτῷ τιμὴν ἀποδοίημεν ἔγωγε οὐχ ὁρῶ.

Λοιπὸς τοίνυν Θεμιστοκλῆς, ἥκιστα δὴ πάντων ἄξιος ἐκ δευτερείων τὰ πρωτεῖα ἔχειν, εἰ τὰ μάλιστα καὶ τοῦτ' αὐτὸ ἐκείνῳ μόνῳ τῶν πάντων ὑπάρξαν φαίνεται. ἀλλὰ μᾶλλον ὅστις ἐκείνου δεύτερος, τοῦτ' ἴσως ἔργον εὑρεῖν. τοσούτῳ γὰρ ἡμῖν τὸν Μαραθῶνι, τὸν πάνυ, τὸν ὡς
178 βούλει λέγε, τοσούτῳ δ' οὖν ἐκεῖνον ὑπερεβάλετο πᾶσι

---

πῶς] ἀντὶ τοῦ παρρησιαστικῶς. margo N. 10 τἀληθὲς ELN et Photius p. 427 b, 18. Legebatur τἀληθῆ. 11 καὶ ἄλλα] καὶ erasum in N. 12 ἄλλην τινὰ τιμὴν αὐτῷ ἀποδοίημεν E. τίν' ἂν] τίνα L. ἂν erasum in N. 13 Inscriptio Θεμιστοκλῆς in ΘLN. ἐκ δευτερείων] Ad Salaminem, re bene gesta, post dispartitam praedam Graeci ad Isthmum navigaverunt, daturi praecipuum praemium Graecorum meritissimo, qui in hoc bello praeclarissime rem gessisset. Eo ubi perventum est, duces Graeci in aram Neptuni suam quisque sententiam scriptam detulere, quemnam ex omnibus primum, et quem secundum iudicarent. In ea autem suum quisque nomen inscripsit, se illum qui praestantissimus esset existimans, sed in secundis partibus Themistocli adiudicandis plerique congruerunt. Ita quum singuli in primo loco singulos calculos haberent, in secundo Themistocles multo superior extitit. Herodot. in Uran. p. 219. Vide et Plutarchum in Themist. Tom. 1. p. 219. Iebb. Fort. ἐκ πρωτείων τὰ δευτερεῖα ἔχειν. qui omnium minime hanc iniuriam meruerat, ut secundas laudis partes ferret, qui primas meruisset, quamquam uni omnium hanc iniuriam contigisse constat. Reisk. 14 τοῦτ' αὐτὸ N. Vulgo τοῦτο αὐτό. 15 τοῦτ'] τοῦτο LN. τοσούτῳ γὰρ] Vide annon hic Platonem feriat Aristides, qui in Menex. p. 240. seq. prima praemia illis consecrat qui barbarorum vim ad Marathonem sustinuerunt, secunda iis qui ad Salaminem et Artemisium pugnam commiserunt. Iebb. τοσούτῳ Steph. Iebb. τοσοῦτο Iunt. Post Μαραθῶνι comma est ponendum. nam sententia haec est: illum Marathonium, aut, si mavis ita appellare, τὸν πάνυ, aut quocunque tandem eum nomine iuvat ornare, per me tibi licebit. Reisk. Post Μαραθῶνι distinguitur in Iunt.

178, 1 ὑπερεβάλετο] ὑπερεβάλλετο Photius p. 427 b, 26.

τοῖς εἰς αὐτὸν ἐλθοῦσι πῶς ἂν εἴποιμι ὁμολογουμένως, ὅσῳ Ξέρξης Δαρεῖον ταῖς παρασκευαῖς ἅπασι δῆλός ἐστιν ὑπερβαλόμενος. καὶ μὴν ὁ μὲν τοὺς ὑπάρχους τοῦ βασιλέως, ὁ δ' αὐτὸν ἐνίκα βασιλέα· καὶ μετὰ μέν γε τὴν Μαραθῶνι μάχην αὖθις ἐπεστράτευσε, μετὰ δὲ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν φεύγων ᾤχετο. πρὸς μὲν γὰρ ἐκείνην τὴν ἧτταν παρωξύνθη, πρὸς δὲ ταύτην ἀπεῖπεν, ὥσθ' (294) ἱκανὸν κέρδος ἡγεῖτο, ἂν σωθῇ. ᾔδει γὰρ τότε μὲν πολλοστὸν μέρος τῆς πάσης ἐλθὸν δυνάμεως, νῦν δὲ σχεδὸν μετὰ πάντων ἀνθρώπων ἡττώμενος. οὔτ' οὖν αὐτὸς ἐθάρρει μένειν οὔτ' ἄλλον ἔπεμψε τοῦ λοιποῦ· οὐ γὰρ ἦν ὅ τι ἐλπίσοι. ἀλλὰ καὶ ὃν κατέλιπε Μαρδόνιον θανατῶντα ὡς εἰπεῖν κατέλιπε, καὶ ἅμα ἐμοὶ δοκεῖν ὅπως ἔχοιεν πρὸς ὃν ἀσχολοῖντο οἱ Ἕλληνες. Μιλτιάδῃ μὲν οὖν εἰς ἓν κεφάλαιον ἡ τῆς ἀνδρείας ἀπόδειξις ἧκεν, εἰ καὶ τὰ μάλιστα ἐχρῆτο αὐτῇ παρὰ πᾶσαν τὴν πολιτείαν· Θεμιστοκλέα δὲ τὰ δεύτερα ἀεὶ τῶν προτέρων μείζονα ἐξεδέχετο καὶ τὸ τῆς παροιμίας αὐτῷ περιειστήκει· τὸ μὲν γὰρ ἔλιπεν αὐτὸν κῦμα, τὸ δὲ ἐγκατελάμβανεν, ἕως διεξῆλθε διὰ τῶν τρικυμιῶν νικῶν. καὶ Μιλτιάδῃ μὲν σχεδὸν ἀνδρείας μᾶλλον ἢ σοφίας ἔδει πρὸς τὰ παρόντα, Θεμιστοκλεῖ δὲ ἀνδρείας μὲν οὐχ ἧττον, εἰ μὴ καὶ μᾶλλον, ὅσῳ καὶ μείζους οἱ φόβοι· πρὸς δὲ τούτῳ καὶ ἄλλων πολλῶν καὶ οὐδὲν ἀτιμοτέρων ὑπεύθυνος ἦν ἐκ τῶν περιεστηκότων, συνέσεως, (295)

2 δῆλός ἐστιν] δῆλος ἦν L. 3 ὑπερβαλόμενος Θ et Reiskius. Legebatur ὑπερβαλλόμενος. 4 μέν γε] μέντοι E. Μαραθῶνι] ἐν μαραθῶνι ELN. 6 ὥσθ' ἱκανὸν κέρδος ἡγεῖτο ἂν σωθῇ] Confer. Corn. Nep. in Themist. cap. 5. Diod. Sicul. lib. 11. Plutarchum in Themistocle pag. 218. Thucyd. lib. 1. et Herod. in Uran. pag. 315. Iebb. ὥσθ'] ὥστε N. 7 πάσης] πάσης [ά] N. 8 ἐλπίσοι [οι] EN. Legebatur ἐλπίσῃ. ἐλπίσει L. 9 Μαρδόνιον] μαρδώνιον N. θανατῶντα] Consulatur Aristides noster in Panathen. p. 143. ed. Steph. Iebb. 11 ἀνδρείας] ἀνδρίας L. 13 τὸ τῆς παροιμίας αὐτῷ περιειστήκει] Evenit ipsi quod proverbio dicitur. v. p. 215, 16. et p. 232, 9 Reisk. ἐγκατελάμβανεν] ἐγκατέλαβεν F. 14 ἀνδρείας ΘL. Vulgo ἀνδρίας. 15 ἀνδρείας N Iebb. ἀνδρίας Iunt. 17 ὑπεύθυνος] Sententia est: tempora, quae tum erant, eum in locum Themistoclem adduxerant, ut Graeci summo

Digitized by Google

μαντικῆς μὲν οὖν ὡς εἰπεῖν, μεγαλοψυχίας, δεινότητος, πραότητος, καρτερίας, εὐαρμοστίας πρὸς τοὺς καιροὺς, πρὸς τὰ πράγματα, πρὸς τοὺς ἄνδρας τοὺς ἀπὸ τῆς πόλεως, τοὺς ἀπὸ τῆς Ἑλλάδος, τοὺς πολεμίους. καί μοι δοκεῖ τὸ μὲν Μιλτιάδου στρατηγία μᾶλλον ἐοικὸς συμβῆ-
179 ναι πρὸς τοὺς βαρβάρους, τὸ δὲ τοῦ Θεμιστοκλέους ἀκριβῶς πολιτεία γενέσθαι ἐν ἅπασι τοῖς Ἕλλησιν ἐξεταζομένη. τοσαῦτ' ἦν τὰ πραττόμενα καὶ δημιουργούμενα, τὰ μὲν ἐν τῇ γῇ, τὰ δ' ἐν τῇ θαλάττῃ· περὶ ὧν ἔμοιγε δοκεῖ καὶ Ὅμηρος ἂν, εἰ περιῆν, βουληθεὶς εἰπεῖν οὐχ ἧττον καλέσαι τὰς Μούσας ἢ περὶ τοῦ πῶς ἐνεπρήσθη ναῦς μία τῶν Θετταλῶν· εἰ δὲ βούλει, τίς πρῶτος ἀντῆρε τῷ Ἀγαμέμνονι τῶν ἐπικούρων ἢ τῶν Τρώων αὐτῶν. μᾶλλον δὲ τοῦτο μὲν οὐκ εἶχεν οἶμαι πυθέσθαι τίς ἦν ὁ πρῶτος ἀντάρας τῷ βασιλεῖ τῆς Ἀσίας, μικροῦ καὶ τῆς Εὐρώπης· ἀπὸ ποίων δέ τινων ἔργων ἢ λόγων ταῦτα ἠδυνήθη τελέσασθαι καὶ πρὸς πόσας τινὰς τῶν πολεμίων ναῦς καὶ πρὸς ποίαν τινὰ τὴν πᾶσαν παρασκευὴν καὶ ἔφοδον τοῦ βαρβάρου παρετάξατο, καὶ πῶς εἶχε τότε τἀνθρώπεια, τοῦτ' (296)
ἔμοιγ' ἂν ἐρωτᾶν δοκεῖ καὶ δεῖσθαι φράζειν, εἴπερ καὶ κατὰ μικρὸν ἔμελλε τῆς ἀξίας ἐφάψεσθαι. τί οὖν κωλύει καὶ νῦν ἡμᾶς; ἀρχὴ δὲ ἡμῖν ἐκ θεῶν, ἐξετάσαι πάλιν πῶς εἶχε τὰ τῶν καιρῶν, τὸν αὐτὸν τρόπον ὅνπερ ἀρτίως ἐξητάσαμεν, καὶ δεῖξαι διὰ βραχέων ἐν ποίοις τισὶ πράγμασι ποῖός τις ἦν ὁ Θεμιστοκλῆς; καίτοι τοῦτό γε οὐδὲν ἴσως προὔργου. ἃ γὰρ οὐκ ἔστιν ἐνδείξασθαι τῷ λόγῳ, πῶς ἄν τις ἐκ τούτων ἐκεῖνον θεωρήσειε; πλὴν εἰ τοῦτό γε αὐτὸ ἐνθυμηθεὶς, ὅτι ὑπὲρ ὧν οὐδ' εἰπεῖν ὡς βούλεταί τις ἐγ-

---

iure possent ab eo tamquam gesti alicuius magistratus rationem; ita virtutes multo plures alias repetere ut sibi debitas atque necessario praestandas a Themistocle, ut prudentiam —. Reisk.
20 τὸ μὲν ΘΕL. Vulgo τὰ μὲν.

179, 2 τοσαῦτ'] τοσαῦτα N. τὰ μὲν L Iebb. om. Θ Iunt. 3 Ὅμηρος] Iliad. π, 112. 5 τίς πρῶτος] Iliad. λ, 218. 6 εἶχεν οἶμαι πυθέσθαι] εἶχε πυθέσθαι expuncto οἶμαι N. εἶχε πυθέσθαι E. 7 ἠδυνήθη LN. Vulgo ἐδυνήθη. 8 τινὰς τῶν L. Legebatur τίνας τὰς τῶν. 10 δοκεῖ] δοκεῖν ΘELN. εἴπερ καὶ] καὶ om. E. ἐφάψεσθαι] ἐφάψασθαι N. 14 ἐκεῖνον θεωρή-

Digitized by Google

χωρεῖ; ταῦτ' ἐκεῖνος μετεχείρισεν ὡς ἐβούλετο. δέκα μὲν γὰρ ἑξῆς ἔτη ὤδινεν ἅπασα ἡ ἤπειρος, φιλονεικοῦντες ἅπαντες ἄνθρωποι δίκην τῆς Μαραθῶνι μάχης λαβεῖν, ἡτοιμάζετο δὲ ἐκ πάσης γῆς καὶ θαλάττης πάντα. Αἰγύπτου δὲ ἀποστάσης ἐν τῷ διὰ μέσου βασιλεὺς οὐδὲν σπουδάσας αὖθις ἦν ἐν τοῖς αὐτοῖς· οὕτω ῥᾳδίως ἐκείνην παρεστήσατο. δεκάτῳ δὲ ἔτει συνῆλθον ἐσχατιαὶ πᾶσαι καὶ γένη
180 πάντα ὥσπερ μετανισταμένης ἑτέρωσε τῆς οἰκουμένης· καὶ βασιλεὺς ἀπήει δεδοικὼς μὴ οὐ δέξαιτο τὸ πλῆθος ἡ Ἑλ- (297)
λάς, ὥσπερ ἀρχὴ γῆς πάσης, τοῦ στρατοπέδου γιγνόμενος καθ' ὃ βούλοιτ' ἀεί. χρυσὸς δὲ καὶ ἄργυρος καὶ χαλκὸς καὶ σίδηρος, πάντα ὁμότιμα ἦγετο, ὁμοίως ἐγγείοις ὀχήμασι καὶ ναυτικοῖς. ὡς δ' εἰς ταυτὸν ἀπήντησαν αἱ δυνάμεις, οἱ μὲν πεζοὶ τὴν παραλίαν, αἱ δὲ νῆες τὴν θάλατταν ἀπέκρυψαν· εἰς δὲ τοὺς Ἕλληνας ἠγγέλλετο ἄξιον μὲν τῶν ἐπιόντων κακῶν οὐδέν, ὅμως δὲ πολλὰ καὶ παντοῖα καὶ οἷα οὔπω πρότερον· καὶ οὐ τοσοῦτόν γ' ἂν αὐτοὺς ἡ τοῦ ἡλίου συμβᾶσα ἔκλειψις ἐξέπληττεν, ὅσον ἡ τῆς γῆς καὶ θαλάττης ἔκλειψις γιγνομένη, πρὸς τὴν τοῦ βασιλέως ἐμοὶ δοκεῖν ἐπιθυμίαν μᾶλλον ἢ χρείαν. ἐδόκει γὰρ μόνος ὡς ἀληθῶς γῆς καὶ θαλάττης εἶναι κύριος, καὶ ποιεῖν

---

σειε] θεωρήσειε ἐκεῖνον N. θεωρήσειε] θεωρήσειεν Θ. 16 ἑξῆς om. E. ἡ ἤπειρος N. Aberat ἡ. 19 δεκάτῳ δὲ ἔτει] Decimo nimirum anno, ex quo victoria ad Marathonem esset parta; sexto autem, ex quo regnum adeptus esset Xerxes. Quanquam et scribat Iulianus Imp. Orat. 1. de laud. Constantii, τὸν Ξέρξην χρόνον ἐτῶν οὐκ ἐλάσσονα δέκα πρὸς τὸν πόλεμον ἐκεῖνον παρασκευάζεσθαι. Ubi tamen mendum latere suspicor, et pro Ξέρξην legendum esse Πέρσην. Iebb.
180, 1 ἀπήει] ἐπήει Canterus. δέξαιτο] δέξεται EL. 2 ἀρχὴ γῆς] ἀρχῆς Canterus. ἀρχὴ] Fort. ἄρα. Constructio est γιγνόμενος καθ' ὃ βούλοιτο ἀεὶ τοῦ στρατοπέδου, ὥσπερ ἄρα γῆς. erat ipsi suus exercitus loco totius terrae; cuius in quacunque parte esset, credebat se in ea terrarum parte versari, unde exisset illa legio; ut, si esset in legione Meda, credebat se in Media esse; si in Hyrcana, in Hyrcania. Reisk. Duplicem scripturam ἀρχὴ et ἀρχῆς commemorat scholiasta p. 580, 9. τοῦ στρατοπέδου] τοῦ πλήθους E. γιγνόμενος ΘELN. Vulgo γινόμενος. βούλοιτ'] βούλοιτο ΘLN. 5 θάλατταν] θάλασσαν LN. ἀπέκρυψαν] ἀπέκρυψεν L. 7 ἐξέπληττεν] ἐξέπληξεν N. 8 θαλάττης ΘLN. Vulgo θαλάσσης. γιγνομένη ΘL. Vulgo γινομένη. 9 μᾶλλον

καὶ διαφθείρειν· ᾧ γε ὁ μὲν Ἄθως τὰς ναῦς, ὁ δὲ Ἑλ-
λήσποντος τὸ πεζὸν ἐδέξατο. πρὸς δὲ τούτοις τείχη μὲν
ᾠκοδομεῖτο ὅπως ἀριθμοίη κατὰ μυρίους. ὁ δὲ ἥλιος συνε-
κρύπτετο τοῖς τοξεύμασιν· ἦν δὲ πλήρης ἡ μὲν θάλαττα
νεῶν, ἡ δὲ γῆ πεζῶν, ὁ δ' ἀὴρ βελῶν. παρεῖναι δὲ καὶ
μέλλειν ἴσον ἦν, ὥστ' ἔχεσθαι πάντας· πάντα δ' ὥσπερ (293
τοῦ Ποσειδῶνος κατιόντος ἐσείετο. πολλὰ δὲ τῶν ἐθνῶν
ἐξανηλίσκετο εἰς δεῖπνον τῷ βασιλεῖ. ἀπειλαὶ δὲ κηρύκων
οὐ διέλειπον πάντοσε φοιτώντων, αἰτούντων γῆν καὶ ὕδωρ
ὅστις βούλεται σῶς εἶναι. τὸ δὲ μαντεῖον φωνὰς ἠφίει
δεινὰς καὶ χαλεπὰς ἅπασι τοῖς Ἕλλησιν. ἐδόκουν δὲ οὔτε
τῶν νεῶν τὴν εἰρεσίαν ἀνέξεσθαι οὔτε τῶν ἵππων τὸν κτύ-
πον. εἶχον δὲ οὔτε ἱεροῖς οὔτε συμμάχοις θαρρεῖν, οὐδ'
181 εὑρεῖν οἵτινες ἀνθρώπων γένωνται. πρὸς δὲ τούτοις Γέλων

---

om. E. μόνος] μόνον E. 10 ἐδέξατο] ἐδέχετο L.
11 τείχη μὲν ᾠκοδομεῖτο] Rem in hunc fere modum fuisse peractam tradit Herodotus Polyhymn. p. 256. seq. Cum ad Doriscum, (Thraciae campum, quem praeterlabitur Hebrus flumen) pervenissent Persarum copiae, classe ad littus appulsa, contraxerunt unum in locum decem millia hominum, quibus coarctatis quam maxime poterant, circulum extrinsecus descripserunt, et sepem ad umbilicum usque pertingentem circumdederunt. Quam cum fecissent, alios subinde atque alios mille homines introduxerunt, donec tandem numerassent omnes. Videatur etiam Diod. Sic. Biblioth. lib. 11. et quae, his plane similia, scribat Aristides in Panathenaica pag. 129. Iebb. 12 ὁ δ'] ὁ δὲ ΘN. 13 ὥστ'] ὥστε N.
16 τὸ δὲ μαντεῖον] Oraculi responsa, quae reddidit Pythia consultoribus Atheniensium, recitat Herodotus in Polyhymn. pag. 271. cum de his prius observasset ea fuisse χρηστήρια φοβερὰ καὶ ἐς δεῖμα βαλόντα *oracula horrenda et terrorem inducentia*. Iebb. 17 ἐδόκουν] ἐδόκει (ουν) Θ. 18 οὔτε ἱεροῖς om. E.

181, 1 Γέλων] Gelon hic Siciliae tyrannus, quem tradit Herodotus ideo non profectum esse in Peloponnesum Graecis opitulatum, quod indignum sibi ratus est subesse Lacedaemoniis. Polyhymn. pag. 275. Iebb. Ἀργεῖοι] Graecorum nuntiis responderunt Argivi, se velle contra barbaros copias suas educere, si modo dimidium imperii penes se esset. Diod. Sic. lib. 11. sub. init. et Herod. in Polyhymn. pag. 273. Licet proferantur etiam ab Herodoto Delphici Dei oracula, quae dissuaderent societatem

Digitized by Google

μὲν καλούμενος οὐχ ὑπήκουεν, Ἀργεῖοι δ' ἐκποδὼν ἦσαν, Κερκυραῖοι δὲ σοφώτερα ἢ δικαιότερα ἐβουλεύοντο, Θετταλοὶ δὲ ὑπ' ἀνάγκης μὲν, ὅμως δὲ ἐμήδιζον, Βοιωτοὶ δὲ οὐδὲν βέλτιον Θετταλῶν ἐπεπράγεσαν, Δελφοὶ δὲ οὐκ εἶχον ὅ τι χρήσονται, ὀλίγον δὲ ἦν τὸ ὑγιαῖνον τῆς Ἑλλάδος, καὶ τοῦτο εἰς δύο πόλεις ἀνήρτητο, μᾶλλον δὲ εἰς ἕνα ἄνδρα, ὅ τι φρονήσειεν ἢ συμβουλεύσειε Θεμιστοκλῆς. ἐν τοῖς τοιούτοις μέντοι καιροῖς καὶ τοιαύτῃ πραγμάτων ἀωρίᾳ καὶ συγχύσει τῶν πάντων ἀνὴρ ἐκεῖνος ἑστηκὼς οὐκ ἠπόρησεν, οὐδ' ἐξεπλάγη, οὐδ' ηὔξατο αὐτῷ χανεῖν τὴν γῆν, (299) οὐδ' εὐδαιμόνισε τοὺς πάλαι κειμένους, οὐδ' ἔπαθε ταὐτὸ τοῖς πολλοῖς, ἀλλὰ κατέστη τοῖς Ἕλλησιν ἀντ' ἀγαθοῦ δαίμονος. πάντα γὰρ εἰς αὐτὸν ἀναδεξάμενος καὶ τὴν αὑτοῦ γνώμην ὑποθεὶς ἀντ' ἄλλου του φυλακτηρίου, καὶ μόνος ὀρθοῖς τοῖς ὀφθαλμοῖς ἀντισχὼν ἅπασι καὶ τοῖς παροῦσι καὶ τοῖς ἐπιοῦσι πράγμασι, καὶ οὐκ ἀποστραφεὶς ὥσπερ οἱ πρὸς τὸν ἥλιον βλέποντες, ὃ πᾶσι μικροῦ δεῖν συνέβη τοῖς τότε, οὐκ ἂν εἴποιμι ὡς οὐκ ἔψευσε τῆς ἐλπίδος τοὺς Ἕλληνας, ἀλλὰ καὶ πολὺ τὴν προσδοκίαν ἐνήλλαξεν αὐτοῖς. οὐδὲν γὰρ τῶν ἐσχάτων ὅ τι οὐ πείσεσθαι τῶν πολλῶν νομιζόντων, καὶ βλεπόντων εἰς αἰσχρὰς

---

cum Graecis inire. Iebb. δ'] δὲ L. ἐκποδὼν Steph. Iebb. ἐκποδῶν LN Iunt. Κερκυραῖοι] Corcyraei polliciti sunt confestim se auxilia missuros ac praesidio futuros, sed cum opem ferre oportuit, naves in statione statuere, observantes quo bellum caderet. Herod. in Polyhymn. pag. 278. Iebb. 2 Θετταλοὶ δὲ] Sic diserte Herodotus Polyhymn. pag. 279. Θεσσαλοὶ δὲ ὑπὸ ἀναγκαίης τὸ πρῶτον ἐμήδισαν· unde noster sua desumpsisse videtur. De his meminit Diodorus, inter eos qui Persarum partibus favebant. Hist. lib. 11. p. 243. Xerxi autem Thessaliam prodiderunt Aleuadae, Thessalorum principes. Paus. Achaic. pag. 415. Iebb. Θετταλοὶ δὲ] Θετταλοὶ μὲν Θ. 3 χρήσονται Steph. Iebb. χρήσωνται Iunt. 5 τοῖς τοιούτοις ΘEN. Aberat τοῖς. μέντοι καιροῖς] καιροῖς μέντοι E. 6 οὐδὲ ἐξεπλάγη N. 7 αὐτῷ] αὐτῷ N. οὐδ'] οὐδὲ LN. εὐδαιμόνισε] εὐδαιμόνησέ Θ. 8 δαίμονος L. Vulgo τοῦ δαίμονος. του δαίμονος Reiskius. αὐτὸν ΘN. Vulgo αὐτὸν. ἑαυτὸν Photius p. 428 a, 28. 9 αὑτοῦ] Vulgo αὐτοῦ. μόνος] μόνοις N. 10 Miratus dictionem ἀντισχὼν τοῖς πράγμασιν ὀρθοῖς ὄμμασιν, cogitavi de ἀντιδών. dictio ἀντιδεῖν ὀρθοῖς ὄμμασι τοῖς πράγμασιν convenit cum illo Polybiano ἀντοφθαλμεῖν τῇ τινος δυναστείᾳ.



Digitized by Google

*μηχανὰς καὶ ἀπόρους καταφυγὰς, τοσοῦτον μετέστησε τὰ
πράγματα ὥστε, εἴ τις ὕστερον αὐτοὺς ἀπελθόντων τῶν
βαρβάρων ἤρετο εἰ ἐβούλοντ᾽ ἂν μήτ᾽ ἐκείνους ἐπιστρα-
τεῦσαι μήτε σφίσι ταῦτα πεπρᾶχθαι μήτε τοὺς κινδύνους
σφίσι μηδὲ τὰς πράξεις γεγενῆσθαι, τεθνάναι πάντας ἂν
182 εἰπεῖν ἐθέλειν μᾶλλον ἢ ταῦτα ἄπρακτα αὐτοῖς εἶναι. οὕ-
τως οὐ μόνον τὰς ἐλπίδας ὅσοι γε καὶ τὰ μήκιστα ἤλπι-
σαν αὐτῶν, ἀλλὰ καὶ τὰς εὐχὰς τῶν πλείστων ὑπερεβά- (30
λετο. καὶ ἔγωγε ἡδέως ἂν, εἴ πως ἐνῆν, ἠρόμην Πλάτωνα,
πρὸς θεῶν τῶν Ἑλληνίων, τί χρῆν ποιεῖν τὸν Θεμιστο-
κλέα κατ᾽ ἐκείνους τοὺς χρόνους, ἢ τί λέγειν κάλλιον ὧν
εἶπεν; ἢ τί γράφειν βέλτιον ὧν ἔγραψεν; ἢ τίνα ὁδὸν
τῶν πραγμάτων ἐλθεῖν; ἢ ποίαν ἡγήσασθαι τοῖς Ἀθη-
ναίοις; ἢ τίσι κρείττοσι χρήσασθαι λογισμοῖς; εἰπὲ γάρ ὦ
πρὸς θεῶν, εἰ δὲ μὴ, ἄλλος τις κληρονομείτω τοῦ λόγου,
λεγέτω, δεικνύτω τί χρῆν πράττειν τὸν Θεμιστοκλέα τότε
καὶ πῶς χρήσασθαι τοῖς παροῦσι. πότερ᾽ εἰς τὴν πνύκα
συλλέξαντ᾽ Ἀθηναίους περὶ τῶν ἰδεῶν αὐτοῖς διαλέγεσθαι
καὶ διδάσκειν τί αὐτοδίκαιον καὶ τί αὐτοκαλὸν, καὶ τί τὸ
ὂν μὲν ἀεὶ, γένεσιν δὲ οὐκ ἔχον; ταχέως μένταν αὐτοὺς
καὶ γένεσις καὶ τὸ εἶναι καὶ πάντα ἐπέλιπεν. ἀλλ᾽ ὅθεν
ἀνδρεία τὸ πρῶτον ἐκλήθη καὶ ὅθεν δειλία ζητεῖν, καὶ
πότερον ῥεῖ τὰ πάντα ἢ οὔ; ἔγνωσαν μένταν κακῶς ῥέοντα
τὰ πάντα αὐτοῖς. ἀλλὰ τί μὴν ὅλως ἔδει λέγειν ἢ ποιεῖν;
τρίτον γὰρ ἤδη τὸ ἐρώτημα ὥσπερ σύνθημα περιήκει. πό-
θεν ἐξετάσομεν τὸν Θεμιστοκλέα πότερον τῷ ὄντι σύμβου- (30*

---

Reisk. 14 *αὐτρὺς* om. N. 15 *ἐβούλοντ᾽*] *ἐβούλετ᾽* E.
16 Verba *μήτε τοὺς κινδύνους σφίσι μήτε τὰς πράξεις γεγενῆσθαι* videntur delenda esse, ut varians lectio ex ipsius auctoris adversariis superstes. nam idem dicunt cum proximis praecedentibus. Reisk. *μηδὲ* Θ et Photius p. 428 a, 41. Legebatur *μήτε*.

182, 1 *ὅσοι γε καὶ τὰ μήκιστα*] *ὅσοι δὲ τὰ μέγιστα* Θ. 2 *τῶν πλείστων*] *αὐτῶν πλείστων* E. *αὐτῶν πλεῖστον* N. *ὑπερεβάλετο* ΘL. Vulgo *ὑπερεβάλλετο*. 7 *πνύκα*] *πνῦκα* L. *συλλέξαντ᾽* N. Vulgo *συλλέξαντα*. 9 *πάντα*] *πύντος* (sic) E. 10 *ἀνδρεία* Θ. Vulgo *ἀνδρία*. 11 *τὰ πάντα*] *τὰ πράγματα* (*γρ. τὰ πάντα*) L. 12 *τὸ ἐρώτημα*] *αὐτὸ τὸ ἐρώτημα* Photius p. 428 b, 19. *ἐξετάσομεν*] *ἐξετάσομεν* (ω) L. *Θεμιστοκλέα πότερον*] *Θεμι-*

λος καὶ προστάτης καὶ ἡγεμὼν ἦν, ἢ τί καὶ ἄλλο π πον ἀκοῦσαι; καὶ μὴν δεῖ γε δυοῖν θάτερον, ἢ τὰ πρ θέντα ὑπ᾽ αὐτοῦ μέμψασθαί τινα ἔχειν, ἢ δεῖξαι τί δε πρᾶξαι παρέλιπε, τὸ ῥᾷον καὶ ἥδιον ἀντὶ τοῦ καλοῦ πρ λόμενος. καίτοι τήν γε ὕστερον τῶν πραγμάτων σοφί καὶ τοὺς ἐπὶ τῆς ἀδείας ἐλέγχους οὐδὲν ἔχειν φασὶ λαμπρ
183 οὐδ᾽ ὑπερήφανον· ἐγὼ δ᾽ οὖν καὶ τοῦτο συγχωρῶ κ τις ἀμείνω τινὰ πρᾶξιν, ἢ λόγους βελτίους, ἢ προαίρεσ δικαιοτέραν ἢ τοῖς πᾶσι βελτίω δείξῃ τότε ἐγχωροῦσι παρ᾽ ἣν ἐκεῖνος ἐνεστήσατο, ἕτοιμος αὐτὸς τῆς αἰτίας κλ ρονομεῖν. εἰ δὲ μήθ᾽ ὧν ἐπολιτεύσατο μηδέν ἐστι κατα τιάσασθαι μήθ᾽ ὧν ἄν τις φήσαι χρῆναι πεποιηκέν μηδὲν ἔστ᾽ εἰπεῖν ὡς οὐκ ἐποίησεν, ἐπαινοῦσι μᾶλλον ἐκε νον ἡμῖν αὐτοῖς συνηδώμεθα ἢ ζητοῦσιν ὅπως εἴποιμ κακῶς. οὑτωσὶ δὲ σκοπῶμεν, ἐπαναγαγόντες ἡμᾶς αὐτο ἐπ᾽ αὐτὰ τὰ πράγματα. ἦσαν τῶν Ἑλλήνων μερίδες τρεῖ ἡ μὲν ἔξω πραγμάτων, ὥσπερ Ἀργεῖοι καὶ Κερκυραῖοι κ Σικελιῶται καὶ Ἰταλιῶται μικροῦ πάντες, καὶ Κρῆτες καὶ ἕτεροι λέγονται· οἱ δὲ καὶ συνεπεστράτευον μετὰ τ βαρβάρων ἐπὶ τὴν Ἑλλάδα, ὥσπερ οἱ Θετταλοὶ καὶ πά τες οἱ μέχρι τῆς Ἀττικῆς, πλὴν Θεσπιέων καὶ Πλαταιέ ὁπόσων δή τινων ὄντων· τρίτον δ᾽ ἦν λοιπὸν Ἀθηναῖ καὶ Λακεδαιμόνιοι καὶ ὅσοι παρὰ τούτους κατέφυγον. ἀλ μήπω τοῦτο ὅτι Ἀθηναῖοι, μηδ᾽ ὅτι καὶ τοὺς ἄλλο οὗτοι παρεσκεύασαν. ἀλλὰ διῄρητο μὲν εἰς τοσαῦτα μέ τὸ Ἑλληνικὸν πᾶν καὶ προὔκειτο τριῶν τούτων αἵρεσις μέσῳ πᾶσιν, ἔδει δὲ καὶ πόλιν καὶ ἰδιώτην πρὸς ταῦ βουλεύεσθαι, τὸ διάφορον δ᾽ οὐ μικρὸν ἦν, ἢ τῷ βα βάρῳ προσθεμένους ἀκολουθεῖν ἐπὶ τοὺς ἀντιτείνοντας,

---

στοκλέα; πότε Photius. 13 πρέπον N et Photius. Vulgo πρέπ
14 μέμψασθαί τινα ἔχειν] μὴ μέμψασθαί τινα, ἔχειν L.
15 ἥδιον] ἴδιον N et Photius. 16 οὐδ᾽ Photius. Vulgo οὐδέ.

183, 2 ἐνεστήσατο] ἀνεστήσατο L. 3 φήσαι χρῆναι] φῆσα χρῆναι N. 4 ἔστ᾽ LN. Vulgo ἔσται. συνηδώμεθα] συνη μεθα LN. 6 ἡ μὲν] οἱ μὲν N. 7 δὴ] δὲ Reiskius. 8 οἱ Θετταλοὶ] οἱ om. L. 9 Θεσπιέων] Θεσπιαίων N. Θεσπεσιέων ὁποσωνδήτινων N. 14 ἐπὶ τοὺς] πρὸς τοὺς L.

τὴν ἡσυχίαν ἄγειν αὐτοῖς ἐξεῖναι δεηθέντας, μή τι τοῖς
ἄλλοις συμβήσεται ζητεῖν, ἀλλ' εἰ μηδὲν αὐτοὶ πείσονται
κέρδος ἡγεῖσθαι· ἢ τρίτον γ' ἤδη κατελείπετο, φάσκοντας
τοῦ καλοῦ καὶ τοῦ δικαίου φροντίζειν, καὶ πυρὶ καὶ σι-
δήρῳ καὶ πᾶσι πράγμασιν ἀνταγωνίζεσθαι, καὶ μήτ'
ἀκούοντας ἀκούειν τὰ δεινὰ μήθ' ὁρῶντας ὁρᾶν, ἀλλὰ
πάντων ὡσπερεὶ φλυαρίαν καταγνόντας παρ' αὐτὸν τὸν
θάνατον ἐσκηνῶσθαι, ἔσχατα τοῦ βίου ταῦτ' εἶναι προ- (303)
κρίναντας ἑαυτοῖς μᾶλλον ἢ παρ' ἀξίαν τι συγχωρῆσαι.
εἶεν. τί δὴ προσῆκεν ἑλέσθαι τότε τοὺς Ἀθηναίους, ἢ τί
τὸν σύμβουλον παραινεῖν αὐτοῖς; ἐνταῦθά μοι σκέψαι τὰ
τοῦ Θεμιστοκλέους δόγματα

184 ἔνθ' ὅ τε δειλὸς ἀνὴρ ὅς τ' ἄλκιμος ἐξεφαάνθη,

οὐκ εἰς λόγον συγκαθημένων ἡμῶν, ἀλλ' ἐπ' αὐτοῦ τοῦ ξυροῦ τῆς ἀκμῆς ἑστηκότος εἶναι τὴν Ἑλλάδα ἢ μή. αὕτη πρώτη Θεμιστοκλέους ἐξέτασις καὶ κρίσις.

Ἐντεῦθεν ὅρα τὸν ἄνδρα ἀπὸ γραμμῆς ἀρξάμενος· καὶ μή μοι λόγῳ τὸν χρυσὸν, ἀλλὰ τὴν βάσανον προσάγων σκόπει. τῆς γὰρ εἰκόνος μέμνησο τῆς σαυτοῦ· ἔδει τῶν ὑπὲρ τῆς κοινῆς ἐλευθερίας ἀγωνιζομένων Ἀθηναίους εἶναι, ἢ δυοῖν τοῖν ὑπολοίποιν θάτερον ποιεῖν· ἔδει τῶν ἀγωνιζομένων εἶναι. τί οὖν; συνεβούλευε ταῦτα Θεμιστοκλῆς, ἢ διεκώλυεν; οὐκ, ἀλλ' ἐκεῖνος ἦν ὁ ταῦτα συμβουλεύων. οὐκοῦν ταῦτα ἔδει πράττειν καὶ ταῦτα συμβουλεύειν; ταῦτα ἔπραττον μὲν Ἀθηναῖοι, συνεβούλευε δὲ Θεμιστοκλῆς. μέχρι μὲν δὴ τούτων τὰ μέγιστα συνεβούλευε καὶ οὐδὲν ἔχει Πλάτων αἰτιάσασθαι, οὐ μὲν οὖν, εἰ μὴ λαμπρῶς ἐπαινοίη,

---

15 γ'] δ' ΘΕΙ., γ' om. N. 18 ἐσκηνῶσθαι N et Thomas Mag. p. 798. Legebatur ἐσκηνῆσθαι. Conf. ad p. 209, 17. Fort. τὰ ἔσχατα τοῦ βίου τοιαῦτ' εἶναι. Reisk. 20 τί τὸν] τί τοιοῦτο Θ. τί τὸν τοσοῦτον (γρ. τὸν τοιοῦτον) L. σύμβουλον] σύμβολον Θ.

184, 1 ἔνθ' ὅ τε] Iliad. ν, 278. ἔνθ' EL Iebb. ἐν ᾗ Θ Iunt. ἐν οἷς N. 2 αὐτοῦ τοῦ ξυροῦ ΘN. Aberat τοῦ. αὐτῆς ξυροῦ L. 3 καὶ μή μοι λόγῳ χρυσὸν προσάγων] Utcunque torqueas, caret hoc sensu et affectatum est. Reisk. λόγῳ τὸν χρυσὸν] χρυσῷ τὸν λόγον Canterus. 4 τὴν βάσανον] Deest πρὸς ante τήν. Canter. Vid. Nov. Lect. lib. II. Iebb. σαυτοῦ] αὐτοῦ N. 5 ποιεῖν] παθεῖν N. 7 Fort. οὐκοῦν πάντα, ἃ ἔδει πράττειν καὶ ἃ συμβουλεύειν, ταῦτα ἔπραττον μὲν Ἀθηναῖοι. Reisk. 9 οὐμενοῦν

ὅπως οὐκ ἂν αἰσχύνοιτο οὐκ ἂν ἔχειν μοι δοκεῖ. οὐ γὰρ (304) μόνους τοὺς Ἀθηναίους ἐπὶ ταῦτ' ἀγαγὼν καὶ τάξας ἐνταυθοῖ γνώμης φαίνεται, ἀλλὰ καὶ τοὺς ἄλλους Ἕλληνας, ὅσοι μετέσχον τῶν πραγμάτων, εἷς ἀνὴρ οὗτος μάλιστα ἐπιῤῥώσας καὶ παροξύνας, καὶ τοὺς μὲν ἑκόντας, τοὺς δὲ ἄκοντας αὐτῶν πείσας γενέσθαι χρηστοὺς καὶ λυσιτελοῦντας ἑαυτοῖς· ὅς γε καὶ τοῖς κήρυξι τοῖς παρὰ τοῦ βασιλέως ἐλθοῦσι περὶ τῆς γῆς καὶ τοῦ ὕδατος τοιαύτας ἔδωκε τὰς ἀποκρίσεις, ὥσθ' ἅπασι τοῖς Ἕλλησιν ὑπάρχειν μαθεῖν ὁποῖ' ἄττα ἀποκρίνασθαι χρὴ τοῖς ἐπὶ ταῦθ' ἥκουσι τῶν βαρβάρων. καὶ οὐκ ἐνταῦθ' ἔστη τῆς ἐλευθερίας, ἀλλὰ καὶ τὸν ἑρμηνεύσαντα ἀπέκτεινε, κατηγορῶν ὅτι τὴν φωνὴν ὥσπερ ἄλλο τι τῷ Πέρσῃ κατὰ τῶν Ἑλλήνων ἔχρησε. καίτοι τί τοῦτο δεινὸν ἦν τοῖς Ἀθηναίοις μαθεῖν ὅ τί ἐστι τὰ λεγόμενα, μαθόντας δὲ βουλεύσασθαι; οὐ γὰρ
185 αὐτός γ' εἰσηγεῖτο οὐδ' ἐπηνάγκαζεν. ἀλλ' ὅμως οὐδ' ἄχρι τούτου διακονεῖν ἠξίου, οὐδὲ γὰρ προσήκειν ἀκούειν τὰ τοιαῦτα. ταχύ γ' ἂν αὐτὸς διηκόνησεν ὁ τοῖς διακόνοις

---

Steph. Iebb. οὔμενουν LN Iunt. οὐμενοῦν] Id est οὐ μόνον, ἀλλὰ καί. imo vero etiam. Reisk. ὅπως] ὅπως δ' E. 10 τάξας] τάξαι E. 14 ὑπάρχειν] ὑπάρχει ELN. ὁποῖ' ἄττα] Vulgo ὁποῖ' ἄτται ὁποῖα ἄττα L. ὁποιάττα N. ἀποκρίνασθαι χρὴ N. Vulgo ἀποκρίνεσθαι χρή. χρὴ ἀποκρίνεσθαι L. 15 ἐνταῦθ' N. Vulgo ἐνταῦθα. τὸν ἑρμηνεύσαντα] Plutarch. in Themist. Tom. 1. pag. 208. ἐπαινεῖται δὲ αὐτοῦ καὶ τὸ περὶ τὸν δίγλωσσον ἔργον ἐν τοῖς πεμφθεῖσιν ὑπὸ βασιλέως ἐπὶ γῆς καὶ ὕδατος αἴτησιν. ἑρμηνέα γὰρ ὄντα συλλαβὼν διὰ ψηφίσματος ἀπέκτεινεν, ὅτι φωνὴν Ἑλληνίδα βαρβάροις προστάγμασι ἐτόλμησε χρῆσαι. Quanquam tamen scribat Herodotus in Polyhymn. pag. 251. neque ad Athenas neque Lacedaemonem caduceatores dimisisse Xerxem aquam et terram petitum, sed ad alias tantum omnes civitates Graeciae: Οὔτε ἐς Ἀθήνας, οὔτε ἐς Λακεδαίμονα ἀπέπεμπε (κήρυκας) ἐπὶ γῆς αἴτησιν, τῇ δ' ἄλλῃ πάντῃ. Vide et pag. 269. Atque eadem plane, quae hic et a Plutarcho Themistocli adsignantur facta, de Miltiade refert Aristides in Panath. pag. 121. seq. De responsis autem, quae legatis Persarum reddiderunt Graeci, confer Diod. Sicul. lib. 11. sub initio. Iebb.

16 τὴν φωνὴν] τῇ φωνῇ N ἔχρησε] ἐδανείσατο glossema in marg. N. 17 τοῖς ἀθηναίοις μαθεῖν LN. Vulgo μαθεῖν τοῖς Ἀθηναίοις. Aut transponenda verba cum codd. mss. aut leg. τοὺς Ἀθηναίους. Reisk.

185, 1 τὰ τοιαῦτα ΘLN. Aberat τά.

οὕτω χρώμενος, ἢ παρ' ἃ βέλτιστα ἐνόμιζεν ἐδημηγόρησεν, ὁ μηδ' ἑρμηνεύειν ἐῶν περὶ ὧν οὐ βέλτιον λέγειν.

Τὰ μὲν δὴ προοίμια τοιαῦτα τῆς Θεμιστοκλέους πο- (305) λιτείας καὶ τοῦ περὶ τῆς ἐλευθερίας ἀγῶνος, οὐδὲν τοῖς Μέλητος ἐοικότα τοῦ κιθαρῳδοῦ, οὐδ' οἷς ἐκεῖνον ᾄδειν φησὶ Πλάτων, ἀλλ' ἀπεναντίον μᾶλλον. τό τε γὰρ βέλτιστον ἔνεστι καὶ τὸ ἥδιστον πρόσεστιν ἀκοῦσαι παντὶ γενναίῳ καὶ ἐλευθέρῳ. ὥστ' ἔμοιγε δοκεῖ τῆς Τερπάνδρου μᾶλλον ἂν εἶναι μουσικῆς εἰκάσαι, πλήν γ' ὅτι καὶ παρελήλυθεν. ὁ μέν γε μίαν πόλιν τὴν Λακεδαιμονίων εἰς ταυτὸν ἤγαγεν, ὁ δὲ τὴν Ἑλλάδα πᾶσαν ἥρμοσε καὶ συνέστησε·— λέγω γὰρ οὖν Ἑλλάδα τοὺς τῇ Ἑλλάδι πάσῃ βοηθῆσαι δυνηθέντας — τοσούτῳ μείζονος καὶ κοινοτέρας καὶ ἐπὶ πλέον φερούσης ὁμονοίας ἡγεμὼν ἐγένετο. πρῶτον μέν γε τοὺς πολέμους τοὺς συνεστῶτας τότε ἐν τῇ Ἑλλάδι καὶ τὰς πρὸς ἀλλήλους διαφορὰς καὶ στάσεις ἔπαυσεν ἁπάντων, καὶ ἕνα μὲν πόλεμον τὸν πρὸς τοὺς βαρβάρους, αὐτοὺς δὲ φίλους καὶ συγγενεῖς, ἔπεισεν ἡγήσασθαι. ἔπειθ' ὅσοι τῶν πολιτῶν μεθειστήκεσαν, τούτους καταγαγεῖν συνεβούλευσεν Ἀθηναίοις, ἐν οἷς καὶ τῶν διαφόρων τινὲς ἦσαν αὐτῷ, τὴν αὐτὴν γνώμην ἔν τε τοῖς Ἑλληνικοῖς καὶ τοῖς κατὰ τὴν πόλιν σώζων· αὕτη δ' ἦν τὸ κοινῇ βέλτι- (306) στον σκοπεῖν ἅπασαν μικροψυχίαν ἀνελόντας. παραλαβὼν τοίνυν τὰ πράγματα καὶ προστάτης τοῦ παντὸς κινδύνου γενόμενος ποῖόν τινα ἑαυτὸν παρέσχε καὶ συνεῖναι τὰ δέοντα καὶ πρᾶξαι διὰ τέλους; τοιοῦτον οἷον, εἴ τις ἔροιθ' ὁντινοῦν τί τὸ σῶσαν τὰ πράγματα τῶν Ἑλλήνων ἐγένετο,

---

2 ἐνόμιζεν om. E. 5 Πλάτων] In Gorgia p. 502 a. ἀλλ' ἀπεναντίον μᾶλλον] ἀλλὰ πῶν τοὐναντίον μᾶλλον. Reisk. 6 βέλτιστον ΘLN. Vulgo τὸ βέλτιστον. 7 ἂν εἶναι] ἂν om. E. 8 τὴν Λακεδαιμονίων] τὴν τῶν Λακεδαιμονίων E. 10 πλέον] Vulgo πλεῖον. 11 ἐν τῇ ΘLN. Aberat ἐν. στάσεις] συστάσεις N. 13 διαφόρων τινὲς] Inter quos erat Aristides ille Iustus cognominatus, Themistocli in republica adversarius. Plutarch. in Themist. pag. 213. Καὶ τοὺς πολίτας αἰσθόμενος ποθοῦντας Ἀριστείδην, καὶ δεδιότας μὴ δι' ὀργὴν τῷ βαρβάρῳ προσθεὶς ἑαυτὸν ἀνατρέψῃ τὰ πράγματα τῆς Ἑλλάδος, — γράφει ψήφισμα, τοῖς ἐπὶ χρόνῳ μεθεστῶσιν ἐξεῖναι κατελθοῦσι πράττειν καὶ λέγειν τὰ

Digitized by Google

μὴ λελοιπέναι ζήτησιν, ἀλλὰ πᾶσιν ὑπάρχειν εὐθὺς εἰπεῖν

186 ὅτι θεοὶ μὲν πρῶτον, ἔπειθ', ὅσον εἰς ἀνθρώπους ἧκε, μία μὲν πόλις ἡ τῶν Ἀθηναίων, γνώμη δὲ ἑνὸς ἀνδρὸς ἡ Θεμιστοκλέους. ὁρῶν γὰρ ὡς εἰ μή τις τῷ ναυτικῷ κρατήσει τῶν βαρβάρων, οἰχήσεται κατὰ πόλεις ἡ Ἑλλάς, προσβαλλόντων ἐν μέρει πᾶσι καὶ πορθούντων, καὶ πρὸς τούτῳ κἀκεῖνο εἰδὼς ὅτι τὰν τῇ γῇ πολὺ πλείους καὶ δεινοτέρας ἔχει τὰς ἀπορίας καὶ πολὺ πλείοσιν ἢ κατὰ θάλατταν μαχοῦνται καὶ ἀπορωτέροις προσφέρεσθαι, εἵλετο πρῶτον μὲν τὴν ἐλάττονα ὑπερβολὴν ἀντὶ τῆς μείζονος· ἔπειτα οὐ πρὸς καιρὸν τῇ τόλμῃ χρήσεται. καὶ ταῦτα ἐπεψήφιζεν ὁ θεὸς ὁ ἐν Δελφοῖς. ὅμως δὲ καὶ τῆς μαντείας ἐλθούσης ἦν ἀπορία τοῖς πολλοῖς τί ποτ' εἴη τὸ ξύλινον (307) τεῖχος τοῦτο. ὡς οἱ μὲν πρεσβῦται τῆς ἀκροπόλεως ἔχεσθαι παρῄνουν, οὕτω παρελήρουν, πεφράχθαι γὰρ αὐτὴν ῥάχῳ τὸ ἀρχαῖον καὶ τὸν χρησμὸν εἰς τοῦτο φέρειν. χρησμολόγοι δὲ πάντ' ᾔδον, πλὴν ἓν τῶν πάντων οὐκ ᾖδον, ὡς δεῖ ναυμαχεῖν. ἀλλὰ καὶ φυλάττεσθαι παρῄνουν τὴν Σα-

---

βέλτιστα τῇ Ἑλλάδι μετὰ τῶν ἄλλων πολιτῶν. Iebb. 18 ὑπάρχειν εὐθὺς] εὐθὺς ὑπάρχειν LN.

186, 1 ὅτι addidi ex ΘLN. μία μὲν πόλις] Supra noster in Panath. p. 138. τὰς μὲν γὰρ πόλεις ὑπερεῖχον Ἀθῆναι, τοὺς δὲ ἄνδρας ἀνὴρ Ἀθηναίων εἷς. Iebb. 2 τῷ ναυτικῷ] τῶν ναυτικῶν N. 3 προσβαλλόντων] προσβαλόντων L. πᾶσι] πάσῃ N. 6 Post μείζονος desunt quaedam. quem defectum Canterus in Latinis indicavit asterisco. videtur haec sententia desiderari ὅπως μὴ συγκλεισθεὶς εἰς ἀφύκτους ἀνάγκας. necessitatem puta praelii terrestris committendi. verum tamen vel sic deest sententia respondens ad πρῶτον. sanari vitium ex ingenio nullo modo potest. Reisk. οὐ N. Vulgo οὔ. 7 ἐπεψήφισεν ὁ θεὸς] Videantur omnino Corn. Nep. in Themistocle, et Iustin. Hist. lib. 2. cap. 12. Oraculi verba, ad quae alludit Aristides, extant apud Herodotum in Polyhymn. pag. 271.

Τεῖχος Τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεὺς
μοῦνον ἀπόρθητον τελέθειν, τό σε τέκνα τ' ὀνήσει.

Autorem ipsum consulas. Iebb. 8 ποτ' N. Vulgo ποτε. ποτ' ἂν L. ὡς] nam. quo sensu saepe usurpatur. Reisk. 11 Aut post πάντων deest τὸ μέγιστον vel simile quid, aut legendum πλὴν ἕν, ἐν ᾧ τὸ πᾶν ἐνῆν, οὐκ ᾖδον. Reisk. Fallitur. δεῖ] δεῖν N.

Digitized by Google

λαμῖνα παντὸς μᾶλλον — οἱ δέ γε αὐτοί ποτε οὗτοι τὸν εἰς Σικελίαν πλοῦν ἐπέσπευδον· τοὺς γὰρ αὐτοὺς ταυτὸν ἔθνος λέγω, πλήν γε δὴ οἱ μὲν Ἀλκιβιάδῃ συναγορεύοντες, οἱ ὕστερον, οἱ δὲ τότε ἀντέλεγον τῷ Θεμιστοκλεῖ — τό τε σύμπαν ἠξίουν ἄλλο τι ζητεῖν, καὶ φυγόντας ἔξω τῆς Ἑλλάδος ἄλλην χώραν οἰκίζειν. τέλος δ' ἔδοξεν Ἀθηναίοις τοὺς μὲν δὴ χρησμῳδοὺς χαίρειν ἐᾶν, Θεμιστοκλεῖ δὲ μᾶλλον πιστεῦσαι, ξύλινον μὲν εἶναι τεῖχος τὰς τριήρεις ἐξηγουμένῳ, ἀποκεῖσθαι δέ τι χρηστὸν ἐν τῇ Σαλαμῖνι,
187 διὸ δὴ καὶ θείαν αὐτὴν ὑπὸ τοῦ θεοῦ προσειρῆσθαι· ἐπεὶ κακοῦ γέ του μέλλοντος καταλήψεσθαι τοὺς Ἕλληνας ἐν αὐτῇ, σχετλίαν καὶ οὐ θείαν τὸ πρόσρημα ἂν αὐτῆς εἶναι. ἀλλὰ γὰρ εἰς τοὺς βαρβάρους εἰρῆσθαι τὸ πολλοὺς ἀπο- (308)
λεῖσθαι. δεῖν οὖν ναυμαχεῖν. καὶ ταῦτ' εἰκότως οἱ μὲν ἄλλοι χαλεπῶς εἶχον συμβαλεῖν, Θεμιστοκλῆς δὲ ῥᾳδίως ἐξευρεῖν. οὐ γὰρ ὅτε ἦλθον τὰ λόγια, οὐ τότε πρῶτον ταύτην ἔσχε τὴν γνώμην, οὐδ' αὐτοσχεδιάζων, οὐδ' ἐπὶ τοῦ καιροῦ σοφὸς ταύτην τὴν σοφίαν, ὥσπερ οἱ θεομάντεις, γενόμενος, ἀλλὰ καὶ πρὶν πέμπειν Ἀθηναίους εἰς Δελφοὺς καὶ πρὶν τὸν βάρβαρον κινηθῆναι, πάλαι καὶ πόρρωθεν ἐκεῖνος ταῦτ' ἐσκέψατο καὶ συνεῖδε, καὶ ὅπως ἐπὶ τοῦ καιροῦ καὶ τῆς χρείας μὴ ἀπορήσῃ προὐνοήθη. περιγενομένων γὰρ τῇ πόλει χρημάτων συχνῶν ἀπὸ τῶν ἔργων τῶν ἀργυρείων, καὶ ταῦτα μελλόντων εἰκῇ νέμεσθαι,

---

12 οἱ δέ γε] γε om. E. 13 Ἀλκιβιάδῃ] ἀλκιβιάδην N. Si servatur συναγορεύοντες, a communi repetendum est ἔσπευδον τὸν πλοῦν εἰς Σικελίαν. si autem oratio conformanda est sequenti ἀντέλεγον, scribendum erit συνηγόρευον. Reisk. 16 δὲ μᾶλλον ΘLN, Canterus. Aberat δὲ.

187, 1 ὑπὸ τοῦ θεοῦ] ὑπὸ τοῦ χρησμοῦ E. γρ. ὑπὸ τοῦ χρησμοῦ margo N. 3 ταῦτ'] ταῦτα ΘL. 4 συμβαλεῖν] συμβάλλειν ELN. ἦλθον] Malim ἦλθε. τότε om. N. 5 σοφὸς] σοφῶς N. 7 ταῦτ' L. Vulgo ταῦτα. 8 ἀπορήσῃ] ἀστοχήσῃ, superscripto ἀπορήσῃ, E. περιγενομένων] Plutarch. in Themist. pag. 206. Καὶ πρῶτον μὲν τὴν Λαυρειωτικὴν πρόσοδον ἀπὸ τῶν ἀργυρείων μετάλλων ἔθος ἐχόντων Ἀθηναίων διανέμεσθαι, μόνος εἰπεῖν ἐτόλμησε παρελθὼν εἰς τὸν δῆμον, ὡς χρὴ τὴν διανομὴν ἐάσαντας ἐκ τῶν χρημάτων τούτων κατασκευάσασθαι τριήρεις ἐπὶ τὸν πρὸς Αἰγινήτας πόλεμον. Eadem fere legere est apud Herodotum in Polyhym. pag.

Digitized by Google

μόνος τῶν πάντων ἐτόλμησεν ἀντειπεῖν, οὐ διακόνου πρᾶγμα πράττων, οὐδ᾽ ὑπηρετοῦντος ταῖς ἐπιθυμίαις, οὐδ᾽ ἀποπιμπλάντος τὰς ἡδονάς, ἀλλὰ μᾶλλον, ὥς γέ μοι φαίνεται, συμβούλου καὶ διδασκάλου, καὶ τὸ μὲν ἥδιστον ἑκόντος ὑπερβαίνοντος, τὸ δὲ βέλτιστον προορωμένου καὶ πράττοντος, κἂν δέῃ λυπῆσαι, καὶ τὸν ἰατρόν, ἀλλ᾽ οὐ τὸν ὀψοποιὸν μιμουμένου, μᾶλλον δὲ καὶ τὸν γυμναστήν, ὡς (309)
ἂν σὺ φαίης, εἴπερ πρὸ τοῦ κινδύνου καὶ τῶν δυσχερῶν ἔπραττε τὸ συμφέρον καὶ ὅπως μὴ ὑποδώσει τοῖς Ἕλλησι τὰ πράγματα. ἐκέλευε τοίνυν Ἀθηναίους τῆς μὲν διαδόσεως ὑπεριδεῖν, ναῦς δὲ ποιήσασθαι ἐκ τῶν χρημάτων, πρόφασιν μὲν ὡς ἐπὶ τὸν πόλεμον τὸν πρὸς Αἰγινήτας, οὗτος γὰρ ἐνειστήκει τότε, τῇ δ᾽ ἀληθείᾳ τὰ μέλλοντα ἔσεσθαι προορῶν καὶ νομίζων τὴν Μαραθῶνι μάχην ὡσπερεὶ προοίμιον γεγενῆσθαι τοῖς Ἀθηναίοις, εἶναι δ᾽ οὐ πέρας τοῦ πολέμου τοῦ παντὸς οὐδὲ τελευτήν, ἀλλ᾽ ἀρχὴν μᾶλλον καὶ παρασκευὴν ἑτέρων ἀγώνων μειζόνων. καὶ ταῦτα κατ᾽ ἀρχάς τε λέγων ἔπειθε καὶ αἱ τριήρεις ἐποιήθησαν, καὶ τότ᾽ ἔπεισεν ὡς δεῖ ταῖς τριήρεσι χρήσασθαι καὶ τῇ θαλάττῃ προσέχειν, ὡς οὐκ ὂν αὐτοῖς κάλλιον ὁρμητήριον τοῦ πρὸς τοὺς βαρβάρους πολέμου. καὶ πρῶτον μὲν ἐπ᾽
88 Ἀρτεμίσιον πλεύσας δυοῖν ναυμαχίαιν δύο ἵστησι τρόπαια, οὔτε λόγους ἀσχήμονας εἰπὼν οἶμαι πρὸς τοὺς ἐμπλέοντας Ἀθηναίων ἢ τῶν Ἑλλήνων οὔτ᾽ ἔργα φαῦλα ἀποδειξάμενος, ἀλλ᾽, ὥς φησι Πίνδαρος, κρηπῖδα τῆς ἐλευθερίας (310)
τοῖς Ἕλλησι βαλόμενος. ἔπειτα γράφει τὸ ψήφισμα τοῦτο, οὗ θαυμαστότερον οὐδ᾽ ἐλευθεριώτερον οὐδεὶς πω μέμνηται γραφέν.

---

272. et Corn. Nep. in Themist. cap. 2. Dictum vero hoc vectigal a Plutarcho Laureoticum, quod iste proventus erat ex Laureo, Atticae regione, in qua fuerunt olim Atheniensium argenti fodinae. Pausan. in Attic. pag. 1. Jebb. 11 καὶ post διδασκάλου videtur delendum. Reisk. 14 ὑποδώσει] ὑποδῶσι L. 15 διαδόσεως] Scilicet pecuniae ex argentifodinis redactae. Reisk.
16 τῇ δ᾽ L. Vulgo τῇ δὲ. 18 τοῦ πολέμου τοῦ παντὸς] τοῦ παντὸς πολέμου L. ἀλλ᾽ N. Vulgo ἀλλὰ. 20 τότ᾽ N. Vulgo τότε. 21 Ἀρτεμίσιον] ἀρτεμισίῳ Θ.
188, 2 οὔτ᾽ ἔργα N. Vulgo οὔτε ἔργα. Πίνδαρος] Fragm. 196. p. 658. 3 βαλόμενος ΘL. Vulgo βαλλόμενος. 4 οὐδ᾽]

*Ἔοικα δ' ὑπερβαίνειν πολλὰ τῶν ἐν μέσῳ· βέλτιον οὖν ἴσως ἐπανελθεῖν. οὕτω γὰρ ὡς ἀληθῶς ἐκεῖνος θείᾳ τινὶ μοίρᾳ καὶ ὑπὲρ τῆς Ἑλλάδος πάσης ἔφυ καὶ οὐδὲν βέλτιον ἑώρα πλέον τοῦ κοινῇ συμφέροντος, ὥστ' ἐπειδὴ συνελέγησαν εἰς ταυτὸν οἱ Ἕλληνες, ὑπερέβαλον μὲν Ἀθηναῖοι τῷ πλήθει τῶν νεῶν σχεδὸν πάντας, ὡρμημένων δὲ τῶν Ἑλλήνων μᾶλλον πρὸς τοὺς Λακεδαιμονίους κἀκείνους ἐθελόντων προΐστασθαι, συνιδὼν ὁ πάντα ἄριστος ἐκεῖνος ὡς, εἰ τὸ δίκαιον ἀκριβῶς ἐξετάζοι καὶ στάσις ἐγγένοιτο ὑπὲρ τῆς ἡγεμονίας, ἅπαντ' ἀπολεῖται κακῶς, καὶ οὐχ ἕξουσιν ὅ τι χρήσονται, πείθει τοὺς Ἀθηναίους ὑφίεσθαι καὶ συγχωρῆσαι τοῖς Λακεδαιμονίοις ἐν τῷ τότε τὴν ἡγεμονίαν, ὑποσχόμενος παρ' ἑκόντων αὐτοῖς τῶν Ἑλλήνων αὐτὴν ἀνακτήσεσθαι. καὶ οὐκ ἐψεύσατο, σχεδὸν δέ τι καὶ τοὔνομα τῆς ἡγεμονίας, ἀλλ' οὐκ αὐτὴν ἔπεισε παρεῖναι,* (311 *ἐπεὶ τό γ' ἀληθὲς εἰπεῖν αὐτοῖς μὲν τὴν ἡγεμονίαν, ἐκείνοις δὲ τὴν ἐπωνυμίαν ἀνέθεσαν, καὶ περιεγένετο αὐτοῖς ἄνευ τῆς σωτηρίας τῆς κοινῆς καὶ τὸ τῶν μὲν πολεμίων ἀνδρείᾳ, τῶν δὲ συμμάχων πρᾳότητι κρατῆσαι, καὶ τὸ σχῆμα τῷ παντὶ κάλλιον καὶ σεμνότερον· ἡγεμόνων γὰρ ἡγεμόνες κατέστησαν. καὶ εἰ φῄς, ὦ Πλάτων, ὅτι οὐ τριήρων οὐδὲ νεωρίων αἱ πόλεις δέονται, ἀλλ' εὐβουλίας καὶ*

---

σης
οὐδὲ N. 6 πάσης] πάντως L. Aut *βέλτιον* aut *πλέον* redundat. sed hoc potius. Reisk. 7 ὥστ' N. Vulgo ὥστε. ταυτὸν] αὐτὸν Θ. 8 μᾶλλον] μᾶλλόν γε L. 9 κἀκείνους] κἀκείους
ους
νων (ους ab rec. m.) N. 10 ἐξετάζοι Steph. Iebb. ἐξετάζει Iunt. ἐγγένοιτο] ἐγγένηται Θ. 11 πείθει] Plutarch. in Themist. p. 209. *Ἔνθα δὴ τῶν μὲν Ἑλλήνων Εὐρυβιάδην καὶ Λακεδαιμονίους ἡγεῖσθαι κελευόντων, τῶν δ' Ἀθηναίων, ὅτι πλήθει τῶν νεῶν σύμπαντας ὁμοῦ τι τοὺς ἄλλους ὑπερέβαλλον, οὐκ ἀξιούντων ἑτέροις ἕπεσθαι, συνιδὼν τὸν κίνδυνον ὁ Θεμιστοκλῆς, αὐτός τε τὴν ἀρχὴν Εὐρυβιάδῃ παρῆκε, καὶ κατεπράϋνε τοὺς Ἀθηναίους, ὑπισχνούμενος, ἂν ἄνδρες ἀγαθοὶ γένωνται πρὸς τὸν πόλεμον, ἑκόντας αὐτοῖς παρέξειν εἰς τὰ λοιπὰ πειθομένους τοὺς Ἕλληνας.* Confer Herodotum in Uran. pag. 293. Iebb. 12 ὑποσχόμενος] ὑπεσχημένος N. 13 ἀνακτήσεσθαι N. Vulgo ἀνακτήσασθαι. σχεδὸν δέ τι καὶ] Subaudi *μόνον*, quod saepe omittitur. Reisk. 15 καὶ τὸ ΘΕΝ et correctus L. Vulgo καὶ τοῦ. 16 ἀνδρείᾳ Θ. Vulgo ἀνδρίᾳ. 17 κάλλιον] κάλλιστον E.

189 σωφροσύνης, ὁ Θεμιστοκλῆς οὐ μόνον τὰς τριήρεις τοῖς Ἀθηναίοις ἐξεῦρεν οὐδ', ὃ τούτου μεῖζόν ἐστιν, ὑπὲρ τῶν κοινῶν δικαίων καὶ εἰς τὸ δέον πᾶσι τοῖς Ἕλλησιν ἐχρήσατο αὐταῖς, ἀλλὰ καὶ τὴν ὁμόνοιαν τὴν ἀγαθὴν αὐτὸς ταῖς πόλεσι προσεισηνέγκατο καὶ κατέπραξεν, ὃ τῶν νεῶν αὐτῶν οὐχ ἧττον ἔσωσε τὴν Ἑλλάδα· μᾶλλον δὲ καὶ ταῖς ναυσὶν αὐταῖς ἐποίησε χρήσασθαι. καὶ ὃ μικρῷ πρόσθεν ἔφην, ἐνταῦθα καλῶς ἀναφαίνεται, ὅσῳ τοῦ Τερπάνδρου κρείττων ἀνὴρ τὴν μουσικήν. ὁ μὲν γὰρ ἐφ' ἑαυτῶν τοὺς Λακεδαιμονίους ὁμονοεῖν ἐποίησεν, ὁ δ' Ἀθηναίους καὶ Λακεδαιμονίους τότε ταυτὸν ἔπεισε φρονῆσαι, μᾶλλον δ' ἅπαντας τοὺς Ἕλληνας μιᾶς γενέσθαι γνώμης· οὕτως εὖ (312) καὶ καλῶς τὴν Ἑλλάδα ἡρμόσατο, καὶ αὐτός τε ἀπέστη τῆς ναυαρχίας καὶ ἐκείνους ἔπεισε τῆς ἡγεμονίας, οὕτω πολὺ νικῶντας καὶ μόνους ὄντας εἰς ἐλπίδα τοῖς πράγμασι. καίτοι τοσοῦτον δεῖγμα σωφροσύνης καὶ καρτερίας τίς πώποτε ἐξήνεγκε τῶν ἐν τοῖς τρίβωσι κατασαπέντων; οὐ τοίνυν ὥσπερ τοῦ σχήματος, οὕτω καὶ τῆς προνοίας τῆς περὶ τῶν πραγμάτων ὅπερ εἶπον ἐξέστη, οὐδ' ὑπεχώρησεν οὔτε πόλει οὔτ' ἀνθρώπων οὐδενὶ, ἀλλ' αὐτός τε ἅπαντα συνεβούλευσεν, ὥσπερ ἂν εἰ μόνος ἦν τῶν πάντων ἡγεμὼν, καὶ τὸν τῶν Λακεδαιμονίων ναύαρχον τὸν Εὐρυβιάδην ὥσπερ παῖδα κοσμῶν καὶ περιστέλλων καὶ προδιδάσκων διεγένετο, ὥσπερ οἱ τοὺς νεῖν ἀδυνάτους ἀνέχοντες ταῖς ἑαυτῶν χερσὶν, οὐκ ἐξελέγχων, ἀλλ' οἷον ὑποκοριζόμενος τῷ τῆς ναυαρχίας ὀνόματι, ἐπεὶ ὅτι γε αὐτός τε ναύαρχος καὶ κύριος ἦν τῶν ἁπάντων, πρώτου δ' αὐτοῦ τοῦ ναυάρχου στρέφειν ὅποι βούλοιτο, παρὰ πᾶσαν ἔδειξε τὴν ἀρχὴν,

---

189, 1 οὐδ' N. Vulgo οὔτε. 3 προσεισηνέγκατο Reiskius. Legebatur προεισηνέγκατο. προεισενέγκατο L. προσηνέγκατο N. 4 μικρῷ πρόσθεν] P. 185, 7. 5 ἀνὴρ] Vulgo ἀνήρ. 9 Quamvis ipsi, etiamsi vel soli essent, tamen tam multum praestarent caeteris ad faciendam bonam spem de rerum praesentium successibus. Reisk. 10 πώποτε ἐξήνεγκε] ποτε ἐξήνεγκεν L. 12 οὔτε ἀνθρώπων L. συνεβούλευσεν] συνεβούλευεν L. 14 νεῖν LN, Canterus, Iebb. νῦν Iunt. 15 ἐπεὶ N. Vulgo ἔπειθ'. 16 αὐτός τε] τε om. N. καὶ κύριος E. Vulgo αὐτὸς κύριος. κύριος ἦν] ἦν κύριος N. πρώτου] πρῶτος E. δ' E. Vulgo δέ.

καὶ δὴ καὶ τότε εὐθύς. ἐκπλαγέντος γὰρ τοῦ Εὐρυβιάδου
πρὸς τὸ πλῆθος τῶν τριήρων τῶν βαρβαρικῶν, ὧν τὰς (313)
μὲν ἑώρα καταντικρὺ προσφερομένας, τὰς δ' ἤκουε περι-
πλεῖν, καὶ διανοουμένου τὸν ἀγῶνα καταλιπεῖν οὐκ ἐπ' ἐλ-
πίδι βελτίονι, ἀλλ' ὅπερ ἐν τοῖς τοιούτοις συμβαίνει τὸ
παρὸν διακρούσασθαι κέρδος ἡγεῖσθαι, τοιοῦτον πάθος
190 παθόντος καὶ πρὸς τὴν Πελοπόννησον βλέποντος, αὐτὸς
ὥσπερ θεός τις τῶν ἀπὸ μηχανῆς χεῖρα ὑπερέσχε καὶ διε-
κώλυσε διαφθαρῆναι τὰ πράγματα ἀπ' αἰσχρᾶς οὕτω τῆς
ἀρχῆς ἀρξάμενα· καὶ τὸν Εὐρυβιάδην ὡς οὐκ ἔπειθε λέ-
γων, ἐπρίατο, οὐχ ὡς ἄν τις διάκονος ἀξιῶν τινὸς εἶναι,
ἀλλ' ἐκείνῳ μᾶλλον ὡς διακόνῳ χρησάμενος· καὶ τήν τε
Εὔβοιαν περιεποίησε καὶ τὰ πράγματα τῶν Ἑλλήνων ἔστησε
μὴ παντελῶς ἄπορα εἶναι, παρασχὼν πειραθεῖσι πιστεῦ-
σαι. ἀγγελθέντος δὲ τοῦ περὶ τὰς Πύλας πάθους καὶ τῆς
κοινῆς, εἰ θέμις εἰπεῖν, τοῦ τε Ἀπόλλωνος τοῦ Πυθίου
καὶ Θεμιστοκλέους μαντείας δεύτερον ἤδη φανερᾶς γεγο-
νυίας, ὅτι πάντα ἐν ταῖς ναυσὶν ἄρ' ἦν — οἵ τε γὰρ
εἰς τὴν Θετταλίαν εἰσελθόντες ὡς τὰ Τέμπη φυλάξοντες
προδοθέντες ὑφ' ὅτων δή ποτε ἀνεχώρησαν, οἵ τε εἰς (314)
Πύλας ἀπαντήσαντες κατεχώσθησαν ὑπὸ τῶν βαρβάρων·
καὶ οὐ τοσοῦτόν γ' ἔστι μόνον εἰπεῖν περὶ αὐτῶν, ἀλλ'
ὅτι καὶ Λακεδαιμόνιοι δοκοῦσί μοι ταῦτα γνόντες ἐξ ἀρχῆς
ὥσπερ ἀφοσιούμενοι πρὸς τοὺς Ἕλληνας ἀποστεῖλαι τοσού-

---

18 ὧν Reiskius. Vulgo ὅς. 20 συμβαίνει] συμβαίνοι N. τοιοῦτον N. Vulgo τοιοῦτο.

190, 3 τὸν Εὐρυβιάδην] Rem totam videas apud Herodotum in Uran. sub initio. Iebb. 7 ἄρ' LN. Vulgo ἆρ'. 8 τὰ Τέμπη] Ingressum nimirum, qui ab inferiore Macedonia Thessaliam fert, juxta amnem Peneum inter Olympum et Ossam montem. Herodot. in Polyhymn. Huc pervenit exercitus Graecorum, ducibus Euaeneto Lacedaemonio et Themistocle. Verum cum paucos illic dies commorati essent, venerunt nuntii ab Alexandro Amyntae filio Macedone, qui suaserunt ut illinc decederent, ne ab irrumpentibus Persarum copiis proculcarentur. Horum consilio obtemperaverunt Graeci. Metu autem haec suasisse videtur Alexander, vel saltem quod Graecorum rebus minus bene consultum vellet. Consulatur Herodotus in loco superius prolato. Iebb.
9 τοσοῦτον EN. τοσοῦτο ΘL. Legebatur τοῦτο. 10 ἔστι] ἔστιν,

Digitized by Google

τους ὁπόσων ἠδύναντο ἐνεγκεῖν στερηθέντες, ὡς τοῦ γε ἀποτυχεῖν ὑπάρχοντος — οὕτω δὴ τούτων κεχωρηκότων καὶ τῶν ἐν ταῖς ναυσὶ κατὰ κράτος ἤδη φευγόντων εἰς τὸ εἴσω τῆς Ἑλλάδος, καὶ τὴν Πελοπόννησον σχεδὸν Ἑλλάδα
191 ποιουμένων, τὰ δ' ἄλλα παρεικότων, ἔσχατος μὲν ἀνεχώρει μετὰ ἐσχάτων Ἀθηναίων, οὐ τὴν αὐτὴν τάξιν φυλάττων ἥνπερ ὅτε ἐκπλεῖν ἔδει· τότε μὲν γὰρ πρῶτος ἦν ἐν πρώτοις. εἰ δ' αὖ βούλει κἀνταῦθα τὸ τῆς ὁδοῦ πάρεργον, ὃ πρὸς τοὺς Ἴωνας ἐπολιτεύσατο, οὐκ ἀπὸ τοῦ βήματος, οὐδ' ὁρώμενος αὐτοῖς, ἀλλ' ἀπὸ τῶν πετρῶν καὶ τῶν τόπων τῶν ναυλόχων, οἷς ἤλπιζεν αὐτοὺς προσμίξειν, ποῖος Μίνως Ὁμηρικὸς ταῦτα μέμψαιτ' ἄν, ἢ τίς Αἰακὸς ἄρας τὰς χεῖρας ὑπὲρ τῶν Ἑλλήνων τῷ Διί; ἐνταῦθα δὴ πολὺ μείζων καὶ καλλίων ἡ τρίτη πεῖρα ἐπεγένετο ὡς αἱ (315)
τριήρεις τὸ πᾶν ἔφερον, τὰ δ' ἄλλα μάταιον καὶ προσδοκᾶν ἦν. ἀναχωρησάντων γὰρ ἀπ' Ἀρτεμισίου τῶν Ἑλλήνων Ἀθηναῖοι μὲν καὶ οὕτως αὐτοί τε παρεσκευάζοντο καὶ τοὺς ἄλλους ἐκέλευον ἀπαντᾶν εἰς τὴν Βοιωτίαν καὶ προκινδυνεύειν τῆς λοιπῆς Ἑλλάδος· οἱ δ' εἰς τοῦτο κατέστησαν τῆς ἀπορίας, οὐ γὰρ ἄξιον λέγειν προδοσίαν, ὥστ' ἐξιέναι μὲν οὐκ ἐθάρρουν, διαλαβόντες δὲ τὸν Ἰσθμὸν ἐτείχιζον, ἐκ θαλάττης εἰς θάλατταν, παραπλήσιον δρῶντες ὥσπερ ἂν εἰ συγκαλυψάμενοι σφᾶς αὐτοὺς παρεδίδο-

---

omisso μόνον, Θ. 11 ὁπόσων] ὁπόσον N. ἠδύναντο] Vulgo ἐδύναντο. 12 δὴ] δὲ LN. 13 τὰ δ'] τὰ δὲ Θ.

191, 3 Post ὁδοῦ aut in hac regione deest ὅρα vel σκόπει, nisi gravius vulnus subest. Cogitavi aliquando, ἡ δ' αὐτοῦ εὐβουλία κἀνταῦθα ἀνεφάνη τεχνωμένη τὸ τῆς ὁδοῦ πάρεργον, sed difficile et periculosum est ex ingenio defectus librorum sarcire velle. Reisk.
5 De Minoë et Aeaco paulo sunt haec obscuriora cur ad rem praesentem afferantur. video quidem auctorem hoc velle dicere. quis iudex hoc improbet quamvis severus, et vel Minoi atque Aeaco par in religione indicandi. haec sufficiebant et poterant intelligi. sed quid opus est illa accessione *qui sublatis ad Iovem manibus pro Graecis supplicavit.* haec ad rem nihil pertinent, nisi dicas Themistoclis amorem erga Graecos cum simili Aeaci aequiparari. Reisk. 6 δὴ om. E δὲ δὴ Reiskius. 8 Ἀρτεμισίου] ἀρτεμησίου N. 10 προδοσίαν] προδοσίας E. ὥστ' N. Vulgo

Digitized by Google

σαν. ὅπου γὰρ ἐξῆν τοῖς βαρβάροις περιπλεύσασι κατὰ πόλεις ἑλεῖν αὐτούς, τί πλέον τοῦ τείχους ἦν, εἰ καὶ σεμνότερον τοῦ τῶν Βαβυλωνίων ἐστάθη καὶ πάσης κρεῖττον μηχανῆς; οὐκοῦν τῶν μὲν Ἀθηναίων μονωθέντων, τῶν δ' Ἑλλήνων ἀνόητα πονούντων, λοιπὸν ἦν ἅπαντα ἔχεσθαι σιωπῇ καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. ἃ Θεμιστοκλῆς πόρρωθεν προορώμενος οὐκ ἐξεπλάγη τότε, ἀλλ' εἰσχεομένων ἀμφοτέρωθεν ἤδη τῶν βαρβάρων, καὶ τῶν τε νεῶν κοινῷ

192 στόλῳ προσαγουσῶν καὶ τοῦ πεζοῦ κατὰ τὴν Βοιωτίαν εἰσβαλόντος, καὶ τοῦ πυρὸς πάντα ἐπιφλέγοντος καὶ δη- (31 λοῦντος ἀντὶ φρυκτῶν προσάγειν βασιλέα, γράφει τὸ ψήφισμα τοῦτο, τὴν μὲν πόλιν παρακαταθέσθαι Ἀθηνᾷ, Ἀθηνῶν μεδεούσῃ· παῖδας δὲ καὶ γυναῖκας εἰς Τροιζῆνα ὑπεκθέσθαι, τοὺς δὲ πρεσβύτας εἰς Σαλαμῖνα, τοὺς δ' ἄλλους ἐμβάντας εἰς τὰς τριήρεις ὑπὲρ τῆς ἐλευθερίας ἀγωνίζεσθαι. ὦ μεγάλης μὲν τῆς ἐπινοίας καὶ ὑπερφυοῦς, θαυμαστῆς δὲ τῆς ῥώμης, ὅστις ταῦτα πρῶτος πείσειν ἤλπισε καὶ οὐκ ἀπέγνω πρᾶγμα τοσοῦτον· θαυμαστῆς δὲ καὶ τῆς τῶν πεισθέντων ἀρετῆς τε καὶ παιδείας, ἣν ἐπεπαίδευντο ὑπ' ἐκείνῳ πάντα ἀνέχεσθαι καὶ καρτερεῖν, ὅσ' ἂν διδῷ μὲν ὁ δαίμων, συμβουλεύῃ δὲ Θεμιστοκλῆς. τοῦτο τὸ ψήφισμα τῶν ὑφ' ἡλίῳ μαρτύριον κάλλιστον καὶ λαμπρότατον καὶ τελεώτατον εἰς ἀρετῆς λόγον, πάντων ἀπόδειξιν τῶν ἀρίστων ἑξῆς ἔχον, τοῦ θαρρεῖν τοῖς θεοῖς, τοῦ φρονεῖν ἐφ' ἑαυτοῖς, τοῦ παθεῖν ὁτιοῦν ἐθέλειν, πρίν τινος αἰσχροῦ πεῖραν λαβεῖν, ἔτι πρὸς τούτοις τοῦ φυλάττειν τὰ δόξαντα ἐξ ἀρχῆς, τοῦ μὴ μνησικακεῖν τοῖς ὁμοίοις, μηδ' ἂν ἀνομοίων ἔργα δοκῶσι προηρῆσθαι. τοῦτο (3 τὸ ψήφισμα οὐ κόλαξ ἐμοὶ δοκεῖν ἄνθρωπος οὐδὲ κάτω

---

ὥστε. 12 περιπλεύσασι] παραπλεύσασι a pr. m. L. 14 τῶν δ'] τῶν δὲ N. 16 ἀμφοτέρωθεν] γρ. ἀμφοτέρων margo N.

192, 1 εἰσβαλόντος ΘLN. εἰσβαλλόντος (sic) Iunt. εἰσβάλλοντος Steph. Iebb. 2 ἀντὶ φρυκτῶν] ἀντιφρυκτῶν N. βασιλέα] τὸν βασιλέα L. 3 Ἀθηνῶν om. L. 4 τοὺς δ'] τοὺς δὲ Θ. 6 ταῦτα πρῶτος πείσειν] πρῶτος πείσειν ταῦτα LN. πρῶτος] πρῶτον Θ. ἤλπισε] ἤλπιζεν L. 8 συμβουλεύῃ] συμβουλεύει N. 9 μαρτύριον] μάρτυρι Canterus. 10 Post τοῖς θεοῖς E in textu, N in margine addit τοῦ (sic E: καὶ N) μὴ εἰς ἄλλους τὰς ἐλπίδας ἔχειν. 11 ἔτι πρὸς] καὶ πρὸς L. 13 κάτω βλέπων] κατωβλέ-

Digitized by Google

βλέπων, οὐδ' ὑποπεπτωκὼς τοῖς ἀκούουσιν, ἀλλὰ θεῶν τις διὰ τῆς Θεμιστοκλέους γλώττης ἐφθέγξατο. ἢ πού σοι Μίθαικος ὁ τὴν Σικελικὴν ὀψοποιίαν συγγεγραφώς, ἢ Σάραμβος ὁ κάπηλος — νῦν γὰρ ἀνεμνήσθην τοὔνομα —
93 ταῦτα συγγράψασθαι δοκεῖ; φέρε μοι δὴ παρὰ τοῦτο τὸ ψήφισμα τὰ τῶν σοφιστῶν, εἰ βούλει, συγγράμματα καὶ τοὺς νόμους, ὀνομαστὶ γὰρ οὐδὲν δέομαι λέγειν. οἶμαι δὲ οὐ πολλῶν ἂν αὐτὸ ἀτιμότερον φανῆναι. καίτοι διακόνου μὲν ἦν καὶ τὴν ἐν τῷ παραχρῆμα χάριν διώκοντος, μάλιστα μὲν ἃ προσέταττον οἱ πολλοί, ταῦθ' ὑπηρετεῖν· εἰ δὲ μή, στοχαζόμενον τῆς ἐκείνων διανοίας ἃ νομίζει καθ' ἡδονὴν αὐτοῖς ἔσεσθαι, ταῦτα καὶ λέγειν καὶ πράττειν, ἢ μικρὸν γοῦν τι παραλλάξαι τῆς ἐπιθυμίας. Θεμιστοκλῆς δὲ τοσοῦτον ἀφειστήκει τοῦ πρὸς τὴν τῶν πολλῶν ἐπιθυμίαν τε καὶ ἡδονὴν ταῦτα πράττειν καὶ πολιτεύεσθαι, ὥστε ὁρῶν μὲν αὐτοὺς δακρύοντας, ἀκούων δὲ παίδων καὶ γυναικῶν ποτνιωμένων, ἔτι δὲ ὑπολειπομένων τινῶν ἀναγ- (318)
καίως, παραπλησίου δὲ μάλιστά πως ὄντος ὥσπερ ἂν εἰ ἑαλωκυίας τῆς πόλεως κατὰ κράτος, εἰκότως· τὸ μὲν γὰρ μέλλον ἅπασιν ἦν ἐν ἀφανεῖ, λεπτὴν καὶ ἄπιστον ἔχον τὴν ἐλπίδα, τὰ δὲ παρόντα στέρησις πόλεως καὶ κτημάτων καὶ διαίτης ἁπάσης τῆς πρότερον καὶ μηδὲ τὴν αὐτὴν πορεύεσθαι, μηδ' ἐν ταὐτῷ μετοικεῖν, ἀλλ' ἀπεζεῦχθαι γονέας καὶ παῖδας καὶ γυναῖκας καὶ ἄνδρας, καὶ πάντα ἦν τὰ φρικωδέστατα ἀκοῦσαι, μὴ ὅτι ὑπομεῖναι· οὗ γε καὶ τῶν κυνῶν φασι τῶν χειροήθων ὠρυομένων πρὸς τὴν ἀπόλειψιν καὶ τῶν ἄλλων θρεμμάτων ἐφεπομένων ἄχρι

—των N. 15 νῦν γὰρ ἀνεμνήσθην] Respicit ad locum p. 151, 8. Reisk. ἀνεμνήσθην] ἀνεμνήσθη E.

193, 2 ὀνομαστὶ Θ et Reiskius. Legebatur ὀνόματι. οὐ LN. Vulgo οὐδέ. Recte dant codices οὐ pro οὐδέ, videturque mihi futurum ut in eiusmodi comparatione non multi sint libri philosophorum, qui dignitate huic psephismati antecellant. Reisk.
4 ταῦθ' L. Vulgo ταῦτα. 7 ταῦτα] Fort. πάντα aut τὰ πάντα. Reisk. 8 ὑπολειπομένων] ὑπολελειμμένων E. 9 ὄντος LN et Photius p. 429 a, 25. Vulgo ὄντως. τῆς πόλεως ab L abesse ait Iebbius. 10 ἐλπίδα] φροντίδα L. τὰ φρικωδέστατα] τὰ om. Θ. 14 τῆς (τῆς om. L) θαλάττης] τῆς θαλάσσης (ττης) N.



Digitized by Google

τῆς θαλάττης πολλὴν τὴν σύγχυσιν εἶναι. ταῦτα πάντα ὁρῶν καὶ ἀκούων ὁ πάντα καρτερώτατος ἠνείχετο — ἃ ποῖος Ὀδυσσεὺς ἀδακρυτὶ τὴν γύναικα ὁρῶν ῥᾳδίως ἂν ἤνεγκε; — καὶ παραλαβὼν αὐτοὺς ὥσπερ παῖδας ἐξῆγεν ἀτρεμιζούσῃ τῇ ψυχῇ καὶ τοῖς λογισμοῖς ἑστῶσιν, οὐ μόνον τοῖς ὀφθαλμοῖς, ὥσπερ εἰς πομπήν τινα αὐτοὺς ἐξάγων, ἢ κληρούχους, ἀλλ' οὐκ ἄγων εἰς Σαλαμῖνα. οἱ δ'
194 ἐπείθοντο, καὶ καταλιπόντες ἱερὰ καὶ τάφους καὶ γῆν εἰς ἕνα ἑώρων Θεμιστοκλέα, παίδων καὶ γονέων καὶ τῶν (319
τῆς φύσεως ἀναγκαίων ἐκεῖνον προκρίναντες, καὶ ὥσπερ τῆς ἱερᾶς ἀγκύρας τῆς ἐκείνου φωνῆς ἐχόμενοι. οὐκ ἂν τότε γ' αὐτοὺς οὐδ' Ὀρφεὺς ὡς ἑαυτὸν μετέστησεν. ἀλλὰ μὴν ἅ γ' ἐν τῇ Σαλαμῖνι καὶ λέγων καὶ πράττων διετέλεσεν ἐν ἅπασιν ἤδη τοῖς Ἕλλησι πολιτευόμενος, καὶ ὅσας καὶ οἵας ἀφῆκε φωνὰς ὑπὲρ τοῦ καλοῦ καὶ τοῦ δικαίου καὶ ὁπόσους τινὰς ἄθλους διήνεγκε καὶ πράγμασιν οἵοις συνέσχετο, ὁπότε καὶ πείσειεν, ἐξ ἀρχῆς αὖθις αὖ περὶ τῶν αὐτῶν ἀγωνιζόμενος, καὶ τὴν συνουσίαν ἣν συνεγένετο Ἀριστείδῃ τῷ κατ' ἐπωνυμίαν ἀρίστῳ τῶν Ἑλλήνων καὶ δικαιοτάτῳ, καὶ ὡς ἐφάμιλλα ὡμίλησαν, καὶ οὐ πολὺ δ' ὕστερος ἦν τοῖς ἀμοιβαίοις, καὶ τὸ πάταξον μέν, ἄκουσον δὲ ὑπὲρ πάντα Σωκράτη εἰρημένον πρὸς Εὐρυβιάδην καὶ μυρί' ἕτερα ἀπέραντον ἂν εἴη λέγειν. ὡς δ' ἀντέλεγε μὲν οὐδεὶς αὐτῷ, παραμένειν δὲ οὐκ ἐτόλμων, ἀλλ' ἐξεχέοντο ὑπὸ τοῦ δέους οἱ λόγοι καὶ ὁ δρασμὸς ἐνίκα καὶ πράγματα αἴσχιστα ἔμελλε συμβήσεσθαι, καὶ οὐχ ὅσον τὸ τῆς δουλείας, ἀλλ' ἀποδρᾶναι πρῶτον, εἶτα δουλεύειν, καὶ πρότερον δούλους κακοὺς δόξαι τοῖς βαρβάροις ἢ δούλους (3
γενέσθαι, τότε δή, τότε ὑπὲρ πάντας ἰατροὺς πρὸς ἀνάγκην καὶ πρὸς ἀηδίαν σώζοντας ἐπάγει τοὺς βαρβάρους

---

15 πάντα] πάντων ΘΝ.

194, 2 τῆς ἱερᾶς ΘLN. Aberat τῆς. ἀγκύρας] ἐγγύρας L. 3 ὡς L. Vulgo εἰς. μετέστησεν] μετέστησε L. 5 ὁπόσους τινὰς] πόσους τινὰς τοὺς N. 8 τῶν ἑλλήνων καὶ δικαιοτάτῳ ΘLN. Legebatur καὶ δικαιοτάτῳ τῶν Ἑλλήνων. δ' E. Vulgo δὲ. ὕστερος] ὕστερον E. 9 Σωκράτη] Vulgo Σωκράτην. 12 ἀλλ' ἀποδρᾶναι] ἀλλὰ καὶ ἀποδρᾶναι E, ἀλλ' οὐδ' ἀποδρᾶναι L. 18 ἢ δούλους] εἰ τὸ ἢ δούλους L.

95 αὐτοῖς, ἀμφοτέρους ἐξαπατήσας, τοὺς μὲν ὡς κατ' εὔνοιαν καλῶν, τοὺς δ' ὡς οὐδὲν εἰδὼς τοῦ πράγματος· ὥσθ' ὅ γ' Ἀριστείδης χρηστὸς ἦν προσαγγέλλων αὐτῷ, καὶ λαβὼν αὐτοὺς καὶ τὸ τρίτον καταβαλὼν μέγιστον ἁπάντων, οἶμαι, πτωμάτων καὶ τελεώτατον, φυγάδα ἐκβάλλει Ξέρξην ἐξ ἐσχάτων ὅρων τῆς Ἀττικῆς, καὶ προσέτι γε φεύγειν εἰπών. ὁ δ' ὥσπερ δεσπότῃ διακονῶν ἐχρῆτο ταῖς ἐντολαῖς, καὶ διώκειν τε κελεύοντι τοὺς Ἕλληνας ὑπήκουε καὶ φεύγειν προστάττοντος ἐπείθετο, καὶ πρὸς ἥδει χάριν· καὶ πρότερον διδοὺς αὐτὸς τοῖς ἄλλοις κατὰ τῶν Ἑλλήνων ἐντολάς, τότ' ἀκούειν ἠναγκάζετο τῶν Ἑλλήνων ἑνός, καὶ ταῦτα τοῦ πάντων ἐχθίστου καὶ πολεμιωτάτου.

Τοσοῦτον, ὡς ἔοικε, Θεμιστοκλεῖ περιῆν τοῦ διακονεῖν. οὐκοῦν ἐν μὲν οἷς ἀντὶ τῆς ἡσυχίας τὸν πόλεμον προῃρεῖτο, ἀνδρείας δεῖγμα ἐξέφερεν, ἐν οἷς δὲ ὑπὲρ τῶν Ἑλλήνων πρὸς τοὺς βαρβάρους πολεμεῖν ᾑρεῖτο, ἀλλὰ μὴ

---

195, 2 προσαγγέλλων] προσαγγέλων N. 3 τὸ τρίτον] Corn. Nep. in Themist. cap. 5. *Hic barbarus tametsi male rem gesserat, tamen tantas habebat reliquias copiarum, ut etiam cum his opprimere posset hostes. Interim tamen ab eodem gradu depulsus est. Nam Themistocles, verens ne bellare perseveraret, certiorem eum fecit, id agi, ut pons, quem ille in Hellesponto fecerat, dissolveretur, ac reditu in Asiam excluderetur. Idque ei persuasit. Itaque qua sex mensibus iter fecerat, eadem minus diebus triginta in Asiam reversus est; seque a Themistocle non superatum, sed conservatum iudicavit.* Videantur Herod. in Uran. pag. 315. Diod. Sic lib. 11. pag. 252. Frontin. Strateg. lib. 2. cap. 6. Iebb. ἐκβάλλει] εἰσβάλλει, ut videtur, N. 4 ὅρων] ὀρῶν L. ὥσπερ] ὥσπερεὶ N. 5 ὑπήκουε] ὑπήκουεν Θ. 6 πρὸς ἥδει] Vulgo προσῄδει. αὐτὸς τοῖς ἄλλοις LN. Vulgo τοῖς ἄλλοις αὐτός. 8 Τοσοῦτον Θεμιστοκλῆς περιῆν τοῦ διακονεῖν] Gemino modo potest accipi; uno, ut sit cavillatio plane ad illum sensum accipienda, quem verba dant; et eo modo accepit Canterus: *tantum abundavit Themistocli de ministerio.* h. e. tantus erat eius ardor, tam effusum studium serviliter ministrandi alienis imperiis. altero modo potest ut affirmantis et aientis oratio accipi. tantum eminebat et excellebat Themistocles, ut longis intervallis abesset ab humilitate serviendi. περιῆν αὐτῷ τοῦ διακονεῖν idem est atque ἦν αὐτῷ ὑπεροχὴ καὶ περιουσία ὑπὲρ τὸ διακονεῖν. ad verbum, erat ei excellentia et redundantia super ministrare. περὶ πάντων idem est atque ὑπὲρ πάντας, πρὸ πάντων. Reisk. τοῦ διακονεῖν] τὸ διακονεῖν N. 9 ἀνδρείας ΘL. Vulgo ἀνδρίας.



Digitized by Google

πρὸς τοὺς Ἕλληνας μετὰ τῶν βαρβάρων, ἅμα ἀνδρείας καὶ δικαιοσύνης, τοὺς μὲν ἐλάττους ἀντὶ τῶν πλειόνων καὶ μειζόνων, τοὺς δ᾽ οἰκείους ἀντὶ τῶν ἀλλοφύλων αἱρούμενος. καὶ μὴν τῷ μὲν εὑρίσκειν τὰ δέοντα καὶ προορᾶν καὶ μηδαμοῦ τῶν πραγμάτων ψευσθῆναι, ἀλλ᾽ ἄμεινον τῶν μάντεων τὸ μέλλον προλέγειν, σοφίας εἰκότως δόξαν ἠνέγκατο· τῷ δὲ μηδὲν ὧν γνοίη διαφθείρειν ὑπὸ τῶν τοῦ σώματος ἡδονῶν, ἀλλ᾽ ἀεὶ σχολάζοντα τοῖς βελτίστοις ἑαυτὸν παρέχειν καὶ προσέχειν τοῖς λογισμοῖς τοῖς περὶ τῆς ἡγεμονίας, καὶ τῷ γε κατασχεῖν τοὺς Ἀθηναίους περὶ τῆς ἡγεμονίας, καὶ πᾶσι τούτοις οὐκ ἔνι δή που σωφρονεῖν, ὅστις μὴ τὰ πρῶτα ἐκείνῳ σωφροσύνης νέμει. ἆρά
196 τις ὑμῶν τῶν ἀκινδύνως φιλοσοφούντων τοσαύτην πίστιν δεδωκὼς ἀρετῆς, ἢ διὰ τοσούτων ἐλέγχων ἀφιγμένος εἰπεῖν ἔχει; ἡγοῦμαι δὲ καὶ πρὸς ἀμφοτέρους καὶ παρ᾽ ἀμφοτέρους ἂν εἶναι Θεμιστοκλέα, τόν τε Μιλτιάδην καὶ τὸν Κίμωνα. πρῶτός τε γὰρ φαίνεται νικήσας τοὺς βαρβάρους κατὰ θάλατταν, ὥσπερ Μιλτιάδης κατ᾽ ἤπειρον. ὥστ᾽ εἰκότως ἂν ἄρξαι ταύτῃ τῆς ἐλευθερίας δοκοίη· καὶ τοῖς ὑπάρχουσιν αὖ προσθεὶς φαίνεται. τῇ γὰρ πεζομαχίᾳ τὰς ναυμαχίας προσέθηκε, καὶ τρία ἀνθ᾽ ἑνὸς ἔστησε τρόπαια, ὥσπερ Κίμων ἐπεξῆλθε τὰ δεύτερα. καὶ μὴν οὔτ᾽ ἐπὶ τῆς αὐτῆς ἀδείας ἐφ᾽ ἧσπερ Κίμων ὄντας ἤδη τοὺς Ἕλληνας παρέλαβεν οὔτ᾽ ἐπὶ τῶν ἴσων φόβων ὥσπερ Μιλτιάδης, ἀλλ᾽ ἔσχατα ἐσχάτων πράττοντας, καὶ πρῶτα καὶ τελευταῖα

---

11 ἀνδρείας ΘΝ. Vulgo ἀνδρίας. 12 προορᾶν] προορῶν L apud Iebbium. 16 τῷ γε] τῷ τε E. τό γε N. περὶ τῆς ἡγεμονίας] Post haec verba excidit διαφερομένους aut φιλονεικοῦντας aut simile quid. Reisk. 17 τὰ πρῶτα (scil. μέρη) idem est atque τὰ πρωτεῖα. Reisk.

196, 2 ἀφιγμένος] ἀφιγμένως N. 5 τῇ γὰρ — προσέθηκε om. E. 6 ὥσπερ] οὐχ ὥσπερ, aut οὐδὲ ὥσπερ. neque ut Cimon reliquias belli ab alio inchoati persecutus est. Reisk. ὡς ELN. ὥσπερ Κίμων] Legisse videtur Canterus ὥσπερ Μιλτιάδης. Sic enim haec verba Latine reddiderat *sicut secunda Milliades*. Ikbb.
8 Μιλτιάδης] ὁ μιλτιάδης N. 9 πρῶτα non sensu strictissimo ad verbum accipi debet (nam iam antea periclitati erant Athenienses ad Marathonem) sed est proverbialis locutio πρῶτα καὶ τελευταῖα

κινδυνεύοντας, συνελόντι δὲ εἰπεῖν, βασιλέα γ᾽ αὐτὸν πανοικησίᾳ καὶ πρῶτος νικήσας καὶ μόνος, οὐχ ὥσπερ τοὺς ὑπάρχους Μιλτιάδης πρῶτον Μαραθῶνι καὶ Παυσανίας ὕστερον Πλαταιᾶσι. μάχης παράδειγμά τις ἂν λέγοι τὴν Μαραθῶνι καὶ τῷ χρόνῳ πρεσβεύοι, τὰς δὲ Θεμιστοκλέους πράξεις αὐτὰς ἐφ᾽ αὐτῶν λογίζοιτο, ὡς τοῖς μὲν χρόνοις ὕστερον πραχθείσας τῆς μάχης τῆς Μαραθῶνι, τὴν δ᾽ ἀρχὴν οἴκοθεν ἐσχηκυίας ἀπὸ τῆς ἐκείνου συνέσεως καὶ πολιτείας. οὐδὲν γὰρ πρότερον παραπλήσιον τοῖς Ἕλλησι μὴ ὅτι ἐπέπρακτο, ἀλλ᾽ οὐδὲ ἤλπιστο. οὕτω καὶ τὸν Μιλτιάδην καὶ τὸν Παυσανίαν καὶ τὸν Κίμωνα παρέρχεται· καὶ γίγνεται τριῶν ἀντάξιος, οὐκ ἀρτοποιοῦ καὶ μαγείρου καὶ καπήλου, ἀλλ᾽ ἀνδρῶν γενομένων τι τοῖς (323)
97 Ἕλλησι. μόνος δέ τοι καὶ τὸ πεζὸν καὶ τὸ ναυτικὸν ὀρθῷ λόγῳ νενικηκὼς φαίνεται. οὔτε γὰρ αἱ νῆες ἀντέσχον καὶ βασιλεὺς ἅμα τοῖς πλείστοις φεύγων ᾤχετο. καὶ ὅσῳπερ ἄν τις σεμνύνῃ τὴν ἐν Πλαταιαῖς ὕστερον νίκην, τοσούτῳ μειζόνως τὴν ἐκείνου τοῦ ἀνδρὸς σύνεσίν τε καὶ πρόνοιαν κοσμεῖ. εἰ γὰρ πολλοστημόριον τῆς κατὰ γῆν δυνάμεως ὑπολειφθὲν παρέσχεν ὅμως θόρυβον τοῖς Ἕλλησι, καὶ ταῦτ᾽ ἤδη παραδειγμάτων αὐτοῖς καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἑστηκότων, ὅσῳ κρείττοσιν εἶναι προσήκει τῶν βαρβάρων, καὶ προσέτι ὑπάρχου βασιλέως, ἀλλ᾽ οὐκ αὐτοῦ βασιλέως ἐμμείναντος, ἦ που τὸν πυρφόρον οἰδ᾽ ἂν

---

κινδυνεύειν, ut *aut nunc aut nunquam*, significans summum discrimen. Reisk. γ᾽] δ᾽ Θ. τ᾽ E. παιοικησίᾳ] πανοικεσία ELN. 10 Μιλτιάδης πρῶτον] πρώτους μιλτιάδης E. πρῶτον] πρῶτος ELN. ἐν πλαταιάσι Iunt. ἐν Πλαταιᾶσι Steph. Iebb. ἐν om. N litura relicta. Recte abest illud ἐν a codicibus. nam aut Πλαταιᾶσι dicitur aut ἐν Πλαταιαῖς, ut p. 197, 3. notandum adhuc illud νικήσας versu 10. pendere, nec habere verbum, quo referatur, unde suspicio defectus nascitur. Reisk. μάχης] καίτοι μάχης Canterus. μάχης γε μὴν Reiskius. 13 αὐτῶν L. Vulgo ἑαυτῶν. 16 γίγνεται] Vulgo γίγεται. 17 ἀνδρῶν γενομένων τι τοῖς Ἕλλησι] Subaudi μέγα vel χρήσιμον. Reisk.

197, 2 ἅμα τοῖς πλείστοις] Subaudi, vel adde potius τῶν πεζῶν. Reisk. 3 σύνεσίν τε LN. Aberat τε. 6 προσέτι] πρόσγε N. 7 τὸν πυρφόρον] Iuxta Graecorum morem, ignis ille quem sacrum et aeternum vocarunt, exercitui praeferebatur. Xenoph.

Digitized by Google

εἷς ἔγνω πρὸς ἅπαντας μὲν ἀγωνιζόμενον, ἀλλ' οὐ μέρος,
βασιλέως δ' ἐφεστῶτος τοῖς πράγμασιν, οὐδενὸς δὲ ὥς γ'
ἐν τοῖς παροῦσιν ὅτῳ θαρρήσουσιν ὑπάρχοντος, κακῶν
δ' ἀπαθοῦς καὶ μετ' ἐλπίδων ἀκραιφνῶν ἐπιόντος τοῦ
στρατοῦ, καὶ τῷ περὶ τὰς Πύλας ἔργῳ προεπηρμένου,
καὶ μόνον οὐκ ἐν τοῖς ὀφθαλμοῖς ἔχοντος ὅτι καὶ τούτους
πάντας αὐτίκα δὴ κεῖσθαι δεήσει. ἀλλὰ ταῦτα πάντα ἡ
Θεμιστοκλέους, ὥς φησι Πλάτων, διακονία καὶ κολακεία,
ὡς δ' ἡ κοινὴ ψῆφος τῶν Ἑλλήνων, σοφία καὶ πρόνοια (324
διεκώλυσε καὶ τάξιν πᾶσι τοῖς ἔργοις ἐπέθηκεν. ὥστ' οὐ
μόνον ἐξ ὧν αὐτὸς ἡγούμενος κατώρθωσεν, ἀλλὰ καὶ ἐξ
ὧν τοῖς ὕστερον αἴτιος τοῦ κατορθῶσαι τὰ ἐφ' αὐτοὺς
ἥκοντα ἐγένετο, οἷον τῷ Παυσανίᾳ, τῷ Κίμωνι, τοῖς ἄλ-
λοις, δικαίως ἂν τῆς παρὰ πάντων εὐφημίας τυγχάνοι. ἢ
198 κομιδῇ γ' ἄν, ὦ Πλάτων, ἀδικοῖμεν, εἰ τὸν ἔργων φιλαν-
θρώπων οὕτως εἰς τοὺς Ἕλληνας ὑπάρξαντα μηδὲ ῥήμα-
τος τῶν ἐπιεικῶν τολμήσομεν ἀξιῶσαι.

Ἐμοὶ μὲν οὖν οὐδὲν φαυλότερος οὐδ' ἀτιμότερος δοκεῖ Θεμιστοκλῆς γενέσθαι στρατηγῶν Ἀθηναίων ἢ Σωκράτης συστρατευόμενος ἐπὶ Δηλίῳ καὶ ἐν Ἀμφιπόλει. καὶ

---

in lib. de Lacedaem. republ. pag. 688. quo pacto rex cum copiis in expeditionem proficiscatur depingens ait, Θύει μὲν γὰρ πρῶτον οἴκοι ὢν Διὶ ἀγήτορι, καὶ τοῖς σὺν αὐτῷ. ἢν δὲ ἐνταῦθα καλλιερήσῃ, λαβὼν ὁ πυρφόρος πῦρ ἀπὸ τοῦ βωμοῦ, προηγεῖται ἐπὶ τὰ ὅρια τῆς χώρας. ὁ δὲ βασιλεὺς ἐκεῖ αὖ θύεται Διὶ καὶ Ἀθηνᾷ. ὅταν δὲ ἀμφοῖν τούτοιν τοῖν θεοῖν καλλιερηθῇ, τότε διαβαίνει τὰ ὅρια τῆς χώρας. καὶ τὸ πῦρ μὲν ἀπὸ τούτων τῶν ἱερῶν προηγεῖται οὔποτε ἀποσβεννύμενον. Iebb. 8 Post ἔγνω deest σωθησόμενον aut ἀποφευξόμενον, vel tale aliquid. multo magis nemo omnium unus praevidebat e clade communi quemquam, ne lixam quidem, cinifionem, salvum evasurum esse. Reisk. ἀγωνιζόμενον] ἀγωνιζομένων, *quippe quum Graeci dimicarent.* Reisk. 9 οὐδενὸς] οὐδὲν E. θαρρήσουσιν] θαρρήσασιν (ω ab rec. m.) N. 10 περὶ] παρὰ (περὶ) L. 11 προεπηρμένου] Fort. προσεπηρμένου. Reisk. 12 πάντα om. EN, N litura relicta. 14 κατώρθωσεν LN. Vulgo κατόρθωσεν.

198, 1 εἰ τὸν] εἰ τῶν N. ἔργων φιλανθρώπων] ἔργῳ φιλανθρώπως E. 2 Malim τινὸς ad ῥήματος addi quam subaudiri. possit quoque legi μηδὲ μέχρι ῥήματος τῶν ἐπιεικῶν. humanitate plane nulla dignari, ne vel verbo quidem enus. Reisk. 4 καὶ

ἐν Ποτιδαίᾳ. καίτοι σύ γ' ἐκεῖνον ἐπαινεῖς, ὅτι ἐν τῇ ἀπὸ Δηλίου φυγῇ θαρρούντως ἀπῄει, καὶ καταφανὴς ὢν ὅτι, εἴ τις ἅψοιτο αὐτοῦ, εὖ καὶ καλῶς ἀμυνεῖται. οὔκουν δεινὸν ὦ γῆ καὶ θεοὶ καὶ λόγων καὶ ἔργων ἡγεμόνες, ἐξάγομαι γὰρ εἰπεῖν, Σωκράτη μὲν καὶ τῆς φυγῆς ἐπαινεῖν καὶ φάσκειν ἐκεῖνον ἀναχωρεῖν κάλλιον Λάχητος, Θεμιστοκλέα δέ, ὃς διώκων, οὐ φεύγων τοὺς πολεμίους τὴν ἀν- (325) δρείαν ἐπεδείκνυτο, καὶ οὗ τῆς ἀρετῆς ἅπασα ἀπέλαυσεν ἡ Ἑλλάς, ἃ τῆς δειλίας καὶ τῆς ἀνανδρείας ἐστ' ὀνόματα, τούτοις καλοῦντα μὴ φροντίζειν; ὃς καὶ ὅτ' ἀπ' Εὐβοίας ἀνεχώρει νενικηκώς, τοιαῦτα τὰν μέσῳ διεπράττετο, οἷα ἂν οὐδείς πω τῶν ἐπειγομένων ὁπωσοῦν ἀπελθεῖν. εἶτα λέγεις ὡς οὐ πολλοῦ τινος ἄξιον ἡ σωτηρία. τί οὖν κωλύει καὶ τοῖς σωτῆρσι θεοῖς, οἳ καὶ καθ' ἕνα ἡμᾶς σώζουσι, καὶ τότ' ἐκεῖνα κατεργάσασθαι τοῖς Ἕλλησι παρέσχον —; ἀλλ' ἐγὼ μὲν ἐάσω τὸ βλάσφημον, ὑπονοεῖν δ' ἔστι τό γ' ἐκ τοῦ λόγου συμβαῖνον. ἐγὼ δ' ἐκεῖνον ἂν ᾤμην ἀμείνω καὶ δικαιότερον τὸν λόγον εἶναι, κἀκείνως λέγοντά τιν' οὐκ ἂν ἁμαρτάνειν ὡς θεοὶ μὲν τῷ ὄντι σωτῆρες καὶ τὴν Ἑλλάδα οἱ τότε σώσαντές εἰσιν οὗτοι, διηκόνησαν δὲ Μιλτιάδης καὶ Θεμιστοκλῆς, ἥπερ μεγίστη καὶ καλλίστη δύ-
199 ναμις ἀνθρώπου, διακονῆσαι τοῖς κρείττοσι. τοῦτ' οὖν, ὦ θεία κεφαλή, προσήκει λέγειν, κἀγὼ φαίην ἂν ἐκείνους

---

ἐν ποτιδαίᾳ καὶ ἐν ἀμφιπόλει L. καίτοι σύ γ' ἐκεῖνον] Confer Plat. in Convivio p. 210. Iebb. Vulgo οὐκοῦν. 5 ἅψοιτο ΘELN. Legebatur ἅψαιτο. 9 ἀνδρείαν ΘN. Vulgo ἀνδρίαν. ἀπήλαυσεν E. 10 ἀνανδρείας] Vulgo ἀνανδρίας. 11 τοιαῦτα τὰν]. τοιαῦτ' ἂν E. τοιαῦτ' ἐν N. 12 ὁπωσοῦν ἀπελθεῖν] γρ. ὁπωσοῦν οἷός τ' ἦν παρελθεῖν margo L. 14 Post παρέσχον subaudiri debet εὔχεσθαι ὑμᾶς ἀπολλύναι, aut καταρᾶσθαι. nam hic aposiopesin esse perspicuum est. verum quia hoc βλάσφημον est, ideo reticuit. Reisk. τό γ' N. Vulgo τό γε. 15 τὸ συμβαῖνον] Id quod ex hac oratione mea consequitur, quod sententia postulat, et legenti cuique aut audienti monstrat et subiicit subaudiendum. v. p. 211, 1. Reisk. 16 τιν'] τινα LN. Fort. ὡς θεοὶ μὲν σωτῆρες τῷ ὄντι καὶ τὴν Ἑλλ. Constructio haec est ὡς οἱ σωτῆρες θεοὶ ἦσαν τῷ ὄντι οὗτοι, οἱ σώσαντες καὶ τότε τὴν Ἑλλάδα. Reisk. 17 ἥπερ] εἴπερ L.

199, 2 φαίην] συμφαίην Reiskius. γενέσθαι τοὺς ἄνδρας]

γενέσθαι τοὺς ἄνδρας ὑπηρέτας καὶ διακόνους, οὐ τοῦ δήμου τῶν Ἀθηναίων, πόθεν; οὐδ' ἀνθρώπων οὐδενός, εἰ μὴ τὸ προεστάναι καὶ τὸ κελεύειν διακονεῖν καὶ ὑπη- (326) ρετεῖν εἶναι δεῖ λέγειν. ἔτι τοίνυν οὐδὲ τοῖς γονεῦσι χάριν ἄν τις ἔχειν ἐῴη τοῖς λόγοις τούτοις, οὐδ' εἰς εὐεργεσίας τιθέναι μέρος, οἳ τοῦ ζῆν καὶ σώζεσθαι παρέσχον ἡμῖν τὰς ἀρχάς. εἰ δὲ δὴ καὶ τὸν Εὐριπίδην μάρτυρα ἐπάγοιτο λέγοντα ὅτι

ἔδει γὰρ ἡμᾶς σύλλογον ποιουμένους
τὸν φύντα θρηνεῖν εἰς ὅσ' ἔρχεται κακά,

ἦ που σφόδρα ἄν τι δόξειε λέγειν. ἀλλ' οἶμαι τῶν μὲν πραγμάτων οἷς ἐτυγχάνομεν καὶ τοῦ χεῖρον ἢ βέλτιον βιῶναι τὸν δαίμονα καὶ τὴν τύχην αἰτιώμεθα, καὶ νὴ Δί', εἰ βούλει, προστίθει τὸ καὶ ἡμᾶς αὐτοὺς δεῖν, οὐδὲν γὰρ βλάβος τῷ λόγῳ, τοῖς δ' ὑπηρετήσασιν εἰς τὴν γένεσιν καὶ δι' ὧν πρῶτον ἤλθομεν εἰς φῶς, τούτοις τὴν πρώτην καὶ μεγίστην χάριν ἡγούμεθα δεῖν ἔχειν μετὰ τοὺς ἔτι τούτων προτέρους θεούς. εἰ τοίνυν τοῖς γονεῦσι δι' αὐτὸ τὸ εἶναι μόνον τοσαύτην ἔχομεν χάριν καὶ ὁμολογοῦμεν ὀφείλειν χρέα πάντων χρεῶν πρεσβύτατα, πῶς οὐ Μιλτιάδῃ γε καὶ Θεμιστοκλεῖ πλέον τι πεπρᾶχθαι χρὴ δοκεῖν, οἵτινες οὐ τοῦ ζῆν μόνον οὐδὲ τῆς σωτηρίας αἴτιοι τοῖς Ἕλλησι κατέστησαν, ἀλλὰ καὶ βελτίους ἀντὶ χειρόνων ἐν (327) αὐτοῖς οἷς ἔπραττον εἴθιζον εἶναι; ἄτοπον δέ μοι φαίνεται, εἰ μὲν συμμάχους τινὰς ἢ φρούριον προὔδοσαν, ἢ ναῦν μίαν ἢ δύο, ἢ φυγῆς αἴτιοί τισιν ἢ θανάτου κατέστησαν, πολλοῖς ἂν καὶ πυκνοῖς ἐλαύνειν αὐτοὺς τοῖς ῥήμασι καὶ μετ' Εὐρυβάτου καὶ Φρυνώνδου καταλέγειν,

---

τοὺς ἄνδρας γενέσθαι L. τοὺς in N expunctum. 4 τοῖς λόγοις τούτοις] Si verum est, et ex eo, pro vero admisso atque suscepto, colligere fas est alia, scil. ὡς οὐ πολλοῦ τινος ἄξιον ἡ σωτηρία (p. 189, 12.) non multum referre in praelione cadas, an salvus ex eo evadas. Reisk. 5 Εὐριπίδην] Cresphontis fragm. I. 6 ποιουμένους Steph. Iebb. ποιούμενος Iunt. 8 οὐδὲν ΘLN. Vulgo οὐδὲ. 10 πρώτην καὶ μεγίστην ELN Iebb. πρώτην μεγίστην Θ Iunt. 16 πυκνοῖς] Fort. πικροῖς. acerbis, mordacibus, amarulentis, convitiis. Reisk. καὶ μετ' Εὐρυβάτου καὶ Φρυνώνδου] Qui propter improbitatem in proverbium abiere. Plat. in Pro-

*ὥσπερ τὸν Ἀρχέλαον κακοδαίμονα δή που καὶ ἄθλιον προσείρηκεν, ἀποκτείναντα οὓς οὐ προσῆκεν, ἐπεὶ δ' ἅπαντας μὲν ἠλευθέρωσαν καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν*
200 *προκινδυνεύοντες, ἔσωσαν δὲ οὐ μόνον τὰ σώματα καὶ τὰς ψυχὰς τῶν ἑαυτοὺς παρακαταθεμένων, ἀλλὰ καὶ πόλεις καὶ χώραν καὶ πολιτείαν καὶ ἔθη καὶ νόμους καὶ τὴν ἐπωνυμίαν αὐτὴν τοῦ γένους, ἀνδρείας δὲ καὶ δικαιοσύνης οὐδ' ὁτιοῦν ἀπέλιπον, μείζω δὲ ἢ παρέλαβον παρέδοσαν τὴν Ἑλλάδα, τοῖς δὲ θεοῖς πρέποντα χαριστήρια τούτων ἀπήγαγον, διεγένοντο δ' ὡς εἰπεῖν πανηγυρίζοντες καὶ ταῖς πράξεσι καὶ τοῖς πολιτεύμασι καὶ φανερὰν ἅπασι τὴν ἑαυτῶν ἀρετήν, ἣν εἴς τε θεοὺς καὶ ἀνθρώπους εἶχον, κατέστησαν, τῆς Μιθαίκου καὶ Θεαρίωνος μοίρας αὐτοὺς* (328)
*ἀξιοῦν εἶναι· καὶ τοὺς μὲν ἰατροὺς τῶν μαγείρων φάσκειν εἶναι βελτίους ὅτι σώζουσι, τοὺς δὲ τῆς σωτηρίας τῶν Ἑλλήνων προστάντας μὴ τοῖς ἰατροῖς ἀπεικάζειν, ἀλλὰ τοῖς ὀψοποιοῖς. καὶ μὴν εἰ μηδὲν βελτίους ἐποίουν, ἔσωζον δέ, ἰατρῶν ἐν τοῦτό γ' ἐποίουν, οὐκ ὀψοποιῶν. ὥστε τῶν ἰατρῶν οὐδὲν ἦσαν χείρους. πῶς οὖν οὐδενὸς ἦσαν ἄξιοι τοῖς Ἕλλησιν; οὐκ ἂν ταῦτα συγχωρήσειε Πλάτων αὐτὸς αὑτῷ. ἑτέρωθι γοῦν, οὗ μηδεμία ἐστὶ φιλονεικία, λέγει ταυτί· λέγει δὲ ὑπὲρ Σικελιωτῶν ἀνδρῶν, ἀρχήν τινα πράττων αὐτοῖς βασιλικήν, ὡς ἂν δὴ Δίων αὐτὸς ὤν „Ὧν οἱ πρόγονοι“ φησὶ „τό γε μέγιστον ἔσωσαν ἀπὸ βαρβάρων τοὺς Ἕλληνας, ὥστ' ἐξεῖναι περὶ πολιτείας νῦν ποιεῖσθαι λόγους· ἔρρουσι δὲ τότε οὔτε λόγος οὔτ' ἐλπὶς ἐλείπετο ἂν οὐδαμῇ οὐδαμῶς.“*

---

tag. p. 327. *ἢ σφόδρα ἐν τοῖς τοιούτοις ἀνθρώποις γενόμενος, ὥσπερ οἱ ἐν ἐκείνῳ τῷ χορῷ μισάνθρωποι, ἀγαπήσαις ἂν εἰ ἐντύχοις Εὐρυβάτῳ καὶ Φρυνώνδᾳ, καὶ ἀνολοφύραι' ἂν ποθῶν τὴν τῶν ἐνθάδε ἀνθρώπων πονηρίαν.* Iebb. 17 *Ἀρχέλαον*] Vide Platonem in Gorgia p. 470 seq. Iebb. *κακοδαίμονα*] *καὶ λακεδαίμονα* E. 18 *θάλατταν* ΘL. Vulgo *θάλασσαν*.

200, 2 *ἔθη*] *ἔθνη* E. *ἀνδρείας* Θ. Vulgo *ἀνδρίας*. 4 *δ' ὡς εἰπεῖν*] *δ' εἰπεῖν* ΘELN. 6 *φάσκειν εἶναι*] *εἶναι φάσκειν* N. 8 *μηδὲν* Θ. Vulgo *μηδὲ*. *ἐν* om. E. 9 *τῶν ἰατρῶν* ELN. Vulgo *τῶν γ' ἰατρῶν*. 12 *ὧν* om. N. *ὧν οἱ* ELN cum Platone epist. VIII. p. 355 d. et Aristide supra p. 80, 1. *τό γε*] *τότε* L. 13 *ἐλείπετο*] *ἐλίπετο* Θ.

Digitized by Google

201 *Οὐκοῦν ἐν τούτοις ἐπαινεῖ τοὺς τῆς σωτηρίας αἰτίους τοῖς Ἕλλησι καταστάντας, καὶ χάριτάς γέ φησι δεῖν ἐκτίνειν αὐτοῖς, καὶ ταύτας οὐ φαύλας, ἀλλ' οἵας οὐδ' ἂν αὐτός ἄν τις ῥᾳδίως αἰτήσειε, καὶ πρὸς τὸν δυσχεραίνοντά φησιν ὅτι τὸ μέγιστον ἔσωσαν οἱ πρόγονοι ἀπὸ βαρβάρων τοὺς Ἕλληνας. οὐκοῦν ἢ 'κεῖν' ἀπαλείφειν προσῆκεν,* (329) *ἢ ταῦθ' ὑπ' ἐκείνων ἐξελήλεγκται. οὐ γὰρ ἐκεῖνό γ' ἔστιν εἰπεῖν ὡς τοῖς μὲν τοὺς ἐν Σικελίᾳ σεσωκόσι τῶν Ἑλλήνων χάριτας καὶ δωρεὰς εἰκὸς ὑπάρχειν, τοῖς δ' ἅπασαν μὲν τὴν ἀρχαίαν Ἑλλάδα, καὶ τῆς δ' αὐτῆς ὁδοῦ τῆς πολιτείας καὶ Σικελίαν καὶ Ἰταλίαν καὶ τοὺς ὅπου δὴ γῆς καὶ θαλάττης Ἕλληνας, τούτοις οὐδὲ λόγου δεῖ μετεῖναι φιλανθρώπου, οὐδ' ὡς χρηστοί γ' ἦσαν ἀκούειν ὑπάρχειν. καὶ μὴν αὐτός γε σὺ φῄς οὐ τῶν ἐν Κυρήνῃ μᾶλλον ἢ τῶν Ἀθήνησι κήδεσθαι. εἶτα σὺ τοῖς ἐκγόνοις αὐτῶν ἐφεὶς λέγειν περὶ δωρεῶν, αὐτοὺς κακῶς λέγειν ἠξίωσας, καὶ ἅμα μὲν τοὺς τυράννους ἐλέγχεις, ἅμα δὲ τοὺς τῆς ἐλευθερίας αἰτίους τοῖς Ἕλλησι ψέγεις. κἀνταῦθα ὁ κολοφὼν τοῦ λόγου, ὡς οὐδ' ἡ ἐλευθερία πάνυ τι σεμνόν, ἀλλὰ καὶ πολλοῖς ἄμεινον ἀκούειν ἑτέρων ἢ ἐλευθέροις εἶναι. καλῶς. ἆρ' οὖν καὶ τότε τοῖς Ἀθηναίοις ἄμεινον ἦν ἀκοῦσαι; καὶ μὴν οὐ πόρρωθεν, ἀλλ' ἐξ αὐτῶν ὧν ἔπραττον ἄξιοι τῆς ἐλευθερίας ὄντες ἐδείκνυσαν. ἔτι δ' οὐ Διοσκούροις, οὐδὲ Θησεῖ τῷ Ποσειδῶνος, οὐδ' Ἡρακλεῖ* (330) *τῷ κοινῷ πάντων προστάτῃ, οὐδὲ τοῖς ἀρίστοις καὶ δικαιοτάτοις τῶν ἡμιθέων ὑπακοῦσαι κίνδυνος ἦν, ἀλλ'*

---

201, 2 *γε* L. Vulgo *τε*. Loco *τε* recte dat codex *γε*. aut illo servato legendum est *χάριτάς τε φησὶ δεῖν καὶ δωρεὰς ἐκτίνειν*. v. versu 6. et 10. Reisk. *ἐκτίνειν* Steph. Iebb. *ἐκτείνειν* Iunt. 3 *τὸ μέγιστον*] *τό γε μέγιστον* N. *οἱ πρόγονοι* om. LN. 5 *ἐξελήλεγκται*] *ἐξελήλεκται* N. *ἔστιν* ΘLN. Vulgo *ἔστ'*. 7 *τῆς δ'* ΘEL. Vulgo *τῆς γ'*. *αὐτῆς ὁδοῦ πολιτείας*] *αὐτοῦ καὶ τῆς πολιτείας* E. *τῆς πολιτείας*] *τῆς* om. N. *ὅπου*] *ὅποι* L. *ὅπη* N. 8 *θαλάττης*] *τῆς θαλάττης* E. 9 *φῄς*] In Theaeteto p. 143 c. 10 *ἐκγόνοις*] *ἐγγόνοις* ELN. *ἐφεὶς*] *ἀφεὶς* ΘELN. 12 *κἀνταῦθα*] *καὶ ταῦτα* N. 13 Post *εἶναι* punctum figendum est. *καλῶς* per se perfectam dat sententiam. *recte vero*. admittemus tantisper pro vero. Reisk. Post *εἶναι* distinguitur in LN. *Διοσκούροις*] *διοσκόροις* N. 17 *ὑπακοῦσαι*]

Digitized by Google

*ἀνθρώποις ὕβρεων καὶ κακῶν μεστοῖς, ὑφ' ὧν ἀγαθὸν* 202 *μὲν οὐδ' ὁτιοῦν ἔμελλον δή που μαθήσεσθαι, πάντα δὲ πείσεσθαι τὰ αἴσχιστα καὶ δεινότατα. ὥστε πῶς οὐκ ἂν αἴσχιστα πραγμάτων συνέβη, εἰ πρότερον τοὺς Ἡρακλείδας εἰς ἐλευθερίαν ἀφαιρούμενοι τότ' αὐτοὶ τοῖς βαρβάροις ὑπέκυψαν ἐν φαύλῳ θέμενοι; ἀλλὰ μὴν εἰ μήτ' αὐτοὶ δουλεύειν ἄξιοι μήθ' οἱ ἐπιόντες βελτίους ἐκείνων, ὅ τε κίνδυνος περὶ τῶν ἐσχάτων κρατηθεῖσι, πῶς οὐκ ἐνταῦθα εἴπερ που καιρὸς ἦν δεῖξαι δουλείαν θανάτου μᾶλλον πεφοβημένους; ἐπιθήσω γὰρ τὰ Πλάτωνος αὐτοῦ ῥήματα. εἰ δὲ τοῦτο παντὶ γνώριμον καὶ πᾶσι ταῦτ' ἦν ἄριστα καὶ σπουδαιότατα καὶ μόνα τοῦ λόγου τοῦ βελτίονος καὶ τῆς πολιτικῆς ἀρετῆς, εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἐπ' ἔσχατον ἥκοντα, πῶς τούς γε εἰς ταῦτα παρασχόντας ἑαυτοὺς καὶ βεβαιώσαντας ἅπασι μετὰ τῆς σωτηρίας τὴν ἐλευθερίαν ὀλίγου τινὸς ἀξίους ἢ τοῖς πολίταις ἢ τοῖς Ἕλλησι νομιστέον; καὶ μὴν οὐδ' ἀνειμένην γε τὴν ἐλευθε- (331) ρίαν ἐποίησαν αὐτοῖς· οἵ γε πρὸς μὲν τοὺς βαρβάρους οὕτως εἶχον ὥστε μηδὲ φωνὴν ἐθέλειν ἀκούειν, πρὸς δὲ τοὺς Ἕλληνας οὕτω κοινῶς καὶ φιλανθρώπως ὥσθ' εἶξαν τῆς ἡγεμονίας ἑκόντες Λακεδαιμονίοις, προέχοντες πλεῖστον ὁπόσον αὐτῶν. καὶ γάρ τοι παρ' ἑκόντων πάλιν αὐτὴν τῶν Ἑλλήνων ἐκομίσαντο. οὕτως οὐκ ἄνευ δικαιοσύνης οὐδὲ σωφροσύνης, ὦ Πλάτων, ἐνέπλησαν τὴν πόλιν συμμάχων καὶ φόρων καὶ φλυαριῶν, ὡς σὺ φῄς, ἀλλ' ἀπὸ σώφρονος καὶ δικαίας καὶ θαυμαστῆς ἀρξάμενοι τῆς ἀρχῆς, καὶ τοὺς τῆς ἐλευθερίας ὅρους κάλλιστα ἐφύλαξαν, μέσην αὐθαδείας καὶ ταπεινότητος ἄγοντες τοὺς πολίτας, καὶ οὐ*

---

ἀκοῦσαι N litura relicta.

202, 1 δεινότατα] τὰ δεινότατα Θ. 2 οὐκ ἂν] ἂν οὐκ N. 3 ὑπέκυψαν Steph. Iebb. ὑπέκυψαν Iunt. κρατηθεῖσιν N. 6 Πλάτωνος] De republ. III. p. 387 b. Fort. παντὶ γνώριμον καὶ πάσῃ ὅτι ταῦτ' ἦν. Reisk. 12 εἶξαν LN Opor. Iebb. ἦξαν Iunt. 13 πλεῖστον ὁπόσον E. πλεῖστον$^{\beta}$ ὁπόσον$^{\alpha}$ N. πλεῖστον ὁπόσων Θ. Legebatur πλεῖστον ὅσον. ὅσον om. L. 15 καὶ φλυαριῶν] οὐ φλυαριῶν E. φῄς] In Gorgia. Canter. 17 μέσην] μέσης

τὴν ἀνέδην, οὐδὲ ἣν οὑτωσί τις ἂν φήσειεν ἐλευθερίαν εἰσάγοντες, ἀλλὰ τὴν μετὰ τοῦ δικαίου καὶ τοῦ σωφρονεῖν.

203 Καὶ μὴν ὅτι γε οὐκ ἄτιμον οὐδὲ τοῦ τυχόντος ἀνδρὸς ἐλευθερῶσαι πατρίδα, μὴ ὅτι γε τὴν Ἑλλάδα, αὐτὸς Πλάτων, εἰ δὲ βούλει Δίων, ὑπάρχει μάρτυς, ἐπεὶ καὶ ταῦτα τῆς ἐκείνου ῥήσεως „Ἐπὶ δὲ τούτοις ξύμπασιν ἀδόλῳ γνώμῃ καὶ ὑγιεῖ μετὰ τῶν θεῶν βασιλέα στήσασθε πρῶτον μὲν τὸν ἐμὸν υἱὸν χαρίτων ἕνεκα διττῶν, τῆς τε παρ' (332) ἐμοῦ καὶ τῆς παρὰ τοῦ ἐμοῦ πατρός. ὁ μὲν γὰρ ἀπὸ βαρβάρων ἠλευθέρωσεν ἐν τῷ τότε χρόνῳ τὴν πόλιν, ἐγὼ δὲ ἀπὸ τυράννων νῦν δὶς, ὧν αὐτοὶ μάρτυρες ὑμεῖς γεγόνατε.“ ἆρ' ὀλίγου τινὸς ἢ φαύλου τίθησι Πλάτων ἐλευθέραν ποιῆσαι πόλιν, ἢ μέλλουσαν ἄλλων ἔσεσθαι κωλῦσαι; ὅτε τοίνυν καὶ βασιλείαν ἄξιον ἀντὶ τούτου διδόναι, καὶ ταῦτά γε τοῖς ἐκγόνοις, καὶ μικροῦ τῆς ἐλευθερίας αὐτοῖς παραχωρῆσαι, διότι αὐτῶν οἱ πρόγονοι τὴν ἐλευθερίαν ἐφύλαξαν, ἦ που τούς γε αὐτοὺς ἐλευθερώσαντας οὐ μόνον τοὺς πολίτας, ἀλλὰ καὶ σύμπαν τὸ τῶν Ἑλλήνων γένος ἕν τι τῶν δεινοτάτων, μηδ' αὐτοῦ τοῦ δοκεῖν ἐλευθέρους εἶναι μετέχειν ἐᾶν, ἀλλ' ἣν ἔργῳ τοῖς ἄλλοις διετήρησαν, ταύτης αὐτοὺς τὸ γιγνόμενον τῆς ἐλευθερίας ἀφαιρεῖσθαι. φέρε δὴ κἀκεῖνο σκεψώμεθα, ὅσῳ καὶ κατὰ τοῦτο Μιλτιάδης καὶ Θεμιστοκλῆς Δίωνος δικαιότεροι καὶ βελτίους τὰ πολιτικὰ καὶ τὸ ἴσον μᾶλλον φυλάττοντες, εἴ γε οἱ μὲν ἀντ' ἐκείνων τῶν ἔργων οὐδὲν πλέον ᾔτησαν οὔθ' αὐτοῖς οὔτε παισὶν, ἀλλ' ἐξαρκεῖν ὑπελάμβανον εὖ πεποιηκέναι τοὺς Ἕλληνας, Δίων δὲ, ὡς σὺ φῄς, καὶ τοιού-

---

N apud Iebbium. ἀνέδην N. Vulgo ἀναιδῆ. 18 εἰσάγοντες] ἐνάγοντες Θ.

203, 3 Ἐπὶ δὲ] Plato epist. VII. p. 355 e. Conf. supra p. 80, 11. στήσασθε] Vulgo στήσασθαι. 4 ἕνεκα] εἵνεκα L. καὶ τῆς παρὰ τοῦ ἐμοῦ πατρὸς] καὶ τοῦ ἐμοῦ πατρός E. παρὰ τοῦ ἐμοῦ] παρὰ om. L. 5 ἐγὼ δὲ] ὅδε E. 6 ἆρ'] ἄρα LN. τίθησι] τίθησι λόγου LN. 9 αὐτοῖς] αὐτῆς N et Canterus. τούς γε αὐτοὺς] τούς γε μὴ μόνον αὐτοὺς N. 10 οὐ μόνον τοὺς πολίτας expuncta sunt in N. σύμπαν τὸ τῶν ΘELN. σύμπαν τῶν Iunt. συμπάντων Steph. Iebb. 12 διετήρησαν] ἐτήρησαν EN. γιγνόμενον N. Vulgo γινόμενον. 15 αὐτοῖς] ἑαυτοῖς N.

των δωρεῶν προσεδεῖτο, ἐν αἷς ἦν ἀκούειν τῶν ἐξ ἐκείνου (333)
τοὺς ἄλλους, μὴ ἐφ᾽ ἑκάστου τῶν καιρῶν μηδ᾽ ἐπὶ τῶν
πραγμάτων αὐτῶν, ὅτι βέλτιον τῶν ἄλλων φρονοῦσιν ἢ
λέγουσι πειθομένους, ἀλλ᾽ εἰσάπαξ στησαμένους βασιλέας,
κἂν εἴ τινες αὐτῶν βελτίους ἐνεῖεν. ἆρ᾽ οὐ πανταχόθεν
σαυτὸν ᾕρηκας; ὅπου γε δὴ καὶ τῆς ἰσότητος καὶ τῆς
γεωμετρίας ἐκεῖνοι μὲν οὑτωσὶ μνημονεύοντες φαίνονται,
Δίων δ᾽ οὐχί, οὐδ᾽ οἱ Δίωνος παῖδες, καὶ ταῦτα ὁμιλή-
204 σαντες τῷ δεινοτάτῳ γεωμετρίαν Πλάτωνι. „Τρίτον δὲ“
φησὶν ἡ ἐπιστολὴ „προκαλεῖσθαι χρὴ βασιλέα γίγνεσθαι
Συρακουσῶν ἑκόντα ἑκούσης τῆς πόλεως τὸν νῦν τοῦ
τῶν πολεμίων ἄρχοντα στρατοπέδου, Διονύσιον τὸν Διο-
νυσίου, ἐὰν ἐθέλῃ ἑκὼν εἰς βασιλέως σχῆμα ἀπαλλάττε-
σθαι, δεδιὼς μὲν τὰς τύχας, ἐλεῶν δὲ πατρίδα καὶ ἱερῶν
ἀθεραπευσίαν καὶ τάφους, μὴ διὰ φιλονεικίαν πάντως
πάντ᾽ ἀπολέσῃ βαρβάροις ἐπίχαρτος γενόμενος. εἰ τοίνυν
καὶ τῷ τοῦ τυράννου παιδὶ καὶ τῷ τοῦ τῶν πολεμίων
ἄρχοντι στρατοπέδου καιρόν ἐστιν ἔχον διαλλάττεσθαι, ἐὰν
βούληται βασιλεὺς ἀντὶ τυράννου γίγνεσθαι, ἐλεήσας πα-
τρίδα καὶ ἱερῶν ἀθεραπευσίαν καὶ τάφους, ἦ που τοῖς γε (334)
τῶν Ἑλλήνων εὐεργέταις καὶ δι᾽ οὓς ἱερὰ καὶ τάφοι καὶ
πάντα ἐσώθη καὶ οὐκ ἐπίχαρτος ἡ Ἑλλὰς τοῖς βαρβάροις
ἐγένετο, εἰκὸς ἦν σπείσασθαι, καὶ τήν γε βλασφημίαν
αὐτοῖς ἀνεῖναι, εἰ καὶ μηδὲν εἶχεν ἔργῳ νεῖμαι πλέον.
φέρε γὰρ πρὸς θεῶν εἰ ὅτε ἦν ἐκεῖνα τὰ πράγματα, ὁ
Θεμιστοκλῆς καλούντων αὐτὸν τῶν Ἀθηναίων καὶ βοηθεῖν

---

16 ἄλλους] Sic N correctus: prius fuit Ἕλληνας. ἢ Ἕλληνας margo N. 17 μὴ ἐφ᾽] μὴ δ᾽ ἐφ᾽ N, δ᾽ superne adscripto. 19 ᾕρηκας] εἴρηκας E. τῆς γεωμετρίας E. Aberat τῆς, quod in N superscriptum est.

204, 1 γίγνεσθαι] γίνεσθαι L. 2 συρακουσῶν N. Vulgo Συρακουσίων. συρακουσιῶν L. Conf. ad p. 80, 18. ἄρχοντα] ἄρχοντος (α ab rec. m.) N. 3 ἐὰν] ἂν ΘEN. 4 πάντ᾽] πάντα N. 5 τοῦ τυράννου] τοῦ om. L. καὶ τῷ expuncta sunt in N. καὶ αὐτῷ Reiskius. τοῦ τῶν] τοῦ om. ΘL. 6 καιρόν ἐστιν ἔχον] εὔκαιρόν ἐστι E. 7 γίγνεσθαι ΘN. Vulgo γίνεσθαι. 9 ἔργῳ νεῖμαι ΘL Opor. Legebatur ἔργων εἶναι. Recte dat codex ἔργῳ νεῖμαι, etiamsi propter eam gratiam, quae solummodo

Digitized by Google

ὅ τι ἔχοι κελυόντων, ἄλλο μὲν οὐδὲν ᾔτησε, μήτε τυραννίδα μήτ' ἔννομον βασιλείαν, τοσοῦτον δὲ μή τι διάκονός γε ὑπ' αὐτῶν κληθῆναι, μηδὲ τοιοῦτον ὄνειδος λαβεῖν, ἐὰν καταστήσῃ τὰ πράγματα αὐτοῖς, εἰ παρὼν ἔτυχε Πλάτων, τί ἂν τοῖς Ἀθηναίοις συνεβούλευσεν ὁ τοῖς Συρακοσίοις ταῦτα συμβουλεύων; ἆρ' οὐ μετρίαν νομίσαι τὴν πρόκλησιν τοῦ Θεμιστοκλέους καὶ δοῦναι τὴν χάριν; ἐμοὶ μὲν γὰρ κἂν προσηγγυῆσθαι δοκεῖ ταῦτα ὑπὲρ τῆς πατρίδος. οὐκοῦν ἄτοπον μελλόντων μὲν ἔσεσθαι τῶν ἔργων καὶ ὅπως πραχθείη καὶ μόνον ταῦθ' ὑπὲρ πάντων ὑπισχνεῖσθαι, ὄντων δὲ καὶ πεπραγμένων καὶ τῆς ἀρετῆς τῆς ἐκείνου φανερᾶς ἅπασιν Ἕλλησι καὶ βαρβάροις γεγονυίας, ὅμως ὑβρίζειν ἐπιχειρεῖν, καὶ μήθ' ἱερὰ μήτε τά- (335 φους αἰσχύνεσθαι μήτ' ἐπιγράμματα, ἀλλὰ κακῶς λέγειν ὃν ἐπαινεῖν βουληθέντα τῆς ἀξίας ἔργον ἦν τυχεῖν; καὶ μὴν οὐχ ὅμοιον ἐν μέσῃ τῇ θαλάττῃ περὶ τῶν ἐν τῷ
205 πλοίῳ λέγειν καὶ τὴν εὐψυχίαν τὴν αὑτοῦ δεικνύναι καὶ καθήμενον ἔξω τῆς ζάλης ὑπὸ τῷ τειχίῳ· ἃ Πλάτων παντὸς μᾶλλον καλῶς εἰδὼς ἑκὼν ὑπερβαίνει καὶ κατηγορεῖ Θεμιστοκλέους ἐμβιβάσαντος Ἀθηναίους εἰς τὰς τριήρεις, ἐν τούτοις μὲν οὐ τοῖς λόγοις, ἑτέρωθι δὲ, φάσκων αὐτοὺς ἐθισθῆναι φεύγειν ἐκ τούτου καὶ μὴ μάχεσθαι μένοντας. ὡς δὴ σὺ μὲν κἀγὼ πολλὰς τροπὰς ὁπλιτῶν

---

verbis continetur, aliud nihil heneficii potuissent Athenienses ipsis rebus tribuere. Reisk. 11 ᾔτησε] ἤτησοι E. μήτε] μὴ N.

12 μή τι] Legebatur μήτοι. μήτι (οι) Θ. 14 Συρακοσίοις] Vulgo Συρακουσίοις. 15 κἂν om. E. προσηγγυῆσθαι LN. Vulgo προσεγγυῆσθαι. δοκεῖ] δοκῇ N. 16 Fort. μελλόντων μὲν ἔτι ἔσεσθαι τῶν ἔργων, καὶ ὅπως πραχθείη ἐν εὐχῆς μέρει ὄντων, καὶ μόνον ταῦθ' ὑπὲρ ἁπάντων ὑπισχνεῖσθαι. cum adhuc modo futurae essent illae res, et genus voti esset eas peragi, Platonem omnium civium nomine unum haec spondere. potest quoque post ὅπως πραχθείη addi ἀδήλου ὄντος, cum nondum certo sciretur quomodo hae res gerendae essent. v. p. 215, 6. Reisk. 18 μήθ' N. Vulgo μήτε. 19 μήτ' N. Vulgo μήτε. 20 θαλάττῃ] Vulgo θαλάσσῃ.

205, 1 ζάλης] Memini rhesin hanc apud Platonem legere, sed locus non succurrit. Reisk. Πλάτων] Initio libri quarti de legibus. Canter. 3 ἐν] οὐκ ἐν EN. οὐ τοῖς L. Legeba-

ἐποιησάμεθα, Θεμιστοκλῆς δὲ οὐδὲν ἄλλο ἢ φεύγειν ἠπίστατο. ἐγὼ δ᾽ εἰ μὲν ἦν ἕτερον τρόπον νικῆσαι, ἢ καὶ σωθῆναι τὸ πρῶτον, τάχ᾽ ἄν τι τούτους ᾤμην εἶναι τοὺς λόγους· ὅτε δ᾽ ἦν αἵρεσις ἢ ναυμαχοῦντας κρατεῖν, ἢ κατὰ γῆν ἀπολωλέναι, πῶς ἦν ἴσον ἢ τίς ἡ θαυμαστὴ φιλοσοφία τεθνάναι μάτην, ἐξὸν μετὰ τῆς μεγίστης εὐδοξίας σωθῆναι; ἀρχὴν δ᾽ ἔγωγε οὐκ ἐπινοῶ ποῦ διακέκριται κατὰ γῆν μὲν νικῆσαι καλὸν εἶναι, ἐν θαλάττῃ δ᾽ αἰσχρόν· ἢ τὴν μὲν κρανίαν καὶ τὴν βύρσαν πολλοῦ τινος (836) ἀξίαν εἶναι, τὰ δὲ νήια καὶ τοὺς κωπέας τοῦ μηδενός· ὥσπερ ἂν εἴ τις τὴν θάλατταν ἐξαιροῖ τῶν ὄντων, ἢ μάτην γενέσθαι λέγοι καὶ διαγράφοι τὴν τοῦ Ποσειδῶνος ἀρχὴν δεύτερα τῶν πάντων ἔχουσαν, ὥς φησιν Ὅμηρος. τί οὖν οὐχὶ καὶ περὶ τοῦ σίτου κατηγορήσομεν αὐτῶν, ὅτι χρῶνται ἐπεισάκτῳ τῷ πλείονι καὶ προσδέονται θαλάττης, ἐξὸν τῇ χώρᾳ στέργειν ἣν γεωργοῦσιν, ὦ θειότατε ἀνδρῶν· τοῦτο μὲν ἔστ᾽ ἀπολωλέναι λιμῷ. καὶ μὴν εἴ γε ἡ τοῦ σίτου κομιδὴ κατὰ θάλατταν αὐτοῖς ἀναγκαῖον καὶ σωτήριον, τῆς αὐτῆς ἕνεκα σωτηρίας καὶ τότε τῇ θαλάττῃ προσεχρήσαντο καὶ προσῆν ἡ τοῦ καλοῦ μερὶς τῇ χρείᾳ. καὶ μὴν οὐδ᾽ ἐκεῖνό γ᾽ ἔστιν εἰπεῖν ὡς τὸν μὲν σῖτον ἔδει κατὰ θάλατταν αὐτοῖς φοιτᾶν, τῆς δὲ σιτοπομπίας οὐ χρῆν προϊδεῖν ὅπως ἔσονται κύριοι. οὐκοῦν ἔδει τριήρων καὶ τοῦ ναυμαχεῖν ἐπίστασθαι.

Πῶς οὖν ὁ ταῦτα συμβουλεύων περιειργάζετο, ἢ πῶς οὐχ ἡρμόττετο πρὸς τὴν φύσιν τῆς χώρας, ἵνα καὶ τοῦτο προσθῶμεν; ὅμοιον δ᾽ ἄν μοι δοκοῦμεν ποιεῖν εἰ ταῦτα

---

tur οὖν τοῖς. Vide scholia p. 633, 14. 6 τάχ᾽] τάχα N. 10 δὲ νήια LN Opor. scholiasta, Photius p. 429 b, 28. Iebb. δὲ νία Θ. δ᾽ ἴνια Iunt. Recte restitutum e codicibus νήια, quae sunt rudentes vel funes nautici, κωπῆς, remiges. v. Aristoph. Lysistr. 422. κρανία est hasta e corno arbore facta et βύρσα scutum e corio bubulo. Reisk. 11 θάλατταν] θάλασσαν LN. ἐξαιροῖ] ἐξαίροι L. ἐξαίρει N. διαγράφοι] διαγράφει ΘN. 12 Ὅμηρος] Iliad. o, 190. 14 ὦ om. N, spatio relicto. τοῦτο] τούτῳ L correctus. 15 ἡ om. B. 16 ἕνεκα L. Vulgo ἕνεκεν. 17 οὐδ᾽ ἐκεῖνό γ᾽ N. Vulgo οὐδὲ ἐκεῖνό γε. 18 χρῆν LN. Legebatur χρὴ. 20 δοκοῦμεν] δοκῶμεν ΘLN.

Digitized by Google

κατηγοροῖμεν, ὥσπερ ἂν εἰ καὶ τῇ φύσει τῆς Ἀττικῆς
206 μεμφοίμεθα, ὅτι αὐτὴν ἔχει θάλαττα κύκλῳ μικροῦ πᾶσαν. (33 τί οὖν εἰ τοῖς κρείττοσιν οὕτως ἔδοξεν; ἀλλ' ὅμως ἐῶ ταῦτα Πλάτωνος χάριν. ἔστω τὸ γειτόνημα ἁλμυρὸν, ὥς φησιν. εἰ μὲν τοίνυν Θεμιστοκλῆς νίκην ἀντὶ νίκης ἠλλάττετο, ἠδίκει τοὺς ναυπηγοὺς ἀντὶ τῶν δορυξόων κοσμῶν; καίτοι καὶ τὸ τῆς ναυμαχίας ἔργον εἰς τοὺς ὁπλίτας δή που τοὺς ἐπὶ τῶν καταστρωμάτων ἀφίκετο· ὧν τοὺς πλείους εἶναι χρὴ δοκεῖν τῶν Μαραθῶνι κινδυνευσάντων. εἰ δὲ διπλοῦν ἀνθ' ἁπλοῦ τότε κίνδυνον μετέλαβον, τὸν μὲν πρὸς τοὺς πολεμίους, τὸν δὲ κατ' αὐτὴν τὴν θάλατταν, οὐδὲν οἶμαι ταύτῃ φαυλότεροι. ἀλλ' ἔγωγε καὶ ταύτας ἀφαιρῶ τὰς προσθήκας. ἔστω πᾶν ἁμάρτημα, εἴ τις ἄλλος πόρος ἦν τοῖς πράγμασι σωτηρίας. εἰ δ' ἅπασα μὲν ἡ γῆ κατείληπτο, ἐπέρρει δὲ ὥσπερ θαλάττης ἐπίκλυσις ἡ στρατιὰ, πάντα δὲ ἄρδην ἀνηρπάζετο, ἀναβλέπειν δὲ οὐκ ἦν, ἀλλ' οἱ μὲν ἑκόντες προσετίθεντο, οἱ δὲ ἄκοντες ἤγοντο, οἱ δ' ἔφευγον εἰς τὸ εἴσω τῆς Ἑλλάδος ἀεὶ, μόνοι δ' ἔξω κατελείποντο Ἀθηναῖοι, πρὸς δὲ τούτοις ἐκάλουν μὲν κἀνταῦθα τῶν πραγμάτων ὄντων τοὺς ἐν τῇ συμμαχίᾳ, καὶ προκινδυνεῦσαι τῶν ὑπολοίπων ἐκέλευον (33 μεθ' ἑαυτῶν ἀπαντήσαντας εἰς τὴν Βοιωτίαν, ὑπήκουε δὲ οὐδεὶς, ἀλλ' ἐν τοῖς στενοῖς οὐ τῆς Πελοποννήσου μόνον, ἀλλὰ καὶ τῶν ἐλπίδων ἐκάθηντο, ἀπέκειτο δὲ μήτε γῆς μήτε θαλάττης εἶναι μηδαμοῦ, τί ταῦτα τοὺς Ἀχαιοὺς ἀπὸ τοῦ πύργου κρίνομεν; ἢ τί τὰ μηδαμῇ συμβαίνοντα κατηγοροῦμεν; ἐγὼ μὲν οὐ τοσαύτην αἰσχύνην ἔχειν ἡγοῦ-

---

21 τῇ φύσει] τὴν φύσιν E.

206, 2 ὥς φησιν] ὡς φῄς E. Locus Platonicus est Legg. IV. p. 705 a. ἀντὶ νίκης νίκην Θεμιστοκλῆς E. 3 καίτοι καὶ] καὶ om. ELN. 4 ὁπλίτας] ὁ$^{\text{πο}}$πλίτας L. γρ. πολίτας margo N. καταστρωμάτων] στρωμάτων N. χρὴ om. E. 5 μετέλαβον] μετέβαλον N, altero ab rec. m. superscripto. 6 θάλατταν] θάλασσαν N. 10 εἴσω] $^{\text{πρό}}$εἴσω L. πρόσω E. γρ. πρόσωπον margo N. 11 τῇ συμμαχίᾳ] τῇ om. E. προκινδυνεῦσαι] προκινδυνεύειν L. 15 μὲν οὐ] μὲν καὶ οὐ N. τοσαύτην LN. Vulgo τοσοῦτον. Aut τοσαύτην legendum cum codicibus, aut τοσοῦτον αἰσχύ-

μαι τὴν ἐν Σαλαμῖνι ναυμαχίαν, ὥσθ᾽ αἱρετώτερον εἶναι πρὸ αὐτῆς ἀπολωλέναι, ἀλλὰ μᾶλλον τοῦ βίου καὶ τῆς σωτηρίας τῆς εἰς ἐκεῖνον τὸν χρόνον τοῦτο φήσαιμ᾽ ἂν ὡσπερεὶ κέρδος τοῖς τότε συμβῆναι, τὸ κατεργάσασθαι πρᾶγμα τοσοῦτον καὶ στῆσαι τρόπαιον κοινὸν ἁπάντων ἀνθρώπων ὡς εἰπεῖν καὶ κατὰ παντὸς τοῦ χρόνου. δοκοῦσι γάρ ἔμοιγε οὐ μόνον τοὺς ἀνταγωνιστὰς νικῆσαι τῇ τόθ᾽ ἡμέρᾳ, οὐδὲ τοὺς παρόντας τῶν Ἑλλήνων, ἀλλὰ καὶ πάν-
207 τας ἀνθρώπους μεγέθει τόλμης καὶ νίκης σεμνότητι παρελθεῖν. εἰ γὰρ ἓν ἐξ ἁπάντων εἰπεῖν δεῖ τῶν εἰς μνήμην ἡκόντων, μέγιστον ἐκεῖνό τις ἂν τὸ ἔργον λέγοι δικαίως.

Μόνος δέ μοι δοκεῖ πάντων ἀνθρώπων ἢ κομιδῇ γε ἐν ὀλίγοις δεῖξαι Θεμιστοκλῆς ἀληθῆ τὸν λόγον ὄντα, ὃν (339)
πάλαι μὲν Ἀλκαῖος ὁ ποιητὴς εἶπεν, ὕστερον δὲ οἱ πολλοὶ παραλαβόντες ἐχρήσαντο, ὡς ἄρα οὐ λίθοι οὐδὲ ξύλα οὐδὲ τέχνη τεκτόνων αἱ πόλεις εἶεν, ἀλλ᾽ ὅπου ποτ᾽ ἂν ὦσιν ἄνδρες αὐτοὺς σώζειν εἰδότες, ἐνταῦθα καὶ τείχη καὶ πόλεις. οὔκουν τῷ γε ἀληθεστάτῳ τῶν λόγων ἐκλιπεῖν τὴν πόλιν ἡγεῖτο, ἀλλὰ μετασκευάζειν ὥσπερ ἐν σκηνῇ πρὸς τὸ παρεστός· οὐδὲ γὰρ ἐν τοῖς δράμασιν οὐδένα τῶν ἀγωνιστῶν ἀπολλύναι τὴν ἑαυτοῦ φύσιν, ἐὰν πρὸς τὸ παρὸν μεταμπίσχηται· καὶ τότε τοῖς Ἀθηναίοις ἐπιβάλλειν θαλαττίων σχῆμα προσθέσθαι καὶ δεῖξαι τὴν πόλιν ἐν τούτῳ. διὰ ταῦτα τὴν μὲν χώραν καὶ τοὔδαφος τῆς πόλεως προεῖτο, τὴν δ᾽ ἀξίαν κάλλιστα ἀνθρώπων διεσώσατο, καὶ πρότερον τείχη καὶ ἑστίας καὶ νεὼς ἢ τὴν τοῦ φρονήματος τάξιν προὔλιπε καὶ ἃ πεπεικὼς αὐτὸν ἦν. ᾔδει γὰρ ὅτι,

---

νης. Reisk. 18 τῆς ab rec. m. insertum in N. 18 στῆσαι] στήσασθαι Θ. τοῦ χρόνου] τοῦ om. N, lacuna relicta. 19 τόθ᾽ N. Vulgo τότε.

207, 1 τόλμης] γνώμης N. γρ. τόλμης margo N. 4 Ἀλκαῖος] Vide fragm. XI. XII. apud Matthiam p. 20. 21. 6 εἶεν] ἦεν N. αὐτοὺς Θ. Vulgo αὑτούς. 7 ἐκλιπεῖν] ἐκλείπειν L. τὴν πόλιν expuncta sunt in N. 8 παρεστός Steph. Iebb. παρεστὼς LN Iunt. 10 ἐπιβάλλειν] ὀφείλεσθαι superscriptum in N. θαλαττίων] θαλάττιον N, ον ab rec. m. 13 αὑτὸν scholiasta p. 638, 3. Vulgo αὐτόν. εἰ μὲν] μὲν om. E.

κατηγοροῖμεν, ὥσπερ ἂν εἰ καὶ τῇ φύσει τῆς Ἀττικῆς
206 μεμφοίμεθα, ὅτι αὐτὴν ἔχει θάλαττα κύκλῳ μικροῦ πᾶ- (33
σαν. τί οὖν εἰ τοῖς κρείττοσιν οὕτως ἔδοξεν; ἀλλ' ὅμως ἐῶ ταῦτα Πλάτωνος χάριν. ἔστω τὸ γειτόνημα ἁλμυρόν, ὥς φησιν. εἰ μὲν τοίνυν Θεμιστοκλῆς νίκην ἀντὶ νίκης ἠλλάττετο, ἠδίκει τοὺς ναυπηγοὺς ἀντὶ τῶν δορυξόων κοσμῶν; καίτοι καὶ τὸ τῆς ναυμαχίας ἔργον εἰς τοὺς ὁπλίτας δή που τοὺς ἐπὶ τῶν καταστρωμάτων ἀφίκετο· ὧν τοὺς πλείους εἶναι χρὴ δοκεῖν τῶν Μαραθῶνι κινδυνευσάντων. εἰ δὲ διπλοῦν ἀνθ' ἁπλοῦ τότε κίνδυνον μετέλαβον, τὸν μὲν πρὸς τοὺς πολεμίους, τὸν δὲ κατ' αὐτὴν τὴν θάλατταν, οὐδὲν οἶμαι ταύτῃ φαυλότεροι. ἀλλ' ἔγωγε καὶ ταύτας ἀφαιρῶ τὰς προσθήκας. ἔστω πᾶν ἁμάρτημα, εἴ τις ἄλλος πόρος ἦν τοῖς πράγμασι σωτηρίας. εἰ δ' ἅπασα μὲν ἡ γῆ κατείληπτο, ἐπέρρει δὲ ὥσπερ θαλάττης ἐπίκλυσις ἡ στρατιά, πάντα δὲ ἄρδην ἀνηρπάζετο, ἀναβλέπειν δὲ οὐκ ἦν, ἀλλ' οἱ μὲν ἑκόντες προσετίθεντο, οἱ δὲ ἄκοντες ἤγοντο, οἱ δ' ἔφευγον εἰς τὸ εἴσω τῆς Ἑλλάδος ἀεί, μόνοι δ' ἔξω κατελείποντο Ἀθηναῖοι, πρὸς δὲ τούτοις ἐκάλουν μὲν κἀνταῦθα τῶν πραγμάτων ὄντων τοὺς ἐν τῇ συμμαχίᾳ, καὶ προκινδυνεῦσαι τῶν ὑπολοίπων ἐκέλευον (338
μεθ' ἑαυτῶν ἀπαντήσαντας εἰς τὴν Βοιωτίαν, ὑπήκουε δὲ οὐδείς, ἀλλ' ἐν τοῖς στενοῖς οὐ τῆς Πελοποννήσου μόνον, ἀλλὰ καὶ τῶν ἐλπίδων ἐκάθηντο, ἀπέκειτο δὲ μήτε γῆς μήτε θαλάττης εἶναι μηδαμοῦ, τί ταῦτα τοὺς Ἀχαιοὺς ἀπὸ τοῦ πύργου κρίνομεν; ἢ τί τὰ μηδαμῇ συμβαίνοντα κατηγοροῦμεν; ἐγὼ μὲν οὐ τοσαύτην αἰσχύνην ἔχειν ἡγοῦ-

---

21 τῇ φύσει] τὴν φύσιν E.

206, 2 ὥς φησιν] ὡς φῄς E. Locus Platonicus est Legg. IV. p. 705 a. ἀντὶ νίκης νίκην Θεμιστοκλῆς E. 3 καίτοι καὶ] καὶ om. ELN. 4 ὁπλίτας] ὁπλίτας[πο] L. γρ. πολίτας margo N. καταστρωμάτων] στρωμάτων N. χρὴ om. E. 5 μετέλαβον] μετέβαλον N, altero ab rec. m. superscripto. 6 θάλατταν] θάλασσαν N. 10 εἴσω] εἴσω[πρό] L. πρόσω E. γρ. πρόσωπον margo N. 11 τῇ συμμαχίᾳ] τῇ om. E. προκινδυνεῦσαι] προκινδυνεύειν L. 15 μὲν οὐ] μὲν καὶ οὐ N. τοσαύτην LN. Vulgo τοσοῦτον. Aut τοσαύτην legendum cum codicibus, aut τοσοῦτον αἰσχύ-

μαι τὴν ἐν Σαλαμῖνι ναυμαχίαν, ὥσθ' αἱρετώτερον εἶναι
πρὸ αὐτῆς ἀπολωλέναι, ἀλλὰ μᾶλλον τοῦ βίου καὶ τῆς
σωτηρίας τῆς εἰς ἐκεῖνον τὸν χρόνον τοῦτο φήσαιμ' ἂν
ὡσπερεὶ κέρδος τοῖς τότε συμβῆναι, τὸ κατεργάσασθαι
πρᾶγμα τοσοῦτον καὶ στῆσαι τρόπαιον κοινὸν ἁπάντων
ἀνθρώπων ὡς εἰπεῖν καὶ κατὰ παντὸς τοῦ χρόνου. δοκοῦσι
γάρ ἔμοιγε οὐ μόνον τοὺς ἀνταγωνιστὰς νικῆσαι τῇ τόθ'
ἡμέρᾳ, οὐδὲ τοὺς παρόντας τῶν Ἑλλήνων, ἀλλὰ καὶ πάν-
207 τας ἀνθρώπους μεγέθει τόλμης καὶ νίκης σεμνότητι παρελ-
θεῖν. εἰ γὰρ ἓν ἐξ ἁπάντων εἰπεῖν δεῖ τῶν εἰς μνήμην
ἡκόντων, μέγιστον ἐκεῖνό τις ἂν τὸ ἔργον λέγοι δικαίως.

Μόνος δέ μοι δοκεῖ πάντων ἀνθρώπων ἢ κομιδῇ γε
ἐν ὀλίγοις δεῖξαι Θεμιστοκλῆς ἀληθῆ τὸν λόγον ὄντα, ὃν (339)
πάλαι μὲν Ἀλκαῖος ὁ ποιητὴς εἶπεν, ὕστερον δὲ οἱ πολλοὶ
παραλαβόντες ἐχρήσαντο, ὡς ἄρα οὐ λίθοι οὐδὲ ξύλα οὐδὲ
τέχνη τεκτόνων αἱ πόλεις εἶεν, ἀλλ' ὅπου ποτ' ἂν ὦσιν
ἄνδρες αὑτοὺς σώζειν εἰδότες, ἐνταῦθα καὶ τείχη καὶ πό-
λεις. οὔκουν τῷ γε ἀληθεστάτῳ τῶν λόγων ἐκλιπεῖν τὴν
πόλιν ἡγεῖτο, ἀλλὰ μετασκευάζειν ὥσπερ ἐν σκηνῇ πρὸς
τὸ παρεστός· οὐδὲ γὰρ ἐν τοῖς δράμασιν οὐδένα τῶν ἀγω-
νιστῶν ἀπολλύναι τὴν ἑαυτοῦ φύσιν, ἐὰν πρὸς τὸ παρὸν
μεταμπίσχηται· καὶ τότε τοῖς Ἀθηναίοις ἐπιβάλλειν θα-
λαττίων σχῆμα προσθέσθαι καὶ δεῖξαι τὴν πόλιν ἐν τούτῳ.
διὰ ταῦτα τὴν μὲν χώραν καὶ τοὔδαφος τῆς πόλεως
προεῖτο, τὴν δ' ἀξίαν κάλλιστα ἀνθρώπων διεσώσατο, καὶ
πρότερον τείχη καὶ ἑστίας καὶ νεὼς ἢ τὴν τοῦ φρονήματος
τάξιν προὔλιπε καὶ ἃ πεπεικὼς αὐτὸν ἦν. ᾔδει γὰρ ὅτι,

---

νης. Reisk. 18 τῆς ab rec. m. insertum in N. 18 στῆσαι] στήσασθαι Θ. τοῦ χρόνου] τοῦ om. N, lacuna relicta. 19 τόθ' N. Vulgo τότε.

207, 1 τόλμης] γνώμης N. γρ. τόλμης margo N. 4 Ἀλκαῖος] Vide fragm. XI. XII. apud Matthiam p. 20. 21. 6 εἶεν] ἦεν N. αὑτοὺς Θ. Vulgo αὐτοὺς. 7 ἐκλιπεῖν] ἐκλείπειν L. τὴν πόλιν expuncta sunt in N. 8 παρεστός Steph. Iebb. παρεστὼς LN Iunt. 10 ἐπιβάλλειν] ὀφείλεσθαι superscriptum in N. θαλαττίων] θαλάττιον N, ον ab rec. m. 13 αὑτὸν scholiasta p. 638, 3. Vulgo αὐτὸν. εἰ μὲν] μὲν om. E.

εἰ μὲν ἐκείνων ἀντέχοιτο καὶ περὶ αὐτὰ φιλοψυχοίη, ταχέως κἀκείνων στερήσεται καὶ τοὺς ἄνδρας αὐτοὺς προσαπολεῖ καὶ πάσας εἰσάπαξ τὰς ἐλπίδας ἐκβαλεῖ, εἰ δὲ τὰς
ναῦς προβάλοιτο αὐτῶν καὶ τόν γε αὐτῆς τῆς κρίσεως χρό- (340
νον ἐκσταίη, καθάπερ τις ἀγωνιστὴς ἐπ' ἄθλοις ἀποδημῶν ῥᾳδίως ἤλπιζεν, ὥσπερ τότε τὴν θάλατταν ἀντὶ τῆς γῆς ᾑρεῖτο, οὕτω πάλιν ἐκ τῆς θαλάττης εὑρήσειν καὶ τὴν χώραν καὶ τὴν πόλιν καὶ οὐδὲν χείροσι χρήσεσθαι. ταῦτα δὲ ἐνθυμηθεὶς τοὺς δρομέας ἐμιμήσατο τοὺς ἐκ πολλοῦ τοὺς πρόσθεν αἱροῦντας· καὶ παραχωρήσας οὐ μόνον τῆς Ἀττικῆς, ἀλλὰ καὶ τῆς γῆς ἁπάσης Ξέρξῃ καὶ προλαβεῖν ἐάσας, καὶ τῆς θαλάττης τοσοῦτον ἀπολαβὼν, ὅσον ταῖς ναυσὶν ἤρκει, περιέτρεψεν ἁπάσας αὐτῷ τὰς ἐλπίδας, καὶ
208 τὴν Ἑλλάδα ἐρρύσατο, οὐ ναύτας ἀνθ' ὁπλιτῶν ἐθίζων Ἀθηναίους εἶναι, οὐδὲ φυγῆς ἐφόδιον τὰς τριήρεις αὐτοῖς ἐξευρὼν, οὐδ' ἵνα τὸν πάντα χρόνον τὴν θάλατταν οἰκῶσιν, ὥσπερ τὸν Γλαῦκόν φασι τὸν Ἀνθηδόνιον, ἢ τὸν Σάρωνα τὸν ἐπώνυμον τοῦ πελάγους, ἀλλὰ τοὐναντίον πᾶν, ὦ θαυμάσιε, ὅμως μηδὲν πλῆθος τῶν πολεμίων φοβῶνται μηδὲ φεύγωσιν, ἀλλὰ κἂν τὴν γῆν ἅπασαν δέῃ προλιπεῖν, κἂν τῶν σωμάτων αὐτῶν ἀποστῆναι, ῥᾳδίως ὑπομένωσιν ὑπὲρ τοῦ κρείττονος, καὶ μὴ τοῖς κτήμασι
δουλεύωσι μηδ' ἱκανὴν πρόφασιν μηδεμίαν νομίζωσι τοῦ (341

---

ἐκείνων] περὶ ab correctore superne adscriptum in L. 14 ταχέως κἀκείνων] κἀκείνων ταχέως L. 15 εἰσάπαξ τὰς ἐλπίδας] τὰς ἐλπίδας εἰσάπαξ N. προβάλοιτο ΘL et scholiasta p. 638, 10. Vulgo προβάλλοιτο. 16 ἐκσταίη] ἐνσταίη L. 17 θάλατταν N. Vulgo θάλασσαν. 18 χρήσεσθαι Steph. Iebb. χρήσεται Iunt., χρήσασθαι ΘN Soph. 19 πολλοῦ] τοῦ διαστήματος in textu addit E, superscriptum habet ab rec. m. N. Vide scholia p. 638, 18. τοὺς πρόσθεν ΘELN. Vulgo τοῦ πρόσθεν. Vide Wyttenbachium ad Plutarch. de S. N. V. p. 8. ἐκ πολλοῦ τοῦ πρόσθεν αἱρεῖν dicitur cursor, qui cursorem alterum, cum quo de celeritate currendi certat, quamquam longe praecurrere sivit, tandem tamen praevertit. Reisk. 20 προλαβεῖν] προσλαβεῖν E. 21 περιέτρεψεν ἁπάσας] περιέτρεψε πάσας Θ.

208, 1 ἐρρύσατο] ἐρύσατο N. 2 ἐξευρὼν] ἐφευρὼν L. 5 κἂν τὴν γῆν N. κἂν γῆν L. καὶ τὴν γῆν ΘE. Vulgo καὶ γῆν. δέῃ LN. Vulgo ἂν δέῃ. 6 ὑπομένωσιν] ὑπομενοῦσιν ΘL. ὑπὲρ] ὑπὸ Θ. ὑπὸ, superscripto ab rec. m. ὑπὲρ, L. δουλεύωσι]

Digitized by Google

γενέσθαι χείρους, μὴ πλῆθος πολεμίων, μὴ ἰσχὺν, μὴ πάντας ἀνθρώπους δουλεύειν συγκεχωρηκότας, μὴ πάντ᾽ ἄνω καὶ κάτω γιγνόμενα, ἀλλὰ καὶ θάλατταν οἰκειοτέραν καὶ πάντα κίνδυνον ἀνεκτότερον ἡγῶνται τοῦ ζῆν μετ᾽ αἰσχύνης. τοῦτο καὶ ὁπλίταις ἀγαθὸν παράδειγμα καὶ ἱππεῦσι καὶ τοξόταις καὶ τριηρίταις καὶ πᾶσι πόλεως πληρώμασιν. οὐ χρὴ, φησὶ, τοῖς ἐναντίοις διδόναι τὰ νῶτα οὐδὲ αἰσχρὰν σωτηρίαν ζητεῖν, οὐδ᾽ ἀφέντας τοὺς περὶ τῶν δικαίων λογισμοὺς ἐφεῖναι τῷ φέροντι, οὐδὲ φεύγειν ὅπως τις μὴ μάχηται. οὔκουν ἔγωγε, φησὶ, φεύγων ᾠχόμην εἰς Ἰταλίαν, οὐδ᾽ ἐκεῖ πόλιν ἠξίουν οἰκίζειν, καίτοι τῶν μάντεων κελευόντων, ἀλλ᾽ ἔμενον τὰς τριήρεις ἔχων, οὗ καιρὸς ἦν ὑπὲρ τῆς Ἑλλάδος ἀντιτάξασθαι. καὶ ἐπειδὴ τἀν τῇ γῇ κατείληπτο, ἤρκει μοι τῆς θαλάττης μικρὸν μέρος· καὶ σοὶ, φησὶ, παραινῶ μένειν καὶ σώζειν τὴν τάξιν, ἐάν τε ὁπλιτῶν ἀγῶνα ἀγωνίζῃ ἐάν τε τιν᾽ ἱππέων ἄν θ᾽ ὁντινοῦν. ἐὰν δὲ καὶ πάντων ἐξείργῃ, γενοῦ μοι θαλάττιος (342)
9 τοῦτον τὸν χρόνον, ἐνταῦθ᾽ ὁπλίτευσον, προβαλοῦ τὴν ἀσπίδα ἀπὸ τῆς νεώς, εἰ δ᾽ οἷόν τε καὶ ἐξ αὐτῆς τῆς θαλάττης ὑπὲρ τοῦ ῥοθίου φέρε. ταῦτα ἐδίδασκε Θεμιστοκλῆς, καὶ τοῦτο ἠδύνατο αὐτῷ τὸ εἰς τὰς τριήρεις μεταστῆσαι τὴν πόλιν· διὰ ταῦτα κενὴν ἀνθρώπων ἠξίωσε τὴν χώραν πρότερον ποιῆσαι ἢ ληφθέντα τινὰ ἐν αὐτῇ δουλεῦσαι. τούτων οὐ γεγόνασι λογισμοὶ καλλίους οὐδὲ πράγματα ἐντιμότερα, οὐδὲ μᾶλλον ὁμοῦ σύνεσιν καὶ με-

---

δουλεύσωσι L. 7 χείρους add. ΘLN, Opor. Iebb. om. Iunt. Falso autem Iebbius χείρους ante γενέσθαι collocavit. πολεμίων ΘELN. Vulgo τῶν πολεμίων. 8 γιγνόμενα ΘEN. Vulgo γινόμενα. 10 καὶ τριηρίταις καὶ τοξόταις L. 12 ἐφεῖναι] ἀφεῖναι, superscripto ὑφεῖναι, L. τις μὴ μάχηται ELN Iebb. τί μάχηται Iunt. 13 φησὶ ELN, Canter. Iebb. φημὶ Iunt. 15 τἀν N. Vulgo τὰ ἐν. θαλάττης] θαλάσσης L. 16 τάξιν] πόλιν N. γρ. τάξιν margo N. ἐάν τε ὁπλιτῶν] ἐάν τινα ὁπλιτῶν E. ἐάν τε (τε superne adscriptum est) τινα ὁπλιτῶν N. 17 τιν᾽ ἱππέων L. Vulgo τινα ἱππέων. ἄν θ᾽] ἐάν θ᾽. nam bis praecessit ἐάν. constantia in his utendum est. Reisk. Fallitur.

209, 1 ἐνταῦθ᾽ N. Vulgo ἐνταῦθα. 2 ἠδύνατο] Vulgo ἐδύνατο. 3 κενὴν LN, Canterus, Iebb. καινὴν Iunt. πρότερον τὴν χώραν N. 4 ληφθέντα] λειφθέντα Θ.



Digitized by Google

γαλοψυχίαν καὶ ἀνδρείαν ἔχοντα· ἐπεὶ ὅτι γε οὐ καθάπαξ αὐτοὺς ἠξίου τῆς πόλεως ὑπεριδεῖν οὐδὲ κύκλῳ φεύγειν ἐπὶ τῶν τριήρων, ἀλλὰ τοῖς παροῦσι καιροῖς ταῦτα συμφέρειν ὑπελάμβανε, καὶ στρατοπέδῳ τῇ Σαλαμῖνι χρησάμενος τὸν αὐτὸν τρόπον ὅνπερ οἱ πρότεροι τῷ Μαραθῶνι πάλιν τῶν ἐξ ἀρχῆς ἐμέμνητο, ἔδειξεν οὐκ εἰς μακράν. ἀπελθόντων γὰρ τῶν βαρβάρων, εἰς τε τὴν πόλιν ἦγεν εὐθὺς αὐτοὺς ἄνω καὶ συνῴκιζε κατὰ τὰ πρότερα, καὶ μείζω γε τὸν περίβολον, ὥς φασιν οἱ ἐξηγηταί, ἐξήγαγε πανταχῇ, τειχίσαι τε δεῆσαν μόνος ἐξ ἁπάντων εὗρεν ὅπως (3 δυνήσονται. πῶς οὖν αὐτοὺς φεύγειν εἴθισεν, ἢ κατὰ ποίαν τύχην, ὅς γε ἐν μὲν τοῖς ἐσχάτοις κινδύνοις ὄντας αὐτοὺς διώκειν, οὐ φεύγειν εἴθισε, νικήσαντας δὲ καὶ τὰ μέγιστα

---

5 ἀνδρείαν ΘN. Vulgo ἀνδρίαν. 8 πρότεροι] πρότερον EL. 9 μακράν] μικράν L. εὐθὺς αὐτοὺς] αὐτοὺς εὐθὺς N. 10 Maritima dicuntur τὰ κάτω, mediterranea τὰ ἄνω. est itaque ἄνω e mari mediam in terram eos reduxit. Reisk. συνῴκιζε] συνῴκισε N. καὶ μείζω] Consulantur Diod. Sic. lib. 11. Iustin. Hist. lib. 2. et praecipue Thucyd. lib. 1. pag. 50. Iebb. οἱ ἐξηγηταὶ sunt h. l. iidem qui περιηγηταί, circumductores, qui peregrinis urbis alicuius monumenta antiquitatis ostendunt et interpretantur. nam altera significatio usitatior, scil. interpres religionum, hic locum non habet. Reisk. 11 πανταχῇ] πανταχοῦ L. τε] δὲ EN.
μόνος ἐξ ἁπάντων] Frontin. Strateg. lib. 1. cap. 1. *Themistocles exhortans suos ad suscitandos festinanter muros, quos iussu Lacedaemoniorum deiecerant, legatis Lacedaemone missis, qui interpellarent, respondit venturum se ad diluendam hanc existimationem; et pervenit Lacedaemonem. Ibi simulato morbo, aliquantum tempus contraxit. Et postquam intellexit suspectam esse tergiversationem suam, contendit falsum ad eos rumorem perlatum, et rogavit ut mitterent aliquos ex principibus, quibus crederent de munitione Athenarum. Suis deinde clam scripsit, ut eos qui venissent retinerent, donec refectis operibus confiterentur Lacedaemoniis munitas esse Athenas, nec aliter principes eorum redire posse, quam si ipse remissus foret; quod facile praestiterunt, ne unius interitu multorum mortem pensarent.* Confer Iustin. Hist. lib. 2. Corn. Nep. in Themist. cap. 6. Diod. Sic. lib. 11. et Plutarch. in Vit. Themist. pag. 220 seq. scribit tamen Theopompus, Ephoros a Themistocle pecunia redemptos, ne adversarentur. Plutarch. in loco supra laudato, ὡς μὲν ἱστορεῖ Θεόπομπος, χρήμασι πείσας μὴ ἐναντιωθῆναι τοὺς ἐφόρους. Iebb. 13 τὰ μέγιστα LN.

Digitized by Google

εὖ πράττοντας καὶ παρὸν ἥντινα βούλονται χώραν καὶ πόλιν αὐτοὺς λαβεῖν, εἰς τἀρχαῖα ἐπανῆγε, καὶ οὐκ εἴα τῶν ὑπαρχόντων ἀμνημονεῖν; πρὸς Διός, ὦ Πλάτων, εἰ δὲ δή σού τις λαβόμενος κατηγόρει λέγων ὅσα διέπλεις ἐν ὁλκάσι τὴν θάλατταν καὶ πλάνην ὁπόσην πεπλάνησαι περὶ τὴν χάρυβδιν, ὁμοῦ τοῖς ναύταις ἐσκηνωμένος καὶ δεόμενος τῆς κώπης καὶ τοῦ τροπωτῆρος, καὶ ταῦθ' οὕτω δυσχεραίνων τὰ ναυτικὰ καὶ τοῖς ὁπλίταις προσκείμενος, ἆρ' οὐκ ἐκεῖνο μὲν οὐκ ἔμελλες ἐρεῖν, ἅτε ὢν μουσικὸς καὶ πάλαι κατεγνωκὼς τοῦ ῥήματος, τὸ ποῖον δὴ λέγω, ὦ 210 μοχθηρὲ μελαγχολᾷς, εἶπες δ' ἂν οὑτωσί πως, ὦ δαιμόνιε, ἐγὼ ταῦτα ἔπραττον, οὐ τὸν τῶν ναυτῶν βίον ᾑρημένος, οὐδ' ἐκείνους ἀντὶ τῶν ὁπλιτῶν κοσμῶν, οὐδ' ἐν γήρᾳ ναυτίλλεσθαι μεταμανθάνων, οὐδὲ τοῖς κατ' ἤπειρον πράγμασι λυμαινόμενος, ἀλλ' οὐκ ἦν ἄλλως ἐλθεῖν (344) εἰς Σικελίαν; ταῦτ' ἂν εἶχες, οἶμαι, λέγειν, ὥσπερ καὶ ἡμεῖς ὑπὲρ Θεμιστοκλέους, ὅτι οὐκ ἦν ἄλλως τοῖς Ἕλλησι σωθῆναι. καὶ μὴν οὐδ' ἐκεῖνό τις ἂν φήσειεν ὡς ὑπὲρ μὲν τῶν Δίωνος πραγμάτων ἔδει πλεῖν εἰς Σικελίαν καὶ μήτε γῆρας μήτε κίνδυνον μήτε τὸ πολλάκις ἐξηπατῆσθαι μήτ' ἄλλο μηδὲν ὑπολογίζεσθαι πρὸς τὸ δίκαιον καὶ τὴν ἐκείνου χρείαν, ὑπὲρ δὲ τῆς Ἑλλάδος καὶ τοσούτων πραγμάτων οὐκ ἄρ' ἔδει ταῖς ναυσὶ χρήσασθαι, ἀλλ' ἀναίνεσθαι τὴν θάλατταν. οὐδ' ἂν εἷς ταῦτα φήσειεν. ὁ δέ γε Βελλεροφόντης, ὦ ἄριστε, ὥς φασιν οἱ ποιηταί, τὴν

---

Aberat τὰ. παρὸν ΘELN, Canterus. Legebatur παρόντας. 14 βούλονται] βούλωνται vel βούλοιντο Reiskius. 15 σοῦ τις EL. Legebatur σοῦ τις αὐτοῦ. αὐτοῦ expunctum in N. 16 διέπλεις ΘN. Legebatur δὴ ἔπλεις. δὴ διέπλεις Reiskius. 17 ἐσκηνωμένος LN Iebb. cum Thoma Mag. p. 799. ἐσκηνημένος Θ Iunt. Vide ad p. 183, 18. 18 ἐκεῖνο] ἐκεῖνος E. 19 κατεγνωκὼς] In Phaedro. Canter.

210, 1 ὦ μοχθηρὲ μελαγχολᾷς] Sumptum ex Aristophane aut alio aliquo vetere comico Graeco. Reisk. 6 μήτ' ἄλλο] μήτε ἄλλο ΘL. 8 ἀναίνεσθαι] ἀναίνεσθαι (π) L. 9 Βελλεροφόντης] βελοροφόντης N. χίμαιραν Steph. Iebb. χείμαιραν Iunt.

χίμαιραν ἐχειρώσατο οὐκ εἰς τὴν θάλατταν ἐμβὰς, ἀλλ' εἰς τὸν ἀέρα ἀναβὰς ἐπὶ τοῦ Πηγάσου, καὶ ὅμως οὐκ ἔδοξε δειλὸς εἶναι, ὅς γε καὶ λόχους ὅλους διαφθείρειν ἐδόκει δύνασθαι. ἀλλ' οἶμαι πρὸς τὸ πῦρ οὐκ ἦν χαμόθεν ἀντισχεῖν. οἶδα δὲ ὑπὲρ Θεμιστοκλέους ὅτι κἂν εἰ τὸν Δαίδαλον οἷός τ' ἦν μιμήσασθαι καὶ πτερώσας ἑαυτὸν ὑπὲρ τῶν Ἑλλήνων ἐπιθέσθαι τῷ βαρβάρῳ, οὐδὲ τοῦτο ἂν ὤκνησεν, ἢ κἂν εἰ μάχην πεζὴν μέλλων συνάψειν ἐκ τῶν ὑψηλοτέρων ἐπῄει, δειλίαν ὀφλήσειν ἔμελλε. Λακεδαιμονίους δέ γε αὐτὸς σὺ φῂς τὴν ἐν Πλαταιαῖς μάχην μαχομένους οὐκ ἐθέλειν μένειν, ἀλλ' ὑπάγειν τοὺς Πέρσας πρὸς τὸ συμφέρον αὐτοῖς. ἐῶ γὰρ Σκύθας ὅσα δὴ φεύγοντες νενικήκασιν. ὅπου τις πλέον ἕξειν ἡγεῖται, ἐνταῦθα ἀμυνέσθω τοὺς πολεμίους, ἄλλως τε κἂν μηδὲν τῶν μειζόνων παραβαίνῃ δικαίων. εἰ μὲν τοίνυν αὐτοῦ γνώμῃ μόνον περὶ τούτων ἐκέχρητο Θεμιστοκλῆς, ἐκείνου τις ἂν εἶπεν αὐτὸν τὴν κατηγορίαν πεποιῆσθαι, ἐπεὶ δὲ καὶ θεὸς (34

211 ταῦτ' ἀνελὼν φαίνεται, ἐγὼ μὲν ὀκνῶ λέγειν, πᾶς δ' ἂν τις συνίοι τὸ λοιπόν.

Ὁ δ' οὖν Θεμιστοκλῆς λαμπρῶς ἀποφεύγει τὴν αἰτίαν. ἢ πρὸς τῶν θεῶν αὐτῶν, ὅταν μὲν δέῃ Σωκράτη σοφώτατον εἶναι δοκεῖν, εἰς ἀξιόχρεων μάρτυρα ἀνοίσομεν τὸν θεὸν τὸν ἐν Δελφοῖς καὶ τοῖς λογίοις ἰσχυριούμεθα, ἃ Χαιρεφῶν καὶ ὀλίγοι τινὲς ᾔδεσαν, οἷς ἔμελε Σωκράτους, ὧν δ' οἱ Ἕλληνες ἅπαντες μάρτυρες καὶ ἃ τῶν πώποτε

---

10 θάλατταν N. Vulgo θάλασσαν. 12 Post Θεμιστοκλέους deest λέγειν. Reisk. 13 Aut pro ἢ legendum est οὐδὲ, aut versu 14. ὀφλήσειν οὐκ ἔμελλε. Reisk. 14 πεζὴν] πεζὴν L. ἔμελλε] ἔμελλεν Θ. Λακεδαιμονίους δὲ] Alludit ad Platonis verba in Lachete Tom. 2. pag. 191. Λακεδαιμονίους γάρ φασιν ἐν Πλαταιαῖς, ἐπειδὴ πρὸς τοῖς γερροφόροις ἐγένοντο, οὐκ ἐθέλειν μένοντας πρὸς αὐτοὺς μάχεσθαι, ἀλλὰ φεύγειν· ἐπειδὴ δ' ἐλύθησαν αἱ τάξεις τῶν Περσῶν, ἀναστρεφομένους ὥσπερ ἱππέας μάχεσθαι, καὶ οὕτω νικῆσαι τὴν ἐκεῖ μάχην. Iebb. 16 αὐτοῖς] Vulgo αὐτοῖς. 18 αὐτοῦ N. Vulgo αὐτοῦ.

211, 1 δ'] δὲ ΘL. συνίοι] συνιεῖ L. συνίει vel συνίη Photius p. 430 a, 9. 2 Σωκράτη] σωκράτην LN. 4 ἔμελε] ἔμελλε N. οἱ om. N. 5 κοινότατα] κοινότατος L.

κοινότατα ἐφθέγξατο ἡ Πυθία καὶ οἷς ἅπαντα τὰ μέλλοντα ἠκολούθησε, ταῦτα δὲ οὐδαμοῦ θήσομεν εἰς λόγον, οὐδὲ τῇ Θεμιστοκλέους σοφίᾳ μέγιστα εἶναι μαρτύρια συγχωρησόμεθα; ὅπου γὰρ ταὐτὰ ἔδοξεν ἐκείνῳ καὶ τῷ θεῷ περὶ (346) σωτηρίας τῶν ὅλων, τί χρὴ λέγειν ἄλλο; τίν' οὖν ἦν τὰ χρησθέντα; ἄρχεται μὲν ἄνωθέν ποθεν, ἔπειτά ἐστι τοῦτο ὃ πάντες θρυλοῦσι

Τεῖχος Τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεύς.

ἆρά γε καὶ μόνον τοῦτο εἴρηκεν ὁ χρησμός; οὔκ, ἀλλ' ὥσπερ ἐπισφραγίζεται τὴν γνώμην τῇ προσθήκῃ. τίς οὖν ἔσθ' αὕτη;

Μοῦνον ἀπόρθητον τελέθειν·

ἵνα μὴ τοῦθ' οὕτως λεγόντων ἀργῶς αἵρεσιν εἶναι δοκῶσιν αὐτοῖς Ἀθηναῖοι ἢ κατὰ γῆν νικῆσαι ἢ κατὰ θάλατταν, μηδὲ τρυφῶσιν, ἀλλ' εἰδῶσιν ὅτι ἐν ταῖς ναυσὶν ἅπαντα τὰ πράγματα ἕστηκε καὶ ἄλλως οὐκ ἔνεστι σώζεσθαι. ἔτι δὲ αὐτὸ μειζόνως ηὔξησεν ἐν τοῖς ἐφεξῆς, ἅτ' ὢν μουσηγέτης ὁ θεὸς καὶ λέγειν ἄριστος δή που. προσέθηκε γὰρ

τὸ σὲ τέκνα τ' ὀνήσει,

τί τοῦτο λέγων „τὸ σὲ τέκνα τ' ὀνήσει;" οὐ διὰ τοὺς παῖδας οὓς εἰς Τροιζῆνα ὑπεξέθεντο ἐμοὶ δοκεῖν, ἀλλὰ

---

6 ἠκολούθησε] Consenserunt, responderunt, id est quae vaticinia rerum ipsis eventibus sunt confirmata. Reisk. 7 συγχωρησόμεθα] συγχωρήσομεν Reiskius. περὶ] ὑπὲρ N et correctus L. 8 τίν'] τίνα L. ἦν om. L. 9 θρυλοῦσι Θ. Vulgo θρυλλοῦσι. Τριτογενεῖ dedi ex Herodoto VII, 141. Libri τριτογενείη. ξύλινον διδοῖ] διδοῖ ξύλινον L. 11 αὕτη] ἅτη Θ. τελέθειν] τελέθεν L. Fort. ἵνα μή, τοῦτο οὕτω λέγοντος ἀργῶς, αἵρεσιν. ne si Apollo illud (superius de ligneo munimento) ita segniter et negligenter (sine ulla diligentiore expositione) diceret, Athenienses existimarent. aut ἵνα μὴ διὰ τοῦτο οὕτω λεγόμενον ἀργῶς. Reisk. τοῦθ' N. Vulgo τοῦτο. οὕτως L. Vulgo οὕτω. λεγόντων EL, correctus N et scholiasta p. 614, 29. Legebatur λέγοντος. 12 ἀργῶς om. N. αὐτοῖς] Vulgo αὑτοῖς. 14 ἔτι δὲ — ἔσεσθαι in marg. habet L ab correctore adscripta. αὐτὸ] γρ. αὐτὸς margo L. 15 γὰρ τὸ σὲ N. Legebatur τὸ σὲ δέ. λέγων τὸ σὲ] λέγων τὸ σὲ δὲ L. 16 τ' ὀνήσει] τε ὀνήσειν N. οὐ διὰ ELN lebb. διὰ om. Θ Iunt. διὰ aut omitti aut οὐ μὰ Δία τοὺς παῖδας corrigi vult Reiskius. ἐμοὶ δοκεῖν ΘLN. Legebatur ὡς ἐμοὶ δοκεῖν.

Digitized by Google

καὶ τοὺς ὕστερον μέλλοντας ἔσεσθαι. οὕτω συνεκληρώθησαν τῇ τύχῃ τῆς πόλεως αἱ τριήρεις· εἴ πότε γὰρ εὖ πράτ-
212 τοιεν, κατὰ ταύτας εὖ πράττειν αὐτοῖς περιῆν ὅλως. καὶ οὐδ᾿ ἐνταῦθ᾿ ἔστη τῆς δημηγορίας, ἀλλ᾿ ὥσπερ προκατα- (347
λαμβάνων καὶ ὥσπερ ὑποτεμνόμενος τὰς Πλάτωνος ἐπιτιμήσεις ἔγκειται πάσας φωνὰς ἀφιεὶς καὶ λέγων ἐκ τοῦ εὐθέος ἤδη

Μηδὲ σύ γ᾿ ἱπποσύνην τε μένειν καὶ πεζὸν ἰόντα
πολλὸν ἀπ᾿ ἠπείρου στρατὸν ἥσυχος, ἀλλ᾿ ἀναχωρεῖν.

εἶτ᾿ ἐστὶν ἀκροτελεύτιον

ἔτι τοί ποτε κἀντίος ἔσσῃ.

καὶ ἔγωγ᾿ ἡδέως ἂν ἐροίμην τοὺς τὰς βαθείας ὑπήνας ἕλκοντας, ἔφη τις τῶν κωμικῶν, καὶ μέχρι τούτου τὸν Πλάτωνα σεμνύνοντας, εἰ κατ᾿ ἐκείνους τοὺς χρόνους ἦν ἡμῖν Πλάτων, καὶ αὐτῷ τὰ πράγματα ἐπετέτραπτο, εἶθ᾿ ἧκεν ὁ χρησμὸς, τίνας ἂν λόγους λέγειν ᾤετο δεῖν, ἢ τί πράττειν ἠξίου τοὺς Ἀθηναίους. ἢ νὴ Δία, εἰ μὴ στρατηγῶν αὐτὸς ἐτύγχανε, τῷ γε Θεμιστοκλεῖ τί που ἂν συνεβούλευε; πότερον ταῦθ᾿ ἅπερ αἱ μαντεῖαι, ἢ τἀναντία τούτων; εἰ μὲν γὰρ οὐκ ἔμελλεν εἴσεσθαι τὸν νοῦν τῶν χρησμῶν, οὐ σοφοῦ πρᾶγμα ἔμελλε πείσεσθαι· εἰ δὲ γιγνώσκων καὶ συνιεὶς ἀντιλέγειν ἐπεχείρει, παντὸς μᾶλλον ἔργον διεπράττετο ἢ Πλάτωνος. δυοῖν γὰρ τοῖν ἐσχάτοιν ἀπόδειξις ἦν, ἀσεβείας εἰς τὸν θεὸν καὶ προδοσίας τῆς σωτηρίας οὐ μόνον τῆς πόλεως, ἀλλὰ καὶ τῶν Ἑλλήνων ἁπάντων. εἰ (348

---

212, 1 οὐδ᾿ ἐνταῦθ᾿] οὐδὲν ταῦθ᾿ N. 2 ὥσπερ ὑποτεμνόμενος] ὥσπερ videtur delendum. Reisk. 3 μένειν] μενεῖν correctus L. 4 ἀναχωρεῖν] ὑποχωρεῖν Herodotus. 5 ἔσσῃ] ἔσῃ L et a pr. m. N. ἔγωγ᾿ L. Vulgo ἔγωγε. 6 τις τῶν κωμικῶν] Aristophanem intelligit scholiasta p. 646, 2.: is ἕλκοντας ὑπήνας dixit in Lysistrata v. 1072. at non philosophos, sed legatos quosdam Spartanos. μέχρι τούτου] In eo uno solo imitantur et magnificant honorantque Platonem, quod ad eius exemplum barbas promittunt, in caeteris omnibus ei sunt dissimillimi. Reisk. τούτου] τούτων E. 8 λέγειν om. N. 9 ταῦθ᾿] ταῦτα N. 10 εἴσεσθαι] ἔσεσθαι L. 11 γιγνώσκων] Vulgo γινώσκων. τοῖν ἐσχάτοιν L. Legebatur τῶν ἐσχάτων. ἀπόδειξις] γρ. σύμβολον. Canter. Hanc lectionem memorat scholiasta p. 646, 21.

δὲ δὴ τὰ μάλιστα ἕτερα μὲν ὁ θεὸς προσέταττεν, ἑτέραν δὲ ἦγε Πλάτων, ποτέρῳ τὸν Θεμιστοκλέα πεισθῆναι προσῆκεν, ἢ ποτέρῳ μᾶλλον προσέχων ὀρθῶς ἂν ἔδοξε φρονεῖν; τουτὶ γάρ ἕν μοι τῆς ἀπορίας διαλύσαντες σταθήτωσαν παρὰ τὸν τρίποδα τὸν ἐν Δελφοῖς, ὃν Ἕλληνες ἀπὸ τῶν βαρβάρων ἀνέστησαν. ἀλλὰ μὴν οὐκ ἦν πρὸς δαίμονα φωτὶ μάχεσθαι. καὶ μὴν οὐδ' ἐκεῖνό γ' ἔχει λόγον τῶν μὲν ἐν τῇ Πλάτωνος πόλει καὶ πολιτείᾳ τελευτώντων τῇ Πυθίᾳ τὰς τιμὰς ἐπιτρέπειν αὐτὸν Πλάτωνα καὶ ταῦτα τίθεσθαι κύρια ἅττ' ἂν ἐκείνῃ δοκῇ, ἃ δ' ὑπὲρ τῆς τῶν ζώντων σωτηρίας καὶ φυλακῆς τῆς πάσης Ἑλλάδος ἡ Πυθία προσέταξε, ταῦτα τῷ πεισθέντι καὶ 213 διοικήσαντι μέμφεσθαι. τρισὶ γὰρ τοῖς μεγίστοις φαίνεται σχεδὸν εἰς τὸν Θεμιστοκλέα μόνον ἐλθοῦσα τῶν Ἑλλήνων ἅπασα ἡ σωτηρία, τῷ τε κατ' ἀρχὰς συμβουλεῦσαι ποιήσασθαι τὰς τριήρεις, πρὶν καὶ προσδοκᾶν τινα τῶν πολλῶν ἥξειν τοὺς βαρβάρους, καὶ τῷ παρόντος τοῦ πολέμου πεῖσαι ναυμαχεῖν καὶ τῷ ποῦ τῆς θαλάττης συνοίσει προϊδεῖν. εἴτε γὰρ μὴ ἐποιήθησαν ἐξ ἀρχῆς αἱ τριήρεις, οὐ- (349) δὲν ἂν ἦν ἄξιον τοῖς Ἕλλησι λόγου ναυτικόν, οὐδ' ᾧ θαρρήσαντες ἔμελλον οἱ λοιποὶ συστήσεσθαι· ὥστε τῶν μὲν κατὰ γῆν ἀπόρων ὄντων, ἐν δὲ τῇ θαλάττῃ δυνάμεως οὐχ ὑπαρχούσης ἀπώλλυτ' ἂν ἀκονιτὶ πάντα τὰ πράγματα· εἰ δὲ αἱ μὲν νῆες ὑπῆρχον, ἄλλον δέ τινα αὐτοῖς ἔδοξε τρόπον τὸν πόλεμον διαφέρειν, οὐδ' οὕτω πλέον οὐδὲν ἦν. καὶ μὴν ἥ γε φύσις τῆς θαλάττης ἄχρηστον τὸ πλῆθος τῶν νεῶν τοῖς βαρβάροις ἐποίησε. τοῦτο δ' ἦν ὁ δει-

---

15 διαλύσαντες ΘLN et Photius p. 430 a, 10. Legebatur λύσαντες, quod N ab correctore habet. 17 πρὸς δαίμονα φωτὶ μάχεσθαι] Iliad. ρ, 98. 19 ἅττ'] ἅτ' E.

213, 1 φαίνεται ELN. Legebatur ἤδη φαίνεται. τὸν Θεμιστοκλέα μόνον ΘLN. Vulgo μόνον τὸν Θεμιστοκλέα. 2 τῷ τε Steph. Iebb. τό τε Iunt. 3 καὶ προσδοκᾶν ἥξειν τοὺς βαρβάρους τινα τῶν πολλῶν E. 4 θαλάττης L. Vulgo θαλάσσης. 5 ἂν ἦν] ἦν ἂν L. 6 ἐν δὲ τῇ] κἂν τῇ E. δὲ τῇ θαλάττῃ] τῇ θαλάττῃ δὲ N. 7 ἀπώλλυτ' ἂν] ἀπόλλυτ' ἂν ΘL. ἀπόλλυτο N. αἱ μὲν νῆες] αἱ νῆες μὲν N. 8 Fort. καὶ μὴν οὐδ' ἂν (scilic. οὕτως ἦν αὐτοῖς πλέον τι) εἰ μὴ ἥ γε φύσις. atqui ne vel sic quidem meliore futuri erant loco, nisi natura maris —. Reisk. 9 θαλάττης] θαλάσ-

Digitized by Google

νὸς ἀγὼν Θεμιστοκλέους καὶ ὁ προαγὼν ἐν τοῖς Ἕλλησιν αὐτοῦ μεῖναι καὶ παύσασθαι πρὸς τὸν Ἰσθμὸν βλέποντας. λέγουσι δέ τινες καὶ τέταρτον ὑπὲρ Θεμιστοκλέους ὡς πρὸς τῷ τόπῳ καὶ τὸν καιρὸν ἐξεῦρε, στησάμενος τὴν ναυμαχίαν κατιόντος τοῦ πνεύματος. ὃ δὴ καὶ Φορμίων ὕστερον, ὡς ἔοικε, μιμησάμενος Λακεδαιμονίους περὶ Ναύπακτον κατεναυμάχησεν. οὕτω πολλοῦ δεῖ Θεμιστοκλῆς ἐθίσαι φεύγειν Ἀθηναίους ἢ διαφθεῖραι τὰ φρονήματα.

Ἀλλ' ἐπάνειμι πρὸς τὰ λοιπὰ τοῦ χρησμοῦ. εἶεν. τίνα δὴ τἀπὶ τούτοις ἐφθέγξατο ὁ θεὸς καὶ πῶς κατεκόσμησε (350
τὴν συμβουλήν;

Ὦ θεία Σαλαμὶς ἀπολεῖς δὲ σὺ τέκνα γυναικῶν.

ὁ μὲν τοίνυν θεὸς θείαν τὴν Σαλαμῖνα προσεῖπεν, ὡς ἐν αὐτῇ μελλόντων ἔργων ἔσεσθαι κρειττόνων ἢ κατὰ πάντα τἀνθρώπινα. Πλάτων δὲ τὸν ταῦτα κατειργασμένον καὶ τὸν κομίσαντα αὐτοὺς εἰς τὴν Σαλαμῖνα λυμήνασθαί φησι τοῖς πράγμασι καὶ τῶν πρὸς ἡδονὴν ὑπηρετούντων οὐδὲν γενέσθαι βελτίω. καὶ ὁ μὲν Ἴακχος ἐξεφοίτησε καὶ μετέσχε
214 τῶν δρωμένων καὶ νέφη παρὰ ταῖν θεαῖν εἰς τὴν ναυμαχίαν ἐγκατέσκηψε καὶ θεοὶ καὶ ἥρωες οἱ κοινοὶ τῶν Ἑλλήνων σύμμαχοι συνηγωνίζοντο, καὶ συνεναυμάχουν τιμῶντες ἔργῳ Θεμιστοκλέα, καὶ ἡ προσηγορία τῇ Σαλαμῖνι παν-

---

σῃς N. 10 Atqui hoc (scil. ut natura maris barbaros impediret ne multitudine navium suarum uterentur) hoc erat illud grave certamen Themistoclis, illa erat summa eius contentio, in hoc erat ei adhuc alius ἀγὼν non minus δεινός, gravis, molestus, periculosus, scilicet persuadere Graecis, ut manerent, neque in Isthmum aufugerent. et quia hic apud Graecos ἀγὼν erat tempore et ordine rerum prior illo altero adversus barbaros certamine, propterea προαγῶνα appellat. Est itaque προαγὼν scribendum ultima barytona, non autem προάγων acuta penultima. Reisk. ἀγὼν] ἄγων E. προαγὼν] Vulgo προάγων. 13 Φορμίων] De Phormionis hoc strategemate v. Thucyd. II, 84. Reisk. 17 προσεῖπεν] προσειπὼν Θ. ἔργων om. E. 18 πάντα τἀνθρώπινα] πάντ' ἀνθρώπινα N. 20 γενέσθαι βελτίω] βελτίω γενέσθαι L.

214, 1 παρὰ ταῖν θεαῖν] Cererem innuit et Proserpinam, deas Eleusinias. Sed de nube pulverea, quae ab Eleusine procedens in Graecorum naves erat delata, consulatur Herodotus in Uran. pag. 305. Jebb. ἐγκατέσκηψε] ἐνκατέσκηψαν E. 2 σύμμαχοι

ταχόθεν ἠκριβοῦτο καὶ κατέστη θεία τοῖς ἅπασι. καίτοι ὅτε ἡ Σαλαμὶς τοῦτ' ἤκουσεν, ἡ ναυμαχία δή που τοῦτο ἤκουσεν· οὐ γὰρ ἄλλης γέ τινος χώρας Σαλαμὶς τὸν πρὸ τοῦ χρόνον ἦν, ἀλλ' ὁ θεὸς τὴν ναυμαχίαν θείαν δι' ἐκείνης προσεῖπε· Πλάτων δὲ, ὡς ἔοικεν, ἀναίνεται τὴν νίκην καὶ θάνατον τῶν ταῦτα πραξάντων καταψηφίζεται (351) καὶ προκρίνει σεμνῶς ἀπολωλέναι μᾶλλον ἢ νικᾶν μετὰ τῶν θεῶν. Ὅμηρος δὲ εἰ περιῆν, κἂν Διῒ μῆτιν ἀτάλαντον προσεῖπε τὸν ταῦτα συμβουλεύσαντα καὶ πράξαντα πολλῷ μᾶλλον ἐμοὶ δοκεῖν ἢ τὸν τῶν Κεφαλλήνων στρατηγὸν τὸν ἐπαλείψαντα τῇ μίλτῳ τὰς ναῦς. εἰ γὰρ ὁ μὲν Ζεὺς ἐδίδου τῇ Ἀθηνᾷ δωρεὰν τὰς ναῦς, ὁ δ' Ἀπόλλων ταῦτα ἔφραζεν, ὁ δὲ ἐξ ἀρχῆς πρὸς ταῦτα ἥρμοστο κἂν τοῖς παροῦσι μόνος ταὐτὰ τοῖς θεοῖς ἐγίγνωσκε, πῶς οὐκ ἔμελλε τοῦτο τὸ πρόσρημα οἴσεσθαι; ἀλλ' οὐ Πλάτων οὕτως, ἀλλ' ἀντὶ τοῦ Διῒ τὴν γνώμην ὅμοιον καὶ θεῖον προσειπεῖν Σαράμβῳ καὶ τοῖς καπήλοις εἰκάζει πᾶσι. πῶς ἄν τις μᾶλλον μεγαλοπρεπείᾳ παρὰ καιρὸν ἐχρήσατο;

Φέρε δὴ κἀκεῖνο σκεψώμεθα, εἰ ὥσπερ τινὲς ἤδη λέγονται τῶν ἡρώων ἐν θεοῖς δικασταῖς κριθῆναι, οὕτω καὶ Θεμιστοκλῆς περὶ ὧν συνεβούλευσεν ἐκρίνετο ἐν τῷ Ἀπόλλωνι τῷ Πυθίῳ, ποτέραν ἂν ἤνεγκε τὴν ψῆφον ὁ

om. N. 3 πανταχόθεν] πάντοθεν L. 4 σαλαμὶς τοῦτ' N. Vulgo Σαλαμὶς τοῦτο. ἡ ναυμαχία δήπου τοῦτο ἤκουσεν add. ELN Opor. Iebb. om. Iunt. 5 Σαλαμὶς] ἡ σαλαμὶς N. Fort. χώρας προκριτωτέρα ἡ Σαλαμίς. *nulla potior alia regione fuit.* Reisk. 7 σεμνῶς videtur ad προκρίνει pertinere, non ad ἀπολωλέναι. qua est gravitate Plato, decernit decentius esse atque praestabilius ἀπολωλέναι ἔρημον desertum et nudum a sociis occumbere quam vincere vel cum diis sociis. Reisk. 9 κεφαλλήνων ΘL. Vulgo Κεφαλήνων. 10 στρατηγὸν] Ulixem Iliad. β, 636. εἰ γὰρ ὁ μὲν] εἰ μὲν γὰρ ὁ ΘL. Post ἐδίδου integrum folium ex L evulsum, quod pertinuit usque ad p. 217, 7. 11 ταῦτα] Oraculum in quo iactando hic locus totus est. Reisk. 12 ἐγίγνωσκε] Vulgo ἐγίνωσκε. πρόσρημα] Scilicet Διῒ μῆτιν ἀτάλαντος. Reisk. οἴσεσθαι] εἴσεσθαι ΘΝ. 16 Θεμιστοκλῆς ΘEN, Canterus. Legebatur Θεμιστοκλεῖ. 17 ἐν Ἀπόλλωνι τῷ Πυθίῳ. id est παρ' Ἀπόλλωνι, ut p. 216, 11. ἐν Μυκάλῃ *apud Mycalen.* Reisk.

*θεὸς περὶ αὐτοῦ. πότερον τὴν καταγιγνώσκουσαν; ἀλλ' ἄτοπον προειπεῖν μὲν αὐτὸν ταῦτα καὶ χρῆσαι, τοῦ δὲ ὑπακούσαντος καταψηφίζεσθαι. ὅπου γὰρ καὶ τὸν Ὀρέστην* (352) *ἀφεθῆναι λόγος ἐν τοῖς ἄλλοις θεοῖς κρινόμενον εἰς τὸν Ἀπόλλω τὸ ἔργον ἀνενεγκόντα, ἤ που τόν γε παρ' αὐτῷ τῷ Ἀπόλλωνι φεύγοντα ὑπὲρ ὧν μετ' ἐκείνου κατέπραξεν*
215 *οὐδεὶς λόγος ἦν ἁλῶναι. εἶθ' ὃν οὐκ ἦν ἑλεῖν παρὰ τῷ θεῷ κριτῇ, τούτου Πλάτων ἠξίωσε κατηγορεῖν; καὶ εἰ μὲν Ἀθήνησιν ἐκρίνετο μηδεμιᾶς τοιαύτης λέγω μαντείας προϋπαρχούσης, ἔπειτ' ἔδοξεν ἐκείνοις ἐπιτρέψαι τῷ θεῷ καθάπερ πρότερόν φασι τὸ περὶ τῶν φυλῶν, εἰ καλῶς αὐτῷ βεβουλεῦσθαι ἀνεῖλεν, ἀφεῖσθαι λοιπὸν ἔδει, καὶ μηδενὶ μηδὲν ἐξεῖναι παρὰ ταῦθ' ἕτερον λέγειν· ἐπεὶ δ' ἔφθη πρὸ τῆς αἰτίας αὐτὸν ἀφεὶς ὁ θεὸς καὶ πρότερον τὰς πράξεις ἐπῄνεσε, πρίν τινα ἀνθρώπων εἰδέναι εἰ πραχθήσονται, καὶ μόνον οὐ συνεῖπεν αὐτῷ περὶ ἁπάντων ἐξ ἀρχῆς καὶ τὴν γνώμην ἣν εἶχε προεξήνεγκεν, ὅμως οὐκ ἀπέσχηται Πλάτων, ἀλλ' ἐναντία τῷ χρησμῷ πεφιλοσόφηκε καὶ κατηγόρηκε τῶν πεπραγμένων, ἃ πρὶν γενέσθαι τῶν κρειττόνων τις ἐπῄνεσε. τί οὖν οὐ καὶ τοὺς Ἡρακλείδας, ὦ βέλτιστε, ᾐτιάσω, διότι οὐ κατὰ γῆν εἰς Πελοπόννησον* (353) *εἰσῆλθον, ἀλλ' ἀπὸ τοῦ Ῥίου πρὸς τὸ Ῥίον περαιωθέντες; ἀλλ' οἶμαι κἀκείνοις ταυτὸν ἦν, ὅπερ τοῖς Ἕλλησι τοῖς περὶ Θεμιστοκλέα· κατὰ γῆν μὲν γὰρ ἔδει κρατεῖσθαι, κατὰ θάλατταν δὲ ὑπῆρξε καὶ σώζεσθαι καὶ κρατεῖν. μέγα δὲ σημεῖον· ἕως μὲν γὰρ δι' Ἰσθμοῦ τῆς εἰσβολῆς ἐπειρῶντο, ἠτύχουν, ἐλθόντες δὲ ἐπὶ τὸν πόρον τὸν Ἀχαϊκόν, εὗρον αὐτὸν πόρον ὄντα τῆς σωτηρίας αὐτοῖς. διόπερ ἐκείνοις ὁ θεὸς διὰ τῶν στενῶν τούτων ἐπιχειρεῖν προὔλεγεν· οἱ δὲ ἀγνοήσαντες καὶ τὴν ἑτέραν τραπόμενοι μικροῦ καθάπαξ ἀπώλοντο. τὸ δὲ αὐτὸ καὶ τοῖς*
216 *Ἕλλησι περιειστήκει τότε. οἱ μὲν γὰρ ἐν Πύλαις ἀπωλώλεσαν αὐτῶν, οἱ δ' ἐν ταῖς ναυσὶν ἐνίκων πανταχοῦ. στενὰ*

---

*ποτέραν ἤνεγκεν ἂν ὁ θεὸς τὴν ψῆφον* N. 18 *καταγιγνώσκουσαν*] Vulgo *καταγινώσκουσαν*.

215, 9 *οὐ καὶ*] *οὐχὶ καὶ* E. 12 *θάλατταν*] *θάλασσαν* N. *καὶ κρατεῖν*] *καὶ* om. N, 16 *μικροῦ*] *μακροῦ* N.

δ' ἦν, ὡς ἔοικεν, ἀμφοτέρωθι· ὧν τὰ μὲν φυλάξαι προσῆκε, τοῖς δὲ χρήσασθαι. διὰ καὶ τότε οἶμαι Θεμι κλῆς τὸν Ἰσθμὸν παντὸς μᾶλλον φεύγειν ἠξίου, ὡ ἄλλο τι ἀρχαῖον κακὸν φυλαττόμενος, καὶ τὴν Σαλα προὐβάλλετο. καὶ μὴν οὐδέν γε ἀτιμότερον οὐδ' ἀδοξότ τὴν Πελοπόννησον ἐκεῖνοι τότε ἔσχον παρὰ τὰς ναῦς, ὁ πολλῶν κἀγαθῶν ὁπλιτῶν [πρόγονοι κατέστησαν καὶ οὐδ' ὁ Πλάτων οὐδαμοῦ πώποτε ἐμέμψατο τῶν εἰς τ πολέμους ἕνεκα, καὶ πλείω τοὺς ἐκγόνους αὐτῶν ἢ ἄλλην δόξαν. αὐτὸς γὰρ Πλάτων ὑμνεῖ τὸ Δωρικὸν τ στρατόπεδον. τούτου τοίνυν οὐχ ἧττον ἐν καιρῷ τοῖς λησι τὸ Θεμιστοκλέους τοῦτο στρατόπεδον φαίνεται γ μενον. ὅτι τοίνυν οὐδὲ χείρους ἐγένοντο ἐκ τούτων Ἀ ναῖοι τὰ κατ' ἤπειρον ἔδειξε μὲν ἡ Πλαταιᾶσι μάχη ἣ μόνους Λακεδαιμονίους ἐφαμίλλους ἔσχον· ἔδειξε δ ἐν Μυκάλῃ, ἐν ᾗ μόνοι προὐκρίθησαν· ἔδειξε δ' ἡ Οἰνοφύτοις ὕστερον, ἐξ ἧς τὴν Βοιωτίαν ἔσχον καὶ κροὺς καὶ Φωκέας. εἰ δέ ποθ' ὕστερον καὶ προσέπτ σαν, οὐδ' ἐν ταῖς ναυσὶν ἐνίκων ἀεὶ νικήσαντες τότε, ο οὐ Θεμιστοκλῆς γε οὐδετέρου τῶν πταισμάτων τού αἴτιος οὐδαμοῦ, οὗ γε καὶ ζῶντος καὶ μετὰ τὴν τελευ οὐκ ὀλίγον χρόνον τοσοῦτον ἴσχυον ἀμφότερα.

Τὰ μὲν δὴ μέχρι τῆς ναυμαχίας καὶ τῆς φυγῆς βασιλέως Θεμιστοκλέους ἔργα καὶ πολιτεύματα τοιαῦ οἷα προσῆκεν ἀνδρὸς εἶναι τὸ μὲν κολακεύειν, ὡς νομίζω, πλεῖστον ἀνθρώπων ἀποφυγόντος, συνέσεως καὶ τόλμης ἐπὶ πλεῖστον ἥκοντος μετὰ σωφροσύνης

---

216, 2 ἀμφοτέρωθι] ἀμφοτέρωθεν N. τὰ μὲν Canteru Reiskius. Legebatur τὸ μὲν. 3 φεύγειν ἠξίου] ἠξίου φεύγει 4 οὐδέν Reiskius. Libri οὐ μέν. 5 παρὰ τὰς ναῦς] Pro naves, quod navibus usi sunt. Reisk. 6 κἀγαθῶν ΘΕΝ. Vı ἀγαθῶν. 7 Fort. καὶ πλείω τοῖς ἐκγόνοις αὐτῶν ἀνάπτει (vel τίθησι) ταύτην ἢ τὴν ἄλλην δόξαν. in eorum posteris magis hanc tem virtutis quam ullam aliam celebrat. Reisk. 7 Πλά Libro III. de legibus. Canter. 9 τοῦτο om. N. 11 κάλῃ] μυκκάλῃ N. 13 γε om. E. 14 οὗ γε καὶ ζῶντος] οὐ ζῶντος E. 15 τῆς βασιλέως] τοῦ βασιλέως E et correctus 16 τὸ μὲν EN. Legebatur τοῦ μέν. τοῦ τὸ μὲν Reiskius.

δικαιοσύνης ἁπάσης. τὰ δ' ὕστερον ποῖ' ἄττα; ὡς ἐν βρα-
217 χέσι διελεῖν; Μαρδόνιος μὲν ὑπὲρ βασιλέως ἐπεκηρυκεύετο
Ἀθηναίοις, ἔργῳ πεῖραν εἰληφὼς ὅτι ἐν ἐκείνοις ἐστὶ τῶν
πραγμάτων ἡ ῥοπή, καὶ ὁποτέροις ἂν πρόσθωνται, τού-
τους ἀνάγκη κρατεῖν. ὁ δὲ πρεσβεύων ἦν Ἀλέξανδρος Μα-
κεδόνων βασιλεύς. Ἀθηναῖοι δὲ ἀκούσαντες μὲν ὡς ἀνοι-
κιεῖ τὴν πόλιν αὐτοῖς καὶ τὴν χώραν ἀποδώσει, ἀκούοντες
δὲ ἑτέρας φιλανθρωπίας καὶ φιλίαν καὶ συμμαχίαν τὸν
ἀεὶ χρόνον, οὐδενὶ τούτων ἐπήρθησαν, οὐδὲ κατῄσχυναν
τῶν προϋπηργμένων οὐδέν, ἀλλὰ τὸν μὲν κίνδυνον τὸν
ὑπὲρ τῶν Ἑλλήνων ἀντὶ τῶν κατὰ τῶν Ἑλλήνων δωρεῶν
ἐδέξαντο, τῷ δὲ πρεσβευτῇ τὸ μὴ ταὐτὰ τοῖς προτέροις
ἀγγέλοις παθεῖν διὰ τὸ σχῆμα τῆς προξενίας ἀφεῖσαν,
προσέταξαν δ' ἐκποδὼν εἶναι. παραχρῆμα καὶ τοῦ λοιποῦ
τοιαύτας ἀγγελίας μὴ φέρειν. τοιαῦτα τῆς Θεμιστοκλέους
πολιτείας καὶ στρατηγίας ἀπέλαυσαν. εἰς τοῦτο δ' ἅπαν- (356)
τας προήγαγεν ἀνδρείας καὶ μεγαλοψυχίας καὶ τοῦ μισεῖν
ἅπασαν ἀγεννῆ διακονίαν, ὥσθ' ἑαλωκότος μὲν δεύτερον
αὐτοῖς τοῦ ἄστεος, πέμποντος δὲ πάλιν Μαρδονίου τοὺς
λόγους, ἐν Σαλαμῖνι τῆς βουλῆς οὔσης καὶ τοῦ κήρυκος
Ἀθήνηθεν ἥκοντος, ἐπειδή τις εἶπεν ἐν τῇ βουλῇ δέχε-

---

18 Vulgo ποῖ' ἄττα. ποἵάττα N. διελεῖν ΘΕΝ. Vulgo διελθεῖν.

217, 1 *Μαρδόνιος μὲν*] Confer Aristidem nostrum in Panath. pag. 143 seq. et quae ibi illustrandi gratia adduximus. Iebb. ἐπεκηρυκεύετο EN. Legebatur ἐκηρυκεύετο. 2 πρόσθωνται] προσθοῖντο Θ. πρόσθωντο E. προσθεῖντο N. 4 αὐτοῖς] αὐτῶν E, altero superscripto. 5 τὸν ἀεὶ] ἐς τὸν ἀεὶ Reiskius. 7 τὸ μὴ] τὸ μὲν E. ἀφεῖσαν ΘELN Opor. Legebatur ἀνεῖσαν. 9 τοῦτο δ' LN. Legebatur τοῦτο θ'. τοῦθ' Θ. προήγαγεν] ἤγαγεν E. ἀνδρείας N. Vulgo ἀνδρίας. 11 τοὺς λόγους] τοὺς αὐτοὺς λόγους Canterus. 12 ἐπειδή τις] Herodot. in Calliop. sub. init. ἐπεὶ δὲ ἐν Ἀθήνῃσι ἐγένετο Μαρδόνιος etc. *Ad Athenas postquam venisset Mardonius, mittit ad Salaminem Murichidem quendam Hellespontium cum eisdem mandatis, quae Alexander Macedo pertulisset. — Is ubi in senatum venit, Mardonii mandata exposuit. E senatoribus Lycidas sententiam dixit, satius videri sibi esse ut ea, quae Murichides apud senatum diceret, ipsi admittentes ad populum referrent. — Quod simulatque audiere Athenienses, tam ii qui ex concilio, quam qui extra concilium erant, indigne ferentes, Lycidam circumsteterunt, la-*

σθαι, συλλεγέντες πάντες κατέλευσαν, αὐτοὶ μὲν αὐτόν, αἱ δὲ γυναῖκες τὴν γυναῖκα αὐτοῦ, οὐδὲν ἀτιμότερον δήπουθεν, ὦ Πλάτων, ἔργον ἐργασάμεναι οὐδ' ἐλάττονος ἄξιον εὐφημίας τῶν ἐν τῇ σῇ πόλει τρεφομένων γυναικῶν, ἃς σὺ κελεύεις μετὰ τῶν ἀνδρῶν συστρατεύεσθαι τὰ καὶ τὰ ποιούσας. ἆρά σοι διακονεῖν ὁ Θεμιστοκλῆς λέγων φαίνεται, ἢ ταῦτα παιδεύων τοὺς παρ' αὐτὸν συλλεγομένους; ἐλθόντων τοίνυν Λακεδαιμονίων ὑπὸ τοὺς αὐτοὺς χρόνους Ἀλεξάνδρῳ καὶ παρακαλούντων ὑπὲρ τῶν Ἑλλήνων, καὶ ὑπισχνουμένων παῖδας καὶ γυναῖκας αὐτοῖς καὶ τοὺς ἔξω τῆς ἡλικίας θρέψειν, ἕως ἂν ὁ πόλεμος ᾖ, τοσοῦτον ἀπέσχε τοῦ ταῦτά γε θελῆσαι δέξασθαι ὥστε συγγνώμης αὐτοὺς ἀξιώσας ἀπέστειλεν, ὡς οὐκ εἰδότας παρ' οὕστινας (357)
πρεσβεύονται. τοῦ δ' αὐτοῦ φρονήματός ἐστι καὶ ἡ στήλη,
218 ἣν ὕστερον τούτων ἔστησαν λέγουσαν τάδε, Ἄρθμιον τὸν Πυθώνακτος τὸν Ζελείτην ἄτιμον καὶ πολέμιον εἶναι τοῦ δήμου τῶν Ἀθηναίων αὐτὸν καὶ γένος, ὅτι τὸν ἐκ Μήδων χρυσὸν εἰς Πελοπόννησον ἤγαγεν. ἐγὼ μὲν οὐκ οἶδ' ὅ τι τούτου ψήφισμα Πλάτων ἂν ἔγραψε κάλλιον ἢ σεμνότερον περὶ τοῦ αὐτοῦ πράγματος. σκοπῶ δὲ κἀκεῖνο ὅτι τῆς αὐτῆς φιλοσοφίας ἐστὶν ἄμφω τὼ δόγματε· ὁ μὲν γὰρ τοῖς φύλαξιν ἀπεῖπε μὴ κτᾶσθαι χρυσίον, ὁ δὲ τὸν κομίσαντα τὸ ἐκ Μήδων χρυσίον πολέμιον τῆς πόλεως ἀνέγραψε,

---

*pidibusque interemerunt, Hellespontium vero Murichidem dimiserunt illaesum. Excitato de Lycida apud Salaminem rumore, et cognito quod gestum erat, Atheniensium uxores, alia aliam exhortantes atque prehendentes, ultro domum Lycidae adiere, hominisque uxorem ac liberos lapidaverunt.* Iebb. πάντες] ἅπαντες E. 16 λέγων ΘEN. Legebatur ταῦτα λέγων. αὐτὸν] Vulgo αὐτόν. αὐτῷ E. 17 αὐτούς] αὐτοῦ Θ. 19 τοσοῦτον] Vulgo τοσοῦτ'.

218, 1 Ἄρθμιον] Legebatur Ἀρίθμιον. Ἀρίθμιον] Plutarch. in Themist. Tom. 1. p. 208. Ἔτι δὲ καὶ τὸ περὶ Ἄρθμιον τὸν Ζελείτην. Θεμιστοκλέους γὰρ εἰπόντος, καὶ τοῦτον εἰς τοὺς ἀτίμους καὶ παῖδας αὐτοῦ καὶ γένος ἀνέγραψαν, ὅτι τὸν ἐκ Μήδων χρυσὸν εἰς τοὺς Ἕλληνας ἐκόμισε. Vide infra Palmerii annot. ad pag. 504. Iebb. Ἄρθμιον. vid. t. I. p. 190, 13. et infra p. 303. Reisk. 3 οἶδ'] οἶδα LN. κάλλιον Πλάτων ἂν ἔγραψε N. ἂν ἔγραψε] ἀνέγραψε L. 5 κτᾶσθαι χρυσίον ΘELN. Vulgo κτᾶσθαι χρυσόν. 6 πόλεως] χώρας E.

Digitized by Google

κἄν τις ἀποκτείνῃ, μὴ εἶναι δίκας. οὐκοῦν ἣν Πλάτων τῆς
ὅριστ' οἰκουμένης πόλεως φυλακὴν ὑπελάμβανε, ταύτην
ἐκεῖνος τῆς Ἑλλάδος ἠξίου ποιεῖσθαι, καὶ ταύτην τὴν
στήλην καθιέρωσαν Ἀθηναῖοι τῇ θεῷ παραστήσαντες τῷ
ἀγάλματι τῷ Μαραθωνόθεν, νομίζοντες οὐδὲν ἀτιμοτέραν
οὐδὲ ἀχρηστοτέραν εἶναι τῶν ἄλλων ἀναθημάτων· ἐν ᾗ
τοῖς διαφθείρειν ἐπιχειροῦσι τοὺς Ἕλληνας ὅπως δεῖ χρῆ-
σθαι γέγραπται. ἀμφοτέροις δέ μοι δοκεῖ τοῖς ἔθνεσι (358
προσήκειν ἅπασαν ὑπὲρ Θεμιστοκλέους ψῆφον φέρειν ἀγα-
θήν. ὅσοι τε γὰρ τὴν σωτηρίαν οἰκειότατον καὶ πρῶτον
νομίζουσι, Θεμιστοκλῆς ἐστιν ὁ βεβαιώσας αὐτὴν ἅπασι
τοῖς Ἕλλησιν, ὅσοι τε φρονήματι κρίνουσι τὰ πράγματα
καὶ τοὺς ὑπὲρ τῶν καλῶν κινδύνους καὶ τὴν εὐδοξίαν τοῦ
ζῆν ἀσφαλῶς ἐντιμότερον ἡγοῦνται, οὐκ ἔχουσι τῶν ἐκείνου
καλλίω παραδείγματα. ὥστ' ἀμφοτέροις ἂν τοῖς κριταῖς
νικῴη δικαίως. καὶ γάρ τοι μετὰ τὴν ναυμαχίαν συλλε-
γέντων εἰς τὸν Ἰσθμὸν ἁπάντων καὶ φερόντων τὴν ψῆφον
ἀπὸ τοῦ βωμοῦ τοῦ Ποσειδῶνος περὶ τῶν ἀριστείων, ἔξε-
στι μέν τι καὶ ἄγνωμον ἐνταῦθα κατηγορῆσαι τῶν Ἑλλή-
219 νων, ἔξεστι δὲ τὸ λοιπὸν τῆς εὐγνωμοσύνης ἐπαινέσαι καὶ
λαβεῖν ὑπὲρ Θεμιστοκλέους. ἕκαστος γὰρ ἑαυτὸν πρῶτον
φέρων, δεύτερον συνεξέπιπτον ἅπαντες φέροντες Θεμιστο-
κλέα. ἡ μὲν οὖν τοῦ πρωτείου ψῆφος, οἶμαι, τοῦ φύσει
πᾶσιν ἀνθρώποις συμβεβηκότος ἦν, τοῦτο δ' ἐστὶ μηδένα
ἑαυτοῦ μᾶλλον φιλεῖν· ὥστ' οὔτ' ἰσχυρὸν εἶχεν οὐδὲν οὔτε
συγγνώμης ἀπήλλακτο. ἡ δὲ ὑπὲρ τῶν δευτέρων σαφῶς (35
ἤδη σύμβολον ἦν τῆς ἀληθείας, καὶ ὅτι οὐκ εἶχον ἑτέρως
θέσθαι. ὥστ' εἰ προείρητο ἐξ ἀρχῆς μηδένα ἑαυτὸν φέρειν,

---

9 οὐδὲ ἀχρηστοτέραν LN Opor. Legebatur οὐδὲν ἀχρηστοτέραν.
11 δεῖ] δὴ N. 12 νομίζουσι] ἁπάντων νομίζουσι EN. νομίζουσιν ἁπάν-
των L. 15 καλλίω ΘLN Canterus. καλλῶν Iunt. καλῶν Steph. Iebb.
16 τὴν ψῆφον] τὴν om. N, ab rec. m. habet L. 17 ἀρι-
στείων] σκύλων margo N. μέν τι] μεντί N. μέντοι Θ.
219, 1 εὐγνωμοσύνης] εὐγνωμοσύνης N. λαβεῖν ὑπὲρ] V. p.
231, 12. Reisk. 3 φύσει πᾶσιν ἀνθρώποις] πᾶσιν ἀνθρώποις φύ-
σει L. τοῦ πᾶσι φύσει συμβεβηκότος ἀνθρώποις ἦν Photius p. 430 a,
29. 6 ἑτέρως] ἑτέρῳ N. ὥστ' L. Vulgo ὥστε.

ἀλλ᾽ ἕτερον, Θεμιστοκλέα πάντες οἴσειν ἔμελλον, ὅν γε καὶ παντὸς ἄλλου πᾶς τις προὔκρινεν αὐτῶν, καὶ ὁμοίως ἂν πρῶτος ἐγίγνετο ὥσπερ τότε δεύτερος. οὕτω καὶ νῦν δεύτερον εἶναι ψηφισάμενοι προσόμοιον ἐποίουν ὥσπερ ἂν εἰ πρῶτον ἐψηφίσαντο. οὐ μὴν οὐδ᾽ οὕτως ἔλαττον ἔχων ἀπῆλθεν, ἀλλ᾽ ἀμφοτέροις ἐνίκησε. τὰ μὲν γὰρ πρῶτα καὶ παρὰ τῆς ἀληθείας καὶ παρ᾽ αὐτοῦ λαβὼν εἶχε· τὸ γὰρ αὐτὸ τοῖς ἄλλοις ἐποίησε μόνος τῶν ἄλλων δικαίως· τὰ δὲ δεύτερα ἤδη συνεκεχωρήκει· ὥστ᾽ ἐξ ἁπάντων πρῶτος ἦν. ἀναχωρησάντων δὲ τῶν Ἑλλήνων καὶ διαλυόντων τὸν σύλλογον, ὡς εἶδον τὸ συμβαῖνον, κἀνταῦθα δὴ καλῶς αὐτοὺς ἐξελεγξάντων ὡς οὐχ ἁπλῶς οὐδὲ πολιτικῶς ἔχουσιν, οὐδ᾽ ἐκεῖνα ἐπὶ πᾶσι δικαίοις ἐψηφίσαντο, ἀλλ᾽ ὑπ᾽ ἐσχάτης ἀνάγκης τῶν πραγμάτων ἀγχόμενοι καὶ οὐ πρὸς χάριν οὐδὲ πρὸς εὔνοιαν, τοσοῦτον ἁπάντων κατεγέ- (360)
λασεν ὥστ᾽ ἐν μὲν τῷ παραχρῆμα οὐδ᾽ ὁτιοῦν ἐφρόντισε, καταστάντων δὲ τῶν πραγμάτων ἦλθεν εἰς Λακεδαίμονα ὥσπερ ἐπίτηδες. οὕτω φαῦλός τις ἦν τοὺς τρόπους καὶ αὐτόχρημα διάκονος. Λακεδαιμόνιοι δὲ οὐ κατέσχον πρὸς τὴν ἐπιδημίαν αὐτοῦ, ἀλλὰ καὶ παρόντα ἐτίμησαν ὡς οὐδένα τῶν παρ᾽ αὐτοῖς βασιλέων, καὶ ὡς ἀπῄει, προέ-
20 πεμψαν τριακοσίοις λογάσι τῶν νέων ἄχρι τῶν ὅρων τῆς Λακωνικῆς, μόνον Ἑλλήνων καὶ βαρβάρων καὶ τῶν πρό-

---

7 αὐτῶν] αὐτὸν N. 8 ἐγίγνετο ΘLN. Vulgo ἐγίνετο. 9 προσόμοιον] πρὸς ὅμοιον N. οὐ μὴν] καὶ μὴν L. 10 ἀλλ᾽] ἀλλὰ LN. ἀμφοτέροις] ἀμφοτέρως L. 12 συνεκεχωρήκει] συνεκεχώρητο Photius p. 430 b, 4. 14 καλῶς om. E. οὐδ᾽ ἐκεῖνα] οὐδὲ ἐκεῖνα LN. 15 δικαίοις] δικαίως L. δικαίως (οις) N apud Iebbium. 19 Λακεδαιμόνιοι δὲ] Herodot. in Uran. pag. 318. καί μιν (Themistoclem) Λακεδαιμόνιοι καλῶς μὲν ὑπεδέξαντο, μεγάλως δὲ ἐτίμησαν. ἀριστήϊα μὲν νῦν ἔδοσαν Εὐρυβιάδῃ ἐλαίης στέφανον· σοφίης δὲ καὶ δεξιότητος Θεμιστοκλέϊ, καὶ τούτῳ στέφανον ἐλαίης. ἐδωρήσαντο δέ μιν ὄχῳ τῷ ἐν Σπάρτῃ καλλιστεύσαντι. αἰνέσαντες δὲ πολλὰ, προέπεμψαν ἀπιόντα τριηκόσιοι Σπαρτιητέων λογάδες οὗτοι οἵπερ ἱππέες καλέονται, μέχρι οὔρων τῶν Τεγεητικῶν. μοῦνον δὴ τοῦτον πάντων ἀνθρώπων τῶν ἡμεῖς ἴδμεν, Σπαρτιῆται προέπεμψαν. Iebb. οὐ κατέσχον πρὸς τὴν ἐπιδημίαν αὐτοῦ] Haec non intelligo. procul dubio vitio quodam laborant. videtur aliquid excidisse. Reisk.

220, 1 βαρβάρων L. Legebatur τῶν βαρβάρων.

τερον καὶ τῶν ὕστερον. τοσοῦτον αὐτοῖς ἔδοξεν ὑπὲρ ἅπαντας ἀνθρώπους Θεμιστοκλῆς εἶναι. καίτοι ὅτε τῶν Ἑλλήνων οἱ κράτιστοι τὰ κατ᾽ ἤπειρον οὐκ ᾐσχύνοντο προπέμποντες ἐκεῖνον μέχρι τῶν ὁρίων τῆς χώρας τῆς ἑαυτῶν, πῶς ἔνεσθ᾽ ἡμῖν τῶν ὁπλιτῶν ἕνεκα ψέγειν; ἢ πῶς μὴ ἐθέλειν ἐπαινεῖν, ὃν οἱ ἀντίπαλοι δοκοῦντες εἶναι καὶ ἄκοντες ἐτίμων ἃ μηδένα τῶν πώποτε;

Τριῶν τοίνυν ὄντων καιρῶν ἀφ᾽ ὧν τις ἐξετάσειε Θεμιστοκλέα, κατὰ πάντας ἀνὴρ ἄριστος καὶ πρῶτος φανήσεται. πρὶν μὲν γὰρ ἥκειν τοὺς βαρβάρους, τάς τε πό- (3 λεις διήλλαξε καὶ τοῖς ἀπὸ τῆς πόλεως πολίταις ἀνῆκε τὰ ἐγκλήματα· συμβάντων δὲ τῶν ἀγώνων, Λακεδαιμονίοις μὲν οὐ διηνέχθη; τοὺς πολεμίους δ᾽ ἐξέωσε μόνος· καταστάντων δὲ τῶν πραγμάτων καὶ Λακεδαιμονίων ἐθελόντων ἐκσπόνδους τὰς πόλεις ποιεῖν, ὅσαι μετὰ τῶν ἐναντίων ἐγένοντο, ἀντεῖπε καὶ διεκώλυσε, νομίζων ὅμοιόν τι συμβήσεσθαι τῷ τὴν Ἑλλάδα ἔκσπονδον αὐτὴν ὑφ᾽ αὑτῆς ἀποφανθῆναι. πλέον γὰρ ἢ τριάκοντα πόλεις ἔδει τῇ συμφορᾷ ταύτῃ περιπεσεῖν. οὔκουν ἡγεῖτο προσήκειν εὐτυχηκυῖαν τὴν Ἑλλάδα λαμπρῶς οὕτω καὶ τῶν ἐχθρῶν κρείττω γεγονυῖαν τοσοῦτον ἐλάττον᾽ ἢ πρότερον γενέσθαι. πῶς ἂν κρείττων ἀνὴρ ἐγένετο, ἢ πῶς δεξιώτερος τὰ πολιτικά; ἔχων δὲ λέγειν καὶ περὶ τῶν ὕστερον αὐτοῦ συμφορῶν, καὶ
221 ὅπως ἅπαν τὸ πρᾶγμα συνεσκευάσθη, καὶ ὁποῖόν τινα κἀν τούτοις παρέσχεν ἑαυτόν, ἐβουλόμην μὲν ἂν ἐν τούτῳ χρείας εἶναι τὸν λόγον ὥστε καὶ περὶ τούτων ἐπείγειν διελθεῖν· οἶμαι γὰρ οὐδὲν φαυλότερα οὐδ᾽ ἐλάττω εἰπεῖν ἂν (3

---

4 ὁρίων ΘELN. Vulgo ὅρων. 6 ὧν τις ΘN. Vulgo ὧν ἄν τις. 8 τάς τε πόλεις] Inter omnium maxima ut merito adnumerandum, hoc factum recenset Plutarchus in Themist. pag. 208. seq. μέγιστον δὲ πάντων τὸ καταλῦσαι τοὺς Ἑλληνικοὺς πολέμους, καὶ διαλλάξαι τὰς πόλεις ἀλλήλαις, πείσαντα τὰς ἔχθρας διὰ τὸν πόλεμον ἀναβαλέσθαι. Iebb. Fort. πολίταις delendum est ut scholium verborum τῶν ἀπὸ τῆς πόλεως. Reisk. 9 οὐ διηνέχθη] οὐδὲ ἠνέχθη Θ. 10 καταστάντων] κατὰ πάντων E. 14 προσήκειν ΘLN. Vulgo προσεῖκειν. 15 ἐλάττον᾽ N. Vulgo ἐλάττονα. 16 πολιτικὰ] πολεμικὰ L. πολιτικὰ corrector.

221, 1 Vulgo ἂν ἅπαν. 2 τούτων] τούτου E. οὐδὲν φαυλότερα

Digitized by Google

τῶν εἰρημένων ἤδη περὶ αὐτοῦ. ἐπεὶ δ' ἅμα τ' ἔξω τῆς ὑποθέσεώς ἐστι καὶ μῆκος ἐπεισέρχεται τοῖς λόγοις, παραλείψω ταῦτα, τοσοῦτον ἐπιφθεγξάμενος καὶ περὶ τούτου τοῦ μέρους, ὅτι ἐπειδὴ ἔδει στρατεύειν ἐπὶ τὴν Ἑλλάδα, προὔκρινε τελευτᾶν, ἔργῳ μὲν ἅπασαν λύσας αἰτίαν, δείξας δ' ὁπόσου τιμᾶται τὰς πρότερον πράξεις καὶ τὰ πολιτεύματα, καὶ ὅτι οὐδέποτε ἑκὼν εἶναι τοῦ καλοῦ καὶ τοῦ προσήκοντος οὐδὲν πρότερον ποιήσεται, οὐ πλοῦτον, οὐ παῖδας, οὐκ ἐλπίδας, οὐ τὴν σωτηρίαν αὐτήν. εἶθ' ὧν ἵνα μηδὲν ἀνάξιον πράξειε τεθνάναι δεῖν ᾤετο, ταῦθ' ἡμεῖς αὐτοῦ διαβαλοῦμεν; καὶ διάκονον προσεροῦμεν ὃς οὔτε Ἀθηναίοις οὐδὲν πώποτε ὑπηρέτησεν οὔτε τῷ βασιλεῖ πώποτε ἠξίωσεν, ἀλλ' ἀντὶ τούτου ταῦτ' ἐβουλεύσατο; καὶ πῶς οὐκ αἰσχρὸν ἂν εἴη καὶ ὑπερφυές, εἰ μήτε τὸν βίον μήτε τὸν θάνατον αἰσχυνθέντες αὐτοῦ ῥᾳδίως οὑτωσὶ βλασφημήσομεν; ἐγὼ μὲν οἶμαι καὶ ἱερέας καὶ ἱερείας καὶ ὅστις ἄλλος Ἀθήνησιν εὔχεται δημοσίᾳ, τοῦτ' ἂν εἰκότως καθ' ἕκαστον ἔτος πρὸς ἅπασι τοῖς ἄλλοις προσεύχεσθαι, κατὰ γοῦν ἐκείνους τοὺς χρόνους καὶ ἕως ἐξῆν, φῦναι (368)

---

codex Marcianus Photii p. 430 b, 9. Legebatur οὐ φαυλότερα. οὐδὲ φαυλότερα ΘLN. 3 αὐτοῦ] αὐτοῦ ἔχειν N. 4 ἐστὶ om. N, lacuna relicta. 5 προὔκρινε τελευτᾶν] Valer. Max. lib. 5. cap. 6. *Themistocles, quem virtus sua victorem, iniuria patriae imperatorem Persarum fecerat, ut se ab ea oppugnanda abstineret, instituto sacrificio exceptum patera tauri sanguinem hausit; et ante ipsam aram quasi quaedam pietatis clara victima concidit.* Atque eadem fere scholiastes in Aristophanis Equites. Alii tamen diversa tradunt, et quod promissa Persarum regi praestare non potuerit, ideo sibi mortem conscivisse scribunt. Corn. Nep. in Themist. cap. 10. *De cuius morte multimodis apud plerosque scriptum est. Sed nos eundem potissimum Thucydidem autorem probamus, qui illum ait Magnesiae morbo mortuum; neque negat fuisse famam, venenum sua sponte sumpsisse, quum se, quae regi de Graecia opprimenda pollicitus esset, praestare posse desperaret.* Conf. Diodor. Sic. lib. II. et Plutarchus in Themist. p. 232. Iebb. 6 ἅπασαν λύσας αἰτίαν] λύσας πᾶσαν αἰτίαν Photius. πράξεις ΘELN, Photius, Canterus. Legebatur τάξεις. τὰ πολιτεύματα ΘELN et Photius. Aberat τά. 7 οὐδὲν] οὐδὲ Θ. πρότερον] προτιμότερον L. 8 πράξειε] πράξειεν Θ. 10 ὑπηρέτησεν] οὔτε ὑπηρέτησεν ΘEI. 12 βλασφημήσομεν ΘLN. μὲν] μὲν οὖν L et lemma scholii p. 662, 24.



Digitized by Google

τινα αὐτοῖς ἄνδρα ὅμοιον Θεμιστοκλεῖ, καὶ μετὰ τῆς ἄλλης φορᾶς καὶ τοῦτο ἐνεγκεῖν τὴν γῆν τἀγαθόν. οὔκουν ἐλάττω γ' ἂν ὄνασθαί μοι δοκοῦσιν ἢ εἰ πάντα εἰς ἑκατὸν καὶ ἔτι πλείω τῆς χώρας αὐτοῖς ἐξενεγκούσης. ἄλλως μὲν τοίνυν ᾐσχυνόμην ἔγωγε ἐπὶ τοσούτοις καὶ τοιούτοις τοῖς εἰρημένοις μάρτυσι προσχρώμενος· ἔστι δέ τι προὔργου μιᾶς μαρτυρίας, ἣν δεῖ παρασχέσθαι.

Σκεψώμεθα δὴ ποῖ' ἄττα λέγει περὶ Θεμιστοκλέους ἡμῖν Αἰσχίνης ὁ Σωκράτους μὲν ἑταῖρος, Πλάτωνος δὲ
222 συμφοιτητής· „Ἐπειδὴ τοίνυν τοῦ Θεμιστοκλέους βίου ἐπιλαμβάνεσθαι ἐτόλμησας, σκέψαι οἵῳ ἀνδρὶ ἐπιτιμᾶν ἠξίωσας. ἐνθυμήθητι γὰρ ὁπόθεν ὁ ἥλιος ἀνίσχει καὶ ὅπου δύεται. Ἀλλ' οὐδέν, ἔφη, χαλεπόν, ὦ Σώκρατες, τὰ τοιαῦτα εἰδέναι. Ἤδη οὖν σοι πώποτ' ἐμέλησεν ὅτι ταύτης τῆς χώρας τοσαύτης οὔσης ὅσην ὁ ἥλιος πορεύεται, ἣ καλεῖται Ἀσία, εἷς ἀνὴρ ἄρχει; Πάνυ μὲν οὖν, ἔφη, ὁ μέγας βασιλεύς. Οἶσθ' οὖν ὅτι ἐκεῖνος ἐστράτευσε δεῦρο καὶ ἐπὶ (36
Λακεδαιμονίους, ἡγούμενος εἰ τούτω τὼ πόλει καταστρέψαιτο, ῥᾳδίως τούς γε ἄλλους Ἕλληνας ὑπηκόους αὑτῷ ἔσεσθαι· καὶ οὕτως εἰς φόβον Ἀθηναίους κατέστησεν ὥστ' ἐκλιπόντες τὴν χώραν εἰς Σαλαμῖνα ἔφυγον, ἑλόμενοι Θεμιστοκλέα στρατηγόν, καὶ ἐπέτρεψαν ὅ τι βούλοιτο τοῖς ἑαυτῶν πράγμασι χρήσασθαι. καὶ δὴ αὗται μέγισται ἐλπίδες ἦσαν Ἀθηναίοις τῆς σωτηρίας, ἅττ' ἂν ἐκεῖνος ὑπὲρ αὐτῶν βουλεύσαιτο. καὶ σὺ τούτου γ' ἕνεκα Θεμιστοκλῆς τοῖς παροῦσιν ἠθύμησεν, ὅτι πλήθει νεῶν τε καὶ πεζῶν καὶ χρημάτων τὰ τῶν Ἑλλήνων πράγματα πολὺ ἐλείπετο, τὰ δὲ βασιλέως προεῖχεν, ἀλλ' ᾔδει ὅτι εἰ μὴ αὐτοῦ τὸ

---

15 ἢ εἰ] εἰ delendum. Reisk. εἰς ἑκατὸν] Pro singulis granis sementis centena grana messis. Reisk. 16 ἐξενεγκούσης] ἐνεγκούσης, lacuna relicta, N. 17 εἰρημένοις] προειρημένοις L. προὔργου ΘELN Opor. Vulgo προὔργου. 18 ποῖα ἄττα L. ποῖάττα N.

222, 2 ὁ ἥλιος] ὁ om. L. 3 ὦ om. L. 4 ὅσην N. Vulgo ὅσον. 5 οἶσθ' N. Vulgo οἶσθα. 6 πόλεε] Malim πόλει vel πόλη. (αι) καταστρέψαιτο] καταστρέψατο N. ἄλλους om. E. 7 ἀθηναίους εἰς φόβον N. ὥστ'] ὥστε L. 9 Ἀθηναίοις] τοῖς ἀθηναίοις N. 10 ἅττ' N. Vulgo ἅττα. 12 Fort. εἰ μὴ αὐτῶν τῷ βουλεύεσθαι ἐκεῖνος περιέσται. nisi consiliis Graecos

Digitized by Google

βουλεύεσθαι ἐκείνοις περιέσται, τά γε ἄλλα αὐτῶν τοσαῦτα ὄντα τὸ μέγεθος οὐδὲν μέγα ὠφελήσει· καὶ τοῦτο ἐγνώκει ὅτι ὁποτέρων ἂν οἱ ἐφεστῶτες τοῖς πράγμασι σπουδαιότεροι ἐν ἀρετῇ ἄνθρωποι ὦσι, τούτων καὶ αὐτῶν τὰ πράγματα κρείττω εἴωθε γίγνεσθαι. καὶ τότε ἄρα βασιλεὺς ᾔσθετο τὰ ἑαυτοῦ πράγματα ἀσθενέστερα ὄντα, ᾗ ἡμέρᾳ ἀνδρὶ ἑαυτοῦ σπουδαιοτέρῳ ἐνέτυχεν. ὁ δὲ οὕτω ῥᾳδίως τηλικαῦτα ὄντα τὰ ἐκείνου μετεχειρίσατο ὥστ' ἐπειδὴ αὐτὸν κατεναυμάχησε, λῦσαι τὴν σχεδίαν ἣν ἔζευξε (365)
βασιλεὺς πεῖσαι Ἀθηναίους ἐβουλήθη. ἐπειδὴ δὲ οὐκ ἠδύνατο, βασιλεῖ ἔπεμψε τἀναντία τοῖς ὑπὸ τῆς πόλεως δεδογμένοις, ὅτι κελευόντων Ἀθηναίων λῦσαι τὴν σχεδίαν αὐτὸς ἠναντιοῦτο, σῶσαι βασιλέα καὶ τοὺς μετ' ἐκείνου πειρώμενος· ὥστ' οὐ μόνον ἡμεῖς οὐδ' οἱ ἄλλοι Ἕλληνες αἴτιον τῆς σωτηρίας Θεμιστοκλέα ἡγούμεθα εἶναι, ἀλλὰ
223 καὶ αὐτὸς ὁ βασιλεὺς ὁ καταπολεμηθεὶς ὑπ' αὐτοῦ ὑπὸ μόνου ἀνθρώπων ἐκείνου ᾤετο σεσῶσθαι. τοσοῦτον ἐκεῖνος τῷ φρονεῖν περιεγένετο. τοιγάρτοι φυγάδι ποτὲ αὐτῷ τῆς πόλεως γενομένῳ, ὡς σεσωσμένος ὑπ' αὐτοῦ χάριν ἀπέδωκε, καὶ ἄλλα τε δῶρα πολλὰ ἐδωρήσατο καὶ Μαγνησίας ὅλης ἀρχὴν ἔδωκεν, ὥστε καὶ φεύγοντος αὐτοῦ τὰ πράγματα μείζω ἦν ἢ πολλῶν Ἀθηναίων καὶ καλῶν καὶ ἀγαθῶν δοκούντων εἶναι οἴκοι μενόντων. τίς ἂν οὖν ἐκείνῳ

---

vincit Xerxes. Reisk. ἐκείνοις περιέσται] ἐκεῖνοι περιέσονται N ab rec. m. 13 τά γε] τά τε L. αὐτῶν] αὐτὸν. Xerxen puta. Reisk. 15 γίγνεσθαι E. Vulgo γίνεσθαι. 18 ἠδύνατο] Vulgo ἐδύνατο. 19 ἠναντιοῦτο EL. ἐναντιοῦτο N. Legebatur ἐναντιοῖτο. 20 ὥστ'] ὥστε N. ἡμεῖς] οὐδεὶς E.

223, 1 ἐκείνου ᾤετο] ᾤετο ἐκείνου N. 2 φρονεῖν] σὺφρονεῖν (sic) L. φυγάδι ποτὲ] Themistoclem, regnante Xerxe, in Asiam transiisse, cum Aeschine Ephorus, Dion, Clitarchus, Heraclides, aliique complures prodidere, uti discere est ex Plutarcho in Themist. pag. 227. At Thucydides et Charon Lampsacenus eum ad Artaxerxem venisse scribunt, et cum annalibus, ut ibidem tradit Plutarchus, magis congruunt. Thucydidem quidem reliquis etiam in hac re fide digniorem censebat scriptor haud indiligens Cornelius Nepos, et *quod aetate proximus erat, qui illorum temporum historiam reliquerunt, et eiusdem civitatis fuit*. Corn. Nep. in Themist. cap. 9. Iebb. 4 ἀρχὴν] ἄρχειν Bekkerus ad Photium p. 431. 5 καὶ καλῶν] καὶ om. L. ἐκείνῳ] ἐν ἐκείνῳ EL et Photius

τῷ χρόνῳ δικαίως αἰτίαν ἔχοι μέγιστον δύνασθαι ἄλλος ἢ Θεμιστοκλῆς, ὃς τὸν τῶν ἀφ' ἡλίου ἀνίσχοντος μέχρι ἡλίου δυομένου βασιλεύοντα στρατηγήσας τῶν Ἑλλήνων κατεστρέψατο; ἐνθυμοῦ οὖν, ἔφην ἐγώ, ὦ Ἀλκιβιάδη, ὅτι (366) ἐκείνῳ τοιούτῳ ὄντι οὐχ ἱκανὴ ἡ ἐπιστήμη τοσαύτη οὖσα ἐγένετο ὥστε φυλάξασθαι μὴ ἐκπεσεῖν μηδὲ ἀτίμῳ ὑπὸ τῆς πόλεως γενέσθαι, ἀλλ' ἐνεδέησε. τί οὖν οἴει τοῖς τε φαύλοις τῶν ἀνθρώπων καὶ ἐν μηδεμιᾷ ἐπιμελείᾳ ἑαυτῶν οὖσιν; οὐ θαυμαστὸν εἰ καὶ τὰ μικρὰ δύνανται κατορθοῦν; καὶ μηδέν γ' ἐμοῦ, ἦν δ' ἐγώ, ὦ Ἀλκιβιάδη, καταγνῷς ὡς πρὸς τὰς τύχας καὶ τὰ θεῖα πράγματα ἀλλοκότως καὶ ἀθέως ἔχοντος, εἰ προστίθημι ἐκείνῳ ἐπιστήμην πάντων ὧν ἔπραττε καὶ μηδεμίαν οἴομαι τύχην αἰτίαν τούτων τῶν ἔργων γεγενῆσθαι. πολὺ γὰρ ἂν ἐγώ σοι μᾶλλον ἔχοιμι ἀποδεῖξαι τοὺς τἀναντία ἐμοὶ δοξάζοντας ἀθέως ἔχοντας ἢ 'κεῖνοι ἐμέ, οἵτινες ἐξ ἴσου οἴονται τοῖς τε πονηροῖς καὶ τοῖς χρηστοῖς τὰς τύχας γίγνεσθαι, ἀλλὰ μὴ τοῖς καλοῖς κἀγαθοῖς εὐσεβεστέροις γε οὖσιν ἄμεινον τὰ παρὰ τῶν θεῶν ὑπάρχειν." οὐκοῦν ὁ αὐτὸς μέν ἐστι Σωκράτης ὁ λέγων κἀνταῦθα κἀκεῖ, φαίνεται δὲ ἐν μὲν τοῖς Πλάτωνος λόγοις διάκονον καὶ ὑπηρέτην ὀνομάζων καὶ μετὰ τῶν κολάκων τιθεὶς αὐτόν· ἐν οἷς δὲ νυνὶ παρεσχόμεθα, ἄριστον τῶν Ἑλλήνων ἡγεῖσθαι κελεύων καὶ προστιθεὶς ἐπιστήμην αὐτῷ τῶν πραγμάτων ἁπάντων, καὶ μηδεμίαν τύχην ἀξιῶν αἰτίαν γεγενῆσθαι, ἀλλὰ πάντ' εἶναι τῆς ἐκεί- (367) νου γνώμης. ἐγὼ τοίνυν τὸ μὲν τῆς προσθήκης τοῦτο οὐ
224 δέχομαι, ἀλλ' ἀξιῶ τὴν ἀγαθὴν τύχην ἁπάντων τῶν καλῶν ἡγεῖσθαι· ὅτι δὲ οὐχ ὁμολογεῖ ταῦτα ἐκείνοις ἐλέγχω. εἰ μὲν γὰρ ἅπαντα ταῦτ' ἐστὶ λόγος ἀμφοτέρωθεν λεγόμενος καὶ πρὸς τὴν ὑπόθεσιν ἣν ἄν τις ἐνστήσηται δεῖ

---

p. 431 a, 5., cuius tamen in codice praepositio omissa pariter ac praecedens ἄν. 6 ἔχοι] ἔχει N. μέγιστον] μεγίστην LN et Photii in editionibus ante Bekkerum: μέγιστον in codice Marciano. 7 μέχρι] μέχρις Θ. 8 οὖν om. E. 11 γ' ἐμοῦ LN. Vulgo γέ μου. ἦν δ'] ἦν δὲ N. 15 ἢ 'κεῖνοι] Vulgo ἢ ἐκεῖνοι. 17 ὁ αὐτὸς] Aberat ὁ. Et fortasse praestat αὐτός.

224, 1 τὴν ἀγαθὴν] τήν γ' ἀγαθὴν E. 2 ταῦτ' ἐστὶ] ταὐτά

Digitized by Google

τὸ λοιπὸν ἅπαν περαίνειν, ὁμολογείσθω τοῦτο, καὶ οὐδὲν πλέον ζητοῦμεν· πάντως καὶ οὕτως ἀναίτιον τό γ' ἡμέτερον. εἰ δ' ἀπὸ σπουδῆς δικαίας λέγεται καὶ κρίσιν τῆς ἀληθείας ἔχει, ποτέροις χρὴ πιστεύειν, ὅταν ταῦτ' ἐκείνοις ἐναντίως ἔχοντα φαίνηται; καὶ μὴν ἐξ ἴσου μὲν ἔγωγ' οὐδέποτ' ἂν θείην Αἰσχίνην Πλάτωνι, μήποθ' οὕτω φιλονεικήσαιμι, ἀλλ' ἀφείσθω τοῖς ἀτόποις τῶν σοφιστῶν ἡ κρίσις αὕτη· φημὶ δὲ ὅσῳ μείζων καὶ τελεώτερος Πλάτων εἰς λόγους, τοσούτῳ μᾶλλον ὑπέρ γε Θεμιστοκλέους ἐκεῖνα προσήκειν δέχεσθαι. τὸν μὲν γὰρ ἃ ἤκουσεν εἰκὸς λέγειν, ἢ ὅτι ἐγγυτάτω ἐκείνων, ὁ δὲ τῆς φύσεως οἶμαι κέχρηται τῇ περιουσίᾳ, ὥσπερ καὶ ἄλλα μυρία δή που διεξέρχεται ἐπὶ τῷ Σωκράτους ὀνόματι, περὶ ὧν ὁμολογεῖται μηδὲν ἐκεῖνον πραγματεύεσθαι, δίκαια μὲν οἶμαι (368) ποιῶν κατ' αὐτό γε τοῦτο καὶ ἀνδρὸς ἀρίστου, τὸ τὸν διδάσκαλον ἀξιοῦν κοσμεῖν, πλήν γε ὅτι καὶ τὸ μηδ' ἄλλους τῶν οὐκ ἀξίων καταισχύνειν ἐθέλειν προσεῖναι προσήκει.

Ἃ μὲν τοίνυν περὶ τῶν ἀνδρῶν εἰκὸς ἦν εἰπεῖν μήτε τῶν ἀναγκαίων εἰρῆσθαι μηδὲν παριέντας μήτε πάντα ἐφεξῆς οἰομένους δεῖν λέγειν, ὡς ἂν μή τῳ δοκοίημεν ἀπει-

---

ἐστι LN. 3 περαίνειν] περανεῖν L. 6 μήποθ' N. Vulgo μήποτε. 7 ἀτόποις Θ Iunt. et Photii codex Marcianus. τόποις LN Iebb. et Photii editiones veteres. τοῖς τόποις τῶν σοφιστῶν] Sic Mss. omnes quos vidi. Impressi τοῖς ἀτόποις. perperam, ut opinor. Per τόπους autem hosce, sive *locos* sophistarum, exercitationes quasdam intellige a scholis rhetorum usurpatas, in quibus quaestiones in utramque partem affirmative et negative tractare solebant. Quintil. Instit. Orat. lib. 2. cap. 1. *An ignoramus antiquis hoc fuisse ad augendam eloquentiam genus exercitationis, ut theses dicerent, et communes* locos, *et caetera circa complexum rerum personarumque, quibus verae fictaeque controversiae continentur?* Iebb.
Post κρίσις αὕτη in marg. N notatur ὡραῖον. 8 ἐκεῖνα] Quae sunt Aeschinis. Canter. προσήκειν] προσήκει ELN et Photius. ἤκουσεν] ἤκουεν N. 10 μυρία δή που] δή που μυρία Photius. ὁμολογεῖται] ὡμολόγηται N et lemma scholii p. 664, 28. 11 πραγματεύεσθαι] πραγματεύσασθαι Photii codex Marcianus. τὸ τὸν ELN et Photius. Legebatur τῷ τόν. 12 ἐθέλειν] θέλειν Θ. 14 Κοινὴ ἀπολογία inscriptio in ΘLN. λόγος

ροκάλως ἔχειν, ταῦτά ἐστιν. ἰσχυρίζεται δ' οἷς προσέπταισαν πρὸς τὸ δημόσιον, ὥσπερ εἴ τινες χεῖρον ἔγνωσαν περὶ αὐτῶν, αὐτοὺς χείρους ἡγεῖσθαι προσῆκον, ἢ τῷ καὶ ἄλλους τινὰς εἰς αὐτοὺς ἐξαμαρτεῖν οὐδ' ἡμᾶς τοῦ προπηλακίζειν ἀπέχεσθαι δέον. ἐγὼ δ' οὐδ' ἄλλον τινὰ ἠξίουν ἂν ταῦτα ὀνειδίζειν, μή τί γε δὴ Πλάτωνα, ἀλλὰ μεμνῆ-

225 σθαι τοῦ τί δὲ χεῖρον ἐγώ, ἂν ὁ δεῖνα ἐπὶ κόρρης ἀδίκως πατάξῃ με; τοῦ μὲν γὰρ ἢ φυγεῖν, ἢ χρήμασιν ἢ θανάτῳ ζημιωθῆναι, ἢ ἄλλ' ὁτιοῦν τοιοῦτον παθεῖν ἡ τύχη κυρία δή που, τοὺς δὲ λόγους καὶ τὴν πολιτείαν αὐτῶν ἀφ' ὧν προείλοντο δίκαιον σκοπεῖν, ὧν ἐγὼ μὲν ὅπως ἂν ἐμαυτῷ συγγνοίην ἀξιοῦντι κατηγορεῖν οὐκ ἔχω. οὐ γὰρ εἰκός, φησί, παιδευθέντας ὑπ' αὐτῶν εἰς αὐτοὺς (369) ἐξαμαρτεῖν, οὐδ' ἐξ ὧν βελτίους ἐγένοντο, ἐκ τούτων ἄδικόν τι ψηφίζεσθαι. ἐγὼ δὲ οὐχ ᾧ βελτίους ἐγένοντο φήσαιμ' ἂν ἁμαρτεῖν αὐτούς, ἀλλ' ὅτι μὴ πάντ' ἐκείνοις ἠδυνήθησαν ὅμοιοι γενέσθαι. τούτου δὲ πολλὴν συγγνώμην οὖσαν ἀμφοτέροις εὑρίσκω. οὔτε γὰρ μὴ πάντ' ἀναμαρτήτους γενέσθαι, καὶ ταῦτα ὄντας δῆμον, οὔτε μὴ πάντας ἀναμαρτήτους δυνηθῆναι ποιῆσαι μεγάλης ἄν τις τῆς κατηγορίας ἄγοι. ὅπου γὰρ οὐδὲ ἄνδρα ἰδίᾳ καθάπαξ αἰτίαν ἐκφεύγειν ῥᾴδιον, ἴσως δ' οὐδ' ἐν δυνατῷ, ἦ που πόλιν γε τοσαύτην οἴεσθαι προσήκει. ἀλλὰ μὴν ὅπου γε καὶ τοῖς ἁμαρτοῦσιν αὐτοῖς εἰκὸς εἶναι συγγνώμη, ἦ που τοῖς γε ἄγουσιν αὐτοὺς πρὸς τὸ βέλτιστον καὶ οἷς ὅθ' ἡμάρτανον οὐκ ἐπείθοντο, δεινὸν εἰ μὴ φήσομεν. Πλάτων τοίνυν ὡς μὲν ἐκείνοις χρώμενοι κατώρθουν οὐδὲν ἐᾷ σκοπεῖν, ἃ δ' εἰς αὐτοὺς ἐκείνους ἐξήμαρτον, τοσοῦτον

---

ἔκτος add. N. 16 δ' Photius. Vulgo δὲ. πρὸς] εἰς ab rec. m. superscriptum in L. ὥσπερ εἴ τινες Θ. Vulgo ὡσπερεί τινες. 18 δ'] δὲ Θ. μή τι Θ. Vulgo μήτοι.

225, 1 τί δὲ χεῖρον] Est Platonis dictum, ni fallor. Reisk. Ex Gorgia. τοιοῦτον] τοιοῦτο E. 6 φήσαιμ' N. Vulgo φήσαιμι. 7 ἠδυνήθησαν N. Vulgo ἐδυνήθησαν. 10 ἴσως δ' οὐδὲ δυνατὸν] Hinc illud Horatii, *Vitiis nemo sine nascitur; optimus ille est, qui minimis urgetur.* Iebb. οὐδ' ἐν δυνατῷ ΘEN. Legebatur οὐδὲ δυνατὸν. 11 ἁμαρτοῦσιν] ἀμποτοῦσιν E. ἁμαρτάνουσιν Photius p. 431 a, 36. 14 ἐκείνους] Fort. ἐκεῖνοι. deinde verba τοσοῦτον

ἀπεῖχον τοῦ δοκοῦντά γ' ἐκείνοις ποιεῖν, ὡς ταῦτα κατη-
γορεῖν. καὶ ἃ μὲν τῆς παιδείας αὐτῶν ἀπέλαυσαν ὑπερ- (370)
βαίνει, ἃ δ' οὐχ ὧν ἐπαιδεύθησαν ἦν, ἀλλὰ τῆς ἀνθρω-
πείας φύσεως ἐμμεμενηκότα, ταῦτ' ἐπ' ἐκείνους ἄγει τοὺς
ὅπως μηδὲν ἁμαρτήσονται πᾶν ὅσον ἦν ἐν αὐτοῖς πράτ-
τοντας, ὥσπερ ἂν εἴ τις τοὺς γραμματιστὰς τοὺς παρα-
δείξαντας τοῖς παισὶ τὰ γράμματα καὶ δείξαντας γράφειν
ἐκ τῶν δυνατῶν αἰτίους εἶναι φάσκοι τῶν περὶ ταῦτα
ἁμαρτημάτων, εἴ τι μὴ καλῶς ὕστερον μηδὲ ὡς χρὴ γρά-
226 φοιεν ἐφ' αὑτῶν. ἀλλ' οὐ ταῦτά γ' ἐστὶν ὧν προϋπέδει-
ξεν αὐτοῖς ὁ διδάσκαλος οὐδ' ὧν ἐπαιδεύοντο, ἀλλ' ἐκεῖ-
νος μὲν ὅπως ὀρθῶς γράφωσιν εἰσηγεῖτο, καὶ ἅ γε σώ-
ζουσι, τῶν ἐκείνου μαθημάτων σώζουσι, ταῦτα δὲ αὐτῶν
ἐστιν ἁμαρτήματα, εἴτ' ἐνδείᾳ μαθήσεως εἴτε ῥᾳθυμίᾳ
εἴθ' ὅπως δή ποτε ἐπακολουθήσαντα, πλὴν οὐ δι' ἐκεῖνόν
γε οὐδὲ τὴν παρ' ἐκείνου συντέλειαν, οὐ μᾶλλόν γ' ἢ καὶ
οἱ τῶν τροφῶν ἀποροῦντες διὰ τοὺς πορίσαντας καὶ δι-
δόντας αὐτοῖς ἀποροῦσιν. ἀλλ' οἶμαι τῆς ἐνδείας ἐστὶν
ἅπαντα ταῦτα, οὐχ ὧν τις μετέσχεν οὐδ' ὧν ὅσον οἷόν τ'
ἦν ἐκαρπώσατο. εἰ μὲν οὖν τι χεῖρον Ἀθηναίους ἐκεῖνοι (371)
προὐδίδαξαν, λεγέσθω τοῦτο κατ' αὐτῶν, οὐδεὶς λόγος
αὐτοὺς παραιτήσεται τὸ μὴ οὐ φαύλους εἶναι· εἰ δὲ μὴ

---

ἀπεῖχον τοῦ δοκοῦντά γ' ἐκείνοις ποιεῖν parenthesi sunt includenda, tandem pro ὡς ταῦτα κατηγορεῖν puto legendum esse οὗτος ταῦτα κατηγορεῖ, nisi si quid excidit. e. c. οὕτως ἀγνώμων ἐστὶ, vel simile quid. Reisk. δοκοῦντά γ' L ab correctore: δοκοῦντ' a pr. m. 15 ὡς om. E, expunctum in N. κατηγορεῖν] ν erasum in L. 17 ἐν αὐτοῖς Photius. ἐν αὐτοῖς N. Legebatur ἐπ' αὐτοῖς. 18 τοῖς παισὶ τὰ γράμματα καὶ δείξαντας om. E. 19 φάσκοι] φάσκει N.

226, 2 γράφωσιν ELN. Legebatur γράφουσιν. „Potest quoque γράψουσιν legi." Reisk. Fort. καὶ ἅ γε κατορθοῦσι, quae recte exarant et convenienter, ea sunt, ab ipsis servata memoria et consuetudine ex magistri institutione. Reisk. 3 ταῦτα] Scilicet ἃ γράφουσιν ἐφ' ἑαυτῶν ὡς μὴ χρή. Reisk. 4 ἐκείνου συντέλειαν ΘLN. Legebatur ἐκείνου γε συντέλειαν. 6 Fort. οὐδ' ὧν οὐχ ὅσον. neque illorum culpa est, quorum aliquis ἐκαρπώσατο. percepit fructum non tantum, quantum poterat percipere. Reisk. 7 ἐκαρπώσατο ΘLN. Vulgo ἐκαρπώσαντο. 8 παραιτήσεται

πάντας ἐπαίδευσαν μηδ' ὡς οἷόν τ' ἀκριβέστατα μηδ' ὡς μάλιστα ἐβουλήθησαν, τί τό γε ἐκπεφευγὸς τῆς ἐκείνων προστασίας ἄν τις τιθείη; οὐ γὰρ τῆς ἐκείνων ὁμιλίας τοῦτο ἀπώναντο, ἀλλ' οὐκ ἀπώναντο ἐκείνων ἔτι τοῦτό γε. οὐκοῦν ἐξ ὧν προσεῖχον αὐτοῖς, ἐκ τούτων ἥμαρτον, ἀλλ' ἐξ ὧν οὐ προσεῖχον ἐπλημμέλησαν. οὕτως ἅ γ' ἐπείθοντο σαφῶς ἄρ' οἱ πείθοντες ἔπειθον καλῶς. ἔπειτα μουσικὴν μὲν καὶ γεωμετρίαν καὶ τὰς ἄλλας τέχνας λέγω καὶ τὰς πάνυ φαύλας οὐ πάντες οἱ φοιτήσαντες παρὰ τοὺς διδασκάλους λαμβάνουσιν, ἀλλ' ἐκ τῶν πολλῶν ὀλίγοι κομιδῇ τινες· καὶ οὐδ' ἐν τούτοις οὐδεὶς ἐπαναγκάζει τοὺς διδασκάλους αὐτοὺς ὑπευθύνους εἶναι τοῦ διὰ παντὸς ἀκριβοῦς, οὐδ' ἂν ὁ μαθὼν μὴ πάντα κατορθοῖ, μηδ' ὅμοιος ᾖ τῷ διδάξαντι, οὐδεὶς τοῦτ' ἀναμφισβήτητον κατ' ἐκείνου τίθησιν, οὔθ' ὡς οὐδὲν ἐπισταμένου τῆς τέχνης οὔθ' ὡς ἑκόντος ὑποστειλαμένου οὔθ' ὡς τὸ σύμπαν εἰπεῖν ἀδικοῦντος. ἀλλ' ἴσμεν τὸν τοῦ Ὁμήρου λόγον ὃν περὶ (372) τῶν παίδων ἔφη κἀπὶ τῶν τοιούτων ἰσχύοντα·

Παῦροι γάρ (φησὶ) παῖδες ὁμοῖοι πατρὶ πέλονται,
οἱ πλέονες κακίους, παῦροι δέ τε πατρὸς ἀρείους.

καὶ διδασκάλῳ τὸν μὲν ὅμοιον συνέβη γενέσθαι, τὸν δὲ οὔ, καὶ ὁ μέν γε χείρων, ὁ δὲ βελτίων ἐγένετο. οὕτω
227 ταῦτ' ἔχοντα σύνισμεν καὶ ἐν γένεσι καὶ ἐν τέχναις· τὴν δὲ πολιτικὴν εἰ μὴ πάντας ἐπαίδευσαν Ἀθηναίους Θεμιστοκλῆς καὶ Περικλῆς καὶ Μιλτιάδης καὶ Κίμων, μηδ' ἅπαντας ἐφεξῆς βελτίους ἐποίησαν κατὰ φυλὰς καὶ κατ' ἄνδρα ὥσπερ θεωρικὸν τὴν ἐπιστήμην διανέμοντες, εἶθ' ὑπερφυές τι φήσομεν κατ' αὐτῶν εὑρηκέναι, ὡς οὐδ' αὐτοὶ βελτίους οὐδενὸς ἦσαν εἰς ταῦτα; καὶ τοῦ μὲν χυτρέως οὐ
b κατηγορεῖς ὅτι μὴ πάντας ἐφεξῆς πλάττειν ἐδίδαξε, τῶν δ' ἄκρων ἐν τοῖς Ἕλλησι κατηγορεῖς ὅτι μὴ πάντας ἑαυτοῖς

---

τὸ] παραιτήσαιτο ΘEL. 9 οἷόν τ' L. Vulgo οἷόν τε. 14 λαμβάνουσι] μανθάνουσιν E et ab rec. m. N. 15 τούτοις] τοιούτοις L. 16 κατορθοῖ] κατορθῇ N. διδάξαντι] δείξαντι rec. m. N. 18 Ὁμήρου] Odyss. β, 276. παῦροι γάρ τοι παῖδες —. 20 ὁμοῖοι] ὅμοιοι L.
227, 1 γένεσι] γεννήσει E. 3 κατ' LN. Vulgo κατὰ.

προσομοίους ἐποίησαν; καὶ οὐκ ἀγαπᾷς τὸ τοῦ σοῦ Πρωταγόρου, εἰ καὶ καθ' ὁσονοῦν προὐβίβασαν τοὺς πολλοὺς εἰς τὸ βέλτιον, ἀλλ' εἰ μὴ πάντ' ἀνεγκλήτως ὁ δῆμος καὶ ὥσπερ ἂν εἷς ἀνὴρ μετεχείρισε, τοῦτ' ἤδη κατὰ τῶν προστατῶν ἐστί σοι.

Καὶ μὴν ὁρῶ μέν γε καὶ τοὺς ἰατροὺς καὶ τοὺς πάνυ (873)
χρηστοὺς εἶναι δοκοῦντας οὐ καθάπαξ οὕτως ἐξαιροῦντας τὰ νοσήματα ὥστε μηδὲ ἴχνος ἐμμεῖναι τῷ σώματι, ἀλλὰ καὶ τῶν ἀρχαίων πολλάκις ἐγκαταλιπόντας καὶ τὸ πραῦναι χάριν ἀρκοῦσαν τιθεμένους, καὶ ταῖς παντελέσι θεραπείαις τήν γε φύσιν οὐχ οἵους τε ὄντας ὑπερβῆναι, ἀλλὰ ταύτης μὲν ἀπήλλαξαν τῆς νόσου, ἑτέραν δ' οὐδὲν ἐκώλυσαν ἐπελθεῖν ὕστερον. οὐ γάρ ἐσθ' ἡ τέχνη διὰ τέλους ἀξιόχρεως, ἀλλ' ἡ φύσις νικᾷ. τί οὖν θαυμαστὸν εἰ κἀκεῖνοι πολλὰ καὶ χρηστὰ συμβουλεύσαντες Ἀθηναίοις καὶ πολλὰ τῶν δυσχερῶν κωλύσαντες μὴ διὰ τέλους αὐτοὺς ἠδυνήθησαν κατασχεῖν μηδ' ἀθάνατα ἰάσαντο, ἀλλ' ἡττήθησαν τῆς δήμου φύσεως, εἴτε καὶ τῆς κοινῆς ἀνθρώπων δεῖ λέγειν, καὶ μὴ ἠδυνήθησαν καθάπαξ ἐκ τῆς πόλεως ἐξελεῖν ἀδικίαν, ὥσπερ γεωργοὶ τὰ λυμαινόμενα τῇ χώρᾳ καθ' ἕκαστον ἐνιαυτὸν ἐκκόπτοντες, εἶτ' οὐκ ἐφικνούμενοι διὰ παντὸς τοῦ σπέρματος. εἰ τοῦτον τὸν τρόπον κἀκείνους ἐθέλοντας καθαίρειν τὴν πόλιν ἐξέφυγε καὶ ἐνέμεινε σπέρμα ἀναγκαῖον ἀδικίας καὶ ἀγνωμοσύνης, καὶ (874)
οὐ πάνθ' ὑπήκουσεν αὐτοῖς, ἀλλ' ἔσθ' ἃ καὶ καθ' αὑτὸν ὁ δῆμος ἐβουλεύσατο, τίνα ταῦτ' ἔχει τοῖς ἀνδράσι φαυλότητα, ἢ τί δεῖ τὰ ἑτέρων ἐκείνοις λογίζεσθαι, ὥσπερ ἂν εἰ καὶ στάσεως οὔσης ἐν τῇ πόλει καὶ τούτων τῆς ἑτέ-

---

7 Quae post ὁσονοῦν legebantur τὸ κατὰ μικρὸν omittunt E et Photius p. 431 b, 26. 10 μηδὲ] μηδὲν LN. 13 ἐσθ' ἡ] ἐστὶ E. 14 ἀθηναίοις ΘLN. Vulgo Ἀθηναίους. 15 ἠδυνήθησαν Photius. Vulgo ἐδυνήθησαν. τῆς τοῦ δήμου ELN. 16 ἀνθρώπων] τῶν ἀνθρώπων Photii codex Marcianus. δεῖ] χρὴ L. ἠδυνήθησαν Photius. Vulgo ἐδυνήθησαν cum Photii codice Marciano. 20 τοῦτ'] ταῦτ' superscriptum in L. ταῦτα ἔχοι ἐν τοῖς ἀνδράσι E. 21 τὰ ἑτέρων ἐκείνοις] τὰ ἐκείνων ἑτέροις Photius p. 432 a, 4.

Digitized by Google

228 ρας ἡγουμένων τῆς τῶν ἐπιεικῶν, εἶτα τὰ τῶν ἑτέρων ἁμαρτήματα καὶ τῶν εἰς τούτους πλημμελούντων αὐτοῖς τούτοις τις προσετίθει; καὶ τίν' ἔχει φύσιν, οἱ μήτ' ἔδρων ταῦτα καὶ προσέτι κωλύειν ἠξίουν; ἀλλ' ἴσως οὐκ αὐτοῖς ἐγκαλεῖν, ἀλλ' ὑπὲρ αὐτῶν ἄξιον ἐγκαλεῖν. καὶ δῆτ' ἔγωγ' ἐνεθυμήθην ὡς λυσιτελούντως αὐτῷ Πλάτωνι τὰς αἰτίας ἀπολύομαι καὶ ὁποίας τινὰς αὐτὸς καθ' αὑτοῦ δίδωσι τὰς λαβὰς ἐκ τῶν ἐγκλημάτων τούτων, εἴ τις αὐτὸν βούλοιτο μιμήσασθαι. φέρε γὰρ πρὸς θεῶν, εἰ καθάπερ τὸν Πρωτεσίλαόν φασι παραιτησάμενον τοὺς κάτω γεγενῆσθαι μετὰ τῶν ζώντων, ἢ καὶ ὥσπερ τῶν κωμικῶν τις ἐποίησε τέτταρας τῶν προστατῶν ἀνεστῶτας, ἐν οἷς δύο τούτων ἔνεισιν, οὕτως οἱ τέτταρες ἡμῖν οὗτοι, περὶ ὧν ἡ νυνὶ διαδικασία, ἀνάστασιν εὕροντο, ὥστε συγγενέσθαι Πλάτωνι μίαν μόνην ἡμέραν ἐπὶ τοῖς λόγοις τούτοις, ἔπειτα ἔλεγον τὸν Περικλέα προστησάμενοι, εἰ δὲ βούλει τὸν Θεμιστοκλέα, οἵπερ ἡμῖν ἐπὶ κέρως τῶν ῥητόρων — καὶ ὅπως μηδεὶς ἐμοὶ τὸ τραχὺ τῆς ἀποκρίσεως λογιεῖται· μάλιστα μὲν γὰρ οὐδ' ἔσται τοιοῦτον οὐδέν, ἀλλ' εἰς ὅσον οἷόν τε ἐπανήσομεν, ἔπειτ' αὐτῶν ἐκείνων οἴεσθαι χρὴ τοὺς λόγους εἶναι καὶ οὐκ ἐμούς. τὸν ξύοντα δ' ἀντιξύειν καὶ τοῖς ὄνοις ἡ παροιμία δή που δίδωσι. Περικλέα δὲ κἂν τοῖς λέουσι μᾶλλον ἢ τοῖς ὄνοις εἰκάζειν φαῖεν ἂν Ὁμηρίδαι. ὥστε τοσοῦτόν γ' ἐξέσται μεταδοῦναι παρρησίας αὐτῷ, ὅσον εἰ μηδεὶς ἀξιοῖ Πλάτωνος καταψηφίζεσθαι, εἰ μηδ' ἐκεῖνον ἐκ τῶν αὐτῶν τούτων ἐνείη μὴ κεκωλῦσθαι διδάσκειν. εἰ δέ τις ἀχθεσθήσεται τούτοις ὑπὲρ Πλάτωνος, αὐτόχρημα τἀναντία οἷς βούλεται ποιήσει. οἷς γὰρ τὸν Πλάτωνα συκοφαντεῖσθαι φήσει, τούτοις ὅπως συκοφαν- (375

228, 1 τῶν ἑτέρων] τῶν om. E. 2 προσετίθη Photius. καὶ τίνα ἔχει φύσιν ταῦτα Photii codex Marcianus. 7 κωμικῶν τις] Eupolis in Δήμοις. δύο τούτων] Miltiades et Pericles. 8 εὕροντο] εὕραντο LN. 10 ἐπὶ κέρως] ἐπικαίρως ΘLN. 11 τοιοῦτον] Scil. τραχύ. Reisk. ἐπανήσομεν] ἐπαιγέσομεν (sic) N. γρ. ἐπανήσομεν margo N. 14 τοσοῦτόν γ'] γ' om. L. αὐτῷ] αὐτῶν E. 15 εἰ μηδ' ἐκεῖνον] εἰ delendum. ἐκεῖνον redit ad Periclem. Reisk. ὡς μηδ' ἐκείνου (voluit haud dubie ἐκεῖνον) Canterus. ἐκεῖνον ΘLN. Legebatur ἐκεῖνος. ἐκεῖνο E. 17 ὅπως]

τεῖ βεβαιώσει. ἀλλὰ μὴν εἴ γε μηδὲ κακῶς ἀκούσασι καλῶς ἔχειν οἰήσεται ταῖς αὐταῖς χρήσασθαι λαβαῖς, καὶ ταύ-
229 ταις μὴ ἐπὶ τῷ κακῶς ἀντειπεῖν, ἀλλ' ἐπὶ τῷ διὰ τῶν ἐκείνου τὰ ἑαυτῶν ἀπολύσασθαι, πῶς εἰρηκέναι γ' αὐτὸν πρότερον κακῶς ἃ μηδεὶς ἐπηνάγκαζε καὶ δι' ὧν χείρους (376)
ᾤετο ἐκείνους ἀποφαίνειν δεξιόν τι νομίζειν κελεύσει;

Ἐροῦσι τοίνυν, ὡς ἐγὼ νομίζω, ταυτὶ, μᾶλλον δ' εἶπον ἂν, Ἡμεῖς, ὦ Πλάτων, πολλὰ καὶ βλάσφημα ἀκούσαντες ὑπὸ σοῦ οὐ τοῖς ἴσοις ἀμυνούμεθά σε οὐδ' ἐροῦμεν κακῶς, ἀλλὰ καὶ ἄνδρα ἐν τοῖς πρώτοις καὶ ἄριστον τῶν Ἑλλήνων ἡγούμεθα, καὶ τῇ πόλει συγχαίρομεν, οὐ σοὶ μόνῳ, τῆς σῆς φύσεως. πάντως δ' ἐξ ἀρχῆς ἕρμαιον ἡμῶν αὐτῶν ἐποιησάμεθα ὅ τι ἡ πόλις ἡμῶν κερδαίνοι. κάλλιστον δὲ πάντων κερδῶν ἡ τῶν ἀγαθῶν ἀνδρῶν φορά· ὧν καὶ ἡμεῖς ποτε ᾠόμεθα εἶναι, σὺ δὲ οὐ δίδως. ἐπειδὴ δὲ καὶ Μιθαίκῳ προσεικάζεις ἡμᾶς τῷ τὴν Σικελικὴν ὀψοποιίαν συγγεγραφότι, εἰκὸς μέν σέ γ' ἄμεινον ἡμῶν ταῦτ' ἐπίστασθαι. οὐ γὰρ ἡμεῖς γ' ἴσμεν περὶ τοιούτων συγγραμμάτων οὐδὲν, οὐ γὰρ πυκνὰ ἐπεμίξαμεν τῇ Σικελίᾳ. ἀλλ' ὥσπερ σὺ πρὸς τὰ πολιτικὰ ἀσχόλως ἔσχες ὑπὸ τῶν λόγων τῶν ἐν φιλοσοφίᾳ, οὕτως ἡμῖν ὑπὸ τῶν λόγων τῶν πολιτικῶν οὐχ ὑπῆρχε σχολὴ τῶν ἐκεῖ μαθεῖν οὐδέν. ἀλλὰ σέ γ' οὐκ ἀπεικὸς προστυχεῖν τοιούτοις ἀνθρώποις καὶ συγ- (377)
γράμμασιν, εἰ καὶ μὴ ἑκόντα, ἀλλ' ἄκοντα, ὥσπερ που καὶ ἄλλων πολλῶν καὶ ἑκουσίων πεῖραν λαβεῖν, ἅτε πολλάκις διὰ τοῦ Σικελικοῦ πελάγους κομισθέντα. φέρε δὴ

---

ὅτι αὐτὸς Reiskius. συκοφαντεῖ] συκοφαντῇ L. 18 οἰήσεται] οἰήσεταί τις Photius p. 432 a, 10. αὐταῖς] αὐτοῦ L, αὐταῖς ab
σα
correctore. χρήσασθαι ΘΕΝ et Photius. χρῆσθαι L. Legebatur χρῆσθαι.

229, 2 γ' om. Photii codex Marcianus. 3 ἀποφαίνειν] ἀποφανεῖν N. ἀποφῆναι Photius. κελεύσει] κελεύει Photii codex Marcianus. 4 δ'] δὲ LN. 6 καὶ ἄριστον τῶν (τῶν om. E) ἑλλήνων ΘELN. Legebatur τῶν Ἑλλήνων καὶ ἄριστον. μόνῳ] μόνον N. 7 κερδαίνοι] κερδάνοι a pr. m. L. 8 πάντων] τῶν πάντων N. 11 οὐ γὰρ πυκνὰ — μαθεῖν οὐδὲν ab rec. m. in margine scripta habet L. 14 ἀνθρώποις] ἀνδράσι (γρ. ἀνθρώποις) N. ἀλλ' ἄκοντα N. Legebatur ἀλλὰ καὶ ἄκοντα.

Digitized by Google

πρὸς αὐτῆς τῆς ἐν Σικελίᾳ τραπέζης, εἴτε Μίθαικος αὐ-
τὴν εἴτε καὶ ὁστισοῦν παρετίθει, τί σοι τεκμήριόν ἐστι τῆς
ἡμετέρας φαυλότητος; ὅτι νὴ Δί' οὐ πάντας Ἀθηναίους
δικαίους ἐποιήσαμεν. σὺ δ' ἐποίησας βελτίω τι Διονύσιον,
εἰ μὲν βούλει τὸν Ἑρμοκράτους, εἰ δὲ βούλει τὸν Διονυ-
230 σίου; συνεγένου μὲν γὰρ ἀμφοτέροις. οἱ δὲ τί σοῦ καὶ τῆς σῆς
συνουσίας ἀπώναντο; καίτοι διελέγου δή που πρὸς αὐτοὺς
περὶ τοῦ δικαίου καὶ νόμου καὶ πολιτείας, καὶ τὴν ἰσό-
τητα τὴν ἐν γεωμετρίᾳ καὶ πρὸς ἐκείνους ἐπῄνεις, καὶ οὕ-
τω φιληκόως εἶχον ὥστε καὶ μετεπέμποντό σε, καὶ σὺ προ-
θυμίας ἐνέλιπες οὐδὲν, ὅπως ἀγαθόν τι πράξωσι δι' ἐκεί-
νων αἱ πόλεις. ἐλελήθεις δὲ ἄρα σαυτὸν ἁπάσαις ταῖς
παροιμίαις ἐνεχόμενος, ὡς πῦρ ξαίνων καὶ λίθον ἕψων
καὶ σπείρων τὰς πέτρας. τί γὰρ τῶν σῶν νουθεσιῶν καὶ
λόγων ἀπέλαυσαν ἐκεῖνοι; τί τῶν θείων ἢ τῶν ἀνθρω- (378)
πείων ἄμεινον μετεχειρίσαντο μετ' ἐκείνην τὴν ἡμέραν, ἐν
ᾗ σοὶ τὰ ὦτα ὑπέσχον; τίς αὐτοὺς μετάνοια τῶν πρόσθεν
ἡμαρτημένων εἰσῆλθε; τίς ἔρως φιλοσοφῆσαι πάντα τἄλλα
ὑπερβάντας; τί βέλτιον ἢ τῶν κατ' αὐτὴν τὴν πόλιν ἔσχεν
ἢ τῶν ἔξω; τίς Γελώων ἢ Λεοντίνων ἢ τῶν ἄλλων Ἑλλή-
νων τῶν ἐν Σικελίᾳ χρηστῶν καὶ δικαίων ἐκείνων ἔτυχε
διὰ σὲ καὶ τοὺς σοὺς λόγους; εἰ δὲ μὴ τῶν Ἑλλήνων, τίσι
τῶν βαρβάρων [τίνι τῶν ἐν Σικελίᾳ ὄντων] ἐνεδείξαντο ὡς
βελτίους γεγόνασιν; εἶεν. ἀλλὰ τῶν μὲν Σικελίαν οἰκούντων
οὐδενὶ, τῶν δ' ἐν Ἰταλίᾳ βαρβάρων ἢ Ἑλλήνων τίσιν εἰπέ
μοι κάλλιον ἢ πρὸ τοῦ προσηνέχθησαν; εἰς τί καὶ πρὸς
τίνας ἀνθρώπους ἐποίησε βελτίους αὐτοὺς ἡ σὴ πολιτεία;
τίνι Καρχηδονίων, εἰ μὴ τῶν Ἑλλήνων ἔχεις εἰπεῖν, ἢ
τίνι τῶν ἄλλων τῶν ἐν τῇ Λιβύῃ βαρβάρων ἀρετὴν ἀσκῶν

---

18 εἰ μὲν] εἰ δὲ ΘΕΝ.

230, 1 σοῦ L. Vulgo σου. τοῦ δικαίου] τοῦ om. L. 2 νόμου] νομίμου E. 5 τὰς πέτρας] τὰς om. L. 8 τἄλλα] τὰ ἄλλα LN. 9 Ἑλλήνων τῶν Reiskius. Legebatur Ἑλλήνων ἢ τῶν. 10 Sic distinguo: εἰ δὲ μὴ τῶν Ἑλλήνων τισι, τῶν βαρβάρων τίνι, τῶν ἐν Σικελίᾳ ὄντων, ἐνεδείξαντο —. Reisk. 11 τίσι] τίνι N. Seclusi verba τίνι τῶν ἐν (ἐν add. Steph. Iebb.: om. Θ Iunt.) Σικελίᾳ ὄντων. ἐνεδείξαντο] ἐνεδείξατο (ν ab rec. m.) L. 14 αὐτοὺς om. E. τῶν ἄλλων om. N. 15 τῇ Λιβύῃ]

ἐπεδείξατο ὁ τύραννος, ἀφ' οὗ τῶν Πλάτωνος δογμάτων ἠκροάσατο, εἴτ' οὖν ὁ πρεσβύτερος λέγοι εἴθ' ὁ νεώτερος; καὶ μὴν εἰ μὲν τοῖς συμβούλοις ἀνατιθέναι χρὴ τὰ τῶν ἐν ταῖς ἐξουσίαις ἁμαρτήματα, τί μᾶλλον ἡμῶν ἢ σαυτοῦ φήσουσι κατηγορεῖς; ἐπειδή γε καὶ κατὰ σοῦ τὰ ἐκείνων (379)
ὑπάρχει λέγειν. εἰ δ' οὐδὲν ἂν εἶναι ταῦτα φαίης πρὸς σέ, τοῖς αὐτοῖς τούτοις καὶ ἡμᾶς ἀπολύεις, εἴ τι καὶ ὁ Ἀθηναίων δῆμος ἔξω τι τῶν ἡμῖν δοκούντων ἔπραξεν. οἶμαι τοίνυν οὐκ ἀρκέσειν τοῖς ἀνδράσι ταῦτα, ἀλλ' ἐκεῖνο ἥδιστ' ἂν αὐτοὺς ἤδη προσθεῖναι, τὸ ποῖον; τὸ ἐπειδὴ τοίνυν ἐν ἀμφοτέροις ἔνεστι μὴ πάνθ' ὡς ἐδόκει τῷ συμβούλῳ
231 πεπρᾶχθαι, πότεροι βελτίονι καὶ δικαιοτέρῳ πράγματι τὴν ἀρχὴν ἐπέθεντο ἡμῶν; πότερον ὁ τὸν τύραννον παιδεύειν ἀξιῶν καὶ πλέων ἔξω τῆς πατρίδος τοσοῦτον, ἢ οἱ τοῖς πολίταις τοῖς ἑαυτῶν τὰ βέλτιστα ἐθελήσαντες συμβουλεῦσαι, καὶ τούτοις ἐκ τῶν δυνατῶν ἀμείνω τὰ πράγματα ποιεῖν; τί φής, ὦ Πλάτων, πρὸς ταῦτ', ἐροῦσι, καὶ ὅτε γε καθάπαξ οὐκ ἐκρατήσαμεν, πότεροι μᾶλλον τῆς γνώμης τῆς ἐξ ἀρχῆς ἐφικόμεθα; καὶ πότεροι πλέον προὐβιβάσαμεν; πότερ' ἡμεῖς βελτίους Ἀθηναίους ἀπεφήναμεν, ἢ σὺ τοὺς τυράννους; καὶ μὴν ἐκείνοις μὲν πλὴν ἴσως ὀλίγων ἅπανθ' ἡμάρτηται, τοῖς δὲ μεθ' ἡμῶν ἅπαντα κάλλιον πλὴν ὀλίγων ἢ κατὰ πάντας ἀνθρώπους πεποίη- (380)
ται. τοσοῦτον ἡμεῖς ἀμείνους τοὺς ἡμῖν χρωμένους ἀπεδείξαμεν ἢ σὺ τοὺς σοί. εἰ δ' ἐρεῖς ὅτι βελτίους οὗτοι τὴν φύσιν, καὶ ταύτῃ φρονιμωτέρους ἡμᾶς ἀποδεικνύεις, εἴ τινας ἐν τούτοις ἔσχομεν ἐλπίδας, οὐχ ὥσπερ σὺ τοῦ παντὸς διήμαρτες, ἐκείνοις διαλέγεσθαι προὔργου τι δόξας εἶναι. ἔπειτα ὥσπερ ἐν οἷς βελτίους ἑτέρων γεγόνασι τὴν φύσιν αἰτιᾷ, οὕτως εἴ τι καὶ προπετέστερον εἰργάσθαι σοι δοκοῦσι, τῆς φύσεως αὐτὸ θὲς τῆς αὐτῆς καὶ μὴ λάμ-

---

τῇ om. LN. ἐπεδείξατο ΘLN. Vulgo ἐνεδείξατο. 16 ἠκροάσατο] ἠκριβώσατο L. γρ. ἠκροάσατο margo L ab rec. m.

231, 1 πότεροι] πότερον N. 2 πότερον ΘΕΝ. Vulgo πότερ'. ἢ οἱ τοῖς ELN Iebb. οἱ om. Iunt. 4 ὅτε γε ΘLN. Aberat γε. 7 ἅπανθ' — ὀλίγων om. E, in margine ab rec. m. scripta habet L. 9 φρονιμωτέρους] φρονιμωτέρας N. 11 εἰργάσθαι]

βαν· ἐφ' ἡμᾶς, μηδ' ἃ μὲν ἡμῶν ἡγουμένων κατέπραξαν, ἀποστέρει τοὺς συμβουλεύσαντας καὶ τοὺς συγκατεργασαμένους ἡμᾶς τῷ δοκεῖν τὰ βέλτιστα παραινέσαι, ἃ δ' ἐπὶ σφῶν αὐτῶν ἐξήμαρτον εἰς ἡμᾶς, ταῦθ' ὡς ἡμεῖς ἀδικοῦμεν λέγε. ἐκείνων μὲν γὰρ καὶ ἡμεῖς αἴτιοι τὸ μέρος, τούτων δὲ οὐδὲ μικρόν. ἀλλὰ ταῦθ', ὡς ἔφη Σοφοκλῆς, πεπονθότ' ἐστὶ μᾶλλον ἢ δεδρακότα. καὶ μὴν εἴ γε τὸ προσκροῦσαι καὶ χρήσασθαί τινι συμφορᾷ κακίας ἔλεγχός ἐστι καὶ μέμψιν δικαίαν ἔχει τῷ πεπονθότι, σκόπει πρὸς τὰ ἡμέτερα καὶ τὰ σαυτοῦ. ποῖ' ἄττ' ἀπέλαυσας τῶν τυράννων οὓς παιδεύειν προῃροῦ; μὴ ἄρ' οὐ Πολυκράτης τὴν (381)
232 ἔξωθεν τύχην οἶδ' αὐτὸς ἡμῖν ἦσθα. οὕτω μὲν ἐξ ἀρχῆς εἰρχθεὶς ἐτρέφου παρὰ ἐλπίδα, καὶ παρ' ἀξίαν ἅπασαν σεαυτοῦ, καὶ εἰ μή σε ἀνὴρ Ἰταλιώτης ἐξῃτήσατο τῶν Πυθαγορείων, ὥσπερ σὺ φῂς τὸν πρύτανιν, ὅτι ἡμῶν ἕνα μέλλοντα εἰς τὸ βάραθρον ἐμπεσεῖσθαι διεκώλυσε, κἂν αὐτὸς ἴσως εἰς τὰς λιθοτομίας ἐνέπεσες, ἢ δή τοι τό γε δεύτερον οὐκ ἂν ὑπεξέφυγες Στυγὸς ὕδατος αἰπὰ ῥέεθρα τοῦ πορθμοῦ, ἀλλ' ἐτεθνήκεις ἂν αὐτοῦ ἐν Σικελίᾳ. νῦν

---

ἐργάσασθαι L. 12 λάμβαν' (λάμβανε Iebb.) ἐφ' ἡμᾶς ELN (γρ. λάμβανε φήμας margo N) Soph. Iebb. λάμβανε φήμας Iunt. καὶ μὴ λάμβανε φήμας delebat Canterus. ἡμῶν om. E. 13 τῷ] Leg. τὸ aut τοῦ. Reisk. τὸ Canterus. 15 Σοφοκλῆς] Oedip. Colon. v. 267. 16 πεπονθότ'] Vulgo πεπονθότα. 17 ποῖ' ἄττ'] Vulgo ποῖα ἄττ'. ποῖ' ἄττ' L. ποιάττ' N. 18 ἀπέλαυσας] ἀπέλαυσαν N. οὓ] ὡς E. οὓ (ὡς ab rec. m.) L. Πολυκράτης] Id est homo rebus omnibus lautis et magnis atque illustribus et secundis affluens. v. p. 235, 15. Reisk.

232, 1 οὕτω] οὐ τὸ N. Post ἐτρέφου desunt quaedam, e. c. εἶτα ἐξέπεσες, aut ἐξεβάλλου. cum enim ab initio, primis temporibus tuorum cum Dionysio congressuum, ita laute pascerere ab eo, inclusus domi, venia in liberam auram exeundi negata, ac si esses porcus saginandus, paulo post ita excidisti Dionysii gratia, et ita ab eo abiectus es, praeter spem meritumque tuum, ut, nisi vir ex Italia Graeca —. Reisk. 2 ἀνὴρ] Archytas. 3 ἡμῶν] ἡμᾶς E. 4 λιθοτομίας] λατομίας a pr. m. L. ἐνέπεσες LN Iebb. ἐνέπεσε Iunt. δή τοι] δή τι L. Conf. p. 128, 16. οὐκ ἂν — ῥέεθρα (ῥέαθρα N)] Versus Homericus Iliad. θ, 369. ubi ὑπεξέφυγε. 5 ἐτεθνήκεις] ἐτεθνήσκεις Θ. νῦν δὲ Ἀρχύτας] Histo-

δὲ Ἀρχύτας ἦν ὁ κωλύσας καὶ Διονύσιος Ἀρχύταν μὲν ἐπιστέλλοντα ᾐσχύνθη καὶ ἔδωκε τὴν χάριν, Πλάτωνα δὲ οὐκ ᾐσχύνετο, ᾧ συνῆν καὶ οὗ τοὺς καλοὺς ἐκείνους καὶ σεμνοὺς λόγους ἤκουσεν, ἀλλὰ τοσοῦτον ἔδει τιμᾶν ἢ πείθεσθαι λέγοντι ὥσθ᾽, ἵνα σου τῆς φωνῆς μὴ ἀκούοι, καθείρξας εἶχεν ὡσεί τινα ἀτίμητον μετανάστην. καὶ περιειστήκει σοι τὸ τοῦ Κίμωνος, ὃ σὺ φῂς πρὸς αὐτὸν τοὺς Ἀθηναίους οὐκ ἐθέλειν αὐτοῦ τῆς φωνῆς ἀκούειν, οὐδὲ σοῦ τότ᾽ ἠξίου Διονύσιος, πλὴν ὅσον οὐκ ἐν τοῖς ἴσοις (382) ἦσθα. ἐκεῖνον μὲν γὰρ Ἀθηναῖοι μετέστησαν ὅπως αὐτοῦ δέκα ἐτῶν μὴ ἀκροάσαιντο, σοὶ δὲ οὐδ᾽ αὐτὸ τοῦτο ἐξῆν μεταστῆναι καὶ πάνυ δή που βουλομένῳ τε καὶ ζητοῦντι, νοῦν ἔχοντι, ὡς ἐγώ φημι. ἀλλὰ τοῦτ᾽ ἦν ἡ δεινὴ συμφορὰ τὸ μὴ ἐξεῖναι ἀπελθεῖν, ἀλλὰ μένειν πρὸς βίαν καὶ μονονοὺ προσηλῶσθαι. καὶ παραδίδωσι δή σε μετὰ ταῦθ᾽ ὁ φίλτατος ἀνδρὶ Σπαρτιάτῃ Πόλλιδι, καὶ οὐδ᾽ ἐνταῦθ᾽ ἔστη τῆς ὕβρεως, ἀλλ᾽ ἀποδόσθαι προσέταξεν, ἀποδόσθαι τὸν ἄριστον οἴμοι τῶν Ἑλλήνων, ὥσπερ ἀνδράποδον τῶν ἐπ᾽ ἐξαγωγῇ. οὐκ ἂν ἡμῶν γε ζώντων καὶ τῶν τριήρων οὐσῶν τοῦθ᾽ ὕβρισεν ὁ θεοῖς ἐχθρὸς ἐκεῖνος. ὅμως δ᾽ ἐπέταξε καὶ Πλάτων ἐξήγετο ἐκ Σικελίας ὑπὸ Πόλλιδος καὶ ὁ Πόλλις αὖ πάλιν παραλαβὼν Διονύσιον μὲν καὶ ἀπόντα ᾐσχύνετο καὶ ὧν ἐπέσκηψεν ἐμέμνητο, σὲ δ᾽ ὁρῶν καὶ συνὼν παρ᾽ οὐδὲν ἐποιεῖτο, ἀλλ᾽ ἡ θαυμαστή σου δύναμις καὶ πειθὼ κατὰ τοὺς λόγους ἡττᾶτο τῶν ἐντολῶν τοῦ Διονυσίου· καὶ Πόλλις ἐκείνῳ μὲν συνεβάλλετο, καὶ ταῦτα τοιαῦτα
233 ἐπιτάξαντι, σοὶ δ᾽ οὐδέν· προσθῶμεν δὲ ὅτι καὶ Σπαρτιάτης ὢν καὶ τεθραμμένος ἐν νόμοις καὶ πολιτείᾳ δευτέρα (383) τῶν πασῶν ἐχούσῃ παρὰ σοὶ κριτῇ, μᾶλλον δὲ πρῶτα τῶν οὐσῶν. καί σοι μάτην, ὡς ἔοικε, τὰ πολλὰ ἐκεῖνα εἰς

---

riam hanc habes apud Plutarchum in Dione. Palmer. 7 οὗ] οὐ N. 8 ὡσεί τιν᾽ ἀτίμητον μετανάστην Iliad. ι, 648. π, 59. 10 τότ᾽] τότε LN. 12 δή] δέ E. τε om. LN. 14 Πόλλιδι] πόλιδι L: sed infra idem πόλλιδος. οὐδ᾽] οὐκ L. ἔστη] ἔστι N. 18 πάλιν om. LN. 20 πειθὼ] ἡ πειθὼ ΘE. Πόλλις] πόλις EL.

233, 1 δ᾽ L. Vulgo δὲ. ὅτι καὶ L et Photius. Legebatur καὶ ὅτι. 3 πρῶτα] τὰ πρῶτα L et Photius editus: πρώτη codex

τὴν τῶν Λακεδαιμονίων πόλιν ὕμνητο. ὁ γοῦν τῶν Λακεδαιμονίων ποτὲ ναύαρχος τοσοῦτον διήμαρτε τῆς σῆς ἀξίας, ὅσον οὐδ' ἂν εἷς Περσῶν ἢ Σκυθῶν, οἷς οὐκ ἦν συνεῖναι τῆς σῆς φωνῆς τὸ παράπαν. καίτοι γε εἰ μὲν ἠξίους αὐτὸν ἀμείνω γενέσθαι Διονυσίου περὶ σὲ καὶ βουλεύσασθαί τι βέλτιον, ὁ δὲ οὐ προσεῖχέ σοι τὸν νοῦν, ἀλλὰ τοῦ μὴ παρόντος ἦν καὶ τοῦ τὰ αἴσχισα ἐντειλαμένου, πῶς οὐχ ἡττῶ πάμπολυ τοῦ τυράννου καὶ ποῦ δίκαιος εἶ προφέρειν εἴ τίς τινα πείθειν ἐγχειρῶν ἀπέτυχεν; εἰ δὲ σὺ μὲν στέργειν ἠξίους τοῖς παροῦσιν, ὁ δὲ οὐκ ᾐδεῖτό σου τὴν σιωπὴν οὐδ' ἁπάντων λόγων ἡγεῖτο ἱκανωτέραν εἶναι τοὺς προσήκοντας αὐτῷ λογισμοὺς περὶ σοῦ παραστῆσαι, πῶς τῶν εἰκότων ἐτύγχανες, ἢ πῶς τὰ πρέποντα ἀπέλαυες τῆς φύσεως τῆς σεαυτοῦ; νὴ Δί' ἀλλ' οὐδὲν σὺ χείρων, εἰ παρέπαιε Πόλλις καὶ Διονύσιος. οὐδέ γ' ἡμεῖς, ὦ μακάριε, εἴ τις περὶ ἡμᾶς φαῦλος Ἀθηναίων ἐγένετο. εἰς (384 τοίνυν τοῦθ' ἧκεν ὁ Πόλλις ὑπερβολῆς καὶ οὕτω σφόδρα ἐσπούδασε κύριος καταστὰς βουλεύσασθαι περὶ ἀνδρὸς οἵου μηδ' ὄναρ ἤλπισεν, εἶτα φανῆναί τι παμμέγεθες βεβουλευμένος καὶ ὑπερβάλλον φιλανθρωπίᾳ τε καὶ παιδείᾳ, ὥστε κομίσας εἰς Αἴγιναν, ἐν ᾗ θάνατος προείρητο εἴ τις Ἀθηναίων ἐπιβαίνων ληφθείη, ἐνταῦθα ἐκβιβάζει σε. κἀνταῦθα αὖ τὸ τοῦ Θεμιστοκλέους ἠτύχεις, μᾶλλον δὲ καὶ ηὐτύχεις. ἐκεῖνός τε γὰρ εἰς Μολοττοὺς ὡς Ἄδμητον ἐχθρὸν
234 ὄντα αὐτῷ παραγίγνεται καὶ δι' ἐκείνου σώζεται καὶ σοὶ παρὰ τοῖς ἐχθροῖς τοῖς κοινοῖς τῆς πατρίδος τῆς σαυτοῦ συνέβαινεν ἐξετάζεσθαι. καὶ εἰ μὴ ἐκεῖνοι βελτίους ἐγένοντο

---

Marcianus. 5 συνεῖναι] συνιέναι Canterus. 7 τοῦ μὴ] μὴ τοῦ L et Photius. 8 εἴ τίς τινα ELN Opor. Iebb: εἴ που τινὰ Iunt. εἴ τινά τις Photius. 9 ἐγχειρῶν] ἐπιχειρῶν Photius. στέργειν] στέρξειν E. 10 τοὺς προσήκοντας N et Photius. Legebatur τοῦ προσήκοντας. αὐτῷ addidi ex L et Photio. αὐτῷ abrasum in N. λογισμοὺς] λογισμὸν (οὺς ab rec. m.) N. 11 ἀπέλαυες] ἀπέλαβες N et Photius σεαυτοῦ] σαυτοῦ N. 12 Δί' ] δία ΘN. παρέπαιε] προσάκουε superscriptum rec. m. in L. Πόλλις] πόλις E. πολλάκις L. 13 τοῦθ'] ταῦθ' N. 16 προείρητο] προῄρητο N. 17 μᾶλλον δὲ καὶ ηὐτύχεις rec. m. scripta in marg. L.

234, 1 παραγίγνεται] παραγίνεται L.

τοῦ τυράννου καὶ τοῦ διακόνου, — καὶ οὗτοί γε καλῶς ποιοῦντες τὴν Πλάτωνος φιλοσοφίαν καὶ δόξαν ᾐσχύνθησαν, — ἐτεθνήκεις ἂν αὐτόθι νῆσον ἀντὶ νήσου μεταλαβών, ἐν προθύροις τῆς πατρίδος, οὐκ ἐν Σικελίᾳ· τοσοῦτον ἔμελλες κερδαίνειν. ὁ δὲ χρηστὸς σύμπλους ὁ Σπαρτιάτης οὐδ᾽ ὣς ἐπελάθετο ὧν ἤκουσε παρὰ τοῦ Διονυσίου, ἀλλ᾽ ἐπώλησε τὴν ἱερὰν κεφαλήν· καὶ πωλοῦντος Πόλλιδος Ἑλ- (385) λήνων μὲν οὐδεὶς ὠνεῖτό σε — οὕτω πάντες κατείχοντο ὑπὸ τῶν σῶν λόγων — Λίβυς δ᾽ ἄνθρωπος Ἀννίκερις ὄνομα, ὃν οὐδ᾽ ἠπίστατο ἀνθρώπων οὐδείς, εἰ μὴ ταῖς σαῖς συμφοραῖς ἀπεχρήσατο. νῦν δ᾽ οὐ Πλάτωνα ἐπρίατο, ἀλλὰ δόξαν αὑτῷ καὶ τὸ γιγνώσκεσθαι. καὶ τότε ἤδη Δίων τὰ θαυμαστὰ ἐφιλανθρωπεύετο πέμπων τὰ λύτρα τῷ Λίβυϊ. ἀλλ᾽ οὐδ᾽ ἐκεῖνός γ᾽ ἡττήθη τοῦ Δίωνος, ἀλλ᾽ ἀφῆκέ σε προῖκα, ὁ μηδεπώποτ᾽ ἰδὼν πρότερον μηδ᾽ ὁμιλήσας μηδαμοῦ μήτε νήσων μήτ᾽ ἠπείρου. ἐλθὼν τοίνυν οἴκαδε καὶ διαφυγὼν ὥσπερ τις Ὀδυσσεὺς οὐ θανάτους μόνον, ἀλλὰ καὶ δουλείαν, καὶ οὑτωσὶ σαφῶς ἐπὶ τῇ ἑτέρων κακίᾳ καὶ φιλαν-

---

3 καὶ οὗτοί γε] Haec verba ad ᾐσχύνθησαν parenthesi sunt includenda. (verum tamen in eo recte fecerunt, et laudem sunt meriti, quod Platonis philosophiam et gloriam sunt reveriti.) Reisk. 5 κερδανεῖν N. σύμπλους ELN Iebb. σύμπλος Iunt. 6 Post Διονυσίου ELN addunt οὐδὲ τοὺς αἰγινήτας ὁρῶν τοὺς ἐχθροὺς αἰσχυνομένους σε. Probo supplementum codicum Anglicanorum. ne tum quidem, quum videret hostes tuos Aeginetas, reverentia tui ductos, religioni sibi ducere te violare. Reisk. 8 ἀννίκερις ΘEL. ἀνίκερις N. Scribebatur Ἀννίκερος. 9 Post συμφοραῖς N addit πρόφασιν τῆς γνώσεως εὑρὼν τὰς πλάτωνος συμφοράς, quibus caret Photius p. 432 b, 29. Supplementum codicis N hic loci non tam est necessarium atque superius; neque tamen prorsus est inutile. eo admisso locus ita est distinguendus: εἰ μὴ ταῖς σαῖς συμφοραῖς, πρόφασιν τῆς γνώσεως εὑρὼν τὰς Πλάτωνος συμφοράς, ἀπεχρήσατο. nisi Libya oriundus homo ille Anniceris tua calamitate suam ad utilitatem esset abusus, cum Platonis infortunium inveniret sibi acquirendae famae et gloriae occasionem praebere. Abusus autem ille Platonis adverso casu tum est, quum eum emit, quem nisi ipse emisset, alius aere dato suam in potestatem redegisset. Reisk. 10 καὶ τὸ] καὶ τῷ N. γιγνώσκεσθαι] γινώσκεσθαι L. 11 οὐδ᾽] οὐκ L. 12 μήτε νήσων L. Aberat μήτε. νήσων] νῆσον L. μήτ᾽] Legebatur μηδ᾽. μήτε L. ἠπείρου] ἠπείρων N.



Digitized by Google

θρωπίᾳ γενόμενος χρόνον μέν τινα ἡσυχάσας· ὡς δὲ τελευτήσαντος τοῦ προτέρου Διονυσίου παραλαβὼν τὴν ἀρχὴν ὁ ἐξ ἐκείνου Διονύσιος μετεπέμπετο αὖθίς σε εἰς τὴν πολυύμνητον Σικελίαν, ὥσπερ μετὰ τῶν ἄλλων ὧν παρὰ τοῦ πατρὸς παρειλήφει καὶ τὴν εἰς σὲ ὕβριν παρειληφὼς, καὶ κληρονομῶν καὶ τοῦ σοι προστάττειν, ὥσπερ Συρακοσίοις ἢ τοῖς ἄλλοις τοῖς ἐν Σικελίᾳ, ᾤχου δὴ πλέων. καὶ ποίων

235 τινῶν ἀπέλαυσας πάλιν αὐτὸς οἶσθα, ὡς οὐθ' ὧν ἀπῇρας χάριν διεπράξω ἠνέσχου τε πολλὰ καὶ παντοῖα, καὶ παντὸς μᾶλλον ἢ σαυτοῦ, τοσοῦτον εὐτυχήσας μόνον, εἰρήσεται γὰρ, ὅσον οὐ μετέσχες τῆς Φιλοξένου τοῦ διθυραμβοποιοῦ τύχης, καίτοι πράττων μάλιστά πως ἀντίπαλα ἐκείνῳ. μή τοι νομίσῃς ἡμᾶς ἀγνοεῖν τοὺς σοὺς λόγους ἢ μὴ συγχωρεῖν ἀληθεῖς εἶναι, ὡς οὐ θέμις ἀνδρὶ βελτίονι ὑπὸ χείρονος οὔθ' ὑβρίζεσθαι οὔτε βλάπτεσθαι. σύνισμεν ταῦτα καὶ μαρτυροῦμεν ὡς ἀληθῆ λέγεις, ὅμως δέ γε ὁ θαυμαστὸς ἐκεῖνος ἐραστής σου οὐδ' ὁτιοῦν ὕβρεως καὶ ἀσελγείας ἀπέλιπε· καὶ σὺ μὲν ἴσως οὐδὲν ὑβρίσθης, ὁ δ' οἷς ἡγεῖτο ὑβρίζειν, πλείω ταῦτ' ἔπραττεν ἢ δι' ὧν ᾔδει τιμήσων. καὶ οὐδ' οὕτω κατέλυσας τὴν πρὸς ἐκεῖνον ὁμιλίαν καὶ τὸ πλεῖν, ἀλλ' οὕτω παρ' ἐλπίδα καὶ παρ' ἀξίαν ἀπαλλάξας καὶ ἀγαπητῶς ἀποσωθεὶς πάλιν οἴκαδε τοσοῦτον ἀπέσχες τοῦ ἑτέροις τι δύνασθαι συμβουλεῦσαι ὥστ' οὐδὲ σαυτῷ συνεβούλευσας, ὅπερ λοιπὸν ἦν. ἀλλ' ἡ μὲν παροιμία καὶ Ὅμηρός φησι, ῥεχθὲν δέ τε νήπιος ἔγνω· σὺ δ' ὁ τῶν Ἑλλήνων σοφώτατος οὐδ' οὕτως ἐπαιδεύθης, ἀλλὰ πάλιν σε χειροῦται Διονύσιος, ἐλπίδας φιλανθρώπους ὑποτείνας, καὶ πάλιν αὖ τῶν τῆς τυραννίδος κακῶν ἐπειρῶ, τὸ τρίτον πλεύσας ὥσπερ οἱ πα-

---

16 ἐξ ἐκείνου LN. Aberat ἐξ. 17 παρειλήφει] προσειλήφει L. 18 καὶ τοῦ] τοῦ om. L. προστάττειν] προσπράττειν L. Συρακοσίοις] Vulgo Συρακουσίοις.

235, 1 οἶσθα ΘELN. Legebatur ᾔσθα. 3 ὅσον superscriptum in L, in margine habet N, addiderunt Canterus et Iebb. om. Θ Iunt. τῆς Φιλοξένου] τῆς τοῦ φιλοξένου E. 4 μή τοι] μήτι N. 8 ᾔδει] ἤδη N. 10 τοσοῦτον] Vulgo τοσοῦτ'. 11 ῥεχθὲν] Iliad. ρ, 37. *eventu rei doctus vel infans sapit.* aut, *infans est*, qui non nisi malo doctus sapit. Reisk. ῥεχθὲν] πα-

Digitized by Google

λαισταὶ παλαίουσι, δὶς μὲν πρὸς τὸν αὐτὸν προσπταίσας, τρίτον δ' ὅλως πρὸς τύραννον καὶ τυραννικὴν οἰκίαν.

Οὕτως οὐδ' αὐτὸς ἐξ οὐρίας τὰ πάντα ἔθεις. τί οὖν ἡμῖν τὴν τύχην προφέρεις αὐτὸς τοιαύτης πεπειραμένος; ὥσπερ ἂν εἰ Ὀδυσσεὺς τῷ Μενέλεῳ τὴν πλάνην ὠνείδιζεν, ὦ οὗτος, ἧκον μὲν οὐδ' αὐτὸς μετὰ πάντων, μετὰ πλειόνων
236 δὲ ἢ σὺ καὶ θᾶττον ἢ σύ, καὶ πλεύσας οὐκ ἴσα· καὶ πρός γε οὐ περιεργασάμενος, ὥσπερ σὺ καθήμενος ἐν Σικελίᾳ παρὰ τῷ Κύκλωπι. ἀλλ' ὦ πάντων θαυμάσιε Πλάτων, μὴ δι' ἀμφοῖν ὤθει, καὶ ταῦτ' οὐ διὰ τῶν φίλων ἑνὸς καὶ τῶν ἐχθρῶν, ἀλλὰ διὰ σαυτοῦ τε καὶ τούτων, οὓς φίλους εἰκὸς ἦν μᾶλλον ἡγεῖσθαι, εἰ δὲ μή, σκόπει μὴ ὅ τι ἐγκαλέσεις, (388)
ἀλλ' ὅ τι ἀπολογήσει πρότερον· τοσαῦτ' ἐστὶ καὶ τὰ σά. καίτοι σὺ καὶ τῶν διθυραμβοποιῶν ἀξιοῖς καταγελᾶν ὡς πρὸς τὴν ἡδονὴν καὶ τὸ χαρίζεσθαι μόνον ὡρμημένων. φαίνεται δὲ Φιλόξενον μὲν τὸν Κυθήριον οὐ δυνηθεὶς αὖθις ὑφ' αὑτῷ λαβεῖν Διονύσιος, ἀλλ' οἰμώζειν ἐκεῖνος ἐλευθέρως γράφων αὐτῷ, σοῦ δέ γε δεύτερον καὶ τρὶς ἐγκρατὴς γενόμενος μετὰ τὰς πρώτας ἐκείνας διατριβάς. φήσεις καλὴν εἶναί σοι τὴν πρόφασιν· ὑπὲρ γὰρ τῶν Δίωνος πραγμάτων ἅπαντα ταῦτα ποιεῖν καὶ λέγειν· καλῶς γε σὺ καὶ λέγων καὶ ποιῶν. σκόπει δὴ καὶ τὴν ἡμετέραν πρόφασιν, κἂν εὕρῃς ἀτιμοτέραν, ἢ μικρῶν ἕνεκα ἡμᾶς πολυπραγμονήσαντας, στίξον λαβὼν καὶ γενοῦ Διονύσιος ἀντὶ Πλάτωνος εἰς ἡμᾶς. εἰ δ' ὥσπερ σὺ Δίωνος χάριν καὶ τῆς ἐκείνου ξενίας καὶ ἑταιρίας ἅπαντα ταῦθ' ὑπέμεινας, οὕτως ἡμεῖς ὑπὲρ τῆς ἑστίας τῆς κοινῆς πατρίδος καὶ ὑπὲρ τῶν κοινῶν σπονδῶν καὶ δικαίων οἱ μὲν

---

θῶν EN, quod superscriptum in L. 15 ἐξ οὐρίας L. Vulgo ἐξουρίας. ἔθεις] Cogitabam aliquando ἔπλεις. sed recte habet vulgata. nam et navis dicitur θεῖν, et cursori opus est vento secundo ad celeriter currendum. REISK. 16 Ὀδυσσεὺς] ὁ ὀδυσσεὺς L. 17 ὦ οὗτος] Prosopopoeia Menelai ad Ulyssem. REISK.

236, 2 θαυμάσιε] θαυμασιώτατε N. 4 ἐγκαλέσεις] ἐγκαλέσῃς L. ἀπολογήσει] Vulgo ἀπολογήσῃ. 5 καταγελᾶν] κατεγγελᾶν E. 7 ἐλευθέρως] ἐλευθερωθείς. per literas eum iussisse plorare, postquam in libertatem rediisset. REISK. 10 ποιῶν] καὶ ποιῶν L. 13 ἑταιρίας N. Scribebatur ἑταιρείας. 14 οἱ μὲν τῆς

τῆς πόλεως, οἱ δὲ καὶ τῶν Ἑλλήνων, ὁτιοῦν καὶ λέγειν (389)
καὶ πράττειν καὶ πάσχειν ὑπέστημεν, αἰσχυνθέντες μὲν
ἁπάσας τὰς τοῦ Διὸς ἐπωνυμίας, αἰσχυνθέντες δὲ τὰς τῶν
ἄλλων ἁπάντων θεῶν ἐπωνυμίας τε καὶ τιμάς, ἔτι δ'
237 ἥρωας καὶ προγόνους τοὺς κοινούς, καὶ τὴν τοῦ παρελ-
θόντος χρόνου μνείαν καὶ τὸν τοῦ μέλλοντος αἰῶνος λόγον,
καὶ πάνθ' ὅσαπερ μέγιστα νομίζεται παρὰ πᾶσι καὶ Ἕλ-
λησι καὶ βαρβάροις, εἰ δέ τι καὶ παρὰ γνώμην ἐκ τούτων
ἀπήντησε, τί τὰ μὴ σὰ κατηγορεῖς; καὶ μὴν εἰ δεῖ καὶ
τοῦτο προσθεῖναι, ἡμεῖς μὲν εἴ τι καὶ προσεπταίσαμεν,
ἀλλ' οὖν πράξαντές γε ὑπὲρ ὧν ἐσπουδάζομεν οὕτω
προσεπταίσαμεν, σὺ δ' εὐθὺς ἐξ ἀρχῆς. οὐκοῦν εἰ μὲν τὸ
χρήσασθαί τισι δυσκόλοις ὄνειδός ἐστι τῷ συμβούλῳ καὶ
μέμψις, οὐδὲν ἐλάττοσιν ἡμῶν κέχρησαι. καὶ πρόσεστι τὸ
μηδὲν ὧν ἐβούλου κατορθῶσαι. εἰ δ' αὐτὴν ἐφ' αὑτῆς δεῖ
τὴν προαίρεσιν ἐξετάζειν, ἀναίτιον μὲν τὸ σὸν εἰκότως,
ἀναίτιον δ' ἐκ τῶν αὐτῶν καὶ τὸ ἡμέτερον. καὶ πρόσεστι
τὸ κρατῆσαι τῶν πραγμάτων καὶ τὸ μείζω ταῦτ' εἶναι
τῶν θ' ὑπὸ σοῦ σπουδαζομένων ὧν τ' αὐτοὶ προσεκρού-
σαμεν. σὺ μὲν τοίνυν ἐλέγχειν ἡμᾶς ἀξιῶν καὶ κατὰ σαυ- (390)
τοῦ λέγεις, ἡμεῖς δ' ὑπὲρ ἡμῶν αὐτῶν λέγοντες καὶ τὸ
σὸν θεραπεύομεν. μᾶλλον δὲ τῆς μὲν σῆς ἀπολογίας καὶ
ἡμεῖς μετέσχομεν, σοὶ δ' οὐχ ὅσον ἡμῖν ὑπάρχει. ὥστ'
εἰ μὲν ἡμῶν τις φείσεται, ἄδηλον εἰ καὶ σοῦ· εἰ δὲ σοῦ
τις καταγνοίη, τάχ' ἂν ἡμῖν γε συγγνοίη· εἰ δ' αὖ μηδ'
ἡμῶν φείσεται, σοῦ γε σχολῇ. οὕτω τὸ νικᾶν ἡμᾶς ὑπὲρ
σοῦ γίγνεται. πρὸς ταῦτα σκόπει μὴ τοὐμόν, ἀλλὰ καὶ τὸ

---

Reiskius. Legebatur οἱ μὲν ὑπὲρ τῆς. 15 καὶ λέγειν καὶ πράττειν ΘLN. Vulgo καὶ πράττειν καὶ λέγειν. αἰσχυνθέντες — Διὸς ἐπωνυμίας om. E. 16 τῶν ἄλλων] τῶν ἑλλήνων, altero superscripto, E. ἁπάντων om. E.

237, 3 εἰ δέ τι] Est resumtio coeptae p. 236, 12. orationis. Reisk. εἰ δή τι Opor. 5 οὕτω καὶ EN. 6 κέχρησαι] κέχρησο E. 8 τὸ κρατῆσαι] τῷ κρατῆσαι N. τὸ κρατῆσαι τῶν πραγμάτων] τὸ καὶ ὠφελῆσαι τοὺς ἀθηναίους E. Vid. schol. p. 684, 23. 11 μετέσχομεν ΘLN et Photius p. 433 a, 12. Legebatur μετέχομεν. 13 τάχ' ἂν ἡμῖν γε] τάχα γ' ἂν ἡμῖν γε L. σοῦ γε σχολῇ] σχολῇ γε σοῦ Photius. 14 γίγνεται] γίνεται E. μὴ τοὐμόν,

Digitized by Google

σὸν, Τεῦκρος ἔφη τινὶ, καὶ μὴ βούλου πάντα ἀκριβῶς ἐξετάζειν, μηδὲ τριῶν ὄντων εἰς ἅ τις ἂν βλέψειε, τῆς γνώμης, τῶν ἔργων, τῆς τύχης, ἀφεὶς τὼ δύο, τοῦ τρίτου λαμβάνου, καὶ ταῦτα καὶ τούτου τοῦ πλείστου μέρους μεθ' ἡμῶν ὄντος. εἰ γὰρ ἡμᾶς ἔδει ταῦτα προειδότας ἐξ ἀρχῆς ἐξεπίτηδες ὑπὲρ τῆς Ἑλλάδος ἡμᾶς αὐτοὺς ἐπιδοῦναι, οὐκ ἂν ὠκνήσαμεν οὐδὲ ἡττήθημεν τοῦ Κόδρου το-
238 σοῦτον, καὶ σύ γ' ἂν οἶμαι ταῦτα συνεβούλευσας. ἐπεὶ φέρε πρὸς φιλίου, πότερ' ἂν μᾶλλον ἐβουλήθης, μήτε τὰ πραχθέντα δι' ἡμῶν πεπρᾶχθαι τῇ πόλει μήτ' εἰς ἡμᾶς μηδένα τῶν πολιτῶν ἐξαμαρτεῖν — οὐκοῦν ἕτεροι καὶ εἰς ἡμᾶς καὶ εἰς ἐκείνους ἔμελλον — ἢ 'κείνων γ' ἕνεκα ὥστε (391)
πραχθῆναι, καὶ ταῦτ' εἰ δέοι συμβῆναι; ἐγὼ μὲν οἶμαι ταῦτα. οὐκοῦν ὅτ' ἀμφότερ' ἂν φαίης ἐθέλειν μᾶλλον ἢ μηδέτερα ὁμολογεῖς, καὶ τοῖς πεπολιτευμένοις ἡμῖν ἅπαντα ἃ προσήκει προσεῖναι καὶ μειζόνως τὰ πρὸς εὐδοξίαν τῇ πόλει τῆς αἰτίας εἶναι. πῶς οὖν οὐ δίκαιος ἦσθα μᾶλλον ἐπαινεῖν ἢ ψέγειν; εἰ γὰρ αὐτοῖς τοῖς ἡμαρτηκόσιν εἰς ἡμᾶς τὰ καλῶς βουλευθέντα καὶ πραχθέντα πλειονός ἐστι λόγου, καί τις ἂν οὐκ ἀλόγως ταῦτα ἐκείνοις παρείη, πῶς οὐχ ἡμᾶς γε δίκαιον ἀφεῖσθαι πάσης αἰτίας, οἷς τῶν μὲν ἐγκλημάτων οὐδ' ὁτιοῦν δή που μέτεστι, τῶν δὲ εἰς ἔπαινον ἡκόντων, ἂν τἀληθῆ λέγειν ἐθέλῃς, τὸ πλεῖστον; ἡμεῖς τοίνυν πόλλ' ἂν ἔχοντες ἡμᾶς αὐτοὺς σεμνῦναι παραλείπομεν. ἀλλ' ἵνα εἰδῇς ὅσον ἡμῖν ἐπιεικείας περίεστι καὶ ὅσον πανταχῇ τοῦ πλεονεκτεῖν ἐθέλειν ἀπέχομεν, ἔστω τὸ πᾶν κοινὸν, ἀφαίρει πάσας, εἰ βούλει, τὰς ἄνω προσθήκας, ἐπὶ τοῖς ἴσοις καταλυώμεθα — πάντως δ' οὐκ ἄπειροι συνθηκῶν ἡμεῖς — μήτε σὺ μέμνησο πρὸς ἡμᾶς

---

ἀλλὰ καὶ τὸ σὸν] Sophocles Aiac. v. 1313. τινὶ] Agamemnoni. 15 ἂν om. E. 16 τὼ] τὰ L, δύο L. Vulgo δύω. λαμβάνου ΘELN et Photius. λαμβάνω Iunt. λαμβάνειν Steph. Iebb. 17 προειδότας LN, Photius, Canterus, Iebb. προδότας Iunt.

238, 2 μήτ' LN Photius, Iebb. μήτις Iunt. 3 ἢ 'κείνων] Vulgo ἢ ἐκείνων. γ'] γε LN. 4 ἀμφότερ' ἂν φαίης L et Photius. Legebatur ἀμφότερα φαίης (φῇς N) ἂν (ἂν om. EN.). 6 μειζόνως] μείζονα aut μείζω. Reisk. 8 καί τις Reiskius. Vulgo καὶ τίς. 13 καταλυώμεθα] καταλυόμεθα LN. συνθηκῶν

περὶ συμφορῶν οὔθ᾽ ἡμεῖς πρὸς σὲ τούτῳ χρησόμεθα. ὡς (392) οὐκ ἔστι μέσον οὐδὲν, ἀλλ᾽ ἢ καὶ ἡμᾶς μετὰ σοῦ τούτοις ἑαλωκέναι δεῖ ἢ καὶ σὲ καὶ ἡμᾶς ἀθώους ἀφιέναι καὶ ἀποχρῆν ἅ τινες τῶν ἄλλων ἐξήμαρτον εἰς ἡμᾶς."

Ταῦτ᾽ εἰπόντας ἂν αὐτοὺς οἶμαι ῥᾳδίως πάλιν πορεύεσθαι παρὰ τοὺς πλείονας, εἰ δὴ δεῖ κἀκείνους μετὰ τῶν πλειόνων κεῖσθαι δοκεῖν ὥσπερ ἔγωγε οὐκ οἶμαι. ἐγὼ μὲν οὖν ἥδιστ᾽ ἂν ἀμφοτέρων ἀποψηφιζοίμην· εἰ δέ τις ἄλλως γιγνώσκει, θρασυκάρδιον ἄν τινα αὐτὸν φαῖεν οἱ ποιηταί. φέρε δὴ καὶ τὰ παραδείγματα αὐτοῦ σκεψώμεθα.

239 „Οὐκοῦν οἵ γε ἀγαθοὶ" φησὶν „ἡνίοχοι κατ᾽ ἀρχὰς μὲν οὐκ ἐκπίπτουσι τῶν ζευγῶν, ἐπειδὰν δὲ θεραπεύσωσι τοὺς ἵππους καὶ αὐτοὶ γένωνται ἀμείνους ἡνίοχοι, τότ᾽ ἐκπίπτουσι." καὶ ἔτ᾽ ἄνω που τῶν εἰς τὸν Περικλέα „Ὄνων γοῦν" φησὶν „ἐπιμελητὴς καὶ ἵππων καὶ βοῶν τοιοῦτος ὢν κακὸς ἂν ἐδόκει εἶναι, εἰ παραλαβὼν μὴ λακτίζοντας αὐτὸν μηδὲ κυρίττοντας μηδὲ δάκνοντας ἀπέδειξε ταῦτα ποιοῦντας δι᾽ ἀγριότητα." ἀλλ᾽ ὄνους μὲν ὦ τᾶν καὶ ἵππους καὶ βοῦς τοὺς αὐτοὺς ἑκάστους λέγεις, Ἀθηναίων δὲ τῶν αὐτῶν ἅπαντες οἶμαι προὔστησαν, οἷον δὴ λέγω, Σόλων καὶ Κλεισθένης καὶ Μιλτιάδης καὶ Περικλῆς καὶ ὅστις (393) ἕκαστος. ἀλλ᾽ ἡ μὲν πόλις μία καὶ ἡ προσηγορία, οἱ δ᾽ ἄνδρες ἄλλοι καὶ ἄλλοι παρὰ τοὺς χρόνους. τί οὖν θαυμαστὸν τοὺς μὲν πρᾳοτέροις καὶ ῥᾴοσι χρησαμένους τυχεῖν, τοὺς δ᾽ αὖ τραχυτέροις καὶ θυμοειδέσι μᾶλλον, ὥσπερ καὶ ἄλλα μυρία δή που μεταβάλλει κατὰ τοὺς χρόνους.

---

ἡμεῖς] συνθηκῶν ἡμεν Θ. 14 οὔθ᾽ ἡμεῖς] οὔθ᾽ ὑμεῖς L. 16 ἀποχρῆν] Aut ἀπόχρη leg. ut δεῖ modo praecessit, aut ἀποχρῆναι, ut regatur ab illo δεῖ. Reisk. 17 εἰ δὴ δεῖ N Iebb. εἰ δεῖ L. εἰ δὴ Iunt. χρὴ post πλειόνων addebat Canterus. 18 ὥσπερ] ὡς ὅπερ correctus L. 18 ἥδιστ᾽ L. Vulgo ἥδιστα. ἀποψηφιζοίμην correctus L: ἐπιψηφιζοίμην a pr. m. 19 γιγνώσκει] γινώσκει L.

239, 1 οὐκοῦν] οὔκουν L. 2 ζευγῶν] σκευῶν LN. ζευγῶν margo L. 3 ἔτ᾽ N. Vulgo ἔτι. Ὄνων] In Gorgia p. 516 a. 5 ἐπέδειξε] ἀπέδειξε, ut p. 240, 11. et 247, 12. v. p. 284, 5. Reisk. ἀπέδειξε ex Platone dedi pro vulgato ἐπέδειξε. ταῦτα] ἅπαντα ταῦτα Canterus. 6 οὐ τῶν ΘELN. Vulgo οὐδὲ τῶν. 9. 10 τοὺς μὲν — τοὺς δὲ Reiskius. Legebatur τοῖς μὲν — τοῖς δὲ.

οὔκουν οὐδὲ τοὺς ἐκ τῆς γῆς καρποὺς παραπλησίους καθ' ἕκαστον ἐνιαυτὸν κομιζόμεθα, οὔτε τὸ πλῆθος οὔτε τὴν ἀρετὴν λέγω. ἀλλ' ἔτους ἰσχὺς οὐκ ἔλαττον ἢ χώρας εἶναι δοκεῖ. ὥστ' εἰ τὸν ἔμπροσθεν χρόνον εὐκολώτεροι τὰς φύσεις ὄντες κατ' ἐκείνους ἤδη χαλεποὶ κατέχειν ἦσαν, οὐκ ἔξω τῆς ὅλης φύσεως τὸ πάθημ' ἂν εἴη, ὥσπερ γε καὶ προϊόντος οἶμαι τοῦ χρόνου τὸ φρόνημ' ἂν ἦσαν κατὰ συμφοράς. ἔτι τοίνυν οὐδ' ἡνίοχοι τοὺς ἵππους οὕτω διαφθείρουσιν, ἂν τοὺς μὲν παιδεύωσι, τοὺς δὲ μὴ δυνηθῶσιν αὐτῶν, ἀλλ' ἐὰν οὓς πρότερον χρηστοὺς καὶ ἀναμαρτήτους εἶχον, τούτους χείρους ἀποφήνωσι· Μιλτιάδης δὲ καὶ οἱ εἰς ἐκεῖνον οὐ τοὺς αὐτοὺς εἶχον διὰ τέλους, ἀλλ' οἱ μὲν ἐπεγίγνοντο δήπουθεν, οἱ δὲ ἀπεγίγνοντο, οἱ δὲ καὶ ἀπεφοίτων παρ' αὐτῶν. πῶς οὖν πρὸς τοὺς (394) ἡνιόχους εἰσὶ κρίνεσθαι δίκαιοι, ἢ πῶς ὡς τῶν αὐτῶν ἵππων μενόντων αὐτοῖς οὕτω δεῖ διδόναι τὸν λόγον; ὥσπερ ἂν εἴ τις τοὺς Μολιονίδας ἠξίου καὶ τῶν Διομή-
240 δους τοῦ Θρᾳκὸς οὕτως ἄρχειν, ὥσπερ ὧν εἶχον ἐξ ἀρχῆς. καὶ μὴν οἱ μὲν ἡνίοχοι καθ' αὑτοὺς ἕκαστοι τῶν ζευγῶν ἄρχουσι καὶ οὐδεὶς παραλυπεῖ, τὸ δ' αὐτὸ τοῦτο λέγω καὶ περὶ τῶν ἐπὶ τοῖς ὄνοις τε καὶ βουσίν· ὥστ' εἴ τι πλημμελοῖτο, βέβαιον τὴν αἰτίαν ἔχοιεν ἂν εἰκότως. ἀλλ' οὐ Περικλῆς γε καὶ Θεμιστοκλῆς, οὐδ' ἐκείνων τῶν ἀνδρῶν οὐδεὶς καθ' αὑτὸν Ἀθηναίων ἦρξεν, οὐδὲ τοῦ τι πράττειν ἐναντίον ἐγχειρήσαντος ἀπηλλαγμένος, ἀλλὰ καὶ ἔτε-

---

13 ὥστ' εἰ] ὥστε καὶ εἰς E. 15 οἶμαι om. E. κατὰ τὰς συμφοράς. fuissent, ratione spirituum, similes suis casibus, secundis an adversis. nam συμφοραὶ est vocabulum medium, seu anceps, et ad utramque sortem pertinens. Reisk. ἡνίοχοι] οἱ ἡνίοχοι L. 16 ἀλλ' ἐὰν L. Aberat ἐὰν. 17 χρηστοὺς καὶ ΘLN Opor. Aberat καὶ. 18 εἰς ἐκεῖνον] κατ' ἐκεῖνον E. ἐπεγίγνοντο] ἐπεγίνοντο L. ἀπεγίγνοντο — ἀπεφοίτων] ἀπογίγνεσθαι et ἀποφοιτᾶν differunt. illud est morientium, hoc vivorum, e magistri fide, tutela, societate discedentium et deficientium. Reisk. ἀπεγίγνοντο N. Vulgo ἀπεγίνοντο. 20 ὡς τῶν] καὶ τῶν N.

240, 2 τὸ δ' Θ. Vulgo τὸ δέ. 3 ἐπὶ LN. Legebatur ἐν. Si ἐν servatur, erit στρεφομένων subaudiendum; si ἐπὶ optas, adsciscendum erit tacite ταττομένων. Reisk. ὥστ'] ὥστε N. 5 αὐτὸν] αὑτῶν N et a pr. m. L.

ροι πολλοὶ δή που μετ' αὐτῶν ἔπραττον τὰ πολιτικὰ, οὔτε φύσεις τὰς αὐτὰς οὔτε γνώμας ἔχοντες, ὥστ' ἔτι μᾶλλον τούτοις ἢ 'κείνοις ἄξιον προστιθέναι τὰ ἁμαρτήματα. ἐγὼ μὲν γὰρ τοσούτῳ μᾶλλον ἂν φαίην ἐκείνοις, ὅσῳπερ εἰς τούτους ἦν τὰ ἁμαρτανόμενα. ὡς δ' ἁπλῶς εἰπεῖν ποῦ δίκαιον μόνους ἀπαιτεῖν εὐθύνας τοὺς οὐ μόνους τῶν πραγμάτων αἰτίους; οὔκουν τούς γ' ἡνιόχους αἰτιώμεθα τοὺς ἐξ ἀρχῆς, ἂν ἕτερος τοὺς αὐτοὺς ἵππους παραλαβὼν κακίους ἀποδείξῃ· ἀλλὰ καὶ ἡνίοχοι καὶ διδάσκαλοι μειζό- (395
νως εὐδοκιμοῦσιν, ὅταν τῶν αὐτῶν ἕτεροι κύριοι καθεστῶτες μὴ τῶν ἴσων ἄξιοι γένωνται. καὶ νὴ Δί' ἄν γε καὶ κατὰ τοὺς αὐτοὺς χρόνους [οἷον τῆς αὐτῆς ἡμέρας] ἕτερος παραλαβὼν τὸ ἅρμα ἀναβαίνῃ, οὐκέτι τοῦ παντὸς ὑπεύθυνος ὁ χρηστὸς ἡνίοχος οὐδ' ὁ ἔνδοξος, ἀλλ' ἐὰν καθάπαξ πρὸς αὐτὸν ἡ ἐπιμέλεια καταστῇ, οὕτω καὶ ταῦτα κρίνεται, τῶν δὲ ἑτέρου κακῶν οὐδεὶς κληρονομεῖ. ἀλλὰ καὶ τοῦτ' αὐτὸ φαῦλόν ἐστι κατηγόρημα, ὅτι τὸν βελτίω καὶ τὸν οὐ καθ' αὑτοὺς οὐκ εἴων χρῆσθαι τῇ τέχνῃ, ἀλλ' ὑπεσκέλιζον ὥσπερ οἱ τοὺς ἐν τοῖς δρόμοις. οὕτω τοίνυν καὶ περὶ τῆς ἐκείνων πολιτείας, ἕως ἂν μὴ δείξῃς ὅτι βασιλευόντων τῶν φιλοσόφων καὶ μόνων ἐφεστηκότων τοῖς πράγμασι ταῦθ' ἡμαρτήθη — λέγω τοῦ Μιλτιάδου, τοῦ Θεμιστοκλέους, τοῦ Περικλέους, τοῦ Κί-
241 μωνος — μηδαμῶς τήν γε φιλοσοφίαν αὐτὴν αἰτιῶ. ἀλλ' εἰ μὲν αὐτοὺς καθ' αὑτοὺς ἐλέγχειν οἷός τ' εἶ, χρῶ τούτῳ καὶ δείκνυ θἁμαρτήματα· εἰ δὲ μή, τῶν ὄνων μᾶλλον ἢ τῶν ἐπιστατῶν κατηγορεῖς. εἰ μὲν γὰρ οὐκ ἦν ἁμαρτήματα, πρὶν ἐκείνους Ἀθήνησι πολιτεύεσθαι, ἀλλὰ

7 ὥστ' ἔτι ΕLΝ. Legebatur ὥστέ τι. ἢ 'κείνοις] Vulgo ἢ ἐκείνοις. 11 καὶ ἡνίοχοι] καὶ πωλοδάμναι addit Photius p. 433 b, 1. 12 καθεστῶτες ΘΕLΝ et Photius. Legebatur καταστάντες. 13 Seclusi verba οἷον τῆς αὐτῆς ἡμέρας. ἀναβαίνῃ] ἀναβαίνει Ν. 14 οὐδ' ὁ ἔνδοξος] οὐδὲ ἔνδοξος Θ. 16 φαῦλον Ν. Legebatur φαύλων. τῶν φαύλων L. 18 δείξῃς] γρ. δόξῃς margo Ν. 19 μόνων L. Legebatur μόνον.

241, 1 μηδαμῶς] μὴ δαμῶς Ν. φιλοσοφίαν] πολιτείαν Reiskius. 2 δείκνυ θἁμαρτήματα] Vulgo δείκνυθ' ἁμαρτήματα. δείκνυ τὰ ἁμαρτήματα Ν. γρ. θἁμαρτήματα margo Ν. δείκνυ θ' ἁμαρτήματα] id est

ταῦτα πάντα ἀπὸ Μιλτιάδου καὶ Θεμιστοκλέους κἀκ' ἐκεί- (396) νων ἤρξατο, ἄλλος ἂν εἴη λόγος· οὐδ' εἴ τινες ἄλλοι κατὰ ταυτὸν ἐκείνοις ἐπολιτεύοντο εἴποιμι ἄν, ἀλλὰ δίδωμι πάντων ἐκείνους μόνους ὑπευθύνους εἶναι. εἰ δὲ εἰκὸς ἦν τι καὶ ἄλλο ἡμαρτῆσθαι πρότερον, τί ταῦτα τοὺς Λάκωνας αἰτιώμεθα; προσπαίζειν γὰρ ἔξεστι δή που σέ γε, ἐπεὶ καὶ αὐτὸ τοῦτο τὸ τῶν συμφορῶν ὅτι μὲν παλαιόν ἐστι καὶ ὥς σύ που φῂς ἀπὸ Θησέως ἀρξάμενον, ἴσως δὲ καὶ ἔτ' ἄνωθεν, καὶ οὐχ οὗτοι πρῶτοι προσέπταισαν ἐάσω. καίτοι ὁ Θησεὺς φυγών τε καὶ διαφθαρεὶς ἐν τῇ Σκύρῳ τελευτῶν οὐκ ἄτιμος ἔμεινε παρὰ τῷ θεῷ, ἀλλ' ἐπέταξεν Ἀθηναίοις μετενεγκεῖν αὐτοῦ τὰ ὀστᾶ, πολλοῖς ὕστερον χρόνοις, ὥς φασιν. ἀλλ' ὅμως ἐάσω ταῦτα. ἀλλ' οἴχεταί σοι διαφθαρεὶς ὁ λόγος περὶ αὐτῶν. οἷς γὰρ ἁπάντων ταυτὰ κατηγόρηκας, τούτοις ὃ δοκεῖς ἰσχυρὸν ἔχειν ἀνῄρηκας. διὰ τί; ὅτι Μιλτιάδου μὲν ἴσως ἂν εἴη τι τοῦτο κατηγόρημα, Θεμιστοκλέους δὲ οὐκ ἂν ἔτι· εἰ δέ τοι καὶ Μιλτιάδου καὶ Θεμιστοκλέους, ἀλλ' οὐ Κίμωνός γε· εἰ δὲ καὶ Μιλτιάδου καὶ Θεμιστοκλέους καὶ Κίμωνος, ἀλλ' οὐ δή τοι καὶ Περικλέους, ἀλλὰ τούτου καὶ πάντων ἥκιστα. (397) Θεμιστοκλῆς μὲν γὰρ αὐτοὺς παρὰ Μιλτιάδου παρέλαβε κρείττοντας, Κίμων δὲ παρὰ Μιλτιάδου καὶ Θεμιστοκλέους,

---

τὰ ἁμαρτήματα. Videtur haec senarii esse clausula. Reisk. 4 ταῦτα πάντα] πάντα ταῦτα L. κἀκ'] κατ' a pr. m. L. ἐκείνων] ἐκείνους E. 5 λόγος] ὁ λόγος L. κατὰ ταυτὸν] κατ' αὐτὸν Θ. 6 μόνους om. L. post ὑπευθύνους habet Θ, post εἶναι N. 7 τί ταῦτα τοὺς Λάκωνας αἰτιώμεθα;] Aristophanis Acharn. v. 514. σέ γε] γέ σε N apud Iebbium. 8 ἐστι] ἐστιν N. 9 ἔτ' N. Vulgo ἔτι. Fort. ἔτι μᾶλλον ἄνωθεν. Reisk. πρῶτοι] πρῶτα L. μόνοι E. παρὰ τῷ θεῷ] Apolline, qui oraculum dedit Atheniensibus, ex quo intellexerunt Scyron non potuisse ab ipsis capi, donec Thesei ossa e Scyro deportassent Athenas. Pausan. in Lacon. pag. 163. Cimon Miltiadis filius, acumine usus in coniiciendo, Thesei ossa adinvenit, et insula potitus est. Videatur Plutarchus in Theseo, ad finem. Iebb. τῷ θεῷ] τῇ θεῷ N. 14 εἴη τι] τι om. L. εἴη τι] Valeret fortisan aliquid haec criminatio. Reisk. δέ τοι Θ et Reiskius. Vulgo δέ τι. 16 οὐ δή τοι LN. Vulgo οὐ δή τι. οὐδέ τι E. Θεμιστοκλῆς μὲν] μὲν om. E.

Digitized by Google

*Περικλῆς δὲ παρὰ Μιλτιάδου καὶ Θεμιστοκλέους καὶ Κί-*
242 *μωνος. οὕτω πάντων ἥκιστα ὅ γε Περικλῆς ὑπεύθυνος ἦν, ὃν σὺ μάλιστα πάντων ᾐτιάσω καὶ τοῖς κακοῖς ἐπιμεληταῖς τῶν ὄνων τε καὶ βοῶν ἰδίᾳ τῶν ἄλλων εἴκασας.*

*Ἐνθυμηθῶμεν τοίνυν καὶ περὶ ὧν ἀρτίως ἐλέγομεν, τῆς πρὸς τὸν Διονύσιον αὐτοῦ Πλάτωνος ὁμιλίας. εἰ γὰρ αὕτη μία ἐστὶ καὶ ἀληθὴς καὶ δικαία καὶ ἀποχρῶσα μόνη πασῶν ἀπολογία καὶ παραίτησις ὑπὲρ Πλάτωνος, περὶ ὧν ὁ τύραννος ἐπλημμέλει, καὶ συνὼν ἐκείνῳ καὶ πάλιν καθ' αὑτὸν γενόμενος, ὅτι καὶ πρὶν ἰδεῖν Πλάτωνα καὶ τῶν ἐκείνου λόγων ἀκοῦσαι πολλὰ καὶ παντοῖα ἐδεδράκει, τί κωλύει καὶ ὑπὲρ ἐκείνων τὸ μὲν ἐξ ἴσου τὰ τοῦ δήμου τοῖς τῶν τυράννων εἶναι, μὴ λέγειν, ἀλλὰ καὶ τὰ πρὸ τῆς ἐκείνων πολιτείας ἐλάττω τῶν ὑπὸ τῶν τυράννων ἐξ ἀρχῆς ἡμαρτημένων εἶναι, καὶ τὰ παρ' αὐτὴν τὴν πολιτείαν μὴ τῆς ἴσης ἄξια μέμψεως, ὅσησπερ τὰ τοῖς τυράννοις, ἀφ' οὗ Πλάτωνα προσίεντο· αὐτὸ δὲ τοῦτ' ἐξεῖναι κοινὸν* (398) *εἰπεῖν, ὅτι καὶ πρὶν ἐκείνους ἐγχειρεῖν λέγειν, ἦν Ἀθήνησιν ἁμαρτήματα, εἰ δ' ἐλάττω τῶν Διονυσίου, οὐδὲ τὰ ὕστερον δή που τοῖς ἐκείνου παραπλήσια, ἀλλ' εἰς ὅσον εἰκὸς ἁμαρτεῖν ὄντας ἀνθρώπους. φέρε δὴ καὶ περὶ τῶν συμβεβηκότων αὐτῶν τοῖς ἀνδράσι σκεψώμεθα καὶ διέλθωμεν. οὐ γὰρ ἁπάντων ὁ δῆμος οὑτωσὶ κατεψηφίσατο, οὐδ' ἀπὸ κοινοῦ δόγματος ταῦτ' ἔπαθον, ἀρχὴν δὲ οὐδὲ ταὐτὰ πάντες. πόθεν; ἀλλὰ Θεμιστοκλῆς μὲν καὶ Κίμων ἐξωστρακίσθησαν. τοῦτο δ' ἦν οὐ μῖσος οὐδ' ἀλλοτρίωσις τοῦ δήμου πρὸς αὐτούς, ἀλλ' ἦν νόμος αὐτοῖς περὶ ταῦτα, ἔχων μὲν ὁπωσδήποτε — ἐῶ γὰρ εἰ μὴ σφόδρ' ἄν τις ἐπαινέσαι τὸν νόμον — τὸ δ' οὖν ἁμάρτημα οὐκ ἀπαραίτητον αὐτῶν, ἀλλ' ἔχον ὡς ἐν τούτοις εὐπρέπειαν, νόμῳ γάρ, ὥσπερ εἶπον, ἐγίγνετο. ἦν δ' οὗτος ὁ νόμος·*

---

242, 4 περὶ ὧν] ὑπὲρ ὧν N. 7 τῶν τυράννων οὐκ εἶναι, μὴ λέγειν. Reisk. 9 τῆς ἴσης LN, Canterus, Iebb. τοῖς ἴσοις Iunt. 10 τοῦτ'] τοῦτο N. 13 οὑτωσὶ] Id est ἁπλῶς. non omnes omnino condemnavit. Reisk. οὐδ' LN Opor. Legebatur οὐκ. 14 ταὐτὰ Reiskius. Vulgo ταῦτα. 17 ἔχον LN Canterus, Iebb. ἔχων Iunt. ὥσπερ] ὡς L. εἶπον LN et Photius p. 433 b,

Digitized by Google

ἐκόλουον τοὺς ὑπερέχοντας μεθιστάντες ἔτη δέκα, ἄλλο δ'
οὐδὲν ἔγκλημα προσῆν, οὐδ' ὡς ἐπ' ἐλέγχῳ πραγμάτων
ὀργή. καίτοι πῶς οὐ δεινόν, εἰ οὓς οὐδ' αὐτοὶ οἱ μεθι-
στάντες εἶχον αἰτιάσασθαι, τούτους αἰτιασόμεθ' ἡμεῖς (399)
διὰ τοὺς μεταστήσαντας; ὥσπερ οἱ βέβαιον μὲν οὐδ'
243 ὁτιοῦν ἐπιστάμενοι, ἀκοὴν δέ τινα κατηγοροῦντες, καὶ ταῦτ'
οὐδ' αὐτὴν σαφῆ τὴν ἀκοήν. ἀλλ' ἐκεῖσε ἐπάνειμι, ὅτι
ὑπὲρ τοῦ τὰ φρονήματα ἐπισχεῖν τοῦτο τὸ εἶδος τῆς φυ-
γῆς ἐνόμισαν. οὐκοῦν τούτῳ μεγίστῳ δῆλόν ἐστιν ὅσον κο-
λακείας οἱ ἄνδρες ἀπεῖχον, οὕς γε ὅπως ὑφεῖντο τοῦ φρο-
νήματος, διὰ τοῦτο μεθίστασαν, οὐδενὸς ἄλλου τῶν πάν-
των ἕνεκα. ὥστε τοῦτό γε οὐ κατ' αὐτῶν, ἀλλ' ὑπὲρ αὐ-
τῶν ἔλαθες εἰρηκώς, ὡς δεινὸς σὺ τηρεῖν τὰ λεγόμενα καὶ
τοὺς ἄλλους ἐλέγχειν. δοκοῦσι γάρ μοι τὰς συμφορὰς ἐν-
θυμούμενοι τὰς ἐπὶ τῶν Πεισιστρατιδῶν γενομένας ἑαυ-
τοῖς μηδένα βούλεσθαι μεῖζον ἐᾶν τῶν πολλῶν φρονεῖν,
ἀλλ' ἐξ ἴσου εἰς δύναμιν εἶναι. δίκαια ἄρα ἐποίουν ἐλαύ-
νοντες Κίμωνα καὶ Θεμιστοκλέα; οὐ λέγω ταῦτα. ἀλλ'
οὐδ' ἀναίσχυντά γε παντελῶς, ἀλλὰ καὶ αὐτοῖς ἔχοντα
παραίτησιν κἀκείνοις οὐκ ἀσχήμονα τὴν συμφοράν. εἰ δ'
οὖν καὶ τοῖς δεδρακόσιν οὐκ ἀποχρῶσα ἡ πρόφασις, τοῖς
γε πεπονθόσιν ἐξαρκεῖ τοῦτ' αὐτὸ δή που μὴ φαύλοις
νομίζεσθαι, ἢ μείζω γ' ἡμεῖς τῶν ἐκβαλόντων ἀδικήσαι- (400)
μεν ἄν. εἰ γὰρ ἐκεῖνοι μὲν τοῦτό γ' αὐτοῖς συνεχώρησαν
καὶ παρεῖσαν τὸ μηδ' ὁτιοῦν ἀδικεῖν τὴν πόλιν, ἡμεῖς δὲ
καὶ τοῦτ' ἀφαιρησόμεθα καὶ τῇ δυστυχίᾳ τὴν βλασφη-
μίαν προσθήσομεν, πῶς οὐ χαλεπώτεροι τῆς φυγῆς αὐτοῖς

---

14. Legebatur εἴπομεν. 18 ἐκόλουον LN Opor. Photius, Iebb. ἐκέλευον Iunt. ἐκώλυον Photii codex Marcianus. οὐδ' ὡς] οὐδὲ ὡς ΘLN. ἐπ'] ἐπὶ L. 19 ὀργή] ὀργῇ N. εἰ οὓς] εἰς οὓς N apud Iebbium. 20 οὐδ' ὁτιοῦν] οὐδὲν E.

243, 2 ἐνόμισαν] ἐνόμισεν N. 3 οὕς γε cum EN et Photio Reiskius. Legebatur ὥς γε. ὑφεῖντο] γρ. ὑφεῖεν margo L. 4 ἕνεκα] εἵνεκα N. οὐ κατ' αὐτῶν] οὐκ αὐτῶν E. 7 ἐξ ἴσου] πάντας addunt Canterus et Reiskius. 10 ἐξαρκεῖ ELN Opor. Iebb. ἐξαρκεῖν Iunt. φαύλοις] φαῦλον Θ. φαῦλα E. φαύλως N. φαύλους correctus L, qui prius φαύλοις habuisse videtur. 11 ἐκβαλόντων] ἐκβαλλόντων N. 13 αὐτοῖς] αὐτῆς N.

Digitized by Google

*ἐσόμεθα, ἢ πῶς οὐ μείζω τῶν ἐξ ἀρχῆς εἰς αὐτοὺς ἁμαρτανόντων ἀδικήσομεν; οὕτω τοίνυν καὶ διὰ ταῦτα μεταστήσαντες Κίμωνα μὲν καὶ οὕτω κατήγαγον ἐντὸς τοῦ χρόνου τοῦ νενομισμένου, Θεμιστοκλέα δὲ ἐκωλύθησαν ἐμοὶ δοκεῖν ὑπὸ Λακεδαιμονίων. συμβάντων γὰρ τῶν περὶ τὸν Παυσανίαν, ἅμα μὲν εἰς ἀθυμίαν ἐμπεσόντες καὶ βουλόμενοι συνεπισπᾶσθαι τοὺς Ἀθηναίους, ἵνα δὴ μὴ μόνοι τῆς αἰσχύνης συναπολαύοιεν, ἅμα δὲ εἰ καταλείποιτ' ἐκεῖνος Ἀθήνησι, δεδοικότες μὴ πρὸς ἅπαντ' ἔχοιεν δύσμαχον ἀνταγωνιστὴν, καὶ πρὸς τούτοις ὧν περὶ τὸν τειχισμὸν ἐξηπάτηντο μνησικακοῦντες, ἀπόντος κατηγοροῦντες, διώκειν μετὰ σφῶν ἐκέλευον, τεκμηρίῳ τῇ Παυσανίου*
244 *μοχθηρίᾳ κατ' ἐκείνου χρώμενοι. Θεμιστοκλῆς δὲ τῶν μὲν* (401)
*τὴν ἐπιβουλὴν, τῶν δὲ τὴν προπέτειαν ἐφόδιον λαβὼν, σοφισάμενος ὥσπερ εἰώθει τὸν βασιλέα, τῆς καθόδου μὲν ἀπεστερήθη, αὐτῷ δὲ ἀρχῶν ἔδειξε πρὸς ἅπασαν τύχην.*

*Καὶ τὰ μὲν δὴ Θεμιστοκλέους καὶ Κίμωνος ταῦτα. Περικλέα δὲ καὶ Μιλτιάδην ὁ μὲν δῆμος οὐδὲν οὔτε μεῖζον οὔτ' ἔλαττον ἔδρασε κακὸν, δικασταὶ δ' ἑκατέρῳ καθήμενοι χρήμασιν ἐζημίωσαν πολλοστὸν δή που μέρος ὄντες τῶν πάντων Ἀθηναίων. πάλιν τοίνυν καὶ τούτων οὕτω συμβάντων Περικλέα μὲν ὁ δῆμος ἅπας οὐδ' ὁτιοῦν ἧττον στρατηγὸν εἵλοντο, καὶ πάντ' ἐπέτρεψαν, ὡς ὁ αὐτὸς μάρτυς δηλοῖ ὅνπερ ἀρτίως περὶ αὐτοῦ παρειχόμεθα· Μιλτιάδης δ' ἔφθη τελευτήσας, οὐ τῶν δικαστῶν θάνατον καταγνόντων αὐτοῦ, οὐδ' ὡς σὺ φῂς κἂν εἰς τὸ βάραθρον ἐμπεσὼν, εἰ μὴ διὰ τὸν πρύτανιν, ἀλλὰ τοῦ τραύματος αὐτῷ σφακελίσαντος. καὶ τούτων πολλοὶ, μᾶλλον δ' ἅπαντες μάρτυρες. δῆλον τοίνυν ἐστὶν ἐξ ὧν τῷ Περικλεῖ*

---

16 *τὸν* om. N. 17 *συναπολαύοιεν*] *συν* expunctum in N. 18 *καταλείποιτ'* N. Legebatur *καταλίποιτ'*. *δεδοικότες*] *δεδοικότος* a pr. m. L. 19 *τὸν τειχισμὸν*] *τῶν τειχισμῶν* N et, altera lectione superscripta, E.

244, 1 *σοφισάμενος*] *κατασοφισάμενος*. v. tamen p. 291, 3. Reisk. 3 *μὲν δὴ* ΘELN Opor. Aberat *δὴ*. *ταῦτα*] *τοιαῦτα* E. 4 *οὔτ'*] *οὔτε* N. 6 *καὶ τούτων*] *καὶ* om. N. *οὕτω* om. L. 7 *πάντ'*] *πάντα* N. *ὁ αὐτὸς* Reiskius. Libri *αὐτὸς ὁ*. 8 *δικαστῶν*] *δυναστῶν* E. 9 *ὡς σὺ φῂς*] In Gorgia p.

διηλλάγησαν καὶ τὴν πόλιν καθάπαξ ἐπέτρεψαν μετὰ τὴν τῆς κλοπῆς, ὡς σὺ φῄς, καταδίκην, ὅτι κἂν πρὸς τὸν (402) Μιλτιάδην αὐτὸ τοῦτ᾽ ἐποίησαν, εἰ μὴ τὰ τῆς τύχης ἐκώλυσεν. ἐν οἷς τοίνυν καιροῖς τοῦ Περικλέους κατεψηφίσαντο οἱ καταψηφισάμενοι σκέψαι, ἐπειδὴ καὶ ἔφης ὅτι ἐπὶ τελευτῇ τοῦ βίου τοῦ Περικλέους κατέγνωσαν κλοπήν. ἐκεῖνος γὰρ ἕως μὲν εἰρήνην ἡ πόλις ἦγεν, οὐδεμίαν οὔτε μείζω οὔτ᾽ ἐλάττω παρ᾽ αὐτοῖς αἰτίαν ἔσχεν, ἀλλ᾽ ἐξ ἴσου τοῖς θεοῖς ἐθαυμάζετο· καὶ ἔτι πρότερον στρατιὰς πολλὰς ἐξαγαγὼν Ἀθηναίων ἐπὶ τοὺς οὐκ ἐθέλοντας τοῖς δικαίοις ἐμμένειν, οὐκ ἄμεμπτος μόνον, ἀλλὰ καὶ πολλῷ τινι πρῶτος ἦν. ἐπεὶ δ᾽ ἅμα τῆς τε χώρας ἠναγκάζοντο στέρεσθαι καὶ ὁ λοιμὸς ἅπαντα φθείρων ἐπέκειτο καὶ κακῶν ἀνάπαυσις οὐκ ἦν, οὕτω δὴ τῶν συμφορῶν ἡττηθέντες ἐτραχύνθησαν πρὸς αὐτόν. καί μοι τοῦ παραδείγματος ἐνταῦθ᾽ ἀναμνήσθητι τοῦ τῶν ἡνιόχων. τάχ᾽ ἂν γὰρ ἁλοίης τοῖς ἅρμασι τοῖς σαυτοῦ καὶ οὐ τοῖς πτεροῖς. ὁ γοῦν Νέστωρ ἱππικώτατος ἦν, ὡς λέγεται, τῶν ἐφ᾽ αὑτοῦ. καὶ Ὅμηρος ἱππότην αὐτὸν μετ᾽ ὀλίγων ἐν τοῖς ἔπεσι καλεῖ. ὥστε κἀν τοῖς ἄθλοις τοῖς ἐπὶ Πατρόκλῳ τῷ Ἀντιλόχῳ (403) μέλλοντι τὸ ἅρμα καθιέναι προσελθών τε καὶ ὑπειπὼν ὅτι αὐτὸν ὁ Ζεύς τε καὶ ὁ Ποσειδῶν πᾶσαν διδάξειαν τὴν ἱππικὴν εὐθὺς ἐκ παιδός, καὶ οὐ πάνυ τι δέον αὐτὸν διδάσκειν ὅμως ὑποτίθεται καὶ παραδείκνυσιν αὐτῷ τινὰ τῶν εἰς τὸν δρόμον καὶ ὅπως διαθήσεται τὸν ἀγῶνα. τοσοῦτον αὐτῷ περιῆν τῆς ἐπιστήμης. οὗτος μέντοι φυγῆς ποτε γιγνομένης τῶν Ἀχαιῶν ἔμεινε μόνος,

---

516 d. 14 καταψηφισάμενοι] καταψηφισμένοι E. 15 εἰρήνην ἡ πόλις] ἡ πόλις εἰρήνην N. 16 οὔτ᾽] οὔτε Θ. 17 ἐξαγαγὼν ων ἀθηναίων ἐπὶ τοὺς LN et Photius p. 433 b, 39. ἐξαγαγὼν ἀθηναίους ἐπὶ τοὺς Θ. ἐξαγαγὼν ἀθηναίους ὢν, ἐπὶ τοὺς Iunt. ἐξαγαγὼν καὶ Ἀθηναίους (Ἀθηναίοις typothetae culpa Iebb.) καὶ Ἀθηναίων ἐπὶ τοὺς Steph. Iebb. ἐξαγαγὼν Ἀθηναίους τοὺς E. 18 τινι] τινος Θ.

245, 3 ἐνταῦθ᾽] ἐνταῦθα LN. 3 τάχ᾽ ἂν γὰρ] τάχα γὰρ ἂν L. 4 ὁ om. E. 5 ὀλίγων] ὀλίγον L. ἔπεσι] ἅπασι E. κἀν τοῖς ἄθλοις] Iliad. ψ, 307. 7 ὁ Ζεὺς] ὁ om. L. διδάξειαν] διδάξαι E. 10 ἔμεινε] ἔμενε L. οὗτος Θ. Legeba-

οὔ τι ἑκών, ἀλλ' ἵππος ἐπείρετο, τὸν βάλεν ἰῷ
δῖος Ἀλέξανδρος, Ἑλένης πόσις ἠϋκόμοιο,
ἄκρην κὰκ κορυφήν, ὅθι τε πρῶται τρίχες ἵππων
κρανίῳ ἐμπεφύασι, μάλιστα δὲ καίριόν ἐστιν.
ἀλγήσας δ' ἀνέπαλτο, βέλος δ' εἰς ἐγκέφαλον δῦ,
σὺν δ' ἵππους ἐτάραξε κυλινδόμενος περὶ χαλκῷ.

καὶ οὔθ' ὁ ἵππος ἔτι ἠδύνατο ὑπὸ τοῦ κακοῦ καὶ τοῦ τραύματος πείθεσθαι, πάντα τὸν ἔμπροσθεν χρόνον παρέχων ἑαυτὸν εὐπειθῆ οὔθ' ὁ Νέστωρ εἶχεν ὅ τι χρήσαιτο μὴ ὅτι ἐκείνῳ, ἀλλ' οὐδὲ τοῖς ἄλλοις ἵπποις τεταραγμένοις ὑπὸ τοῦ πάθους. ἀλλ' οὐδ' ἀπολῦσαι τὸν ῥυτῆρα ἐν τῷ θορύβῳ ῥᾳδίως ἠδύνατο, ἀλλ' ὥσπερ ἐπὶ χαλκοῦ ζεύ- (404
γους εἱστήκει μένων, ὅσα μὴ ἀπῆν τό γε ἀτρεμεῖν. οὕτως ἠπόρησεν ὑπὸ τοῦ καιροῦ καὶ τῆς συμφορᾶς, ἄριστος ὢν τά γε τῆς τέχνης. τὸν αὐτὸν δὴ τρόπον οἶμαι καὶ Περικλῆς, ἕως μὲν οὐδὲν ἀνήκεστον ἦν, κατεῖχε τοὺς ἵππους, καὶ μάλα ῥᾳδίως ἤκουον αὐτοῦ καὶ τοῦ Νέστορος οὐδὲν χεῖρω τὴν φωνὴν ἐνόμιζον, καίτοι πολλά γε καὶ παντοῖα
246 ἐχρήσατο αὐτοῖς καὶ εἰρήνης καὶ πολέμων ἐχόμενα. ἐπεὶ δ' ὅ τε χιλὸς αὐτοῖς ἔξω διεφθείρετο καὶ οἶκοι τε πονήρως ἐπεπράγεσαν καὶ οὐδ' ἀναστραφῆναι περιῆν, ἀλλ' ἐνέκειντο αἱ ταλαιπωρίαι δειναὶ καὶ συνεχεῖς, καὶ τοῦτο μὲν ἡ κεφαλὴ καὶ τὰ ἐντὸς ἐκάετο, τοῦτο δ' οἱ νεκροὶ πολλοὶ νύκτα καὶ ἡμέραν ἑωρῶντο, πάντα δ' ἦν μεστὰ κυλινδομέ-

---

tur οὗτοι. Locus Homericus est Iliad. θ, 81. 11 βάλεν] βάλ' N. ὅθι τε] τε om. L. ὅθιται E. πρῶται E cum Homero. Legebatur πρῶτα. 12 ἐμπεφύασι] ἐμπεφύκασι L. 13 οὔθ' N. Vulgo οὔτε. 14 ἠδύνατο] Vulgo ἐδύνατο. κακοῦ] χαλκοῦ EN. 15 εὐπειθῆ LN Opor. Iebb. ἐπείθη Iunt. ἀλλ' οὐδὲ — πάθους om. E. 17 ἠδύνατο] Vulgo ἐδύνατο. ὅσα μὴ ἀπῆν τὸ ἀτρεμεῖν] Excepto quod tranquillitas (animi et corporis) aberat, h. e. praeterquam quod Nestorem quiescere non sinebat illud tempus, sed vehementer et animum eius agitabat, et corpus quatiebat magnitudo periculi, in quod inciderat. Reisk. ἀπῆν libri omnes: ἐπῆν Steph.

246, 2 χιλὸς] Superscr. ὁ σῖτος in L. τε om. L. 3 ἐνέκειντο N et Canterus. Legebatur ἔκειντο. Recte dat codex ἐνέκειντο. V. p. 245, 1. Reisk. 4 ἐκάετο] Vulgo ἐκαίετο. μεστὰ κυλινδομένων ΘN. μετακυλινδομένων L. Vulgo μεστὰ κυλινδουμέ-

5 νων, καὶ πιπτόντων καὶ ἀπορουμένων, ἐλπίδος δ᾽ οὐδ᾽
ὁτιοῦν ἐσώζετο χρηστῆς, οὕτως ἤδη πανταχόθεν κατα-
κλεισθέντες καὶ κρατηθέντες ὑπὸ τῆς ἀηθείας καὶ τῆς
ὑπερβολῆς τῶν παρόντων κακῶν ἀπεσείσαντο τὸν ἡνίοχον.
ἀποσεισάμενοι δὲ οὕτως εὖ καὶ καλῶς ἤχθησαν ὑπ᾽ αὐτοῦ
τὸν ἄνω χρόνον ὥστ᾽ ἔγνωσάν τε ὃ ἔδρασαν καὶ μετέγνω- (405)
σαν καὶ ὑποκύψαντες ἐξ ἀρχῆς παρεῖσαν ἄρχειν καὶ ἄγειν
ὅποι βούλοιτο ἑαυτούς. οὕτω τὰ μὲν τῆς ἱππικῆς οὐκ
10 οἶδα, τοὺς δὲ λόγους οὐ πολλῷ τινι χείρων ἦν τοῦ Νέστο-
ρος. ὥστ᾽ εἴ σοι θαυμαστὸν φαίνεται ὅτι ἐπὶ τελευτῇ κα-
τεψηφίσαντο αὐτοῦ, πρῶτον μὲν αὐτὸ τοῦτο τὸ τοῦ ἡνιόχου
παράδειγμα ἀφίησι τῆς αἰτίας αὐτόν. ὥστ᾽ ἐγγυτέρω τῆς
τελευτῆς αὐτοῦ γίγνεται τοῦ Περικλέους, καὶ πρός γε τῇ
τελευτῇ τιμήσαντες αὐτὸν, οὐκ ἀτιμάσαντες φαίνονται.
ἀλλὰ μὴν ὅτε καὶ τὸν ἔμπροσθεν χρόνον εὐδοκίμει πόλλ᾽
ἑξῆς ἔτη καὶ μετὰ τὴν καταδίκην μέγιστος πάλιν ἦν τῶν
15 πολιτῶν, πῶς οὐκ ἀμφοτέρων ἕνεκα ζηλωτός ἐστι, καὶ
τῆς ἀρχῆς καὶ τοῦ τέλους; οὐ γὰρ τὸ προσκροῦσαι τοῖς
ἔμπροσθεν ἐπεσκότησεν, ἀλλὰ τὸ τιμᾶσθαι μετὰ τοῦτο
πᾶσαν παρεγράψατο τὴν συμφοράν. οὐ γὰρ τὸ μέσον κύ-
ριον ἀμφοτέρων ἐστὶ τῶν καιρῶν, ἀλλὰ κρατεῖ τὸ συναμ-
φότερον τοῦ μέσου. εἴτε γὰρ τοῖς πρώτοις δεῖ διδόναι τὴν
ψῆφον, ἐτιμᾶτ᾽ ἐξ ἀρχῆς, εἴτε τοῖς ὕστερον, οὐκ ἐν οἷς
κατέγνωσαν ἔστησαν, ἀλλὰ προσεῖχον πάλιν ὡς αὐτῶν κρείτ-
17 τονι. καὶ μὴν οὐχ ὅσον δύο ἀνθ᾽ ἑνός ἐστιν, ἀλλ᾽ ὅτι καὶ (406)
τὸ πλῆθος ἑκάστου τοῦ χρόνου οὐκ ἴσον οὐδ᾽ ἐγγὺς, ἀλλὰ

---

νων. 5 καὶ ἀπορουμένων LN. Aberat καί. 6 τῆς ὑπερβολῆς] τῆς deletum in N. 7 Constructio haec est: οὕτως εὖ καὶ καλῶς ἤχθησαν ὑπ᾽ αὐτοῦ τὸν ἄνω χρόνον, ὥστε ἔγνωσάν τε ὃ ἔδρασαν ἀποσεισάμενοι. Reisk. αὐτοῦ] αὐτὸν ΘN. 8 παρεῖσαν] παρῆσαν N. 9 ὅποι] ὅπῃ N. ἑαυτούς EL et Photius. Legebatur αὐτούς. 11 ὥστ᾽] ἥτις Canterus. 12 αὐτοῦ] αὐτό. scil. τὸ καταψηφίσασθαι τοῦ Περικλέους. et quod hoc (scil. condemnatio Periclis) contigerit prope Periclis vitae finem. nam ὥστε hic significat idem atque καὶ ὅτι. Reisk. γίγνεται] Vulgo γίνεται. 13 ἀτιμάσαντες LN Iebb. ἀτιμήσαντες Iunt. 16 ἐπεσκότησεν] ἐπεσκότισεν N. μετὰ τοῦτο] διατοῦτο N. παρεγράψατο] συνεκρύψατο L. γρ. διεγράψατο margo L. Sic est in N. 17 ἐστὶ om. E. συναμφότερον] συμφέρον Photii codex Marcianus.

καὶ τὸ τῆς εὐδοξίας θαυμαστὸν ὅσον κρατεῖ. ὥστε καὶ τὸ μέσον τοῦ χρόνου τοῦ παντὸς οὐκ εἰς συμφορὰν ἔρχεται, ἀλλ' ἐπὶ λαμπρᾶς τῆς τιμῆς ἐστιν αὐτῷ. τὸ μὲν γὰρ ἡμέρας ἀτύχημα ἐγένετο, τὸ δὲ πρωτεῖον ἀναμφισβήτητον ἦν κατὰ παντὸς τοῦ χρόνου. ὥστ' εἰ καὶ τὴν γνώμην ἀφέντας τὴν τύχην ἐξετάζειν δεῖ, τοσοῦτον τῆς ἀγαθῆς τύχης αὐτῷ περίεστι. καὶ μὴν τὸ μὲν ὀργῇ συνέβη, τὸ δ' ἐκ τῆς δικαιοτάτης κρίσεως ὑπῆρχεν αὐτῷ, καὶ τὸ μὲν ἐξ ὀλίγων, τὸ δ' ἐξ ἁπάντων ὁμοίως. πῶς οὖν ταῦτ' ἐκείνοις ἴσα; καὶ μὴν οὐδὲ τοὺς λαχόντας ἅπαντας οἴεσθαι χρὴ καταγνῶναι τὴν γραφὴν αὐτοῦ, ἀλλ' εἶναί τινας, οἳ καὶ τῷ Περικλεῖ καλῶς ποιοῦντες ἔθεντο. οὐκοῦν τούτους γε βελτίους τε καὶ βελτίστους ἦν πεποιηκώς. οὕτω καὶ τοὺς πολλούς, ὡς ἔοικε, καὶ τοὺς ὀλίγους καλῶς ηὖχει, ὥστ' εἰ μὲν τοῖς πολλοῖς δεῖ τίθεσθαι μάρτυσιν, ὁ δῆμος ὁ τιμῶν αὐτὸν ἦν, εἰ δὲ τοῖς βελτίστοις, ἀφείλη τό γε τούτων μέρος. εἰ δὲ μὴ πάντας ἐφεξῆς ἐπαίδευσε μηδὲ πάντας (40 ὁμοίους ἀπέδειξεν, ἀλλ' εἰσὶν οἳ καὶ ἐξέφυγον τὴν ἐκείνου βούλησίν τε καὶ δύναμιν, τί θαυμαστόν, ἢ πῶς ἂν τις νεμεσῴη δικαίως; οὔτοι πάντας γε οὐδ' ὁ Σωκράτης ἐπαίδευσε τοὺς συγγενομένους αὐτῷ, ἀλλὰ κατηγοροῦσι μὲν Κριτίου τοῦ Καλλαίσχρου, κατηγοροῦσι δὲ Ἀλκιβιάδου τοῦ Κλεινίου τῇ τε πόλει τὰ αἴσχιστα βουλεύσασθαι καὶ τὸν ἄλλον βίον ἥκιστα βιῶναι κατὰ Σωκράτη. ἆρ' οὖν τούτου γε ἕνεκα ἠδίκει Σωκράτης, ἢ διὰ τὴν ἐκείνου κακίαν κακὸς αὐτὸς ἦν; ἐγὼ μὲν οὐκ οἶμαι. ἀλλ' ἠδίκουν ἐκεῖνοι

---

247, 1 καὶ τὸ τῆς N et Opor. Aberat τὸ. 2 τοῦ χρόνου τὸ μέσον N. 4 ἐξετάζειν τὴν τύχην LN. 7 ἅπαντας om. E. 8 εἶναι ΘELN et Photius. Legebatur οἶμαι. 10 ηὖχει] Fort. ἀγηόχει, rexerat, ab ἄγειν. Reisk. 12 μηδὲ πάντας] μὴ δὲ μὴ πάντας N. 13 τί θαυμαστὸν ΘELN. Legabatur τί δὴ θαυμαστόν. οὗτοι] οὕτω ΘEN. 14 οὐδ' ὁ] οὐδὲ N. 15 καλλαίσχρου ΘL. Scribebatur Καλαίσχρου. Κλεινίου] κλινίου L. τῇ τε πόλει τὰ] τήν τε πόλιν τὰ E. 16 βιῶναι κατὰ Reiskius. Legebatur βιῶναι ἢ κατά. Σωκράτη] Vulgo Σωκράτην. 17 ἐκείνου] ἐκείνων tacito edidit Iebbius, haud dubie duce N, in quo non

υ ου

satis clare scriptum ἐκείνῳ vel ἐκείνῳ.

μὴ παρέχοντες αὐτοὺς ὁμοίους Σωκράτει μηδὲ τοῖς ἐκείνου πειθόμενοι λόγοις. εἰ μὲν γὰρ ἐν οἷς ἐπείθοντο ἡμάρτανον, Σωκράτους τὸ ἔγκλημα, εἰ δ' ἐν οἷς ἠπείθουν, ἐκείνων. σὺ τοίνυν δι' ὧν αὐτοὺς φῂς οὐκ ἐθέλειν πείθεσθαι Περικλεῖ, διὰ τούτων ἀξιοῖς ἐλέγχειν Περικλέα. καὶ τίς ἂν μεῖζον ὑπὲρ Μιλτιάδου καὶ Θεμιστοκλέους καὶ Περικλέους ἀπολογήσαιτο ἢ ὅτι πειθόμενοι μὲν ἐκείνοις Ἀθηναῖοι τὰ βέλτιστα ἔπραττον, ὅτε δὲ οὐκ ἤθελον τοῦτο ποιεῖν, τηνικαῦτα ἐξήμαρτον; οὕτως ἐκεῖνοι τὰ βέλτιστα (408) ἔπειθον, Ἀθηναῖοί τε ἀεὶ τὰ βέλτιστα ἂν ἔπραττον, εἰ διὰ τέλους ἐκείνοις ἐπείθοντο. καίτοι Σωκράτει μὲν οἱ βουλόμενοι χρῆσθαι συνῆσαν ὁσημέραι, Περικλεῖ δὲ καὶ τοῖς ἄλλοις ῥήτορσι τρεῖς ἡμέρας ἑκάστου μηνὸς συνῆσαν Ἀθηναῖοι ὡς ἔπος εἰπεῖν δημοσίᾳ. καὶ μὴν ὅτι γε ῥᾷον καὶ δύο καὶ τρεῖς ἢ τοσούτους ὁμοῦ κατέχειν καὶ νέους γ' ἔτι παιδεύειν ὁτιοῦν ἢ προήκοντας καὶ πᾶσαν ἐφεξῆς ἡλικίαν, τίς οὐκ οἶδε τῶν πάντων; ἔτι δὲ Σωκράτης μὲν οὐδὲν ὀχληρὸν δή που τοῖς ὁμιλοῦσιν αὐτῷ προσέταττεν ἀλλ' ἢ τοσοῦτον ὅσον σωφρονεῖν, Θεμιστοκλῆς δὲ καὶ Περικλῆς καὶ Μιλτιάδης καὶ Κίμων καὶ τῆς πόλεως ἀπεῖναι καὶ τοῖς σώμασι κινδυνεύειν, καὶ πολλὰ δὴ καὶ ταλαιπωρίαν ἔχοντα ἐπέταττον· ἐν οἷς οὐκ εἰ μὴ καθάπαξ διεγένοντο θαυμαστόν ἐστιν, ἀλλ' εἰ τοσοῦτον διήρκεσαν. εἶτα Σωκράτη ἀφεὶς τῆς ἐπ' ἐκείνοις αἰτίας, τούτους ἀφ' ὧν ἥμαρτόν τινες ἐξετάζεις; καὶ μὴν τὰ μὲν ἄλλ' ὁποῖ' ἄττ' ἀπέβη τῶν ἀνδρῶν ἐκείνων, λέγω Κριτίου καὶ Ἀλκιβιάδου, καὶ ὁπόσων τινῶν αἴτιοι πραγμάτων καὶ τῇ πόλει καὶ τοῖς (409) ἄλλοις Ἕλλησι κατέστησαν καὶ ποίαν τινὰ τὴν παιδείαν

---

18 αὐτοὺς] Scribebatur ἑαυτούς. αὐτοὺς LN.

248, 1 ἠπείθουν] ἠπείθου N apud Iebbium. δι' ὧν LN Opor. Iebb. οὓς Θ Iunt. αὐτοὺς EL Opor. Iebb. αὐτός, superscripto αὐτοὺς, N. αὐτὸς Θ Iunt. 2 μεῖζον] μείζω E. 3 Περικλέους] καὶ Κίμωνος add. Canterus. 6 χρῆσθαι] χρήσασθαι N. 7 τρεῖς ἡμέρας] τρεῖς ἡμέραις N. ὅτι γε N. Legebatur ὅτι καί. 8 γ' ἔτι] γέ τοι E. ἢ προήκοντας] ἢ προσήκοντας N. 9 ἡλικίαν correctus L: a pr. m. πολιτείαν. 13 Σωκράτη] Vulgo Σωκράτην. 15 ὁποῖα ἄττ' ΘN. ἀπέβη] ἐπέβη N. ὁπόσων τινῶν αἴτιοι LN. Vulgo ὁπόσων αἴτιοι τινῶν.



Digitized by Google

ἐπεδείξαντο τὴν ἑαυτῶν οἱ συγγραφεῖς λέγουσιν· ἀλλ' εἰ τοῦτο δοκεῖ Πλάτων ἰσχυρόν τι λέγειν τὸ εἰς αὐτὸν Μιλτιάδην ἐξαμαρτεῖν Ἀθηναίων τινάς, καὶ Κριτίας αὖ τῷ Σωκράτει ζημίαν ἐπέθηκε, καὶ ταύτην οὐ φαύλην, ἀλλ' ἣν ἥκιστα ἐκεῖνος ἐδέξατο. ἀπεῖπε γὰρ αὐτῷ μὴ διαλέγεσθαι τοῖς νέοις. καίτοι τοῦτο τί ἐστιν ἀλλ' ἢ ἀτιμία λαμπρά; καὶ ταύτης τῆς ἀγνωμοσύνης ἔπεισε καὶ τοὺς ἄλλους μετασχεῖν, ὅσοι μετ' αὐτοῦ τότ' εἶχον τὴν πόλιν.
249 προσθῶμεν τοίνυν ὅτι καὶ Περικλέα μὲν οὐδεὶς τῶν ὁμιλητῶν, οὐδὲ τῶν ἐκ τοῦ δήμου τὴν γραφὴν ἐκείνην ἐγράψατο, ἀλλ' εἷς τῶν ἀντιστασιωτῶν, μᾶλλον δὲ οὐδὲ εἰδὼς εὖ καὶ καλῶς ἐκεῖνον ἄνθρωπος, Σωκράτει δὲ ὁ τῶν νέων ἀπέχεσθαι καὶ σιωπᾶν ἐπιτάξας οὐ τῶν σοφιστῶν ἦν οὐδεὶς οὐδὲ τῶν ἀντιτέχνων, ἀλλ' εἷς τῶν ὅτ' ἦν νέος φοιτώντων παρ' αὐτῷ. τοσοῦτον, ὡς ἔοικεν, ἀπώνατο τῆς συνουσίας αὐτοῦ. ταῦτ' οὖν ἡμεῖς ἐπὶ Σωκράτη οἴσομεν; ἀλλ' οὐχὶ δίκαια ποιήσομεν ἴσως.

Δοκεῖ δέ μοι καὶ Πλάτωνα δίκη μετελθεῖν τοῦ λόγου καὶ τῆς ἐπιτιμήσεως. παραιτοῦμαι δ' εὐμενῆ καὶ ἵλεων εἶναι τοῖς λεγομένοις, εἴ τίς ἐστιν αἴσθησις. καὶ οὐκ ἐρῶ Διονύσιον οὔτε τὸν Ἑρμοκράτους οὔτε τὸν Διονυσίου οὔτε τῶν ἐν Σικελίᾳ μετ' ἐκείνου συνδιατριψάντων οὐδένα, ἀλλ' εἰσὶν οἳ λέγουσιν, ἕτεροι δ' αὖ φασιν ἀληθῆ λέγειν τούτους ὡς ὅτε τὴν τρίτην ἀποδημίαν εἰς Σικελίαν ἀπεδήμησε, τότε τῶν ἑταίρων τινὲς αὐτοῦ καὶ τῶν εἰς τὰ μάλιστα ὡμιληκότων ὑπολειφθέντες οἴκοι νεώτερα ἐβουλεύ-

---

18 Mallem τι abesse aut cum τινι permutari. Reisk. 19 αὖ τῷ] Vulgo αὐτῷ. αὐτὸς N. ἥκιστα] ἥκιστ' ἂν L. 20 ἀλλ' ἢ] ἀλλ' ἡ Θ. 21 Ante ἄλλους in marg. N ab eadem manu insertum λοιπούς.

249, 1 τοῦ δήμου] τοῦ om. L. 2 εἷς] Cleon. ἀντιστασιωτῶν] ἀντιστασιαστῶν Θ Soph. 4 εἷς] οἷς Θ. αὐτῷ ΘELN. Vulgo αὐτόν. 5 ἀπώνατο ΘN. ἀπόνατο L. Legebatur ἀπώνατο. Σωκράτη] Vulgo Σωκράτην. 6 ποιήσομεν ΘLN. Vulgo ποιήσωμεν. 8 Ἑρμοκράτους — Διονυσίου] ἑρμοκράτην — διονύσιον E. τῶν ἐν] τὸν ἐν L. 11 τῶν εἰς τὰ μάλιστα ὡμιληκότων] τὸν ἀριστοτέλη λέγει, ὃς λέγεται καὶ κε ἔτη ὁμιλῆσαι τῷ πλάτωνι. scholion Soph. ὑπολειφθέντες LN Canterus, Iebb. ὑποληφθέντες Iunt

σαντο, καὶ τοὺς Ἀθηναίους ἐμιμήσαντο, μᾶλλον δὲ οὐ τοὺς Ἀθηναίους, ἀλλὰ τοὺς Ἀθηναίων ὑπηκόους λέγω τοὺς ἀφισταμένους. καίτοι τό γ᾽ ἐκείνων ἐπαναστάσει προσεοικὸς ἦν, οἱ δὲ διατριβάς τε ἀντικατασκευάζειν αὐτοῖς ἠξίουν πλησίον τῆς ἐκείνου καὶ ᾠκοδόμουν ἐπὶ τῇ Ἀκαδημίᾳ, τό τε σύμπαν ὑπερφρονεῖν ἐκέλευον ὅτου δὴ — οὐ γὰρ ἔγωγ᾽ ἂν ἐφεξῆς οὑτωσὶ προσθείην τοὔνομα — φάσκοντες γέροντά τε εἶναι πολλοῦ καὶ παραφρονεῖν ἤδη. ὥστε, ὦ φίλε Πλάτων, ἀτεχνῶς τὸ τοῦ Περικλέους συνέβη σοι. καὶ (411) ὥσπερ ἀρτίως Μιλτιάδου καὶ Θεμιστοκλέους καὶ Κίμωνος, ἑκάστου τε τῆς τύχης ἐφαίνου μετέχων, οὕτω σοι καὶ ὁ τέταρτος λοιπὸς ἐνταῦθα ἀπήντηκε. σαφῶς γὰρ οὑτωσὶ τῷ Περικλεῖ ταυτὸν ἔπαθες ἐπὶ τελευτῇ τοῦ βίου, καὶ προσέτι ἐν τῷ γήρᾳ σύ γε, καὶ πολλῷ πρεσβύτερος τῆς ἐκείνου τόθ᾽ ἡλικίας τοιαῦθ᾽ ὑβρισθεὶς, εἰ θέμις εἰπεῖν. καὶ εἰ μὴ Χαβρίας καὶ Ἰφικράτης, ἄνδρες τῆς Περικλέους καὶ Θεμιστοκλέους ἰδέας καὶ τάξεως εἰς ὅσον ἐστὶ τούτους ἐκείνοις εἰκάσαι, αἰσθόμενοι τὰ γιγνόμενα ἠγανάκτησαν καὶ τὸ ἐπιτείχισμα διέσπασαν καὶ τοῦ λοιποῦ προσέταξαν σωφρονεῖν αὐτοῖς, πάντ᾽ ἂν ἐκεῖνα μεστὰ τραγῳδίας ἦν. καίτοι τί φήσομεν, ὦ τῶν Ἑλλήνων ἄριστε, πότερον δικαίως εἰς σὲ ταῦτ᾽ ἐκείνους τότε τολμᾶν, ἢ σὲ τῆς ἐκείνων μανίας ὑπεύθυνον εἶναι; ἐγὼ μὲν γὰρ οὐδέτερον ἂν φαίην. καὶ μὴν ἔχοι γ᾽ ἄν τις τοὺς σοὺς λόγους ἀμυνόμενος διπλᾶ στρέφειν κατὰ σοῦ καὶ κατὰ Σωκράτους, ὡς

---

12 οὐ τοὺς] οὐδὲ τοὺς Θ. Idem in L fuisse videtur, in quo pristinam scripturam oblitteravit corrector. οὐ τοὺς δὲ N.
16 πολλοῦ aut cum πολιοῦ est mutandum, *senem canum*, aut leg. γέροντά τε εἶναι, καὶ ὀλίγου καὶ παραφρονεῖν. senem esse et paene iam desipere. Reisk. ἐκ πολλοῦ Canterus. πάνυ interpretatur scholiasta p. 695, 32. Aristophanes Nub. v. 915. θρασὺς εἶ πολλοῦ. ubi Suidas pariter explicat πάνυ. Eupolis apud Priscianum p. 1328. ed. Putsch. (II. p. 415. Krehl.) α. ἀνόσια πάσχω ταῦτα, ναὶ μὰ τὰς νύμφας. β. πολλοῦ μὲν οὖν δίκαια, ναὶ μὰ τὰς κράμβας. Berglerum ad Alciphron. I, 9. p. 36. memoravit Schaeferus in Thesauro Stephan. p. 7854.
250, 2 τοιαῦθ᾽ N. Vulgo τοιαῦτα. 4 γιγνόμενοι] γινόμενα ΘL. 5 μεστὰ ΘN. Legebatur μετὰ. 6 ταῦτ᾽ ἐκείνους εἰς σὲ N. εἰς σὲ τότ᾽ ἐκείνους ταῦτα Photius p. 434 a, 35.

εἰ καὶ τὰ μάλιστ' ἀδίκως ταῦθ' ὑμῖν συνέβαινε, τρόπον γέ τινα τὰ προσήκοντα ἐπάσχετε, εἴπερ γε τοιούτους ἀπεδείκνυτε οὓς ἐπαιδεύετε· καὶ τῷ τῶν σοφιστῶν παραδείγματι, (41 ᾧ σὺ κέχρησαι κατὰ τῶν δημαγωγῶν, πολὺ μᾶλλον ἂν καθ' ὑμῶν χρῷτό τις δικαίως, ὅσῳπερ ἐγγυτέρω τῶν τοῖς σοφισταῖς ὁμιλησάντων εἰκάσαι, οἵ σοὶ καὶ Σωκράτει συνδιατρίψαντες γίγνοιντ' ἄν, ἢ οἱ τῷ Περικλεῖ καὶ τοῖς μετ' ἐκείνου χρώμενοι. οὐκοῦν εἰ μὲν τὰ τῶν ὁμιλητῶν ἁμαρτήματα τῶν προεστηκότων ἐστὶ κατηγορήματα, σαυτοῦ καὶ τοῦ ἑταίρου μᾶλλον κατηγόρηκας ἢ Περικλέους τε καὶ ὧν οἴει, καὶ νὴ Δί', εἰ βούλει, τὸ μᾶλλον ἀφίημί σοι, ὅτι δ' οὐχ ἧττον, ἀρκεῖ. εἰ δ' ὑμεῖς ἀθῷοι, κἀκείνους ἐκ τῶν αὐτῶν εἰκός ἐστιν εἶναι, εἴπερ γε τοῦ ἴσου μέμνησαι καὶ μὴ ὑπερβαίνεις τὴν γεωμετρίαν ἔχων. καὶ μὴν καὶ ὁ Σωκράτης ἐν γήρᾳ φαίνεται τὴν γραφὴν τῆς ἀσεβείας ἁλοὺς, καὶ οὐ μόνον ἐπὶ τελευτῇ τοῦ βίου, ἀλλὰ καὶ ταύτης αὐτῆς τυχὼν τῆς τελευτῆς. θανάτου γὰρ ἐτίμησαν αὐτῷ. ἆρ' οὖν οὐκ ἄτοπον τὸν μὲν ἄλλον χρόνον τοσοῦτον ὄντα τὸ πλῆθος διαλέγεσθαι καὶ παιδεύειν τοὺς ἐντυγχάνοντας, καὶ μήτε τῶν πολιτικῶν μηδένα δυσμεναίνειν
251 μήτε τῶν περὶ τοὺς ποιητὰς ἐσπουδακότων, ἀλλὰ καὶ κωμῳδίαν τινὰ συνθέντα εἰς αὐτὸν ἡττηθέντ' ἀπελθεῖν, καὶ (4 εἴ τινα καὶ ἤρεσε, μηδὲν πλέον τοῦ γέλωτος τότε συμβῆναι, τοσούτῳ δ' ὕστερον χρόνῳ καὶ ὅτ' ἐκ τοσούτων κα-

---

9 ὑμῖν L et Iebb. ἡμῖν Iunt. 10 ᾧ σὺ κέχρησαι] In Gorgia. Canter. 11 πολὺ] πολὺ δὲ L. χρῷτό τις] τις χρῷτο N. τις om. ΘΙ. ὅσῳπερ] ὅσονπερ correctus N. 12 γίγνοιντ' LN. Vulgo γίνοιντο. 18 ἀλλὰ καὶ ἀπὸ (vel ἐκ, vel διὰ) ταύτης αὐτῆς (scil. τῆς γραφῆς) per hanc ipsam caussam forensem. Reisk. αὐτῆς τυχὼν] τυχὼν αὐτῆς L.

251, 1 τινα non redit ad κωμῳδίαν, neque est generis feminini h. l. sed masculini, et redit ad συνθέντα. aliquem qui composuisset. Reisk. 3 τοσούτῳ δ' ὕστερον χρόνῳ] Ex hoc loco ut ex multis aliis, Aelianus falsi damnatur, qui Var. Hist. lib. 2. cap. 13. vult Aristophanem ab Anyto et Melito Socratis accusatoribus pecunia emptum fuisse, ut Socratem ad populum traduceret, et Nebulas comoediam fuisse veluti accusationis praeparationem. Sed de hoc plura dicemus ad Aristophanis Nebulas, ubi deo dante demonstrabimus eam fabulam praecessisse Socratis con-

Digitized by Google

κῶν ἡ πόλις αὐτὴν ἀνελάμβανε, καὶ ἡνίκα τοῖς ἠδικηκόσι μὴ μνησικακήσειν ὀμωμόκεσαν, τηνικαῦτα δυσχερᾶναι τοὺς λόγους αὐτοῦ; ἀλλὰ ταῦτ' ἴσως μὲν εἰκότα, ἴσως δ' οὔ, ἔσχε δ' ὅμως οὑτωσί. ὅμως δὲ οὐδὲν χεῖρον ὅ γε Σωκράτης· ἡμεῖς δὲ καὶ τὰ εἰκότα ὑπὲρ τοῦ Περικλέους ἀποδώκαμεν, οἷς οὐδὲν ἄγνωμον καὶ Πλάτωνα συγχωρεῖν, εἴπερ γε, ὃ μικρῷ πρόσθεν ἔφην, τοῦ δικαίου φροντίζει. καὶ γὰρ αὖ καὶ τοῦτο εἴ τις ἤρετο τὸν Πλάτωνα, εἰ δικαστὴς αὐτὸς τῷ Περικλεῖ καθῆστο, ὅτ' ἔφευγε τῆς κλοπῆς, πότερον τῶν καταψηφιζομένων ἂν ἦν, καὶ πλείονος ἀξίους τοὺς Κλέωνος λόγους τῶν Περικλέους ἡγεῖτο — ὅταν δὲ τοῦτ' εἴπω, λέγω τῆς ἀληθείας — ἢ κἂν ἠρυθρία τοῖς γιγνομένοις, ὥσπερ ἔγωγ' ἂν δυσχυρισαίμην ὑπὲρ Πλάτωνος, ἀδύνατον δή που φῆσαι ὡς ὅμοιος ἂν ἦν Κλέωνι. εἶθ' ὃν αὐτὸς ἀφῆκας ἂν τῆς αἰτίας, τοῦτον διαβάλλεις ἐκ τῆς αὐτῆς ταύτης αἰτίας; καὶ πῶς οὐκ ἄτοπον ἄλλῳ (414) μὲν ἂν λέγοντι μὴ πιστεύειν, αὐτὸν δὲ κατηγορεῖν; καὶ δι' ἃ τὸν λέγοντα ἂν ἡγοῦ χείρω, διὰ ταῦτα Περικλέα ἀξιοῦν φαῦλον νομίζεσθαι; καὶ τοὺς καταψηφισαμένους αἰτιώμενον ἡμᾶς πείθειν συγκαταγιγνώσκειν, ὥσπερ χρηστοῦ τινος πράγματος μεθέξειν μέλλοντας, ἀλλ' οὐχ ὃ μηδ' ἐκείνοις καλῶς εἶχε ποιῆσαι; κἀκεῖνοι μὲν αὐτοὶ τὴν ἑαυτῶν καταδίκην οὐχ ὑπελογίσαντο, ἀλλ' ἐτίμων πάλιν ὡς χρηστὸν καὶ δίκαιον, ἡμεῖς δὲ οὗ μηδὲν ἄλλο κατηγορεῖν ἔχομεν, τοῦτον ἀτιμάσομεν διὰ τὴν δίκην, καὶ τῶν αὐτῶν ἀνδρῶν ἃ μὲν ἥμαρτον ἰσχυρὸν ποιησόμεθα, ἃ δ' εὖ φρονοῦντες ἔπραττον ἐν οὐδενὸς μοίρᾳ θήσομεν, καὶ ταῦθ' ὁμολογοῦντες ὡς ἥμαρτον, μᾶλλον δὲ κατηγοροῦντες; καὶ τίνα
252 ταῦτ' εἶχε λόγον ἐγὼ μὲν οὐκ ἐπινοῶ. τῷ γὰρ οὐκ ἂν ὅρος καὶ πέρας εἶναι δόξειε τῆς ὑπὲρ αὐτῶν ἀπολογίας ἃ Πλάτων ἐγκαλεῖ; οἷον εἰ τῆς κατηγορίας τῶν ἀνδρῶν γε-

---

demnationem annis circiter viginti quinque. Palmer. 4 ὀμωμόκεσαν] ὠμωμόκεσαν N. 5 οὑτωσί] οὑτωσίν N. 9 ὅτ' ἔφευγε] ὅτε ἔφυγε N. 10 τοὺς Κλέωνος] τοῦ κλέωνος L. 11 γιγνομένοις] γινομένοις L. 15 Vulgo συγκαταγινώσκειν. 18 τοῦτον] τοσοῦτον LN. 20 ὁμολογοῦντες (ων ab rec. m.) L.

252, 1 εἶχε] ἔχει L. 2 δόξειε] δόξειεν, Θ. 3 οἷον εἰ] οἷο-

Digitized by Google

γωνίας καὶ τοῦ κακίζοντος αὐτοὺς τούτοις καταχρησαμένου τοῖς λόγοις, ὡς παρ' αὐτοῖς Ἀθηναίοις ἑάλωσαν καὶ (415) δίκην ἔδωκαν ὡς ἀδικοῦντες· εἶτ' ἐπέδειξεν ὅτι ἀλλ' οὐκ ὀρθῶς γε οὐδ' ἐπὶ πᾶσι δικαίοις ταῦτ' ἐγένετο, ἀλλὰ γνώμῃ διήμαρτον οἱ καταψηφισάμενοι, ἢ καὶ δι' ἄλλο τι ταῦτ' ἐψηφίσαντο, ἀλλ' οὐκ ἀδικεῖν αὐτοὺς καταγνόντες, πᾶσιν ἂν δή που ταῦτ' ἐξήρκει καὶ λελύσθαι τὰ τῆς αἰτίας ἱκανῶς ἂν ᾤοντο. Πλάτων τοίνυν αὐτῶν αἰτιώμενος τὰ συμβεβηκότα, καὶ λέγων ὡς ἁμαρτήματα τῶν πολλῶν, ὅμως ἐν ἐλέγχῳ κατ' ἐκείνων λαμβάνει, καὶ τὴν συμφορὰν ὡς ἀδίκημα κατηγόρηκε, τὴν μὲν τύχην ἀντὶ γνώμης ἐξετάζων, τὴν δ' ἑτέρων ἁμαρτίαν ὡς ἐκείνων οὖσαν τιθείς. ἡδέως δ' ἂν ἐροίμην τοὺς προσκειμένους αὐτῷ τί ποτ' ἂν λέγειν ἠξίουν κατὰ τῶν ἀνδρῶν, ἢ τίνα γνώμην ἔχειν ἡμᾶς ἔπειθον, εἰ τοῦτ' εἶχον δεικνύειν ὡς ἐν παντὶ δικαίῳ μετ' οὐδεμιᾶς φαύλης προφάσεως Ἀθηναῖοι κατεψηφίσαντο αὐτῶν, ὁπότ' αὐτὸς φάσκων αὐτοὺς παρανενομῆσθαι καὶ τοῖς ἵπποις τοῖς λακτίζουσιν ἀπεικάζων τοὺς καταψηφισαμένους ἰσχυρόν τι λέγειν κατ' ἐκείνων οἴεται. ταχύ γ' ἂν εἰ τοῖς δώδεκα θεοῖς ἔσχεν εἰκάσαι τοὺς καταγνόντας, ἀπέσχετ' ἂν τῶν ἁλόντων τὸ μὴ οὐ κακῶς εἰπεῖν. ἐπειθ' (416) ὡς οὐ κατ' ἀρχὰς ταῦτ' ἔδρων αὐτοὺς λέγει, ὥσπερ τὸν Κριτίαν καὶ τοὺς ἄλλους τοὺς εἰς αὐτὸν ἁμαρτάνοντας,

---

vel N. εἰ deletum in Θ. αὐτους Θ et Reiskius. Legebatur αὐτοῖς. 4 ἔδωκαν] ἔδοσαν LN. 5 ὅτι ἀλλ'] ὥς γ' E. 7 ταῦτ'] ταῦτα N. 8 αὐτῶν] αὐτὸν N. Fort. καὶ καταλέγων ὡς ἁμαρτήματα. et recensens, enumerans ut peccata vel errores. Reisk. 9 ἁμαρτήματα] ἁμάρτημα ΘL. 10 τὴν δ'] τὴν δὲ LN. 11 ἡδέως δ'] δ' om. N. 12 ἠξίουν] ἠξίου N. ἔπειθον] ἔπειθεν N. εἶχον] εἶχε ELN. 13 μετ'] καὶ μετ' N. 15 καταψηφισαμένους LN et Iebb. κατεψηφισαμένους Iunt. καταψηφιζομένους E. ἰσχυρόν LN. Legebatur ἰσχυρότερον. 16 ἔσχεν ΘLN. Legebatur ἔσχον. ἔσχεν] Si potuisset, Plato puta. si, qui Periclem cum sociis condemnarunt, potuisset eos Plato duodecim diis comparare, temperasset nempe sibi a probris in eos effundendis. Est dictio ironica, argumentationem habens ab absurdo. Reisk. ἀπέσχετ' ἂν τῶν] ἀπέσχετο τῶν L. τὸ μὴ] τῷ μὴ E. 17 Κριτίαν] κρατίαν L. 18 αὐτὸν] Aut αὐτοὺς legendum hic est, ut cum Socrate Plato significetur, aut, si αὐτὸν

Digitized by Google

εὐθὺς ἐν ἀρχῇ ταῦτα ποιοῦντας, ἀλλ' οὐ πολλοῖς ὕστερον χρόνοις κυρίττειν ἀρξαμένους ἢ παρ' ἐκείνους ἐφοίτησαν. ἀλλ' εἰ καὶ μὴ ἐποίουν ταῦτ' ἐξ ἀρχῆς, εἶχόν γ' ἐν τῇ
253 φύσει δήπουθεν καὶ τὸ κωλῦσαι κρείττονος παντελῶς ἢ κατ' ἄνθρωπον ἦν. εἰ δ' ἐπ' ἀμφότερα αἰτιάσεται Πλάτων τοὺς ἄνδρας ὥσπερ σοφοῦ τινος εἰλημμένος, τί κωλύει τινὰ τὰς ὁμοίας ἀνταποδιδόντα ἐπ' ἀμφότερ' αὖ φιλονείκως ὑπολαμβάνοντα διαλύειν ὡδὶ τὸν λόγον, ὅτι εἰ μὲν καλῶς καὶ τὰ δίκαια αὐτῶν Ἀθηναῖοι κατέγνωσαν, οὐκ ἦσαν ὑπ' αὐτῶν διεφθαρμένοι· τὰ γὰρ δίκαια ἐποίουν. οὐκοῦν οὐδ' ἐκεῖνοι διεφθάρκεσαν. ὥστ' εἰ δικαίως ἑάλωσαν, οὐδὲν ταύτῃ γε χείρους ἦσαν, εἰ δ' ἀδίκως αὐτῶν ἐκεῖνοι κατεψηφίσαντο, ἠδικῆσθαι τοῖς ἀνδράσι περίεστιν, ἀδικεῖν δὲ οὐδαμῶς· τοῖς δ' ἀδικηθεῖσι βοηθεῖν, οὐκ ἐγκαλεῖν εἰκός ἐστιν· εἰ δέ τοι καὶ μὴ δυνατὸν βοηθεῖν, ἀλλ' οὐχὶ δίκαιόν γε ἐγκαλεῖν. ἐγὼ δὲ ταῦτα μὲν τοῖς κομψοτέροις παρίημι· αὐτὸς δὲ τί φημι καὶ πῶς δέχομαι τὸν (417)
λόγον; οὐκ ἔστι δίκαιον ἅμ' ἀμφοῖν κατηγορεῖν, καὶ τοῦ δήμου κἀκείνων· ἢ σαφῶς τοὺς ἑτέρους συκοφαντήσομεν. εἰ μὲν γὰρ ὀρθῶς ἐκεῖνα κατεγνώσθη, ἠδίκουν μέν, ὡς ἔοικεν, ἐκεῖνοι, τῷ δήμῳ δ' ἃ προσήκει πέπρακται. ὥστε οὐχὶ δίκαιον ταῦτά γε δή που κατηγορεῖν αὐτοῦ. πῶς οὖν τοῖς ἀγριαίνουσι τῶν ζώων αὐτὸν ἀπεικάζοντες ὀρθῶς φήσομεν ποιεῖν; εἰ δ' ἥμαρτεν ὁ δῆμος, ἅμα τ' ἐκείνῳ ἡμάρτηται καὶ τοῖς ἀνδράσι τοὔνειδος λέλυται. αὐτὸν γὰρ

---

hic recte habet, et ad Socratem solum pertinet, versu quoque ultimo erit ἐκεῖνον legendum. Reisk. ἁμαρτάνοντας] ἁμαρτόντας L. ὕστερον χρόνοις E. Legebatur ὕστερον ἔτεσι καὶ χρόνοις. Conf. p. 267, 15. πολλοῖς πρότερον χρόνοις. 19 κυρίττειν] κηρύττειν N et a pr. m. L.

253, 3 ἀμφότερ'] ἀμφότερα LN. 4 ὑπ' αὐτῶν οὐκ ἦσαν L. 5 διεφθάρκεσαν] διεφθάρησαν E. 6 ταύτῃ γε] Hac certe parte culpae vacabant, et iniuria dicuntur populum corrupisse, si fuerunt criminosi, non certe populum tamen corruperunt. Reisk. ἐκεῖνοι] Athenienses. Canter. 7 ἠδικῆσθαι ΘLN. Vulgo ἀδικεῖσθαι. 8 τοι] τι EN. 11 Potest rectum esse ὀρθῶς ἐκεῖνα κατεγνώσθη, idemque valere atque ὀρθὴ ἦν ἐκείνη ἡ κατάγνωσις. fuit tamen cum coniicerem ἐκείνων. Reisk. 13 αὐτὸν] αὐτοὺς E.

τοῦτό φαμεν δήπουθεν ἁμαρτεῖν Ἀθηναίους, τιμήσαντας ἐκείνοις φυγῆς, ἢ χρημάτων, ἢ ὁτουδήποτ' ἐτίμησαν ἑκάστῳ. οὗτος δὲ ὁ λόγος τί λέγει; μηδενὸς τούτων ἐκείνους ἀξίους εἶναι. καὶ μὴν εἴ γε ἠδίκουν, ἄξιοι τούτων ἦσαν. ὅτε δὲ οὐ τούτων ἄξιοι, σαφὲς ὡς οὐκ ἠδίκουν. τοὺς δ' οὐκ ἀδικοῦντας κακῶς λέγειν καὶ συκοφαντεῖν οὐχὶ δίκαια ποιεῖν οὐδαμῶς ἐστιν.

Ἡμεῖς τοίνυν ἀντὶ τοῦ κατηγορεῖν ἀμφοτέρων ὑπὲρ ἀμφοτέρων τὰ πρέποντ' ἀπολογούμεθα, οὔτε τοῦ δήμου 254 τὴν αἰτίαν παντὸς εἶναι φάσκοντες οὔτ' ἐκείνους προσήκειν εἴ τι προσέπταισαν χείρους νομίζεσθαι. δείκνυμεν δὲ ὅτι (418) τεττάρων ὄντων τοῖν δυοῖν μὲν οὐδὲ προσήψατο ὁ δῆμος, ὧν δ' ἔδοξαν καταψηφίζεσθαι δυοῖν, οὐδὲ τούτων ἀδικεῖν κατεψηφίσαντο, ἀλλ' ὥσπερ παῖδες διδάσκαλον αὐτοῖς ἠξίωσαν ὑποχωρῆσαι. πάλιν τοίνυν ἐφ' ἑκατέρας τῆς συζυγίας ἅτερος εὑρίσκεται τῆς δικαιοτάτης τυχὼν παρὰ τοῦ δήμου φιλανθρωπίας, ὁ μὲν ἐντὸς τοῦ χρόνου κατελθών, ὁ δὲ στρατηγῶν πρὶν ἐκτῖσαι, καὶ κύριος ὢν τῶν ἁπάντων, καὶ τῶν καταψηφισαμένων αὐτῶν. πῶς ἂν τις κάλλιον ὑπὲρ ἀμφοῖν ἀπολογήσαιτο, εἴ τι δεῖ τῶν ὄντων καὶ περὶ τῶν αὐτοῦ λόγων εἰπεῖν; εἰ τοίνυν ἁπάντων μὲν ὁ δῆμος κατεγνώκει, μηδὲν δὲ ὕστερον πρὸς μηδέν' αὐτῶν ἐφιλανθρωπεύσατο, οὐδ' οὕτω δίκαιον ἦν ἃ μὲν τοῖς ἑτέ-

---

16 ἐκείνους addidi ex LN et Photio p. 435 a, 18. ὅτε] ὅτι E. 17 σαφὲς] σαφῶς correctus N. 19 πρέποντ'] πρέποντα N.

254, 1 ἐκείνους E et Reiskius. Legebatur ἐκείνοις. προσήκειν] διὰ τοὺς δικαστὰς προσήκειν E. Conf. schol. p. 698, 16. εἴ τι aut ὅτι Reiskius. Legebatur εἰ ὅτι. solum εἰ est in E, fortasse recte. 5 ὁ μὲν] Cimon. 6 ὁ δὲ] Pericles. καταψηφισαμένων LN. κατεψηφισαμένων E. Legebatur κατεψηφισμένων. Conf. ad p. 252, 15. 7 πῶς] πῶς οὖν Canterus. ἀπολογήσαιτο] ἀπο[ε]λογήσαιτο[α] N. εἴ τι] εἴτε E. 8 αὐτοῦ] Platonis puta. si id, quod res est, de ipsius quoque Platonis disputatione volumus affirmare. vult dicere, si verum volumus Platonis disputationi nomen imponere, est ea non, quae videtur, accusatio, neque populi Atheniensis, neque quatuor virorum, sed ambarum illarum partium defensio. Reisk. 9 μηδέν' Canterus. Vulgo μηδὲν. μη-

Digitized by Google

ροις ἡμάρτητο κατ' ἀμφοτέρων λέγειν, ἃ δ' ἀμφοτέροις ὑπῆρχεν εἰς εὐφημίαν μηδετέροις ἀξιοῦν ἀποδοῦναι. εἰ μὲν γὰρ ἐκ τούτων μόνον οἵ τ' Ἀθηναῖοι κοινῇ καὶ οἱ προστάντες αὐτῶν ἐγιγνώσκοντο, καλῶς εἶχε ταῦτ' ὀνειδίζειν· εἰ δ' ἔσθ' ἕτερα ἀμείνω καὶ πλείω τούτων, καὶ σύ γ' (419) αὐτὸς κάλλιστα ὡμολόγηκας — ὀψὲ γάρ ποτε ἔφης αὐτοὺς εἰς ταῦτ' ἐμπεσεῖν, ὡς τόν γε ἄνω χρόνον πάντα κἀκείνους ὡς ἐβούλοντο πράττοντας καὶ τὸν δῆμον παρέχοντα αὐτὸν οἷον χρὴ — πῶς οὐκ ὀρθῶς εἶχε μιμήσασθαι τὸ τῶν Περσῶν; ἐκείνοις γάρ φασιν εἶναι νόμον, ἄν τις αὐτῶν σχῇ τινα φαύλην αἰτίαν, μὴ πρότερον καταγιγνώσκειν, μηδ' ἂν ἐλέγχηται, πρὶν ἂν παρ' ἄλληλα ἐξετάσαντες ἅ τε εὖ καὶ ἃ κακῶς ἐποίησεν εὕρωσι τὰ χείρω νικῶντα· ὅταν δὲ τὰ τῶν εὐεργεσιῶν ἔμπροσθεν ᾖ, καὶ τοῖς φανερῶς ἀδικοῦσιν ἀφεῖσθαι τάττειν τὸν νόμον. εἶτ' ἐν μὲν
255 τοῖς βαρβάροις οὕτως, Πλάτων δ' ὁ τῶν Ἑλλήνων ἄριστος καὶ ὁ τῶν ἀνθρωπίνων πραγμάτων ἐπιστήμων, προσθήσω δὲ καὶ τῶν θείων, πῶς ἀξιώσει συλλήβδην πάντα κατορθοῦν καὶ πάντων κρατεῖν ὄντα ἄνθρωπον, καὶ ταῦτα μὴ μόνον ὧν ἡ γνώμη κυρία, ἀλλὰ καὶ ὅσα πρὸς τὴν τύχην ἐστὶν, ἢ τοῦ μηδενὸς ἄξιον εἶναι τὸν καὶ μικρόν τι προσπταίσαντα; οὐκ ἄρ' ἐκείνων μόνον κατηγορεῖν δόξομεν, ἀλλὰ καὶ τῆς φύσεως τῆς ἀνθρωπείας ἁπάσης. βλέψον δ', εἰ βούλει, πρὸς τὰ σαυτοῦ πάλιν αὖ παραδείγματα. εὑρήσεις γὰρ οὔτε τοὺς ἡνιόχους τοὺς ἀγαθοὺς ἅπαντα (420) νικῶντας ἐφεξῆς οὔτε ταῦτ' ἐπαγγελλομένους, οὔτε τοὺς

---

θέτα Reiskius. 10 μηδετέροις] μηδετέρως L. 11 εἰ μὲν Steph. Iebb. οἱ μὲν Iunt. μόνον] μόνων LN. οἵ τ' L. Vulgo οἵ τε. 12 αὐτῶν] αὐτῆς E. ἐγιγνώσκοντο E. Vulgo ἐγινώσκοντο. εἰ δ' N. Vulgo εἰ δὲ. 13 κάλλιστα] κάλιστα L, quasi μάλιστα voluisset dare. 14 τόν γε LN. Aberat γε. 15 αὐτὸν L. αὑτὸν N. Vulgo αὐτὸν. 16 αὐτῶν] αὐτὸν N. καταγιγνώσκειν] Vulgo καταγινώσκειν. 17 παρ' ἄλληλα] Vulgo παράλληλα. κατάλληλα N. καὶ ἃ] ἃ om. L. 19 οὕτως L. Vulgo οὕτω.

255, 1 δ' L. Vulgo δὲ. 4 ἄρ'] ἄρα ΘN. μόνον] μόνων LN. 5 ἀνθρωπείας] ἀνθρωπίνης Θ. ἁπάσης] πάσης E. 7 ταῦτ'] ταῦτα N.

ἵππους αὐτοὺς ὥσπερ ἐπὶ ῥητοῖς θέοντας, ἀλλὰ καὶ τὰς τοῦ Μιλτιάδου καὶ τὰς τοῦ Κίμωνος ἵππους ἀρίστας γενέσθαι δοκούσας οὐχ ἅπαντας τοὺς ἀγῶνας ἀνῃρημένας, οὐδὲ ἅπαντα ὃν ἔζων συνεχῶς νικώσας χρόνον. οὐδ' αὖ τοὺς κυβερνήτας λέγω τοὺς ἀρίστους ἀεὶ καὶ πάντας ἐκ τοῦ θανάτου σώζοντας, ἀλλ' ἤδη τινὰ καὶ σκηπτοῦ καὶ χειμῶνος ἡττηθέντα καὶ χρησάμενον τύχῃ τῆς τέχνης κρείττονι, πάντως δ' ἅπαντας παραχωροῦντας τῷ Ποσειδῶνι, κἂν ταῖς συγγραφαῖς οὕτω γραφόμενον, Σωθείσης τῆς νεὼς τὸ καὶ τὸ ποιήσειν. ὅτι δ' ἡ ναῦς σωθήσεται οὐδείς πω κατεπηγγείλατο. ταῦτ' ἐστὶ πρὸς ἃ καὶ Ὅμηρος βλέπων ἔφη

Ξυνὸς Ἐνυάλιος καί τε κτανέοντα κατέκτα.

ᾔδει γὰρ τῆς ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν καὶ τούτου τοῦ λόγου παράδειγμα ἱκανὸν καὶ ἅμα αὐτόθεν. τῶν μὲν γὰρ Ἑλλήνων κράτιστος Ἀχιλλεὺς αὐτῷ δή που πεποίηται, καὶ ταῦτά γε πολλῷ τινι· τῶν δ' αὖ βαρβάρων ὁ Πάρις πάντων σχεδὸν μαλακώτατος, ὥστε καὶ ὁ Ἕκτωρ (421) πολλάκις αὐτῷ προφέρει τὴν δειλίαν, ἀδελφὸς ὢν καὶ ταῦτα, καὶ δύσπαριν μετὰ προσθήκης καλεῖ. ἀλλ' ὅμως Ἀχιλλεὺς μὲν τήν τε ἄλλην ἅπασαν τῶν Τρώων στρατιὰν εἰς τὸ τεῖχος κατέκλεισε καὶ τὸν Ἕκτορα πρὸς ταῖς πύλαις ῥᾳδίως ἀπέκτεινεν. ὁ δ' αὖ Πάρις ἡ δύσπαρις, ὁ τοσοῦτον χείρων τοῦ Ἕκτορος, αὐτὸν τὸν Ἀχιλλέα πρὸς ταῖς

---

9 ἅπαντα ὃν] ὃν ἅπαντα ὃν E. Sic lego et distinguo τοὺς κυβερνήτας, λέγω δὲ τοὺς ἀρίστους, ἀεὶ —. Reisk. 13 Ὅμηρος] Iliad. σ, 309. 14 Ξυνὸς] ξύναρ E. καί τε] καὶ τὸν EL. ἀνθρωπίνης] ἀνθρωπείας ΘN. Conf. p. 255, 5. 15 τῶν μὲν LN Iebb. τῷ μὲν Iunt. 17 ὥστε ΘELN Opor. Legebatur ὥσπερ. Ἕκτωρ] Iliad. γ, 39. 18 Distingui sic malim, ἀδελφὸς ὤν, καὶ ταῦτα καὶ Δύσπαριν μ. π. καλεῖ. quamquam est eius frater, eum et ista appellat, et Δύσπαριν. h. e. Parin quidem eum appellat, quod est eius nomen, verum cum aliqua tamen accessione ignominiosa. ταῦτα redit ad μαλακὸν et δειλόν, ingerebat ipsi et ista, quae paulo ante appellabam, convitia mollis et ignavi atque imbellis hominis, et —. Reisk. ἀδελφὸς ὢν καὶ ταῦτα] Ita καὶ ταῦτα interdum postponitur: vide exempla ab Dobraeo in appendice ad Aristophan. p. (106) memorata. Conf. infra p. 303, 14. 20 ἡ δύσπαρις ab rec. m. inter versus

αὐταῖς ταύταις πύλαις ἀποκτείνας ᾄδεται. ὥστ' ἀπὸ τῶν
256 ἐσχάτων ὅρων ἑκατέρωθεν, τῆς τε ἀνδρείας λέγω καὶ τῆς ἀνανδρείας, τὸ ἔπος βεβαιοῦται· οἶμαι δ' οὐ μόνον ξυνὸς Ἐνυάλιος, ἀλλὰ καὶ Ἑρμῆς ἂν κοινὸς ἀκούοι δικαίως. καὶ εἰ μὲν τοῦτο καὶ ἡ παροιμία βούλεται δηλοῦν ἢ περιλαμβάνει γε, ἔστω καὶ αὕτη μαρτυροῦσα· εἰ δ' ἐπ' ἄλλῳ τῳ γεγένηται, ἡμεῖς γε τοσοῦτον προσθῶμεν ὅτι καὶ ταύτην δικαίως ἂν ὁ θεὸς τὴν ἐπωνυμίαν φέροιτο, ἐπείπερ ἔστ' ἐναγώνιος. ἐπεὶ καὶ τὰ τῶν στεφανιτῶν οἶμαι παραπλησίως ἔχει τοῖς τῶν πολέμων· οὐδεὶς κρατεῖ τοσοῦτον ὅσον βούλεται, οὐδ' ὥστε καὶ προειπεῖν ἔχειν ὅτι νικῶν ἄπεισι. δηλοῖ δ' ἔτι καὶ νῦν ἡ τῶν Ὀλυμπίων θεωρία, (422)
πλεῖστον ἀεὶ τὸ παράδοξον φέρουσα, οἷον ἀμέλει καὶ τὸ τοῦ Πολυδάμαντός ποτέ φασι συμβῆναι. ἐκεῖνος γὰρ τὰ

---

adscripta habet L. ἢ ὁ δύσπαρις N. χείρων om. E. χεῖρον E. 21 ταῖς αὐταῖς ταύταις] αὐταῖς ταύταις ταῖς N, ταῖς ante αὐταῖς deleto.

256, 1 ἀνδρείας ΘN. Vulgo ἀνδρίας. ἀνανδρείας] Scribebatur ἀνανδρίας. 3 τοῦτο] Etiam in Mercurii artibus, ut mercatura, eloquentia, dialectica, fieri nonnunquam ut superior ab inferiore vincatur. Reisk. περιλαμβάνει] παραλαμβάνει EL. γρ. περιλαμβάνει margo L. ἔστω post μαρτυροῦσα habet N. 4 τοσοῦτον] Vulgo τοσοῦτο. 5 ταύτη Iunt. ταύτην LN Iebb. ταύτης Steph. ταύτῃ. etiam hanc ob caussam, hac ratione, meretur Mercurius κοινὸς appellari, quod in artibus ingenii communis est, h. e. tam praestanti, quam inferiori, se aequum praebet, ambobusque per vices victoriam largitur. Reisk. 6 οἶμαι ΘELN. Legebatur ἂν οἶμαι. Aut delendum est ἂν ex auctoritate codicum, aut eius loco legendum est ἀγώνων. Reisk. πολέμων] Aut πολεμίων aut πολεμικῶν, aut ἐμπολέμων. nam subauditur ἀγώνων. Reisk.
7 ἔχειν ΘELN. Legebatur ἔχει. δ' ἔτι] δέτι N. 8 Πολυδάμαντος] Hic Polydamas, Niciae filius, Scotussa ortus, omnium suae aetatis hominum statura corporis erat maximus. Fortitudinis exempla aliquot, ab eodem edita, videre est apud Pausaniam, Eliac. β. pag. 352. partim in statuae basi spectanda, quam praestantissimus ille artifex confecerat Lysippus. Iebb. Polydamas ille Lycius, qui Troianis militavit, Homero de arte sagittandi, sed et de perfidia celebratus, hic non significatur, sed alter ille multo recentior, Scotussaeus, qui Olymp. 93. pancratium vicit, et cuius infra quoque p. 407, 11 mentio iteratur. v. Corsini Ind. Olympionicarum, et praeter auctores ibi laudatos, Dion. Chryso-

μὲν ἅρματα ἴστη τρέχοντα, Ὀλυμπίασι δ' ἡττήθη μικροῦ τινος ἀνταγωνιστοῦ. ἀλλ' οὔ τί γε τοῖς ὅλοις οἶμαι Πολυδάμας ἐκείνου χείρων, οὐδὲ τῆς πάσης δόξης παρὰ τοῦτο στέροιτ' ἂν δικαίως. καὶ οὐκ ἐπὶ μὲν τῶν ἀθλητῶν οὕτως συμβαίνει, τὰ δὲ τῆς μουσικῆς ἑστηκυῖαν ἔχει τὴν νίκην τοῖς κρείττοσιν, ἀλλὰ κἀνταῦθα τὸ τοῦ Πινδάρου κρατεῖ. πάνυ γὰρ μετ' ἀληθείας τοῦτ' ἐκεῖνος ὕμνησεν· ἐν ἔργμασι δὲ νικᾷ τύχα, οὐ σθένος. Σοφοκλῆς Φιλοκλέους ἡττᾶτο ἐν Ἀθηναίοις τὸν Οἰδίπουν, ὦ Ζεῦ καὶ θεοὶ, πρὸς ὃν οὐδ' Αἰσχύλος εἶχε λέξαι τι. ἆρ' οὖν διὰ τοῦτο χείρων Σοφοκλῆς Φιλοκλέους; αἰσχύνη μὲν οὖν αὐτῷ τοσοῦτον ἀκοῦσαι, ὅτι βελτίων Φιλοκλέους. ἄλλα μυρία ἄν τις ἔχοι λέγειν, ἀλλ' Ὅμηρος πῶς ἐξαγγέλλει τὸν ἀγῶνα τὸν ἐπὶ Πατρόκλῳ γενέσθαι; οὐχ αἱ μὲν ἄρισται τῶν ἵππων αἱ Θετταλαὶ,

Τὰς Εὔμηλος ἔλαυνε ποδώκεας, ὄρνιθας ὥς, (423)

ὕσταται πάντων ἐγένοντο ἐν τῷ τότε, καὶ ὁ Εὔμηλος αὐτὸς ἐκπίπτει τοῦ ἅρματος, οὔπω πρόσθεν παθὼν αὐτὸ, ἀλλ' ἔποχος μένων, καὶ ταῦτά γε ὡς ἐπ' ὀρνίθων τῶν

---

stom. p. 656, 1. Reisk. 9 ἔστη Θ. ἵστη LN. Vulgo ἔστη. Ὀλυμπίασι] Vulgo Ὀλυμπιάσι. 11 στέροιτ'] στεροῖτ' LN. 12 οὕτως E. Vulgo οὕτω. 13 Πινδάρου] Fragm. 16. p. 565. ἔργμασι Θ et Photius p. 435 a, 29. Legebatur ἅρματι. ἅρμασι LN. γρ. ἔργμασι margo L. γρ. ἔργμασι margo N. ἄσμασι Opor. Conf. supra p. 29, 6. 14 ἐν Ἀθηναίοις] Subaudi κριταῖς. h. e. inter homines intelligentes laudum poeticarum, iudicio praestantes, ad rectum, verum, elegans, praeclarum, urbanum, a pravo, sordido, turpi et inficeto discernendum. Canteri notula significat, adversum illum casum Sophocli in Oedipo, non Coloneo, sed tyranno evenisse. Reisk. Οἰδίπουν] Regem. Canter. 15 Post θεοὶ EN addunt καὶ ταῦτ' εἰσηγὼς οἰδίπουν, ἐν ᾧ ἐθαυμάζετο καὶ, quae verba rursus deleta sunt in N. 16 Vel hoc ipsum Sophocli ignominiosum esset atque pudendum, si quis tanquam laudandi eius caussa diceret, eum praestare Philocli. tam malus poeta enim est Philocles, ut cum Sophocle in contentionem venire nullo modo possit, isque Sophocli vel maximam faciat iniuriam, et dedecus adspergat turpissimum, qui eum aiat Philocli praestare. Reisk. 18 Τὰς Εὔμηλος] Iliad. β, 764. 19 ὄρνιθας add. ELN Iebb. om. iunt. 20 ὀρνίθων] ὀρνίθω N.

257 ἵππων ὀχούμενος· ὃ μηδενί πω τῶν ἄλλων ἦν ῥᾴδιον. ὥστε καὶ ἰδὼν αὐτὸν Ἀχιλλεὺς ᾤκτειρέ τε καὶ λέγει

Λοῖσθος ἀνὴρ ὤριστος ἐλαύνει μώνυχας ἵππους.

ἆρ' οὖν οὐ παράδοξον ἑξῆς οὑτωσὶ θεῖναι παρ' ἄλληλα καὶ τὸν αὐτὸν λοῖσθόν τε καὶ ἄριστον προσειπεῖν; ἀλλ' ὅμως τοιαῦτά φησι τἀνθρώπεια — τοῦτο γάρ μοι δοκεῖ τῶν ῥημάτων τὸ βούλημα εἶναι — ὁ αὐτὸς ἄριστός τε ἀνὴρ καὶ ἔσχατος, ὅπερ περὶ τοῦ δακτύλου φασί ποτ' εἰπεῖν Ὀρόντην τὸν Πέρσην ὡς αὐτὸς ὢν τῇ θέσει ποτὲ μὲν τὰ μύρια σημαίνει, ποτὲ δὲ οὐ πλέον ἢ ἕν. ὥστ' ἐμοὶ μὲν ἄντικρυς εἰς τὸ Πλάτωνος παράδειγμα ὁ Εὔμηλος τείνειν δοκεῖ κατά τε τἄλλα καὶ ὅτι οὐχ ὅσον τῆς νίκης ἐστερήθη, ἀλλὰ καὶ

Ἀγκῶνάς τε περιδρύφθη στόμα τε ῥῖνάς τε

ὑπὸ τῶν ἵππων τῶν ἀρίστων καὶ ὑφ' ὧν οὐδεπώποτ' ἐσφάλη, ἄγων δ' αὐτὰς ὅποι βούλοιτ' ἀεὶ καὶ παρὰ πάντας ἐθαυμάζετο. ὁ δέ γε Αἴας νὴ Δί' ὁ τάχιστος τῶν (424) Ἑλλήνων θεῖν καὶ πλείστους ἐν ταῖς φυγαῖς αἱρῶν, ἐφ' οὗ τοῦτ' εἴρητο

Οὐ γάρ οἵ τις ὁμοῖος ἐπισπέσθαι ποσὶν ἦεν
ἀνδρῶν τρεσσάντων ὅτε τε Ζεὺς ἐν φόβον ὄρσῃ·

καὶ αὐτος τοιαῦθ' ἕτερα ἀπέλαυσε τοῦ δρόμου, γυμνός τε καὶ πολεμίων καθαρὸς τρέχων, ἀπῆλθε τῆς τε νίκης στερηθεὶς καὶ τῆς ὄνθου προσέτι ἐμπεπλησμένος. βλάψεν

---

257, 1 πω] Leg. τῳ, alicui. Reisk. 2 Λοῖσθος] Iliad. ψ, 536. ἆρ'] ἄρα Θ. 3 παρ' ἄλληλα] Vulgo παράλληλα. 4 φησι] Homerus puta. Reisk. τἀνθρώπεια N. Vulgo τὰ ἀνθρώπεια. 5 Ὀρόντην] ὀρρόντην N, altero ρ ab rec. m. scripto. Orontis dictum memorat Suidas v. Ἀρβαζάκιος ab Bekkero indicatus. τὸν Πέρσην] τὸν βασιλέα πέρσην E. 6 Comma post θέσει tollendum. nam subauditur ἄλλῃ καὶ ἄλλῃ, vel ἄλλοτε ἄλλῃ. digitus idem, sed aliis alias modis conformatus, nunc mille, nunc unum valet. Reisk. μύρια] μυρία Photius. 7 κατά τε τἄλλα N. κατά τε τὰ ἄλλα E. κατὰ τὰ ἄλλα L. Vulgo κατὰ τἄλλα. κατὰ τἄλλα τε Reiskius. καὶ ὅτι Reiskius. Aberat ὅτι. ἀγκῶνας LN Iebb. ἐγκῶνας Iunt. Est Iliad. ψ, 395. 10 Δί'] δία ΘΝ. 11 Οὐ γάρ] Iliad. ξ, 521. γάρ οἵ τις LN et Canterus. Legebatur γάρ τις. 12 ὅτε τε Θ. Aberat τε. ἐν φόβον ὄρσῃ] ἐν φόβον ὦρσε EL. ἐνῶρσε φόβον N. 14 βλάψεν Canterus

γὰρ Ἀθήνη, φησὶν ὁ ποιητής· τὴν δ' αὐτὴν ταύτην καὶ τὸν Εὔμηλον ἐκ τοῦ ἅρματος ἐκβαλεῖν. τί τοῦτο λέγων; τὴν τύχην διὰ τῆς Ἀθηνᾶς, ὥς γ' ἐμοὶ δοκεῖ, δηλῶν, ὅτι τἀνθρώπεια ὅπῃ βούλεται στρέφει, καὶ οὐ πάντῃ τῶν προεχόντων τὰ ἆθλα. ὁ δέ γ' ἕτερος νὴ Δία Αἴας, ὁ τοῦ Τελαμῶνος, τὸ μέγα ἕρκος τῶν Ἀχαιῶν καὶ ὃς ἦν ἀντὶ τείχους τοῖς Ἕλλησιν οὐ μόνον αὐτὸς, ἀλλὰ καὶ ἡ ἀσπὶς αὐτοῦ, οὗτος περὶ μὲν τὸν δίσκον ὡς ἔπραξεν ἔλαττον ἂν ἴσως εἴη λέγειν, καίτοι δόρυ γ' εἰωθὼς ἔχειν ἐν ταῖν χεροῖν

258 Κολλητὸν βλήτροισι, δυωκαιεικοσίπηχυ,

καὶ πάντας τοὺς Τρῶας ἐκείνῳ σοβῶν καὶ ἀπείργων ἀπὸ τῶν νεῶν, ἦ που ῥᾳδίως τόν γε δίσκον ἔμελλε μεταχειριεῖσθαι καὶ παῖδας τόν τε δὴ Πολυποίτην καὶ τοὺς ἄλλους ἀποφανεῖν, τοῦ γ' εἰκότος νικῶντος. ἀλλὰ δῶμεν τοῦτο ἑτέρας (425)
τινὸς ἕξεως δεῖσθαι· ἀλλὰ πῶς ἔπραξε περὶ τὴν πάλην; εἰ δὲ καὶ τοῦτ' ἔλαττον, ἀλλ' ἀναλαβών γε τὰ ὅπλα, οὗ μέγιστος καὶ κάλλιστος ἦν αὐτὸς αὑτοῦ καὶ ἰσχυρότατος καὶ ῥωμαλεώτατος, πολὺν θόρυβον παρέσχε τοῖς Ἕλλησι. καὶ τὰ μὲν ἄλλα ἐῶ· ἔδεισαν δὲ περὶ ἐκείνου μᾶλλον ἢ τοῦ Διομήδους. οὕτως ἔπραξε κἀνταῦθα. καίτοι ὅ γε κήρυξ

---

et Iebb. ex Homero Iliad. ψ, 774. βλάψε ΘLN. βλάψαι Iunt.
15 ἐκ om. N. 16 ὥς γ' ἐμοὶ] ὥς γέ μοι N. τἀνθρώπεια N. Vulgo τὰ ἀνθρώπεια. στρέφει Θ et Reiskius. Vulgo στρέφῃ.
17 προεχόντων L. Legebatur προσεχόντων. προεχόντων] primorum et principum in quaque re. Reisk.

258, 1 Κολλητὸν] Iliad. ο, 678. δυωκαιεικοσίπηχυ] Scribebatur δύω καὶ εἰκοσίπηχυ (εἰκοσίπηχυ ELN). 3 τόν τε Reiskius. Vulgo τόν γε. ἀποφανεῖν N. Legebatur ἀποφαίνειν. εἰκότος] ὡς εἰκότος L. 4 τοῦτρ] Scil. τὸ ῥίπτειν τὸν δίσκον. Reisk. τοῦτο καὶ (καὶ ab rec. m.) LN. ἑτέρας] H. e. κεχωρισμένης ἀπὸ τῆς ἕξεως τοῦ πάλλειν τὸ δόρυ. fac habilitatem iactandi disci aliam esse ab ea, qua pollebat Aiax quatiendae hastae. h. e. affirmes, per me licet, non ideo, quod hastam bene vibrabat Aiax, necesse fuisse ut discum quoque melius iacularetur quam alii. Reisk. πάλην] πόλιν (γρ. πλάνην) N. εἰ δὲ καὶ] καὶ om. N litura relicta. Fort. εἰ δὲ καὶ τοῦτο ἐλάττων ἦν. Sed fac eum in hac quoque parte (in luctando puta) aliis concessisse. si servatur ἔλαττον, necesse est ἠπίστατο deesse, aut ἴσχυσε, aut simile quid. Reisk. 5 μέ-

Digitized by Google

ἀνεῖπεν οὑτωσὶ γιγνομένης ποτὲ τῶν Ἀχαιῶν ἁπάντων ἐξετάσεως

Ἀνδρῶν αὖ μέγ' ἄριστος ἔην Τελαμώνιος Αἴας.

καὶ οὐχ ἅπαξ γε οὐδὲ τοσοῦτον μόνον εἰπὼν ἀπηλλάγη, ἀλλ' ὥσπερ ἐξεπίτηδες πανταχοῦ διατελεῖ κηρύττων καὶ διαμαρτυρόμενος,

Αἴαντός θ', ὃς ἄριστος ἔην εἶδός τε δέμας τε
τῶν ἄλλων Δαναῶν μετ' ἀμύμονα Πηλείωνα.

καὶ

Αἴας, ὃς πέρι μὲν εἶδος, πέρι δ' ἔργ' ἐτέτυκο.

καὶ

Ἀνδρὶ δ' οὐκ εἴξειε μέγας Τελαμώνιος Αἴας,

καὶ ἄλλα τοιαῦτα, ὥσπερ προκαταλαμβάνων ἡμῶν τὰς γνώμας, ὅπως μὴ ἐπὶ τοῦ ἀγῶνος ταραχθείημεν μηδ' εἴ (426) τινος ἄλλου χεῖρον ἠγωνίσατο, ταύτῃ φαυλότερον αὐτὸν ἡγοίμεθα, μηδὲ χείρω μηδενὸς ἄλλου τῶν Ἀχαιῶν ἀλλ' ἢ τοῦ Ἀχιλλέως. καὶ μὴν καὶ ὁ ἀδελφὸς μετεῖχεν αὐτῷ τῆς τύχης ἐπιθήκην, ὁ Τεῦκρος, περὶ τὴν τοξικὴν, ὅς γε τῆς μηρίνθου μὲν ἔτυχε, τὴν δὲ περιστερὰν αὐτὴν παρῆκεν ἑτέρῳ λαβεῖν, καὶ οὗτος ἑαυτοῦ χείρονι.

Ταῦτα πάντα ἐφεξῆς οὕτως ἔχοντα τί χρὴ νομίζειν εἶναι; ἆρ' οὐ χρησμούς τινας εἰς ἅπαντα ἡγεῖσθαι τὰν-

---

γιστος καὶ] μέγιστός τε καὶ ELN. 8 γιγνομένης] γινομένης L. ἀνδρῶν LN. ὡς ἀνδρῶν vulgo. Est Iliad. β, 768. αὖ L. Legebatur δ' αὖ. μέγ'] μάλα N. 10 Αἴαντός θ' restitutum ex Odyss. λ, 468. Legebatur αἴανθ'. ὃς ἄριστος ΘLN. Legebatur ὃς μὲν ἄριστος. δέμας] μέγεθος L. 11 Aut ab auctoris errore memoriae, aut librariorum culpa distractus est a loco suo versus τῶν ἄλλων Δαναῶν. nam ab Homero Iliad. ρ, 279. positus est post versum Αἴας, ὃς περὶ μὲν —. Reisk. At utroque loco versum illum posuit Homerus. Αἴας] Iliad. ρ, 279. περὶ μὲν εἶδος ΘELN. Legebatur περὶ εἶδος. εἶδος] Legebatur εἶδος ἔην. ἔην ab rec. m. habent LN. 12 ἀνδρὶ δ' οὐκ ΘLN Iunt. ἀνδρί γ' οὐκ E. ἀνέρι δ' οὐκ Steph. Iebb. Apud Homerum Iliad. ν, 321. est ἀνδρὶ δέ κ' οὐκ. 15 ἐπιθήκην] Subaudi τοῦ Αἴαντος. frater Aiacis Teucer eadem fortuna utebatur, quo fratris esset appendix, aut, quo ea esset appendix velut et mantissa fortunae Aiacis. ad ἐπιθήκην subauditur πρὸς vel εἰς. appendicis gratia. Reis[k.] 16 μηρίνθου] Iliad. ψ, 865. παρῆκεν] παρεῖχεν L. [λα]βεῖν E. 17 πάντα ELN Opor. Iebb. μετὰ Iunt. 18 τἀνθρώπεια]

*θρώπεια; ὥστ᾽ οὔτ᾽ εἴ τις ῥώμῃ σώματος ἢ μεγέθει προφέρειν δοκεῖ οὔτ᾽ εἴ τις ἵππους ἀρίστους κέκτηται οὔτ᾽ εἰ ταχὺς αὐτὸς ἢ καλὸς, οὐδὲν αὐτῷ τούτων κύριον, ἂν*
259 *μὴ δοκῇ τοῖς κρείττοσιν. εἰ φίλοις ἰσχύεις, εἰ χρήμασιν, εἰ δόξαν ἔχεις ἐν τῇ πόλει, μηδενὶ τούτων ἐπαρθῇς, μηδὲ μεῖζον φρονήσῃς τῆς ἐξουσίας. εἰ πάντων κρατήσεις, ἡττήσει τῆς τύχης. ταῦτ᾽ ἐστὶν ὁ ἀγὼν οὗτος, ταῦθ᾽ Ὅμηρος λέγει. οὐδὲν τῶν ἀνθρωπείων ἀσφαλὲς οὐδ᾽ ὁμαλὸν οὐδ᾽ αὔταρκες, ἀλλ᾽ ἡττήσεται μὲν ὁ ἰσχυρὸς τοῦ ἀσθενοῦς, ὅταν καιρὸς ᾖ τούτου, ἁλώσεται δὲ Βαβυλὼν αὐτοῖς* (42
*τείχεσι, πάλιν δὲ τοὺς Πέρσας πορθήσουσιν ἕτεροι. πάντα ταῦτ᾽ ἐναλλὰξ περιέρχεται. οὕτω καὶ τὸ σὸν, ὦ Πλάτων, σώζεται, τὸ ἄνθρωπον εἶναι θεοῦ παίγνιον. ὅταν ἐκπίπτῃ μὲν τοῦ ἅρματος ὁ ἡνίοχος, ἐν ᾧ πρόσθεν εἱστήκει βεβαίως, ἀπορῇ δὲ ὁ κυβερνήτης ὅπως χρὴ σώζειν τὴν ναῦν πολλάκις ἤδη σεσωκὼς, ἰλιγγιᾷ δὲ ὁ κρείττων ὑπὸ τοῦ χείρονος, κιχάνῃ δὲ βραδὺς ὠκὺν, πάντα δ᾽ ἄνω καὶ κάτω περιχωρῇ, τότ᾽ ἄν τις ἴδοι τὸν σὸν λόγον, τόθ᾽ ὡς ἀληθῶς προφήτου τινὸς εἶναι δόξειεν ἂν, ὡς θεὸς μὲν καὶ τύχη πάντ᾽ ἄγουσι, τὸ δ᾽ ἡμέτερον πᾶν ἦν ἄρα παιδιά. εἰ δ᾽ ἔσωζον μὲν οἱ κυβερνῆται πάντες ἅπαντας τοὺς ἐμπλέοντας, ἔσωζον δ᾽ οἱ ἰατροὶ πάντες ἅπαντας τοὺς κάμνοντας, ἐνίκων δ᾽ οἱ κρείττονες, ἐνίκων δ᾽ οἱ μείζονες, τὸ δ᾽ ἀεὶ τούτοις πᾶσι προσῆν, μηδεὶς δὲ ἐσφάλλετο τῶν ἀρξαμένων κατορθοῦν, εὐχὴ δὲ καὶ δύναμις μηδὲν διέφερεν, ἀθάνατ᾽ ἂν πάντ᾽ ἦν τὰ τῶν ἀνθρώπων πράγματα καὶ οὐδὲν ἂν*

---

τὰ ἀνθρώπεια N. ὥστ᾽ L. Vulgo ὥστε. 19 ἵππους ἀρίστους] ἀρίστους ἵππους L.

259, 1 εἰ φίλοις] ἢ φίλοις L. ἰσχύεις] ἰσχύει N. 3 ἡττήσει] Vulgo ἡττήσῃ. 4 οὐδὲ αὔταρκες, ἀλλ᾽ ἡττηθήσεται L. 6 τὸ σὸν, ὦ *Πλάτων*] De legibus I. p. 644 e. VII. p. 803 c.

8 ἀπορῇ] ἀπορεῖ (η) L. 9 κιχάνῃ (κιχάνει L) δὲ βραδὺς ὠκὺν] κιχάνει τοι βραδὺς ὠκὺν Odyss. Θ, 329. 10 περιχωρῇ] περιχωρεῖ L. ἴδοι] ἴδῃ N. τὸν σὸν λόγον] De legibus IV. Canter. 12 δ᾽ οἱ] δὲ οἱ L. 13 τούτοις πᾶσι ΘLN et Photius p. 435 b, 18. Legebatur τούτοισι πᾶσι. πᾶσι τούτοις E. 15 διέφερεν ΘELN et Photius. Legebatur διέφερον. ἀθάνατ᾽ ἂν πάντ᾽ ἦν τὰ τῶν] Legebatur ἀθάνατα πάντ᾽ ἦν ἂν τῶν. ἀθάνατ᾽ ἅπαντ᾽ ἦν τὰ τῶν Θ. ἀθάνατα πάντ᾽ ἦν τὰ τῶν N et Photii codex Marcianus. ἀθάνατα

Digitized by Google

εὐχῖς ἴσως προσέδει, οὐδ' ἂν κατέκλυζεν ἡμᾶς τῶν πίθων ἅτερος ὥσπερ νῦν. νῦν δ' οἱ ποιηταὶ πολλὰ χρήσιμον κἀνταῦθα πρόσκεινται καὶ παρακολουθοῦσιν ἡμῖν, (428) ὑπομιμνήσκοντες ἀεὶ τῆς φύσεως, ἐφημέρους τε καλοῦντες καὶ χαμαὶ ἐρχομένους, καὶ πάντα τρόπον τὴν ἀλαζονείαν καθαροῦντες, ὅπως μηδ' εἴ τις εὖ πράττειν δοκοίη, τούτῳ
260 θρασύνοιτο, μηδ' ἑτέρῳ πταίσαντί που προφέροι τὴν τύχην ῥᾳδίως. καὶ τί δεῖ τἄλλα λέγειν ὡς ἔχει;

Ἀλλὰ τὰ τῶν δικῶν πῶς εἶχεν ἐξ ἀρχῆς; ἔλθωμεν γὰρ ἐπ' αὐτὸ τὸ κυριώτατον ἤδη. ὁ Παλαμήδης σοφώτατος ὢν τῶν Ἀχαιῶν ἑάλω τὴν δίκην τῆς προδοσίας. καὶ οὐκ ἐρεῖς ὡς ἐκείνου γε Ἀθηναῖοι κατεψηφίσαντο. ἀλλὰ πᾶσα μὲν ἡ Ἑλλὰς συνεληλύθει, ἐγένετο δὲ ἡ κρίσις ἐν μέσῳ, καὶ ἀδικεῖν ἔδοξεν, ὅτι δὲ οὐχὶ δικαίως ἔδοξεν αὐτὸς σὺ λέγεις ἐν Σωκράτους ἀπολογίᾳ. καίτοι τίς οὐκ ἂν φήσειεν οὑτωσὶ πολλὴν εἶναι τὴν ἀλογίαν, ὄντα μὲν αὐτὸν κυριώτερον τοῦ Ὀδυσσέως εἰς σοφίας λόγον, ὡς ἔφη Πίνδαρος, εἶθ' ἡττηθῆναι τοῦ χείρονος, καὶ ταῦτ' οὐκ εἰς χειρῶν κρίσιν οὐδ' εἰς ἄλλο τι τοιοῦτον ἐλθόντος τοῦ πράγματος, ἀλλ' εἰς αὐτὸ τοῦτο ἐν ᾧ κρείττων ἦν; αὖθις δ' αὖ τοὺς Ἀχαιοὺς οὕτω πολλὰ καὶ μεγάλα ὑπ' αὐτοῦ πεπονθότας εὖ, δι' ἃ καὶ φιλεῖν καὶ θαυμάζειν αὐτὸν προσῆκεν, (429) εἶθ' οὕτως ἀγνώμονα καὶ ἀνόμοιον ἀποδοῦναι τὴν χάριν, ὅς γε καὶ σπουδαίων καὶ τῶν εἰς ψυχαγωγίαν ἡγεμὼν αὐτοῖς ἐγεγόνει σχεδὸν ἁπάντων. ἓν δὲ μέγιστον καὶ τελεώτατον καὶ πλείστης ἄξιον τιμῆς ἐξεῦρε τὰ τακτικά, ὑφ' ὧν ἅμα

---

πάντ' ἂν ἦν τὰ τῶν L. ἀθάνατα ἦν ἅπαντα τὰ τῶν E. 16 ἅτερος] Malorum: vide Iliad. ω, (527). CANTER. 19 πράττειν] πράσσειν N.

260, 1 προφέροι] προφέρῃ L. 3 τὴν δίκην] Aut ambo vocabula sunt a scholiasta profecta, aut certe posterius. REISK. 4 ἐγένετο L. Vulgo ἐγίνετο. 5 ἀδικεῖν ἔδοξεν L. ἀδικεῖν ἔδοξεν αὐτὸς N. Vulgo ἀδικεῖν γ' ἔδοξεν. ἀδικεῖν μὲν ἔδοξεν Reiskius. ὅτι δὲ οὐχὶ δικαίως ἔδοξεν addidi ex N. Confer scholia p. 702, 14. ἐν Σωκράτους ἀπολογίᾳ] P. 41 b. 7 Πίνδαρος] Fr. 178 p. 651. χειρῶν Steph. Iebb. χείρων Iunt. χειρῶν Θ. χείρω LN. 8 κρείττων] κρεῖττον LN. 9 δι' ἃ LN Iebb. δι' ἃς Iunt. 12 τακτικὰ ELN Canterus, Palmerius, Iebb. κτητικὰ Iunt.

*σώζεσθαι καὶ τῶν ἐναντίων κρείττοσιν εἶναι περιῆν αὐτοῖς. ὡς μὲν γὰρ ἡ τραγῳδία φησὶν, οὐδὲ τῶν βοσκημάτων οὐδὲν διέφερον πρὶν ἐκείνῳ συγγενέσθαι. οἱ δὲ τοσοῦτον ἀπεῖχον τοῦ σύμπαντας ἂν αὐτοὺς ἀριθμῆσαι, ἢ τὰς ναῦς ὁπόσαι τινὲς ἦσαν ἃς ἦγον, ὥστ' οὐδ' ὁπόσοι τινὲς αὐτοῖς εἰσὶν οἱ βασιλεῖς ὅ τε Ἀγαμέμνων καὶ ὁ Μενέλαος ἔμελλον εὑρήσειν, οὐδέ γε, ὡς ἔοικεν, ἐκεῖνοι τοὺς αὑτῶν πόδας ἢ καὶ τὰς χεῖρας ἑκάτερος, μὴ ὅτι τὴν στρατιάν. ἀλλὰ ταῦτα μὲν Πλάτων τε ἡμῖν προσπαίζει τοὺς τραγικοὺς καὶ ἡμεῖς συνεπαίξαμεν. τὸ δ' οὖν πολλῶν καὶ μεγάλων ὀφείλοντας τῷ Παλαμήδει χάριν καὶ δικαίως ἂν καὶ ἐπὶ μει-* 261 *ζόνων ἐκτίνοντας, μηδ' εἰς αὐτὴν τὴν σωτηρίαν ἀπομνημονεῦσαι, πῶς οὐ πολλῆς ἄν τις φήσαι τῆς ἀτοπίας εἶναι, καὶ τό γ' αὐτὸν ἐκεῖνον τὰ μὲν ἄλλα σοφίζεσθαι, τῶν δ'* (43 *εἰς τὴν ἀπολογίαν ἀπορῆσαι, καὶ ταῦθ' οὕτω ῥᾳδίαν οὖσαν καὶ τῶν πραγμάτων αὐτῶν βοηθούντων; ἀλλ' ὑπὲρ μὲν τῶν ἄλλων σοφὸς ἦν, αὑτὸν δ' ὠφελεῖν οὐκ εἶχε, καὶ ταῦτα τὸν περὶ τῆς ψυχῆς τρέχων, ὃν χρῆν, εἰ καὶ ἐν τοῖς Τρωσὶν ἐκρίνετο, συλληφθεὶς ὑπὸ τῆς σοφίας ἔχειν ἑαυτὸν ἂν σῶσαι. ὁ δὲ τῶν φίλων καὶ τῶν συμμάχων καὶ ὧν εὐεργέτης ἦν χαλεπωτέρων ἢ τῶν πολεμίων ἀπῄει τυχὼν, καὶ πάσας τὰς ἄλλας εὑρίσκων μηχανὰς μίαν οὐχ*

---

13 *τραγῳδία*] Ad Aeschyli Prometheum haec refert scholiasta p. 702, 30. memoriae errore. Videntur potius ad eam fabulam Aeschyli pertinere unde fragmentum deprompsit Athenaeus I. p. 11 d. 14 *οἱ δὲ*] Leg. *ὁ δὲ*, *ille vero*. Plato nempe. nam quae sequuntur, ea Platonis esse verba patet e versu 17. subauditur, in *ὁ δὲ*, *φησὶ*, quod modo praecessit. Reisk. *τοῦ σύμπαντας*] *τοὺς σύμπαντας* N. 17 *αὐτῶν*] Vulgo *αὐτῶν*. *τὰς χεῖρας* LN. Aberat *τάς*. *ἑκάτερος*] *ἑκατέρας*. seorsim ambas, vel potius, ad primigeniam significationem unumquemque pedem aut unamquamque manum ab altera. Reisk. *Πλάτων*] De republ. VII. Canter. 18 *προσπαίζει τοὺς τραγικοὺς*] *προσπαίζει μετὰ τοὺς τραγικούς*. Plato ita ad nos iocatur post tragicos, h. e. exemplo tragicorum invitatus. Reisk. 19 *ἐπὶ μειζόνων*] *ἐπὶ μειόνων*. in rebus minoris momenti, nedum in caussa capitis, qua maior et gravior alia nequit esse. opponit autem *τοῖς μείοσι τὰ τῆς σωτηρίας* p. 261, 1. Reisk.

261, 4 *αὑτὸν*] *αὐτὸν* N. *τῆς ψυχῆς*] *τῆς* om. EL, erasum est in N. 6 *χαλεπωτέρων*] *χαλεπώτερον* L.

Digitized by Google

εὗρεν ὅπως σωθήσεται. ἀλλ' ἐπειδὴ κατεψηφίσαντο ἀδικεῖν αὐτοῦ, οὐ ταυτὸν τοῖς Ἀθηναίοις ἐποίησαν· οὐ γὰρ χρημάτων ἐτίμησαν οὐδὲ φυγῆς οὐδ' ὅσον δέκα ἔτη μετέστησαν, ἀλλ' ἄρδην ἀπέκτειναν. οὕτω μέχρι μὲν τοῦ μὴ κατὰ νοῦν ἀγωνίζεσθαι καὶ τοῦ τῶν συκοφαντῶν ἔλαττον ἔχειν κοινωνεῖ τῷ Παλαμήδει τῆς τύχης ἡμῖν ἡ τοῦ Περικλέους φατρία, τὰ δ' ἐφεξῆς καὶ διαφέρει, καὶ οἵ τε Ἀθηναῖοι συμπάντων τῶν Ἑλλήνων ἡμερώτεροι πολλῷ τινι φαίνονται καὶ οἱ ῥήτορες αὖ τῶν ῥητόρων πρᾳότερον πεπαικότες, καὶ ταύτῃ γε σοφώτεροι τοῦ Παλαμήδους ὄντες, τοσοῦτον, εἰ μή τι ἄλλο, πεῖσαι δυνηθέντες, ὡς οὐ θανά- (431)
του γ' ἄξιοι τοῖς Ἀθηναίοις εἶεν, οὐχ ὥσπερ ἐκεῖνος οὐδ' εἰς τὸ τίμημα χρήσιμος οὐδὲν ἦν αὑτῷ. ἀλλ' οἶμαι καὶ Παλαμήδει καὶ Μιλτιάδῃ καὶ Περικλεῖ καὶ πᾶσιν ἀνθρώποις μέτεστι τῆς κοινῆς ἀπολογίας ἣν αὐτὸς Πλάτων ἐνδίδωσιν, ἧς ἀρτίως ἐμνήσθην, ὡς τύχαι καὶ καιροὶ τὰ τῶν ἀνθρώπων ἄγουσι πράγματα, ἐπεὶ καὶ ὃ προσδιωρθώσατο καὶ προσέθηκε πρὸς τῷ θεῷ καὶ τῇ τύχῃ καὶ τὴν τέχνην τρίτον ὡρίσατο, εὖ φρονῶν. φησὶ γοῦν οὕτως „Ἡμερώτερον μέντοι τρίτον συγχωρῆσαι τούτοις δεῖν ἕπεσθαι τὴν τέχνην.“ ἄριστά γε καὶ θειότατα, ὦ Πλάτων, ὡς ἀληθῶς. εἰ τοίνυν καὶ τῇ τάξει καὶ τῇ δυνάμει τρίτον
62 ἡ τέχνη, πῶς ἀποχρῶν ἂν εἴη καθάπαξ; ἢ πῶς ἄν τις τὸ ἐλάχιστον καὶ τὸ φαυλότατον τῶν πλειόνων καὶ τῶν μειζόνων ἀξιοίη κρατεῖν; οὐκ ἔστιν ὅπως δικαίως. μὴ τοίνυν θαυμάσῃς, εἰ Περικλῆς ἔχων ἐπιστήμην καὶ τέχνην τοῦ θεοῦ καὶ τῆς τύχης ἡττᾶτο, μηδ' ἀμνημόνει τῶν καιρῶν, οὓς αὐτὸς φῂς οὐκ ὀλίγον δύνασθαι, οἷς σὺ πρᾳο-

---

7 ὅπως σωθήσεται] ὥστε σωθῆναι N. ὥστε σωθήσεται superscriptum in L. 9 οὐδ' ὅσον] οὐδὲ ὅσον Θ. 10 τοῦ τῶν] τοῦ deletum in N. 17 ἀρτίως ἐμνήσθην] P. 259, 11. ἐπεὶ] Paulo obscurior est huius vis particulae. vult dicere: recte faciemus quatuor virorum nostrorum collegio tribuentes beneficium excusationis communis omnibus hominibus ab ipso Platone suppeditatae — quoniam hoc etiam recte Plato pronunciavit, praeter deum et fortunam adhuc esse tertium aliquid, in rebus humanis potentissimum, artem puta. Reisk. ὃ deletum in N. 19 φησὶ] De legibus IV. Canter. δεῖν] δ' ἦν N. 20 ὦ Πλάτων] ὡς (γρ. ὦ) πλάτων Θ. καὶ τῇ τάξει ELN. Aberat καί.

τάτοις ἐκεῖνος τότε χρησάμενος φαίνεται. πολλὰ καὶ παρά- (432) δοξα κατ' ἀνθρώπους καὶ γέγονε καὶ γενήσεται. ὧν ἐστι καὶ τὰ τούτοις τοῖς ἀνδράσι συμβάντα. τίς δ' οὐκ ἂν φαίη; ἀλλ' οὔπω ταῦτ' ἐστὶν ἔλεγχος κατ' αὐτῶν ὡς οὔτε ἠπίσταντο χρηστὸν οὐδὲν οὔτ' ἠδύναντο βελτίους ποιεῖν, ἀλλ' ἐξῆν αὐτοῖς τήν τε τέχνην ἔχειν δήπουθεν καὶ τὸ χρηστοὺς εἶναι, εἰ καὶ τῶν μειζόνων ἐπικουριῶν ἔν γε τῷ τότε ἐστέρηντο· μηδέ γ' ἐλάττους φῶμεν αὐτοὺς τῶν ἀντιπάλων γενέσθαι, μὴ δῆτα ἡμεῖς γε, ἀλλ' ὥσπερ ὀλισθεῖν κρείττους ὄντας τοῖς ὅλοις. ἐκράτει Κλέων Περικλέους. ὁ δέ γε αὐτὸς οὗτος καὶ Λακεδαιμονίων ποτέ, ὡς ᾤετο, καὶ δεδεμένους γε ἤγαγεν ἐν πέδαις Ἀθήναζε, καὶ ὃ τούτου μεῖζον εἶναι δοκεῖ, καὶ χρόνον προειπὼν ἡνίκ' ἐξήει, καὶ τοῦτον οὐ πλεῖστον, ἀλλ' ὅσον εἴκοσιν ἡμερῶν. ἀλλ' ὅτι γ' οὐ πάνυ κρείττων ἦν τῶν Λακεδαιμονίων ἔδειξεν Ἀμφίπολις, πρὸς ἣν μαχόμενος οὐ πολὺ τῷ Βρασίδᾳ παρέσχε τὸ ἔργον. ἀλλὰ κἀκείνου τεθνεῶτος ἤρκεσε πελταστὴς Μυρκίνιος φεύγοντα βαλὼν ἀποκτεῖναι, ὥς φησιν ὁ μηνυτής. ὁ δέ γε αὐτὸς οὗτος λέγει καὶ περὶ τῶν ἑκατέρωθεν νεκρῶν ὡς οὐκ ὀλίγον τὸ διάφορον συνέβη γενέσθαι. ἑπτὰ (433) γὰρ οἶμαι πρὸς ἑξακοσίους ἀντιλογίζεται. οὕτω τοίνυν κἂν τῇ δίκῃ οὐ τῶν Περικλέους λόγων οὐδὲ τῆς ἐπιστήμης ἐκράτησεν, οὐδέ γε ὡς ἀνεπιστήμονος περιεγένετο, ἀλλ' ἀπέλαυσε τοῦ καιροῦ, ὥσπερ κἂν τῇ Πύλῳ τῇ τύχῃ καὶ τῷ καιρῷ προσεχρήσατο· ἐπεὶ Περικλῆς γε καὶ τεθνεὼς ἐκράτει Κλέωνος, εἰ δεῖ τἀληθὲς εἰπεῖν. μέγα δὲ σημεῖον·
263 τὸν μὲν γὰρ οὐδεὶς ἦν ὅστις οὐκ ἂν εὔξαιτο ἀναστῆναι, ὥστε κἂν τοῖς δράμασιν ὡς ἀνεστῶτα ὁρῶντες εὐφραίνοντο,

---

262, 4 τότε om. E. 7 οὔτ'] οὐδὲ Θ. ἠδύναντο] Vulgo ἐδύναντο. 8 τήν τε Reiskius. Libri τήν γε. χρηστοὺς] χρηστῆς Opor. εἰ καὶ L et Photius p. 435 b, 32. Legebatur εἴτε καί. 9 μηδέ γ'] μηδὲν E. 10 ἐκράτει] ἐγκράτει L. 11 δεδεμένους γε] γε om. L. 12 καὶ ὃ μεῖζον εἶναι τούτων δοκεῖ N. 15 μυρκίνιος LN. Vulgo Μυρκίννιος. βαλὼν] Lege λαβών. CANTER. ὁ μηνυτής] Thucydides V, 10. Κλέων, ὡς τὸ πρῶτον οὐ διενοεῖτο μένειν, εὐθὺς φεύγων καὶ καταληφθεὶς ὑπὸ Μυρκινίου πελταστοῦ ἀποθνήσκει. 18 ἀνεπιστήμονος] ἀνεπιστίμονας N.

263, 1 εὔξαιτο N et Soph. Legebatur εὔξατο. κἂν τοῖς δρά-

Digitized by Google

τὸν δ' οὐκ ἔστιν ὅστις οὐκ ἂν ἐβούλετο ἀντ' ἐκείνου κεῖσθαι. τοσούτῳ κρείττων ἦν τεθνεὼς Περικλῆς ἐκείνου ζῶντος.

Πάρες οὖν τοῖς συκοφάνταις ταῦτα, αὐτὸς δὲ πάλιν σαυτοῦ τι μνημόνευσον. ὅτι γὰρ οὐδὲν οὔτε τῶν ἀδυνάτων οὔτε τῶν ἀπεικότων καὶ τὰ βέλτιστα λέγοντας ὑπὲρ τοῦ δήμου τῷ δήμῳ προσκροῦσαι, ἀλλὰ καὶ τοῦτ' αὐτὸ τῶν συμφορῶν ἐπιεικῶς αἴτιον γίγνεται, τὸ μὴ βούλεσθαι τῆς ὀρθοτάτης ἀφεῖσθαι γνώμης, οὐ τῶν μάντεων ἀκούσαντα δεῖ γνῶναι, ἀλλ' ὁ πολλῶν δήμων καὶ πόλεων ἀντάξιος Πλάτων ὁ τοῦ Ἀρίστωνος διαμαρτύρεται διαρρήδην οὑτωσὶ λέγων, καὶ ταῦτ' ἐν αὐτοῖς οἷς Σωκράτης (434) ἐκινδύνευσεν οὐχὶ δικαίως αὐτῷ. τίνα οὖν ἐστι τὰ ῥήματα; „Οὐ γάρ ἐστιν ὅστις ἀνθρώπων σωθήσεται οὔθ' ὑμῖν οὔτ' ἄλλῳ τινὶ πλήθει οὐδενὶ γνησίως ἐναντιούμενος καὶ διακωλύων πόλλ' ἄδικα καὶ παράνομα ἐν τῇ πόλει γενέσθαι, ἀλλ' ἀναγκαῖόν ἐστι τὸν τῷ ὄντι μαχούμενον ὑπὲρ τοῦ δικαίου, καὶ εἰ μέλλει ὀλίγον χρόνον σωθήσεσθαι, ἰδιωτεύειν, ἀλλὰ μὴ δημοσιεύειν.“ εἶεν, ὦ φιλότης. εἶτα ἔτι θαυμάζεις εἰ Μιλτιάδης καὶ Θεμιστοκλῆς καὶ Περικλῆς καὶ Κίμων προσέκρουσαν Ἀθηναίοις, τὰ βέλτιστα λέγοντες αὐτοῖς καὶ φεύγοντες τὰ πρὸς ἡδονήν; ἀλλὰ μὴν αὐτός γ' ἔφης ἐντεῦθεν ὡρμῆσθαι τοὺς κινδύνους, καὶ οὐδ' ὀλίγον χρόνον ἐγχωρεῖν διαφεύγειν. πότερον οὖν εἰ προσέκρουσαν θαυμαστόν ἐστι καὶ τοῦτ' ἄξιον αὐτῶν κατηγορεῖν, ἢ 'κεῖνο πολλῷ μᾶλλον ἄξιον αὐτῶν θαυμάσαι, ὅτι τόν γε τοσοῦτον χρόνον διεγένοντο, καὶ μήτε θᾶττον τοῦτ' ἔπαθον μήθ' ὅτε καὶ προσέκρουσαν θανάτῳ γ' ἐζημιώθησαν, ἀλλὰ μέσην τινὰ ὁ δῆμος ἐχώ-

---

μασιν] Spectat ad Eupolidis Δήμους. εὐφραίνοντο] εὐφραίνοιντο L. 2 τοσούτῳ κρείττων] τοσοῦτο κρεῖττον N. 6 ἐπιεικῶς] saepe. Reisk. 9 ἐκινδύνευσεν — αὐτῷ] Ab eo (Platone) fingitur incerto eventu caussam suam dicens et capitis periculo defungens. Reisk. Οὐ γὰρ] In Apologia p. 31 e. Eadem verba affert p. 271, 11. 15 καὶ οὐδ'] καὶ οὐκ N. 16 πότερον ΘELN. Legebatur πότερ'. οὖν] νῦν N apud Iebbium, contra atque ego enotatum habeo. ἐστι] ἐστιν N. 17 ἢ 'κεῖνο Θ. ἢ κεῖνο E. Vulgo ἢ ἐκεῖνο. 19 μέσην τινὰ] ὁδὸν add. L Iebb.: om. Θ. Iunt.

ρησε; καὶ τῇ μὲν ὡς εὖ καὶ καλῶς ὑπ᾽ αὐτῶν ἀχθεὶς
ἠσχύνθη καί τινα πρᾳότητος τύπον διεσώσατο, τῇ δὲ οὐκ (435)
ἠδυνήθη τὴν τοῦ πράγματος φύσιν διαφυγεῖν, ἀλλ᾽ ὧν
δήμῳ προσῆκεν ἁμαρτεῖν, μέρος γοῦν τι μετέσχεν; ἡδέως
264 δ᾽ ἂν ἐροίμην, ὅστις βούλεται δέξασθαι τὸ ἐρώτημα ὑπὲρ
Πλάτωνος, αὐτὸς δὲ δὴ τί μαθὼν ἡμῖν ὁ Πλάτων οὐκ
ἐπολιτεύσατο; ἆρ᾽ ἄλλο τι φήσειεν ἂν ὁστισοῦν ἢ τὸ αὐτὸ
τοῦτο ὅπερ καὶ Σωκράτης λέγων ἐκείνῳ φαίνεται; τί μὴν
ἕτερον; εἶθ᾽ ἃ φοβηθεὶς μὴ πάθῃς οὐκ ἐδημηγόρεις, ταῦτ᾽
εἴ τις ἐκείνων πέπονθεν, ὡς οὐ τὰ βέλτιστα συνεβού-
λευεν ἰσχυρίζει; καὶ μὴν εἰ μὲν οὐδεὶς ἐπῆν κίνδυνος, τοῦ
χάριν οὐδὲν ὤνησας τὴν πατρίδα; εἰ δ᾽ ἕτοιμον ἦν ἀπο-
λωλέναι, τί θαυμάζεις εἴ τις ἐκείνων ἐχρήσατο συμφορᾷ
καὶ τῷ τὰ βέλτιστα λέγειν τιθεὶς αὐτὸς ἕπεσθαι τὸ κιν-
δυνεύειν, ἐκείνους ἐξ ὧν ἠτύχησαν ἀποστερεῖς τὸ λέγειν τὰ
βέλτιστα; φέρε δὴ κἀκεῖνο σκεψώμεθα· ὁπότ᾽ ἦν ἐν τῷ
τὰ δίκαια πράττειν προαιρεῖσθαι τοιοῦτόν τι λαβεῖν παρ᾽
αὐτῶν, πότεροι πρὸς θεῶν πῶς ἂν εὐπρεπῶς εἴποιμι κοι-
νότεροι τὴν γνώμην, καὶ εἰ μὴ τὸ ὅλον βελτίους, τῇ γε
πόλει χρησιμώτεροι, πότερ᾽ οἵτινες προορώμενοι τὸν
προσόντα κίνδυνον εἶτ᾽ ἐκποδὼν ἔστησαν, ἢ οἵτινες εἰδό-
τες οὐκ ἀπώκνησαν; ἐμοὶ μὲν γὰρ δοκεῖ τὸ μὲν μηδὲν (436)
εἰπεῖν αἰσχρὸν κοινὸν ἀμφοῖν εἶναι, τὸ δ᾽ ἐγχειρῆσαι τὰ
βέλτιστα εἰπεῖν τοῦ μηδ᾽ ὅλως εἰπεῖν οὐ τῶν φαυλοτέρων

---

Et vide ne iusto plus codicum et scholiastae auctoritati tribuerim supra p. 87, 14. 20 ἠδυνήθη] Vulgo ἐδυνήθη. τοῦ πράγματος] Id est τοῦ εἶναι δῆμος. naturam suae conditionis. erat autem τοῦ δήμου πρᾶγμα τὸ εἶναι δῆμος, et huius rei naturam cum non posset effugere, necesse erat ei peccare eo modo, quo alii omnes populi peccare solent. REISK.

264, 1 δή om. N. μαθὼν] παθὼν E. 2 ἡμῖν ὁ Πλάτων] ὁ πλάτων ἡμῖν N. ἆρ᾽] ἆρ᾽ ἂν L. ἆρ᾽ οὖν Photii codex Marcianus, qui ἂν post φήσειεν om. 4 συνεβούλευεν] συνεβούλευον E. ἰσχυρίζει] Vulgo ἰσχυρίζῃ. 7 τὸ λέγειν] τοῦ λέγειν Photius p. 430 a, 5. sed τὸ λέγειν codex Marcianus. 9 πρὸς θεῶν post εὐπρεπῶς habet N. τὴν γνώμην N. Aberat τήν. 10 βελτίους ΘELN. Vulgo βελτίως. 11 ἐκποδὼν] ἐκποδῶν LN. 12 τὸ δ᾽] τόδε γ᾽ E. τὸ δέ γ᾽ N. 13 οὐ τῶν φαυλοτέρων ὂν cohaeret cum τοῦ μηδ᾽ ὅλως εἰπεῖν. quapropter punctum post εἰπεῖν

ὂν ἐκείνοις ὑπάρχειν. εἰ γάρ τι καὶ διήμαρτον, οἷς
προείλοντο φήσει τις αὐτοὺς νικᾶν. εἰ τοίνυν μὴ μόν
προείλοντο, ἀλλὰ καὶ κατώρθωσαν πολλὰ καὶ καλὰ κ
δίκαια καὶ κοινῇ συμφέροντα, μὴ πρὸς ἐλαττώματος α
τοῖς γένηται. τοῦτο γὰρ ἔξεστι δήπουθεν αὐτοῖς εἰπεῖ
εἰ δὲ καὶ τοῦτ' ἔξεστιν ἐρωτῆσαι, πότεροι τῷ Σωκράτο
αὐτοῦ καὶ Πλάτωνος λόγῳ μᾶλλον συμβαίνοντα καὶ β
βούλευνται καὶ πεποιήκασι; τῷ ποίῳ δὴ λέγω τούτῳ λόγ
ὅσπερ ἐστὶν ἁπάντων λόγων οἶμαι κάλλιστος. τίς οὗτο
„Οὐ καλῶς“ φησὶ „λέγεις, ὦ ἄνθρωπε, εἰ οἴει δεῖν κί
δυνον ὑπολογίζεσθαι τοῦ ζῆν ἢ τεθνάναι ἄνδρα ὅτου
καὶ σμικρὸν ὄφελός ἐστιν, ἀλλ' οὐκ ἐκεῖνο μόνον σκοπεῖ
ὅταν πράττῃ, πότερον δίκαια ἢ ἄδικα πράττει καὶ ἀνδρ
ἀγαθοῦ ἔργα ἢ κακοῦ.“ οὐκοῦν ὅτ' ἐκεῖνοι φαίνονται μηδ
265 τῶν μελλόντων αὐτοῖς ἔσεσθαι δυσχερῶν ὑπολογισάμεν
πρὸς τὸ δίκαιον, ἀλλ' ἀφειδῶς καὶ ἁπλῶς δόντες αὐτο
ὑπὲρ τοῦ κοινῇ βελτίστου τῷ Σωκράτους κέχρηνται λόγ
ὥστ' ἢ δεικτέον ἐστὶν ὡς οὔτε δίκαια οὔτε ἀγαθῶν ἀ
δρῶν ἦν ἔργα ἃ προείλοντο καὶ οἷς ἐνεχείρησαν, ἢ συ
χωρητέον χρηστοὺς εἶναι τοὺς ἄνδρας, εἰ καὶ ὁτιοῦν ἀπή
τησε, καὶ τοσούτῳ μᾶλλον καὶ μειζόνως, ὅσῳ τὴν δυσκ
λίαν τοῦ πράγματος οὐκ ἔδεισαν. „Φαῦλοι γὰρ ἂν τῷ
σῷ λόγῳ εἶεν — λέγω δὲ ἤδη τὰ Πλάτωνος αὐτοῦ —
τῶν ἡμιθέων ὅσοι ἐν Τροίᾳ τετελευτήκασιν, οἵ τε ἄλλ
καὶ ὁ τῆς Θέτιδος υἱός, ὃς τοσοῦτον τοῦ κινδύνου κατ
φρόνησε παρὰ τὸ μὴ αἰσχρόν τι ὑπομεῖναι ὥστ' ἐπει
εἶπεν ἡ μήτηρ αὐτῷ,“ καὶ πάντα δὴ λέγω τἀπὶ τούτο
οὐ γὰρ δή που τοὺς μὲν εἰς Τροίαν τῶν Ἑλλήνων ἐλθό

---

tollendum. illis esse, ad illos pertinere conatum suadendi optin
qui conatus est in numero rerum non deteriorum, quam plane n
hil dicere. haec est λίτωσις quae rem auget. vult dicere: qui con
tus utique melior est quam plane tacere. Reisk. καὶ διήμαρτ
γρ. καὶ δι' ἡμᾶς τῶν. 15 Post συμφέροντα aut post γένηται d
est τὸ πταῖσαι ἔστιν ἢ aut similis sententia. Reisk. 19 Οὐ κ
λῶς] Plato in Apologia p. 28 b. 21 ὅτ'] ὅτε LN.

265, 3 ἦν ἔργα ΘLN et Photius. Vulgo ἔργα ἦν. 5 ὅσ
ὅσον E. 6 τῶν ἡμιθέων ex Platone dedi. Legebatur τῶν
ἡμιθέων. τῶν δὲ ἡμιθέων ΘLN, δὲ in N expuncto. 7 τοσούτ

Digitized by Google

τας ἐπαινεσόμεθα, ὅτι εἵλοντο καλῶς ἀποθανεῖν, τοὺς δ' εἴ τι πείσονται δυσχερὲς ἐκ τῆς πολιτείας οὐ προτιμήσαντας οὐδὲ παρέντας τῷ φόβῳ τὸ βέλτιστον, τούτους ἀπὸ τῶν συμβάντων κρινοῦμεν· οὐδὲ τοὺς μὲν ὑπὲρ μιᾶς γυναικὸς ὑβρισθείσης ἀγανακτήσαντας ἀνδρῶν ἀγαθῶν λογισμῷ χρῆσθαι φήσομεν, τοὺς δ' ἁπάσης τῆς Ἑλλάδος προστάντας, ἡνίχ' ὑπὲρ παίδων ὁμοῦ καὶ γυναικῶν καὶ ἱερῶν καὶ τάφων καὶ πάντων τῶν ὄντων ἐκινδύνευον, τούτους μετὰ τῶν ὀψοποιῶν καταλέξομεν, πρὸς τοὺς ἡμιθέους (438)
ἀφέντες κρίνειν· οὐδ' εἰ μέν τις φίλῳ τιμωρῶν ὑπέμεινε τελευτᾶν, εἰς μακάρων νήσους πέμψομεν, εἰ δέ τινες τῇ τε πόλει πάσῃ καὶ τοῖς τῶν Ἑλλήνων πράγμασιν ἀντὶ πάντων τῶν ἄλλων κατέστησαν, τούτοις εἴ τί ποθ' ὕστερον συνέβη, τὸ κακῶς ἀκούειν προσθήσομεν. οὐχ ἕως γ' ἂν τοὺς περὶ τῶν δικαίων λόγους φυλάττωμεν. ἀφαιρεῖν γὰρ τοῖς χρηστοῖς τῶν συμφορῶν εἰκὸς ἦν, εἴ πως ἐνῆν, μᾶλλον ἢ τοῦτο οὐκ ἔχοντας ἐπεμβαίνειν, ὃ δὴ λέγεται, κειμένοις.

Βούλομαι τοίνυν καὶ Δημοσθένους τοῦ Παιανιέως μνησθῆναι βραχύ τι, οὐδὲν γὰρ ἦν χεῖρον, ἄλλως τε καὶ περὶ ῥητόρων ὄντος τοῦ λόγου. μνησθήσομαι δ' ὅσον εἰς τούτους ἀνήκει. πῶς οὖν ἐκεῖνος περὶ τῶν αὐτῶν τούτων
266 διείλεκται, κατηγορηκότος μὲν Αἰσχίνου ὡς ἀνάξιος εἴη τοῦ στεφάνου, παρεξετάσαντος δὲ αὐτὸν πρὸς τοὺς πρότερον καὶ μόνον οὐκ ἀνάγκην προσθέντος ὥστ' ἐξαχθῆναι καὶ παρὰ γνώμην εἰπεῖν, καὶ φιλονεικῆσαι πρὸς τοὺς ἄνδρας ἕνεκα τῆς ἐκείνου βλασφημίας; ὁ δέ πως μάλα πρᾴως καὶ σωφρόνως καὶ ἀξίως ἑαυτοῦ τὴν μὲν δεινότητα εἰς (439)
τὸν Αἰσχίνην ἔτρεψε, τοῖς δ' ἀνδράσι τὴν εὐφημίαν ἐτή-

---

τοσούτῳ L. 11 τοὺς μὲν] μὲν om. E. 12 δ' ἁπάσης ELN. Legebatur δὲ πάσης. 13 παίδων] τῶν παίδων N. 16 τούτοις] τούτους N. 17 ἀκούειν L. Vulgo προσακούειν. Conf. p. 273, 18. ἕως γ'] ἕως τ' L. 18 φυλάττωμεν] φυλάττοιμεν E. 20 χεῖρον EN. Vulgo χεῖρων. 21 διείλεκται ΘLN. Vulgo διήλεκται.

266, 1 εἴη] ἦν E. 2 αὐτὸν] ἑαυτὸν Θ. 3 φιλονεικῆσαι ΘLN. Vulgo φιλονικῆσαι. ἕνεκα] εἵνεκα N. 4 ὁ δέ πως] ὢ

ρησε. λέγει γάρ, ὡς ἐγῷμαι, ταυτὶ „Εἶτα τῶν πρότερον γεγενημένων ἀνδρῶν ἀγαθῶν μέμνησαι· καὶ καλῶς ποιεῖς.“ πρῶτον μὲν δὴ τοῦτο τὸ μικρὸν τὸ τῆς προσθήκης πῶς οὐ φιλάνθρωπον ἅμα καὶ γενναῖον, τὸ „καὶ καλῶς ποιεῖς;“ οὐχ ὥσπερ Πλάτων φησὶν ὅτι οὐ καλῶς ποιεῖς, Καλλίκλεις, μεμνημένος τῶν ἀνδρῶν τούτων ὡς ἀγαθῶν· οὐ γὰρ ἦσαν τοιοῦτοι. ἔπειτα τοσούτου ἐδέησε τῆς ὑπαρχούσης ἐκείνοις δόξης ἀφελεῖν ἐπιχειρεῖν, ἵνα δὴ μείζων αὐτὸς φανείη, ὥστε τὴν αὑτοῦ πολιτείαν εἰς τὴν ἐκείνων ἀνενήνοχε, φάσκων ταὐτὰ βουλομένην εἶναι. λέγει γὰρ οὕτως, ὅσον ἐγὼ μέμνημαι „Καὶ μὴν εἰ καὶ τοῦτ᾽ ἄρα εἰπεῖν δεῖ, ἡ μὲν ἐμὴ πολιτεία καὶ προαίρεσις, ἐάν τις ὀρθῶς σκοπῇ, ταῖς τῶν τότε ἐπαινουμένων ἀνδρῶν ὁμοία καὶ ταὐτὰ βουλομένη φανήσεται, ἡ δὲ σὴ ταῖς τῶν τότε τοὺς τοιούτους συκοφαντούντων.“ καίτοι τρία γ᾽ εἰς ὑπερβολὴν ὑπῆρχεν εἰπεῖν αὐτῷ τὰ μέγισθ᾽ ὑπὲρ τῆς αὑτοῦ πολιτείας· πρῶτον μὲν ὅτι οὐχ ὁμοίως εἶχε τὰ τῶν καιρῶν οὔτε τοῖς Ἀθηναίοις οὔτε τοῖς ἄλλοις Ἕλλησι τότε καὶ καθ᾽ αὑτόν, (440) ἀλλ᾽ οἱ μὲν ἐν εὐθενοῦσι τοῖς πράγμασι τὴν αὑτῶν ἀρετὴν ἔδειξαν, οὗτος δὲ νοσούντων καὶ μόνον οὐκ ἀπολωλότων ἤδη πάντων ἐπὶ τὴν προστασίαν τῶν κοινῶν παρῆλθεν. ἔπειθ᾽ ὅτι οὐδὲ τὰ τῶν ἀντιπάλων παραπλήσια, ἀλλὰ πρὸς ἄνδρας ὀξεῖς καὶ δεινοὺς καὶ συγκεκροτημένους καὶ τούτους ὁμόρους καὶ προσοικοῦντας, καὶ ἅμα τῷ κηρυκείῳ καὶ τῷ σιδήρῳ χρωμένους, καὶ τὰ πλεῖστα τῶν πραγ-

---

δέ πως N. 5 Εἶτα] Demosthenes p. 329, 27. 7 τὸ καὶ καλῶς] καὶ om. EL. 8 Καλλίκλεις] ὦ καλλίκλεις E. 9 τοσούτου] τοσοῦτον Reiskius. 10 δὴ] μὴ N. 11 ταὐτὰ LN Canterus, Iebb. ταῦτα Iunt. 12 Καὶ μὴν] Demosthenes p. 330, 16. 13 ἀνδρῶν om. EL: ab rec. m. habet N. ταὐτὰ] Vulgo ταῦτα. ταυτὰ Upor. γρ. ταὐτὰ N. τὰ τοιαῦτα ΘLN. βουλομένη N. Vulgo βουλευομένη. 15 μέγισθ᾽ LN. Vulgo μέγιστα. 17 εὐθενοῦσι] εὐθηνοῦσι (ε supra) LN. αὑτῶν ἀρετὴν] Legebatur ἀρετὴν αὐτῶν. αὐτῶν ἀρετὴν ΘLN. 18 ἤδη πάντων om. E, ab rec. m. habent LN. 20 τούτους] τούτοις N. ὁμόρους ELN Canterus, Iebb. Vulgo ὁμήρους. κηρυκείῳ L, a sec. m. N et Photius p. 436 a, 21. Vulgo κηρυκίῳ.

267 μάτων ἐξ ἀφανοῦς ἀφαιρουμένους, αὐτός θ' ἑαυτὸν ἔταξεν ἀγωνίζεσθαι καὶ τὴν πόλιν ἠξίου καὶ ἃ μηδὲ τοῖς μάντεσιν ἦν προϊδέσθαι μηδὲ προειπεῖν, ταῦθ' ὁμοῦ προλέγειν καὶ διακωλύειν ἠνάγκαζετο. τρίτον δ' ἐπὶ τούτοις ὅτι καὶ μόνος ὡς ἔπος εἰπεῖν ἀντετάξατο τῇ κατὰ τῶν Ἑλλήνων τύχῃ, τῶν μὲν ταὐτὰ προῃρημένων καὶ συνεργούντων πολλῆς τινος ἐνδείας οὔσης, τῶν δ' ὑπὲρ τῶν ἐναντίων λεγόντων καὶ πραττόντων ἀφθονίας θαυμαστῆς, ὧν κρατῆσαι πολὺ μεῖζον ἦν ἢ τῶν ἔξω καὶ φανερῶν πολεμίων. ἀλλ' ὅμως ἐκ τοσούτων καὶ τοιούτων ἐλαττωμάτων κατάλογόν τινα ποιεῖται συμμάχων καὶ πόρων καὶ δυνάμεων, ὧν συνήγαγεν αὐτοῖς ἐκ τοῦ δικαιοτάτου, ἰδίᾳ που (441) τοῦ λόγου λέγων ταῦτα καὶ πρὶν τῶν ἀνδρῶν τούτων μνησθῆναι. μνησθεὶς δὲ τούτων οὐδὲν ἔτι τοιοῦτον, ἀλλ' ἔχων ἃς εἶπον ὑπερβολὰς οὐκ ἐλύπησεν, ἀλλ' ἀποχρῆν ἡγήσατο ὁμοίαν τὴν ἑαυτοῦ πολιτείαν τῇ ἐκείνων προσειπεῖν· καὶ πρός γ' ἔτι τὴν ὑπερβολὴν ἐκείνοις ἀπέδωκεν εἰπὼν οὑτωσὶ „Κἀκεῖνο λογίζου καὶ σκόπει. πότερον κάλλιον καὶ ἄμεινον τῇ πόλει διὰ τὰς τῶν προτέρων εὐεργεσίας οὔσας ὑπερμεγέθεις, οὐ μὲν οὖν εἴποι τις ἂν ἡλίκας, τὰς ἐπὶ τὸν παρόντα βίον γιγνομένας εἰς ἀχαριστίαν καὶ προπηλακισμὸν ἄγειν, ἢ πᾶσιν ὅσοι τι μετ' εὐνοίας πράττουσι τῆς παρὰ τούτων τιμῆς καὶ φιλανθρωπίας μετεῖναι;" κἀνταῦθα μὲν οὕτως· ἑτέρωθι δ' αὖ πολλοῖς πρότερον χρόνοις δημηγορῶν ἐν τοῖς Ἀθηναίοις καὶ παρρησιαζόμενος, πείθων αὐτοὺς τὰ βέλτιστ' ἀντὶ τῶν ἡδέων αἱρεῖσθαι, ἐξὸν αὐτῷ καὶ χωρὶς τοῦ μνησθῆναι τῶν ἄνω ῥητόρων περαίνειν τὰ τῆς ὑποθέσεως, ὥσπερ ἐπεισόδιον χρηστὸν ἐπεισήγαγε, καὶ τοῦ τε Περικλέους αὐτοὺς ὑπεμίμνησκε καὶ ἄλλων ὡδὶ λέγων „Ἀλλὰ δικαίου πολίτου κρίνω τὴν

---

267, 1 θ' N. Vulgo τε. 4 ταὐτὰ LN et Canterus. Vulgo ταῦτα. συνεργούντων LN. Vulgo τῶν συνεργούντων. 6 καὶ φανερῶν] καὶ om. E. τοσούτων] τοιούτων E. 10 τῇ ἐκείνων ΘELN. Vulgo τῆς ἐκείνων. ταῖς ἐκείνων Canterus. 11 Κἀκεῖνο] Demosthenes p. 330, 10. 12 οὐ μὲν οὖν] Vulgo οὐμενουν. ἂν om. N. 13 γιγνομένας] γενομένας L. τι] Sic LN ab sec. m. τε Θ. 14 κἀνταῦθα] ἐνταῦθα a pr. m. N, καὶ ταῦτα ab sec. 18 ἄλλων] τῶν ἄλλων N. Ἀλλὰ] Demosthenes p. 34, 15.

Digitized by Google

τῶν πραγμάτων σωτηρίαν ἀντὶ τῆς ἐν τῷ λέγειν χάριτος (442)
αἱρεῖσθαι. καὶ γὰρ τοὺς ἐπὶ τῶν προγόνων ἡμῶν λέγον-
τας ἀκούω, ὥσπερ ἴσως καὶ ὑμεῖς, οὓς ἐπαινοῦσι μὲν οἱ
παριόντες ἅπαντες, μιμοῦνται δ᾽ οὐ πάνυ, τούτῳ τῷ ἔθει
καὶ τῷ τρόπῳ τῆς πολιτείας χρῆσθαι, τὸν Ἀριστείδην
ἐκεῖνον, τὸν Νικίαν, τὸν ὁμώνυμον τὸν ἐμαυτοῦ, τὸν
Περικλέα.“ δύο τοίνυν ταῦτ᾽ ἄν τις τῶν λόγων τούτων
268 ἐπισημαίνοιτο· ἓν μὲν ὅτι οὐ κατ᾽ ἀνάγκην, ἀλλ᾽ ἐκ πε-
ριουσίας καὶ γνώμης ἐπιεικείᾳ τὴν μνήμην τῶν ἀνδρῶν
καὶ τὸν ἔπαινον τούτων ἐποιήσατο, ἕτερον δὲ ὅτι καὶ αὐτὰ
τὰ ἐναντιώτατα αὐτοῖς ἀπέδωκεν ὧν κατηγόρηκεν ὁ Πλά-
των. ὁ μὲν γὰρ κολακείας καὶ δουλείας καὶ τῆς ἡδονῆς
θεραπευτάς, καὶ μηδὲν πλέον τούτου σκοπεῖν αὐτούς, ὁ
δ᾽ ὡς παρρησίᾳ τῇ δικαιοτάτῃ χρωμένους καὶ τὸ χαρί-
ζεσθαι μηδαμοῦ τιθέντας πρὸς τὸ βέλτιστον, οὕτως ἐπαι-
νῶν φαίνεται, τὴν αὐτὴν τῷ Θουκυδίδῃ φωνὴν ἀφιείς,
ἐπεὶ κἀκεῖνος, ὥσπερ ἐν τοῖς ἄνω λόγοις ἐπεδείκνυμεν,
θαυμαστὸν ὅσον φησὶ περιεῖναι τῷ Περικλεῖ τῆς ἐλευθε-
ρίας καὶ παρρησίας, οὐ γὰρ ἄγεσθαι μᾶλλον ἢ ἄγειν τὸν
δῆμον, καὶ μὴ τί λέγων χαριεῖται σκοπεῖν, ἀλλ᾽ ὅ τι βέλ- (443)
τιστον αὐτοῖς ἡγοῖτο, τοῦτο συμβουλεύειν. ἐπαινεῖ δέ που
καὶ τὸν Νικίαν διὰ τὸ πᾶσαν ἀρετὴν ἐπιτηδεύειν. οὕτω
καὶ ἔντιμα καὶ ὁμολογούμενα ὑπὲρ τῶν ἀνδρῶν εἴρηκεν
ὁ Δημοσθένης.

Φέρε δὴ σκεψώμεθα τἀπὶ τούτοις μετὰ πάσης εὐμενείας, ὥσπερ ἐν κοινῷ τινι τῶν Ἑλλήνων συλλόγῳ. πάντως δὲ ἄκρω μὲν ἀμφοτέρω τὼ ἄνδρε, ὑπὲρ μεγάλων δὲ καὶ οἱ λόγοι. ἀλλὰ μὴν τό γε τοῦ λέγοντος αὐτοῦ ὅπως τις βούλεται τιθέναι, οὕτως ἐχέτω τὰ νῦν. ἀλλ᾽ ὅ γ᾽ ἐβουλόμην εἰπεῖν, πότερος καὶ τὴν ὅλην γνώμην φιλανθρωπότερος καὶ περὶ αὐτοὺς τοὺς λόγους δεξιώτερος κατὰ τοῦτο

---

268, 1 ἐπισημαίνοιτο] ἐπισημήναιτο N. οὐ κατ᾽ ἀνάγκην] οὐκ ἀνάγκη L. 4 θεραπευτὰς] θεραπείας aut θεραπευσίας Reiskius. 7 ἐν τοῖς ἄνω λόγοις] P. 121, 7. Apud Thucydidem II, 65. 9 ἡγοῖτο Θ. Vulgo ἡγεῖτο. δέ που LN Opor. Vulgo δήπου. Νικίαν] VII, 86. 11 τἀπὶ] τὰ ἐπὶ N. 12 τὼ ἄνδρε] Plato puta et Demosthenes. Reisk. 14 ὅ γ᾽ ἐβουλόμην

τὸ μέρος, πότερ' ὅστις αὐτῷ μηδεμιᾶς ἀνάγκης ὑπαρχούσης κακῶς λέγειν εἵλετο τοὺς ἄνδρας, ἢ ὅστις ὄντος μὲν τοῦ παροξύνοντος οὐ προήχθη οὐδ' ἠξίωσεν αὐτὸν σεμνύνειν, ἐν οἷς ἑτέρους ἔμελλε κακῶς ἐρεῖν, πάλιν δὲ μηδεμιᾶς ἀνάγκης ὑπαρχούσης ἐπὶ τοῖς βελτίστοις αὐτῶν ἐμνημόνευσεν ἐξεπίτηδες; εἰ μή τῳ φαυλοτέρα τῆς διαλεκτικῆς ἡ ῥητορικὴ φαίνεται. καίτοι ἔγωγ' ᾤμην οὐ πάνυ ταῦτ'
ἀλλήλων κεχωρίσθαι, ἀλλ' εἶναι τὴν διαλεκτικὴν μέρος τι (444)
τῆς ῥητορικῆς, ὥσπερ τὴν ἐρώτησιν τοῦ παντὸς λόγου, καὶ τὸν αὐτὸν τρόπον ὅνπερ τοῖς δρομεῦσι μέτεστι τοῦ βαδί-
269 ζειν, οὐ μὴν τοῖς βαδίζουσιν ἅπασι τὸ θεῖν οἷόν τε, οὕτω καὶ τοὺς ῥητορικοὺς πρὸς τοὺς διαλεκτικοὺς ἔχειν. Πλάτωνα δὲ ἐξαιρῶ τοῦ λόγου, ἱκανὸς γὰρ καὶ ἀμφότερα. ἀλλ' οὔ τί γε τοῖς περὶ τῶν ἀνδρῶν τούτων λόγοις ἄγων ἡμᾶς οἰχήσεται, ἐπεὶ ὅτι γε οὐκ ἀλόγως οὐδ' ἀπεικότως συνήγαγον τὰς δυνάμεις Πλάτων ἐστὶ σύμψηφος, οὐδὲ γὰρ τοῦτ' ἴσως ἔξω τοῦ πράγματος. ὅταν γὰρ περὶ τῆς τῶν ὀνομάτων ὀρθότητος διαλεγόμενος τοὺς ἥρωας ῥήτορας εἶναι λέγῃ, καὶ πάλιν διαλεκτικούς, τότ' ἄμφω δή που μαρτυρεῖ, καὶ τὴν ῥητορικὴν οὐ κολάκων ἔργον, ἀλλ' ἡρώων τινῶν εἶναι· ὥστε μὴ τοῖς μαγείροις γε προσήκειν ἀπεικάζειν τοὺς ἐπιτηδεύοντας αὐτήν, ἀλλὰ τοῖς ἥρωσι μᾶλλον, καὶ τὴν διαλεκτικὴν αὖ τῇ ῥητορικῇ προσήκειν. ὅταν γὰρ διὰ μέσου τοῦ τῶν ῥητόρων ὀνόματος τοὺς διαλεκτικοὺς τοῖς ἥρωσι συνάπτῃ, πῶς οὐχ ὃ λέγω μαρτυρεῖ; ἀλλ' ὑπὲρ μὲν τούτων οὐ διαφέρομαι· ὅτι δ' οὐ μόνον
ἐξ ὧν Δημοσθένης καὶ Θουκυδίδης καὶ Αἰσχίνης μαρτυ- (445)
ροῦσιν, ἀλλὰ καὶ ἀφ' ὧν αὐτὸς Πλάτων ὡμολόγησεν ἐν αὐτοῖς τούτοις τοῖς διαλόγοις, καὶ νὴ Δί' ἐν αὐτῷ γε τούτῳ τῷ μέρει τῶν λόγων ἐν ᾧ περὶ τῶν ἀνδρῶν διεί-

---

Reiskius. Vulgo ὅγε βουλόμην. 17 οὐδ'] οὐδὲ L. αὐτὸν] αὑτὸν N. 19 εἰ μή Reiskius comparata p. 269, 14. Aberat εἰ. τῳ ELN. Legebatur τῳ δή. ἔγωγ'] ἔγωγε LN.

269, 2 τοῦ λόγου L. Aberat τοῦ. ἱκανὸς] ἱκανῶς N. 4 τοῦτ'] τοῦτο LN. 6 τότ'] τότε LN. μαρτυρεῖ] In Cratylo. CANTER. 7 ἔργον ab rec. m. LN. γε προσήκειν] γε om. E. γε προσήκειν γε N. 11 Δημοσθένης] ὁ δημοσθένης N. 12 Δί'] δία L. 13 ᾧ LN. Vulgo ᾧ καί. διείλεκται OLN.

Digitized by Google

λεκται, καὶ μάτην ἅπαντα εἰρῆσθαι καὶ ψευδεῖς εἶναι τὰς βλασφημίας συμβαίνει, τοῦτ' ἤδη βούλομαι δεῖξαι, εἰ μή τῳ δοκῶ πολυπραγμονεῖν λίαν ἀκριβῶς ἅπαντ' ἐξετάζων. ὅμως δὲ τοσοῦτον προειπεῖν βούλομαι· εἰ γὰρ ἁλοίην ψευδόμενος, δίδωμι καὶ πάντ' ἐξαλεῖψαι τῷ βουλομένῳ, καὶ χάριν προσείσομαι· εἰ δ' ἀλήθειαν λέγων οὐχ ἥδιστα ἐρῶ πᾶσιν, ἄλλος ἂν εἴη λόγος. τὴν γοῦν ἀλήθειαν, ὡς χρὴ τιμᾶν πολλοὶ μὲν εἰρήκασιν, οὐ μὴν ἔσθ' ὅστις πλείονος ἄξιος ἢ Πλάτων. πάρεστι δ' ὃ λέγω σκοπεῖν ἤδη. ὡρμήθη μὲν γὰρ ἅπας αὐτῷ δήπουθεν ὁ περὶ τῶν ἀνδρῶν λόγος ἐκ τούτου, δύο τούτων παρασκευῶν οὐσῶν, τῆς μὲν πρὸς ἡδονὴν ὁμιλεῖν, τῆς δὲ πρὸς τὸ βέλτιστον, τοὺς ῥήτορας εἶναι τούτων ἄρα τῶν πρὸς τὸ χαρίζεσθαι βλεπόντων, καὶ δημηγορεῖν οὕτω τοῦ
270 ἰδίου ἕνεκα τοῦ ἑαυτῶν, ἄλλο δὲ μηδὲν βλέπειν. μνησθεὶς
δὲ καὶ τούτων τῶν ἀνδρῶν, διὰ τὸ τὸν Καλλικλέα δὴ (446)
τούτους γε ὑπεξελέσθαι, βουλόμενος δεῖξαι παραπλησίως τοῖς ἄλλοις ἔχοντας καὶ οὐδὲν βελτίους ὄντας, ἀλλὰ καὶ αὐτοὺς διακόνους καὶ τοιούτους οἵους τὰς ἐπιθυμίας ἐμπιμπλάναι, κατηγορήσας ἃ ἐβούλετο καὶ τὰς συμφορὰς ὀνειδίσας αὐτοῖς, εἶθ' ὥσπερ τῶν πρώτων ἐπιλαθόμενος, μᾶλλον δὲ καὶ τῆς ὑποθέσεως ὅλης, ἐπέθηκεν ἐπὶ τελευτῆς „Ὥστ' εἰ τοιοῦτοι ῥήτορες ἦσαν, οὔτε τῇ ἀληθινῇ ῥητορικῇ ἐχρῶντο, οὐ γὰρ ἂν ἐξέπεσον, οὔτε τῇ κολακικῇ.“ ἔχε δὴ πρὸς θεῶν. πῶς ἄν τις μᾶλλον ἁλοίη τἀναντία λέγων αὐτὸς αὑτῷ, ὅστις λέγων μὲν ὡς ἦσαν κόλακες καὶ τοῦτ' ἀγωνιζόμενος, εἶτ' αὐτὸς αὖ φησιν ὡς οὐκ ἐχρῶντο τῇ κολακικῇ, πάλιν δ' ὧν ἀφῆκεν αὐτούς, ταῦτα κατηγορεῖ, καὶ δι' ὧν μὲν ἐλέγχειν προὐθυμεῖτο, διὰ τούτων ἀφεῖναι ἠναγκάσθη, διὰ δ' ὧν ἀφῆκεν οὓς ᾐτιάσατο τῆς κολακείας, διὰ τούτων ῥητορικὴν ὡς κολακείαν ἐλέγχειν ἀξιοῖ, καὶ ἅμα μέν φησιν ἐξ ἴσου τοῖς ἄλλοις εἶναι τούτους, ἅμα δ' οὐ χρήσασθαι τῇ κολακείᾳ, τοῖς ἄλλοις

---

Vulgo διήλεκται. 16 πάντ' LN. Vulgo πάντα. 17 εἰ δ' ἀλήθειαν] ἀληθῶς superscriptum in E. 19 λέγω] λέγει L.

270, 4 ἐμπιμπλάναι] Vulgo ἐμπιπλάναι. 5 ἐπιλαθόμενος] ἐπιλανθανόμενος Θ. 9 δ' ὧν] δὲ ὧν Θ. 12 τῇ κολακείᾳ] τῇ

*κολακείαν ἐγκαλῶν. καὶ μὴν εἰ μὲν τῆς τῶν διακόνων καὶ τῆς τῶν κολάκων ἐπωνυμίας εἰσὶ δίκαιοι τυγχάνειν, τί* (47) *τοῦτο λέγεις, ὡς οὐκ ἐχρῶντο τῇ κολακικῇ; εἰ δ' αὖ μηδὲν μετῆν αὐτοῖς τῆς κολακικῆς, πῶς μετὰ τῶν κολάκων αὐτοὺς τίθης; ὅρα μὴ οὐχ ὁμολογῇ ταῦτα ἀλλήλοις, ἀλλ' ὡς ἀληθῶς ἔχῃ τὴν τοῦ Ἀμφίονος ἀνταποδοῦναι ῥῆσιν ὁ Καλλικλῆς, ὅτι ἄρα οὐ συμφωνεῖ Πλάτων αὐτὸς αὑτῷ κατὰ ταῦτά γε. καίτοι ποτέροις τῶν λόγων χρὴ πιστεῦσαι, πότερον τοῖς αἰτιωμένοις τοὺς ἄνδρας καὶ διαβάλλουσιν, ἢ τοῖς ἀφιεῖσιν; ἤρξατο μὲν γὰρ ὡς κατήγορος, ἔληξε δὲ ὡς ἄν τις μάρτυς ἥκων αὐτοῖς. καὶ μὴν εἰ μὲν ἔμελλε, τοῦτο γάρ ἐστιν ἤδη τὸ ἰσχυρότατον, κόλακας τρόπον τιν' αὐτοὺς ἐκ τῶν αἰτιῶν δόξειν ἀποφαίνειν, κἀνταῦθα στήσεσθαι τοῦ λόγου, τάχ' ἂν εἰ καὶ τὰ μὴ ὄντα κατηγό-*
271 *ρησεν, ἀλλ' οὖν ἐδόκει γ' ἄν τι προὔργου τῶν λόγων εἶναι· ὅτε δ' εἰπὼν ἅπανθ' ὅσ' ἔχειν ἡγεῖτο κατ' αὐτῶν, εἶθ' ὥσπερ δικαστὴς ἑτέρου λέγοντος ἀκηκοὼς ἀφῆκε τῆς αἰτίας αὐτούς, τίς ἔσθ' ἡ χρεία τῶν λόγων; ἢ πῶς οὐχ ἅμα τε ψευδῆ καὶ μάτην ἅπαντ' εἴρηται; μὴ γὰρ μελλόντων φανεῖσθαι τοιούτων ὁποίους τινὰς αὐτοὺς ὄντας ἐβούλετο δεικνύναι, τί τηνάλλως ἔδει βλασφημεῖν; ὅπου γὰρ* (48) *εἰ καὶ τὰ μάλιστα ἠλέγχοντο, ὑπέρ γε πάσης τῆς ῥητορικῆς λόγος κατελείπετο, ὡς οὐ τοιοῦτον εἴη, πῶς εἰκὸς ἔκ γε τῶν ἀφειμένων αὐτὴν δοκεῖν ἐλέγχεσθαι; τὸ δὲ δὴ λέγειν ὡς οὐδὲ τῇ ἀληθινῇ ῥητορικῇ ἐχρῶντο, οὐ γὰρ ἄν ποτ' ἐξέπεσον, πῶς οὐχ ὑπερφυὲς ἤδη καὶ παρ' ἐκεῖνον αὖ τὸν λόγον, ὃν μικρῷ πρόσθεν ἐδείκνυμεν αὐτῷ, ὡς οὐκ ἔστιν ὑπὲρ τῶν δικαίων λέγοντα πρὸς δῆμον σωθῆναι;*

*Πάλιν δὲ μνημονεύσωμεν τῶν ῥημάτων καὶ παρ' ἄλληλα θεασώμεθα ἅ τ' ἐκεῖ λέγει καὶ ἅ φησιν ἐνταῦθα.*

---

om. N. 14 *αὖ* ΘLN. Vulgo *οὖν*. 15 *τίθης*] *τιθεὶς* Θ. 16 *ἔχῃ*] *ἔχει* LN. *Ἀμφίονος*] Conf. p. 100, 1. 17 *αὑτῷ* LN. Vulgo *αὐτῷ*. 19 *ἥκων*] *εἴκων* N scriptura non satis clara. *κόλακας*] *κολακείας* N. 20 *αἰτιῶν*] *αἰτίων* LN.
271, 4 *αὐτοὺς* om. L. 5 *τηνάλλως*] *τηνάλως* LN. 6 *κατελείπετο*] *κατελίπετο* L. 9 *μικρῷ*] *μικρὸν* N. 10 *παρ' ἀλλη-*

„Οὐ γάρ ἐστιν ὅστις ἀνθρώπων σωθήσεται οὔθ' ὑμῖν οὔτ' ἄλλῳ πλήθει οὐδενὶ γνησίως ἐναντιούμενος καὶ διακωλύων πόλλ' ἄδικα καὶ παράνομ' ἐν τῇ πόλει γίγνεσθαι, ἀλλ' ἀναγκαῖόν ἐστι τὸν τῷ ὄντι μαχούμενον ὑπὲρ τοῦ δικαίου, καὶ εἰ μέλλει ὀλίγον χρόνον σωθήσεσθαι, ἰδιωτεύειν, ἀλλὰ μὴ δημοσιεύειν.“ φέρε δὴ τί αὖ φησιν ἐνταῦθα; προστάτης γὰρ πόλεως οὐδ' ἂν εἷς ποτε ἀδίκως ἀπόλοιτο ὑπ' αὐτῆς ταύτης τῆς πόλεως ἧς προστατεῖ. ταῦτ', ὦ πρὸς Διός, πῶς τις εἶναι φῇ τῆς αὐτῆς γνώμης ἢ πρὸς τὸ (449) αὐτὸ τελευτᾶν, ἅμα μὲν τὸν τῷ δικαίῳ βοηθοῦντα ἀναγκαίως ἔχειν ἀπολέσθαι ὑπὸ τῆς πόλεως ἧς προστατεῖ, ἅμα δ' ἂν ἀπόληται, οὐκ ἄν ποτε τοῦτ' ἀδίκως παθεῖν ὑπὸ τῆς πόλεως ἧς προστατεῖ; ποῦ ταῦτ' ἐστὶν ἐοικότα, ἢ πῶς εἰς ταυτὸν τελεῖ; εἰ δὲ δὴ καὶ τὰ μάλιστα μήτε τῇ ἀληθινῇ ῥητορικῇ ἐχρῶντο μήτε τῇ κολακικῇ, δῶμεν γάρ, κακῶς λέγειν αὐτοὺς οὐδ' οὕτως οἶμαι προσῆκε. τί γὰρ μᾶλλον κόλακας καὶ φαύλους ὑποληπτέον αὐτούς, εἰ μὴ τῇ
272 ἀληθινῇ ῥητορικῇ ἐχρῶντο, ἢ σπουδαίους τε καὶ χρηστούς, ὅτι οὐκ ἐχρῶντο τῇ κολακικῇ; εἰ γὰρ μεταξὺ τούτων ἦσαν οἱ λόγοι καὶ αἱ προαιρέσεις αὐτῶν, οὐ κολάκων γε ἦσαν οὐδὲ φαύλων ἀνθρώπων. σὺ γοῦν αὐτὸς τὰ μεταξὺ τῶν ἀγαθῶν καὶ τῶν κακῶν οὐδὲν μᾶλλον κακὰ δή που καλεῖς. πῶς γὰρ ἂν καὶ αὐτὸ τοῦτ' ἔτι λείποιτο αὐτοῖς τὸ μεταξὺ τούτων ἀμφοτέρων εἶναι, εἰ τοῖς γε ἑτέροις ἐνέχοιντο; ὥστε τί μᾶλλον ψέγειν αὐτοὺς ἢ ἐπαινεῖν προσῆκεν, εἰ μηδετέρου γε μετεῖχον, μήτε τοῦ καλοῦ μήτε τοῦ φαύλου; θαυμάζω δὲ τί ἄν ποτ' ἐποίησεν, ἢ τίνος ἂν μετέδωκεν αὐ- (450) τοῖς εὐφημίας, εἰ τὴν κολακείαν ἐλέγχειν ἔμελλεν, ὁπότ',

---

λα] Vulgo παράλληλα; 11 Οὐ γὰρ] In Apologia p. 31 e. Conf. supra p. 263, 9. οὔθ' ὑμῖν] οὔθ' ἡμῖν N. 12 παράνομ'] παράνομα LN. 15 αὖ] ἃ N. γὰρ πόλεως] γὰρ τῆς πόλεως N apud Iebbium. 16 ταύτης deletum in N. ταῦτ'] ταῦτα N. 18 ἀπολέσθαι ὑπὸ] Enotatum ex E ὑπὲρ nescio ad hoc an ad inferius ὑπὸ pertineat. ἀπόληται] ἀπόλοιται N. 20 τελεῖ] γρ. λήγει L. Eadem varietas in Photii codicibus est. δὴ ΘELN Canterus. Legebatur δεῖ. 21 οὐδ' οὕτω προσῆκεν οἶμαι L.

272, 1 τε Reiskius. Libri γε. 4 κακὰ δή που] κακὰ ἢ ἀγαθὰ δήπου E. 6 ψέγειν] λέγειν E.

*αὐτοῦ τοῦ λόγου πρὸς τοῦτ' ἐκφέροντος ὡς οὐχ οἷόν τε μετεῖναι τούτου τοῦ πράγματος αὐτοῖς, ὅμως οὐκ ὤκνησε τὰ μηδαμῆ συμβαίνοντα κατηγορεῖν. ἀλλὰ μὴν ὅτε γ' αὐτὸς δύο ταῦτα διεῖλου, καὶ τὴν μὲν ἀληθινὴν προσεῖπες ῥητορικὴν, τὴν δὲ κολακικὴν, πῶς ῥητορικῆς καθάπαξ ὡς κολακείας κατηγορεῖς, καὶ ὅπου τοὺς ἄνδρας ἀφῆκας οὓς ἠτιάσω, πῶς ἐλέγχεις ῥητορικὴν ἣν αὐτὸς καὶ χρηστὴν προσείρηκας; εἶεν. τίνι μὴν καὶ τὸ λοιπὸν ἐχρῶντο τῷ τύπῳ τῶν λόγων, ἢ τίν' ἐρρητόρευον τρόπον; εἰ γὰρ μήθ' ὡς ἄν τινες κηδόμενοι μήθ' ὡς ἄν τινες χαριζόμενοι, ἄλλος γέ τις αὐτοῖς τρόπος κατελείπετο. εἰ γὰρ αὖ καὶ τρίτος τίς ἐστι παρὰ τούτους, οὐ σύ γ' ἐμνήσθης αὐτοῦ, ἀλλὰ δύ' εἶναι ταύτας παρασκευὰς διωρίσω, τὴν μὲν πρὸς ἡδονὴν ὁμιλεῖν, τὴν δὲ πρὸς τὸ βέλτιστον. ὥσθ' ὅτε μήτε πρὸς ἡδονὴν ὡμίλουν μήτε πρὸς τὸ βέλτιστον, πρὸς τί λοιπὸν ὡμίλουν; ἢ πῶς οὐ τούς γε σοὺς ὅρους ἐκπεφεύγασιν, οὓς ἔστησας αὐτοῖς ὡς ἀφύκτως καὶ βεβαίως αἱρήσων; ἀλλὰ μή τις αὖ τῶν ἐκείνοις τοῖς ἀνδράσιν εὐμενῶν* (451) *εἰς ὑμᾶς μᾶλλον τοῦθ' ὑπολάβῃ τοὺς σοφοὺς, ὡς ἄρα παντὸς μᾶλλον οὔτε τῇ ἀληθινῇ ῥητορικῇ ἐχρήσασθε πρὸς τὸν δῆμον οὔτε τῇ κολακικῇ. τοῦτο γὰρ ἦν δήπουθεν ἐν*
273 *τῷ τὴν ἡσυχίαν ἄγειν. καίτοι ὅθ' ὑμεῖς οὐδετέρᾳ τούτων φαίνεσθε κεχρημένοι, τί δεινὸν ἐκείνοις πεποίηται, εἰ καὶ δημηγοροῦντες μηδετέρᾳ τούτων ἐχρήσαντο; ἀλλ' ἴσως ἀναγκαῖον ἦν τῇ γε ἑτέρᾳ χρήσασθαι, ἐπειδὴ ὅλως ἐφθέγγοντο καὶ οὐχ οἷόν τε ἀμφοτέρων αὐτοὺς ἐκπεσεῖν. ὅτι μὲν τοίνυν διακονεῖν ὥρμηντο Πλάτων εἴρηκε μόνος, ὡς δ' οὐ τοιοῦτον τὸ ἐκείνων πρᾶγμα πάντες τε λέγουσι καὶ προσέτι αὐτὸς Πλάτων προσωμολόγηκεν, ὥσθ' ἣν ἐπήνεγκε μόνος αἰτίαν, εἰ φαίνεται λύων αὐτὸς, λείπεται τὴν ἐξ*

---

9 ὅμως] ὅμως δ' L. 12 τοὺς ἄνδρας] τοὺς om. E. 13 ἐρρητόρευον L. Vulgo ἐρρητόρευον. 14 κηδόμενοι L in margine, in textu χαριζόμενοι. 19 μᾶλλον expunctum in N. 21 ἐν τῷ πρὸς τὴν fuit in N, sed πρὸς deletum.

273, 1 οὐδετέρᾳ] οὐδέτερα N et paullo post μηδέτερα. 2 μηδετέρᾳ] οὐδ' ἑτέρᾳ E. ἦν ab rec. m. L. ἐπειδὴ ὅλως ἐφθέγγοντο om. E: in marg. ab rec. m. habet L. 4 τοιοῦτον] τοιοῦ-

*ἀρχῆς δόξαν κρατεῖν, ὡς ἀγαθοί τ' ἦσαν πολῖται καὶ τὰ βέλτιστ' ἐδημηγόρουν. ἐγὼ μὲν οὖν οὕτως ἂν μᾶλλον φαίην, ἢ ῥήτορας ὄντας αὐτοὺς μηδετέρᾳ χρήσασθαι τῇ ῥητορικῇ. σκοπῶ δὲ κἀκεῖνο, ὡς εἰ μέν ἐστιν ἡ ῥητορικὴ κολακεία, καθάπαξ δεῖ τῇ κολακείᾳ χρωμένους αὐτοὺς φαίνεσθαι, ἐπειδή γε ἦσαν ῥήτορες. ὥστε πῶς ἢ 'κείνους ἀπολύει τῆς* (452) *αἰτίας, ἢ ῥητορικὴν προσείρηκέ τινα ἀληθινήν; εἰ δ' αὖ χρηστὸν ἢ σπουδαῖον ἡ ῥητορική, δεῖ τοῦ βελτίστου δοκεῖν μέλειν αὐτοῖς. ὥστε πῶς ἢ 'κείνους μὴ πρὸς τὸ βέλτιστον λέγειν αἰτιᾶται, ἢ τὴν ῥητορικὴν κολακείαν καλεῖ; εἰ δ' αὖ διπλοῦν τι τὸ τῆς ῥητορικῆς ἐστι, καὶ τὸ μὲν αὐτοῦ κολακεία τε καὶ αἰσχρὰ δημηγορία, τὸ δ' ἕτερον προστασία τοῦ δικαίου, ἀναγκαῖον ἐκείνοις τοῦ γ' ἑτέρου μετεῖναι σαφῶς γε οὑτωσί. πῶς οὖν ἀμφοτέρων ἀποστερεῖς αὐτούς; καὶ μὴν εἴ γε καὶ δικαίως ἀποστερεῖς ἀμφοτέρων, τρίτη τις ἂν εἴη παρ' ἀμφοτέρας ταύτας ῥητορικὴ πάλιν. ὥστ' οὐδὲ διπλοῦν ἔτι τούτῳ τῷ λόγῳ τὸ τῆς ῥητορικῆς, οὐδ' ἔδειξε δή που Πλάτων ἥτις ἔσθ' ἡ τρίτη. καὶ μὴν εἰ μέσον τι τούτων ἐστὶ τοῦ τε πρὸς ἡδονὴν λέγειν καὶ τοῦ πρὸς τὸ βέλτιστον, οὐδ' οὕτως ἐκείνους γε προσῆκεν ἀκούειν κακῶς. καὶ γὰρ εἰ μὴ τὰ βέλτιστα ἐδημηγόρουν, οὐκ ἐδημηγόρουν γε πρὸς ἡδονήν. οὐ τοίνυν μόνον ἐξ ὧν αὐτοὺς ἀφῆκε τῆς τοῦ κολακεύειν αἰτίας δείκνυται μάτην τὰς βλασφημίας τὰς κατ' αὐτῶν πεποιημένος, ἀλλὰ καὶ ἐξ ὧν τὸν Ἀριστείδην ἐπῄνεσε λαμπρῶς οὕτως μετ' ἐκεί-*

274 *νους. εἰ μὲν γὰρ μηδένα μηδαμῶς εἶχεν ἐπαινέσαι, μηδ'* (453) *ἦν εὑρεῖν ὅστις ῥήτωρ δίκαιος καὶ χρηστὸς γεγένηται, τάχ' ἄν τις ἔφησεν ὡς ἐκ περιουσίας ἐπὶ τοὔνθ' ἧκε τὸ μέρος, τὸ ἐλέγχειν τοὺς ἄνδρας, ἵνα πανταχόθεν τὸν κατὰ τῆς ῥητορικῆς λόγον βεβαιώσηται· μέλλοντι δ' ἐπαινέσεσθαι καὶ ὁντινοῦν τί κέρδος ἦν τούτους κακῶς εἰπεῖν; οὐ γὰρ*

---

το L. 6 τ' Reiskius. Libri γ'. 7 μᾶλλον φαίην] φαίην μᾶλλον N. 8 δεῖ] δὴ N. 9 ἢ 'κείνους] Vulgo ἢ ἐκείνους. 10 τινὰ] τὴν Θ. χρηστὸν] χρηστέον N. 11 ἢ 'κείνους Iunt. ἢ ἐκείνους EL Iebb. 13 αὐτοῦ] αὐτῆς L. 16 τούτῳ τῷ λόγῳ] τῷ λόγῳ τούτῳ L. 17 τι om. ELN. 18 προσῆκεν N, Canterus, Iebb. προσῆκον Θ Iunt. 20 αὐτῶν LN. Legebatur αὐτόν. 21 οὕτως Θ. Vulgo σίτω. οὑτωσὶ N.

274, 2 τὸ ἐλέγχειν HLN. Vulgo τοῦ ἐλέγχειν. 4 κακῶς] κα-

τίς ἄριστος τῶν πολιτευσαμένων προὔκειτο λέγειν, οὐδ' εἰ βελτίων τούτων Ἀριστείδης, ἀλλ' εἰ ἔνεστι τῇ ῥητορικῇ τὸ ὑπὲρ τοῦ δικαίου λέγειν. ὥσθ' ὅτε καὶ ὁστισοῦν εὑρέθη τοιοῦτος, παραπλήσιον ἂν ἦν ὥσπερ ἂν εἰ καὶ τούτων ὁστισοῦν τοιοῦτος εὕρητο. τὸ δὲ δὴ καὶ ἄλλας γεγενῆσθαι φάσκοντα καὶ Ἀθήνησι καὶ ἑτέρωθι, καὶ νὴ Δία προσθέντα γε καὶ ἔσεσθαι, ὅμως εἰς τοσοῦτον φιλονεικίας πρὸς τούτους ἐλθεῖν τίν' ἔχει λόγον; ἐκεῖνο μὲν γὰρ ἦν ὑπὲρ τοῦ πράγματος δοκεῖν σπουδάζειν, τοῦτο δὲ ἰδίᾳ τινὰς κακῶς εἰπεῖν βεβουλῆσθαι. ὥστε δικαίως μὲν αὐτῶν ἐγκεκλημένων οὐδὲν πλέον εἰς τοὺς κατὰ τῆς ῥητορικῆς λόγους, ἀκηκοότων δ' ἃ μὴ προσῆκε μάταιος ἐξ ἀμφοῖν (454)
ἡ βλασφημία. ἀλλ' οἶμαι ἅμα μὲν τοῖς εἰρημένοις κατ' ἐκείνων λόγοις αἰσχυνθείς, ἅμα δ' ἡττηθεὶς τῆς ἀληθείας, οὐ κακῷ τὸ κακόν, οὐ μὴν καλῶς γ' ἰάσατο, μᾶλλον δ' ἀγαθῷ τὸ κακὸν ἐξήλεγξε, τῷ γ' Ἀριστείδῃ τὰ πρέποντ' ἀποδούς. καίτοι εἰ μὲν μηδεὶς ῥήτωρ ἐπιεικής, τί τοῦτον κοσμεῖς; εἰ δ' οὗτός γε σαφῶς δίκαιος, τί σοι πλέον τῆς ἐκείνων κακίας; οὐδὲ γὰρ ἂν ἐλέγχῃς, ὃ βούλει ποιεῖς. οὐδὲν γὰρ μᾶλλον ἡ ῥητορικὴ φαῦλον τοῖς ὅλοις. πόθεν οὖν εἰς ταῦθ' ὑπήχθη; καὶ πῶς ταῦθ' ἅμα τε καὶ ἐκεῖνα λέγων φαίνεται; ὅθεν ἐρώτημ' ἐκεῖνο „Πότερόν σοι δοκοῦσι πρὸς τὸ βέλτιστον ἀεὶ λέγειν οἱ ῥήτορες, τούτου στοχαζόμενοι ὅπως οἱ πολῖται ὡς βέλτιστοι ἔσονται διὰ τοὺς αὑτῶν λόγους, ἢ καὶ οὗτοι πρὸς τὸ χαρίζεσθαι τοῖς πολίταις ὡρμημένοι καὶ ἕνεκα τοῦ ἰδίου τοῦ ἑαυτῶν ὀλιγωροῦντες τοῦ κοινοῦ ὥσπερ παισὶ προσομιλοῦσι τοῖς δή-
275 μοις, χαρίζεσθαι αὐτοῖς πειρώμενοι μόνον, εἰ δέ γε βελτίους ἔσονται ἢ χείρους διὰ ταῦτα οὐδὲν φροντίζουσιν;“

---

κοὺς L. 6 τοιοῦτος εὑρέθη N. ἂν ἦν LN. Vulgo ἦν ἄν. 14 τῷ γ'] τῷ τε E. ἀποδούς] ἀποδοῦσα E. 16 ἐλέγχῃς] ἐλέγχεις N. οὐδὲν] οὐδὲ N. 17 ταῦθ' ἅμα] ταῦτα ἅμα LN. 18 λέγων φαίνεται] φαίνεται λέγων L. ἐρώτημ'] τὸ ἐρώτημ' L. ἐκεῖνο ΘELN. Legebatur ἐκεῖνος. „ἐκεῖνο. sed videtur aliquid deesse.“ Reisk. Post ἐκεῖνο in marg. LN additur tanquam textui inserendum ἠρώτησε τὸ (τὸ om. L). Πότερον] Plato in Gorgia p. 502 e. Vid. supra p. 86, 10. ἀεὶ L. Vulgo αἰεὶ. 19 διὰ] Vulgo καὶ διά. 21 αὐτοῖς] αὑτοῖς N.

Digitized by Google

ἐχρῆν γὰρ αὐτὸν εἰ τὰ μάλιστ' ἐβούλετο τὴν ῥητορικὴν κακῶς λέγειν, τό γ' ἐρώτημα φυγεῖν, διπλοῦν ὂν τῷ μέλλοντι (455) ὑπολήψεσθαι, καὶ καθάπερ τὰ παραδείγματα ἁπλῶς οὑτωσὶ περαίνειν· λέγω τὸ τοῦ κυβερνήτου καὶ τοῦ μηχανοποιοῦ καὶ τἆλλα. νῦν δ' οὔτ' ἐκ τῶν ἑτέρων ἀναγκαίας οὔσης τῆς ἀποκρίσεως οὔτε κατ' ἀμφότερα ἁλωσίμου, σχίζει τὴν ὑπόθεσιν καὶ δίδωσι τὰ δεύτερα τῷ Καλλικλεῖ ἀμέλει καὶ λέγει „Οὐχ ἁπλοῦν ἔτι τοῦτ' ἐρωτᾷς. εἰσὶ μὲν γὰρ οἱ κηδόμενοι τῶν πολιτῶν λέγουσιν ἃ λέγουσιν, εἰσὶ δὲ καὶ οἵους σὺ λέγεις.“ νὴ Δί', εἴποι τις ἄν, αὐτὸ γὰρ τοῦτο προθυμεῖ, τὸ δεῖξαι καὶ διελέσθαι διττὸν εἶναι τὴν ῥητορικήν, τὴν μὲν ὑπὲρ τοῦ βελτίστου, τὴν δὲ πρὸς ἡδονήν. ἐγὼ δ' εἰ μέν ἐστι διπλοῦν ἡ ῥητορικὴ ἢ μὴ τότε δεῖν οἴσομαι ζητεῖν, ὅταν καὶ τὴν φιλοσοφίαν εἰ διπλοῦν ἐστιν ἐπισκοπώμεθα καὶ τήν γε ἰατρικὴν καὶ τὴν κυβερνητικήν, διὰ τοὺς ἐφ' ἑκάστῃ τῶν ἐπιστημῶν τοῦ δέοντος ἁμαρτάνοντας. πολλὰ δ' ἂν φαίην, πρῶτον μὲν ὅτι οὐχ οὕτως ἐλέγετο ἐν τοῖς λόγοις τοῖς πρὸς Πῶλον, ἀλλ' ἁπλῶς οὑτωσὶ πολιτικῆς μορίου εἴδωλον ἤκουεν ἡ ῥητορική· ἔπειθ' ὅτι εἰ τὰ μάλιστα διπλοῦν ὑπελάμβανε τὴν (456) ῥητορικήν, οὐκ ἐν οἷς γε λόγοις κακῶς αὐτὴν λέγειν προῄρητο, ἐν τούτοις προσῆκεν ἐπαινοῦντα φαίνεσθαι, οὐδ' ἐξ ὧν ἤλεγχεν ἀφιέναι. χωρὶς γάρ ἐστι διπλοῦν εἶναι φάσκειν καὶ πειρώμενον καθάπαξ φαῦλον ὂν δεῖξαι μὴ δύνασθαι. πῶς γὰρ οὐκ ἄτοπον, εἰ μὲν ἤλεγξεν ὡς ἔστι κολακεία τοῦτ' ἂν ἰσχυρὸν μένειν, ἐπεὶ δ' οὐδαμοῦ τοῦτο διδάξαι δεδύνηται, καταφεύγειν εἰς τὸ διπλοῦν εἶναι λέγειν; τὸ δὲ δὴ πάντων μέγιστον, εἰ γὰρ ᾤετο χρῆναι τοὺς μὲν ἐπαινεῖν τῶν ῥητόρων, τοὺς δὲ κακῶς λέγειν, τί δή ποθ' ὁ Σωκράτης, αὐτὰ δὴ ταῦθ' ὑπολαβὼν „Ἐξαρκεῖ·

275, 2 μάλιστ'] μάλιστα L. 4 τὸ τοῦ] τὰ τοῦ N. οὔτ'] οὔτε L. 8 προθυμεῖ L. Vulgo προθυμῇ. τὸ διελέσθαι καὶ δεῖξαι Canterus. διττὸν Θ Iunt. Steph. διττὴν N Iebb. 9 τότε δεῖν] τότ' ἰδεῖν Θ. ὅταν] ὅτ' ἂν E. 10 τήν τε ἰατρικὴν N. τὴν κυβερνητικὴν LN. Vulgo τήν γε κυβερνητικήν. 12 πολιτικῆς μορίου εἴδωλον] Vide supra p. 6, 16. 13 ἤκουεν] ἤκουσιν L. 15 οὐδ'] οὐδὲ N. 17 διδάξαι] δεῖξαι EN. 19 δή ποθ' ὁ Σωκράτης αὐτὰ om. E. Ἐξαρκεῖ] ἐξαρκεῖν E.

276 εἰ γὰρ καὶ τοῦτ' ἐστὶ διπλοῦν, τὸ μὲν ἕτερον τούτου κολακεία ἂν εἴη καὶ αἰσχρὰ δημηγορία, τὸ δ' ἕτερον καλὸν, τὸ παρασκευάζειν ὅπως ὡς βέλτισται ἔσονται τῶν πολιτῶν αἱ ψυχαὶ, καὶ διαμάχεσθαι λέγοντα τὰ βέλτιστα, εἴτε ἡδίω εἴτ' ἀηδέστερ' ἐστὶ τοῖς ἀκούουσιν·" οὕτω θεὶς καὶ διελόμενος πάλιν πρὸς θάτερον φιλονείκως ἀπέκλινεν ἐπειπὼν ὅτι „Ἀλλ' οὐ πώποτε σὺ ταύτην εἶδες τὴν ῥητορικήν· ἢ εἴ τιν' ἔχεις τῶν ῥητόρων τοιοῦτον εἰπεῖν, τί οὐ καὶ (457) ἐμοὶ αὐτὸν ἔφρασας ὅστις ἐστί;" μὴ γὰρ ὅτι οὑτωσὶ λέγει τῷ ῥήματι, οὐ πώποτε εἶδες· μάλιστα μὲν γάρ τί σοι τοῦτο διαφέρει, εἰ καὶ μὴ εἶδον, ἔχω δ' εἰπεῖν. ἔπειτ' οὐδὲ οὓς ἐλέγχει δὴ τούτους, τῶν τότε ὄντας ἐλέγχει ῥητόρων, οὐδ' οὓς εἶδεν ὁ Καλλικλῆς, ἀλλ' οὓς ἀκούειν αὐτὸν εἰκὸς εἶναί φησιν. οὐκοῦν ὅτε τούτους ἐλέγχειν πειρᾶται, κατὰ πάντων ἐθέλει λέγειν. οὕτω κατηγορῶν μὲν ὡς ἁπλῶς κακοῦ τῆς ῥητορικῆς ἠναγκάσθη διπλοῦν αὐτὸ θέσθαι, θέμενος δὲ διπλοῦν αὖθις αὖ τοῦτ' ἀναιρεῖν πειρᾶται τῷ κατὰ πάντων ἐθέλειν λέγειν. δῆλον δὲ καὶ τοῖς ἀμοιβαίοις. ἔχει γὰρ οὑτωσὶ „Ἀλλὰ μὰ τὸν Δί' οὐκ ἔχω σοι εἰπεῖν τῶν νῦν ῥητόρων οὐδένα. Τί δαί; τῶν παλαιῶν ἔχεις τιν' εἰπεῖν;" δῆλον ὅτι ὡς οὐδ' ἐκείνων οὐδενὸς χρηστοῦ γεγενημένου. τί γὰρ ἂν βουλόμενος ἢ τούτους ἔψεγε τῶν παλαιῶν ὄντας, ἢ 'κεῖνον ὅλως εἴ τινα τῶν πάντων εἰπεῖν ἔχει προὐκαλεῖτο; καίτοι πῶς οὐκ ἐναντίον περιφανῶς λέγειν μὲν ὡς οὔπω ταύτην εἶδε τὴν ῥητορικὴν, ὅπερ αὐτῷ βούλεται μηδένα πω τοιοῦτον γεγενῆσθαι ῥή- (458) τορα, πάλιν δ' ἀποφαίνειν ὡς Ἀριστείδης τοιοῦτος εἴη

---

276, 2 βέλτισται ex Platone. Vulgo βέλτιστ'. 3 ἡδίω] ἰδίω N. εἴτ' N. Vulgo εἴτε. ἀηδέστερ'] ἀηδέστερα N. ἐστὶ] ἔσται Plato. 6 αὐτὸν ἔφρασας ΘLN. Vulgo ἔφρασας αὐτόν. λέγει] λέγε L. Post εἶδες aliquid deest. τοῦτο ἰσχυρὸν, vel simile quid. non enim hoc firmum argumentum est, aut caussae Platonis conducit, quod dicit, οὐ πώποτε εἶδες. Reisk. 7 εἰ καὶ μὴ] καὶ om. E, ab rec. m. habent LN. 9 πειρᾶται] σπεύδει deleto rursus primo ε (sic) Opor. 10 κατηγορῶν ΘLN. Vulgo κατηγορεῖ. 13 δαὶ Θ. Vulgo δέ. δὴ N. ὡς οὐδ'] ὡς om. L. 14 ἔψεγε] ἔλεγε E. 15 ἢ 'κεῖνον N. Vulgo ἢ ἐκεῖνον. ἔχει] ἔχειν ΘN. προὐκαλεῖτο] προκαλεῖτο L. 17 Ἀριστείδης] ὁ ἀρι-

γεγονώς; τούτων γὰρ ἀνάγκη δή που ϑάτερον ψεῦδος εἶναι. καὶ πρὸς τοσοῦτον ἧκε τοῦ διαφωνεῖν αὐτὸς αὑτῷ ὥσϑ' ἅμα μὲν λέγειν ὡς οὐδεὶς Ἀϑήνησι πολίτης εἴη ἀγα-
277 ϑὸς γεγενημένος, ἅμα δ' ὡς καὶ ἄλλοϑι τοιοῦτοι γεγόνασι μαρτυρεῖν, καὶ προσμαντεύεσϑαί γε ὅτι καὶ γενήσονται.

Ἴσως δ' ἄν τις κἀκεῖνα ϑαυμάσειεν, ὅτι τέτταρας μὲν ἐφεξῆς εἶπε κακῶς, καὶ ταῦτα τῶν Ἑλλήνων οὐ τοὺς φαυλοτάτους, ἑνὸς δὲ πρὸς εὐφημίαν ἐμνήσϑη μόνου, καὶ παρῆλϑε μέν, Νικίαν τὸν Νικηράτου, καὶ ταῦτα τῶν ἐφ' αὑτοῦ ῥητόρων ὄντα, ὅτι μὴ καὶ τούτου πρὸς διαβολὴν μᾶλλον ἐμνημόνευσεν ἐν ᾧ γ' ἐμνημόνευσε μέρει τοῦ λόγου. οὐ γὰρ τῆς γε πολιτείας αὐτοῦ λόγον οὐδένα ἐποιήσατο. καίτοι Νικίας οὕτως ἦν πόρρω τοῦ πρὸς ἡδονὴν τοῖς πολίταις δημηγορεῖν καὶ τοῦ τὰς ἐπιϑυμίας συναύξειν αὐτοῖς, ὥστε κρατοῦντας μὲν τῷ προτέρῳ πολέμῳ Λακεδαιμονίων τοσοῦτον ἔπεισεν εἰρήνην ποιήσασϑαι καὶ μηδὲν πλέον ζητεῖν, πάλιν δὲ τινῶν τῶν Σωκράτους μὲν ἀκηκοότων πολλὰ δὴ καὶ πολλάκις περὶ τούτων, πειϑομένων (459)
δ' οὐ πάνυ τοῖς ἐκείνου λόγοις, ἐναγόντων Ἀϑηναίους πλεῖν εἰς Σικελίαν καὶ πράγμαϑ' αἱρεῖσϑαι πρὸς ἅπαντας ἀνθρώπους, ἁπάσας ἠφίει φωνάς, ἀντιλέγων ὑπὲρ τοῦ βελτίστου καὶ διαμαχόμενος ὡς οἷά τις ἂν τῶν ἐπ' ἔσχατον ἡκόντων φιλοσοφίας. εἰ δὲ τοὺς μὲν ὡς τῷ δήμῳ προσκειμένους κόλακας προσεροῦμεν, τοῖς δ' ὡς ὀλιγαρχικοῖς ἐπιτιμήσομεν οὑτωσὶ δι' ἀπορρήτων, καὶ τὰ μὲν οὐκ ὄντα ἐλέγχειν πειρασόμεϑα, δι' ὧν δ' ἐλεγχόμεϑα ἑκόντες παραλείψομεν, οὐκ ἔστιν ὅπως οὐ λαβὴν τινι τῶν ῥητόρων δώσομεν. χρῆν μὲν οὖν ἴσως καὶ Νικίαν εἶναί τι

στείδης N. 18 τοσοῦτον] Vulgo τοσοῦϑ'. 19 αὐτὸς] αὐτὸν ΘΕ.

277, 1 καὶ ἄλλοϑι] Fort. καὶ ἐκεῖ καὶ ἄλλοϑι. Reisk. προσμαντεύεσϑαι] προμαντεύεσϑαι (σ superscr.) Θ. προμαντεύεσϑαι L. 4 Νικηράτου] νικοκράτου L. 6 οὐδένα] οὐδὲν L. 8 τινῶν] Ut Alcibiades. Canter. 9 δὴ] δὲ L. πειϑομένων] πειϑομένου N. 12 ὡς deletum in N. ἂν om. E. ἔσχατον LN. Vulgo ἔσχαϑ'. 13 ἀπορρήτου (ων superscr.) L. 15 τινι (α superscr.) Θ.

συγχωρῆσαι, κἂν εἰ μὴ ἐπαινεῖν αὐτὸν ἐβούλετο, οὑτωσὶ μεμνημένον, αἰσχυνθῆναί τε παρ' αὐτῷ καὶ τὴν πολιτείαν αὐτοῦ νομίσαι τοῖς κατὰ πάντων λόγοις ἐμποδὼν εἶναι. εἴτε γὰρ καὶ τοῦτον ἃ τοὺς ἄλλους ἔψεγεν οὐκ ἀληθῆ λέγων ἂν ἐφαίνετο εἴτ' οὐδὲν ἔχων τοῦτον αἰτιάσασθαι πάντας ὁμοίως ἔλεγε κακῶς, οὐδ' οὕτως ἀληθὴς ὁ λόγος. καὶ μὴν ὅτι καὶ τοῦτον κακῶς εἴρηκε δῆλον. ἔστι γὰρ εἷς

278 τῶν ἐπ' ἐκείνου ῥητόρων, τούτους δ' ἅπαντας εἴρηκε δή (460) που κακῶς. εἰ δ' ἄρα καὶ τὸν Νικίαν εὐκαταφρόνητον ἡγεῖτο, ἀλλ' οὐχ ὅ γε δή που Σόλων ἐλάνθανεν αὐτὸν ὅσου τινὸς ἄξιος γένοιτο ἐπὶ τῶν προτέρων τῇ πόλει. οὐ γὰρ καὶ περὶ ἐκείνου γ' ἔμελλεν ἐρήσεσθαι τίνα βελτίω τῶν δούλων ἢ τῶν ἐλευθέρων ἐποίησεν, οὐδ' ὡς ἄνευ τάξεως καὶ κοσμιότητος τὴν πόλιν φόρων καὶ φλυαριῶν ἐνέπλησεν ὀνειδιεῖν. ἀλλ' εἰ μὴ ἐκεῖνος αὐτοὺς νομίμους καὶ κοσμίους ἐκ τῶν δυνατῶν ἐποίησεν, ἄλλος γέ τις ἂν δόξειεν. ἐκεῖνος μέντοι παρὸν αὐτῷ στασιαζούσης τῆς πόλεως ὁποτέρων βούλοιτο προστάντι τυραννεῖν, ἀπεχθάνεσθαι μᾶλλον ἀμφοτέροις εἵλετο ὑπὲρ τοῦ δικαίου· καὶ τῶν μὲν πλουσίων ὅσον καλῶς εἶχεν ἀφεῖλε, τῷ δήμῳ δ' οὐκ ἔδωκεν ὅσον ἐβούλετο, ἔστη δ' ἐν μεθορίῳ πάντων ἀνδρειότατα καὶ δικαιότατα, ὥσπερ τινὰς ὡς ἀληθῶς ἐκ γεωμετρίας περιγραπτοὺς φυλάττων ὅρους· καὶ οὔτε φόβος τῶν ἰσχυροτέρων οὔτε τιμὴ παρὰ τῶν πολλῶν οὔτ' ἄλλο τοιοῦτον οὐδὲν προηγάγετο αὐτὸν, οὐδ' ἐξέστησεν, οὐδ' ἐπῆρε παρ' ἃ βέλτιστα ἡγεῖτο πρᾶξαί τι. οὕτως οὔτ' αὐτὸς ᾤετο δεῖν τοῦ ἰδίου ἕνεκα τοῦ αὐτοῦ δημηγορεῖν καὶ τοῦ τοῖς ἄλλοις ἀποπιμπλάναι τὰς ἐπιθυμίας παμπληθὲς (461) ἀπεῖχε. καίτοι τί φησι Πλάτων; εἰς τοὺς ποιητὰς αὐτὸν

---

16 μεμνημένον N Opor. Vulgo μεμνημένος. σεμνυνόμενος E. τε] γε Reiskius. 17 τοῦτον ἃ] τουτὶ ὧν τοῦ ἃ N. 18 ἔψεγεν] ἔλεγεν E.

278, 3 ὅσου Reiskius. Vulgo ὡς οὐ. ὡς πολλοῦ E. 5 ὀνειδιεῖν N. Vulgo ὀνειδίσειεν. 6 αὐτοὺς] τοὺς ἀστοὺς E. 7 παρὸν] καὶ παρὼν N. 9 ἔστη] ἔστι N. 11 φυλάττων] φυλάσσων N. 12 ἐπῆρε] ἐπῆρεν Θ. ἀπῆρε L. 13 αὐτοῦ N. αὐτοῦ L. Vulgo ἑαυτοῦ. 14 φησὶ] φῂς in secunda persona. verum tamen quid ais, mi Plato? tene Solonem ad poetas referre, aut eumne

τιθέναι. νὴ Δία τῶν τριμέτρων ἕνεκα καὶ τῶν ἐλεγείων. ἔστω ταῦτα. σὺ τοίνυν αὐτὸς φῂς ὅτι εἴ τις τῆς ποιήσεως περιέλοι τὸ μέτρον καὶ τὸν ῥυθμόν, δημηγορία δὴ τὸ λειπόμενόν ἐστιν. ὥστ᾽ εἰ καὶ μηδεπώποτ᾽ ἐφθέγξατ᾽ ἐπὶ τοῦ βήματος, τὰ δὲ ποιήματα ᾔδει μόνα, κατά γε σὲ καὶ τὴν σὴν ψῆφον ἐδημηγόρει. ἢ πρὸς θεῶν ἂν μέν τι δέῃ κακῶς εἰπεῖν ἐκ ποιητικῆς ῥητορικήν, ἕν τι καὶ ταυτὸν εἶναι φήσομεν, ἢ μικρόν τι διαλλάττειν, ὅταν δ᾽ ὡς ἀληθῶς οἱ ποιηταὶ ῥητορεύωσι καὶ τὰ βέλτιστα καὶ τὰ χρησιμώτατα ἀκούειν λέγωσιν, ἄλλο τι τοῦτ᾽ ἤδη φήσομεν εἶναι καὶ διαφέρειν πολλῷ τινι; οὔκουν δίκαιόν γε οὐδ᾽
279 εἰκός. καίτοι Σόλων τὰ μὲν εἰς Μεγαρέας ἔχοντα ᾆσαι λέγεται, τοὺς δὲ νόμους οὐκ ᾖδε περιιών, οὐδὲ τοὺς λόγους τοὺς ὑπὲρ τῶν εὐπόρων πρὸς τὸν δῆμον, οὐδὲ τοὺς ὑπὲρ τῶν πολλῶν πρὸς τοὺς πλουσίους οὐκ ᾖδεν, οὐδ᾽ ὅσα ἄλλα ἐπολιτεύετο, οὐκ ᾄδων οὐδ᾽ ἐν μέτροις ἐπολιτεύετο, ἀλλὰ (462)
τῷ τῆς ῥητορικῆς τύπῳ καθαρῶς χρώμενος, ἐν οἷς ἅπασι κάλλιστα ἐπέδειξεν ὅτι τῷ γε ὀρθοτάτῳ τῶν λόγων αὐτὸς ἂν εἴη ῥήτωρ καὶ σοφός, ἀμφοτέρας γοῦν ἔσχε τὰς ἐπωνυμίας τε καὶ δυνάμεις, καὶ ὅτι γε ἡ ῥητορικὴ καὶ ἡ νομοθετικὴ τῆς αὐτῆς εἰσι φύσεως. ἀλλ᾽ οὐ μὰ Δί᾽ οὐχ ἡ ῥητορικὴ τοσούτῳ χείρων τῆς νομοθετικῆς ὥστε τοῦ δευτέρου καὶ χείρονος εἴδωλον εἶναι κατεψευσμένον. καὶ μὴν εἰ τῶν ἄλλων μηδεὶς μηδένα τῶν ἐφ᾽ αὑτοῦ βελτίω ποιήσας φαίνεται, Σόλων γε καὶ τοὺς μέλλοντας Ἀθηναίων ἔσεσθαι φαίνεται βελτίους εἰς ὅσον ἐξῆν πεποιηκώς, καὶ ταῦτά γε ἃ μάλιστα Πλάτων σπουδάζει. νομίμους γὰρ καὶ

---

illuc oportere referri? Reisk. 15 τριμέτρων] μέτρων E. καὶ τῶν LN, Canterus, Iebb. καὶ om. Iunt. 16 φῂς] In Gorgia. 17 μηδεπώποτ᾽] μηδεπώποτε LN. ἐφθέγξατ᾽ LN. Vulgo ἐφθέγξατο. 19 Si oporteat eloquentiam ex eo vituperare, quod poeticarum laudum ei nonnihil insit, perinde esse, utram vituperes. Reisk. 21 ἄλλο τι LN Opor., Canterus, Iebb. ἀλλ᾽ ὅτι Iunt.

279, 4 οὐδ᾽ ἐν LN. Vulgo οὐδὲ ἐν. 5 ἐπέδειξεν] ἐπέδειξεν N. τῷ γε N. Vulgo γε τῷ. 7 καὶ ἡ νομοθετικὴ — οὐχ ἡ ῥητορικὴ add. ELN Opor. Iebb. om. Iunt. Δί᾽] διὰ E. τοσούτῳ] τοσοῦτο E. χείρων] χείρω L. χεῖρον καὶ Θ. 10 ἃ EL.

Digitized by Google

δικαίους καὶ τάξιν σώζοντας ἠξίωσε ποιῆσαι τὸ καθ' αὑτόν. οἶμαι δ' οὐκ Ἀθηναίους μόνον, ἀλλὰ καὶ πολλοὺς ἄλλους τῶν Ἑλλήνων, οἳ τοῖς ἐκείνου χρῆσθαι νόμοις ἔγνωσαν. εἶτα τούτου μὲν οὐ μέμνηται Πλάτων, ἑτέρους δ' ἐξετάζει τινάς. καὶ τὸν μὲν Ἀριστείδην ἐπαινέσας, γεγόνασιν, ἔφη, καὶ ἄλλοι, καὶ τοσοῦτον ἀρκεῖν ἡγήσατο προσθεῖναι· ἐπ' ἐκείνων δ' οὐ ταυτὸν τοῦτ' ἐποίησεν, οὐδ' εἰ μηδ' οἷός τ' ἦν κατασχεῖν ἑαυτὸν, ἕνα τιν' αὐτῶν κακῶς εἰπὼν ἀπηλλάγη, ἀλλὰ πάντων ἐφεξῆς κατέ- (463)
δραμε. καίτοι τί τὸ κωλῦον ἦν ὥσπερ ἐνταῦθα ἑνὸς μνησθεὶς τοὺς ἄλλους παρῆλθεν, οὕτω κἀκεῖ μὴ πάντας κακῶς λέγειν ὀνομαστί; νῦν δ' ὥσπερ ὡς ἀληθῶς τέταρτον μόριον τῇ πολιτικῇ νέμων παρὰ τὴν κολακείαν ἑνὸς μὲν ἐπ'
280 εὐφημίᾳ, τεττάρων δ' ἐπὶ τοῖς ἑτέροις ἐμνημόνευσεν. ὅτι τοίνυν οὐδ' ὃν ἐπήνεσεν οὐδαμῶς ἐν καιρῷ τοῖς λόγοις ἐπήνεσε τοῖς ἑαυτοῦ, ἀλλὰ κἀνταῦθα οὐ ἥκιστα αὐτῷ συνέφερεν ἐμνημόνευσεν, ὑπερβολὴ μὲν εἶναι δόξει τις, ὅμως δ' ἔγωγε καὶ τοῦτο οὐ χαλεπῶς οἴομαι δείξειν. κατηγόρηκε γὰρ τοῦ Μιλτιάδου καὶ Κίμωνος καὶ Θεμιστοκλέους δὴ καὶ Περικλέους, ὅτι τῷ δήμῳ προσέκρουσαν, καὶ μέγιστον τοῦτο σύμβολον πεποίηται τοῦ μηδὲν βελτίους ὑπ' αὐτῶν Ἀθηναίους γεγονέναι, προσῆκον, εἴπερ γε ἦσαν αὐτοὶ δίκαιοι καὶ δικαίους ἐποίουν. τὸν δὲ Ἀριστείδην ἐπῄνεκεν ὡς καλὸν κἀγαθὸν καὶ δίκαιον. φαίνεται δὲ καὶ οὗτος οὐδὲν πρᾳοτέρων τῶν Ἀθηναίων τυχὼν εἰς αὐτὸν, ἀλλὰ καὶ αὐτὸς ἐξοστρακισθεὶς εὖ καὶ καλῶς, καὶ νὴ Δί', ὡς ἐγῷμαι, πρότερος μὲν τοῦ Κίμωνος, πρότερος δὲ καὶ τοῦ Θεμιστοκλέους. ἑλοῦ δὴ κἀνταῦθα ὁπότερον βούλει δυοῖν. εἰ (464)
μὲν γὰρ ἐκ τῶν συμφορῶν δεῖ τοὺς ἄνδρας θεωρεῖν, κἂν

Legebatur εἰς ἃ, quae voculae erasae in N. 11 καθ' αὑτόν] κατ' αὐτόν N. 15 δ' οὐ ταυτὸν] δ' οὕτω τὸν L apud Iebbium. 16 αὐτῶν] αὐτὸν L. 18 ὀνομαστί] ὀνόματι E. ὡς om. L et lacunae relicta N.

280, 3 ὑπερβολὴ] ὑπερβολὴν L. 4 οὐ χαλεπῶς] οὐχ ἁπλῶς a pr. m. L. γὰρ om. N. τοῦ μιλτιάδου LN. Vulgo τοῦ τε Μιλτιάδου. 6 γε om. N. 7 ἐπῄνεκεν N. Vulgo ἐπήνεγκε. ἐπήνεγκεν Θ. Conf. ad p. 283, 4. δὲ καὶ] δὲ μὲν N. 8 ἐξοστρακησθεὶς N. 9 δὲ καὶ τοῦ] καὶ om. L. δὴ] δὲ L. 10 δυ-

ὁ δῆμός του καταψηφίσηται, φαῦλον εὐθέως ἡγεῖσθαι, οὐδὲν βελτίων ἐκείνων οὗτος· οὐδὲ γὰρ αὐτὸς ἀθῷος φαίνεται διαφυγών, ἀλλὰ ταὐτὰ παθὼν ἐκείνων ἐνίοις· εἰ δ' αὖ μηδὲν κωλύει τὸν Ἀριστείδην χρηστὸν νομίζεσθαι, μηδ' εἰ πολλάκις ἐξωστρακίσθη, τί λέγεις κατ' ἐκείνων ὡς ἰσχυρὸν τὸ προσκροῦσαι; τὸ γὰρ αὐτὸ δίκαιον ἐπ' ἀμφοῖν, καὶ οὐδ' αὐτὸς ἐκεῖνος ἄλλως ἄν, εἰ περιῆν, ἔφη, δίκαιός γε ὤν, ὡς σὺ φής. ἢ τοίνυν καὶ τοῦτον ψέγειν ἢ μηδ' ἐκείνους αἰτιᾶσθαι προσῆκον ἐκ τῶν αὐτῶν δείκνυται. ὡς τοίνυν καὶ πάντας ἐπαινεῖ λαμπρῶς καὶ οὐ μόνον ἐξ ὧν τῆς αἰτίας ἀφῆκεν αὐτοὺς ἣν ᾐτιάσατο, οὐδ' ἐξ ὧν τῷ γε Ἀριστείδῃ τὴν πρέπουσαν εὐφημίαν ἀπέδωκεν, οὐδὲν κύριόν ἐστι τῶν βλασφημιῶν, ἀλλὰ καὶ ἐξ ὧν ἄντικρυς ταὐτὰ ἐμοὶ φθέγγεται, περὶ τούτων βραχὺς ἀρκέσει μοι λόγος. ὁ γὰρ τοὺς Μαραθῶνι προκινδυνεύσαντας ἐπαινῶν εἰς ἀρετὴν καὶ φάσκων πατέρας τῆς ἐλευθερίας τοῖς Ἕλ-

281 λησιν εἶναι, καὶ προσέτι γε τῇ ἠπείρῳ πάσῃ, καὶ πάλιν (465)

τοὺς τὰ δεύτερα ἐκδεξαμένους ἐγκωμιάζων, τούς ἐπ' Ἀρτεμισίῳ καὶ Σαλαμῖνι ναυμαχήσαντας, καὶ τούς γε εἰς Κύπρον καὶ Παμφυλίαν πλεύσαντας, καὶ βεβαίους τῆς ἐλευθερίας τοῖς Ἕλλησι στήσαντας τοὺς ὅρους, καὶ τοὺς Ἕλληνας αὖ τῆς ἀγνωμοσύνης αἰτιασάμενος τοὺς ἐπὶ τὴν γῆν ἐκείνων στρατεύσαντας, καὶ τοὺς ἑλόντας τοὺς ἡγουμένους αὐτῶν ἐπαινῶν τὰ πρέποντα, καὶ λόγον πανηγυρικὸν διεξιὼν αὐτοκέλευστος ἐπ' αὐτοῖς, τί ἄλλο οὗτος ἢ τὸν Μιλτιάδην καὶ τὸν Θεμιστοκλέα καὶ τὸν Κίμωνα καὶ τὸν Περικλέα κοσμεῖ τοῖς λόγοις τούτοις; ὅταν γὰρ τὰ πολιτεύματ' αὐτῶν ἐπαινῇ, πῶς οὐκ αὐτοὺς ἐπαινεῖ; οὐ γὰρ

---

οἶν] ὁνεῖν N. 12 ταὐτὰ LN et Canterus. Vulgo ταῦτα. 13 τί λέγεις ΘELN. Vulgo τί γε λέγεις. γε, τί λέγεις L. γε aut delendum cum codd. mstis aut mutandum cum καί. Reisk. 14 οὐδ' N. Vulgo οὐδέ. ἄλλως] ἄλλος N. 17 τῷ γε] γε om. N. 18 ἐμοὶ add. LN Opor. Iebb. om. Iunt. φθέγγεται] In Menexeno. Canter.

281, 2 τούς γε LN. Legebatur τοὺς πρός γε. Aut πρός delendum, quod etiam codd. deest, aut transpositis vocabulis legendum καὶ πρός γε τοὺς εἰς Κ. et praeterea quoque. Reisk. 4 τοὺς ἐπὶ] καὶ τοὺς LN, καὶ superne adscripto. 5 ἡγουμένους] Lace-

ἐκεῖνό γ' ἔστιν εἰπεῖν, ὡς ἃ τοῖς πεισθεῖσιν ἀρετῆς ἔχει δείγματα, ταῦτ' ἐν κακίᾳ χρὴ κατὰ τῶν πεισάντων λαμβάνειν, οὐδ' ὡς τοὺς μὲν διακονήσαντας ὡς ἀγαθοὺς ἄνδρας ἐπαινεῖν, τοὺς δ' εἰσηγησαμένους ταῦτα καὶ συμβουλεύσαντας διακόνους πειρᾶσθαι τῷ λόγῳ ποιεῖν· οὐδ' ὧν αἱ προαιρέσεις τῆς ἐλευθερίας τοῖς Ἕλλησιν ἦρξαν, τούτους ὡς ταῖς τῶν πολιτῶν ἐπιθυμίαις ἐδούλευον λέγειν. εἰ μὲν γὰρ ἄλλως ταῦτ' ἐστὶ λόγου χάρις τε καὶ ἡδονή, (46 τί τῆς ῥητορικῆς ταῦτα κατηγορεῖ; καὶ τί τῶν κολάκων εἷς γίγνεται λέγων τὰ ἡδίω πρὸ τῶν ὄντων, καὶ ταῦτα μηδεμιᾶς ἀνάγκης ἐπούσης; εἰ δ' ἐφ' ἅπασι δικαίοις καὶ μετὰ τῆς ἀληθείας εἴρηται, τίνι χρὴ μείζονι λῦσαι τὰς βλασφημίας; ἢ τίνα καλλίω ποιήσασθαι μάρτυρα αὐτοῦ Πλάτωνος, ὅταν ἐνταυθοῖ μὲν καὶ παραχρῆμα ἀφιεὶς φαίνηται τῆς αἰτίας αὐτούς, ἑτέρωθι δὲ καὶ καθάπαξ ἐγκωμιάζων καὶ τὸν Στησίχορον μιμούμενος τῇ παλινῳδίᾳ; καὶ μὴν καὶ τοὺς νόμους γε τιθεὶς τῶν Μηδικῶν * * ἄλλα τε δὴ περὶ τῆς πολιτείας τῆς κατ' ἐκείνους τοὺς ῥήτορας ἥκιστα τοῖς τῆς κολακείας ἐγκλήμασι συμβαίνοντα καὶ ὅτι εἰ μὴ τὸ Ἀθηναίων καὶ Λακεδαιμονίων διανόημα ἔσωσε
282 τοὺς Ἕλληνας, τῆς γε ἄλλης Ἑλλάδος οὐδαμῶς ἄν τις εὐσχήμονα κατηγοροίη, δίκαια λέγων καὶ τὰ ὄντα.

Οὐκοῦν τοῖς γε Ἀθηναίοις εὐσχημόνως ταῦτα ἐπράττετο· εἰ δὲ εὐσχημόνως, καὶ τεταγμένως· εἰ δὲ τεταγμένως, καὶ κοσμίως. κοσμίως ἄρα ἦγον αὐτοὺς οἱ κεκοσμηκότες καὶ οὔτ' αὐτοὶ ᾤοντο δεῖν λέγειν εἰκῇ οὔτ' ἐκείνους

---

daemonios in Pylo. Canter. 10 εἰσηγησαμένους L Steph. Iebb. εἰγησαμένους Iunt. ἡγησαμένους N. 12 ταῖς ab rec. m. LN. εἰ μὲν γὰρ ΘLN et Photius p. 436 b, 33. Aberat γάρ. ἐστὶ λόγου ΘLN et Photius. Legebatur ἐστιν ὅλως. 14 ἡδίω] ἰδίω N. 15 ἢ τίνα] καὶ τίνα N. 16 ἐνταυθοῖ] ἐνταῦθα Photius. 18 τῶν Μηδικῶν praeteriit Canterus in Latinis et suspecta sunt. deinde post δὴ deest διεξέρχεται, vel λέγει vel simile quid. Reisk. Indicavi lacunam. Verba τῶν Μηδικῶν sanissima videntur. Locus Platonicus est de legibus III. p. 692 e. 19 τὸ Ἀθηναίων] τῶν ἀθηναίων N.

282, 3 τεταμένως bis L. In eiusdem margine annotatum τὸ σχῆμα συλλογιστικόν. 4 οὔτ' αὐτοὶ N. Vulgo οὔτε αὐτοί.

Digitized by Google

πράττοντας ὅ τι τύχοιεν περιορᾶν. οὐκ ἄρα χωρὶς σω- (467) φροσύνης φόρων καὶ συμμάχων καὶ τῶν τοιούτων ἐνέπλησαν τὴν πόλιν, εἴπερ δεῖ τοῖς Πλάτωνος πείθεσθαι λόγοις καὶ νόμοις. ἔτι δ' αὐτὸ δείξω σαφέστερον καὶ κατὰ ῥῆμα ἐπεξιών· ἔστι γὰρ οὕτως ἔχοντα „Ἡμῖν γὰρ κατ' ἐκεῖνον τὸν χρόνον, ὅτε ἡ Περσῶν ἐπίθεσις τοῖς Ἕλλησιν, ἴσως δὲ σχεδὸν ἅπασι τοῖς τὴν Εὐρώπην οἰκοῦσιν ἐγίγνετο, πολιτεία τε ἦν παλαιὰ καὶ ἐκ τιμημάτων ἀρχαί τινες τεττάρων, καὶ δεσπότις ἐνῆν τις αἰδώς, δι' ἣν δουλεύοντες τοῖς τότε νόμοις ζῆν ἠθέλομεν." οὐκοῦν ὅταν αἰδουμένους μοι διδῷς αὐτούς, ἐπιεικεῖς ἄνδρας εἶναι δίδως. „καὶ πρὸς τούτοις δὴ τὸ μέγεθος τοῦ στόλου κατά τε γῆν καὶ κατὰ θάλατταν γενόμενον φόβον ἄπορον ἐμβαλὸν δουλείαν ἔτι μείζονα ἐποίησεν ἡμᾶς τοῖς τε ἄρχουσι καὶ τοῖς νόμοις δουλεῦσαι." εὖ γε, ὦ φίλτατε Ἑλλήνων. τόν τε γὰρ δῆμον οἷς μάλιστα προσήκει δουλεῦσαι λέγεις ἄρχουσι καὶ νόμοις, τούς τε προεστηκότας αὐτῶν ἄρχειν καὶ κρατεῖν, οὐ κολακεύειν οὐδὲ ἄρχεσθαι. „καὶ διὰ ταῦτα πάνθ' ἡμῖν ξυνέπεσε πρὸς ἡμᾶς αὐτοὺς σφοδρὰ φιλία." ταῦτα πάνθ' ὡς ἀληθῶς εὐφημίας μεστὰ καὶ κατὰ τοῦ δήμου καὶ κατὰ (468) τῶν προεστηκότων. ἔπειτα προελθὼν „Ἐπὶ δὲ τῆς ἐλπίδος" φησὶν „ὀχούμενοι ταύτης εὕρισκον καταφυγὴν αὑτοῖς εἰς αὑτοὺς μόνους εἶναι καὶ τοὺς θεούς." οὐκοῦν ἐσωφρόνουν πάντες γε, ὡς ἔγωγε οἶμαι, μᾶλλον. „ταῦτ' οὖν αὐτοῖς πάντα φιλίαν ἀλλήλων ἐποίει, ὁ φόβος ὁ τότε πα-

---

τύχοιεν] τύχοιε (sic) LN. 6 δεῖ] δὴ N. 7 ἐπεξιών] διεξιὼν N. Ἡμῖν] Plato de legibus III. p. 698 b. γὰρ κατ' N. Vulgo γὰρ καὶ κατ'. ἐπίθεσις] ὑπόθεσις primum fuit in N. 9 δεσπότις] δεσπότης L. 10 τότε ex Platone dedi. Legebatur τε, quod om. L. τοῖς τε νόμοις καὶ τοῖς ἄρχουσι (v. versu 12.) ζῆν. aut alias τε est delendum, ut codici Barocc. deest. Reisk. 10 διδῷς] δίδως L. λέγῃς N rec. m. 11 τὸ μέγεθος ex Platone. Vulgo τότε μέγεθος. κατὰ θάλατταν] κατὰ deletum in N. γενόμενον] γενομένου Reiskius. 12 ἐμβαλὸν ex Platone. Libri ἐμβαλών. τοῖς τε] τοῖς τότε Plato. 15 πάνθ'] πάντα N. σφοδρὰ] Vulgo σφόδρα. πάνθ'] πάντα LN. 16 εὐφημίας] φιλίας LN. εὐφημίας in L superscriptum. ἐπὶ δὲ τῆς] Plato p. 699 c. 17 αὐτοῖς — αὐτοὺς] Vulgo αὑτοῖς — αὑτούς.

Digitized by Google

ρῶν ὅ τ' ἐκ τῶν νόμων τῶν ἔμπροσθεν γεγονὼς, ᾧ δου-
λεύοντες τοῖς ἔμπροσθεν νόμοις ἐκέκτηντο, ἣν αἰδῶ πολ-
λάκις ἐν τοῖς ἄνω λόγοις εἴπομεν, καὶ ᾗ δουλεύειν ἔφαμεν
283 δεῖν τοὺς μέλλοντας ἀγαθοὺς ἔσεσθαι.“ ἀπήλλαξας ἅπα-
σαν ἀμφισβήτησιν, ἀγαθοὺς προσειπὼν τοὺς ἄνδρας, καὶ
ταῦτα οὐ μόνον αὐτοὺς, ἀλλὰ καὶ τοὺς προσέχοντας αὐ-
τοῖς. πῶς οὖν ἢ 'κείνους ὡς διεφθαρμένους, ἢ τούτους
ὡς διεφθαρκότας αἰτιᾷ; ἢ πῶς ἔνεστι μὴ ἀγαθοὺς εἶναι
οἷς τὸ δουλεύειν ἀγαθὸν εἶναι τίθης; εἶεν. κοινῇ μὲν δὴ
τοὺς ἄνδρας οὕτως ἐπήνεκεν ἡμῖν λέγων τοὺς τότε προστάν-
τας, πανηγυρίζων τε καὶ νομοθετῶν, ἰδίᾳ δ' αὖ τὸν Πε-
ρικλέα ποῦ καὶ πῶς, ὃν ἐνταῦθα προθυμότατα εἴρηκε κα-
κῶς; τὸ μὲν τοίνυν ὅπου τί δεῖ λέγειν; τὸ δὲ ὅπως εἰρή-
σεται. „Προσπεσὼν γὰρ, οἶμαι, τοιούτῳ ὄντι Ἀναξαγόρᾳ
μετεωρολογίας ἐμπλησθεὶς καὶ ἐπὶ φύσιν νοῦ τε καὶ δια-
νοίας ἀφικόμενος, ὧν γε δὴ πέρι τὸν πολὺν λόγον ἐποιεῖτο
Ἀναξαγόρας, ἐντεῦθεν εἵλκυσεν ἐπὶ τὴν τῶν λόγων τέχνην
τὸ πρόσφορον αὐτῇ.“ οὐκοῦν ἐνταυθοῖ δύο μαρτυρεῖ, καὶ
τὴν ῥητορικὴν οὐκ ἄτεχνον τριβὴν εἶναι, ἀλλὰ τέχνην περὶ
λόγους, καὶ τὸν Περικλέα κράτιστον ἐν αὐτῇ, καὶ τὴν
αἰτίαν προστίθησι. τοσοῦτον ἀπέχει τοῦ κολακείαν ἢ
διακονίαν ὀνειδίζειν. οὐκοῦν οὐχ ἡ ῥητορικὴ φαῦλον
ἐκ τῆς τοῦ Περικλέους πολιτείας φαίνεται, ἀλλ' ὁ Πε-
ρικλῆς ἄριστος τὴν ῥητορικὴν ἐν τούτοις τοῖς λόγοις ἐγγέ-
γραπται. φαίνεται τοίνυν αἰτιασάμενος μὲν κοινῇ τοὺς ἄν-
δρας ὡς διακόνους καὶ κόλακας, πάλιν δὲ τῆς αἰτίας ἀφιεὶς

---

19 ὁ τότε] ὅτε L. ὅ τ' N. Vulgo ὅ τε. ᾧ] Apud Platonem ὧν. 20 καὶ ᾗ] καὶ ἣν L. ᾗ καὶ apud Platonem.

283, 4 τίθης Reiskius. Vulgo τίθησιν. ἐπήνεκεν Θ, correctus N, Reiskius. Legebatur ἐπήνεγκεν. Conf. p. 280, 7. ἐπήνεσεν Canterus. λέγων τοὺς τότε] τοὺς τότε λέγω Canterus. 5 πανηγυρίζων] Tam in oratione panegyrica, illa puta, quae in Menexeno exstat, quam in libris de legibus. Reisk. τε] δὲ N. αὖ τὸν] αὐτὸν LN. ποῦ] In Gorgia. 7 Προσπεσὼν] In Phaedro p. 270 a. τοιούτῳ ELN. Vulgo τοιουτωΐ. 8 πέρι] Vulgo περὶ. 12 τοσοῦτον] Vulgo τοσοῦτ'. ὀνειδίζειν] ὀνομάζειν (γρ. ὀνειδίζειν) N. 14 τούτοις] τουτοισὶ LN. 15 ἕνεκ'] ἕνεκα N.

Digitized by Google

αὐτούς, τούτου δ' ἕνεκ' αἰτιασάμενος, τοῦ μηδένα δόξαι ῥήτορα χρηστὸν Ἀθήνησι γεγονέναι, πάλιν δ' αὖ τῶν ῥητόρων ἕνα τῶν Ἀθήνησιν ἐπαινῶν, καὶ ταῦτα τοῖς αὐτοῖς ἐνεχόμενον οἷσπερ οὗτοι, τὸν Ἀριστείδην λέγω, καὶ δυοῖν θάτερον, ἢ μὴ προσήκοντα ἐπαινούμενον, ἢ 'κείνους δεικνύντα ἃ μὴ προσῆκεν ἀκηκοότας, ἔτι δ' οὐ τοῦτον μόνον, ἀλλὰ (470)
καὶ πάντας ἐφεξῆς αὐτοὺς ἐπηνεκὼς ἑτέρωθι, ἡνίκ' οὐδεμιᾶς ἐστι φιλονεικίας, καὶ πάλιν γ' ἰδίᾳ τὸν Περικλέα φάσκων τελεώτατον εἰς τὴν ῥητορικὴν γεγονέναι. πῶς
284 οὖν ἄν τις νεμεσῴη δικαίως ἡμῖν, ὅταν αὐτὸς Πλάτων ὡς ἀληθῆ λέγομεν ἐπιψηφίζῃ; ἃ μὲν γὰρ οὗτος αἰτιᾶται τοὺς ἄνδρας παρ' ἡμῶν οὐχ ὁμολογεῖται, ἃ δ' ἡμεῖς ἐπαινοῦμεν, τούτοις ἐστὶν αὐτὸς σύμψηφος. ὥστε τὸ νικᾶν ἡμᾶς παρ' ἀμφοῖν ὁμολογεῖται, τὸ δ' ἐκεῖνον οὐδὲ παρ' αὑτοῦ συμβαίνει. εἰς τοσοῦτον δ' ἥκει τοῦ τἀναντία τῶν ὄντων λέγειν ὥστε φησὶν ὡς Περικλῆς παραλαβὼν Ἀθηναίους ἡμερωτέρους ἀγριωτέρους καὶ χαλεπωτέρους ἀπέδειξε, καὶ ταῦτα εἰς αὑτὸν ὃν ἥκιστα ἐβούλετο. πῶς, ὦ μακάριε; εἰ γάρ ἐστιν ἀληθὴς ὁ σὸς λόγος ὡς Μιλτιάδην γε μικροῦ εἰς τὸ βάραθρον ἐνέβαλον, πᾶν τοὐναντίον ἤδη φαίνεται, ὁ μὲν Θεμιστοκλῆς ἀγριωτάτους παραλαβὼν ἡμερωτέρους ποιήσας, τὸ γοῦν ἐξοστρακισθῆναι, καὶ πρός γε, εἰ βούλει, φυγῇ ζημιωθῆναι, κέρδος παρ' ἐκείνην τὴν συμφοράν. πάλιν δ' ὁ Κίμων ἐξωστρακίσθη μέν, φυγῇ δὲ οὐ προσεζημιώθη, ἀλλὰ καὶ κατῆλθε πρὸ τοῦ χρόνου. (471)
οὕτως ἔτι πρᾳοτέροις οὗτος ἐχρήσατο· ὁ δ' αὖ Περικλῆς ἔτι τούτου μετριώτερα δυστυχήσας, ὅστις χρήματα ἐζημιώθη μόνον καὶ πάλιν ὁ αὐτὸς ἦν τῇ τάξει καὶ ταῖς τιμαῖς. οὕτως ἐκ τραχυτέρων καὶ χαλεπωτέρων ἀεὶ πρᾳότεροι καὶ ῥᾴους φαίνονται γεγενημένοι, καὶ σχεδὸν πάντων

---

16 δόξαι] δεῖξαι N. 18 μὴ προσήκοντα] τὰ μὴ προσήκοντα N. 'κείνους] κείνους L. κἀκείνους E. 19 ἐπηνεκώς] Subaudi φαίνεται e versu 14. Reisk. οὐδεμιᾶς] οὐ μιᾶς L.

284, 1 πῶς ἂν οὖν νεμεσῴη L. λέγομεν] λέγωμεν Θ.
4 τοσοῦτον LN. Vulgo τοσοῦτο. 5 ὡς Περικλῆς] ὁ περικλῆς N. ἀπέδειξε EN et Reiskius. Legebatur ἐπέδειξε. Conf. v. 14.
8 ἡμερωτέρους] ἡμερωτάτους L. 9 πρός γε E. Legebatur πρὸς γάρ.
12 ὅστις ΘLN. Legebatur ὥστ' εἰς. γρ. ὥστε margo L. γρ. ὥστ' εἰς

Digitized by Google

ἐπιεικεστάτοις αὐτοῖς ὁ Περικλῆς χρησάμενος καὶ ἀποδείξας ἡμερωτέρους ἢ παρέλαβε. πρὸς ταῦτ' ἔστων οἱ δίκαιοι καὶ ἥμεροι, καὶ Ὅμηρος μαρτυρείτω, προστίθει γάρ, εἰκότως ἄρα καὶ ζῶντα ἐτίμων αὐτὸν καὶ τεθνεῶτα ἐπόθουν καὶ προαχθέντες μετέγνωσαν· ὃ τοίνυν ἄξιον μετὰ τῶν ἄλλων ἐπισημήνασθαι, οὕτω γὰρ καὶ σαφῶς τὰ δίκαια ἐπαινέσας τὸν Περικλέα δι' ὧν ἐπεδείξαμεν ἀρτίως πάλιν ἀλλαχοῦ φαυλίζων φαίνεται. αἰτιασάμενος γὰρ τὸν Ἀλκιβιάδην ἀμαθίᾳ συνοικεῖν καὶ φήσας οὐ μόνον αὐτὸν τοῦ-
285 το πεπονθέναι, ἀλλὰ καὶ τοὺς πολλοὺς τῶν τὰ τῆς πόλεως πραττόντων, κατασκευάσας κἀνταῦθα ὁδόν τινα αὐτῷ κατὰ τοῦ Περικλέους, πειρᾶται κἀκείνῳ τὴν αὐτὴν αἰτίαν περιάπτειν, οὐδὲν προκαλυπτόμενος, ἀλλ' ὡς τὸ λεγόμενον δὴ τοῦτο, οὔτε γράμματα οὔτε νεῖν εἰδότα ἐλέγ- (472)
χειν ἀξιῶν. καίτοι χωρὶς τοῦ μὴ ὁμολογεῖν ταῦτ' ἐκείνοις, πότερον κρεῖττον ἦν, εἴπερ καὶ τἀναντία ἔδει λέγειν περὶ τοῦ ἀνδρός, πρὸς μὲν τὸν Φαῖδρον τὸν Μυρρινούσιον καὶ μηδὲν προσήκοντα τὰ δυσχερέστατα εἰπεῖν, πρὸς δὲ τὸν Ἀλκιβιάδην ἐκεῖνα τὰ ἐπιεικέστερα, ἢ πρὸς τὸν Φαῖδρον ἐπαινέσαντα κακῶς λέγειν πρὸς ἐκεῖνον; ἐγὼ μὲν ἐκεῖνο οἶμαι. ἐλέγχειν μὲν γὰρ δή που καὶ τοῦτον κἀκεῖνον βούλεται καὶ οὐκ ἔνεστ' εἰπεῖν ὡς τὸν Ἀλκιβιάδην μέν, τὸν Φαῖδρον δὲ οὔ. ὥστ' εἰ πρὸς τοῦτον διὰ τοῦτο κατηγόρηκε τοῦ Περικλέους, εἰκὸς ἦν καὶ πρὸς ἐκεῖνον. τὸ διάφορον δὲ οὐ μικρόν. πρῶτον μὲν γὰρ περὶ συγγενοῦς πρὸς τοῦτον ἐβλασφήμει καὶ ἐπιτρόπου, καίτοι ὥσπερ οὐκ ἦν εἰκὸς τὸν πατέρα αὐτοῦ πρὸς αὐτὸν ψέγειν, οὐδ' εἰ φαυ-

---

margo N. ὁ αὐτὸς] Aberat ὁ. 16 προστίθει γὰρ sunt nostri verba. ab εἰκότως autem incipiunt verba Platonis: *adde quoque, lector, haec Platonis verba:* Recte igitur etc. Reisk. προστίθει] προστιθεῖ N. προτιθεῖ L. 17 προαχθέντες] προσαχθεισθέντες Θ. 18 καὶ σαφῶς ΘELN. Aberat καί. 19 τὸν Ἀλκιβιάδην] In Alcibiade priori p. 118 b. φήσας οὐ add. ELN Iebb. om. Iunt. μὴ addebat Canterus.

285, 1 τοὺς πολλοὺς ΘLN. Aberat τούς. 2 αὐτῷ] Vulgo αὐτῷ. 4 ταῦτ' N. Vulgo ταῦτα. 5 Μυρρινούσιον] μυρινούσιον L. 9 διὰ τοῦτο] διατοῦτον L. κατηγόρηκε] κατηγορεῖ (γρ. κατηγόρηκε) N. 11 ψέγειν] λέγειν E.

λότατος τῶν πολιτῶν ἦν, οὕτως οὐδὲ τὸν θεῖον κακίζειν, οὐδ' εἰ συνῄδει τι τοιοῦτον, εἰς καιρὸν ἐγίγνετο. οὐ γὰρ ὁμοίως ἐκείνῳ τε κακῶς ἀκούειν καὶ τούτῳ τῶν κατ' ἐκείνου λόγων ἀκούειν προσῆκεν. ἔπειτα πρὸς ἄνθρωπον ἐγίγνονθ' οἱ λόγοι μὴ ὅτι Περικλέους ῥᾳδίως ἂν ὑπερφρονήσαντα, ἀλλὰ τοιοῦτον ὥσθ' ὅ γ' Αἰσχίνης φησὶ περὶ (473) αὐτοῦ ὅτι κἂν τοῖς δώδεκα θεοῖς ἥδιστα ἐπετίμησε. τοσοῦτον αὐτῷ φρονήματος περιῆν καὶ τοῦ μηδένα μηδενὸς ἄξιον εἶναι νομίζειν. διόπερ καὶ ὅ γ' ἐκείνου Σωκράτης οὐ τὴν αὐτὴν ἐτράπετο. ἀλλὰ τί φησι; „Γνοὺς οὖν αὐτὸν ἐγὼ ζηλοτύπως ἔχοντα πρὸς Θεμιστοκλέα“ ἔπειτ' ἐστὶν ὁ τοῦ Θεμιστοκλέους ἔπαινος, δυοῖν ἕνεκεν ὀρθῶς ἔχων οἶμαι, τῆς τε ἀληθείας καὶ τοῦ καιρὸν ἔχειν τῷ μειρακίῳ τοὺς λόγους. καὶ οὐ κακῶς λέγει τὸν Θεμιστοκλέα παρόντος ἐκείνου, ὅπως μὴ ἔτι μᾶλλον ἀκούων διαφθείροιτο, οὐδέ γε εἰς παραμυθίας μέρος αὐτῷ κατατίθεται τὸ μὴ μόνον αὐτὸν τῇ ἀμαθίᾳ συνοικεῖν, ἀλλὰ καὶ πάντας εἶναι τοιού-
286 τους ὅσοι τὰ τῆς πόλεως πράττουσιν· οὐδαμῶς· ἀλλ' ἀναγκάζει κλάειν θέντα τὴν κεφαλὴν ἐπὶ τὰ γόνατα ἀθυμήσαντα, ὡς οὐδ' ἐγγὺς ὄντα τῷ Θεμιστοκλεῖ τὴν παρασκευήν· καὶ προσέτι συμμέτρως ἐπέτεινε τὸν λόγον. εἶπε γάρ που μεταξὺ λέγων ὡς οὐδ' ἐκείνῳ ἡ ἐπιστήμη τοσαύτη οὖσα ἤρκεσεν, ἀλλ' ἐνεδέησεν, ὥστε τὴν μὲν βλασφημίαν περιῃρῆσθαι, ὃ δ' ἦν χρήσιμον εἰς τὸ προτρέψαι, παρ' ἀμφοῖν ἐνεῖναι, καὶ παρὰ τῆς εὐφημίας καὶ παρὰ (474) τοῦ μηδὲ ταῦτα ἀρκέσαι φῆσαι τῷ γε Θεμιστοκλεῖ.

Οὕτω καίτοι τοῖς ἄλλοις Αἰσχίνης λειπόμενος Πλάτωνος, τοῦτό γε ἄμεινόν πως διεχείρισεν. ἀλλὰ γὰρ ὡς μὲν

---

14 ὅ γ' L. Vulgo ὅ γε. 16 ὅ γ' N. Vulgo ὅ γε. ἐκείνου] Aeschinis philosophi, cuius verba supra sunt prolata. CANTER. Vide p. 222. 17 Θεμιστοκλέα ΘN. Vulgo τὸν Θεμιστοκλέα.
18 ἕνεκεν L et correctus N. Vulgo εἵνεκεν. 20 μὴ ἔτι] μηκέτι N.

286, 1 κλάειν ΘN Iunt. κλαίειν Steph. Iebb. 2 τῷ Θεμιστοκλεῖ] τῷ om. E. 3 οὐδ' N. Vulgo οὐδέ. ἐκείνῳ] ἐκείνων Θ.

5 παρὰ τῆς] παρὰ (supra scr. περὶ) τῆς N. 6 τῷ γε] γε om. L. 7 διεχείρισεν ΘLN. Vulgo διεχείρησεν. ὡς μὲν οὐκ] οὐκ delet Reiskius.



Digitized by Google

οὐκ ἄριστος τῶν Ἑλλήνων Πλάτων κάκιστος ἂν εἴη καὶ βαρβάρων ὅστις οὐκ ἐθέλει λέγειν. ἔοικε δέ τι καὶ τῆς φύσεως ἀπολαύειν, ὥσπερ οἱ βασιλεῖς τῆς ἐξουσίας, οἷον καὶ περὶ αὐτὴν τὴν λέξιν ἔστιν οὗ φανήσεται ποιῶν, ἀδείᾳ λόγων πλείονι χρώμενος, καὶ περί γε αὐτὰς τὰς ὑποθέσεις, οἷόν ἐστιν ἐν τῷ λόγῳ οὗ μικρῷ πρόσθεν ἐμεμνήμεθα. ὑπόκειται μὲν γὰρ αὐτῷ δή που Σωκράτης τὸν ἐπιτάφιον διεξιὼν, μέμνηται δὲ τῶν ἐν Κορίνθῳ τετελευτηκότων καὶ τῶν ἐν Λεχαίῳ καὶ τῆς εἰρήνης τῆς ἐπὶ Ἀνταλκίδου κληθείσης. καίτοι ἐτελεύτησε μὲν Σωκράτης ἐπὶ Λάχητος ἄρχοντος, τῆς δ' ἐν Κορίνθῳ μάχης καὶ τῆς ἐν Λεχαίῳ μέσος ἄρχων Εὐβουλίδης. ἀπὸ δὲ Λάχητος εἰς Εὐβουλίδην ἕβδομος ἄρχων Εὐβουλίδης αὐτὸς, ἀπὸ δὲ Εὐβουλίδου πάλιν ἄρχων ὄγδοος Θεόδοτος, ἐφ' οὗ ἡ εἰρήνη ἐγένετο. ὁμοῦ τετταρεσκαίδεκα οἱ (47
σύμπαντες ἄρχοντες εἰς τὴν εἰρήνην ἀπὸ Λάχητος ἄρχοντος.

---

8 πλάτων add. ELN, Photius p. 437 a, 3. Iebb. om. Iunt.

αι
12 Λεχαίῳ] λεχέῳ L. 14 τῆς δὲ ἐν Κορίνθῳ μάχης] Ea pugna, quae ἐν Κορίνθῳ hic dicitur, a Demosthene contra Leptinem magna pugna dicitur; ἀλλ' ὅθ' ἡ μεγάλη μάχη πρὸς Λακεδαιμονίους ἐγένετο ἡ ἐν Κορίνθῳ. Debet autem utrobique τὸ ἐν Κορίνθῳ intelligi ἐν Κορινθίων χώρᾳ. Facta est enim ea pugna, ut ait Diodorus, παρὰ τὸν Νεμέαν ποταμὸν, qui quidem fluvius, teste Strabone, Corinthiorum et Sicyoniorum ditiones dividebat. Palmer. τῆς δ' ἐν N. Vulgo τῆς δὲ ἐν. ἐν Κορίνθῳ] ἐπὶ κορίνθῳ L. 15 ἀπὸ δὲ Λάχητος — Εὐβουλίδης in margine habent LN. 16 ἡ εἰρήνη] ἡ om. ELN. ὁμοῦ τε γὰρ ἑξκαίδεκα] Errat hic calculus, et τεσσαρεσκαίδεκα scribendum. Nam et ex verbis Aristidis, et numeris, quae supra computat, quatuordecim tantum Archontes ex additione summarum numerantur. Dixit enim supra, ἀπὸ δὲ Λάχητος εἰς Εὐβουλίδην ἕβδομος ἄρχον Εὐβουλίδης αὐτὸς, ἀπὸ δὲ Εὐβουλίδου πάλιν ἄρχων ὄγδοος Θεόδοτος. Sciendum est autem Graecos semper duos extremos terminos numerare, et sic a Lachete ad Eubulidem septem fuerunt Archontes, numerando et Lachetem et Eubulidem: rursus ab Eubulide octavus Archon Theodotus, numerando scilicet et Eubulidem et Theodotum, unde colligitur summa Archontum quatuordecim, et sic eos numerat Diodorus. 1. Laches. 2. Aristocrates. 3. Ithycles. 4. Phormion. 5. Lysiades. 6. Diophantus. 7. Eubulides. 8. Demosistratus. 9. Philocles. 10. Micoteles. 11. Demostratus. 12. Antipater. 13. Pyrrhion. 14. Theodotus. Palmer. ὁμοῦ τέτταρες καὶ δέκα ΘEN. ὁμοῦ τεσσαρεσκαίδεκα L. ὁμοῦ τέσσαρες καὶ δέκα Soph. ὁμοῦ τε γὰρ ἑξκαίδεκα Iunt. ὁμοῦ ἓξ καὶ τέσσαρες δέκα Iebb. sive

Digitized by Google

ὥστε οὐ μόνον Σωκράτης οὐδὲν ἑοράκει τούτων, ἀλλ' οὐδ' ἠπίστατο δήπουθεν εἰ γενήσεται· οὐδ' ἂν τὸ δαιμόνιον προὔλεγεν αὐτῷ περὶ τῶν τοσοῦτον μετ' αὐτόν. ἕτερον τοίνυν. ἐν γὰρ τῷ Συμποσίῳ συνάγει μὲν εἰς ταυτὸν Ἀριστοφάνη καὶ Σωκράτη καὶ Ἀγάθωνα, ἔτι μειράκιον ὄντα, ὥς
87 φησι. προάγει δὲ εἰς τοσοῦτον τοὺς χρόνους, ὥστε λέγων ὁ Ἀριστοφάνης, ἐπειδὴ τῆς λυγγὸς ἐπαύσατο, τὸν προβληθέντα λόγον μέμνηται καὶ οὗτος αὖ πάλιν Ἀρκάδων ὑπὸ Λακεδαιμονίων διῳκισμένων. διῳκίσθησαν δὲ Μαντινεῖς ὑπὸ Λακεδαιμονίων ἤδη τῆς εἰρήνης ὀμωμοσμένης. οὕτως ἐστὶ ταῦτ' ἐκείνων ἔτι νεώτερα. πῶς οὖν ἢ Ἀριστοφάνης ἂν εἴη λέγων ταῦτα, ἢ Σωκράτης ἀκούων ἢ Ἀγάθων ἔτι μειράκιον περὶ τούτους τοὺς χρόνους; πῶς δ' ἂν καὶ Ἀλκιβιάδης κωμάζοι παρ' αὐτούς, καὶ οὗτος νέος τε ὢν ἔτι καὶ καλός, ὃς πρότερος τοῦ Σωκράτους ἐτεθνήκει, βιοὺς τόσα καὶ τόσα ἔτη τὰ σύμπαντα; εἰ μὴ ἄρα ἐν τῷ Ἠλυσίῳ πεδίῳ τὸ συμπόσιον συνεκροτεῖτο. τίς δὲ καὶ ἡ λύγξ ἡ τοῦ Ἀριστοφάνους; καὶ ποῦ σὺ τοῦτ' ἐτήρησας; ἀλλ' οἶμαι (476)
λύζειν αὐτὸν ἔδει, ἵνα εἰς ἀπληστίαν σκωφθῇ. εἰ δέ τις τῇ Πλάτωνος δόξῃ περὶ πάντων ἰσχυρίζοιτο, καὶ φάσκοι μὲν ζῆν Σωκράτη, ὅτε ὁ τῶν ἐν Κορίνθῳ καὶ Λεχαίῳ τε-

---

editoris sive typothetae negligentia. Voluit enim Iebbius idem quod nos edidimus. ὁμοῦ τέτταρες (sic) καὶ δέκα codex Cantabrigiensis, vulgata scriptura ὁμοῦ τε γὰρ ἑξκαίδεκα in marg. ut v. l. annotata, apud Porsonum in Miscellan. p. 278. 18 ἑοράκει] Vulgo ἑωράκει. τούτων] τοῦτον N. 19 ἕτερον τοίνυν] *En aliud exemplum.* Reisk. ἐν γὰρ τῷ Συμποσίῳ] Athenaeus in Deipnos. lib. 5. cap. 18. Ὅλως δὲ λῆρός ἐστι τῷ Πλάτωνι τὸ Συμπόσιον. Et eadem prorsus observat Macrobius lib. 1. Saturnal. Sed de Platonis anachronismis plura legantur apud Casaubonum, Animadvers. in laudatum Athenaei locum. Iebb. 20 ταυτὸν LN. Vulgo ταυτὸ. ἀριστοφάνη καὶ σωκράτη E. Vulgo Ἀριστοφάνην καὶ Σωκράτην.

287, 3 διῳκίσθησαν δέ γε Μαντινεῖς] Id factum est secundum Eusebium et eius computum, Dexitheo archonte, anno 4. Olympiadis nonagesimae octavae. Palmer. δὲ μαντινεῖς ELN. Legebatur δέ γε Μαντινεῖς. 4 ἐστὶ ταῦτ' ἐκείνων ἔτι] ἔτι ταῦτ' ἐκείνων ἐστὶ LN. 6 νέος τε Reiskius. Vulgo νέος γε. γε νέος L. 8 λύγξ] λὺξ E. 10 φάσκοι LN. Vulgo φάσκει. Σωκράτη]



Digitized by Google

τελευτηκότων ἐλέγετο ἐπιτάφιος· πίνειν δ' ἐν Ἀγάθωνος μετὰ τὴν εἰρήνην, λύζειν δ' Ἀριστοφάνη ἐν τῷ συμποσίῳ, κωμάζειν δὲ Ἀλκιβιάδην, μειράκια δ' εἶναι τηνικαῦτα Ἀγάθωνα καὶ Ἀλκιβιάδην, ὁμοῦ δ' εἶναι πάντα χρήματα, πῶς οὐχὶ ληρήσει μὴ προσεξετάζων, εἴ τι καὶ κατ' ἐξουσίαν ἀνὴρ λέγοι, ἀλλ' ὥσπερ παῖς ἔμβραχυ τοῦτ' ἀρκεῖν ὑπολαμβάνων ὅ τι φαίη Πλάτων; ἢ εἴ τις αὖ πείθοιτο τὸν Αἰγύπτιον δαίμονα τὸν Θεῦθ, οὕτω γὰρ αὐτὸς εἴρηκε τοὔνομα αὐτοῦ, τοῦτον περὶ Ναύκρατιν τῆς Αἰγύπτου γενέσθαι, καὶ μὴ ἐθέλοι συγχωρεῖν ὅτι ἐστὶ μὲν Ἑλλήνων Ἑρμῆς φωνὴ, ἀπὸ δὲ Ναυκράτιδος εἰς τὴν ἐπώνυμον πόλιν αὐτοῦ καὶ οὐ πάντες αὐτὸν ὁμολογοῦσιν Αἰγύπτιοι γενέσθαι ἀνάπλους ἡμερῶν ἐστιν οὐκ ὀλίγων; οὐ τοίνυν εἰ Πλάτων πολὺ πρῶτος τῶν Ἑλλήνων, ταυτόν ἐστι Ναύκρατίς τε καὶ Ἑρμοῦ πόλις, οὐδ' αὖ περὶ Ναύκρατιν,

---

σωκράτην LN. 12 Ἀριστοφάνη] Vulgo Ἀριστοφάνην. μειράκια — καὶ Ἀλκιβιάδην om. E. 13 ὁμοῦ δὲ] Alludit ad Anaxagorae scitum. Reisk. 14 ἀνὴρ] Vulgo ἀνὴρ. λέγοι ἀνὴρ L.
15 ἢ εἴ τις αὖ] Socrates apud Platonem in Phaedro pag. 274. Ἤκουσα τοίνυν, περὶ Ναύκρατιν τῆς Αἰγύπτου γενέσθαι τῶν ἐκεῖ παλαιῶν τινα θεῶν — — αὐτῷ δὲ ὄνομα τῷ δαίμονι εἶναι Θεῦθ. Idem dicitur a Philone Byblio ex Sanchoniathone Τααῦτος, qui ab Alexandrinis nominatus Θὼθ, et a Graecis Ἑρμῆς sive Mercurius, Saturno patri successit in Thebaide. Euseb. Praep. Evang. lib. I. Iebb. πείθοιτο] πύθοιτο N. 16 Θεῦδον λέγουσιν οἱ Αἰγύπτιοι τὸν Ἑρμῆν Soph. Θεῦθ ex Platonis Phaedro p. 274 c. dedi. Legebatur Θεῦδον. Θεῦθον LN. τοὔνομα] τὸ ὄνομα ELN. Ναύκρατιν] ναυκράτιν L. 17 ἐθέλοι LN. Vulgo ἐθέλει. ἑρμῆς φωνὴ EN. ἑρμῆς φωνῇ L Iebb. ἑρμοῦ φωνῇ Iunt. φωνῇ Ἑρμοῦ Steph. Ἑρμῆς] Male Canterus hic legendum censuit Ἑρμοῦ πόλις, quasi diceret Aristides Naucratim Aegypti fuisse Graece appellatam Mercurii urbem. Diversa prorsus hoc in loco tradit noster, et Platonem erroris arguit, quod Theudum sive Mercurium ad Naucratim extitisse crediderit, cum in Hermopoli omnes eum natum confiterentur. De Naucrate autem et Hermopoli urbibus Aegypti consulatur Strabo Geogr. lib. 17. pag. 801. ed. Casaub. Iebb. 18 Ναυκράτιδος] ναυκρατίδος L. 19 Πλάτων πολὺ] πολὺ πλάτων N. 20 Ναύκρατις] ναυκράτις L. ναυκράτης E. Ναύκρατιν] ναυκράτιν L.

Digitized by Google

288 ἀλλ' οὐκ ἐν τῇ ἑαυτοῦ πόλει δεῖ δὴ τὸν Ἑρμῆν γεγενῆσθαι δοκεῖν· οὐδέ γε Εὐριπίδου φήσομεν οἶμαι τὸ ἰαμβεῖον εἶναι τὸ

Σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ,

οὐδ' εἴ τις οὕτω τῶν σοφῶν εἴρηκεν· ἔστι γὰρ ἐξ Αἴαντος Σοφοκλέους, Αἴαντος τοῦ Λοκροῦ. ἀλλ' ἔστι ταῦτα ἀπὸ τῆς τῶν διαλόγων ἐξουσίας καὶ συνηθείας ὡρμημένα. τῷ γὰρ ἅπαντας αὐτοὺς ἐπιεικῶς εἶναι πλάσματα καὶ πλέκειν ἐξεῖναι δι' ὧν ἄν τις βούληται, ἔνεστί τι κἀν τοῖς λόγοις αὐτοῖς οὐ σφόδρα τηροῦν τὴν ἀλήθειαν. καὶ ἅμα μοι δοκεῖν ἐφέλκεταί τι τῆς ἐλευθερίας καὶ τῆς μεγαλοπρεπείας, καὶ οὐ παντάπασιν ἀκριβολογεῖται, ἀλλ', ὥσπερ ἔφην, συγχωρεῖ τῇ φύσει. ἔπειτα ταῦθ' ἡμεῖς ἁπλῶς οὕτως παραδεξόμεθα; οὐκ ἄρ' εἰδέναι τἀκείνου δόξομεν, οὐδέ γε τῶν Πλάτωνος σύγγραμμά ἐστι Πλάτωνος οὐδὲν οὐδὲ ἔσται· πόθεν; ἀλλὰ ταῦτ' ἐστὶ Σωκράνους νέου καὶ καλοῦ γεγονότος, εἶθ' ὁ μὲν γράψας οὐ γέγραφε * * λοιπὸν οὖν αὐτῷ καὶ τοὔνομα ἐξαρνουμένῳ πείθειν οὐχ ἡμᾶς γε, ἐὰν σωφρονῶμεν, ἀλλ' εἰσόμεθα αὐτοῦ τὰς παιδιὰς — εἰρήσθω γὰρ ὃ κἂν αὐτὸς εἶπε περὶ αὐτοῦ — οἷα κἀν τούτοις (478) ἀμέλει τοῖς λόγοις, ἵνα μὴ τὰ πόρρω λέγωμεν, ἣ περὶ γυμναστικῆς καὶ ἰατρικῆς ἔνεστι θέσις, ὡς ῥᾳδίως καὶ ἁπλῶς ἔχουσα, τῷ παντὶ βελτίω γυμναστικὴν ἰατρικῆς εἶναι. καίτοι γε ἤδη ἔγωγέ τινος ἤκουσα λέγοντος τῶν ἰατρῶν ὅτι ἡ μὲν γυμναστικὴ τοῖς ἀθληταῖς ἐπίπαν διαλέ-

288, 1 ἑαυτοῦ] αὐτοῦ N. 2 οἶμαι om. EN et Photius p. 437 a, 11. τὸ ἰαμβεῖον εἶναι] εἶναι τὸ ἰάμβιον E. 3 εἴρηκεν] Plato in Theage (p. 125 b.) et de Republ. VIII. Canter. 4 συνηθείας] συνουσίας L, altero ab rec. m. superscripto. 8 οὕτως ΘELN. Vulgo οὕτω. παραδεξόμεθα] ὑποδεξόμεθα L. ἄρ'] ἄρα N. τἀκείνου] τὰ ἐκείνου L. οὐδέ γε — γεγονότος] Plato Epist. II. p. 314 c. a Cantero indicatus. 9 Πλάτωνος οὐδὲν] πλάτωνος deletum in N. 10 Post γέγραφεν videtur haec sententia excidisse ὁ δ' οὐ γράψας γέγραφεν. *qui scripsit* (Plato), *is non scripsit; et, qui non scripsit* (Socrates), *is scripsit*. Reisk. Indicavi lacunam. γέγραφε L. Vulgo γέγραφεν. 13 ἰατρικῆς καὶ γυμναστικῆς N. 14 τῷ παντὶ βελτίω Reiskius. Aberat παντὶ. τὸ βελτίω Canterus. τῶν ἰατρῶν λέγοντος N.

γεται καὶ περὶ τοῦτό ἐστιν, ἡ δ' ἰατρικὴ συλλήβδην ἅπασιν ἐπιστατεῖ, καὶ πολὺ τοὐμμέσῳ. ὅπου γὰρ οὐδ' αὐτοῖς τοῖς ἀθληταῖς οἷόν τε τῇ ῥώμῃ χρήσασθαι, μὴ τοῦ ὑγιαίνειν ὑπάρχοντος, πῶς οἷόν τε ἡττᾶσθαι τὴν ἅπασι τοῦτο παρασκευάζουσαν τέχνην τῆς τοῖς ὀλίγοις ἐκεῖνο ὃ μηδέποτ' ἔστι χωρὶς τούτου λαβεῖν; τό τε σύμπαν οὐ συνεχώρει τοσοῦτον εἶναι τὴν ἰατρικὴν, ὅσον τοὺς κάμνοντας ἐπισκοπεῖν, ἀλλ' εἶναι διττόν. δεῖν γὰρ τὸν ἰατρὸν τὴν μὲν ὑπάρχουσαν ὑγίειαν διασώζειν, τὴν δ' οὔπω παροῦσαν ἐμποιεῖν,
289 ὥσπερ τὸν γυμναστὴν τὴν μὲν ὑπάρχουσαν ῥώμην διασώζειν, τὴν δ' οὔπω παροῦσαν ἐμποιεῖν. οὐ γὰρ ἄλλου μὲν ἐστι τοὺς ὄντας ἀθλητὰς δή που γυμνάσαι, ἑτέρου δὲ τοὺς μέλλοντας ἔσεσθαι παρασκευάσαι, ἀλλ' ἑνὸς ἀνδρὸς καὶ τῆς αὐτῆς τέχνης. εἰ δὲ τοῦθ' οὕτως ἔχει, ῥᾴδιον ἤδη καταμαθεῖν ὅτι δευτέρα τῆς ἰατρικῆς ἡ γυμναστικὴ καὶ παντελῶς ὑπ' αὐτὴν γίγνεται. καὶ γὰρ αὐτὸ τὸ γνῶναι τίνι δεῖ (479)
γυμνασίων καὶ πότε καὶ πόσων καὶ ποίων τινῶν ἑκάστῳ λέγω τῶν ἰδιωτῶν τῆς τοῦ ἰατροῦ σοφίας ἤδη γίγνεται, καὶ οὗτός ἐστιν ὁ πέμπων παρὰ τὸν γυμναστὴν, ἂν δέῃ. παραλαβὼν δὲ ἐκεῖνος τὸ τοῦ διακόνου πράξει, καὶ οὐ φιλοτιμήσεται πρὸς τὸν ἰατρὸν, ἀλλ' ἐν τῇ τοῦ ἡνιόχου τάξει μενεῖ. καὶ γὰρ ἐκεῖνος παραλαβὼν παρὰ τοῦ ἰατροῦ τὸν μέλλοντα αἰωρήσεσθαι παρέχει τὴν διακονίαν καὶ γυμνάζει τὸν αὑτοῦ τρόπον. εἰ δ' αἰωρεῖσθαι βέλτιον ἢ μὴ, τὸν ἰατρὸν ἤδη δεῖ τοῦτο ἐσκέφθαι. καὶ νὴ Δί' ὁ μὲν ναύτης εἰς τὸ πλοῖον ἐνθέμενος κομιεῖ παρὰ τὰς ἀκτὰς ἢ καὶ μέσον πόρον, εἰ βούλοιτο, καὶ κινήσει διὰ τῆς εἰρεσίας ἄνω καὶ κάτω περιάγων, ἢ καὶ τοῖς ἱστίοις προσχρώμενος, καὶ κα-

---

16 τοὐμμέσῳ E. τοὺν μέσῳ LN. Vulgo τὸ ἐν μέσῳ. Post μέσῳ LN addunt τὸ διάφορον, quae in N deleta sunt. 18 ἅπασι] ἁπάσαν E. παρασκευάζουσαν N Iunt. παρασκευάσουσαν Steph, Iebb. ὀλίγοις] ὀλίγοις λόγοις L. 20 δεῖν] δεῖ N. ὑγίειαν] ὑγείαν L.

289, 1 ὥσπερ τὸν γυμναστὴν — ἐμποιεῖν add. ELN Iebb. om. Iunt. 2 ἄλλου] ἄλλο N. 4 αὐτὴν] αὐτῇ EL. 5 τινὶ δεῖ γυμνασίῳ E. 7 τάξει] πράξει ΘL, τάξει in L ab rec. m. superscr. 8 αἰωρήσεσθαι] ἑωρήσεσθαι Θ. κινηθῆναι superscriptum in N. 9 αὑτοῦ] Vulgo αὐτοῦ. ἑαυτοῦ ELN. αἰωρεῖσθαι] ἑωρεῖσθαι Θ. 10 Δί'] διὰ ΘLN.

θεδεῖται, καθάπερ τις αὐτοκράτωρ ποιῶν ὅ τι βούλεται. εἰ δ' ἄμεινόν τῳ πλεῦσαι τὸ παράπαν καὶ ὑγιεινότερον αὐτὸν τοῦτο ποιήσει, τῆς ἰατρικῆς τοῦτο τέχνης ἴδιον ἦν, ἀλλ' οὐ τῆς ναυτικῆς. καὶ μὴν ὅτι καὶ πολλοὺς ἤδη καὶ τὰ τοιαῦτα ὤνησε καὶ οὐδὲν ἔλαττον ἢ τὰ ἐν ταῖς παλαίστραις γυμνάσια πάντες ὡς ἔπος εἰπεῖν σύνισμεν, ἀλλ' οὐ διὰ τοῦτο οἱ ἡνίοχοι τοῖς ἰατροῖς ἀμφισβητοῦσιν, οὐδὲ οἱ (480)
ναῦται λέγουσιν ὡς αὐτοὶ μὲν φύλακες τῆς ὑγιείας θαυμαστοί τινες εἶεν καὶ γυμνάζοιεν ἅπαντας τοὺς βουλομένους, ἐκεῖνοι δ' οὐδὲν ἄρα εἰδεῖεν πλὴν καθείρξαντες ἀπολλύναι. καίτοι εἰ βελτίων ἡ γυμναστικὴ τῆς ἰατρικῆς, τί κωλύει καὶ τούτους ἐκ τῶν αὐτῶν ἀμείνους εἶναι τῶν ἰατρῶν, ἐπειδή γε καὶ αὐτοῖς μέτεστιν ἀμηγέπη τῆς γυμναστικῆς; ἢ κατὰ πασῶν τούτων τῶν τεχνῶν ἓν τοῦτ' ἰσχυρὸν τῆς ἰατρικῆς, καὶ τὸ τῆς Αἰσώπου κυνὸς ἑξῆς ὑπάρξει λέγειν, ὅτι εἰ μὴ αὕτη ἦν, οὐδ' ἂν τούτων οὐδεμία ἦν
90 χρησίμη, ἀλλὰ αὐτὸ τὸ τούτων τινὶ χρήσασθαι καὶ πάλιν μὴ δεῖν ἐπ' αὐτὴν ἔρχεται; ὥσπερ οἶμαι κἂν τοῖς σιτίοις· κρίνει μὲν τὰ δέοντα ὁ ἰατρὸς, παρασκευάζει δὲ ὁ μάγειρος, ἀλλ' οὐκ ἀμφισβητήσει γε τῷ ἰατρῷ τῆς ἡγεμονίας, οὐ μᾶλλόν γε ἢ καὶ τῷ δεσπότῃ. τοιοῦτόν τι καὶ τὸ τῆς γυμναστικῆς φαίη τις ἂν εἶναι πρὸς τὴν ἰατρικὴν, δεύτερον καὶ ὑπακοῦον καὶ πάντα μᾶλλον ὡς ἔπος εἰπεῖν ἢ κρεῖττον. ἀλλ' ὑπὲρ μὲν τούτων τοῖς ἰατροῖς ὑπέρ τε σφῶν αὐτῶν ὅ τι γιγνώσκουσί τε καὶ βούλονται παρείσθω λέγειν.

Ἀξιοῖ δὲ καὶ τῆς δικαιοσύνης κρεῖττον εἶναι τὴν νομοθετικήν. καίτοι πότερον κρεῖττον ἡ νομοθετικὴ τῆς δι-

---

**13** τῆς ἰατρικῆς] τῆς δὲ ἰατρικῆς L. **14** καὶ τὰ] καὶ om. LN. **20** ἓν τοῦτ'] ἐν τούτοις ΘELN. τῆς ἰατρικῆς — ἑξῆς addidi ex LN. Ex Soph. enotatum ὑπάρξει λέγειν καὶ τὸ τοῦ Αἰσώπου κυνὸς ἕξει. Conf. scholia p. 718, 4. ἑξῆς (γρ. ἕξει) L. ἕξει N. αὕτη] Medicina. Canter.

290, 1 τινὶ χρήσασθαι καὶ πάλιν μὴ δεῖ Reiskius. 2 μὲν τὰ EL. Vulgo μὲν γὰρ τά. ὁ ἰατρὸς] ὁ om. L. 3 καὶ τῷ] καὶ deletum in N. τὸ τῆς] τὸ om. E. 5 ὑπέρ τε Reiskius. Vulgo ὑπὲρ δέ. δὲ om. E. γιγνώσκουσι] γινώσκουσι EL. 6 καίτοι — νομοθετικὴ in marg. ab rec. m. L. κρεῖττον] κρεῖτ-

Digitized by Google

καιοσύνης, ἢ μέρος; ἐγὼ γὰρ οἶμαι πάντας ἂν ὡς ἔπος εἰπεῖν (48
συμφῆσαι ὅτι καὶ νόμους θεῖναι καὶ ψήφους ἐνεγκεῖν καὶ
συνειπεῖν τὰ δίκαια καὶ συμβουλεῦσαι καὶ χειροτονῆσαι, καὶ
νὴ Δία περὶ αὐτοὺς τοὺς θεοὺς ἃ χρὴ πράττειν καὶ πάντα
τὰ τοιαῦτα εἰς ἓν κεφάλαιον κοινὸν τὴν δικαιοσύνην ἀναφέρει. ὁ δὲ τοῦ μείζονος τοὔλαττον καὶ τοῦ παντὸς τὸ μέρος πρότερον καὶ κρεῖττον εἶναί φησι. καὶ εἰ μέν γε τὴν εὐσέβειαν τῆς δικαιοσύνης ἔφασκεν εἶναι κρεῖττον, ἐξῆν ἂν ἐπαινεῖν, ὡς δυοῖν μὲν τῆς δικαιοσύνης μερῶν ὄντων τῶν ἀνωτάτω, πρεσβυτέρου δὲ καὶ κρείττονος τοῦ περὶ τοὺς θεούς· νῦν δ' οὐ τοιοῦτόν ἐστιν, ἀλλ' ἁπλῶς καὶ καθάπερ νόμον ὡς ἀληθῶς τιθεὶς ἀνεξέταστον γνώμην ἀποφαίνεται. ἔπειτα τίθησι δύο μὲν τὰς τοῦ σώματος εἶναι θεραπείας, τὴν γυμναστικὴν καὶ τὴν ἰατρικήν, δύο δ' αὖ τὰς ἐπὶ τῆς ψυχῆς, τήν τε νομοθετικὴν καὶ τὴν δικαιοσύνην. αὐτὴ δ' ἡ φρόνησις ἡμῖν ποῦ πρὸς θεῶν; ποῦ δ' ἡ σωφροσύνη; ποῦ δ' ἡ ἀνδρεία; ταυτὶ γάρ δή που τέτταρα μέρη τῆς ἀρετῆς ἔστιν ἀκούειν ἀεὶ θρυλούντων, τὴν φρόνησιν, τὴν σωφροσύνην, τὴν δικαιοσύνην, τὴν ἀνδρείαν·
ὧν ἓν μὲν τίθησι διπλοῦν, τὴν δικαιοσύνην, μέρος αὐτοῦ (48
προσλαβὼν τὴν νομοθετικήν, τὰ δὲ λοιπὰ πάντα παρῆκε. πῶς οὖν ὀρθῶς ἢ δικαίως ταῦτα ὑπόκειται κατ' αὐτὸν τὸν περὶ τῆς δικαιοσύνης λόγον; εἶτα καὶ ποῦ παραπλή-
291 σιον; ἡ μὲν γὰρ γυμναστικὴ καὶ ἰατρικὴ οὐκ ἀρεταὶ δή
που τοῦ σώματός εἰσιν, ἀλλ' ἐπιστῆμαι περὶ τὴν τοῦ σώ-

---

ων
τον LN. 7 γὰρ οἶμαι] γὰρ ἂν οἶμαι ELN. 8 θεῖναι Steph. Iebb. εἶναι ΘLN Iunt. 9 χρὴ πράττειν] πράττειν χρὴ N. 10 ἀναφέρει] ἀναφέροι N. 11 καὶ κρεῖττον] καὶ om. L. 12 κρεῖττον] κρείττω superscr. ab rec. m. in L. 13 καὶ καθάπερ] καὶ om. E. 16 τὴν δικαιοσύνην LN. Aberat τὴν. 17 ἀνδρεία Θ. Vulgo ἀνδρία. ταυτὶ γὰρ δήπου τέτταρα] M. Tullius lib. 1. de officiis cap. 5. *Omne, quod honestum est, id quatuor partium oritur ex aliqua. Aut enim in perspicientia veri, solertiaque versatur; aut in hominum societate tuenda, tribuendoque suum cuique, et rerum contractarum fide; aut in animi excelsi atque invicti magnitudine ac robore; aut in omnium, quae fiunt, quaeque dicuntur, ordine et modo, in quo inest modestia et temperantia.* Iebb. 18 ἀνδρείαν ΘL. Vulgo ἀνδρίαν. 19 παρῆκε] παρῆκεν Θ. 20 τῆς δικαιοσύνης LN. Aberat τῆς.

*ματος χρείαν, ἡ δὲ δικαιοσύνη τῆς περὶ τὴν ψυχὴν ἀρετῆς ἄντικρυς μόριόν ἐστιν. οὐδὲν οὖν ἄλλο ἢ σοφίζεται κατ᾽ ἐπωνυμίαν ὥσπερ παῖδα Σωκράτης τὸν Πῶλον. καὶ οὔπω ταῦτ᾽ ἐστὶ τὰ κάλλιστα, ἀλλ᾽ ὅτι καὶ τὴν σοφιστικὴν τῆς ῥητορικῆς ἀμείνονα λέγει, ὥσπερ τὴν γυμναστικὴν τῆς ἰατρικῆς καὶ τὴν νομοθετικὴν τῆς δικαιοσύνης, φυλάττων μὲν οἶμαι τὸν αὐτὸν ἐφ᾽ ἅπασι λόγον, τὸ δ᾽ αὐτὸ πταίων περὶ ἅπαντα, ὥσπερ οἱ τὸ πρῶτον σφαλέντες ἐν τοῖς διαγράμμασι, χρῶμαι δ᾽ αὐτοῦ Πλάτωνος τῷ παραδείγματι· καὶ τοτὲ μέν γέ φησι ταυτόν ἐστιν, ὦ μακάριε, ῥήτωρ καὶ σοφιστὴς, τοτὲ δ᾽ αὖ τὴν σοφιστικὴν κρεῖττον εἶναι τῆς ῥητορικῆς καὶ διαφέρειν.*

*Ἀλλ᾽ ἵνα μὴ πάντα ἀκριβολογεῖσθαι δοκῶ, συγχω-* (483) *ρήσωμεν τὸ αὐτὸ λέγειν αὐτὸν ἀεὶ, κρεῖττον τὴν σοφιστικὴν εἶναι. σκεψώμεθα δὴ πρὸς τί ποθ᾽ ἡμᾶς οὗτος ὁ λόγος προάγει. φανήσεται γὰρ ἐνταῦθα δὴ καὶ καθαρῶς πᾶσα ἡ ὕβρις, εἰ οἷόν τε εἰπεῖν. οὐκοῦν σοφισταὶ μὲν Πρωταγόρας καὶ Ἱππίας καὶ Πρόδικος καὶ οἱ περὶ τούτους, ῥήτορες δ᾽ αὖ Μιλτιάδης καὶ Κίμων καὶ Περικλῆς καὶ Θεμιστοκλῆς. φαίνεται δ᾽ αὖ τοὺς σοφιστὰς κατὰ τοὺς ἐν Ἅιδου κολαζομένους τιθεὶς καὶ καταλέγων, Καὶ μὴν Τάνταλον εἰσεῖδον καὶ Τὸν δὲ μετ᾽ εἰσενόησα τοῖς ἐκ Νεκυίας αὐτοὺς κόσμοις τιμῶν, Πρόδικον μὲν ὡς Τάνταλον ὄντα, Ἱππίαν δὲ ὡς τὸ εἴδωλον τοῦ Ἡρακλέους. Πρωταγόρας δ᾽ αὖ μετὰ τούτων διαιτᾶται, μέρος τι τῆς οἰκίας κατειληφὼς καὶ τούτοις ἐνδείκνυσθαι βούλεται, καὶ ἔστι*

---

291, 2 *τὴν ψυχὴν* L. Aberat *τὴν*. *ψυχὴν*] *ψυχῆς* B. 3 *σοφίζεται*] Ita ex Platonis Cratylo sub finem. CANTER. *σοφίζεται* E Soph. Canterus, Iebb. *σοφία νομίζεται* ΘLN. *σοφία λογίζεται* Iunt. *Πῶλον*] Nam Polus Graece significat equuleum. CANTER. 4 *ὅτι*] *ἔτι* Reiskius. 7 *αὐτοῦ* L et Reiskius. Vulgo *αὖ τοῦ*. *τοτὲ — τοτὲ*] Vulgo *τότε*. *ταυτόν*] *ταυτὸν μέν* N. 9 *συγχωρήσωμεν*] *συγχωρήσομεν* L. *τὸ αὐτὸ*] *ταυτὸ* N, deleto quod praecesserat *τὸ*. 10 *οὗτος ὁ λόγος*] *ὁ λόγος οὗτος* N. 11 *καὶ καθαρῶς*] *καὶ* deletum in N. *οὐκοῦν σοφισταὶ*] In Protagora sub finem. CANTER. 14 *καὶ μὴν Τάνταλον εἰσεῖδον* (vulgo *ἐσεῖδον*)] Odyss. λ, 582. *Τὸν*] Odyss. λ, 601. *Τὸν δὲ*] Vulgo *τόνδε*. *μετ᾽ εἰσενόησα* L. Vulgo *μετεισενόησα*. Conf. Platonis Protagor. p. 315 b. c. *Νεκυίας*] *νεκύας* ΘL. 16 *κατειληφὼς*] *μετειλη-*

Digitized by Google

θαυμαστὸς καὶ οὗτος τὴν φρόνησιν. ἐρωτᾷ δὲ Σωκράτης
Ἀπολλόδωρον εἰ οὐκ αἰσχύνοιτο σοφιστὴν ἐθέλων παρέχειν
ἑαυτὸν εἰς τοὺς Ἕλληνας. καὶ τί ἄν τις ἀγωνίζοιτο; ῥᾴ-
διον γὰρ καὶ τῷ τυχόντι γνῶναι τοῦτό γε, ὁπόσον τι
Πλάτων ἀεὶ τῶν σοφιστῶν καταγελᾷ καὶ ὁπόσου τινὸς
ἀξίους αὐτοὺς ἡγεῖται. ὅτι τοίνυν κρείττων μὲν ἡ σοφι- (484)
στικὴ τῆς ῥητορικῆς, σοφισταὶ δὲ οὓς εἶπον οὗτοί εἰσι
292 κατὰ τὸν Τάνταλον, καὶ τὸ γενέσθαι τούτων ἕνα καὶ τὸ
λαβεῖν τὴν τούτων προσηγορίαν αἰσχύνη σαφής, ποῖ ποτε
ἐκπίπτει τῆς ῥητορικῆς τὰ πράγματα, ἢ τί τῷ Μιλτιάδῃ
καὶ τῷ Κίμωνι καὶ τῷ Περικλεῖ καὶ τῷ Θεμιστοκλεῖ κατα-
λείπεται; ἆρα ἄλλο τι ἢ τῷ ὄντι ὥσπερ εἴδωλον ἔλαττον
φέρεσθαι, καὶ τίς ταῦτα ἀνέξεται; καίτοι ὅταν οἱ μὲν
σοφισταὶ μηδὲν τῶν ἐν Ἅιδου κολαζομένων διαφέρωσιν,
οἱ δὲ ῥήτορες χείρους ἔτι τούτων ὦσι, καὶ μηδὲν αὖ τῶν
μαγείρων οὗτοι σεμνότεροι, κωμῳδίαν δὲ καὶ τραγῳδίαν
μὴ οὐδὲ διδάσκειν δέῃ τὸ παράπαν, ἀλλ' ἐκκηρύττειν ἐκ
τῆς ἀγαθῆς πόλεως, ὁ δὲ διθύραμβος κολακεία τις ᾖ,
φαῦλον δ' οἱ χοροί, κἂν παιᾶνας ᾄδωσιν, Ὅμηρον δὲ
εἰσαλείψαντες ἐκπέμπωμεν ὡς οὐκ ἐπιτήδειον συνεῖναι τοῖς
νέοις, ἀλλὰ ὄντα γόητα καὶ τοῦ πρὸς ἡδονὴν θηρευτήν,
πάντες δ' ὦσι τοῦ μηδενὸς ἄξιοι, οὐ φροῦδα τὰ τῶν Ἑλ-
λήνων πράγματα; ἢ πῶς οὐκ εἰς πονηρὸν κάτεισι τοῖς
Ἕλλησι τὰ πράγματα; ἢ τοῦ ποτε λοιπὸν ἡμῖν ὁ Σω-
κράτης ἔσται βελτίων, εἰ πάντας ἐφεξῆς οὑτωσὶ διαγράψο- (485)
μεν καὶ ξενηλασίαν τοσαύτην τῶν Ἑλλήνων ποιησόμεθα,
ὅσην οὐδ' ἐν Λακεδαίμονί πω συμβᾶσαν ἀκούομεν; οὐ

---

φὼς N. 18 Ἀπολλόδωρον] Cuius hic nomen pro Hippocrate ponitur memoriae lapsu. Canter. 19 ἀεὶ deletum in N. 20 ἀξίους αὐτοὺς] αὐτοὺς ἀξίους LN. κρείττων] κρεῖττον LN.

292, 1 Τάνταλον] τάρταρον E. 4 ἔλαττον] Leg. ἄττον volitans, vagans huc illuc, aut εἰκῇ ἄττον. Reisk. φέρεσθαι ΘLN. Legebatur φαίνεσθαι. 5 μηδὲν] μὴ δὲ N. διαφέρωσιν] οὐδὲν addit N. 7 δέῃ] δέοι Θ. δέοι N. δέῃ τὸ] δέοιτο L. 8 ἐκπέμπωμεν] ἐκπέμπομεν L. 9 θηρευτὴν] γρ. θεραπευτὴν N. Hoc est in E. 10 πάντες] πάντη ΘL. 11 πονηρὸν] τὸ μὴ ὂν E. τοῦ] ποῦ L. ἡμῖν ὁ Σωκράτης] ὁ σωκράτης ἡμῖν L. ἔσται] ἐστὶ LN. 13 οὐδ' ἐν] οὐδὲ L. πω] πῶς E.

Digitized by Google

οὐ πρὸς ἡμέρων ταῦτα καὶ δικαίων, ὥς φασιν οἱ πρῶτοι τῶν Ἑλλήνων Ὅμηρος καὶ Πλάτων. καὶ ταῦτ᾽ οὐχὶ Πλάτωνος λέγω καθαπτόμενος. πόθεν; μὴ μὲν οὖν ἔμοιγε κατ᾽ Αἰσχύλον μήτε παρασιστὴς μήτ᾽ ἐγγὺς εἴη ὅστις μὴ φίλος τῷ ἀνδρὶ τούτῳ μηδὲ τιμᾷ τὰ πρέποντα· ἀλλ᾽ ὥσπερ ἔφη Λυσίας κοινὸν ἑαυτὸν εἶναι φίλον τῆς πόλεως, οὕτως καὶ περὶ ἡμῶν καὶ διανοεῖσθαι κοινούς τινας εἶναι τοῖς Ἕλλησι φίλους, καὶ νῦν ὑπὲρ τῶν κοινῶν δικαίων ἀγωνίζεσθαι. οὔτοι φιλαθηναίου γέ ἐστι τὴν Ἀκαδημίαν μόνην ἀσπάζεσθαι τῆς Ἀττικῆς, τὴν δ᾽ ἄλλην ἅπασαν ὥσπερ ἐχθρὰν κρίνειν καὶ πολεμίαν· οὐδὲ γὰρ καταγελάστους ἀποφήναντα τοὺς ἄλλους ἅπαντας οὕτω καὶ τότε χρὴ Πλάτωνα θαυμάζειν ἀναπεῖσαι. τοῦτο γὰρ οὐ Πλάτωνος ἂν εἴη τιμή, ἀλλ᾽ ἀτιμία τῶν ἄλλων μᾶλλον, σχεδὸν δέ τι καὶ αὐτοῦ Πλάτωνος. τὸ γὰρ ἡγεῖσθαι χρηστοῦ τινος (486)
293 ἄλλου κριθέντος μὴ εἶναι τούτῳ πλείονος ἀξίῳ δόξαι πῶς οὐ τοιοῦτόν ἐστιν; ἀλλ᾽ ὥσπερ Ὅμηρος ἐπαινεῖ λέγων

Πρόσθε μὲν ἐσθλὸς ἔφευγε, δίωκε δέ μιν μέγ᾽ ἀμείνων·

καὶ πάλιν

Ἀνδρῶν αὖ μέγ᾽ ἄριστος ἔην Τελαμώνιος Αἴας,
ὄφρ᾽ Ἀχιλεὺς μήνιεν· ὁ γὰρ πολὺ φέρτατος ἦεν.

καὶ ἑτέρωθι

Κάρτιστοι μὲν ἔσαν καὶ καρτίστοις ἐμάχοντο,
θηρσὶν ὀρεσκῴοισι, καὶ ἐκπάγλως ἀπόλεσσαν·

οὕτως καὶ ἡμᾶς εἰκός ἐστιν ἔχειν πρὸς τοὺς ἐπαίνους, πρεσβεύειν μὲν ὃν ἂν βουλώμεθα καὶ ὃν ἂν ᾖ δίκαιον, μὴ διασύρειν δὲ οὓς οὐκ ἄξιον, μηδὲ νομίζειν τὴν πρὸς

---

ἡμέρων ταῦτα καὶ δικαίων] Non reperio quo loco Homerus ἡμέρων καὶ δίκαιον ἄνδρα dixerit. Reisk. 15 μήτε LN (τε in L ab rec. m. eraso μοι). Legebatur μή μοι. 17 οὕτως E. Vulgo οὕτω. 20 καὶ τότε] καί ποτε Photius p. 437 a, 28.

293, 2 τούτῳ] τοῦτο L. 3 Πρόσθε (πρόσθεν N) μὲν] Iliad. χ, 158. 4 Ἀνδρῶν (δ᾽ add. LN) αὖ] Iliad. β, 768. 5 ἀχιλλεὺς μήνιε L. ἀχιλλεὺς etiam N. ἑτέρωθι] Iliad. α, 267. 6 φηρσὶν ΘELN. Vulgo θηρσίν. ἀπόλεσσαν Θ. Vulgo ἀπόλεσαν. ἀπώλεσαν LN. οὕτως E. Vulgo οὕτω. 7 καὶ ὃν ἄν] καὶ ὃ ἄν

Digitized by Google

τοὺς ἑτέρους ἀπέχθειαν ἀφορμὴν τῆς πρὸς τοὺς ἑτέρους πίστεως εἶναι, ἀλλ' ἡγεῖσθαι παραπλήσιον νῦν ἡμᾶς ποιεῖν, ὥσπερ ἂν εἴ τις ἐν συμποσίῳ φίλων κοινῶν μαχομένων συστασιάζειν μὲν μηδετέροις ἀξιοίη, μηδ' οὓς ἀδικεῖσθαι νομίζοι, πραΰνειν δ' ἐπιχειροίη τοὺς ὑπάρξαντας καὶ διαλλάττειν εἰς τὸ δυνατόν. εἰ γὰρ τοῦ Πλάτωνα κακόν τι λέγειν ἀφέμενοι τοῖς ἀνδράσι τὰ πρέποντα ἀπεδώκαμεν, οὐκ ἀδικοῦμεν οἶμαι. ταῦτα γὰρ καὶ πολιτικὰ καὶ ἀνθρώ- (487) πινα καὶ θεοῖς ἀρέσκοντα ἐκ τοῦ παντὸς χρόνου. δεῖ γὰρ καὶ τραγῳδίαν, ὦ Πλάτων, ἐπίστασθαι ἐπαινέσαι καὶ κωμῳδίαν γε ἃ προσήκει καὶ διθύραμβον καὶ χορούς, οὐδ' ἂν ὅ γε Ἀπόλλων ἱστάναι χοροὺς προσέταττεν, εἰ πάντη φαῦλον ἦν, οὐδέ γε, ὃ τούτου μεῖζόν ἐστι, τὸν ἀποκτείναντα Ἀρχίλοχον, ὃς τὸ πάντων ἔξοχον καὶ δυσχερέστερον εἶδος τῆς ποιήσεως μετεχειρίζετο, τοὺς ἰάμβους, ἐξεῖργεν ἂν τοῦ νεὼ, φάσκων οὐκ εἶναι καθαρὸν, καὶ ταῦτ' ἐν πολέμῳ τοῦ φόνου συμβάντος. ἀλλ' ὅμως ἐτίμησε τὸν Ἀρχίλοχον καὶ Μουσάων γε θεράποντα προσεῖπεν, ἀλλ' οὐκ ἀνθρώπων διάκονον οὐδενός. οὐ τοίνυν οὐδ' Ἀρχίλοχος περὶ τὰς βλασφημίας οὕτω διατρίβων τοὺς ἀρίστους τῶν Ἑλλήνων καὶ τοὺς ἐνδοξοτάτους ἔλεγε κακῶς, ἀλλὰ
294 Λυκάμβην καὶ Χειδὸν καὶ τὸν δεῖνα τὸν μάντιν, καὶ τὸν Περικλέα τὸν καθ' αὑτὸν, οὐ τὸν πάνυ, καὶ τοιούτους ἀνθρώπους ἔλεγε κακῶς. μὴ τοίνυν ἡμεῖς ἐκεῖνον ὑπερβαλώμεθα, μηδὲ Τιμοκρέοντος τοῦ σχετλίου πρᾶγμα ποιῶμεν, ἀλλ' εἰδῶμεν εὐφημεῖν τὰ γιγνόμενα, καὶ ταῦτα παν- (488) τὸς μᾶλλον δυνάμενοι, καὶ τὸ τοῦ Ὁμήρου νομίζωμεν εὖ ἔχειν

---

E. 9 τῆς πρὸς] τὴν πρὸς ΘLN. 11 νομίζοι] νομίζει N. 17 ἔξοχον sententiae adversatur. num ἔσχατον καὶ δυσχερέστατον. sed non satisfacit. Reisk. 18 ἐν πολέμῳ] ἐν πολέμου L. 19 μουσάων γε ELN. Aberat γε. De Archilochi interfectore Calonda vide Wyttenbachium ad Plutarch. de S. N. V. p. 81. 20 ἀνθρώπων] γε add. N. οὐδ' N. Vulgo οὐδὲ.

294, 1 Χειδὸν] τὸν χειδὸν N. 2 καθ' αὑτὸν N. Vulgo κατ' αὐτὸν. 3 ὑπερβαλώμεθα ΘL. Vulgo ὑπερβαλλώμεθα. 3 Τιμοκρέοντος] De quo Plutarchus in Themistocle. Canter. πρᾶγμα] γρ. ἔργον N. 4 γιγνόμενα ELN. Vulgo γινόμενα. Ὁμήρου]

Digitized by Google

*Οὐ μὲν γὰρ τιμή γε μί' ἔσσεται οὐδ' ἠβαιόν.*

*ἀλλὰ κἂν ἄλλο τι τοιοῦτον εἴη. διὸ τῆς ἐπιβαλλούσης μερίδος δικαίως ἂν μεταλαμβάνοι. εἰ δ' ἄρ' ἐπαινεῖν μὴ ἔχοιμεν, ἀλλὰ σιωπᾶν γε δήπουθεν ἔξεστιν. εἰ δ' οὖν καὶ τἄλλα πάντα ἀτιμάζομεν, ἀλλ' οὐ πρὸς ῥητορικὴν εἰκὸς ἦν οὕτω φιλονείκως οὐδὲ πικρῶς ἔχειν· εἰ δέ τοι καὶ πρὸς τοὺς ἄλλους ῥήτορας, ἀλλ' οὐ πρός γε τοὺς ἀρίστους τῶν Ἑλλήνων, οὐδ' οἷς μέγιστα ἀντὶ μεγίστων ὀφείλεται, καὶ οὐ μόνον παρὰ τῶν κατ' ἐκείνους ἢ μετ' ἐκείνους εὐθὺς γενομένων, ἀλλὰ καὶ παρὰ τῶν ὕστερον ὡς εἰπεῖν ἁπάντων.*

*Ἔπειτα τῆς μὲν κωμῳδίας κατηγορεῖς, αὐτὸς δὲ κωμῳδεῖς Ἱππίαν, Πρόδικον, Πρωταγόραν, Γοργίαν, Εὐθύδημον, Διονυσόδωρον, Ἀγάθωνα, Κινησίαν, πάντας ἀνθρώπους. καὶ τὸ μὲν τοὺς ἄλλους ἧττον· ἀλλ' αὐτὸν τὸν Ἀριστοφάνη τίς ἔσθ' ὁ κωμῳδῶν; ὥστε πολὺ τῆς κωμῳδίας, φαίη τις ἄν, περίεστι. καὶ τὴν μέν γε τραγῳδίαν λοιδορεῖς, πάλιν δ' ἐπαινῶν τι τῶν συγγραμμάτων τῶν σαυτοῦ, τοὺς Νόμους οἶμαι, τραγῳδίαν προσείρηκας,* (489) *καὶ ἀρίστην τῶν τραγῳδιῶν ἐτίθεις, καὶ αὐτὸς ὁμολογεῖς τραγῳδίας εἶναι ποιητής· ἀληθῆ λέγων, ὡς ἐγὼ φαίην ἄν. ἀλλ' εἴ τι φαῦλόν γε ἡ τραγῳδία καὶ φαύλων ἀνθρώπων, πῶς σε φῶμεν τραγῳδίαν ποιεῖν; οὐ γάρ τό γε ὅλως αἰσχρὸν οὐδαμῶς ἔνι δή που ποιῆσαι καλόν. καὶ λέγεις μὲν ὡς οὐ χρὴ μιμεῖσθαι τοὺς φαύλους οὐδ' ἀφομοιοῦν*
295 *αὑτὸν τοῖς χείροσιν, αὐτὸς δ' οὐ πάνυ χρῇ τούτῳ διὰ τέλους, ἀλλὰ μιμεῖ σοφιστάς, μιμεῖ συκοφάντας, μιμεῖ Θρασύμαχον τὸν οὐδεπώποτε ἐρυθριάσαντα, θυμωρούς, παιδία, μυρίους. ἀλλ' οἶμαι τὸ τῆς φύσεως Ἑλληνικὸν*

---

Iliad. ω, 66. *νομίζωμεν*] *νομίζομεν* LN. 5 *μί'* om. N. *ἔσσεται*] *ἔσεται* N. *διὸ*] *δι' ὅ* N. 6 *ἐπιβαλλούσης*] *ἐπιβαλούσης* L. *ἄρ'*] *ἄρα* L. 7 *πάντα* om. ELN. 8 *τοι*] *τι* LN. 9 *τῶν ἑλλήνων* [β] *τοὺς ἀρίστους* [α] N. 10 *κατ' ἐκείνους ἢ* rec. m. L. *ἢ μετ' ἐκείνους* in marg. habet N. 12 *Γοργίαν* om. E. *Κινησίαν* Steph. Iebb. *κιχησίαν* ΘELN Iunt. Conf. ad p. 298, 3. 13 *Ἀριστοφάνη*] Vulgo *Ἀριστοφάνην*. 15 *σαυτοῦ*] *ἑαυτοῦ* F. 16 *ἀρίστην*] *τὴν ἀρίστην* L. *ὁμολογεῖς*] De legibus VII. Canter. 17 *εἴ τι*] *εἴ τοι* N. *ἤτοι* L. *εἴ τοί γε* Photius p. 437 a, 39. 19 *καλόν*] *καλῶς* L et Photius.

295. l. 2 *μιμεῖ*] Vulgo ter *μιμῇ*. 2 *Θρασύμαχον*] De Thra-

Digitized by Google

καὶ εὔκολον καὶ εὔχερι καὶ ποικίλον καὶ θεῖον ἐφ' ἅπαντα ταῦτ' ἄγον σε ποιεῖ μαρτυρεῖν ὅτι καὶ τούτων ἑκάστου χρῆσίς ἐστι καιρὸν ἔχουσα καὶ χάριν ἐμμελῆ. ὁρῶ δ' ὅτι κἂν τῇ σεμνοτάτῃ τῶν πολιτειῶν μνησθείς τι καὶ περὶ τούτου Ἑλληνίδα τὴν πόλιν ἀξιοῖς εἶναι. δεῖν γὰρ αὐτὴν φῂς ὥς τι διάφερον δηλονότι. οὐκοῦν ταῦτά γε τῶν Ἑλλήνων ἐπιχώρια. καίτοι πῶς εἰκὸς ὑπὲρ μὲν τῶν ἀδήλων τὴν Πυθίαν κελεύειν ἐπερωτᾶν, ἃ δ' ἡ Πυθία πολλάκις (490) ἤδη καὶ πολλοῖς ἀνεῖλεν ὑπερβαίνειν ἑκόντα καὶ μὴ ἐθέλειν λογίζεσθαι; τί οὖν ἀνεῖλεν ἐκείνη πολλάκις ἤδη καὶ πολλοῖς; νόμῳ πόλεως πράττοντας ὀρθῶς ἂν πράττειν. μὴ τοίνυν ἡμεῖς κινῶμεν τὰ περὶ ταῦτα νόμιμα, ἄλλως τε καὶ αὐτοὶ πολλάκις αὐτοῖς χρώμενοι καί τιν' εὐδοκιμοῦντες τρόπον καὶ τούτων ἕνεκα· ἐπεὶ καὶ τὸν διθύραμβον δόξειε μὲν ἄν τῳ ψέγειν, φαίνεται δ' οὕτω τιμῶν ὥστε καὶ χρῆσθαι, καὶ ὅ γ' ἔτι τούτου κάλλιόν ἐστιν, ὅτι καὶ αὐτὸς ὁμολογεῖ. φησὶ γάρ που λέγων οὐ πόρρω διθυράμβων φθέγγεσθαι. καίτοι εἰ καθάπαξ αἰσχρὸν ὁ διθύραμβος καὶ ἀγεννὲς καὶ ἀνελεύθερον, τί σὺ ποιεῖς διθυράμβους, εἰ δὲ μή, μιμεῖ γε, καὶ ταῦτ' εἰς τοὺς πεζοὺς τελεῖν ταχθείς; ἢ τί σοι βούλεται τὸ μὴ πόρρω διθυράμβων φθέγγεσθαι; οὐ γὰρ δὴ τοῦτο λέγεις, μὴ πόρρω τῶν κολάκων καὶ τῶν διακόνων φθέγγεσθαι, οὔτε σὺ φαίης (491) ἂν τοῦτό γε οὔθ' ἡμεῖς κατὰ σοῦ πιστεύσομεν, ἢ κομιδῇ πάντ' ἄνω καὶ κάτω γίγνοιτ' ἄν. ἡγοῦμαι μὲν τοίνυν καὶ διθυράμβων εἶναι Πλάτωνα ποιητὴν ἄριστον· πῶς γὰρ οὔ; οὐ μὴν οὐδὲ τῶν Πινδάρου διθυράμβων ὅτι χρὴ καταγνῶναι τοιοῦτον οἷον Πλάτων ἐπῃτιάσατο ἔγωγ'

---

symacho plura videantur apud Platonem lib. 1. de Repub. pag. 336. seqq. Iebb. οὐδεπώποτε ELN et Photius. Legebatur μηδεπώποτε. οὐδέποτε Photii codex Marcianus. 4 ἑκάστου] ἑκάστη L. 6 τούτου] τούτων N. ἀξιοῖς] De republ. V. Canter. 11 ἕνεκα LN. Vulgo εἵνεκα. 12 ψέγειν] λέγειν E. δ' οὕτω] δ' ἂν οὕτω E. καὶ χρῆσθαι] καὶ χρῆσθαι LN. ὅ γ' ἔτι] ὅ ἔστι E. 13 ὁμολογεῖ] In Phaedro. Canter. 15 μιμεῖ] Vulgo μιμῇ. 16 βούλεται LN. Vulgo βούληται. πόρρω τῶν κολάκων] πόρρω om. E. 17 οὔτε σὺ τοῦτο φαίης ἂν τοῦτό γε E. 18 γίγνοιτ'] γίγνοιντ' L. μὲν τοίνυν] τοίνυν μὲν N. διθυράμβων εἶναι] διθύραμβον εἶναι L.

296 ἔχω, οὐ μόνον αὐτὸ τοῦτο τοὺς διθυράμβους σκοπῶν ἀνδρειοτέρους δήπουθεν ἔχοντας καὶ στεριφώτερον ἢ ὡς ἐκεῖνόν τῳ δοκεῖν ὑποπίπτειν, ἀλλ' ὅτι κἀν τοῖς ὕμνοις διεξιὼν περὶ τῶν ἐν ἅπαντι τῷ χρόνῳ συμβαινόντων παθημάτων τοῖς ἀνθρώποις καὶ τῆς μεταβολῆς τὸν Κάδμον φησὶν ἀκοῦσαι τοῦ Ἀπόλλωνος μουσικὰν ὀρθὰν ἐπιδεικνυμένου. οὕτω καὶ Πίνδαρος τῆς ὀρθῆς μουσικῆς ἐραστής ἐστι. τὸ δ' ἐραστής ἐστι τὴν ὀρθὴν μουσικὴν μεταχειρίζεται. οὐ γὰρ δή που τῷ μὲν Ἀπόλλωνι ταύτην προστίθησιν, αὐτὸς δ' ἑτέραν διώκει ταύτην ἀφεὶς, καὶ ταῦτ' ἀεὶ τὸν Ἀπόλλω καὶ τὰς Μούσας καλῶν. εἶτα λέγεις ὅτι πάντες οὗτοι τοῦ πρὸς ἡδονὴν ἐξήρτηνται. πότερον οὖν σε φῶμεν ἔλαττον τοῦ δέοντος λέγειν ἢ πλέον; ὅτι μὲν γὰρ καὶ τοῦ πρὸς ἡδονὴν φροντίζουσιν ὁμολογεῖται. ὥσθ' ὅσον προσθεῖναι προσῆκε, τοσοῦτον ἀφελὼν ἔλαττον παρὰ τοῦτ' εἴρηκας. (492) ὅτι δ' αὐτοῖς κολακείαν ἐπενηνόχεις ἐκ τούτου πῶς οὐκ ἔξω τοῦ δέοντος εἴρηκας, ἢ πῶς οὐ ταύτῃ πλέον αὖ τοῦ δέοντός ἐστιν ἔχων ὁ λόγος; εἶεν. αὐτὸς δὲ σὺ πρὸς Διὸς οὐ πώποθ' ἡμῖν οὐδὲν πρὸς ἡδονὴν οὔτ' εἶπας οὔτ' ἐποίησας, οὐ συνέθηκας, οὐ διέθου λόγον, οὐκ ἀνέπαυσας, οὐκ ἐπεισήγαγες, ἀλλ' ἁπλῶς οὑτωσὶ τὴν ἀπὸ Σκυ-

296, 1 Post ἔχω videtur συνιδεῖν deesse. Reisk. 2 Post δήπουθεν videtur αὐτῷ desiderari. Reisk. ἐκεῖνόν τῳ Reiskius. Vulgo ἐκεῖνον τῷ. 5 μουσικὰν] Pindari fragm. 8. p. 563. τὸ δ'] εἰ δ' Canterus. 6 Post ἐστι excidit ταυτὸν δύναται τῷ, aut δηλοῦν βούλεται ὅτι, aut simile quid. Reisk. 8 πότερον N et Photii codex Marcianus. Vulgo πότερ'. 9 πλέον LN et Photius. Vulgo πλεῖον. φροντίζουσιν] οἱ ποιηταὶ addit Photius. 16 Post ὁμολογεῖται videtur aliquid deesse, e. c. ὅτι δὲ καὶ τοῦ ὠφελίμου φροντίζουσι καὶ τοῦτο ὁμολογεῖται. σὺ δὲ τοῦτο οὐκ εἴρηκας. vel similis sententia. Consentiunt omnes in hoc, suavitatem consectari dithyrambicos eorumque socios, comoedos, tragoedos, sed utilitatem quoque eos sequi, convenit inter omnes. tu autem hoc dissimulasti, eoque minus dixisti, quam oportebat, quatenus tantum detraxisti ipsorum laudibus, quantum addere debebas. Reisk. προσῆκε] προσῆκεν Θ. τοσοῦτον] Vulgo τοσοῦτ'. 13 οὔτ' εἶπας] εἴτ' εἶπας N. 14 ἀνέπαυσας] Colloquentes personas a colloquio absolvis, conticescere et respirare sinis, et deinceps rursus eos ἐπεισήγαγες reducis in scenam et rursus loqui atque agere iubes. Reisk. ἀπὸ Σκυθῶν] Simplicissima gens om-

Digitized by Google

καὶ εὔκολον καὶ εὔχαρι καὶ ποικίλον καὶ θεῖον ἐφ' ἅπαντα ταῦτ' ἄγον σε ποιεῖ μαρτυρεῖν ὅτι καὶ τούτων ἑκάστου χρῆσίς ἐστι καιρὸν ἔχουσα καὶ χάριν ἐμμελῆ. ὁρῶ δ' ὅτι κἂν τῇ σεμνοτάτῃ τῶν πολιτειῶν μνησθείς τι καὶ περὶ τούτου Ἑλληνίδα τὴν πόλιν ἀξιοῖς εἶναι. δεῖν γὰρ αὐτὴν φῂς ὥς τι διάφορον δηλονότι. οὐκοῦν ταῦτά γε τῶν Ἑλλήνων ἐπιχώρια. καίτοι πῶς εἰκὸς ὑπὲρ μὲν τῶν ἀδήλων τὴν Πυθίαν κελεύειν ἐπερωτᾶν, ἃ δ' ἡ Πυθία πολλάκις (490) ἤδη καὶ πολλοῖς ἀνεῖλεν ὑπερβαίνειν ἑκόντα καὶ μὴ ἐθέλειν λογίζεσθαι; τί οὖν ἀνεῖλεν ἐκείνη πολλάκις ἤδη καὶ πολλοῖς; νόμῳ πόλεως πράττοντας ὀρθῶς ἂν πράττειν. μὴ τοίνυν ἡμεῖς κινῶμεν τὰ περὶ ταῦτα νόμιμα, ἄλλως τε καὶ αὐτοὶ πολλάκις αὐτοῖς χρώμενοι καί τιν' εὐδοκιμοῦντες τρόπον καὶ τούτων ἕνεκα· ἐπεὶ καὶ τὸν διθύραμβον δόξειε μὲν ἄν τῳ ψέγειν, φαίνεται δ' οὕτω τιμῶν ὥστε καὶ χρῆσθαι, καὶ ὅ γ' ἔτι τούτου κάλλιόν ἐστιν, ὅτι καὶ αὐτὸς ὁμολογεῖ. φησὶ γάρ που λέγων οὐ πόρρω διθυράμβων φθέγγεσθαι. καίτοι εἰ καθάπαξ αἰσχρὸν ὁ διθύραμβος καὶ ἀγεννὲς καὶ ἀνελεύθερον, τί σὺ ποιεῖς διθυράμβους, εἰ δὲ μή, μιμεῖ γε, καὶ ταῦτ' εἰς τοὺς πεζοὺς τελεῖν ταχθείς; ἢ τί σοι βούλεται τὸ μὴ πόρρω διθυράμβων φθέγγεσθαι; οὐ γὰρ δὴ τοῦτο λέγεις, μὴ πόρρω τῶν κολάκων καὶ τῶν διακόνων φθέγγεσθαι, οὔτε σὺ φαίης (491) ἂν τοῦτό γε οὔθ' ἡμεῖς κατὰ σοῦ πιστεύσομεν, ἢ κομιδῇ πάντ' ἄνω καὶ κάτω γίγνοιτ' ἄν. ἡγοῦμαι μὲν τοίνυν καὶ διθυράμβων εἶναι Πλάτωνα ποιητὴν ἄριστον· πῶς γὰρ οὔ; οὐ μὴν οὐδὲ τῶν Πινδάρου διθυράμβων ὅτι χρὴ καταγνῶναι τοιοῦτον οἷον Πλάτων ἐπητιάσατο ἔγωγ'

---

symacho plura videantur apud Platonem lib. 1. de Repub. pag. 336. seqq. Iebb. οὐδεπώποτε ELN et Photius. Legebatur μηδεπώποτε. οὐδέποτε Photii codex Marcianus. 4 ἑκάστου] ἑκάστη L. 6 τούτου] τούτων N. ἀξιοῖς] De republ. V. Canter. 11 ἕνεκα LN. Vulgo εἵνεκα. 12 ψέγειν] λέγειν E. δ' οὕτω] δ' ἂν οὕτω E. καὶ χρῆσθαι] καὶ χρῆσθαι LN. ὅ γ' ἔτι] ὅ γ' ἔστι E. 13 ὁμολογεῖ] In Phaedro. Canter. 15 μιμεῖ] Vulgo μιμῇ. 16 βούλεται LN. Vulgo βούληται. πόρρω τῶν κολάκων] πόρρω om. E. 17 οὔτε σὺ τοῦτο φαίης ἂν τοῦτό γε E. 18 γίγνοιτ'] γίγνοιντ' L. μὲν τοίνυν] τοίνυν μὲν N. διθυράμβων εἶναι] διθύραμβον εἶναι L.

Digitized by Google

96 ἔχω, οὐ μόνον αὐτὸ τοῦτο τοὺς διθυράμβους σκοπῶν ἀνδρειότερον δήπουθεν ἔχοντας καὶ στερεώτερον ἢ ὡς ἐκεινόν τῳ δοκεῖν ὑποπίπτειν, ἀλλ᾽ ὅτι κἂν τοῖς ὕμνοις διεξιὼν περὶ τῶν ἐν ἅπαντι τῷ χρόνῳ συμβαινόντων παθημάτων τοῖς ἀνθρώποις καὶ τῆς μεταβολῆς τὸν Κάδμον φησὶν ἀκοῦσαι τοῦ Ἀπόλλωνος μουσικὰν ὀρθὰν ἐπιδεικνυμένου. οὕτω καὶ Πίνδαρος τῆς ὀρθῆς μουσικῆς ἐραστής ἐστι. τὸ δ᾽ ἐραστής ἐστι τὴν ὀρθὴν μουσικὴν μεταχειρίζεται. οὐ γὰρ δή που τῷ μὲν Ἀπόλλωνι ταύτην προστίθησιν, αὐτὸς δ᾽ ἑτέραν διώκει ταύτην ἀφεὶς, καὶ ταῦτ᾽ ἀεὶ τὸν Ἀπόλλω καὶ τὰς Μούσας καλῶν. εἶτα λέγεις ὅτι πάντες οὗτοι τοῦ πρὸς ἡδονὴν ἐξήρτηνται. πότερον οὖν σε φῶμεν ἔλαττον τοῦ δέοντος λέγειν ἢ πλέον; ὅτι μὲν γὰρ καὶ τοῦ πρὸς ἡδονὴν φροντίζουσιν ὁμολογεῖται. ὥσθ᾽ ὅσον προσθεῖναι προσῆκε, τοσοῦτον ἀφελὼν ἔλαττον παρὰ τοῦτ᾽ εἴρηκας. (492)
ὅτι δ᾽ αὐτοῖς κολακείαν ἐπενηνόχεις ἐκ τούτου πῶς οὐκ ἔξω τοῦ δέοντος εἴρηκας, ἢ πῶς οὐ ταύτῃ πλέον αὖ τοῦ δέοντός ἐστιν ἔχων ὁ λόγος; εἶεν. αὐτὸς δὲ σὺ πρὸς Διὸς οὐ πώποθ᾽ ἡμῖν οὐδὲν πρὸς ἡδονὴν οὔτ᾽ εἶπας οὔτ᾽ ἐποίησας, οὐ συνέθηκας, οὐ διέθου λόγον, οὐκ ἀνέπαυσας, οὐκ ἐπεισήγαγες, ἀλλ᾽ ἁπλῶς οὑτωσὶ τὴν ἀπὸ Σκυ-

---

296, 1 Post ἔχω videtur συνιδεῖν deesse. Reisk. 2 Post δήπουθεν videtur αὐτῷ desiderari. Reisk. ἐκεινόν τῳ Reiskius. Vulgo ἐκεῖνον τῷ. 5 μουσικὰν] Pindari fragm. 8. p. 563. τὸ δ᾽] εἰ δ᾽ Canterus. 6 Post ἐστι excidit ταυτὸν δύναται τῷ, aut δηλοῦν βούλεται ὅτι, aut simile quid. Reisk. 8 πότερον N et Photii codex Marcianus. Vulgo πότερ᾽. 9 πλέον LN et Photius. Vulgo πλεῖον. φροντίζουσιν] οἱ ποιηταὶ addit Photius. 16 Post ὁμολογεῖται videtur aliquid deesse, e. c. ὅτι δὲ καὶ τοῦ ὠφελίμου φροντίζουσι καὶ τοῦτο ὁμολογεῖται. σὺ δὲ τοῦτο οὐκ εἴρηκας. vel similis sententia. Consentiunt omnes in hoc, suavitatem consectari dithyrambicos eorumque socios, comoedos, tragoedos, sed utilitatem quoque eos sequi, convenit inter omnes. tu autem hoc dissimulasti, eoque minus dixisti, quam oportebat, quatenus tantum detraxisti ipsorum laudibus, quantum addere debebas. Reisk. προσῆκε] προσῆκεν Θ. τοσοῦτον] Vulgo τοσοῦτ᾽. 13 οὔτ᾽ εἶπας] εἴτ᾽ εἶπας N. 14 ἀνέπαυσας] Colloquentes personas a colloquio absolvis, conticescere et respirare sinis, et deinceps rursus eos ἐπεισήγαγες reducis in scenam et rursus loqui atque agere iubes. Reisk. ἀπὸ Σκυθῶν] Simplicissima gens om-

θῶν ἡμῖν διαλέγει; ἐγὼ μὲν οὐκ ἐνέτυχον εἰς τήνδε τὴν ἡμέραν ἡδίονι τούτου καὶ πρὸς αὐτοὺς τοὺς διθυραμβοποιοὺς καὶ τοὺς τραγῳδιοποιοὺς εἶπον ἄν, εἴ τις αὐτῶν ἤρετο. εἶτ' αὐτὸς ὅμοιον τῷ Νέστορι φθεγγόμενος, εἰ δὴ κἀκεῖνον τοιοῦτόν τι χρὴ φθέγξασθαι δοκεῖν, ἐγὼ μὲν γὰρ καὶ τὰς Σειρῆνας ἂν εἶξαι σοι δοκῶ, τῶν ἄλλων εἴ τι καὶ πρὸς ἡδονὴν λέγουσι κατηγορεῖς; ὅρα μὴ παίζοντα μᾶλλον τιθῇ σέ τις ἢ σπουδάζοντα καὶ φιλονεικοῦντα, ὅς γε καὶ ἐν αὐτοῖς τούτοις τοῖς λόγοις, ἐν οἷς διασύρει ταῦτα τὰ ἔθνη τοσοῦτον χαρίτων καὶ ἡδονῆς εἰσηνέγκατο, ὅσον οἷόν τ' ἦν πλεῖστον ὡς ἐν ἀηδεῖ λέγω τῷ παντὶ λόγῳ καὶ τραχεῖ.

297 Τὸ μὲν οὖν μείζω τῶν ἄλλων Πλάτωνα φρονεῖν οὐ (49 νεμεσῶ, τὸ δὲ τοὺς ἄλλους, εἰ μὴ πικρὸν εἰπεῖν, προπηλακίζειν, κἂν αὐτῷ συνὼν τε καὶ συμβουλεύων ἀφαιρεῖν οὐκ ἀδικεῖν ἂν ἡγοῦμαι. οἶμαι δὲ καὶ Σωκράτει τὸν Ἀπόλλω τοῦτο κελεύειν, κελεύοντα μουσικὴν ποιεῖν, ἀφελεῖν τὴν φιλαπεχθημοσύνην τὴν περὶ τοὺς λόγους, ὡς ἐκείνου γ' ἄλλο μὲν οὐ ῥᾴδιον εὑρεῖν ὅ τι τις κατηγορήσει. τοῦτο δ' ἤδη τινὲς ᾐτιάσαντο, ἀμέλει καὶ πρὸς τὸν ἀγῶνα ὃν ἔφυγε τοῦτο μάλιστ' αὐτὸν βλάψαι δοκεῖ. καὶ ὅπως μή τίς μοι τῶν σοφιστῶν ὑπολήψεται, ἀλλ' οὐδέν γ' ἐβλάβη Σωκράτης, ἐπεὶ κἂν ἄλλος ἔχοι πρὸς τοῦθ' ὑπολαμβάνειν, ἀλλὰ βλαβῆναί γ' αἴτιος ἐγένετο τῶν δικαστῶν τοῖς κατα-

---

nium Scythae, nihil voluptatis caussa aut facientes aut dicentes. Strab. Geogr. lib. 7. pag. 301. ἁπλουστάτους τε γὰρ αὐτοὺς νομίζομεν καὶ ἥκιστα κακεντρεχεῖς, εὐτελεστέρους δὲ πολὺ ἡμῶν, καὶ αὐταρκεστέρους. Confer Iustin. Hist. lib. 2. Iebb. διαλέγει] Vulgo διαλέγῃ. 16 τραγῳδιοποιοὺς] τραγῳδοποιοὺς ΘLN. 17 φθέγξασθαι] φθέγγεσθαι L. 18 σειρῆνας Θ Iunt. εἰρημένας σειρῆνας L Iebb. εἰρημένας N, qui σειρῆνας in marg. annotatum habet. τῶν ἄλλων ΘN. Legebatur τῶν δ' ἄλλων. „δὲ delendum, nisi paulo ante legere mavis εἶτ' αὐτὸς μὲν ὅμοιον φαίνῃ τῷ Νέστορι φθεγγόμενος." Reisk. 19 τιθῇ σέ τις] Vulgo τιθῇ τις. τί, θῇ σε τίς L. τιθῆσεν τίς N. 20 ἔθνη] ἔθη N. 21 ὡς om. L. λόγῳ καὶ τραχεῖ ΘELN. Vulgo λόγῳ τραχύ. μείζω ΘELN. Vulgo μεῖζον.

297, 3 μουσικὴν ποιεῖν] Init. Phaedonis. Canter. 6 ὑπολήψεται N. ἀπολήψεται ΘL. ὑπολείψεται vulgo et correctus L.

Digitized by Google

ψηφισαμένοις, εἴπερ γε μὴ τὰ δίκαια ἔγνωσαν. χωρὶς δὲ τούτων εἰ μὲν ὅλως ἐπεθύμει θανάτου, πρῶτον μὲν τί τοσοῦτον ἦν αὐτῷ; ἔπειτ' οὐδ' ἀπολογεῖσθαι προσῆκε τὴν ἀρχήν. εἰ δ' οὐκ ἂν ἀηδέστερον ἀπέφυγε, τοῦτ' ἦν τὸ κωλῦσαν, τὸ πολλοῖς ἐκ τοῦ κακῶς λέγειν προσκροῦσαι. ἔοικε δὲ καὶ Ὅμηρος ἐκ πολλοῦ ταῦτα χρησμῳδεῖν καὶ προλέγειν, ἅτε τοῦ Ἀπόλλωνος θεράπων οἶμαι καὶ πάρε- (494) δρος ὤν. ἃ γὰρ ἐν λιταῖς Ὀδυσσεὺς λέγει πρὸς Ἀχιλλέα, Πηλέως τοῦ πατρὸς αὐτοῦ φάσκων παραίνεσιν εἶναι, ταῦθ' Ὁμήρου παράκλησιν εἶναι πᾶσιν ὡς κοινοῦ πατρὸς ἡγεῖσθαι προσήκει,

*Ληγέμεναι δ' ἔριδος κακομηχάνου, ὄφρα σε μᾶλλον*
*τίωσ' Ἀργείων ἠμὲν νέοι ἠδὲ γέροντες.*

δεινὴ γὰρ ἡ σφόδρα ἔρις καὶ τὴν ὑπάρχουσαν εὔνοιαν μεταστῆσαι καὶ τοὺς οὐκ ὄντας ἀγῶνας ἐπισπάσασθαι. ἐγὼ μὲν οὖν ὡς μέχρι τῆς ῥητορικῆς κατέθει καὶ τοὺς τυράννους ἤλεγχε καὶ τἄλλα διεξήρχετο, εἰπόμην ὥσπερ εἰκὸς ἦν, εἰδὼς μὲν ὅτι οὐδὲν τούτων ἔλεγχός ἐστι ῥητορικῆς, ἀλλ' ἔχων τὸν δικαιότατον λόγον ἀντιθεῖναι, ὅμως τῆς γε τόλμης ἠγασάμην καὶ τὴν δεινότητα καὶ τὴν εὐπορίαν ἐθαύμασα, καὶ εἰ χρὴ κατ' αὐτὸν εἰπεῖν οἷον λέον-
298 τος σκιρτῶντος ἔννοιάν τιν' ἐλάμβανον καὶ μόνον οὐκ ἐθεώμην τὸν ἄνδρα ἐν τοῖς λόγοις. εἰ δὲ δεῖ καὶ τοῦτο προσθεῖναι, καὶ ὁ Μέλης οὐκ ἀηδής μοι καὶ ὁ Κινησίας, ἀλλ' ἀπέλαυον τοῦ γελοίου καὶ συνεχώρουν ἄχρι τούτου (495) καὶ ὀνομαστὶ κωμῳδῆσαι. πάντως οὐχ οὗτοί μοι τὰ φίλ-

---

7 ἄλλος] ἄλλως L. 8 εἴπερ γε μὴ] In marg. E scholion, ἀφιλόσοφον τὸ ἔνθυμα (corr. ἐνθύμημα)· μελετὸς γὰρ θάνατος τοῖς φιλοσόφοις, ὅσοι τὴν ἀπὸ τοῦ σώματος καὶ τῶν σωματικῶν ἐλευθερίαν ποθοῦσι, καὶ τῆς καθαρᾶς ζωῆς καὶ νοερᾶς ἐκτόπως ἐρῶσιν. 9 τοσοῦτον] Scil. κακόν. Reisk. 13 αὐτοῦ addidi ex ELN. 15 Ληγέμεναι] Iliad. ι, 257. 16 ἡμὲν N. ἠμὶν Iunt. ἡμὴν Steph. Iebb. οἱ μὲν E. 19 μὲν ὅτι ΘELN. Vulgo μὲν οὖν ὅτι. 20 τῆς γε] γε τῆς γε ΘLN.

298, 1 σκιρτῶντος om. E, ab rec. m. habet L, in marg. N. τιν'] τίνα L. 3 Κινησίας Canterus. Libri κιχησίας. Conf. ad p. 294, 12. ἀπέλαυον] ἀπέλαβον N. 4 ὀνομαστὶ] ὀνόματι ΘLN. 4 κωμῳδῆσαι. πάντως οὐχ' L et Reiskius. Vulgo κωμῳδῆσαι πάντως, οὐχ —. πάντως] πάντας E. μοι τὰ L. Vulgo

τατα. ἐπεὶ δὲ καὶ ἐπὶ Μιλτιάδην καὶ Θεμιστοκλέα καὶ τοὺς περὶ τούτους ἀφίκετο καὶ τὸ χαίρειν ἀφεὶς τούτους ἔκρουε τὴν αὐτὴν ἁρμονίαν, καὶ τὸν Θεαρίωνα προσῆπτε, καὶ πάντα ἐμίγνυ καὶ γελοῖα καὶ σπουδαῖα ὑπὲρ τοῦ τοὺς ἄνδρας ἐλέγχειν, καὶ οὐδ' ὁτιοῦν ὑπεστέλλετο, ἀλλ' ἀνέδην ἔλεγε κακῶς, ἐνταῦθ' ἤδη τι προσίστατό μοι καὶ ὡσπερεὶ προδοσία τις ἐφαίνετο τοὺς ἄνδρας προλιπεῖν. τί λέγεις; οὐ περαίνεις αὐτὸν ἐφ' αὑτοῦ τὸν λόγον, ἀλλ' ὄνομαθ' ἡμῖν εἰς τὸ μέσον φέρεις καὶ τὸ πρᾶγμ' ἀφεὶς τὸν δεῖνα καὶ τὸν δεῖνά λέγεις κακῶς; καὶ ὁ μὲν τοῦ Σόλωνος νόμος οὐδὲ νόμον ἐπ' ἀνδρὶ γράφειν ἐᾷ, σὺ δ' ἐπ' ἀνδράσι βίβλον ποιεῖς; καὶ Σωκράτης μὲν καὶ Πυθαγόρας οὐδ' αὐτοὺς τοὺς λόγους ἐν οἷς ἔζων συνέγραψαν, ἀλλ' ἐφ' αὑτῶν ἐφιλοσόφουν, σὺ δὲ τῶν Ἑλλήνων κωμῳδεῖς τὰ ἀγάλματ' ἐν μέσῳ; καὶ κωμῳδίας μὲν ἤδη ποιηταὶ τῶν ὀνομάτων ἀπέσχοντο καὶ ἠδυνήθησαν ἄνευ τοῦ (496) ὀνομαστὶ κωμῳδεῖν τὸ δρᾶμα ἀπεργάσασθαι, σὺ δὲ τῶν Ἑλλήνων τοὺς ἄκρους τὸν Ἀριστοφάνους ἀλλαντοπώλην πεποίηκας, καὶ ταῦτα εἰκῇ καὶ πρὸς οὐδεμίαν χρείαν ἔτι τοῦ λόγου. ἀπειρηκότος γὰρ ἤδη τοῦ Καλλικλέους καὶ συγχωροῦντος τῷ Σωκράτει τί πρᾶγμ' ἦν ἔτι τούτων μεμνῆσθαι, ὅπου γ' εἰ καὶ ὁ Καλλικλῆς ἔτυχε περὶ αὐτῶν ὑπολαβὼν, * * * ἔστι μὲν οἶμαι γέλως πᾶν τοῦτο. τίς

---

μοι (μου E) καὶ τὰ. 5 δὲ καὶ] καὶ om. E. χαίρειν ἐῶν ἀφείς. omittens τὸ sinere hos valere, h. e a se non impetrans ut hos transmitteret. Reisk. 6 Θεαρίωνα] Θερίωνα L. πάντα ἐμίγνυ] πάντ' ἀνεμῖγνυ E. 7 ἀνέδην ΘE. Vulgo ἀναίδην. ἄρδην (ανε superscr.) L. ἄρδην (γρ. ἀνέδην) N. 8 ἐνταῦθ'] ἐνταῦθα L. 9 αὐτὸν ἐφ' αὑτοῦ ΘELN. Vulgo αὐτὸν ἑαυτοῦ. 10 πρᾶγμ'] πρᾶγμα N. 11 οὐδὲ νόμον LN. οὐδὲν νόμον Iunt. οὐδένα νόμον Steph. Iebb. γράφειν] λέγειν (γρ. γράφειν) N. ἀνδράσι] ἀνδρὶ LN. βίβλον] βιβλίον N. 14 ἠδυνήθησαν] Vulgo ἐδυνήθησαν. 15 Ἀριστοφάνους] In Equitibus. ἀλλαντοπώλην] ἀλαντοπώλην L. 17 πρᾶγμ' L. Vulgo πρᾶγμα. 18 Fort. ὅπου γ' εἰ μὲν ὁ Καλλικλῆς οὐδέποτε (aut οὐδαμῶς, aut οὐδὲν) ἔτυχε περὶ α. ὑ. cum, si Callicles quidem ipse de his nihil quicquam commemoravit. ὑπολαβὼν potest defendi: respondens ad priorem Socratis sermonem. mallem tamen ὑποβαλὼν, subiiciens, primus afferens, comminiscens. Fortasse tamen desunt aliqua et ad hunc fere modum reliquit auctor, ὅπου

γὰρ οὐκ οἶδεν ὅτι καὶ ὁ Σωκράτης καὶ ὁ Καλλικλῆς καὶ ὁ Γοργίας καὶ ὁ Πῶλος πάντα ταῦτ' ἐστὶ Πλάτων, πρὸς τὸ δοκοῦν αὐτῷ τρέπων τοὺς λόγους; εἰ δ' οὖν καὶ
299 τῷ ὄντι ἐκεῖθεν ἀφῖκτο ὁ λόγος καὶ ὁ Καλλικλῆς ἐξεπίτηδες ἐμνήσθη περὶ τῶν ἀνδρῶν ἐπ' ἐλέγχῳ τοῦ Σωκράτους, ἐξῆν ὡδὶ δέχεσθαι καὶ μηδὲν βλάσφημον λέγειν· ἄξιον δ' εἴπερ τῳ καὶ τούτῳ προσέχειν. οὑτωσὶ γὰρ ἐγίγνετό που τὰ δεύτερα, ὥς γέ μοι φαίνεται. Οὐκοῦν εἰ μὲν καὶ τούτους, ὦ φίλε Καλλίκλεις, κόλακάς τινας εἶναι λέγεις καὶ τῶν πρὸς ἡδονὴν δημηγορούντων, τίθει μοι καὶ κατὰ τούτων ταῦτ' εἰρῆσθαι. οὐδὲν γὰρ βέλτιον ἤ γε δή που κολακεία διὰ Μιλτιάδην καὶ Περικλέα καὶ ὃν ἂν εἴπῃς· πῶς γὰρ ὅ γ' ἐστὶ φαῦλον φύσει; ὥστε τὸ Εὐριπίδου (497)
γίγνεται, σὺ λέγεις ταῦτ', οὐκ ἐγώ, ὡς ἄρα οὐδὲν οὗτοι βελτίους τῶν νῦν. εἰ δὲ τῆς ἑτέρας ἦσαν μερίδος καὶ τὸ βέλτιστον ἀντὶ τοῦ πρὸς ἡδονὴν ἡροῦντο, καὶ οὗτοι κατηγοροῦσιν, ὡς ἔοικε, φαύλους εἶναι περὶ ὧν διειλέγμεθα, καὶ οὐδὲν βελτίων ἡ ῥητορικὴ διὰ τούτους, ἣν σὺ μέχρι τούτου ἐπῄνεσας καὶ ἣν ἐμοὶ προξενεῖς, ἀλλὰ καὶ παρὰ τούτοις κριταῖς αἰσχρόν, καὶ φαίνει δὴ τούτοις κατ' ἐμοῦ μάρτυσι χρώμενος, οἷς ταὐτὰ δοκοῦντα ἅπερ κἀμοὶ φαίνεται.

Οὕτως ἐξῆν οἶμαι διαλύειν τὸν λόγον, βλασφημίας δ' οὐδὲν προσέδει. οὐδὲν γὰρ ἐξωτέρω προὔβαινεν ὁ λόγος, ἀλλ' ἐπὶ τῶν αὐτῶν εἱστήκει. τί γάρ φησι πρὶν ἐλθεῖν ἐπὶ τοὺς ἄνδρας; „Ἐξαρκεῖ. εἰ γὰρ καὶ τοῦτ' ἐστὶ διπλοῦν, τὸ μὲν ἕτερον αὐτοῦ κολακεία ἂν εἴη καὶ αἰσχρὰ

---

γε, εἰ καὶ ὁ Καλλικλῆς οὐδὲν ἔτυχε περὶ αὐτῶν ὑποβαλών, ὁ λόγος οὐδὲν μᾶλλον ἐβλάβη. ἔστι γάρ, οἶμαι, γέλως πᾶν τοῦτο. Reisk. Indicavi lacunam. 20 πλάτων E. Legebatur Πλάτωνος. αὐτῷ] Vulgo αὑτῷ. τρέπων ΘE. Vulgo τρέποντος.

299, 2 ὡδὶ] Sic, illis verbis et argumentis, quae leguntur versu 4. οὔκουν εἰ μὲν —. Reisk. 3 τὰ δεύτερα] Id est ἡ ἀπό- η οι κρισις, ἡ ἄμειψις τοῦ λόγου. Reisk. 5 τίθει μοι] τίθειμι L. 6 βέλτιον EN. Vulgo βελτίων. 7 Εὐριπίδου] Vide Valckenarium ad Hippolyt. v. 352. p. 201. 11 φαίνει] Vulgo φαίνῃ. κατ' ἐμοῦ] κατ' ἐμαυτοῦ E. οἷς ταὐθ' ἅπερ δοκοῦντα κἀμοὶ φαίνεται trimetrum praebet L. ταὐτὰ N. Vulgo ταῦτα. 15 εἴη]



Digitized by Google

*δημηγορία· τὸ δ' ἕτερον καλόν·" περὶ τῆς ῥητορικῆς δή που λέγων. καίτοι ὅτε τοῦτ' ἐξήρκει, ἐξήρκει καὶ περὶ τούτων σιωπᾶν. οὐδὲν γὰρ ἐκώλυε διπλοῦν εἶναι τὴν ῥητορικὴν τὸ τούτους γε χρηστοὺς εἶναι συγχωρῆσαι, ἀλλὰ καὶ σφόδρ' ἐκείνῳ τῷ λόγῳ συνέβαινεν. οἱ μὲν γὰρ ἦσαν κόλακες, οἱ δ' οὔ. εἰ μὲν γὰρ οὐ διπλοῦν ἡ ῥητορική, τί* (40
*διῃροῦ; εἰ δὲ τοιοῦτον, τί πλέον τούτους ἐλέγχειν; ἀλλὰ μὴν ὅτε καὶ τούτων κατηγορήσας ἄλλον αὖθις ἐπῄνει, οὐδὲν τῷ λόγῳ προσελάμβανεν. ὥστ' εἶχεν ἂν πάλιν ὁ Καλλικλῆς εἰς τὰς αὐτὰς λαβὰς ἐπανελθεῖν, τί λέγων; ἐξαρκεῖ. εἰ γάρ ἐστι διπλοῦν, καὶ τοὺς μὲν ἐπαινεῖς, τοὺς δὲ ψέγεις, τί σοι προκέκοπται, πλὴν εἰ τούτοις ἄλλως*
300 *ἀηδῶς εἶχες. φέρε γὰρ πρὸς θεῶν, εἰ ὁ Καλλικλῆς εὐθὺς ἐν ἀρχῇ τὸν Ἀριστείδην προὔτείνατο, ἤτοι μόνον εἰπὼν ἢ καὶ μετ' ἐκείνων, ἡνίκ' αὐτὸν ἤρετο Σωκράτης εἴ τινα τῶν παλαιῶν εἰπεῖν ἔχει, πῶς ἂν αὐτὸν ἐδέξατο, ἢ τί τὸ συμβαῖνον ἔμελλεν ἔσεσθαι περὶ τὸν λόγον; εἰ μὲν γὰρ κἀκεῖνον ἂν ὥσπερ καὶ τούτους εἶπε κακῶς, οὕτω καὶ τούτων ἕκαστον, ὡς ἔοικεν, εἴρηκεν. ὥσθ' ὃν ἐπῄνεσεν, εἶπεν ἄν, εἰ συνέβη, κακῶς. εἰ δ' οὐχ οἷόν τ' ἦν αἰτιάσασθαι, τί ταύτης ἔδει τῆς φιλονεικίας, εἴ τινα τῶν παλαιῶν ἔχεις εἰπεῖν; ὁπότε γὰρ μὴ ἐνῆν ἅπαντας ἐλέγχειν, τί χρῆν κατὰ πάντων προκαλεῖσθαι; καὶ μὴν εἴ γε μηδὲν βλάβος ἦν τῷ λόγῳ μὴ ἐλέγξαι τὸν Ἀριστείδην, οὐδὲ τούτους* (4
*ἐπάναγκες ἦν κακῶς εἰπεῖν. εἰ τοίνυν τὸν μὲν ἐπῄνεσε, τὸν δ' ἔψεξεν αὐτῶν, τί πλέον προσεγίγνετ' ἂν αὐτῷ; τὸ γὰρ ἀρχαῖον ἐκεῖνο ἔμενε, τὸ „ἐξαρκεῖ" καὶ τὸ „διπλοῦν*

---

ἦν Θ. 16 ἐξήρκει καὶ περὶ Reiskius. Aberat ἐξήρκει. ἔδει σιωπᾶν coniiciebat Canterus. τὸ τούτους] τῷ τούτους N. τῷ superscriptum in L. 17 σφόδρ' N. Vulgo σφόδρα. ἐκείνῳ τῷ λόγῳ] τῷ λόγῳ ἐκείνῳ L. 19 κατηγορήσας] κατηγόρησας L. ἐπῄνει] ἐπῄνεις L. (συν superscr.) 20 προσελάμβανεν] προσελάμβανεν N. 21 ἐξαρκεῖ] ἐξαρκεῖν ΘL.

300, 2 ἢ καὶ] καὶ deletum in N. ἤρετο] ἤρετ' ὁ Θ. 3 εἴ τινα — φιλονεικίας in marg. ab rec. m. N. 6 ἔχεις εἰπεῖν] εἰπεῖν ἔχεις N. 7 χρῆν ΘN. Vulgo χρή. 8 μηδὲν L. Vulgo μηδέ. μὴ ἐλέγξαι] μὴδ' ἐλέγξαι N. 9 ἐπῄνεσε ΘN. Vulgo ἐπῄνεσεν. προσεγίγνετ'] Vulgo προσεγίνετ'. 10 ἐξαρκεῖ] ἐξαρκεῖν

*ἐστιν.“ οὐ γὰρ δὴ προῄδει γ' ὁ Σωκράτης ὅτι πάντων μᾶλλον ἢ 'κείνου μνησθήσοιτο ὁ Καλλικλῆς· καὶ διὰ τοῦτ' ἠρώτα θαρρῶν, ἀλλ' ἐξῆν καὶ μόνον εἰπεῖν καὶ μετὰ τῶν ἄλλων κἀκείνου μνησθῆναι, καὶ οὕτως ἐξεχεῖτ' ἂν ἅπασα ἡ περιβολή. τί δὴ φήσομεν διαφέρειν ἢ μετ' ἐκείνων ἀναμὶξ αὐτὸν ἐπαινεῖσθαι κακῶς ἀκουόντων καὶ τοῦ Καλλικλέους εἰς μέσον ἐξ ἀρχῆς ἐνεγκόντος, ἢ μετὰ τὴν ἐκείνων κατηγορίαν τοῦτόν γ' ἐπαινεῖσθαι καὶ τὸν μεμνημένον αὐτοῦ Σωκράτη αὐτὸν εἶναι; ἐγὼ μὲν οὐδὲν φήσαιμ' ἂν διαφέρειν πρός γε τὸ συγχεῖσθαι τὸν λόγον. καὶ μὴν εἴ γε μόνου τις ἐμνημόνευσεν, οὐκ ἂν εἶχεν οὔτ' ἐκεῖνον δή που οὔτε τούτους εἰπεῖν κακῶς· οὕτως οὐκ ἀνάγκη τούτους εἰπεῖν κακῶς. ἀλλ' οἶμαι τοιοῦτόν ἐστιν, ᾧ καὶ μάλιστα δῆλός ἐστι τῶν ἀνδρῶν κατηγορῆσαι προθυμηθεὶς ἤδη Πλάτων καὶ πρῶτον εἰπεῖν τὸν Ἀριστείδην καὶ μόνον, καὶ προεώρα τὸν ἄνδρα ἐξ ἀρχῆς, καὶ οὐδεὶς* (500)
301 *αὐτὸν Καλλικλῆς παρὼν ἐτάραττεν, οὐδ' ἐκώλυε τὸ μὴ ὅπως βούλεται περαίνειν τὸν λόγον. εἰ μὲν οὖν, οἶμαι, κατ' ἀρχὰς εὐθὺς ἐμνήσθη τοῦ Ἀριστείδου, οὐκ ἂν εἶχεν ἀφορμὴν τοῦ κατὰ τούτων λέγειν, ἀλλ' ἅμα τ' ἀπώλλυε τοὺς λόγους τούτους καὶ τὸ πρᾶγμα εἰς τοὐναντίον αὐτῷ περιίστατο, πρὸς τὸ μηδ' ὁτιοῦν ἀνύτειν πλέον. νῦν δ' ἵνα τούτων κατηγορήσειε, τὸν Ἀριστείδην ὑπεξείλετο. εἶθ' ὅτε δὴ διεξῆλθεν ἃ ἐβούλετο, ἵνα μὴ δοκῇ παντελῶς φιλονείκως ἔχειν, ὃν οὐχ οἷόν τ' ἦν ἐν ἀρχῇ κακῶς εἰπεῖν, τοῦτον ἐν τοῖς τελευταίοις ἐπῄνεσεν, ὡς ἐξὸν ἤδη, μάλ' ἀρ-*

---

ΘEL. 11 πάντων μᾶλλον] μᾶλλον πάντων L. μνησθήσοιτο] οι μνησθήσεται E. μνησθήσαιτο L. μνησθήσαιτο N. τοῦτ'] τοῦτο N. 13 ἅπασα ab rec. m. L. τί δὴ ΘELN. τί τί δὴ (sic) Iunt. τό τι δὴ Steph. Iebb. 14 καὶ τοῦ] καὶ videtur delendum. Reisk. 15 ἐκείνων] ἐκείνου N. Σωκράτη] Vulgo Σωκράτην. 16 συγχεῖσθαι] συγχωρεῖσθαι a pr. m. L. 17 τις] τινὸς L. δή που] δήπουθεν N. 18 τούτους εἰπεῖν κακῶς] τούτους κακῶς εἰπεῖν L. 19 Deest μὴ ante πρῶτον. Canter. 20 προεώρα] ὅτι προεώρα Canterus.

301, 1 ἐκώλυε] ἐκόλουε N. βούλεται] βούληται LN. 3 ἀπώλλυε] ἀπόλυε L. 4 ἀνύτειν] ἀνύττειν EL. κατηγορήσειεν Θ. 6 οἷον N. Vulgo οἷος.

Digitized by Google

χαίως καὶ ἀφελῶς, ὡς ἄν τῳ δόξαι. καὶ τὸ δὴ στερεώτατον, ὅτε γὰρ διεξῆλθε τὴν ἐκείνων κατηγορίαν, ἐπὶ τελευτῇ πάλιν νεανιευσάμενος καὶ ἐπειπὼν ὅτι ἀληθεῖς ἄρα, ὡς ἔοικεν, οἱ ἔμπροσθεν λόγοι ἦσαν, ὅτι οὐδένα ἡμεῖς ἴσμεν ἄνδρα ἀγαθὸν γεγονότα τὰ πολιτικὰ ἐν τῇδε τῇ πόλει. ταῦτ' εἰπὼν καὶ προσεπισφραγισάμενος μετὰ πολλοὺς ἔτι τῶν λόγων μέσους τὸν Ἀριστείδην ἐπέθηκεν ἐπαινῶν. τοσοῦτόν πλέον ἐστὶ τὸν Σωκράτη, ἀλλὰ μὴ τὸν Καλλι- (501)
κλέα τὸν εἰρηκότ' εἶναι περὶ αὐτοῦ. οὐκοῦν οὔτ' ἐξ ἀνάγκης ἦν αὐτῷ κακῶς λέγειν τοὺς ἄνδρας οὔθ' ὅ τι ἂν τις φήσειεν ἐκ περιουσίας εἶναι σώσας φαίνεται, τὸ μηδ' ἀγαθὸν τῶν παλαιῶν γεγενῆσθαι μηδένα. ἀλλὰ μὴν ὅτε καὶ αὐτὸν τὸν Καλλικλέα, πρὸς ὃν ἦσαν οἱ λόγοι, τοῦ μηδενὸς ἄξιον ὄντα ἤλεγξε τὰ πολιτικὰ, ἀνερωτῶν ἅπαντα ἐκεῖνα ἃ ἤρετο, ὅτε ταῦτ' ἐλήλεγκτο, τί τῶν παλαιῶν προσέδει κατηγορίας; εἰς γὰρ τὸ κάλλιστον δή που καὶ ὃ μάλιστα προσῆκεν ὁ λόγος ἐτελεύτα, τὸ τὸν ἀντιλέγοντα καὶ τὸν προτρέποντα εἰς τὴν πολιτείαν ἢ διακονίαν ἀποφῆναι φαῦλον ὄντα καὶ μὴ γιγνώσκοντα ὑπὲρ ὧν λέγει· καὶ τοῦτο δ' αὐτὸ δή που σὺ φῂς ἐξαρκεῖν αὐτὸν πρὸς ὃν ἂν ποιῇ τοὺς λόγους ὁμολογοῦντα παρέχεσθαι. ἐκεῖνος τοίνυν, ὡς ἔοικεν, οὐ μόνον συνεχώρει τῷ λόγῳ, ἀλλὰ καὶ ἐκ τῶν ἑαυτῷ προσόντων ἠναγκάζετο· ὥστ' εἶχε τελευτὴν προσήκουσαν ὁ λόγος, καὶ οὐκ ἦν ἴσον Καλλικλέα ταῦτ'
302 ἀκούειν καὶ Περικλέα ἢ Θεμιστοκλέα. πόθεν; ὁ δὲ καὶ (502)
τοῦτ' ἐσπούδασεν ἐξ ἴσου τοῦτον ἐκείνοις καταστῆσαι. ἔστι δ' οὐ ταυτὸν, ὦ τᾶν, Ἰφικλῆς τε καὶ Ἡρακλῆς. ἔτι μὴν

---

8 ἐπειπὼν] ἀπειπὼν N. 9 ἐν τῇδε τῇ] ἔν γε τῇ E. ἐν τῇδε] ἐν δὲ L apud Iebbium. 10 τῇ πόλει] τῇ om. N. 11 Σωκράτη] Vulgo Σωκράτην. 12 οὐκοῦν οὔτ' ΘE. Vulgo οὐκοῦν ὅτ'. ὅ τι] ὅπερ E. 13 τὸ μηδ'] τ$\overset{ὸ}{ῷ}$ μηδ' L. 15 ταῦτ'] ταῦτα LN. ἐλήλεγκτο] ἐλήλεκτο Θ. ἐλλήλεκτο E. 17 τὸ τὸν] τὸ om. ΘLN. τὸν προτρέποντα] τὸν deletum in N. 18 γιγνώσκοντα Steph. Iebb. γινώσκοντα Θ Iunt. φῂς] In Gorgia. Canter. 19 ποιῇ ΘL. Vulgo ποιεῖ.

302, 1 ταῦτ' ἀκούειν καὶ Περικλέα in marg. ab rec. m. habent LN. 2 ἔστι δὲ οὐ ταυτὸν] Proverbiale dictum, ubi homo homini immane quantum praestare diceretur. Erat autem Iphicles Herculis frater, qui cum huius laborum consors esse vellet, in

Digitized by Google

πλέον οἶμαι τὸ μέσον Καλλικλέους τε καὶ τούτων· ὥστ' εἰκὸς ἦν τούτων γε φείσασθαι. καὶ γὰρ εἰ μὲν ζώντων ἐγίγνονθ' οἱ λόγοι, τάχ' ἂν τις ἔφησε νουθεσίας ἕνεκ' αὐτοὺς λέγεσθαι· τεθνεῶσι δ' ἐπιτιμᾶν τίς ὁ καιρός; ὅπου γὰρ εἰ καὶ ζῶντας ἐλέγχειν ἐβούλετο, οὐκ ἀπόντων γε κατηγορεῖν εἰκὸς ἦν, οὐδὲ πρὸς ἄλλους τινάς, ἀλλὰ πρὸς αὐτοὺς λέγειν, ἤ που τό γε παντελῶς οὕτως ἐρήμην ἀγωνίσασθαι ἀωρία. ὁπότε γὰρ καὶ τοὺς οἰκείους τοὺς ἐκείνων αἰδεῖσθαι προσῆκε δι' ἐκείνους, πῶς γε οὐ καὐτοὺς εἰκὸς ἦν;

Ἐνθυμηθῶμεν δὴ καὶ τὸν τοῦ Σόλωνος νόμον ὡς ἥμερος, μὴ λέγειν κακῶς τὸν τελευτήσαντα, μηδ' ἂν αὐτὸς ἀκούσῃ ὑπὸ τῶν αὐτοῦ παίδων. οὐκοῦν τό γε μήθ' ὑπὸ παίδων, φαίη τις ἄν, μήθ' ὑπ' ἄλλου του τῶν ἐκείνοις προσηκόντων προακούσαντα τοσαύτην σπουδὴν ποιήσασθαι κακοὺς ἀποφῆναι πολὺ τοῦ νόμου τούτου κεχώρισται. καὶ μὴν οὐδ' ἐκεῖνό γ' εἰκὸς ἐναντίον μὲν ἂν τῶν (503) παίδων ὀκνεῖν αὐτοὺς λοιδορεῖν, ἐν ἅπασι δὲ καὶ ἐκγόνοις καὶ πολίταις καὶ ξένοις τοιαῦτα ψέγειν, καὶ τῶν μὲν ἐν Σικελίᾳ τετελευτηκότων τοὺς παῖδας αἰδεῖσθαι καὶ περὶ δωρεῶν αὐτοῖς πολιτεύεσθαι, τῶν δ' εἰς τὰ μέγιστα τῇ πόλει καὶ τοῖς Ἕλλησιν ὑπαρξάντων μηδὲ τῶν ὀνομάτων φείσασθαι. καὶ εἰ μὲν εἰκόνας αὐτῶν τοῦ δήμου στήσαντος ἐκίνει, πᾶς ἂν τις ἔφη νεμεσητὸν εἶναι, ἐπεὶ δ' ἃ τοῦ πλέονος ἄξιον ἦν αὐτοῖς, τὴν δόξαν τὴν ἀγαθὴν ἀναιρεῖ, τί χρὴ φῆσαι; καὶ ζωγράφος μὲν ἂν ὢν ἐπὶ τὰ αἰσχίω καὶ γελοιότερ' αὐτοὺς μιμούμενος οὐ καλῶς ἂν ἐδόκει τὴν τέχνην δεικνύναι· ἐπεὶ δ' ἐν τοῖς λόγοις ἐπὶ τὰ

---

prima pugna contra Augeam Eleorum regem a Molionidis vulneratus obiit. Huic tamen ut heroi parentare solenne fuit. Vide Pausan. in Arcad. p. 479. Iebb. 3 Ἡρακλῆς] περικλῆς N apud Iebbium. 4 ἕνεκ' L. Vulgo εἵνεκ'. 6 ἐβούλετο] ἠβούλετο N. 8 οὐ καὐτοὺς L. Vulgo οὐκ αὐτούς. 9 ἥμερος] δίκαιος E.

σται

12 κεχώρισται] Vulgo κεχωρίσθαι, κεχωρίσθαι Θ. 13 ψέγειν] λέγειν E. μὲν ἐν ΘLN. Vulgo ἐν μὲν. 14 τετελευτηκότων] Dionem dicit, de quo Platonica prima. Canter. 17 πλέονος] Vulgo πλείονος. 18 ἐπὶ τὰ N. ἐπὶ τ' E. Vulgo ἔπειτ'.

φαυλότατ᾽ ἐξηγεῖται καὶ τὰς ἀληθεῖς εἰκόνας αὐτῶν τῆς διανοίας διαφθείρει καὶ τοῖς μηδὲν προσήκουσιν ὁμοιοῖ, πῶς εἰκός ἐστι συνήδεσθαι; καὶ εἰ μὲν ἐπ᾽ εἰκόνων ἢ
303 μνημάτων αὐτοῖς ἐπόντα ἐπιγράμματα ἐξεκόλαπτεν ἢ μετεποίει βλάσφημ᾽ ἀντ᾽ εὐφημιῶν, ὅτι τούτους ὁ δῆμος κολακείας ἕνεκα καὶ κακίας ἐκβάλλει, πολλὴν ἄν τις ἔφη τὴν ὕβριν καὶ τὴν ἀτιμίαν εἶναι· εἰς σύγγραμμα δ᾽ οὕτω (504) σπουδαῖον τοιαῦτ᾽ ὀνείδη κατακλείσας, καὶ ταῦτ᾽ ἀντὶ τῆς πρόσθεν ὑπαρχούσης εὐφημίας αὐτοῖς ἀντιγραψάμενος, καὶ παραδοὺς ἅπασιν ἀκούειν, μή τῳ δοκεῖ σφόδρα τῆς αὐτοῦ μουσικῆς εἰργάσθαι; καὶ Θεμιστοκλῆς μὲν Ἄρθμιον ἐστηλίτευσεν, ὅτι τὸν ἐκ Μήδων χρυσὸν εἰς Πελοπόννησον ἤνεγκε, Πλάτων δὲ Θεμιστοκλέα καὶ Μιλτιάδην καὶ οὓς μετ᾽ αὐτῶν ἠξίωσε καταλέξαι στηλίτας οὑτωσὶ πεποίηκε. καίτοι τὴν μὲν κατ᾽ ἐκείνου στήλην τοῖς προσοικοῦσι μόνοις ὁρᾶν ἦν καὶ τοῖς εἰσαφικνουμένοις, σὺ δ᾽ εἰς ἅπαντας ἀνθρώπους καὶ πανταχοῦ γῆς καὶ θαλάττης τὰς κατὰ τούτων βλασφημίας ἐκδέδωκας. καὶ τῶν μὲν οἰκετῶν οὐδένα πώποτ᾽ ἔστιξας τῶν σαυτοῦ, τῶν δ᾽ Ἑλλήνων τοὺς ἐντιμοτάτους καὶ τοὺς ὑπὲρ τῆς κοινῆς

---

303, 1 ἐπόντα ἐπιγράμματα] ἐπιγράμματα ἐπόντα L, quem ab sec. m. ἐκοντὶ habere ait Iebbius. ἐπιγράμματα] ἐπιγράμματα (sequebatur αὐτῆς, quod deletum) ἐκόντα N. ἐξεκόλαπτον L. 2 εὐφημιῶν] εὐφημῶν E. ἕνεκα LN. Vulgo εἵνεκα. ἐκβάλλει om. ΘELN. Eius loco κοσμεῖ in textu superscriptum L, in marg. habet N. 3 οὕτω] οὕτως L. 4 ἀντὶ] ἂν ἀντὶ L. 5 δοκεῖ] δοκῇ N. εἰργάσθαι] εἴργεσθαι Soph. αὐτοῦ] Vulgo αὑτοῦ. 6 καὶ Θεμιστοκλῆς μὲν Ἀρίθμιον ἐστηλίτευσεν] Sic eum virum etiam nominavit supra pag. 357. huius tomi. At Demosthenes in oratione de Cherroneso aliter id nomen profert, Ἄρθμιος, φησὶν, ὁ Πυθώνακτος ὁ Ζελείτης ἄτιμος ἔστω. Et in oratione de falsa legatione, Ἄρθμιον τὸν Πυθώνακτος τὸν Ζελείτην. Et Aeschines in fine orationis contra Ctesiphontem, οἱ μὲν πατέρες ὑμῶν Ἄρθμιον τὸν Ζελείτην τὸν κομίσαντα εἰς τὴν Ἑλλάδα τὸ ἐκ Μήδων χρυσίον. Et Plutarchus in Themistocle, ἔτι δὲ καὶ τὸ περὶ Ἀρθμίου τὸν Ζελείτην. Et Dinarchus contra Philoclem, ὅτε φασὶν Ἄρθμιον τὸν Πυθώνακτος τὸν Ζελείτην κομίσαι τὸ χρυσίον. Haec antiquorum turba in id nomen consentientium iubet corrigere hunc locum, et legere Ἄρθμιον. Palmer. Ἄρθμιον] Vid. ad tom. I. p. 190. Reisk. Legebatur Ἀρίθμιον. Conf. ad p. 218, 1. 7 ἤνεγκε] ἤγαγε N. κατα-

Digitized by Google

ἐλευθερίας ἀγωνιζομένους ἴσά καὶ στίξας γεγένησαι, καὶ Γοργίου μὲν ἐφείσω, καὶ λέγει που Σωκράτης „Ὀκνῶ Γοργίου ἕνεκα λέγειν, ἵνα μή με ὑπολάβῃ διακωμῳδεῖν αὐτοῦ τὴν τέχνην,“ Περικλέους δὲ οὐκ ἐφείσω τεθνηκότος καὶ ταῦτα· ἀλλὰ τῷ μὲν Γοργίᾳ νέμεις αἰδῶ παρὰ τὸν Καλλικλέα, τῷ δὲ Θεμιστοκλεῖ καὶ τοῖς ἄλλοις οὐ νέμεις, ἀλλ᾽ ἐξ ἴσου πάντας αὐτοὺς ποιεῖς, μᾶλλον δὲ καὶ πλείω (505) κακὰ τούτους ἢ 'κεῖνον εἴρηκας, καὶ ταῦτ᾽ εἰδὼς ὅτι ἅπας μὲν λόγος, ἐπειδὰν ἅπαξ γραφῇ, κυλινδεῖται, μεταχειρίζεται δ᾽ αὐτὸν ὁ βουλόμενος ὁμοίως ἐπαΐων καὶ μή, ἂν δέ τις μὴ καλῶς ἀκούειν ἐπίστηται, δέος ἐστὶ διαφθαρῆναι· οἷον καὶ περὶ τούτους ἄν τις συνίδοι τοὺς λόγους ὄν. εἰ γὰρ καὶ τὰ μάλιστα Πλάτων αὐτοῖς ἐπὶ πᾶσι δικαίοις κέχρηται, ὃ πολλοῦ δεῖν εἴποι τις ἂν οὕτως ἔχειν, ἀλλ᾽ οὖν ἀνάγκη γ᾽ ἀπ᾽ αὐτῶν θρασυτέρους καὶ τραχυτέρους
304 γίγνεσθαι καὶ ἰταμωτέρους καὶ τοιούτους, οἵους ῥᾳδίως ἐπιπηδᾶν καὶ ἄρχουσι καὶ πρεσβυτέροις καὶ οἷστισι δεῖ συγκεχωρῆσθαι. εὖ γὰρ ὁ τῶν Λακεδαιμονίων ἔχει νόμος καὶ λυσιτελῶς [ἀμαθῶς] εἰσάπαξ ὑποχωρεῖν τοῖς πρεσβυτέροις, οὐχ ὡς πάντως δή που βελτίους καὶ δικαιοτέρους τοὺς πρεσβυτέρους ὄντας ἅπαντας, ἀλλὰ τῆς μελέτης ἕνεκα καὶ ὅπως ἡ τάξις μὴ συγχέοιτο. κἀν τοῖς λόγοις καλὸν τὸ φείδεσθαι τῶν προηκόντων ἐπιεικῶς εἰς ὅσον ἔξεστιν, ὅπως μή τις εὐχέρεια τοῖς πολλοῖς ἐνδύηται καὶ συνήθεια τοῦ (506) προπηλακίζειν οὓς αὐτοῖς προσήκει τιμᾶν. ὅταν γὰρ οἱ

---

σα
λέξαι] κατατάξαι (γρ. καταλέξαι) N. 11 ἀγωνιζομένους] ἀγωνιζομένους N. 12 γεγένησαι] γενήσεται E. 13 ἕνεκα λέγειν] λέγειν ἕνεκα N. 14 Fort. οὐκ ἐφείσω καὶ ταῦτα τεθνηκότος. verum tamen iam in superioribus alicubi (locus memoriam effugit) auctor καὶ ταῦτα item in finem reiecit. Reisk. Vide ad p. 255, 18. αἰδῶ] αἰδὼ LN. 15 δὲ Θεμιστοκλεῖ] Θεμιστοκλεῖ δὲ LN. δὲ om. E. 16 κακὰ ΘELN. Vulgo κατὰ. 19 αὐτοῖς E, Canterus, Reiskjus. Vulgo αὐτὸς. 20 ἀπ᾽ αὐτῶν] ἁπάντων N.

304, 2 Fort. λυσιτελῶς γεγραμμένος ἀμαθῶς εἰσάπαξ. utilis est illa lex, quamvis scripta pinguiuscule, quae praecipit cedere omnino, vel quoquo modo, senioribus. Reisk. Seclusi ἀμαθῶς quod etiam Valckenarius ad Herodoti II, 80. temere adiectum esse iudicavit. 3 πάντως] πάντων Reiskius. 5 προηκόντων L (era-

Digitized by Google

μέγιστοι καὶ σεμνότατοι ῥᾳδίως κακῶς ἀκούωσι, καὶ ταῦθ' ὑπὸ τῶν σοφωτάτων εἶναι δοκούντων, ὀλιγωρία τοῦ νόμου τοῖς φαύλοις ἐγγίγνεται, ὥστ' οὐδὲν ὠφελοῦνται τοσοῦτον ὅσον βλάπτονται. καὶ μὴν σύ γ' ἐλαύνεις Ὅμηρον οὐχ ὡς πάντα δή που λέγοντα κακῶς οὐδ' ὡς τοῖς ἄλλοις ἁμαρτάνοντα, ἀλλ' ὡς οὐκ ἀσφαλῶς ἐχόντων τοῖς νέοις γ' ἐνίων ἀκούειν, οὐδ' ἂν κατ' ἄλλο τι δεξιῶς ἔχῃ τὰ λεγόμενα· ἡμεῖς δ' ἐλαύνειν μέν σε πολλοῦ τινος δέομεν, ὅτι μὴ κἂν εἰς τὸν θρόνον ἐγκαθίζοιμεν, εἰ βούλει, τοὺς δὲ τοιούτους τῶν λόγων ὑπεξαιρούμεθα· οὐδὲ γὰρ τούτους ὡς ἐξαλείψομεν φήσομεν, οὐχ οὕτως ἡμεῖς εὐχερεῖς.

Καὶ μὴν οὐδ' ἐκεῖνό γε οὔτε Πλάτωνα λαθεῖν εἰκὸς ἦν οὔτε τῶν ἄλλων οὐδεὶς ἀγνοεῖ δή που ὅτι ἡ τῶν λαμπρῶν καὶ μεγάλων ἀνδρῶν εὐδοξία καὶ μνήμη χωρὶς τῆς εἰς τὸ παρὸν φιλοτιμίας καὶ πρὸς τὰς ὕστερον τύχας ἀποθήκην ἔχει ταῖς πόλεσι, καί τινες ἤδη διὰ τὸν δεῖνα καὶ τὸν δεῖνα τῶν παλαιῶν ἐπιείκειάν τιν' εὕροντο ἐν ταῖς συμφοραῖς, ὅπερ καὶ τοῖς Ἀθηναίοις αὐτοῖς ὑπάρξαι δοκεῖ πολλάκις. ὁ δὲ καὶ τούτου φαίνεται τὸ καθ' αὐτὸν ἀπο- (507)
στερῶν τὴν πόλιν. εἰ γὰρ ἑκάστῳ τοῦτ' ἐν τῇ ψυχῇ παρασταίη καὶ τοῦτο πάντες πεισθεῖεν, μὴ ὅτι Μιλτιάδης καὶ Θεμιστοκλῆς καὶ Περικλῆς καὶ Κίμων καίπερ κεφάλαιον τῶν
305 Ἀθηναίων, οὐδὲν τῶν ὀψοποιῶν οὐδὲ τῶν σιτοποιῶν ἄρα βελτίους ἦσαν, ἀλλὰ κἀγώ τινας ἐν τοῖς οἰκέταις κέκτημαι τοι-

---

so ut videtur σ) N, Canterus, Iebb. προσηκόντων Iunt. 8 τοῦ νόμου] τοῖς νόμοις L. τοῖς φαύλοις om. L. ὥστ'] ὥστε N. 10 ἀλλ' ὡς] ὡς om. ΘL. ἐχόντων ΘL N Steph. Iebb. ἔχον τῶν Iunt. τοῖς νέοις γ' ἐνίων E. τοῖς νόμοις γ' ἐνίων ΘL N. Legebatur νόμων (νέων Canterus) γ' ἐνίοις. Probo Canteri νέων et locum sic refingo, ὡς οὐκ ἀσφαλῶς ἔχον, τῶν νέων γ' ἐνίοις, ἀκούειν, quem audire tutum non sit, iuvenum certe quibusdam —. Reisk.
11 δέομεν] δέομαι N. 14 δή που] δήπουθεν N. λαμπρῶν καὶ μεγάλων] μεγάλων καὶ λαμπρῶν EL. 16 ἀποθήκην] ὑποθήκην su- θ' perscr. in L, γρ. ὑποθηκην margo N. 18 κατ' αὐτὸν Θ.
19 τοῦτο πάντες] τοῦτον πάντες E. μὴ ὅτι] Est prosopopoeia seu fictus sermo ad se ipsum. in μὴ subauditur ὅρα. vide ne fuerit Miltiades, vel, haud scio an fuerit Miltiades nihilo praestantior. Reisk.

οὕτους τὴν φύσιν, οἳ τὸν αὐτὸν τρόπον θεραπεύουσιν ἐμὲ ὅνπερ ἐκεῖνοι τὸν δῆμον τῶν Ἀθηναίων ἐθεράπευον, τοσοῦτον τούτων διαφέροντες, ὅτι πολλοὺς ἀνθ' ἑνὸς δεσπότας ἐκέκτηντο, εἰ ταύτην ἔχοιεν κατ' ἐκείνων τὴν δόξαν καὶ μὴ λογίσαιντο ὅτι λόγος ἄλλως ταῦτ' ἦν καὶ πρὸς τὸ παρὸν φιλονεικία τις καὶ ὑπερβολή, σχολῇ γ' ἂν ἄλλους τινὰς αἰδεσθεῖεν, ἢ τιμῆς τινος ἀξιώσαιεν δημοσίᾳ διὰ τούτους, οἷς αὐτοῖς οὐδ' ὁτιοῦν αἰδοῦς ὠφείλετο ὡς ἐκ τοῦ λόγου. οὐκοῦν ἀλγεινὸν εἰ Λακεδαιμόνιοι μὲν ᾐσχύνθησαν τὸν Μιλτιάδην καὶ τὸν Θεμιστοκλέα καὶ τῆς πόλεως κρατήσαντες ἐφείσαντο τῆς ἐκείνων πολιτείας μνησθέντες, σὺ δὲ ταῦτα πάντ' ἀναιρεῖς τοῖς λόγοις. καὶ μὴν εἰ μηδὲ τείχη μηδὲ νεώρια μηδὲ συμμάχους αὐτοῖς ἐξεπόρισας, τὸ δοκεῖν διακονεῖν αἰσχυνθείς, ἀλλ' ὑπερεῖδες πάντων ὡς ἐλαττόνων (506) σαυτοῦ, τοῦτό γε δή που προσῆκεν ἀφεῖναι τῇ πατρίδι ἀφορμὴν τοῦ μέλλοντος χρόνου, καὶ τὸ δοκεῖν ἐπιεικείας τινὸς ἀξίαν εἶναι. ἢ παρὼν μὲν ἂν αὐτοῖς ἀτυχήσασί που καὶ μέλλουσι διαφθαρήσεσθαι, εἰ κύριος ἦσθα, παραιτήσασθαι οὐκ ἂν ὤκνησας, ἀλλὰ καὶ πρὸς τῶν ἱερῶν καὶ πρὸς τῶν τάφων καὶ πρὸς αὐτοῦ τοῦ ἐδάφους συνέπραττες ἂν ὅ τι οἷός τ' ἦσθα, κἂν εἴ τι κατηγορεῖν εἶχες, τὴν δὲ τῶν ἐπιτηδειοτάτων παραιτήσασθαι δόξαν καθαιρῶν, τοῦτ' ἐκεῖνο ὃ σπουδάζεις τῇ πολιτικῇ τί προσῆκον πράττειν δοκεῖς; εἶεν. ἄνευ δὲ τῆς τοιαύτης χρείας εἰς τὴν συνεχῆ παρὰ πάντων εὐμένειαν καὶ τὸ ταῖς γνώμαις συγκεκρᾶσθαι τῇ πόλει, πόσον τι δοκεῖν χρὴ συντελεῖν τὴν τῶν ἀνδρῶν τούτων μνήμην φυλαττομένην ἐφ' οἷσπερ καὶ παρεδόθη τὸ ἐξ ἀρχῆς; οὐκοῦν τοῦτό γε παντὶ προσήκει φάσκοντί γ' εἶναι χρηστῷ, ἐάν τ' ἰδιωτεύῃ ἐάν τε δημοσιεύῃ λέγω, παρασκευάζειν ὡς δυνατὸν πλείστην εὔνοιαν παρὰ πάντων τῇ πατρίδι· εἰ δὲ μή, τήν γ' ὑπάρχουσαν

---

305, 4 λόγος ἄλλως] ἄλλως λόγος L. 8 ταῦτα πάντ'] ταῦθ' ἅπαντ' N. 9 αὐτοῖς] αὐτοὺς LN. 11 προσῆκεν N et Canterus. Vulgo προσῆκον. καὶ τὸ] Loco καὶ malim ἐς vel πρός. Reisk. 12 που] δήπου N. 17 δοκεῖν] δοκεῖ LN. συντελεῖν] τελεῖν N litura relicta.

306 μὴ διαφθείρειν. οὐ γάρ πω καὶ τούτῳ διακονία τις πρόσ- (509) εστιν ἀγεννὴς οὐδ' ἀνελεύθερος. θαυμάζω δὲ Πλάτωνος εἰ χοὰς μὲν ἀποστερῆσαι τοὺς ἄνδρας οὐκ ἄν ποτ' ἠξίωσεν ἑκὼν εἶναι, τὴν δὲ μνήμην καὶ τὴν ὑπὸ πάντων εὐφημίαν συγκεχωρημένην αὐτοῖς ἀφανίζων ἑαυτοῦ τὸ ἕρμαιον ἡγήσατο. καὶ μὴν εἰ τὸ συμμέτρους τὰς τιμωρίας ποιεῖσθαι πολιτικὸν, ἥ γ' ἀτιμία τοῖς ἀνδράσιν αὐτὴ τὸ σύμμετρον παρελήλυθεν. οἶμαι γὰρ, εἴ τις ἐστὶν αἴσθησίς τοῖς τελευτήσασι, μὴ ὅτι τῶν νομιζομένων, ἀλλὰ μηδ' αὐτῶν τῶν μνημάτων ἀποστερηθέντας ἂν αὐτοὺς μηδ' εἰς τοὺς ἐκγόνους τὰ ἔσχατα πάντων ἀτυχήσαντας τοσαύτην ἂν ποιήσασθαι τὴν συμφορὰν, ὅσην περ εἰ κολακείαν αὐτῶν οἱ Ἕλληνες καταγνοῖεν, καὶ ἃ ζῶντες ἔφυγον καὶ ὑπὲρ ὧν ὅπως αὐτοῖς μὴ ἔνοχοι γένοιντο πάντα καὶ λέγειν καὶ πράττειν ὑπέστησαν, ταῦτα τεθνηκότες καὶ ἐπ' ἐξειργασμένοις οἷς διενοήθησαν φέροιντο τὰ τῆς δουλείας ὀνείδη, ὁ δὲ ταῦτα πείθων εἴη Πλάτων, ὁ μόνος κοσμῆσαι τὰς ἐκείνων ἀρετὰς κατ' ἀξίαν δυνάμενος, καὶ μέντοι καὶ κεκοσμηκώς. ἀλλὰ μὴν εἴ γε τοῦθ' ἕπεται φύσει τοῖς ἀγαθοῖς ἀνδράσι, τὴν ἀγαθὴν δόξαν διώκειν, πῶς οὐκ ἀδι- (510) κεῖσθαι φαίη τις ἂν αὐτοὺς, εἰ κινδυνεύειν μὲν καὶ πάσχειν ὁτιοῦν ᾤοντο δεῖν ἐπὶ τῷ καλλίονι τῶν λόγων, εἰ δὲ μὴ, μέρος γέ τι καὶ διὰ τοῦτο, ἐχόντων δὲ πέρας καὶ τῶν λόγων καὶ τῶν ἔργων αὐτοῖς καὶ προσέτι καὶ τοῦ βίου, τὴν ἐναντίαν δόξαν οἴσονται, καὶ πῶς ἂν μᾶλλον ἀποστεροίημεν τὸν μισθὸν αὐτοὺς, ὃς μόνος τοῖς ἐπιεικέσι παρὰ τῆς φύσεως ὑπάρχει, καὶ ταῦτα συμφάσκοντες εἶναι δεῖν τοῖς ἀγαθοῖς καὶ ζῶσι καὶ τελευτήσασιν. ἐξῆν γὰρ, ὦ γενναῖε, καὶ τοὺς νέους δικαίους εἶναι προτρέπειν καὶ τοῖς

---

306, 1 τούτῳ] Legebatur τοῦτο. πρόσεστιν E. πρόεστιν N. πρόσεστ' Opor. Vulgo πρός τιν'. ἀγεννὴς (ἀγενὴς E) addidi ex ΘELN Opor. οὐδ' ἀνελεύθερος ELN. Aberat οὐδ'. οὐδὲν ἀνελεύθερος Θ. 2 ποτ' N. Vulgo ποτε. 7 τὴν συμφορὰν N. Aberat τήν. 9 ἐπ' ἐξειργασμένοις ΘLN et Reiskius. ἐπεξειργασμένοις E. Legebatur ἐπεξειργασμένοι. 10 εἴη Πλάτων] πλάτων εἴη L. 13 εἰ δὲ μή — λόγων in margine habet N. εἰ δὲ μή] Verba haec vehementer corrupta non expedio. Reisk. 14 προσέτι καὶ] προσέτι γε N. 17 ὦ γενναῖε N et Photius p. 437 b,

*πρεσβυτέροις τὰ πρέποντ᾽ ἀποδοῦναι. καὶ γὰρ εἰ μηδὲν*
*εἴχομεν ἐπαινεῖν αὐτούς, ἀλλ᾽ ἐξῆν γε δή που παρελθεῖν*
*σιωπῇ, καὶ οὐκ ἔμελλες ὀφλήσειν ἀλογίου. ἀλλὰ γὰρ οὐκ*
*εἰ Πλάτων ὁ τῶν Ἑλλήνων τοσοῦτον ὑπερφέρων καὶ δι-*
307 *καίως μέγιστον ἐφ᾽ ἑαυτῷ φρονῶν κατηγορῆσαι τινῶν*
*ἠξίωσε μεγέθει τινὶ καὶ ἐξουσίᾳ φύσεως, τοῦτο καὶ μά-*
*λιστ᾽ ἄν τις ἀγανακτήσειεν, ἀλλ᾽ ὅτι καὶ τῶν κομιδῇ τι-*
*νὲς οὐδενὸς ἀξίων ἀφορμῇ ταύτῃ χρώμενοι μάτην ἤδη*

---

**18.** Aberat *ὦ.* *πρέποντ᾽*] *πρέποντα* Θ. **19** *ἀλογίου*] *ἀλογίαν* (*γρ. ἀλογίου*) N. *οὐκ εἰ* N. *οὐχ᾽ εἰ* E. *οὐχὶ* ΘL et Photii codex Marcianus. Legebatur *οὐχ ὅτι.*

**307, 1** *ἐφ᾽*] *ὑφ᾽* N apud Iebbium. **2** *ἀλλ᾽ ὅτι καί*] Sui temporis Christianos praecipue ferire hic et in sequentibus videtur Aristides. Verba illa, quae mox adhibentur, *τοῖς ἐν Παλαιστίνῃ δυσσεβέσι παραπλήσιοι τοὺς τρόπους, καὶ γὰρ ἐκείνοις τοῦτ᾽ ἔστι σύμβολον τῆς δυσσεβείας, ὅτι τοὺς κρείττους οὐ νομίζουσι,* haud aliis convenire posse videntur. Christianis olim, dum nocentissimi haberentur, nulla respondendi in iudiciis facultas patuit; *indefensi* et *inauditi*, ut cum Tertulliano loquar, Apol. cap. 2. damnabantur. Quid mirum igitur, si falsis illos oneratos convitiis et ab aliis et ab Aristide deprehendamus? Ast etiam alia contra hanc sectam odii caussa hic intervenit, oratoris nostri propria. Rhetores contempserunt, et ipsam Rhetoricam abiiciendam prorsus docuerunt; religione patrum semel valere iussa, eorundem quoque sapientiae valedixerunt. Sic de seipso Tatianus, Orat. ad Graec. cap. 2. *τούτου χάριν ἀποταξάμεθα τῇ παρ᾽ ὑμῖν σοφίᾳ, κἂν εἰ πάνυ σεμνός τις ἐν αὐτῇ·* et paulo infra, *Ῥητορικὴν μὲν γὰρ ἐπ᾽ ἀδικίᾳ καὶ συκοφαντίᾳ συνεστήσασθε, — καὶ πολλάκις τὸ νῦν δίκαιον αὖθις οὐκ ἀγαθὸν παριστῶντες.* E contra, Christiani sibi quidem proferenda duxerunt *non diserta, sed fortia; nec ad audientiae popularis illecebram culto sermone fucata, sed ad divinam indulgentiam praedicandam rudi veritate simplicia.* S. Cypr. lib. ad Donat. His et Rhetori nostro quid interest? Qui nihil praeter eloquentiam sibi amplectendam statuerit; qui, ut ipse testatur, Orat. in crimin. quod non declam. pag. 724. et liberos et parentes, et negotia et otia, atque omnia in eloquentiae studiis posuerit. Hinc in illos eiusdem inimicitiae obortae maximae, et acrioris calami notae. Hic vero observare liceat, in ipsis probris, quae mox obiicienda occurrunt, vestigia quaedam doctrinae Christianae deprehendi; atque ideo eorum vivendi rationem in malam partem accepisse Aristidem, quod eam non penitus examinasset, nec probe perspexisset quid esset in Christianorum causa. Iebb.

Digitized by Google

τὸ πρᾶγμα πεποίηνται καὶ τολμῶσι καὶ περὶ Δημοσθένους, ὃν ἐγὼ φαίην ἂν Ἑρμοῦ τινος λογίου τύπον εἰς (511) ἀνθρώπους κατελθεῖν, ὅ τι ἂν τύχωσι βλασφημεῖν. καίτοι τίς ἂν εἰς ζῶντας τελῶν τούτων ἀνάσχοιτο, οἳ πλείω μὲν σολοικίζουσιν ἢ φθέγγονται, ὑπερορῶσι δὲ τῶν ἄλλων ὅσον αὐτοῖς ὑπερορᾶσθαι προσήκει, καὶ τοὺς μὲν ἄλλους ἐξετάζουσιν, αὐτοὺς δὲ οὐδεπώποτ' ἠξίωσαν, καὶ σεμνύνουσι μὲν τὴν ἀρετήν, ἀσκοῦσι δ' οὐ πάνυ, περιέρχονται δὲ ἄλλως βροτῶν εἴδωλα καμόντων, Ἡσιόδου κηφῆνες, Ἀρχιλόχου πίθηκοι, δύο μορφὰς ἔχοντες ἀντὶ τριῶν, τῆς τραγικῆς βοὸς τῶν ἱματίων τῶν ἠπημένων οὐδὲν διαφέροντες, τὰ μὲν ἔξω σεμνοί, τὰ δ' ἔνδον ἄλλος ἂν εἰδείη τις, οὐδὲ μεθ' ἡμέραν σώφρονες, ὡς Δημοσθένης φησίν, ἀλλ' αὐτοῖς καὶ ἡμέρα καὶ νὺξ ταυτόν ἐστι συνηθεῖσιν· οἳ τοῦ μὲν Διὸς οὐδὲν χείρους φασὶν εἶναι, τοῦ δ' ὀβολοῦ τοσοῦτον ἡττῶνται· ὀνειδίζουσι δὲ τοῖς ἄλλοις, οὐ τῶν πραγ-

---

3 πέποίηνται] τίθενται (γρ. πεποίηνται) N. 6 ὅσον αὐτοῖς] ὅς αὐτοῖς E. 7 αὐτοὺς] Vulgo αὑτούς. 8 πάνυ N et Soph. Legebatur πᾶσι. Neutrum habet Photius. εἴδωλα καμόντων] Iliad. ψ, 72. Ἡσιόδου] Ἔργ. v. 302. Ἀρχιλόχου] Fragm. 39. p. 308. Gaisf. 9 ἔχοντες] ἔχοντας L. Comma a βοὸς ad τριῶν revocandum. Simiae Archilocheae habentes, non iam ternos colores, quales Archilochus finxit, sed binos, nihilque discrepantes illis stragulis, e multis pannis consutis, quibus in nescio qua comoedia inducitur induta vacca. Reisk. Reiskii interpunctionem praebet L. In Soph. est scholion quod in nostra collectione editum p. 728, 31 — 729, 2. his ab scriptura editionis Oxoniensis diversitatibus Εὐριπίδου] εὐριπίδῃ τισι om. ἀντὶ τριῶν εἶπεν γνώμης αὐτῆς, reliquis omissis. 10 ἄλλος ἂν εἰδείη Opor. ἄλλος ὃν εἰδείη Iunt. ἄλλος ὂν εἰδείη Steph. Iebb. ἄλλος εἰδείη ΘELN. Non expedio corruptum hunc locum. cogitavi aliquando τὰ δὲ ἔνδον, ἃ οὐκ ἂν ἄλλος συνειδείη αὐτοῖς. interiora eiusmodi, ut nemo facile alius ipsis eorum sit conscius. h. e. ut ea sedulo occultent omnesque celent. Reisk. Fallitur. 11 οὐδὲ μεθ'] Legebatur οὐ μίαν. οὐδὲ μίαν E. οὐδεμίαν N. μεθ' ex Demosthene p. 1125, 22. restituendum esse vidit Canterus. ταυτόν ἐστι] Scil. πρὸς τὸ κωμάζειν καὶ ἀσελγαίνειν. Reisk. 12 συνηθεῖσιν] Scil. τοῦτο ποιεῖν. nox et dies idem ipsis facit, in potestate quidem constitutis, id est potant, liguriunt, pergraecantur, volutantur nocte dieque, cum licet. vel etiam (sic enim item potest reddi) multum in republica potentibus. nam δύνασθαι simplex idem valet atque μέγα δύνασθαι ἐν τῇ

Digitized by Google

*μάτων κατεγνωκότες, ἀλλὰ φθονοῦντες ὅτι αὐτοὶ ταῦτα πράττειν οὐ δύνανται. εἰ δέ τις αὐτῶν περὶ τῆς ἐγκρατείας διαλεγομένων ἀπαντικρὺ σταίη ἔχων ἔνθρυπτα καὶ στρεπτούς, ἐκβάλλουσι τὴν γλῶτταν ὥσπερ ὁ Μενέλεως τὸ* (512)
*ξίφος. αὐτὴν μὲν γὰρ ἐὰν ἴδωσι τὴν Ἑλένην, Ἑλένην λέγω; θεράπαιναν μὲν οὖν ὁποίαν ἐποίησε Μένανδρος τὴν Φρυγίαν, τῷ ὄντι παιδιὰν ἀποφαίνουσι τοὺς Σατύρους τοῦ Σοφοκλέους.*

*Ἀλλὰ μὴν τήν γ' ἀπιστίαν καὶ πλεονεξίαν αὐτῶν*
08 *οὐδὲν δεῖ γνῶναι παρακαταθέμενον, αὐτοὶ γὰρ λαμβάνουσιν ὅ τι ἂν δυνηθῶσιν· οἱ τῷ μὲν ἀποστερεῖν κοινωνεῖν ὄνομα τέθεινται, τῷ δὲ φθονεῖν φιλοσοφεῖν, τῷ δ' ἀπο-*

---

*πολιτείᾳ*, quo sensu Demosthenes et Dio Cassius h. v. saepissime usurpant. Reisk. *Μενέλεως*] Apud Euripidem in Andromacha v. 620. Matth. 17 *ἀπιστίαν*] *ἀπληστίαν* Canterus. Servo *ἀπιστίαν* propter sequens *παρακαταθέμενον*. in fidei commissis apparet eorum perfidia. Reisk.

308, 1 *αὐτοὶ* correctus N. Legebatur *αὐτοῖς*. 2 *οἱ τῷ μὲν ἀποστερεῖν κοινωνεῖν ὄνομα τέθεινται*] Ad amussim hic depinguntur veterum Christianorum mores, qui in Evangelii primordiis domicilia et praedia sua venundabant, et seipsos terreno suo patrimonio privabant, ut haberent quas pauperibus dispensarent pecunias. Act. cap. ii. v. 44. 45. *καὶ εἶχον ἅπαντα κοινὰ, καὶ τὰ κτήματα καὶ τὰς ὑπάρξεις ἐπίπρασκον, καὶ διεμέριζον αὐτὰ πᾶσι καθότι ἄν τις χρείαν εἶχε*. Confer et Act. iv. v. 34. 37. Dicitur haec bonorum participatio *κοινωνία*, ibid. cap. 2. v. 42. et eodem prorsus sensu adhortatur D. Paulus inter Romanos fideles, ut essent *ταῖς χρείαις* (vel ut praestantiores Codices, *ταῖς μνείαις*) *τῶν ἁγίων κοινωνοῦντες*. Unde et qui hac ratione possessiones suas distribuit, largitionibus *communis* audit apud S. Cyprianum, lib. de Opere et Eleemosynis, pag. 208. *Qui possessor in terris reditus ac fructus suos cum fraternitate partitur, dum largitionibus gratuitis* communis *ac iustus est, Dei patris imitator est.* Minus autem sibi constare videtur Orator noster, dum, qui adeo libenter et largiter fundos suos aliis distrahendos praebuerunt, in pag. praeced. *pecunia vinci* scripserit. Jebb. *τέθεινται*] *τίθενται* Photius. *τῷ δὲ φθονεῖν φιλοσοφεῖν*] Quid sibi velit per voces illas *τῷ φθονεῖν*, fusius explicat Aristides in praecedenti pagina, *Ὀνειδίζουσι δὲ τοῖς ἄλλοις, οὐ τῶν πραγμάτων κατεγνωκότες, ἀλλὰ φθονοῦντες, ὅτι αὐτοὶ ταῦτα πράττειν οὐ δύνανται.* Quo maiorem existimationem placitis suis adipiscerentur, quae Philosophiae nomine itidem indigitabant, necesse habuerunt Chri-

Digitized by Google

ρεῖν ὑπερορᾶν χρημάτων. ἐπαγγελλόμενοι δὲ φιλανθρωπίαν ὤνησαν μὲν οὐδένα πώποτε, ἐπηρεάζουσι δὲ τοῖς χρωμένοις. καὶ τοὺς μὲν ἄλλους οὐδ᾽ ἀπαντῶντας ὁρῶσι, τῶν δὲ πλουσίων ἕνεκα εἰς τὴν ὑπερορίαν ἀπαίρουσιν, ὥσπερ οἱ Φρύγες τῶν ἐλαῶν ἕνεκα τῆς συλλογῆς, καὶ προσιόντων εὐθὺς ὤσφροντο καὶ παραλαβόντες ἄγουσι, καὶ τὴν ἀρετὴν παραδώσειν ὑπισχνοῦνται. καὶ τοὺς μὲν ἄλλους οὐδὲ προσειπόντας ἀντιπροσείποιεν ἂν εὐμενῶς, τοὺς δὲ τῶν πλουσίων ὀψοποιοὺς καὶ σιτοποιοὺς καὶ τοὺς ἐν ταῖς ἄλλαις τάξεσι πόρρωθεν εὐθὺς ἀσπάζονται, πρὶν εὖ καὶ καλῶς ὀφθῆναι, ὥσπερ τούτου χάριν ἐξ εὐνῆς ἀναστάντες· (513 κἂν τοῖς προθύροις καλινδοῦνται, πλείω τοῖς θυρωροῖς συνόντες ἢ τοῖς δεσπόταις αὐτῶν, ἀναιδείᾳ τὴν κολακείαν

---

stiani, ut Graecorum Philosophiam nihil protulisse egregium ostenderent. Sic amotis errorum tenebris, facilior patuit ad veritatem via. De hac re accurate simul et erudite disputarunt, S. Iustin. Martyr. in Cohort. ad Graecos, Tatianus in Oratione ad Graecos, Hermias in Gentilium Philosophorum Irrisione, S. Theoph. Antiochenus in lib. 3. ad Autolycum, aliique. Quae autem Philosophiae Ethnicorum probra ab invidis conficta tradit Aristides, ea scriptores Christiani prae solo veritatis amore sibi detegenda putarunt. Iebb. τῷ δ᾽] τῷ δὲ N. 3 ὤνησαν οὐδένα πώποτε] Hanc contumeliam diluit Tertullianus, Apol. cap. 37. dum scribens Christianos *hostes vocari generis humani*, pergit, *Quis autem vos ab illis occultis et usquequaque vastantibus mentes et valetudines vestras hostibus raperet? A daemoniorum incursibus dico, quae de vobis sine praemio, sine mercede, depellimus*. Iebb. 5 φρύγες τῶν LN (N lacuna relicta). Legebatur Φρύγες οἱ τῶν. ἕνεκα] Vulgo εἵνεκα. καὶ προσιόντων] οἳ καὶ προσιόντων LN et Photius. 6 ὤσφροντο LN et Photius. Vulgo ὤσφραντο. 8 τάξεσι] πράξεσι L. 9 ἀναστάντες] ἀναστάντας L. 10 καλινδοῦνται ΘELN. Vulgo κυλινδοῦνται. πλείω τοῖς θυρωροῖς συνόντες ἢ τοῖς δεσπόταις αὐτῶν] Inde exorta videtur haec calumnia, quod se benignos erga omnes praestiterunt indiscriminatim Christiani. Tertull. Apol. cap. 36. *Nullum bonum sub exceptione personarum administramus, quia nobis praestamus, qui non ab homine aut laudis aut praemii expensum captamus, sed a Deo exactore et remuneratore indifferentis benignitatis.* Unde et qui divites in Ecclesia maiori prosequerentur honore quam pauperes, peccasse dicuntur a S. Iacobo, Epist. cap. II. v. 8. εἰ δὲ προσωποληπτεῖτε, ἁμαρτίαν ἐργάζεσθε. Hinc cum divitum servis Christianorum conversatio, quos non amplius ut servos respiciebant,

ἐπανορθούμενοι, ἓν τοῦτο σύμβολον κεκτημένοι τοῦ μὴ πρὸς χάριν τοῖς ἀνθρώποις ὁμιλεῖν, ὅτι πάντ' ἀποκναίουσιν ἀηδίᾳ λιπαροῦντες, δρώμενοι πρῶτον ῥᾷον αἰτοῦντες τὰ μὴ προσήκοντα ἢ ἕτεροι τὰ γιγνόμεν' αὐτοῖς ἀπαιτοῦντες. οὗτοι γάρ εἰσιν οἱ τὴν μὲν ἀναισχυντίαν ἐλευθερίαν νομίζοντες, τὸ δ' ἀπεχθάνεσθαι παρρησιάζεσθαι, τὸ δὲ λαμβάνειν φιλανθρωπεύεσθαι. εἰς τοῦθ' ἥκουσι τῆς σοφίας ὥστ' ἀργύριον μὲν οὐ πράττονται, ἀργυρίου δ' ἀξίως λαμβάνειν ἐπίστανται· κἂν μέν γε τύχῃ τις ἔλαττον πέμψας, ἐνέμειναν τῷ δόγματι, ἂν δὲ ἁδρότερον τὸ σακ-

---

ἀλλ' ὑπὲρ δούλους, ὡς ἀδελφοὺς ἀγαπητούς. Epist. ad Philem. v. 16. Iebb. 12 Sic lego et distinguo ὅτι πάντας ἀποκναίουσιν ἀηδίᾳ λιπαροῦντες. δρώμενοι πρῶτον ῥᾷον —. λιπαρεῖν est non solummodo pertinaciter rogare, flagitare, sed etiam, idque hic loci, constanter adhaerescere, insequi, comitari, ut ille garrulus Horatianus, non missura cutem, nisi plena cruoris, hirudo. Verba δρώμενοι πρῶτον αἰτοῦντες significant, qui cum primo quoque statim congressu eum citius audent quae non decet rogare, quam alii deposcere sibi debita. Reisk. ' πάντ' N. Vulgo πάντα. Post πρῶτον distinguitur in LN. 13 αὐτοῖς Θ. Vulgo αὐτοῖς. 14 τὸ δ' ἀπεχθάνεσθαι παρρησιάζεσθαι] Alludere videtur Aristides ad locutiones contra Gentilium religionem a Christianis libere prolatas, et offensiones, quas harum causa Ethnicis concitarunt. Ubi de his sermo est, vox παρρησία haud raro usurpatur apud veteres. Sic in Epist. Eccles. Smyrn. de Polycarpi martyrio, apud Euseb. Hist. Eccles. lib. 4. cap. 15. cum Proconsul Polycarpo dixisset, ὄμοσον τὴν Καίσαρος τύχην, respondit ille μετὰ παρρησίας, ἄκουε, Χριστιανός εἰμι. Sic in causa haud absimili παρρησίᾳ usi esse dicebantur SS. Petrus et Iohannes, dum coram synedrio fidem in Christo audacter praedicarent, Act. iv. 13. Mox etiam cum domum rediissent, flexis Deum orabant genubus, v. 29. ut daret eis, μετὰ παρρησίας πάσης λαλεῖν τὸν λόγον. Et dein sequitur, v. 31. quod repleti spiritu sancto, ἐλάλουν τὸν λόγον τοῦ θεοῦ μετὰ παρρησίας. Iebb. 15 ἀργυρίου δ' ἀξίως λαμβάνειν ἐπίστανται] Episcopi nimirum et Presbyteri, ad quos domum mittere iubetur plebs Christiana mel, lac, siceram, atque alia, quae ad altare offerre non licebat. Can. Apost. 3. et 4. Haec κανίσκια sive *Sportulas* appellari observat Balsamon. Unde apud D. Cyprianum, Ep. 1. qui ordinatione Clerica promovebantur, ne ab administratione divina avocarentur, *in honore, sportulantium fratrum, tanquam decimas ex fructibus* accepisse dicuntur. Iebb. ἀξίως] Accipiunt munera, non minoris illa quam pecuniam facienda. Reisk. 16 τῷ δόγματι] Scilicet pecuniam

κίον αὐτοῖς φανῇ, Γοργόνα Περσεὺς ἐχειρώσατο. καὶ ἡ πρόφασις πάνσοφος· τὰ γὰρ παιδία καὶ ἡ γυνή. ὦ δυστυχέστατε τῆς οἰκίας. εἶτα καπηλεύεις τούτων ἕνεκα; τί οὖν οὐ καὶ τῇ γυναικὶ συγχωρεῖς λαμβάνειν ὅθεν ἂν δύνηται ῥᾷόν γε θρέψεσθαι; καινότατον δέ μοι δοκοῦσι τρόπον
309 τὴν μεγαλοψυχίαν ὁρίζεσθαι, οὐκ εἰ μεγάλα δώσουσιν, (5
ἀλλ' εἰ μὴ μικρὰ λήψονται [ἤδη]. οὐ γὰρ τῷ μεγάλα δωρεῖσθαι δεικνύουσιν αὐτήν, ἀλλὰ τῷ μεγάλα ἀξιοῦν λαμβάνειν. ἤδη δέ τινες καὶ τοῦθ', ὡς ἀκούω, δόγμα πεποίηνται, προσίεσθαι μὲν τὸ διδόμενον, λαμβάνοντες δὲ λοιδορεῖν. μόνους δὲ τούτους οὔτ' ἐν κόλαξιν οὔτ' ἐν ἐλευθέροις ἄξιον θεῖναι. ἐξαπατῶσι μὲν γὰρ ὡς κόλακες, προπηλακίζουσι δ' ὡς κρείττονες, δύο τοῖς ἐσχάτοις καὶ τοῖς ἐναντιωτάτοις ἔνοχοι κακοῖς ὄντες, ταπεινότητι καὶ αὐθαδείᾳ, τοῖς ἐν τῇ Παλαιστίνῃ δυσσεβέσι παραπλήσιοι τοὺς τρόπους. καὶ γὰρ ἐκείνοις τοῦτ' ἐστὶ σύμβολον τῆς δυσσε-

---

acceptare sapientem haud decere. REISK. ἁδρότερον] ἀνδρότερον L. 17 Γοργόνα] Philosophos illos barbatos, coma et vultu et sententiis horridos appellat Gorgonas, quod oculis et obtutu suo exanimant intuentes. REISK. ἐχειρώσατο] ἐχειρώσω ΘΕ. Utramque scripturam memorat scholiasta p. 730, 16. 18 καπηλεύεις] Scilicet τοὺς τῆς φιλοσοφίας λόγους. misces et contemperas praecepta virtutum, prout quemque vides familiarium aut ferre aut cupere, meracius aut dilutius. REISK. ἕνεκα L. Vulgo εἵνεκα. 19 δύνηται] γρ. οἴηται N. Distinguo sic, δύνηται; ῥᾷόν γε θρέψεσθε aut θρέψαισθε. sane sic vos facilius aleremini, vel facilius victum vobis pareretis. REISK. θρέψεσθαι N. θρέψασθαι Iebb. ex LN, ut ait: sed de codice N aperte fallitur, ex L ego nihil enotatum habeo. θρέψασθαι Θ Iunt.

309, 1 εἰ μὴ] μὴ om. L. ἤδη delendum aut cum νὴ Δί' est permutandum. REISK. Seclusi ἤδη. 3 τοῦθ' N. Vulgo τοῦτο. 4 θεῖναι] γρ. κρῖναι margo N. 6 τοῖς ἐν Παλαιστίνῃ] Simili prorsus ratione Christianos vocat, *qui in mores Iudaeorum transierant*, Xiphilinus in Epitome Dionis. De persecutione in Christianos a Domitiano concitata loquens, Κἂν τῷ αὐτῷ ἔτει, inquit, ἄλλους τε πολλοὺς καὶ τὸν Φλάβιον Κλήμεντα ὑπατεύοντα, καίπερ ἀνέψιον ὄντα, καὶ γυναῖκα, καὶ αὐτὴν συγγενῆ ἑαυτοῦ, Φλαβίαν Δομιτίλλαν ἔχοντα, κατέσφαξεν ὁ Δομιτιανός. ἐπηνέχθη δὲ ἀμφοῖν ἔγκλημα ἀθεότητος· ὑφ' ἧς καὶ ἄλλοι ἐς τὰ τῶν Ἰουδαίων ἤθη ἐξοκέλλοντες πολλοὶ κατεδικάσθησαν. Propter crimen Atheismi, id est, quod deos

Digitized by Google

βείας, ὅτι τοὺς κρείττους οὐ νομίζουσι, καὶ οὗτοι τρόπον τινὰ ἀφεστᾶσι τῶν Ἑλλήνων, μᾶλλον δὲ καὶ πάντων τῶν κρειττόνων, τὰ μὲν ἄλλ' ἀφωνότεροι τῆς σκιᾶς τῆς ἑαυτῶν, ἐπειδὰν δὲ κακῶς τινας εἰπεῖν δέῃ καὶ διαβαλεῖν, τῷ Δωδωναίῳ μὲν οὐκ ἂν εἰκάσαις αὐτοὺς χαλκείῳ, μὴ γὰρ ὦ Ζεῦ, ταῖς δ' ἐμπίσι ταῖς ἐν τῷ σκότῳ βομβούσαις· συγκαταπρᾶξαι μέν τι τῶν δεόντων ἁπάντων ἀχρηστότατοι, διορύξαι δ' οἰκίαν καὶ ταράξαι καὶ συγκροῦσαι (515)

---

Ethnicorum non esse putabant, Flavius Clemens et alii qui in Iudaeorum mores transierant, vel qui a Palaestinorum moribus non erant alieni, a Domitiano, inquit Xiphilinus, damnati sunt. Quis non videt de iisdem hominibus loqui Xiphilinum et Aristidem? At Christianus erat Flavius Clemens, Christiani et caeteri ab Imperatore occisi. Christiani itaque erant, de quibus in hoc loco agit Aristides. Pergit itaque, καὶ γὰρ ἐκείνοις τοῦτ' ἐστὶ σύμβολον τῆς δυσσεβείας, ὅτι τοὺς κρείττους οὐ νομίζουσι. Et quis unquam praeter Iudaeum et Christianum Gentilium deos non colendos censuerit? Propterea vero quod Graecorum deos non colebant, dicti sunt vulgo Christiani ἄθεοι, et Religio Christiana αἵρεσις ἄθεος Χριστιανῶν. S. Iust. Mart. Dial. cum Tryph. pag. 234. ed. Par. Unde et solita erat in deposcendis Christianorum suppliciis populi acclamatio, αἶρε τοὺς ἀθέους. Vide Epist. Eccles. Smyrn. de S. Polycarpi Martyrio pag. 68. ed. Oxon. Iebb. τῇ παλαιστίνῃ ΘLN. Aberat τῇ 8 ἀφεστᾶσι] ἐφεστᾶσι N. 9 διαβαλεῖν] γρ. διαλαβεῖν N. διαβάλλειν Photii codex Marcianus. 11 συγκαταπρᾶξαι μέν τι τῶν δεόντων ἁπάντων ἀχρηστότατοι] Huc pertinent illa Tertulliani, Apolog. cap. 42. *Sed alio quoque iniuriarum titulo postulamur, et* infructuosi *in negotiis dicimur. Quo pacto homines vobiscum degentes, eiusdem victus, habitus, instructus, eiusdem ad vitam necessitatis? —— Non sine foro, non sine macello, non sine balneis, tabernis, officinis, stabulis, nundinis vestris, caeterisque commerciis cohabitamus hoc seculum. Navigamus et nos vobiscum, et militamus, et rusticamur, et mercatus proinde miscemus. Artes, operas nostras publicamus usui. Quomodo* infructuosi *videamur negotiis vestris, cum quibus et de quibus vivimus, non scio.* Iebb. μέν τι] μέντοι LN.

12 διορύξαι LN. Vulgo διωρύξαι. ταράξαι καὶ συγκροῦσαι τοὺς ἔνδον πρὸς ἀλλήλους] Iuxta illud Servatoris nostri, Mat. x. v. 34. seq. Μὴ νομίσητε, ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν. οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν. ἦλθον γὰρ διχάσαι ἄνθρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ, καὶ θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς, καὶ νύμφην κατὰ τῆς πενθερᾶς αὐτῆς. καὶ ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκιακοὶ αὐτοῦ. Et sic a Iudaeis apud Thessalonicam commorantibus Apostoli dicebantur



Digitized by Google

τοὺς ἔνδον πρὸς ἀλλήλους καὶ φῆσαι πάντ'. αὐτοὺς διοικήσειν πάντων δεινότατοι· οἳ λόγον μὲν ἔγκαρπον οὐδένα πώποτ' οὔτ' εἶπον οὔθ' εὗρον οὔτ' ἐποίησαν, οὐ πανηγύρεις ἐκόσμησαν, οὐ θεοὺς ἐτίμησαν, οὐ πόλεσι συνεβούλευσαν, οὐ λυπουμένους παρεμυθήσαντο, οὐ στασιάζοντας διήλλαξαν, οὐ προύτρεψαν νέους, οὐκ ἄλλους οὐδένας, οὐ κόσμον τοῖς λόγοις προὐνοήσαντο· καταδύντες

---

fuisse homines, *οἱ τὴν οἰκουμένην ἀναστατῶντες*, Act. XVII. 6. De Christianae mulieris malitiosa a proprio suo marito accusatione, et malis domesticis ex conversione illius derivatis, consulatur S. Iust. Martyr in Apol. 2. pro Christianis, quam propter eam ipsam caussam composuit. Tanti quippe erat odium Christianorum, ut emendaretur licet Christianus factus, suos tamen ex hoc nomine sibi infestos reddidit. Audi de hisce conquerentem Tertullianum, in Apolog. cap. 3. *Nonnulli etiam de utilitatibus suis cum odio isto paciscuntur, contenti iniuria, dum ne domi habeant quod oderunt. Uxorem iam-pudicam maritus iam-non-zelotypus eiecit; filium subiectum pater retro-patiens abdicavit; servum iam-fidelem dominus olim-mitis ab oculis relegavit.* IEBB. 13 αὐτοὺς] αὐτοῖς Reiskius. πώποτ'] *πώποτε* LN. οὔτ' *εἶπον* addidi ex ELN.

14 οὐ πανηγύρεις ἐκόσμησαν] S. Iustin. Orat. ad Graecos pag. 143. ed. Oxon. *καὶ τὰς πανηγύρεις ὑμῶν μεμίσηκα. ἄμετροι γὰρ ἐκεῖ πλησμοναὶ, καὶ αὐλοὶ γλαφυροὶ, ἐκκαλούμενοι πρὸς οἰστρώδεις κινήσεις, καὶ μύρων περίεργοι χρίσεις, καὶ στεφάνων περιθέσεις.* Tatian. Orat. ad Graecos cap. 37. *τίς οὐκ ἂν χλευάσει τὰς δημοτελεῖς πανηγύρεις ὑμῶν; αἳ προφάσει πονηρῶν δαιμόνων ἐπιτελούμεναι εἰς ἀδοξίαν τοὺς ἀνθρώπους περιτρέπουσιν.* Tertull. Apolog. cap. 35. *Propterea igitur publici hostes Christiani, quia Imperatoribus neque vanos, neque mentientes, neque temerarios honores dicant; quia verae religionis homines etiam solemnia eorum conscientia potius quam lascivia celebrant. Grande videlicet officium focos et toros in publicum educere, vicatim epulari, civitatem tabernae habitu abolefacere, vino lutum cogere, catervatim cursitare ad iniurias, ad impudentias, ad libidinis illecebras. Siccine exprimitur publicum gaudium per dedecus publicum? Haeccine solennes dies Principum decent, quae alios dies non decent? Qui observant disciplinam de Caesaris respectu, hi eam propter Caesarem deserunt? Et malorum morum licentia pietas erit, occasio luxuriae religio deputabitur? O nos merito damnandos! Cur enim vota et gaudia Caesarum casti, et sobrii, et probi expungimus? Cur die laeto non laureis postes obumbramus, nec lucernis diem infringimus? Honesta res est solemnitate publica exigente induere domui tuae habitum alicuius novi lupanaris.* Confer etiam S. Greg. Nazian. Orat. 2. in Iulian. haud

Digitized by Google

δὲ εἰς τοὺς χηραμοὺς ἐκεῖ τὰ θαυμαστὰ σοφίζονται, σκιᾷ τινὶ λόγους ἀνασπῶντες, ἔφης ὦ Σοφόκλεις, τὸν ἀνθέρικον θερίζοντες, τὸ ἐκ τῆς ψάμμου σχοινίον πλέκοντες, οὐκ οἶδ' ὅντιν' ἱστὸν ἀναλύοντες· ὅσον γὰρ ἂν προκόψωσι τῆς σοφίας, τοσοῦτον ἀνταφαιροῦσι μεγάλα φρονοῦντες ἐὰν ῥητορικὴν εἴπωσι κακῶς, ὥσπερ οὐ καὶ τοὺς δούλους τοῖς δεσπόταις ὑπ' ὀδόντα πολλάκις καταρωμένους, καὶ μάλιστα δὴ τοὺς μαστιγίας αὐτῶν. ἤδη δέ τις καὶ Σάτυρος τῶν ἐπὶ σκηνῆς κατηράσατο τῷ Ἡρακλεῖ, εἶτά γ' ἔκυψε προσιόντος κάτω. εἰκότως δέ μοι δοκοῦσι κακῶς ἅπαντας λέγειν, πολὺ γὰρ τοῦ πράγματος αὐτοῖς περίεστιν, (516)

---

procul a fine. Iebb. 16 καταδύντες δὲ εἰς τοὺς χηραμοὺς] Sic ab Ethnico apud Minuc. Felicem dicti Christiani pag. 8. *latebrosa et lucifugax natio, in publicum muta, in angulis garrula.* Alludit autem noster ad nocturnos conventus, quos prae metu imminentis periculi agebant Christiani. De his meminit Plinius secundus in Epistola ad Traianum Imperatorem, lib. x. dum *praeter obstinationem non sacrificandi, nihil aliud se de sacramentis* Christianorum *comperisse* scribat, *quam coetus antelucanos ad canendum Christo ut Deo, et ad confoederandum disciplinam*, etc. Et Tertullianus lib. 2. ad Uxorem cap. 4. *Quis enim sinat coniugem suam visitandorum fratrum gratia vicatim aliena et quidem pauperiora quaeque tuguria circuire? Quis* nocturnis convocationibus, *si ita oportuerit, a latere suo eximi libenter feret?* Iebb. χηραμούς] χειραμοὺς L. 17 σκιᾷ τινι λόγους ἀνασπῶντες] Quod ligna et lapides pro Diis non haberent Christiani, hymnos tamen in eorum coetibus Deo canerent, cuius imago apud eos nulla apparuit, idcirco ad umbram verba et orationes suas fudisse hic loci tradit Aristides, vir, si quis alius, simulacrorum maxime religiosus. Similia prorsus de Iudaeorum cultu prolata videre est apud Corn. Tacitum lib. 5. cap. 9. ubi de Pompeii agens victoria et capta Hierosolyma, *Romanorum*, inquit, *primus Cn. Pompeius domuit, templumque iure victoriae ingressus est. Inde vulgatum, nulla intus Deûm effigie, vacuam sedem, et inania sacra.* Iebb. ἔφης ὦ Σοφόκλεις] ἔφη σοφοκλῆς litura relicta N. ἔφη ὁ Σοφοκλῆς Photius. In Aiace v. 301. σκιᾷ τινι λόγους ἀνέσπα. 18 τὸν ἀνθέρικον] τὸν ἀνθέρικα Photius, παροιμία ἐπὶ τοῦ ἀδυνάτου margo N. ψάμμου] ἄμμου Photius. 19 Comma ad προκόψωσι retrahendum. Reisk. τοσοῦτον Photius. Vulgo τοσοῦτ'.

310, 1 ὥσπερ οὐ καὶ] ὥσπερ οὖν καὶ ΘΙ. (I. ab rec. m.) et Photius. ὥσπερ καὶ E. 2 σκηνῆς] τῆς σκηνῆς N.

οἵ γε κἂν μηδενὸς ἀνθρώπων μεμνήσωνται, λέγουσιν ἃ λέγουσι κακῶς· ὥστ᾽ ἀφ᾽ ὧν ἔχουσι χαρίζονται. καὶ τολμῶσιν ἤδη τῶν ἀρίστων ἐν τοῖς Ἕλλησι μνημονεύειν, ὥσπερ ἐξὸν αὐτοῖς· ὧν εἴ τις ἐξέλοι τὴν ψευδολογίαν καὶ τὴν κακοήθειαν, ὥσπερεὶ τὰ ἰσχύρ᾽ ἀφήρηκε τοῦ βίου. εἶτα τὸ κάλλιστον τῶν ὀνομάτων αὐτοῖς τέθεινται φιλοσοφίαν, ὥσπερ θέαν προκατειληφότες καὶ τοὺς ἄλλους εὐθὺς συγχωρεῖν δέον, ἢ τῇ μεταθέσει τῶν ὀνομάτων τὰ τοιαῦτα κρινόμεν᾽, ἀλλ᾽ οὐ τοῖς πράγμασιν, ὥσπερ ἂν εἰ ὁ Φρυνώνδας ἐκεῖνος Αἰακὸν αὑτὸν μετέθετο, ὡς δὴ δίδυμος εὐθὺς εἶναι δόξων καὶ κρείττων ἁπάσης αἰτίας. ἐπιτρεπτικὸν τοῦτο κακουργημάτων, ὥσπερ ἂν εἰ καὶ ὁ κλέπτης ἡγεῖτο κλέψας τὰ βλεπόμενα Ῥαδάμανθυς εἶναι, ἢ ὁ Θερσίτης προσεῖπεν ἑαυτὸν Ὑάκινθον ἢ Νάρκισσον, ἢ ὁ Λυκάων Ἕκτορα, ἢ ὁ Κόροιβος Παλαμήδην, ἢ ὁ

---

4 Indocte Thomas Mag. p. 269. Aristidem κἂν μεμνήσονται, ἂν cum indicativo constructo, dixisse scribit. μεμνήσωνται autem in μιμνήσκωνται mutandum videtur. 5 λέγουσιν ἃ Reiskius. Legebatur λέγουσι δὲ ἃ. 7 ἰσχυρ᾽ N. Vulgo ἰσχυρὰ. εἶτα τὸ κάλλιστον τῶν ὀνομάτων αὐτοῖς τέθεινται φιλοσοφίαν] Sic Religionem Christianam τὴν ἡμετέραν φιλοσοφίαν, *philosophiam nostram*, vocat Tatianus Orat. ad Graec. cap. 48. Et de conversione sua loquens ad Christi fidem cap. 56. διόπερ, inquit, χαίρειν εἰπὼν καὶ τῇ Ῥωμαίων μεγαλαυχίᾳ, καὶ τῇ Ἀθηναίων ψυχρολογίᾳ, δόγμασιν ἀσυναρτήτοις, τῆς καθ᾽ ἡμᾶς βαρβάρου φιλοσοφίας ἀντεποιησάμην. Sic quoque ad Orationis finem seipsum appellat *barbarae philosophiae sectatorem*; ταῦτα ὑμῖν, ὦ ἄνδρες Ἕλληνες, ὁ κατὰ βαρβάρους φιλοσοφῶν Τατιανὸς συνέταξα. Et ante Tatianum S. Iustinus Martyr, cum Tryphoni et sociis, qua ratione ad Christum esset conversus, sermone multo edisseruisset, huc tandem devenit ut diceret, ταύτην (religionem scilicet Christianam) μόνην εὕρισκον φιλοσοφίαν ἀσφαλῆ τε καὶ σύμφορον· οὕτως δὴ καὶ διὰ ταῦτα φιλόσοφος ἐγώ. S. Iust. Dial. cum Tryph. pag. 225. Iebb. αὐτοῖς] Vulgo αὑτοῖς. 8 εὐθὺς συγχωρεῖν δέον] αὐτοῖς δέον συγχωρεῖν N. ὀνομάτων] νόμων a pr. m. L. 9 κρινόμεν᾽ Canterus. Vulgo κρίνομεν. Φρυνώνδας] φρυγόνδας L. 10 δίδυμος non intelligo. Canterus ad verbum reddidit. num αἰδέσιμος an ἀοίδιμος. Reisk. ἐπιτρεπτικὸν] ἐπιτριπτικὸν ΘN et correctus L. 11 Simile hoc de fure non intelligo. Reisk. κλέψας] κλέψαι Canterus. 12 ῥαδάμανθυς εἶναι ἢ ὁ Θερσίτης addidi ex E. προσεῖπεν Canterus. Vulgo προεῖπεν. ἢ ὁ Κόροιβος] εἰ ὁ

Digitized by Google

*Μαργίτης Νέστορα, ἢ Βάττος Στέντορα, ὁ περὶ τῆς φωνῆς εἰς Δελφοὺς ἀφικόμενος. εἶδον δ' ἔγωγε καὶ ἐν ψαλμῳδίᾳ θεράποντας ἀλιτηρίους τοῖς τῶν θεῶν ὀνόμασι* (517) *κοσμοῦντας ἑαυτούς, ὧν ἀπώναντο τὸ σῶμα ξαινόμενοι, καὶ ἀξίως γ' ἐγίγνοντο μᾶλλον θεοῖς ἐχθροί. οὐκ ἤρκεσε τῷ Βοσκυπταίχμῳ μεταθέσθαι τοὔνομα, ἀλλ' ὅτ' εὖ καὶ καλῶς εὐτυχῇ προσεῖπεν ἑαυτόν, ἔτι κρεῖττον ἐδυστύχει. καὶ οὗτοι τὴν τῆς φιλοσοφίας εὐφημίαν προκαλυψάμενοι διὰ ταύτης κλέψειν οἴονται τἄνδοθεν. ἔπειτά γε ἀλώπηξ*
311 *ἀντὶ λέοντος ὑπέστη κερδαλῇ. ἀρχὴν δὲ οὐδ' εἰδέναι μοι δοκοῦσιν οὐδ' αὐτὸ τοὔνομα τῆς φιλοσοφίας ὅπως εἶχε τοῖς Ἕλλησι καὶ ὅτι ἠδύνατο οὐδ' ὅλως τῶν περὶ ταῦτ' οὐδέν. οὐχ Ἡρόδοτος Σόλωνα σοφιστὴν κέκληκεν, οὐ Πυθαγόραν πάλιν, οὐκ Ἀνδροτίων τοὺς ἑπτὰ σοφιστὰς προσείρηκε, λέγων δὴ τοὺς σοφούς, καὶ πάλιν αὖ Σωκράτη σοφιστὴν τοῦτον τὸν πάνυ; αὖθις δ' Ἰσοκράτης σοφιστὰς μὲν τοὺς περὶ τὴν ἔριν καὶ τούς, ὡς ἂν αὐτοὶ φαῖεν, διαλεκτικούς, φιλόσοφον δ' ἑαυτὸν καὶ τοὺς ῥήτορας καὶ τοὺς περὶ τὴν πολιτικὴν ἕξιν φιλοσόφους; ὡσαύτως δὲ καὶ τῶν τούτῳ συγγενομένων ὀνομάζουσί τινες. οὐ Λυσίας Πλάτωνα σοφιστὴν καλεῖ καὶ πάλιν Αἰσχίνην; κατηγορῶν* (518) *οὗτός γε, φαίη τις ἄν. ἀλλ' οὐχ οἵ γε ἄλλοι κατηγοροῦντες ἐκείνων τῶν ἄλλων ὅμως ταυτὸν τοῦτο προσειρήκασιν αὐτούς. ἔτι δ' εἰ καὶ Πλάτωνος ἐξῆν κατηγοροῦντα σοφιστὴν προσειπεῖν, τί τούτους γ' ἂν εἴποι τις; ἀλλ' οἶμαι*

---

*Κόροιβος* Canterus. 13 *ὁ περὶ τῆς φωνῆς*] Vide Herodotum IV, 155. et Diodorum VII, 15. in Maii Collectione vol. II. p. 13. *τῆς φωνῆς*] *τῆς φωνῆς τῆς* Θ. *εις δελφοὺς* ΘLN. Vulgo *εἰς τοὺς Δελφούς*. 14 *θεῶν* N et Soph. Vulgo *ἐχθρῶν*. 15 *τὸ σῶμα* Reiskius. Aberat *τὸ*. *σῶμα*] *οὐδὲν* E. *γ'* addidi ex ELN. *ἐγίγνοντο* ELN. Vulgo *ἐγίνοντο*. *μᾶλλον θεοῖς*] *θεοῖς μᾶλλον*, N. *ἀλώπηξ — κερδαλῇ*] In fabula Archilochea: vide fragm. 39. p. 308. ed. Gaisford.

311, 2 *ᾐδύνατο* EN. Vulgo *ἐδύνατο*. *Ἡρόδοτος*] I, 29. IV, 95. 4 *λέγων* Reiskius. Vulgo *λέγω*, *Σωκράτη* Canterus. *σωκράτην* N Iebb. *σωκράτης* Θ Iunt. 5 Fort. *φιλοσόφων δ' αὐτῶν καὶ τοὺς ῥήτορας*. Reisk. 6 *δ' ἑαυτὸν* L. Vulgo *δὲ αὐτὸν*. 7 *ὀνομάζουσί τινες* ELN. Legebatur *ὀνομάζουσιν*. 9 *ταυτὸν τοῦτο*] *ταυτόν γε τοῦτο* N. 10 *γ'*] *τ'* E.

Digitized by Google

καὶ σοφιστὴς ἐπιεικῶς κοινὸν ἦν ὄνομα καὶ ἡ φιλοσοφία
τοῦτ' ἠδύνατο, φιλοκαλία τις εἶναι καὶ διατριβὴ περὶ λό-
γους, καὶ οὐχ ὁ νῦν τρόπος οὗτος, ἀλλὰ παιδεία κοινῶς.
τεκμηριοῖ δὲ καὶ Δημοσθένης καὶ ἕτεροι μυρίοι. καὶ οὐ μό-
νον ἐν τοῖς καταλογάδην οὕτω ταῦτ' ἔχοντ' ἐστὶν, ἀλλὰ
κἀν τοῖς ποιήμασιν. ἤδη μέντοι καὶ τοὺς κακοτεχνοῦντας
ἐπισκώπτοντες καὶ τούτους ἔλεγον φιλοσοφεῖν, τὸν αὐτὸν
τρόπον ὅνπερ καὶ τὸν σοφιστὴν ἐπὶ τὸ φαυλότερον ἤνεγκαν.
αὐτὸς τοίνυν Πλάτων ὁ μάλιστ' ἀνθαψάμενος τούτου τοῦ
προσρήματος καὶ φιλοσοφίαν τοῦτ' εἰπὼν, τό θ' αὐτοῦ
καὶ Σωκράτους καὶ πρᾶγμα καὶ γράμμα, ὅμως κατ' ἀμ-
φότερα πεποίηται τοὺς τρόπους αὐτῶν. τούς τε γὰρ φιλο-
κάλους καὶ φιλομαθεῖς ἐπιεικῶς εὕροι τις ἂν αὐτὸν φιλο-
σόφους ὀνομάζοντα, ἐγγύς τι τῆς τῶν πολλῶν κλήσεως,
καὶ πάλιν που διαιρούμενος τούτους ἰδίᾳ προσείρηκε φιλο- (519)
σόφους, τοὺς περὶ τὰς ἰδέας πραγματευομένους καὶ τῶν
σωμάτων ὑπερορῶντας. οὕτως οὔτε τοὺς ἄλλους ἀφαιρεῖ-
312 ται τοὔνομα, ἀλλὰ δίδωσι κἀκείνοις φιλοσοφεῖν, οἷς τ'
ἰδίᾳ ταύτην ἀπέδωκε τὴν ἐπωνυμίαν οὐχ ἅπαντές εἰσιν οἱ
φάσκοντες οὗτοι φιλοσοφεῖν, ἀλλ' οἱ νῦν τῶν Πυθαγόρου
καὶ Πλάτωνος σχεδὸν ὄντες λόγων· ἐπεὶ τούς γε ἄλλους
φιλοσωμάτους, ἀλλ' οὐ φιλοσόφους καλοίη τις ἂν ἐν τῇ
Πλάτωνος φωνῇ. ἐπεὶ καὶ τὸν σοφιστὴν δοκεῖ μέν πως
κακίζειν ἀεὶ, καὶ ὅ γε δὴ μάλιστα ἐπαναστὰς τῷ ὀνόματι
Πλάτων εἶναί μοι δοκεῖ. αἴτιον δὲ τούτου καὶ τῶν πολ-
λῶν αὐτὸν καὶ τῶν κατ' αὐτὸν ὑπερφρονῆσαι. φαίνεται

---

11 ἠδύνατο] Vulgo ἐδύνατο. 12 παιδεία N, correctus L, Canterus, Iebb. παιδιὰ Θ Iunt. 15 Πλάτων] ὁ πλάτων L. Πλάτων] De republ. V. extremo. 16 τοῦτ' N. Vulgo τοῦτο. τό θ' αὐτοῦ] Vulgo τό γ' αὐτοῦ. τό τ' αὐτοῦ Reiskius. 17 καὶ γράμμα καὶ πρᾶγμα L. Quid sibi velit γράμμα non intelligo. estne scribendi exercitatio? Reisk. ἀμφότερα] Fort. ἀμφοτέρους. philosophiam tamen fecit, h. e. dixit esse pro utroque eorum instituto. Reisk. 21 οὕτως om. N.

312, 2 οὗτοι] οὕτω N. νῦν] μόνων E. τῶν om. ΘLN. 5 τούτου ELN. τοῦτο Θ. Vulgo τοῦτο τοῦ. αἴτιον δὲ τούτου τὸ πολλῶν αὐτὸν τῶν κατ' αὐτὸν Reiskius. καὶ τῶν πολλῶν] καὶ om. E. αὐτὸν (αὐτῶν N) καὶ] αὐτόν τε καὶ E. κατ' αὐτὸν] κατ'

δὲ καὶ ταύτῃ εἰς ἅπασαν εὐφημίαν τῇ προσηγορίᾳ κεχρημένος. ὃν γοῦν ἀξιοῖ σοφώτατον εἶναι θεὸν καὶ παρ' ᾧ πᾶν εἶναι τἀληθὲς, τοῦτον δή που τέλεον σοφιστὴν κέκληκεν.

Ἀλλ' ἐῶ τὸν σοφιστήν· ἀλλ' οὗ χάριν ἐξέβην ἐπὶ ταῦτα, κατ' οὐδετέραν γὰρ τῶν προσηγοριῶν εἰς τούτους γένοιτ' ἂν ἡ φιλοσοφία φωνὴν, οὔτε, ὥσπερ ἔφην, κατὰ τὴν κοινὴν τῶν Ἑλλήνων· οὐ γὰρ ἀφώριστο τοῦτ' εἶναι (520) τὸ φιλοσοφεῖν, ἀλλὰ παιδεία τις ἦν, ἧς τούτοις οὐδ' ὁτιοῦν μέτεστιν, ἀπ' αὐτῶν τῶν ὀνομάτων ἀρξαμένοις, οὔτ' αὖ κατὰ τὴν Πλάτωνος, ἣν ἰδίᾳ τισὶν ἀξιοῖ σώζεσθαι. οὐ γὰρ ἅπασι μετέδωκε τῆς προσηγορίας τοῖς ἐπὶ τοῦ προσχήματος, ἀλλ' οἷς εἶπον μόνοις. ἀλλ' ὅμως πρὶν καὶ περὶ αὐτῆς τῆς ἐπωνυμίας ἔχειν εἰπεῖν τι, σεμνύνονται καὶ φασὶ φιλοσοφεῖν καὶ μόνοι τά τε ὄντα καὶ τὰ ἐσόμενα γιγνώσκειν, καὶ πάσας ὑφ' αὑτοῖς καὶ πρὸς αὐτοὺς εἶναι τὰς τέχνας· οὓς οὐδὲν δεῖ κατ' ὄνομα ἐξετάζειν, ἀλλὰ φορμηδὸν ἐφ' ἁμαξῶν ἐκφέρειν, ὥσπερ τοὺς Κερκυραίων νεκρούς. τί γὰρ οὗτοι χρήσιμοι τῷ τῶν ἀνθρώπων γένει, οἷς οὐδὲ φαρμακοῖς, τὸ τοῦ κωμῳδιοποιοῦ,

αὐτῶν E. 6 ταύτῃ] τούτοις ΘLN. om. E. εἰς om. L, superscriptum habet Θ. Eius loco πρὸς est in E. προσηγορίᾳ] γρ. κατηγορίᾳ N. 7 ἀξιοῖ] In Cratylo. Canter. 9 Post φωνὴν videtur οὔτε deesse, cui respondet alterum οὔτε versu 11. in illis οὔτ' αὖ κατὰ τὴν Πλάτωνος. philosophia secundum neutrum appellationis sonum (hoc est nominandi modum) in hos homines congruit, neque secundum illum Graecorum communem, — neque secundum eum, qui Platoni proprius est. Reisk. Addidi οὔτε.

10 τοῦτ'] Nondum enim tunc temporis usu receptum erat ut singulare hoc vitae genus philosophiae peculiari et proprio nomine significaretur. Reisk. 11 ὀνομάτων] Tam sunt expertes παιδείας, doctrinae, ut vel ipsa nomina vitae, quam amplexi sunt, philosophicae et sophisticae unde orta sint et quae obierint tempora nesciant. Reisk. οὔτ' Reiskius. Vulgo οὐδ'. 12 ἅπασι] ἅπασί γε E. ἅπασι μὲν L. τῆς προσηγορίας] τὴν προσηγορίαν E. τοῖς ἐπὶ ΘLN Iunt. οὐδὲ τοῖς ἐπὶ Steph. Iebb. 14 καὶ τὰ LN. Vulgo τά τ'. γιγνώσκειν] Vulgo γινώσκειν. 16 ἐφ' ἁμαξῶν N Iebb. τὸ ἐφ' ἁμαξῶν E. ἐπ' ἁμαξῶν Θ Iunt. ἐπ' ἁμαζῶν (sic) L. ὥσπερ τοὺς Κερκυραίων νεκρούς] Vide Thucydidem IV, 48. 17 κωμῳδιοποιοῦ (κωμῳδοποιοῦ LN)] Aristophanis Ranar. v.

Digitized by Google

χρήσαιτ' ἄν τις ῥᾳδίως; ἀλλ' ὅμως ἡμεῖς τούτου γ' αὐτοῖς μεταδῶμεν καὶ μὴ φθονῶμεν, πρὸς ἓν τοῦτο ἔστων χρήσιμοι ταῖς πόλεσι, θρέψαντας ἐκρῖψαι. ὡς οὐκ εἶναί γέ τις ἂν φαίη πραγμάτων καὶ κακῶν αὐτοῖς ἀπαλλαγὴν κάλλιω καὶ καθαρωτέραν ἢ εἰ τῶν θηρίων τούτων ἀπολυθεῖεν. εἰ δὲ μὴ τῇ κακίᾳ τῆς φύσεως αὐτῶν καὶ τοῖς
313 πονηρεύμασιν ἀσθένειαν καὶ ἀνανδρείαν ὁ θεὸς προσῆψεν, (521)
ἅπαντ' ἂν ἀοίκηθ' ὑπ' αὐτῶν ἦν, ὥσπερ Ἡρόδοτος περὶ τῶν ὄφεων ἔφη. νῦν δὲ κἂν ἶβις τούτων κρατήσειε. καὶ ταῦτα μηδεὶς οἰέσθω βλασφημίαν εἰς φιλοσοφίαν ἔχειν μηδ' ἀηδίᾳ μηδεμιᾷ λέγεσθαι, ἀλλὰ πολλῷ μᾶλλον ὑπὲρ φιλοσοφίας εἶναι καὶ πρὸς τοὺς ὑβρίζοντας ταύτην εἰρῆ-

---

741. τούτου ΘΕLN. Vulgo τοῦτο. 18 Ad illud unicum sunto utiles, ut cives eos, velut pharmacos et piaculares bene pastos et saginatos eiiciant urbe sua et ultra terminos expellant. Reisk. 19 ἐκρῖψαι ΘΕL, Canterus. ἐκτρῖψαι N. Vulgo ἐκ ῥίψας. αὐτοῖς (β) ἀπαλλαγὴν (α) N.

313. Multa sunt in hac pagina corrupta et salebrosa et mutila, ut contingere solet in exitu librorum, ubi omnium miserrime haberi, inquinari, deteri, lacerari et mutilari solent codices. Reisk. ἀσθένειαν καὶ ἀνανδρίαν ὁ θεὸς] Male noster ignaviae et imbecillitati attribuit, quod Christiani nemini fuerint molesti. Vel Ibis his facile potuit esse superior, cum iis nec malum malo compensare licuerit. Tertull. Apolog. cap. 37. *Si iidem laesi vicem referre prohibemur, ne de facto pares simus, quem possumus laedere? Nam de isto ipsi recognoscite. Quoties enim in Christianos desaevitis partim animis propriis, partim legibus obsequentes? Quoties etiam, praeteritis vobis, suopte nos inimicum vulgus invadit lapidibus et incendiis? Ipsis Bacchanalium furiis nec mortuis parcunt Christianis, quin illos de requie sepulturae, de asylo quodam mortis, iam alios, iam nec totos avellant, dissecent, distrahant. Quid tamen de tam conspiratis unquam denotastis, de tam animatis ad mortem usque pro iniuria repensatum?* Iebb. ἀνανδρείαν] Vulgo ἀνανδρίαν. 2 Ἡρόδοτος] II, 75. ἶβις] Vulgo ἴβις. 3 μηδ'] μηδὲ LN. 4 Forte sic integres locum εἰρῆσθαι καὶ συνηγορεῖν τῇ φιλοσοφίᾳ. οἱ δὲ νῦν ἡμῶν ἀναστάντες κατηγορούντων (id est in imperativo, pro κατηγορείτωσαν) εἴπερ τι χρηστὸν αὑτοῖς (vel αὑτοὺς, nihil enim refert) εἶναι δοκοῦσιν. Ἀναμνησθῶ — surgant et accusent nos, si quodammodo bonos et probos se putant esse, aut virtutis aliquid sibi superesse. Reisk. συνηγορεῖν τῇ φ. ν. ἡ. ἂν αὐτῶν κατηγορῶμεν, εἴπερ τι δεῖ χρηστὸν αὐτῆς εἶναι δοκεῖν. ἀνεμνήσθην δὲ Canterus (apud Reiskium vol. V. p. 619.) —,

σθαι. καὶ συνηγορῶν τῇ φιλοσοφίᾳ νῦν αὐτῶν ἀναστὰς κατηγορῶ, εἴπερ τι δεῖ χρηστὸν αὐτοῖς εἶναι δοκεῖν. ἀναμνησθῶ καὶ τοῦ φαλακροῦ χαλκέως τοῦ τῇ δεσποίνῃ συνοικοῦντος. τοῦτον οὐκ ἀτιμάζων δή που φιλοσοφίαν ἐποίησε Πλάτων, ἀλλά τινας ὑπὲρ αὐτῆς κάλλιστ' ἀνθρώπων εἰκάζων ἐνισταμένους, καὶ ῥᾳδίως αὐτοὺς ἀξιοῦντας τῶν μειζόνων ἢ κατ' αὐτούς. ἐπεὶ καὶ τοῦτο ἔμοιγε θαυμαστὸν καὶ θεῖον φαίνεται τῆς ἐκείνου φιλοσοφίας, τὸ μὴ πᾶσιν εἰκῇ συγχωρεῖν ἐπικεκινδυνευκὸς, ἀλλ' ἔκκρισιν εἶναι τῶν ἀνδρῶν καὶ τὰς φύσεις ἐξετάζεσθαι. οὐδὲ γὰρ τοὺς Ἠλείους αὐτοὺς ἔγωγε νομίζω καταλύειν τὸ τῶν Ὀλυμπίων οὐδὲ ἀτιμάζειν, ὅτι οὐ πάντας ῥᾳδίως προσίενται τοὺς τοιούτους ἀγωνιστὰς, ἀλλὰ πρόκρισιν * * ἐστὶν οὐ ταυτὸν, ἀλλά μοι καὶ μειζόνως αὔξειν δοκοῦσι καὶ κοσμεῖν

---

qui in interpretatione Latina verba *καὶ συνηγορῶν — δοκεῖν* omiserat. *συνηγορῶν*] *συνηγορεῖν* E. 5 *νῦν αὐτῶν ἀναστὰς* Θ. *νῦν ἡμᾶς ἂν αὐτῶν*, omisso *ἀναστὰς*, E. *νῦν ὑμῶν* (*ἡμῶν* N) *ἀναστὰς* LN *κατηγορῶ* ΘLN. *κατηγορῶμεν* L. Legebatur *κατηγορῶν*. Post *κατηγορῶ* in L *αὐτοὺς*, ab rec. in *αὐτοῖς* mutatum, addi perhibet Iebbius. *δεῖ* addidi ex E. *ἀναμνησθῶ*] *ἀνεμνήσθην* E. 6 *φαλακροῦ*] *φαλακλοῦ* N. 7 *Πλάτων*] De republ. VI. Canter. *ἀλλά τινας —*] Omnium hominum elegantissime assimilans quosdam pro ea (philosophia) instantes, h. e. pugnantes et pro defensoribus eius se gerentes. Reisk. *ἐνισταμένους* L. Vulgo *τοὺς ἐνισταμένους*. 9 *ἐπικεκινδυνευκὸς*] *ἐπεὶ καὶ κίνδυνος* E. *ἐπικεκινδυνευκόσιν* Reiskius. 10 *ἀλλ' ἔκκρισιν*] *ἀλλὰ κρίσιν* N ab rec. m. *τοὺς ἠλείους αὐτοὺς* Θ. *αὐτοὺς ἠλείους* E. Legebatur *αὐτοὺς εἰς αὐτοὺς*. *εἰς αὐτοὺς*] In semetipsis, in caussa sua, in exercenda sua philosophia. Reisk. 11 *οὐ πάντας* om. E. *τοιούτους*] Quales venire solent ad Olympicos ludos certaminis obeundi caussa. Reisk. 12 In Canteri schedis *πρόκρισίς ἐστιν οὐ ταυτὸν γ'* (sic: fort. *ταυτό γ'*), et *πρόκρισις ἐστιν οὐ γε αὐτῶν* annotatum. *ἀλλ' ἀπόκρισίς ἐστι τούτων αὐτῶν* E. *πρόκρισιν* LN Iunt. *πρὸ κρίσιν* Steph. Iebb. *ἀπόκρισιν* margo L. *προκρίνουσιν* Scaliger. Indicavi lacunam. *ἀλλὰ πρὸς κρίσιν ἐστὶν οὐ ταὐτόν.* ad iudicium autem, vel delectum, perinde non est. vult dicere, par et idem non est, delectum habere athletarum in ludis Olympicis certaturorum et ingeniorum philosophia imbuendorum. multo gravius hoc est iudicium, multoque maior hic adhibenda diligentia. Reisk. *ἀλλά μοι* Steph. Iebb. *ἀλλ' ὅμοι* Θ Iunt. *ἀλλ' ὅτι μοι* LN. *ἀλ-*

Digitized by Google

τὸν θεσμὸν τῷ τοσοῦτον ἅπασι παριστάναι τὸν φόβον (522) καὶ τῷ τὰ πάντα ἀξιοῦν εἶναι τὰ παρὰ σφίσι κηρυκεύεσθαι τὰ μὲν ἀποδύντα τὴν ἀρχὴν ὀφθῆναι. οὕτω τοίνυν καὶ ἡμεῖς οὐ φιλοσοφίαν ἀτιμάζομεν, ἀλλ' ὑπὲρ φιλοσοφίας ἀμυνόμεθα, ὡς εἰκὸς ἦν. οἶμαι γὰρ ἔγωγε καὶ Πλάτωνα καὶ Πυθαγόραν αὐτοὺς ἀναστάντας καὶ λαβόντας σοφιστὴν πόρρω που οὕτω δὲ ἂν κελεύειν τούτους καθέζεσθαι καὶ νομίζεσθαι κάλλιστ' ἂν οὕτως αὐτοῖς ὑπὲρ φιλοσοφίας εἶναι δεδογμένον ὃν καὶ τοὺς κωμάζοντας ἐπ' αὐτὴν ἀποκρίναιεν, ὥσπερ οἱ τοὺς τῷ ὄντι κωμάζοντας ἐπ' αὐτὴν ἀποκρίνοντες, καὶ ἡμεῖς οὐχ ἅπαντας δή που λέγομεν κακῶς, οὐδ' εἰρήκαμεν, ἀλλ' οἷς τοῦτο προσήκει τῶν

---

λὰ ἐάν μοι margo Θ. ἀλλ' ᾧ μοι Scaliger. 13 τὸν θεσμὸν] Sectam, vitae genus, disciplinam, Platonicam puta hic quidem loci. Reisk. παριστάναι] παρεστάναι LN. Fort. ἀξιοῦν εἶναι τῷ παρὰ σφίσι βουλομένῳ κηρύσσεσθαι. et ex eo, quod dignum censeant virtutes penes eum omnes esse, qui velit in eorum schola velut praeconis voce (ut athleta victor) praedicari, vel proclamari. Reisk. ἀξιοῦν εἶναι παρὰ σφίσι, κηρυκεύεσθαι μὲν, εἶτα ἀποδύντα τὴν ἀρχὴν — Scaliger. τὰ πάντα] πρὸ πάντων E et Canterus. τὰ παρὰ] τὸ παρὰ E. 14 Circa τὰ μὲν lacunam esse vidit Reiskius. τὰ μὲν] γρ. καὶ μὴ margo Θ. οὐτ' E. τί μὲν Canterus. ἀρχὴν ΘLN Iunt. ἀχλὺν Steph. Iebb. ex Canteri interpretatione Latina. οὕτω] οὐ τὸ schedae Canteri. 16 Quantum e lituris colligo sic ferme videtur locus esse restituendus, λαβόντας σοφιστῶν πόρρω που, sede delecta procul a sophistis, ἐν τῷ δέοντι κελεύειν τούτους καθίζεσθαι, iussuros esse ut hi sophistae in loco ipsis conveniente consideant, καὶ νομίζειν κάλλιστ' ἂν οὕτως αὐτοῖς ὑπὲρ φιλοσοφίας εἶναι δεδογμένον, et existimaturos esse, ita philosophiae a se prospectum esse optime, εἰ τοὺς τῷ ὄντι κωμάζοντας ἐπ' αὐτὴν ἀποκρίναιεν. ὥσπερ καὶ ἡμεῖς οὐχ ἅπαντας — (caeteris resectis, quae a librario perperam esse iterata manifestum est.) si eos qui bona fide ad philosophiam concurrerunt, amore eius divinitus iniecto ardentes et commoti, a caeteris segregarent. Reisk. καὶ λαβόντας ἐξουσίαν, πόρρω που ἂν κελεύειν τούτους καθέζεσθαι κάλλιστ' ἂν οὕτως E. 17 καὶ νομίζεσθαι ab rec. m. L. In N κομίζεσθαι olim fuisse videri ait Iebbius. οὕτως αὐτοῖς] αὐτοῖς οὕτως N. εἶναι om. E. καὶ τοὺς] εἰς τοὺς Canterus. 18 ἀποκρίναιεν Canterus. Vulgo ἀποκρῖναι ἐν. ὥσπερ οἱ Canterus. Vulgo ᾧπερ οἱ. ᾧ περὶ L. ἀποκρίνοντες N, Scaliger, Canterus. Vulgo ἀποκλίνον-

σκηπτούχων καὶ οἵτινες ἂν γνωρίζωσι τὰ λεγόμενα, οὐδ᾽
314 ὅστις αὐτῶν πρῶτος αἰτιάσεται, πρὸς τοῦτον εἴρηται. ἐπὶ φιλοσοφίᾳ γέ μοι καὶ αἰσχρὸν καὶ μετῆν ὥσπερ ἂν ἄλλῳ τῳ τοιούτῳ. οἶμαι δὲ κἀγὼ συγγενέσθαι τῶν ἐπ᾽ ἐμαυτοῦ φιλοσοφησάντων τοῖς ἀρίστοις καὶ τελεωτάτοις, καὶ οὐ πολλῶν ἡττᾶσθαι ταύτῃ θνητῶν, καὶ ἐν τροφείων μοίρᾳ γεγόνασί μοι. ὥστε τοῖς οἴκοι πολεμοίην ἂν μᾶλλον ἢ τοῖς φιλοσόφοις. ἀλλὰ μὴ τοῦτο τοιοῦτον ᾖ, ἀλλ᾽ ἔχει (523) τινὰ καὶ χάριν ἡμῖν ἡ φιλοσοφία· ἐπεὶ καὶ ῥητορικῇ χαίρειν ἂν φαίην εἴπερ τις ἀνθρώπων * * καὶ ἐμοί τι μέτεστιν ἴσως τοῦ πολέμου. ἀλλ᾽ οὐ διὰ τοῦτο τοὺς ὑβρίζοντας εἰς αὐτὴν ἐπαινεῖν οἴομαι δεῖν, ἀρχὴν δὲ οὐδὲ καλῶ ῥήτορας· ἀλλ᾽ ὅσῳ μᾶλλον οὐδὲ τὴν ῥητορικὴν θαυμάζω τε καὶ ἀσπάζομαι, τοσούτῳ μᾶλλον τοῖς ἀναξίως αὐτῆς ταύτης καταψευδομένοις ἄχθομαι, καὶ ὑπὲρ αὐτῆς τῆς ῥητορικῆς ἥδιστ᾽ ἂν ἀμυνοίμην καὶ πειρῴμην εἰς ὅσον οἷός τ᾽ εἴην δεικνύναι πάντα μᾶλλον ἀκούειν δικαίους ἢ τοῦτο. ἀλλ᾽ οὐ πρὸς Μιλτιάδην γε καὶ Θεμιστοκλέα καὶ Περικλέα καὶ Κίμωνα ταύτην ἔχω τὴν γνώμην. πρὸς γὰρ σέ, ὦ Πλάτων, ἤδη περιαχθέντας δεῖ τούτους χαίρειν ἐᾶσαι,

---

τες. ἀποκλίνοντις (οι) L. 20 σκηπτούχων Steph. Iebb. σκηπτούχων (λ) L. σκηπτούλων Θ Iunt. οὐδ᾽] ὥσθ᾽ Canterus.

314, 1 Fort. ἐπεὶ φιλοσοφίας γέ μοι (εἰ καὶ αἰσχρὸν καυχᾶσθαι) μετῆν ὥσπερ ἂν ἄλλῳ τῳ τῶν τοιούτων. nam et ipse ego, si quis alius horumce hominum, philosophiae sacris initiatus sum; quamquam turpe est gloriari. Reisk. καὶ μετῆν Scaliger, Steph. Iebb. καὶ μέθην LN Iunt. om. E. 3 Post θνητῶν videtur δοκοῦσι deesse. quorum ea erat existimatio, ut hac in parte hominum non multis cedere viderentur. Fortasse quoque οἳ deest ante καί. Reisk. 4 μᾶλλον om. ΘELN. ἔχει ΘL. Vulgo ἔχῃ. 5 χάριν ἡμῖν LN. Vulgo ἡμῖν χάριν. χαίρειν ἂν φαίην] φαίην ἂν χαίρειν N. Lacunam post ἀνθρώπων indicavit Reiskius. τι om. E. 6 τοῦ πολέμου] τοῦ πράγματος E. 7 οὐδὲ καλῶ LN. Vulgo οὐ καλῶ. μᾶλλον τὴν L. Vulgo μᾶλλόν τε τήν. τε in N deletum. θαυμάζω] τιμῶ (γρ. θαυμάζω) N. 9 ἥδιστ᾽ ἂν] ἥδιστα E. οἷος] οἷος (ν) N. 11 δεῖ Steph. Iebb. δεῖν LN Iunt. τούτους] Adversarios meos, sophistas, philosophos commenticios et falso nomen hoc sibi arrogantes. Reisk. 12 ἐᾶσαι L. ἐάσαι

εἰ δή τι μέτεστιν αὐτοῖς τούτου, οἶμαι δὲ οὐδὲν . . ταῦτα μικρόν. ἡμεῖς δὲ γνωρίζωμεν ἡμᾶς αὐτοὺς καὶ μὴ φυρώμεθα ὥσπερ ἐν ἡμερομαχίᾳ, μηδὲ τοῦτό γε ἕν, κακὸν Ἑλληνικὸν μιμώμεθα, στασιάζοντες περὶ τῆς ἡγεμονίας, ἀλλ' ἐπιχωρήσαντες τῷ θεῷ τὴν κρίσιν παρέχωμεν ἡμᾶς αὐτοὺς ἐν τῷ τεταγμένῳ καὶ γιγνώμεθα τοιοῦτοι περὶ τοὺς πρό- (524)
τερον οἷουσπερ ἂν αὖ τοὺς ὕστερον εἶναι περὶ ἡμᾶς βουλοίμεθα. αἰσχρὸν γάρ, ὥς γ' ἔφη Δημοσθένης, οὓς οὐδ' ἂν τῶν ἐχθρῶν καὶ τῶν πολεμίων οὐδεὶς ἂν ἀποστερήσειε τῶν εὐφημιῶν, τούτους ὑφ' ἡμῶν, ὅτι προσήκομεν αὐτοῖς, μὴ τῆς γιγνομένης αἰδοῦς καὶ φιλανθρωπίας τυγ-
315 χάνειν. ἐγὼ μὲν οὖν καὶ Πλάτωνι τὴν προσήκουσαν τιμὴν ἀπένειμα καὶ τοῖς ἀνδράσι τὰ πρέποντα ἐβοήθησα, καὶ οὐχὶ προηκάμην. εἰ δέ τις ἀντειπεῖν ἔχει τούτοις, φυλάττων ἐμοὶ τὴν ἴσην εὐφημίαν ὅσηνπερ ἐγὼ Πλάτωνι, τοῦτον ἐγὼ καὶ νῦν καὶ ὕστερον φίλον, οὐκ ἐχθρὸν κρίνω.

---

Steph. Iebb. ἐάσας ΘL Iunt. τούτου] τοῦτο Canterus. Lacunam indicavit Reiskius. ταῦτα] τοῦτο E. γνωρίζωμεν] γνωρίζομεν LN. 13 ἡμερομαχίᾳ ΘELN Iunt. νυκτομαχίᾳ Steph. Iebb. μηδὲ LN. Vulgo καὶ μηδέ. 14 μιμώμεθα] μιμούμεθα L. ἐπιχωρήσαντές E et Canterus. Vulgo ἐπικουρήσαντες. ἐπιτρέψαντες N. 15 παρέχωμεν] παρέχομεν LN. ἡμᾶς] ἡμεῖς ΘN. γιγνώμεθα] Vulgo γινώμεθα. γινόμεθα L. γιγνόμεθα N. 16 ἂν αὖ τοὺς ΘL. ἂν αὐτοὺς N. ἂν αὐτοὶ τοὺς E. βουλοίμεθα] βουλοίμεθα N. Δημοσθένης] De falsa legat. CANTER. 17 εὐφημιῶν EN. Vulgo εὐφημιῶν. εὐφήμων L. γρ. εὐφήμων margo N. 18 ὅτι] Fort. οἳ vel ὅσοι. REISK. γιγνομένης] Vulgo γινομένης. γρ. τιμωμένης margo L.

315, 2 ἔχει] ἔχοι L.

# XLVII.

## ΠΡΟΣ ΚΑΠΙΤΩΝΑ.

Νῦν σὲ καὶ μᾶλλον φιλοῦμεν οὕτως ἐρωτικῶς τοῦ Πλά- (525) τωνος ἔχοντα· ὃν ἐγὼ φαίην ἂν τιμᾶν καθ' Ὅμηρον ἶσον ἐμῇ κεφαλῇ. εἰ γάρ τοι καὶ πάντες φαῦλοι πρὸς ἐκεῖνον, ἀλλ' ἕκαστος τιμιώτατος αὐτὸς ἑαυτῷ, φασί. καίτοι τί λέγω; οὐκ οἶδα μὲν γὰρ εἰ πιστεύεις· ἀληθὲς δὲ ἐρῶ. εἰ δὲ μὴ ἐγγὺς ἐκεῖνον ἔφησας ἡμῶν εἶναι, οὐκ ἂν οὕτω με εὔφρανας ὡς ὅτι προκατείληψαι δείξας· οὕτως ἐμοὶ φίλος ἀνὴρ καὶ φίλων ἐπέκεινα. συνέβη δέ μοι καὶ περὶ Δημοσθένη τοιοῦτον ἕτερον, φράσω δὲ καὶ πρὸς σέ. ἀνὴρ τῶν ἐκ τῆς γερουσίας τῆς Ῥωμαίων, Λίβυς τὰ ἀρχαῖα, Μάξιμος τοὔνομα, ἄξιος ὅτου βούλει, φασὶ δὲ οἱ ταῦτα δεινοὶ καὶ ῥήτορα αὐτὸν ἐν πρώτοις εἶναι Ῥωμαίων, οὗτος τοῖς τε Δημοσθένους λόγοις προσέκειτο ὑπερφυῶς καὶ οὐκ

---

Ἀριστείδου ῥήτορος πλατωνικὸς πρὸς καπίτωνα O. πρὸς καππίτωνα (sic) περὶ ῥητορικῆς λόγος L.

315, 5 τιμᾶν Θ. Legebatur τιμῶν. φαίην τιμῶν idem est atque φαίην ὅτι τιμῶ. mallem tamen τιμᾶν. Reisk. Ὅμηρον] Iliad. σ, 82. ἶσον L. Vulgo ἴσον. 6 ἑαυτῷ] ἑαυτοῦ O. γὰρ om. O. 7 πιστεύεις] πιστεύσεις Canterus. Fort. εἰ καὶ μηδὲ ἐγγὺς ἐκεῖνον. Reisk. μὴ] μηδὲ Canterus. με] μὴ E. εὔφρανας] ηὔφρανας Photii (p. 421 b, 12.) codex Marcianus. 8 προκατείληψαι] Subaudi ὑπὸ τοῦ Πλάτωνος καὶ τοῦ πρὸς αὐτὸν ἔρωτος καὶ τῆς κατ' αὐτὸν δόξης, ὥστε αὐτὸν πλείονος ἡγεῖσθαι ἢ ἐμέ. Reisk. προκατείληπται E. προκατείληφαι O. ἀνὴρ] Vulgo ἀνήρ. 9 περὶ Δημοσθένη] παρὰ δημοσθένους O. 10 τοὔνομα LO et Photius. Vulgo τὸ ὄνομα. δεινοὶ Θ Iunt. δεινὸν O Iebb.

Digitized by Google

οἶδ' ὅντινα τρόπον καὶ τοῖς ἡμετέροις ἑάλω τούτοις· καὶ
δὴ οἷα συμφοιτῶν τε εἰς Ἀσκληπιοῦ καὶ φιλοκαλίας ἐλλεί-
πων οὐδὲν συνῆν ἐμοὶ καθ' ἑκάστην ἡμέραν κατὰ τοὺς
316 λόγους· ὥστε τι καὶ περιειργασάμην πρὸς αὐτὸν ὑπὸ τοῦ
τοιούτου. ἔτυχε γάρ μοι λόγος τις πεποιημένος ἐκ τρίτων
πρὸς Λεπτίνην ἐξ ἀρχῆς τοιᾶσδε· εἶχον ἐν χερσὶ τὸν λό- (526)
γον τὸν τοῦ Δημοσθένους, καὶ ὡς ἐγενόμην ἐπὶ τῶν κε-
φαλαίων ἃ τοῦ Λεπτίνου μέλλοντος ἐρεῖν ὑπετέμνετο, ἀπο-
στήσας ἐμαυτὸν τοῦ Δημοσθένους ὑπ' ἐμαυτοῦ τι συνεώ-
ρων. ὡς δὲ εὗρον καὶ δύο καὶ τρία τῶν χρησίμων, ἐν-
ταῦθα πάλιν αὖ ἐπ' ἄλλο τι ἐχώρουν. καί μοι πειρωμένῳ
τὸ αὐτὸ ἀεὶ συνέβαινε. καὶ οὕτω δὴ ἀπὸ τοῦ κρασπέδου
θοἰμάτιον, εἰ δὲ βούλει, τὸν λέοντα ἀπὸ τοῦ ὄνυχος
ἀπειργασάμην. τοῦτον οὖν αὐτῷ τὸν λόγον δεῖξαι ἐπεχεί-
ρησα καὶ μέλλων δείξειν προεῖπον ὅτι πρὸς Λεπτίνην ἐφευ-
ρημένα σὺν τῷ πρὸς Λεπτίνην ἐφευρήσει. Μὴ ἀδικῶ γε,
ἔφην ἐγώ. καὶ ὃς μὰ Δία εὐγενῶς τε καὶ ὡς ἂν πᾶς
ἠράσθη τε καὶ ἠγάσθη ὅστις φιλόλογος, Οἶσθα, ἔφη,

11 τε om. O. 12 καὶ τοῖς] καὶ om. L. 13 ἑκάστην ἡμέραν LO. Vulgo ἡμέραν ἑκάστην.

316, 1 ἐκ τρίτων videtur significare quasi tertiam quandam in hac caussa personam sustinens. post duas illas superiores, quae dudum hanc caussam egerant (primam Demosthenes, alteram Leptines reus) tertiam nunc Aristides exercitii caussa commentatus erat. subauditur μελετημάτων. Reisk. 2 εἶχον ἐν] εἶχον μὲν γὰρ ἐν Photius, cuius codex Marcianus εἴχομεν γὰρ ἐν. 3 ἃ τοῦ] αὐτοῦ O. ὑπετέμνετο] Fort. ἐπετέμνετο, in compendium miserat, breviter enunciaverat. Reisk. ὑποτέμνεται Photius. 4 ὑπ' ΘO et Photius. Vulgo ἐπ'. 5 συνέβαινεν L. 6 θοἰμάτιον] τὸ ἱμάτιον LO. 7 Video quidem sententiam, sed verba corrupta sanare non possum. Sensus esse videtur hic. praedicebam in oratione mea adversus Leptinem inventurum esse Maximum nova et ampliora atque luculentiora argumenta nata et producta ex illis, quae Demosthenes in oratione sua brevius perstrinxisset. in codicibus quibusdam est ἐφευρημένος. Fort. legendum ὅτι πρὸς Λεπτίνην ἐφευρημένας ἐν τῷ πρὸς Λεπτίνην εὑρήσει. In ἐφευρημένας subauditur ἐγχειρήσεις, vel αἰτίας, vel simile quid. ἐφευρίσκειν est superinvenire, vel postinvenire, scil. adinvenire nova post antiqua, nondum dicta dudum dictis adiicere. Reisk. ἐφευρημένα] ἐφευρημένος LO et Photius. 8 σὺν τῷ] σὺν τῇ E. Μὴ ἀδικῶ γε] ἆρα μὴ ἀδικῶ σε (γε codex Marcianus) Photius. 9 φιλόλογος LO. Vulgo φιλολόγος.

*ὅτι κάθημαι πρὸς τοῦ Δημοσθένους; κἀγώ, τὸν αὐτὸν ἄρ', ἔφην, ἐμοὶ βουκολεῖς, ὥστ' εἰ νικῴη μ', οὐκ ἐχθρὸς ὁ στεφανούμενος, ἀλλ' ᾧ σύ τε κἀγὼ συσπεύδομεν. ὡς δὲ ἐκέλευε τὰ βιβλία ἐν μέρει δεικνύναι καὶ τὸ πρᾶγμα πανταχῇ σπουδὴ ἦν, οὑτωσί τοι, ἔφην ἐγώ, σοὶ ταὐτὰ γιγνώσκω περὶ Δημοσθένους, καὶ ἡγοῦμαι ταὐτὸν ὅπερ σύ, μὴ ῥᾴδιον εἶναι τὸν ἄνδρα ἐκεῖνον παρελθεῖν. εἰ δ'* (527) *οὖν τις κἀμοὶ θεῶν ἐπιβοηθήσειε, πολλὰ δ' ἐν Ἀσκληπιοῦ τὰ παράδοξα, ὅτι οὐκ ἔδειξας, ἔφην, τὰ ἆθλα, ἵνα προθυμότερον ἀγωνιζοίμην. ἀποτυγχάνοντι μὲν γὰρ μανία καὶ μηδὲν ἐπαΐειν περὶ λόγων· ἐὰν δ' ἄρα, ἔφην, κρατῶ, τί μοι περιέσται; καὶ ὃς ἥσθη τε ἀκούσας, ὥσπερ ἐγὼ ἐκείνου ἀκούσας ἥσθην ὅτι τῷ Δημοσθένει συνεστήκοι, καὶ ἔδωκεν ἄδειαν δεῖξαι τὸν λόγον. καὶ ὅπως ἤδη διετέθη τὰ ἐπὶ τούτοις αὐτὸς ἂν εἰδείη, καὶ σὺ δὲ εἴ που συγγένοιο τῷ ἀνδρὶ καὶ μνησθείης. οὕτως ἐμοὶ κοινῶς μὲν εἰπεῖν τῶν παλαιῶν ἀνδρῶν, δι' ἀκριβείας δὲ τούτων ὑπὲρ πάν-*
17 *τας ἔρως δεινὸς καὶ φιλία θαυμαστή τις ἐντέτηκεν ἐκ παιδός. ὥστε καὶ σοὶ νῦν οὐ μόνον οὐ νεμεσῶ τῆς γνώμης ἣν ἔχεις, ἀλλὰ καὶ συγχαίρω, καὶ φιλῶν οὐκ ἀνήσω, ὅτι μὴ καὶ ὅσον οἷόν τε προσθήσω, νομίζων ἀκριβῶς ἑταῖρόν τε ἐμαυτοῦ καὶ στασιώτην εἶναι. οὐ γὰρ εἰς μελάνδετον*

---

*κάθημαι*] Sedeo iudex in hac caussa, studiosus Demosthenis, adeoque tibi, qui eius aemulus es, iniquior. Reisk. 10 *τὸν αὐτὸν ἄρ'* (*ἆρ'* L) — *ἐμοὶ βουκολεῖς*] Aristophanes Vespar. v. 10. *τὸν αὐτὸν ἄρ' ἐμοὶ βουκολεῖς Σαβάζιον.* *ὥστ'* EL. Vulgo *ὥστε.* *νικῴη*] *νικῴης* Scaliger. 11 *τε*] *γε* ΘO et Photius. *συσπεύδομεν*] *σπεύδομεν* E. *συσπένδομεν* Scaliger et Canterus. *μέρει*] *μέσῳ* O. 12 *πανταχῇ*] *πανταχοῦ* ΘO. *ταὐτὰ*] *ταῦτα* ΘL. *γιγνώσκω*] *γινώσκω* ΘL. 13 *σὺ*] *οὐ* LO. 14 *ἐπιβοηθήσειεν* Θ. *δ'* EO. Vulgo *δὲ*. Fort. *ὅτι δ' οὐκ ἔδειξα, ἔφην, ἰδοῦ τὰ ἆθλα.* quod autem adversariam meam nondum in lucem edidi orationem, eius rei vide caussas, ea praemia, quae me manent, proposita ad tanto lubentius subeundum certamen. nam si vincar a Demosthene, meaque spe et proposito excidam, hoc me manet, ut insanire videar, qui cum tanto heroe in certamen descendam, nihilque plane in genere dicendi valere. Reisk. *τὰ ἆθλα* L. Vulgo *τἆθλα.* 16 *δ'*] *δὲ* ΘL. *ἄρα* om. O. 17 *συνεστήκοι*] *συνειδτήκοι* L. 18 *τούτων*] Platonis et Demosthenis. Reisk.

317, 1 *ἐντέτηκεν*] *ἀντέστηκεν* L.



Digitized by Google

*σάκος ταυροσφαγοῦντες, ὡς Αἰσχύλος ἐποίησεν, ἀλλ' εἰς* (528 *τοὺς Πλάτωνος λόγους ἀφορῶντες, ὥσπερ τινὰς συναγωγέας καὶ κοινοὺς, εἰκότως ἂν πιστεύειν ἀλλήλοις ἔχοιμεν περὶ ἁπάντων. πάρεστι δέ σοι γνῶναι ὅτι καὶ ἡμῖν τι προσήκει Πλάτωνος, εἰ καὶ μὴ τοσοῦτον ὅσον τοῖς σοφοῖς, ἀλλ' ὅσον γε ἐπίστασθαι χαίρειν τῷ ἀνδρί. ἥ τε γὰρ ἡμῖν φωνὴ σὺν θεοῖς εἰπεῖν οὐχὶ κώλυμα τὸ μηδὲν ἂν τῶν ἐκείνου δέξασθαι δύνασθαι, οὐδέ τις ἡμᾶς ἀπελαύνει πρόσρησις εἰ καὶ μυστηρίων, καὶ τὸν βίον οὐ παντάπασιν ἀπᾴδειν φασὶ τῆς ἐκείνου γνώμης οἱ πεπειραμένοι. ἀλλ' εἴτ' ἐγὼ κατ' ἐκεῖνον ἔφην τότε εἴτ' ἐκεῖνος νῦν κατ' ἐμὲ, οὐκ ἄν μοι δοκεῖ μέσος ἐγγενέσθαι οὐδὲ παρελθεῖν παρὰ τῷ ἑτέρῳ τὸν ἕτερον εὐνοίας ἕνεκα καὶ τοῦ ταὐτὰ γιγνώσκειν περὶ τῶν ὅλων εἰπεῖν.*

*Φέρε δὴ πρὸς αὐτοῦ τοῦ φιλίου Διὸς, ἐπεὶ καὶ Πλάτων τό τε ἀληθὲς ἁπανταχοῦ τιμᾷ καὶ τὰς ἐν τοῖς λόγοις*

---

4 *Αἰσχύλος*] In Septem c. Thebas v. 43. *ἀλλ'*] *ἀλλὰ* ΘL. 5 *συναγωγέας* ELO Iebb. *συναγωγίας* Iunt. *ἔχοιμεν* ΘELO. Vulgo *ἔχομεν*. 6 *πάρεστι*] *περίεστι* L. *τι προσήκει*] *προσήκει τι* ELO. 8 *δέξασθαι*] capere, intelligere. Reisk. 9 *πρόσρησις* ΘLO. Vulgo *πρόρρησις*. *εἰ καὶ*] *ἑκὰς* Canterus. Pro *εἰ* cogitavi aliquando *οἱονεὶ* vel *ὡσπερεί*. Sed recte habet vulgata. quamquam Platonis scripta tanti sunt facienda et tam religiose reverenterque habenda atque mysteria, nulla tamen praefatio neque denuntiatio tanquam a templo profanos arcens me ab eo absterret. Reisk. 10 *εἴτ' ἐγὼ*] *εἴτε ἐγὼ* L. *εἴ γε ἐγὼ* O. *κατ' ἐκεῖνον* ΘL, Canterus. Legebatur *κατ' ἐκείνου*. *κατ' ἐκεῖνον*: quod etiam Canterus expressit. sive ego tum ex eius (Platonis) sententia locutus sum. illud *tum τότε* respicit ad omissum subaudiendum. quum ego laudarem aliquo in conventu rhetoricam, eamque negarem a Platone reprehensam esse. quam voculam barbatus aliquis philosophaster Platonicus, sed ille Platonis nihil praeter barbam imitans, exceptam reprehendit. Reisk.

*ἔφην*] *ἔφυν* ΘLO. *εἴτ'*] *εἴτε* ΘEL. 11 *νῦν*] postquam scriptis et editis superioribus disputationibus antiplatonicis demonstratum dedi, Platonem, quum videatur mecum dissentire, tum eundem optime consentire. Reisk. *δοκεῖ*] *δοκῇ* Θ. *μέσος ἐγγενέσθαι*] Fateor me haec verba non intelligere, nisi *μέσος* est quem amore quodam mediocri, non summo ardore studii et benevolentia prosequaris. Reisk. *ἐγγενέσθαι*] *γενέσθαι* L. 12 *τῷ ἑτέρῳ*] *τῶν ἑτέρων* O. *ταὐτὰ γιγνώσκειν*] *ταῦτα γινώσκειν* L. 13 *τό τε* Reiskius. Vulgo *τό γε*.

Digitized by Google

συνουσίας ἀφορμὴν φιλίας ἀληθινῆς ὑπολαμβάνει, σαφέστερον κατίδωμεν τί ποτε ἦν ὅ σοι προσέστη τῶν λόγων, οὓς δὴ πρὸς αὐτὸν ἡμῖν φασί τινες πεποιῆσθαι. ἐγὼ μὲν γὰρ αὐτὸν ἐπειρώμην πανταχοῦ σύμψηφον ὄντα ἐμαυτῷ δεικνύναι. εἴτε γάρ τι ἡμῖν λελήρηται, οὐδὲν δεῖ τῆς (529
Στησιχόρου παλινῳδίας, ἀλλὰ σπογγιὰ ἰάσεται, εἴτε τι καὶ κρεῖττον ἐν τοῖς λόγοις ἔνεστιν ἢ ὡς τοῦτο τὸ ἆθλον πρέπειν αὐτοῖς. σὺ δὲ ἐπαίνει μέν, εἴ σοι μὴ δοκεῖ, μηδὲν μᾶλλον, συγγίγνωσκε δὲ ὅμως, εἰ μὴ καὶ τιμῆς ἀξιοῖς,
318 ἀλλὰ τούτου γε ἂν ἀξιοῖς. ἔφησθα, ὡς ἐγὼ πυνθάνομαι, δυσχεραίνειν ὅτι ἦν ἐν τοῖς λόγοις μνήμη τῆς εἰς Σικελίαν ἀποδημίας αὐτοῦ, καὶ ὅτι τοῦ βίου δὴ καθάπτεσθαι τοῦ Πλάτωνος ἐν τούτοις ἐδοκοῦμεν· ἐχρῆν δὲ ἄρα τοῦτο μὲν χωρίς που εἶναι, τὸν λόγον δὲ ἐλέγχειν, καὶ ταῦτά γε οὐκ ἐραστοῦ μόνον τὰ ἐγκλήματα, ἀλλὰ καὶ σωφρονοῦντος περὶ λόγους. ἀλλ᾽ ὅρα δὴ μὴ ἀναίτιόν με αἰτιᾷ. ἐγὼ γὰρ οὐκ ἔλεγον δή που Πλάτωνα κακῶς, ὥσπερ ἐν δικαστηρίῳ τινὶ κρίνων, οὐδ᾽ ᾐτιώμην τὰς ἀποδημίας, ἵνα χείρων νομίζοιτο, ἀλλὰ κἂν τούτοις μαρτυρεῖν ἔφασκον ἐμαυτῷ τε καὶ ῥητορικῇ. δῆλον γὰρ ὅτι εἰ μὲν μικροῦ τινος ἄξιον ἦν τὸ ἀδικεῖσθαι, ἢ τὸ δίκην λαμβάνειν ἀδικηθέντα, οὐδ᾽ ἂν ἐκεῖνον ἐπῆρεν οὐδεὶς πέλαγός τε τοσοῦτον πλεῖν καὶ παρ᾽ ἄνδρα τύραννον ὑπὲρ τῶν Δίωνος πραγμάτων, οὐδέ (530
γε ἐκεῖθεν ἀναστρέψαντο συμπράττειν ἅπαντα Δίωνι, κα-

---

14 ὑπολαμβάνει] ὑπολαμβάνειν L. 16 μὲν om. LO. ἐμαυτῷ LO Iebb. ἐμαυτὸν Iunt., quo retento Scaliger praecedens αὐτὸν in αὐτῷ mutabat. 17 σπογγιὰ LO, Photius, Scaliger, Reiskius. Vulgo σπογγιᾷ. 18 τοῦτο] Ut dicamur ineptivisse. Canter. 19 συγγίγνωσκε] Vulgo συγγίνωσκε. Fort. συγγίνωσκε δέ, ὅπως, εἰ καὶ μὴ τιμῆς ἀξιοῖς, ἀλλὰ τούτου γε (scil. τοῦ συγγινώσκειν) ἀξιοῖς. ignosce, quo, si non honore, saltim venia, digneris. tum incipit tractatio a verbo ἔφησθα, dixisti. nam superiora sunt praefationis loco. Reisk. μὴ καὶ] καὶ μὴ Photius.

318, 1 ἔφησθα] ἔφησθ᾽ L. 3 χωρίς] ἐγγύς L. 4 ἀλλ᾽ ὅρα δὴ μὴ] ὅρα δὲ μὴ Photii codex Marcianus. 6 οὐδ᾽ ex Photio Marciano dedi. Vulgo οὔτε. 7 ῥητορικῇ] τῇ ῥητορικῇ L. τινος ἄξιον] ἄξιον τινὸς E. 8 οὐδεὶς] Legebatur οὐδ᾽ (ὡς δ᾽ L) εἰς. οὐδ᾽ εἰς Canterus. 9 παρ᾽] παρὰ ΘL. ὑπὲρ] ὑπὸ O apud



Digitized by Google

τελθεῖν τε βουλομένῳ καὶ δίκην ὧν ἐπεπόνθει λαμβάνειν. νῦν δὲ ἔργῳ μαρτυρεῖν αὐτὸν ὅτι οὐ φαύλης φύσεως οὐδὲ τῆς τυχούσης εἴη δυνάμεως τὸ τοῖς ἀδικεῖν ἐπιχειροῦσι μὴ ἐπιτρέπειν. καὶ ταῦθ᾽ ὅτι ἀληθῆ εἰσὶ μὲν οἱ τῶν λόγων δήπουθεν ἀκούσαντες, εἰσὶ δὲ οἱ λόγοι. καὶ τὰ μὲν ἄλλα ἐῶ μεθ᾽ ὅσης αἰδοῦς καὶ πραότητος περὶ αὐτῶν τούτων διειλέγμεθα, τοσοῦτον δεινότητος εἰσφερόμενοι ὅσον μήτε ἐκεῖνον διέβαλλε κἀμοὶ κρείττω καθίστη τὸν λόγον, ἀλλ᾽ εἰσεποιήσαμεν ὥσπερ παράβασιν χωρίον ἐξαίρετον αὐτῷ. οὗ σὺ εἰ μὲν ἤκουσας, ἀναμνήσθητι, εἰ δὲ μὴ ἤκουσας, μὴ προκαταγίγνωσκε. φέρε οὖν σοι ὥσπερ οἱ ἐν τοῖς δικαστηρίοις ἀγωνιζόμενοι αὐτὰ ἐκ τοῦ βιβλίου παράσχωμαι. Ἐκ τοῦ βιβλίου. „Μικρὸν δέ τι βούλομαι διαλαβεῖν, μή τις ὅλως οἰηθῇ με τοῖς λόγοις τούτοις κατηγορεῖν Πλάτωνος, ἢ λέγειν κακῶς μετὰ ἀφορμῆς. ἐγὼ γὰρ οὔτε αὐτὸς ἔγκλημα δή που ποιοῦμαι εἴ που καὶ ὁπωσοῦν ᾠήθη
δεῖν Πλάτων ἀποδημῆσαι οὔτ᾽ εἰ ἄλλος τις προφέρει νοῦν (531)
ἔχειν ἡγοῦμαι, οὔθ᾽ ὅλως ἔξω τῶν εἰς τὸν λόγον ἡκόντων οὐδὲν περιεργάζομαι, [ὥστε εἰ δεῖ καὶ τοῦτο εἰπεῖν
319 καὶ ἐν αὐτοῖς τούτοις] μή πω τοσούτου μηδὲν ἄξιον ἔστω νικητήριον, ἀλλ᾽ ἅ τε αὐτὸς ἔπραξε καὶ τίνων ἔπραξε χάριν καὶ ἃ αὐτὸς καθαρῶς εἴρηκε, ταῦτα συμβαίνειν φημὶ τοῖς ὑπὲρ τῆς ῥητορικῆς λόγοις· καὶ τοσούτῳ δέω κακίζειν ἐκεῖνον τούτοις, ὥστε εἰ δεῖ καὶ τοῦτο εἰπεῖν, καὶ ἐν αὐτοῖς τούτοις σεμνύνειν αὐτὸν ἡγοῦμαι, εἰ τούτων ἐκείνοις ὑπεναντίως ἐχόντων μὴ τὰ ἔργα μηδὲ τὰς πράξεις

---

Iebbium. 12 οἱ τῶν] εἰ τῶν L. 14 τούτων] τοῦτο (των) Θ. τοσοῦτον ELO. Vulgo καὶ τοσοῦτον. διέβαλλε] διέβαλε L. 15 κρείττω] κρείττων L. 16 προκαταγίγνωσκε] Vulgo προκαταγίνωσκε. 17 Ἐκ τοῦ βιβλίου] ῥήματα add. ELO. Μικρὸν] Supra p. 70, 2. 20 ᾠήθη ΘLO. Vulgo ᾤηθει. 21 οὔθ᾽ ὅλως] οὔτε ὅλως ΘELO. τὸν λόγον] τῶν λόγων (sic) L. Seclusi verba ὥστε — τούτοις, quae recte absunt p. 70. τοῦτο] τοῦτ᾽ L.

319, 1 μή πω] πω om. p. 70. τοσούτου ex p. 70. Legebatur τοσοῦτον. 2 καθαρῶς] ἂν καθαρῶς ΘLO. καθαρῶς ἂν E. 3 τοσούτῳ ΘLO. Vulgo τοσοῦτον. τούτοις LO et p. 70. Le-

*αὐτοῦ διαβάλλω, ἀλλ᾽ ἐκ τοῦ βίου καὶ τῶν ἔργων, ἃ μεθ᾽ ἡμῶν καὶ ὧν ἡμεῖς ἀξιοῦμεν εἶναι τίθημι, ταῦθ᾽ ἑτέρως ἔχοντα ἢ ὡς ἄν τις πιστεύσειεν ἀποφαίνω." δοκεῖ σοι ταῦτα κακίζοντος ἐκεῖνον εἶναι, ἢ τινος αὐθαδείας ἢ προπετείας μετασχεῖν; ἐγὼ μὲν οὐκ οἶμαι. ἀλλ᾽ εἰ δεῖ τι τούτοις ἔγκλημα ἐνεγκεῖν, μᾶλλον ἄν τις καλέσειε δικαίως εὐλάβειαν πλείω τῆς προσηκούσης. καίτοι ἐκεῖνός γε ὅπου καὶ μικρὸν ἐλέγχειν ἔχει τινὰ τῶν πρεσβυτέρων, ἢ καὶ τῶν καθ᾽ ἑαυτὸν ἐνδόξων ἀνδρῶν, οὐδὲν ὑφίεται. ἀλλὰ μή πω περὶ τούτων. ἀλλὰ τί χρῆν με ποιεῖν ὦ πρὸς Διός; πότερον* (582) *μὴ μνησθῆναι τὸ παράπαν τῆς εἰς Σικελίαν ἀποδημίας ὥσπερ τι τῶν ἀπορρήτων μέλλοντα ἐρεῖν; ἀλλ᾽ οὔτε ψήφισμα συνῄδειν ἀπαγορεῦον καὶ τῷ λόγῳ συνέφερε, καὶ ἅμα ἀληθὲς ἦν· καὶ γὰρ ἔπλευσεν οὐχ ἅπαξ καὶ ὑπὲρ τοῦ Δίωνι γενέσθαι τὰ δίκαια. ἔστω δὲ ταῦτα· ἐφαίνετο δὲ ἐν τοῖς λόγοις Γοργίου εἰρηκὼς οὐ πολλοῦ τινος ἄξιον τὸ μὴ ἀδικεῖσθαι. εἰ δὲ ταῦτα ἀσθενῆ καὶ τοῦ μηδενὸς ἄξια, ἐν μέσῳ μὲν δὴ πρόκειται, λυόντων δὲ οἱ σοφοί, εἰ βούλονται, καὶ κακῶς λέγοντες ἐμέ. πάντως συνηθέστερον κακῶς λέγειν ἢ εὖ. ἀλλὰ σύν τινι ἔθει πρᾳοτέρῳ καὶ σχήματι χρῆν μνησθῆναι περὶ αὐτῶν; οὐκοῦν ἤκουσας τῆς παραιτήσεως εἰ μὴ τότε, ἀλλὰ νῦν. ὅτι δὲ οὐ τὰς παρὰ σοῦ ταύτας αἰτίας δείσαντες ὕστερον εἰσεποιήσαμεν ταῦτα, ἀλλ᾽ ἀπ᾽ ἀρχῆς ἐνῆν, κάλει τούτων μάρτυρας, εἰ βούλει, τοὺς ἀκούοντας. ἀλλὰ νὴ Δί᾽ ἀνιαρὸν τοῦτο τοῖς Πλάτωνος ἑταίροις. ἕτερος λόγος οὗτος, οὐ πρὸς ἐμέ, ἀλλὰ πρὸς ὁντιναδήποτε. ἢ καὶ τοῦτο ἀδικῶ ὅτι τὰ ἐκ τῶν Νόμων*

---

gebatur *ἐν τούτοις.* 5 *διαβάλλω*] Libri *διαβάλλων.* Correctum ex p. 70. 6 *ἑτέρως* LO et p. 70. Legebatur *ὡς ἑτέρως.* *ἢ ὡς*] *οἷος Θ.* 8 *ἀλλ᾽*] *ἀλλὰ* L. *ἐνεγκεῖν*] *ἐπενεγκεῖν* E. *καλέσειε*] *καλέσειεν Θ. καλέσειν* O. *δικαίως* om. O. 9 *πρεσβυτέρων* Reiskius. Vulgo *πρεσβυτάτων.* 10 *ὑφίεται*] *ὑφίσταται* LO. *χρῆν με* LO. Vulgo *χρὴ με. με χρῆν* Photius: *μ᾽ ἐχρῆν* codex Marcianus. 11 *εἰς* L. Vulgo *ἐς.* 15 *λέγοντες*] *λεγόντων* E. 16 *χρῆν* Reiskius. Vulgo *χρή.* 17 *τότε*] *τότε γε* L. *οὐ*] *σὺ* O apud Iebbium. 18 *ἀλλ᾽*] *ἀλλὰ* LO. 19 *μάρτυρας*] *μαρτυρίας* L. *Δί᾽*] *δία* ΘELO. 20 *ἀδικῶ*] *ἀδικεῖς* E.

Digitized by Google

320 αὐτοῦ παρεγραψάμην; καὶ ὅπως γε, ἐπεὶ καὶ δυσχεραί- (533) νουσι, κἀκεῖνο ἐπιδείξουσιν ὡς οὐ τοῖς αὐτὸς αὑτοῦ περιπίπτει λόγοις, ἐπειδάν τι φάσκῃ. Ἐκ τῶν Νόμων „Τοῖς δ' εὐδαιμόνως ζῶσιν ὑπάρχειν ἀνάγκη πρῶτον τὸ μὴ ἀδικεῖν ἄλλους, μήτε αὐτοὺς ὑφ' ἑτέρων ἀδικεῖσθαι. τούτοιν δὲ τὸ μὲν οὐ πάνυ χαλεπὸν, τοῦ δὲ μὴ ἀδικεῖσθαι κτήσασθαι δύναμιν παγχάλεπον· καὶ οὐκ ἔστιν αὐτὸ τελέως ἔχειν ἄλλως ἢ τελέως γενόμενον ἀγαθόν.“ ἐπὶ τούτοις αὖ τοῖς ῥήμασι τί ἡμεῖς ἐφθεγξάμεθα ἐν τῷ βιβλίῳ; Ἐκ τοῦ βιβλίου „Ἰοῦ ἰοῦ τῆς μαρτυρίας. τούτων ἐδεόμην. ταῦτα λέγει Πλάτων, ὁ τοῦ ἐπιγράμματος μετέχων καὶ δι' ὃν τὸ Ἀρίστωνος γένος θεῖον ὡς ἀληθῶς. τελέως ἄρα, ὦ δαιμόνιε, ῥητορικὴ καλὸν καὶ οὐ πρὸς παντὸς οὔτε λαβεῖν οὔτε κτήσασθαι. φαίνει γὰρ καὶ σὺ τοῦτό γε συγχωρῶν, ὅτι ἐπὶ τῷ μὴ ἀδικεῖσθαι τέτακται. οὐκοῦν ὅτε ἀδικεῖν μὲν οὐ προσηνάγκαζεν, ἀδικεῖσθαι δὲ οὐκ ἐᾷ, ὡς δὲ ἐκ τοῦ λόγου συνέβαινεν, οὐδέτερον τούτων ἐᾷ, οὔτε ἀδικεῖν οὔτε ἀδικεῖσθαι, εἰ μὲν καὶ τῆς φιλοσοφίας ὁ αὐτός ἐστιν (534) ὅρος, φιλοσοφία τις οὖσα ἡ ῥητορικὴ φαίνεται, εἰ δὲ ἐξαρκεῖ τῇ φιλοσοφίᾳ μὴ ἀδικεῖν, ἡ ῥητορικὴ τελεώτερον· τὸ γὰρ χαλεπώτερον κτήσασθαι καὶ μεῖζον ἤδη προστίθησιν, ὅπως μηδ' αὐτὸς ὑπ' ἄλλων ἀδικήσεται. πῶς οὖν τὸ αὐτὸ ἅμα μὲν τελέως ἀγαθὸν καὶ μέγιστον τῶν ἀγαθῶν, ἅμα δ' ἔσχατον τῶν κακῶν καὶ κολακεία; ἢ πῶς ἐλάχιστον οἱ ῥήτορες δύνανται, εἴ γε οὗ παγχάλεπον κτήσασθαι δύναμιν, τοῦτ' αὐτοῖς περίεστιν; ἐγὼ μὲν οὐκ ἔχω συμβαλεῖν. εὐδαίμονες ἄρα, οὐκ ἄθλιοι, κατὰ τὸν

---

320, 1 ἐπεὶ καὶ] καὶ ἐπεὶ L. αὐτὸς] αὐτοῖς L. 2 Νόμων] Vide supra p. 73, 10. 3 ἑτέρων] ἑταίρων O. 4 οὐ πάνυ] οὐ om. ELO. κτήσασθαι δύναμιν] δύναμιν κτήσασθαι L apud Iebbium. 5 γενόμενον ex p. 73. et 320, 18. dedi. Vulgo γινόμενον. γιγνόμενον L. ῥήμασι ΘL. Vulgo ῥήμασιν. 6 Ἰοῦ ἰοῦ ex p. 73. Vulgo ἰοὺ ἰού. 7 τὸ Ἀρίστωνος] τοῦ ἀρίστωνος L. ἄρα] ἄρ' L. 8 ῥητορικὴ] ἡ ῥητορικὴ ΘELO. φαίνει] Vulgo φαίῃ. φαίνῃ ΘLO, Canterus et p. 73. 11 εἰ μὲν] εἰ μὲν οὖν ΘLO. ἡ ῥητορικὴ — ἀδικεῖν om. E. 13 ἀδικήσεται] ἀδικηθήσεται ΘL. 14 ἅμα δ'] ἅμα δὲ L. 15 οὗ ex p. 74. οὐ vulgo. οὗ καὶ Θ. καὶ ὃ L. οὐχ ὃ O. τοῦτ'] ταυτὸ LO. 16 ἐγὼ

*Πλάτωνος λόγον οἱ ῥήτορες, εἴ γε ὁ μὲν τελέως ἀγαθὸς εὐδαίμων, τοῦτο δὲ οὐκ ἔστι κτήσασθαι μὴ τελέως ἀγαθὸν γενόμενον.“ πότερον ταῦτα ὀρθῶς καὶ ἀναγκαίως ἔχει ἐνεγκεῖν εἰς μέσον, ἢ καὶ τοῦτο ἀδικοῦμεν καὶ περιεργαζόμεθα, εἰ μὴ προσκυνοῦμεν, ὥσπερεὶ κίστην ἀπόρρητα κρύπτουσαν; ἐγὼ δὲ οὐ τοῦτο ᾤμην εἶναι τὸ τἀπόρρητα*
321 *ἐκφέρειν. καὶ ὅπως αὖ μή με φήσεις πικρότερα τοῦ δέοντος λέγειν. οὐ γάρ ἔγωγέ τις τούτων αἴτιος, ἀλλ' ἔδει δέχεσθαι τὴν πρόκλησιν. αὕτη δὲ τίς ἦν; τολμᾶν ἀκροᾶσθαι,* (535)
*ὥσπερ ἐν δικαστηρίῳ ἴσους καὶ κοινοὺς ἀμφοῖν.*

*Ἀλλὰ γὰρ ὀρθῶς ἐγὼ περὶ τούτων, ὡς ἔοικε, προεωρώμην καὶ προὔλεγον ὡς εἰ μή τις ἅπαντος τοῦ λόγου διακούσεται, οὐ μόνον οὐ τιμήσει τὰ πρέποντα, ἀλλ' οὐδὲ εἴσεται τοῦ πράγματος οὐδέν. διὰ ταῦτα ἠξίουν ἀκροᾶσθαι διὰ τέλους ὅστις μέλλει τὸ ἀγώνισμα πᾶν ὄψεσθαι καὶ ψῆφον ὀρθὴν καὶ δικαίαν ἐποίσειν. οὐδὲ γάρ, ὦ ἄριστε ἀνδρῶν, οἱ δικασταὶ τοῦτον τὸν τρόπον κρίνουσι καὶ προοιμίου τινὸς ἢ διηγήσεως ἀκούσαντες ἀπαλλάττονται, οὐδὲ αὖ ταῦτα παρέντες πρὸς μέρος τι τῶν εἰκότων συνῆλθον, ἢ ὅσον μιᾶς τινος μαρτυρίας ἀκοῦσαι ἢ τῆς ἐπανόδου τῶν εἰρημένων, ἀλλ' ἀκούσαντες ἀπ' ἀρχῆς εἰς τέλος οὕτω τὴν ψῆφον φέρουσι· καὶ τοῦτο κἀκείνοις οἶμαι λυσιτελεῖ. πρὸς τῶν θεῶν τῶν ὁρκίων οὐδέ γε ὑμεῖς ὅταν ποιῆτε Ὀλύμπια, οὐχ οὕτως ἀγωνοθετεῖτε, τοῦ μὲν ἅπαντα ἀκούσαντες τῶν ἀγωνιστῶν, τοῦ δὲ ὅσον εἰσόδιον, ἢ τῶν μὲν ἐν μέσῳ τι, ἢ τῶν ἐν τέλει. πρὸς οὖν τί τοῦτο λέγω;* (536)

---

*μὲν*] *οὖν* add. O. 19 *ὡσπερεὶ* Photius et Canterus. *ὥσπερ εἰ* E. Legebatur *ὥσπερ οἱ.* *κίστην* ΘE et Canterus. *κίστιν* LO et Photius. Vulgo *κύστιν.* 20 *οὐ*] *οὐδὲ* LO. *τὸ τἀπόρρητα* Photius. *τὸ τὰ ἀπόρρητα* LO. Vulgo *τότ' ἀπόρρητα.* *ὅπως αὖ*] *πῶς οὖν* L.
321, 1 *φήσεις*] *φήσῃς* L. *τις*] Leg. *τι* aut *τινός.* Reisk.
5 *οὐδὲ εἴσεται*] *οὐδὲ οἴσεται* Θ. *οὐδὲ δεήσεται* E. *οὐ δεήσεται* O.
7 *κρίνουσι* O. Vulgo *κρίνουσιν.* 8 *αὖ* Reiskius. Vulgo *αὐτά.* *παρέντες* L, Canterus, Iebb. *παρόντες* Θ Iunt. *συνῆλθον*] γρ. *εἰσῆλθον* L. 9 *ἐπανόδου*] Est quod recapitulationem appellamus, seu argumenti brevem et per capita recensionem. Reisk. *ἀλλ'*] *ἀλλὰ* L. 11 *ὑμεῖς ὅταν*] *ἡμεῖς ὁπόταν* L. *ὑμεῖς*] Cuiusnam urbis incola erat Capito? Smyrnaene? Sane ibi Olympia quoque celebrabantur. Reisk. 12 *τι* Canterus. Vulgo *τινί.*

ὅτι μικρῷ τινι τοῦ λόγου μέρει προστυχὼν ἀπὸ τούτου τὸ πᾶν ἔκρινας, προοιμίου δὲ οὐκ ἤκουσας οὐδὲ τῆς ὅλης καταστάσεως, ἣν ἐξῆν μηδὲν ἐλάττονος ἀξίαν νομίσαι τοῦ παντὸς ἀγῶνος, ὡς περὶ μέρους εἰπεῖν. τὸ γὰρ ἦθος ὅλον ἐνταῦθα ἂν μᾶλλον. ἐν αὐτοῖς γὰρ ἔγνως ὡς ἐπαινέσοντες πλέον τὸν ἄνδρα ἢ καθαιρήσοντες εἰσῄειμεν. οὕτω πᾶσαν αἰδῶ καὶ τιμὴν ἀπεδώκαμεν αὐτῷ, ὥστε εἰ αὐτὸς πρὸς αὐτὸν ἔμελλεν ἀντερεῖν, οὐκ ἄν μοι δοκοίη μᾶλλον αὑτοῦ
322 φείσασθαι. οἶμαι δὲ εἰ καὶ υἱὸς ἐκείνου ἔμελλεν ἀντερεῖν αὐτῷ, οὐκ ἂν πλείω τὴν παραίτησιν ἐποιήσατο, οὐδ' ἂν περιφανέστερον ἐκόσμησεν εἰς τοὺς Ἕλληνας. σὺ δὲ τούτων ἀπολειφθεὶς ὅμοιος εἶ τῷ πρὶν ἀμφοῖν ἀκοῦσαι τὸν μῦθον δικάζοντι. καίτοι ἑτέρας γ' ἂν ἔχων συνέχειαν ἐπελάθετο καὶ αὐτὸς ἑαυτοῦ, μὴ ὅτι τοῦ ἀντιπάλου, καὶ τὸ προκείμενον δεικνὺς οὐδὲν ἂν πλέον ἐζήτει. ἐγὼ δὲ ὥσπερ δεδοικὼς μὴ φαυλότερος περὶ ταῦτα ἐκεῖνος νομισθῇ, τὸ ἐκείνου σπεύδων παρὰ πάντα τὸν λόγον διαγίγνομαι· καὶ τῆς ἀποδείξεως οὕτω συνεχοῦς καὶ πυκνῆς οὔσης, ἐξέστω γὰρ (537)
εἰπεῖν, τὸ σχῆμα τῶν λόγων τῶν πρὸς τὸν ἄνδρα οὐχ ἧττον ἀγαστόν ἐστιν, ὅτι οὐχ ἑτέρως μὲν τὴν κρηπῖδα ὑπέ-

---

13 ἀπὸ τούτου om. O. 14 προοιμίου ΘL. Vulgo προοίμιον. Post καταστάσεως videtur deesse ἐπήσθησαι vel simile quid. Reisk.

15 μηδὲν] μὴ δὲ O. ὡς περὶ] ὥσπερεὶ L. Vide scholia p. 734, 11. 16 ἦθος ὅλον ἐκ τούτων δείκνυται κἀνταῦθα ἂν μᾶλλον ἐπαινέσοντες E. ἂν delet Reiskius, recte, nisi aliquid excidit. Quae inter μᾶλλον et τὸν ἄνδρα leguntur omisit O. ἐν αὐτοῖς γὰρ ἔγνως ὡς addidi ex L. πλέον addidi ex L. εἰσῄειμεν] εἴσῄημεν O. 17 οὕτω] οὕτω γὰρ L. ἀπεδώκαμεν] ἀποδεδώκαμεν L. 18 ἀντερεῖν LO, Canterus, Iebb. ἀνταιρεῖν Iunt. 18 δοκοίη ΘE. Vulgo δοκεῖ. δοκεῖν LO et Photii codex Marcianus. αὑτοῦ] αὐτοῦ LO.

322, 1 ἀντερεῖν LO Iebb. ἀνταιρεῖν Iunt. 2 πρὶν] πρὸ LO. 3 ἔχων συνέχειαν] Dictio suspecta. sententia subiicit quid ille sibi velit, hoc nempe, alium aliquem oratorem persequendo suo argumento et orationis filo intentam sui oblivisci. sed vereor ut ἔχων συνέχειαν hoc significet. διώκων συνέχειαν aut ἐχόμενος τῆς συνεχείας, aut ἐλθὼν διὰ συνεχείας aptius esset. Reisk. 5 περὶ ταῦτα] παρὰ ταῦτα. propter hanc meam adversus eum disputationem. Reisk. διαγίγνομαι] Vulgo διαγίνομαι. 7 τῶν πρὸς] τὸ πρὸς O. ἐστιν, ὅτι Reiskius. Vulgo ἐστι καὶ ὅτι (ἔτι E). ὑπέθη-

Digitized by Google

θηκα, ἑτέρως δὲ τὸ λοιπὸν ἐπήγαγον, ἀλλ' ἀκολουθεῖ πανταχοῦ τῷ λόγῳ τὸ τοῦ ἀνδρὸς προορώμενον, καὶ δείκνυμεν ὅτι ἀντιλέγοντες τὰ ἀναγκαῖα κοσμοῦμεν ἐκ περιουσίας. καίτοι ἐβουλόμην ἂν ἐκεῖνον οὕτως ἀντειπεῖν μοι δεῦρο γενόμενον, ἀλλ' ἴσως ἧττον ἂν τοῦ τοιούτου ἐμέλησεν αὐτῷ.

Σκόπει τοίνυν καὶ τὰ ἐπὶ τῆς τελευτῆς τῶν λόγων ὡς ἀκόλουθα τῷ προοιμίῳ· τοῦτο μὲν περὶ τῶν τῷ ὄντι ῥητόρων διαλεγόμενοι, Πλάτων δ' ἡμῖν ποῦ χοροῦ, φαμέν, στήσεται; ἡμεῖς μὲν αὐτὸν ἐν τῷ καλλίστῳ τάττειν ἕτοιμοι τοιουτοισί τισι τοῖς ῥήμασιν, οὐ γάρ τό γ' ἀκριβέστερον μέμνημαι· ταῦτο δὲ ἑτέρων τινῶν ἀνθρωπίσκων μνησθέντες, πρὸς δὲ δὴ Πλάτωνα, τὸν τῶν ῥητόρων πατέρα τε καὶ διδάσκαλον, οὕτως οἶμαι τὸ ἐφεξῆς εἰρήκαμεν, καὶ τοσαῦτά γ' ἐστὶν οὐ τὸν βίον τὸν ἐκείνου καὶ τοὺς λόγους εἰς ὅσον οἷόν τε σεμνύναντος, καὶ ταυτὶ πάντα ὑπὲρ τῆς ἀληθείας ἀκριβολογοῦμαι καὶ διεξέρχομαι, φησὶ Δημοσθέ- (538)
νης, ἐπεὶ τό γε τοῦ Πινδάρου πολλοὶ ὑμνοῦσι

Χρὴ δὲ πᾶν ἔρδοντ' ἀμαυρῶσαι τὸν ἐχθρόν.

ἐχθρὸν δέ που λέγει τὸν ἀντίπαλον. καὶ σχεδὸν ἔν τε ταῖς σφαιρομαχίαις καὶ τοῖς γυμνικοῖς αὐτοῖς ἀγῶσι, προσθήσω δὲ καὶ ἱππικοῖς, οὕτως ὁρῶμεν οὐ τοῖς τῶν ἀντιπάλων βουλήμασιν ἀκολουθοῦντας τοὺς περὶ τῆς νίκης ἐρίζοντας,
323 ἀλλὰ τὰ αὑτοῖς συμφέροντα καὶ ποιοῦντας καὶ λέγοντας,

---

κα Reiskius. Vulgo ἐπέθηκα. 8 ἀλλ'] ἀλλὰ LO. τὸ τοῦ] τῷ τοῦ LO. 9 ἐβουλόμην ἂν ΘLO. Vulgo ἐβουλόμην γ' ἄν. 11 τοῦτο μὲν] γὰρ addit Reiskius. 12 μὲν αὐτὸν O. Vulgo μὲν γὰρ αὐτόν. 13 τοῖς om. E. οὐ γὰρ] οὐκ ἂν O. 15 οἶμαι τὸ LO. Vulgo οἶμαι καὶ (κατὰ Reiskius) τό. καὶ τοσαῦτά γ' ἐστὶν οὐ τὸν ΘELO. Vulgo καὶ ταῦτά γ' ἐστὶ τόν. 16 σεμνύνοντος] σεμνύνονται E. 17 διεξέρχομαι] διέρχομαι L. Δημοσθένης] P. 232, 5. Πινδάρου] Isthm. IV, 82. (III, 66. Boeckh.) 18 πᾶν] παρὰ πᾶν O. παρὰ in textu, πᾶν in margine habet L. ἔρδοντ'] Vulgo ἔρδοντα. δέ που] δή που E. 20 ἐρίζοντας] ἐριζοντας L.

ἕως ἂν μή τις περιφανῶς κωλύῃ νόμος. ὥστ᾽ εἰ τὰ μάλιστα μὴ πρὸς ἡδονήν τισιν ἦσαν οἱ λόγοι, ἔλεγχον δὲ εἶχον ἢ τῶν λόγων τῶν ἐκείνου ἢ τοῦ βίου· ἀρχαῖος ὁ νόμος χρῆσθαι τοῖς τοιούτοις, καὶ οὐκ ἐγὼ κατέδειξα αὐτὸν, ἀλλὰ παντάπασι παλαιός ἐστιν· ἢ δέδοικα αὖ λέγειν μὴ Πλάτων ὁ καταδείξας αὐτὸν ᾖ· κἀμοὶ μὲν ἀπολελόγηται μετρίως ὑπὲρ τῆς αἰτίας, ὡς ἐγὼ νομίζω· ὅτι δὲ ἐκεῖνός ἐστιν ὁ οὐ πάνυ φροντίζων εἴ του δέοι καθάπτεσθαι, μάλιστα μὲν εἰκὸς ἄμεινόν σε ταῦτα ἐπίστασθαί τε καὶ μεμνῆσθαι τούτοις σχολάζοντα, ἃ δ᾽ οὖν κἀγὼ μέμνημαι φέρε ἀναμνήσθητι. καὶ ὅπως αὖ μή με φήσεις Πλάτωνος κατηγορεῖν. οὐ γὰρ κατηγορίας ἕνεκα ἐκείνου, ἀλλ᾽ ἀπολο- (539)
γίας ἕνεκα παρ᾽ αὐτοῦ χρήσομαι τῷ παραδείγματι. ὅτι δὲ ἄκων εἰς τούτους ἐμπίπτω τοὺς λόγους σχεδὸν οἶσθα. οὐδὲ γὰρ ἐξ ἀρχῆς οὕτως ἐκείνους ἐποίουν τοὺς ὑπὲρ τῆς ῥητορικῆς ὡς ἀπολογίας μοι δεῆσαν. οὐχ ὁ μὲν Ἀλκιβιάδης αὐτῷ βούλεται παράκλησιν τοῖς μέλλουσι πολιτεύεσθαι ἐπιμελείας ἑαυτῶν; προελθὼν δὲ τοῦ λόγου κακίζει Περικλέα οὐ πάνυ τι οὐδὲ τοῦ πράγματος ἀναγκάζοντος. παρρησιάζομαι γὰρ πρὸς σὲ καὶ πρὸς αὐτὸν Πλάτωνα. σκέψαι δὲ ἐκ τῶν ῥημάτων. Ἐκ τοῦ βιβλίου. „Ἀμαθίᾳ γὰρ συνοικεῖς, ὦ βέλτιστε, τῇ ἐσχάτῃ, ὡς ὁ λόγος σου κατηγορεῖ καὶ σὺ σαυτοῦ. διὸ καὶ ᾄττεις ἄρα πρὸς τὰ πολιτικὰ πρὶν παιδευθῆναι. πέπονθας δὲ τοῦτο οὐ σὺ μόνος, ἀλλὰ καὶ οἱ πολλοὶ τῶν πραττόντων τὰ τῆσδε τῆς πόλεως,

---

323, 2 ὥστ᾽ E. Vulgo ὥστε. 7 τε om. O. μεμνῆσθαι addidi ex O. εἰδέναι eius loco habet L. Antequam inspicerem var. lect. coniiciebam ἐπίστασθαι, ἅτε καὶ τούτοις σχολάζοντα. Reisk. 8 φήσεις] φήσῃς LO. ἕνεκα] ἕνεκεν E. ἀλλ᾽] ἀλλὰ Θ. 9 παρ᾽ αὐτοῦ (αὑτοῦ L)] ὑπὲρ αὑτοῦ Reiskius. 10 οὕτως ΘLO. Vulgo οὕτω. 11 δεῆσαν O. δὲ ἦσαν L. Vulgo δεήσειν. δεῆσον Reiskius. Mira dictio παράκλησιν ἐπιμελείας ἑαυτῶν pro παράκλησιν πρὸς ἐπιμέλειαν ἑαυτῶν. Reisk. 12 Aut deest aliquid post οὐ πάνυ τι, e. c. ἐπειγόμενος, aut proximum οὐδὲ delendum est. Reisk. 14 Ἀμαθίᾳ] Ex Alcibiade priore p. 118 b. 15 σαυτοῦ] αὐτοῦ LO. πολιτικὰ] πολεμικὰ L. (ετικὰ) πρὶν] Vulgo καὶ πρίν. Vide p. 325, 13. 16 μόνος] μόνον L. οἱ πολλοὶ ΘLO. Ab-

Digitized by Google

πλὴν ὀλίγων καὶ ἴσως γε τοῦ σοῦ ἐπιτρόπου Περικλέους.“ ἔστω ταῦτα ἀναγκαῖα, εἰ βούλει, μέχρι τούτου „Πεπονθας δὲ τοῦτο οὐ σὺ μόνος, ἀλλὰ καὶ οἱ πολλοὶ τῶν πραττόντων τὰ τῆσδε τῆς πόλεως,“ τὸ δὲ λοιπὸν ὦ πρὸς θεῶν. τί βούλεται τῷ σοφῷ ἀνδρὶ „πλὴν ὀλίγων τε καὶ ἴσως τοῦ σοῦ ἐπιτρόπου Περικλέους;“ ἀλλ' ὅτι ἡ ἐκβολὴ (540) αὕτη ἐστὶν ἐξεπίτηδες ἐζητημένη ὑπὲρ τοῦ κακῶς εἰπεῖν Περικλέα αὐτὸς μαρτυρήσει. καὶ ὅπως μὴ πάλιν ἀχθεσθῇς
324 ὑπὲρ τοῦ αὐτοῦ. σκόπει γὰρ αὐτὰ ἃ λέγει. Ἐκ τοῦ Ἀλκιβιάδου „Λέγεταί γέ τοι, ὦ Σώκρατες, οὐκ ἀπὸ ταὐτομάτου σοφὸς γεγονέναι, ἀλλὰ πολλοῖς καὶ σοφοῖς συγγεγονέναι, καὶ Πυθοκλείδῃ καὶ Ἀναξαγόρᾳ· καὶ νῦν ὅτι τηλικοῦτος ὢν Δάμωνι σύνεστιν αὐτοῦ τούτου ἕνεκα. Τί οὖν; ἤδη τινὰ εἶδες σοφὸν ὀντιναοῦν ἀδυνατοῦντα ποιῆσαι ἄλλον σοφὸν ἅπερ αὐτός; ὥσπερ ὅς σε ἐδίδαξε γράμματα αὐτός τε ἦν σοφὸς καὶ σὲ ἐποίησε τῶν τε ἄλλων ὀντιναοῦν ἐβούλετο; ἦ γάρ; Ναί. Οὐκοῦν καὶ σὺ ὁ παρ' ἐκείνου μαθὼν ἄλλον οἷός τε ἔσει; Ναί. Καὶ ὁ κιθαριστὴς δὲ καὶ ὁ παιδοτρίβης ὡσαύτως. Πάνυ γε. Ἱκανὸν γὰρ δή που τοῦτο τεκμήριον τῶν ἐπισταμένων ὁτιοῦν ὅτι ἐπίστανται, ἐπειδὰν καὶ ἄλλον τινὰ οἷοί τε ὦσιν ἀποδεῖξαι ἐπιστάμενον. Ἔμοιγε δοκεῖ. Τί οὖν ἔχεις εἰπεῖν, Περικλῆς τίνα ἐποίησε σοφὸν ἀπὸ τῶν υἱέων ἀρξάμενος; Τί δὲ εἰ τὼ (541) Περικλέους υἱέε ἠλιθίω ἐγενέσθην, ὦ Σώκρατες; Ἀλλὰ Κλεινίαν τὸν σὸν ἀδελφόν. Τί δ' ἂν αὖ Κλεινίαν λέ-

---

erat οἱ. πλὴν ὀλίγων om. E. 18 οἱ πολλοὶ ΘLO. Aberat οἱ.

20 ἡ] ἢ L. αὕτη] ταύτη L. ἐζητημένη] ἐξητημένη LO apud Iebbium. 21 τοῦ αὐτοῦ LO. Aberat τοῦ.

324, 1 τοι] τὸι L: quo indicatur altera scriptura, ὅτι. οὐκ ἀπὸ] οὐχ ὑπὸ LO. ἀλλὰ πολλοῖς καὶ σοφοῖς] ἀλλὰ καὶ πολλοῖς σοφοῖς E. ἀλλὰ καὶ σοφοῖς πολλοῖς LO. 3 ὅτι] ἔτι Plato. 3 τούτου] τοῦ O. 4 ὀντιναοῦν] ὁτιοῦν Plato. ὅς σε ΘELO. Vulgo ὅς γε. 5 ὀντιναοῦν] ὀντινοῦν EL. ὅντινα Plato. 6 ἔσει] Vulgo ἔσῃ. Proximum Ναί ex Platone addidi. 10 ἠλιθίω E et Opor. Legebatur λίθω. γρ. ἠλιθίω margo Θ.

γοις, μαινόμενον ἄνθρωπον; Ἐπειδὴ τοίνυν Κλεινίας μὲν μαίνεται, τὼ δὲ Περικλέους υἱέε ἠλιθίω ἐγενέσθην, σοὶ τίνα αἰτίαν ἀναθῶμεν, διότι σε οὕτως ἔχοντα περιορᾷ; Ἐγώ, οἶμαι, αἴτιος, οὐ προσέχων τὸν νοῦν. Ἀλλὰ τῶν ἄλλων Ἀθηναίων δοῦλον ἢ ἐλεύθερον εἰπὲ ὅστις αἰτίαν ἔχει διὰ τὴν Περικλέους συνουσίαν σοφώτερος γεγονώς, ὥσπερ ἐγὼ ἔχω σοι διὰ τὴν Ζήνωνος Πυθόδωρον τὸν Ἰσολόχου καὶ Καλλίαν τὸν Καλλιάδου· ὧν ἑκάτερος Ζήνωνι ἑκατὸν μνᾶς τελέσας σοφός τε καὶ ἐλλόγιμος γέγονεν. Ἀλλὰ μὰ Δί' οὐκ ἔχω." πράγματά σοι παρέχειν ἔοικα· οὐ μέντοι πλείω ἢ ἐμαυτῷ καὶ τῷ ὑπογραφεῖ. περὶ γὰρ λύχνων ἀφὰς ταῦτα ἐζητεῖτο, καὶ ἔδει πρὶν εἰς εὐνὴν ἰέναι τέλος ἔχειν.

Οὐκοῦν ὃ λέγω σκόπει. ταῦτα εἰ μὲν ἀναγκαῖα τῷ λόγῳ, καὶ τὰ παρ' ἡμῶν εἰς ἐκεῖνον μετέχει τῆς ἀπολογίας, εἰ δὲ μὴ ἀναγκαῖα, ὅρα τὸ περιὸν τῆς εὐγνωμοσύ-
325 νης. ἐγὼ μὲν γὰρ ἐφαινόμην οὐδ' ἐν αὐτοῖς τοῖς ἀναγ- (542)
καίοις ἀποτόμως τῷ λόγῳ χρώμενος, ἀλλὰ πεφεισμένως καὶ σχηματιζόμενος τὰ πρέποντα, ὁ δ' ἀνδρὶ τῶν κατ' αὐτὸν ἐνδοξοτάτῳ οὕτω ῥᾳδίως ἀμαθίαν ἐγκέκληκε, καὶ ταῦτα ἀκούοντος μειρακίου ἐπιτηδείου καταφρονῆσαι καὶ ὁτουοῦν, καὶ ᾧ θεῖός τε καὶ ἐπίτροπος καὶ ἀντὶ τοῦ πατρὸς ἂν ἦν. ὥστ' ἐγὼ μὲν οὐδὲ ψέγω οὐδ' ἐξελέγξω, δέδοικα δὲ μή τις ἐμοῦ γοργότερον βλέπων φῇ συνῳδὰ ταῦτα εἶναι ταῖς αἰτίαις ἃς Σωκράτης εἶχεν, ὡς ἀναπείθων τοὺς νέους τῶν πρεσβυτέρων καταφρονεῖν. καὶ ἐὰν δὴ λέγω

---

11 λέγεις] λέγω L. λέγω O. (οις above) 12 ἠλιθίω E. Legebatur λίθω. 13 Ἐγὼ] μὲν, sed duobus punctis notatum, addit L. οὐ] μὴ E. om. O. 14 Ἀθηναίων] ἢ τῶν ξένων add. Plato. 15 γεγονὼς ΘΕΙΟ. Legebatur γεγονέναι: quod est in libris Platonicis. ἐγὼ om. E. ἔχω σοι] εἰπεῖν add. Plato. Ἰσολόχου] Ἰδολόχου E. 17 Δί'] δία ΘΕΟ. 18 ἐζητεῖτο] ἐξηγεῖτο L. 21 ὅρα L et Canterus. Vulgo ἄρα. γὰρ om. E.

325, 1 πεφεισμένως Iunt. πεφεισμένος LO Iebb. 2 τῶν] τῷ LO. ἐνδοξοτάτων E. 3 μειρακίου ΘLO. Vulgo μειρακείου. καταφρονῆσαι καὶ] καὶ καταφρονῆσαι καὶ O. 4 ἂν ἦν] ἀνῆν O. ἂν malim abesse. ὥστ'] ὥστα L. 5 ἐμοῦ ΘLO et Can-

ὅτι Περικλέα φασὶ καὶ τὰ ἴδια οὐδὲν ἀτιμότερον βιῶναι Σωκράτους σεμνότητος ἕνεκα κἀν ταῖς στρατείαις ταῖς κοιναῖς λυσιτελέστερον εἶναι Σωκράτους συμπαρόντα, ἐὰν ταῦτα λέγω, φήσεις με ῥητορεύειν. οὐκοῦν ταῦτα ἐῶ σὴν χάριν· ἀλλὰ τοσοῦτον δέομαι πυθέσθαι, ποῦ ταῦτα ἀναγκαῖον ἐγκαταμῖξαι τοῖς διαλόγοις; οὐ γὰρ ἄν μοι θαυμαστὸν εἴη εἰ μηδεὶς ἔχοι δεῖξαι. τεκμαίρομαι δ' ἐνὶ μικρῷ. εἰ γάρ τις ἅπαν τοῦτο ἐξέλοι, ἀρξάμενος ἀπὸ τοῦ „Πέ- (543)
πονθας δὲ σὺ σὺ μόνος τοῦτο, ἀλλὰ καὶ οἱ πολλοὶ τῶν πραττόντων τὰ τῆσδε τῆς πόλεως“ ἢ καὶ ἔτι ἀπ' ἐκείνου „Διὸ καὶ ἄττεις ἄρα πρὸς τὰ πολιτικὰ πρὶν παιδευθῆναι“ μέχρι τοῦ „Ἀλλὰ μὰ Δί' οὐκ ἔχω,“ εἰ τοῦτό τις ἐξέλοι, τί χείρων ὁ λόγος γίγνεται, ἢ τί ἧττον προτρέπει τὸν Ἀλκιβιάδην, ἐὰν οὕτω τὸ συνεχὲς ᾖ „Ἀμαθίᾳ γὰρ συνοικεῖς, ὦ βέλτιστε, τῇ ἐσχάτῃ, ὡς ὁ λόγος σοῦ κατηγορεῖ καὶ σὺ σαυτοῦ. εἶεν. τί οὖν διανοεῖ περὶ σεαυτοῦ; πότερον ἐᾶν ὡς νῦν ἔχεις, ἢ ἐπιμέλειάν τινα ποιεῖσθαι;“ τί χείρων ἐγίγνετο ὁ λόγος, εἰ ταῦτα οὑτωσί πως εἶχεν; ἐγὼ μὲν οὐχ ὁρῶ. εἰ γὰρ τῶν ἄλλων τισὶ τῶν πολλῶν ἐβούλετο ἐπιτιμῆσαι προτροπῆς ἕνεκα τοῦ μειρακίου, ἐξῆν ὅπερ εἴρηκα ποιῆσαι. διείλεκται γάρ που καὶ περὶ τούτων ἰδίᾳ, ὡς οὐ χρὴ πρὸς τὸν δεῖνα ὁρᾶν αὐτὸν, ἀλλὰ πρὸς τοὺς ἀληθινοὺς ἀνταγωνιστάς. οὐκοῦν δεινὸν, εἰ Πλάτων μὲν
326 κωμῳδεῖ Περικλέα μηδεμιᾶς ἀνάγκης οὔσης, ἡμῖν δὲ μηδὲ

---

terus. Vulgo ὁμοῦ. 7 βιῶναι] βιῶ καὶ O. στρατείαις ΘLO. Vulgo στρατίαις. 9 ἐῶ] ἐγὼ L. ἀναγκαῖον] ἀναγκαῖα E. Vulgo ἐγκαταμῖξαι. 10 τεκμαίρομαι δὲ Reiskius. Aberat δέ. 11 ἐν οὐ μακρῷ E. ἐξέλοι] ἐξέλθοι L. 12 οἱ πολλοὶ] Aberat οἱ. πραττόντων] παρόντων LO. ἔτι] ὅτι ΘLO. ὅττι E. Post ἔτι videtur ἀνωτέρω desiderari. Reisk. 13 πολιτικὰ] πολεμικὰ L. Conf. p. 323, 15. δί' L. Vulgo Δία. 14 ἐξέλοι] ἐξελοίη LO. γρ. ἐξελέγχοι Θ. τί om. LO. χείρων] χεῖρον O. γίγνεται] γίνεται ΘL. 15 ᾖ] ἦν LO. ὡς] Vulgo καί. 16 σαυτοῦ] σαυτῷ O. διανοεῖ] Vulgo διανοῇ. ἐᾶν ὡς νῦν ἔχεις ex Platone dedi. ἕως ἂν νοῦν ἔχῃς Θ Iunt. ἕως ἂν νῦν ἔχῃς L. ἕως ἂν νῦν ἔχεις Iebb. ipso invito. γρ. ἕως ἂν ὡς νῦν ἔχεις Θ. 17 τινα LO. Vulgo τινῶν. ἐγίγνετο] Vulgo ἐγίνετο. μὲν] μὲν οὖν LO. 18 ἐπιτιμῆσαι προτροπῆς] τιμῆσαι τροπῆς LO. ἕνεκα] Vulgo εἵνεκα. 19 εἴρηκα L.

τοσοῦτον εἰπεῖν ἄνευ μέμψεως ἔξεσται ὡς ἀπεδήμησε Πλάτων εἰς Σικελίαν. καίτοι τί τοῦτο αἰσχυνόμεθα οἱ φιλοῦντες ἐκεῖνον; Παρμενίδης τοίνυν ἔστιν αὐτῷ σύγγραμμα (544) θεῖον. τί οὖν πρὸς τὸ ἓν καὶ πολλὰ καὶ τὰς πολλὰς ταύτας στροφὰς τὸ γενέσθαι Ζήνωνα παιδικὰ Παρμενίδου; ποῦ τοῦτο ἀναγκαῖον ἦν προφέρειν ἀνδρὶ τηλικούτῳ; ἀλλ' ὅμως εἴρηκε κόσμου τινὸς ἕνεκα τῶν λόγων. ἀλλὰ νὴ Δία ὡς Ὅμηρον μύρῳ χρίσας ἐκπέμπει χελιδόνος τιμὴν καταθείς, οὕτως ἡμεῖς Πλάτωνα ἐκπέμπειν ἐκ τῶν πόλεων ἐκελεύομεν ἢ μετ' ἀδείας τοσαύτης κακῶς αὐτὸν εἰρήκαμεν; ἢ τούτους πάλιν αὖ τοὺς Γοργιείους λόγους παραιτούμεθα μὴ δυσχεραίνειν ἐὰν διαγράφωμεν, ὥσπερ ἐκεῖνος βούλεται τὸν Ὅμηρον διαγράφειν, ὡσπερεί τις ἑλλανοδίκης πρὸς ἐπῶν κρίσιν ᾑρημένος; ἀλλὰ τοὺς ἑταίρους τοῦ Πλάτωνος κωμῳδοῦμεν ὥσπερ ἐκεῖνος τοὺς Ὁμήρου, καὶ ταῦτα μέντοι πρὸς θεῶν τί τοῦ λόγου προσαναγκάζοντος αὐτόν; οὐ γὰρ ἔγωγε ἐπινοῶ. οὐκ ἂν οἱ φύλακες καθ' αὑτοὺς ᾤκουν, εἰ μὴ κακῶς Ὅμηρος ἤκουσεν; ἀλλὰ γυναῖκες κοιναὶ ταῦτα ἐπηνάγκαζον; ἀλλ' ἡ χιλιέτης πορεία χεῖρον ἂν εἴρητο αὐτῷ, εἰ μὴ Κρεόφυλος ἤκουσε κακῶς; ἀλλὰ τί (545) τοῦτο ἐβούλετο αὐτῷ κωμῳδεῖν Ὅμηρον διὰ κενῆς; καὶ μὴν οὐδὲ αὐτό γε τοῦτο παρῃτήσατο εἰς τοσοῦτον οὔτε ἀρχόμενος τῶν πρὸς αὐτὸν λόγων, ὥσπερ ἡμεῖς πολλὰ παρῃτησάμεθα, οὔτε ἐν τοῖς ὕστερον, ἀλλ' ἓν γὰρ τοῦτ' εἶπε βραχύ, ὡς οὐ πρό γε τῆς ἀληθείας τιμητέος ἀνήρ. ἢ

---

326, 2 τί om. LO. οἱ] καὶ οἱ LO. 3 οὖν om. O. 4 Ζήνωνα] P. 127 b. 5 εἴρηκε] εἴρηται E. κόσμου LO Iebb. κόσμον Iunt. ἕνεκα] Vulgo εἵνεκα. 6 χελιδόνος τιμὴν καταθείς] τιμὴν χελιδόνος καταχεὶς LO. 7 τῶν πόλεων] τῶν om. LO. μετ'] μετὰ E. 8 πάλιν αὖ] αὖ πάλιν LO. Γοργιείους Reiskius. Vulgo Γοργίους. γοργιείους Θ correctus: primum fuit γοργίου, quod praebet O. 9 ἐκεῖνος βούλεται τὸν Ὅμηρον Reiskius. Legebatur ἐκεῖνα βούλεται τῶν Ὁμήρου. Vide Platonem de republ. III. ὡσπερεί τις] Vulgo ὥσπερ εἴ τις. 10 ἑταίρους] ἑτέρους O. 11 προσαναγκάζοντος] προαναγκάζοντος LO. 13 ἀλλ' ἡ χιλιέτης πορεία (πορνεία O)] Vide Platonem de republ. X. inde ab p. 614 b. Κρεόφυλος] Vulgo Κρεώφυλος. 14 κωμῳδεῖν] τὸ κωμῳδεῖν Reiskius. 15 οὔτε] ὥστε O. 16 εἶπε] De republ. X. p. 595 c. 17 οὐ] οὔτε ΘLO. ἀνήρ] Vulgo ἁνήρ.

δὲ ἀλήθεια οὐκ ἐπηνάγκαζε Κρεόφυλον ἄγειν εἰς λόγον. ἢ Πλάτωνι μὲν καὶ ἀπὸ τῶν ὀνομάτων ἐξέσται διασύρειν οὓς βούλεται καὶ διὰ τούτων ἑτέρους πάλιν, ἡμῖν δὲ οὐδὲ ἀπὸ τῶν ἔργων τῶν ἐκείνου τοὺς ἐκείνου λόγους ἐλέγχειν ἐξέσται; καὶ τὸ μὲν δὴ περὶ τῶν ἐπῶν ἀφῶμεν αὐτῷ
327 καταστάσεώς γ' ἕνεκα τῆς πολιτείας διερευνᾶν, καίτοι κἀνταῦθά τις ἂν ἔχοι ὑπολαβεῖν αὐτῷ, τί δ' ἐστὶ τοιοῦτον; εἰ μὲν γὰρ ὅλως ἔμελλες χρήσεσθαι τῷ ποιητῇ, χρῆν ἐξαλείφειν ἅ γε μὴ προσίεσο· εἰ δὲ ἁπλῶς ἐκπέμπεις αὐτὸν καὶ οὐδέσιν οὐδὲ ὧν ἐπαινεῖς ἐᾷς ὁμιλεῖν τὴν σαυτοῦ πόλιν, πράγματα σαυτῷ παρέχεις, τὰ μὲν ἐξαίρων, τὰ δὲ ἐγκαταλείπων. δῶμεν οὖν, εἰ βούλεται, ἡδύσματος ἕνεκα (546) τῶν λόγων αὐτῷ καὶ διατριβῆς ταῦτ' εἰρῆσθαι. ἢ δεῖ τοῖς πεπολιτευμένοις ἅπασιν αὖθις ἐπ' αὐτὸν ἐπανόδου; ἆρ' οὐ φιλοτιμία λαμπρά; ἤδη γὰρ ἀποκαλύψας ἐγὼ λέγω. Ἐκ τῆς Πολιτείας „Ὦ φίλε Ὅμηρε, εἴπερ μὴ τρίτος ἀπὸ τῆς ἀληθείας εἶ ἀρετῆς πέρι εἰδώλου δημιουργὸς, ὃν δὴ μιμητὴν ὡρισάμεθα, ἀλλὰ καὶ δεύτερος, καὶ οἷός τε ἦσθα γιγνώσκειν ὁποῖα ἐπιτηδεύματα βελτίους ἀνθρώπους ἢ χείρους ποιεῖ ἰδίᾳ καὶ δημοσίᾳ, λέγε ἡμῖν, τίς τῶν πόλεων διὰ σὲ βέλτιον ᾤκησεν, ὥσπερ διὰ Λυκοῦργον Λακεδαιμόνιοι καὶ δι' ἄλλους πολλοὺς πολλαὶ μεγάλαι τε καὶ σμικραί; σὲ δὲ τίς αἰτιᾶται πόλις νομοθέτην γεγονέναι καὶ σφᾶς ὠφεληκέναι; Χαρώνδαν μὲν γὰρ Ἰταλία καὶ Σικε-

---

17 ἐπηνάγκαζε] ἀπηνάγκαζε L. Κρεόφυλον] Vulgo Κρεώφυλον. De Creophylo agitur apud Platonem p. 600 b. 18 ἐξέσται — ἐλέγχειν om. E. 20 ἐλέγχειν O. Legebatur ἐλέγξειν.

327, 1 γ'] τ' O. ἕνεκα] Vulgo εἵνεκα. 2 τοιοῦτον] τοιοῦτο LO. 3 χρῆν ἐξαλείφειν] Legebatur χρῆν ὅλως ἐξαλείφειν. „ὅλως aut delendum, aut cum πως *quodammodo* permutandum est." Reisk. 5 ἕνεκα] εἵνεκα L. αὐτῷ Reiskius. Vulgo αὐτοῦ. 6 ταῦτ'] ταύτης LO. δεῖ] E Latinis patet Canterum legisse ἔδει. Reisk. ἐπανόδου Reiskius. Vulgo ἐπάνοδον. 7 ἀποκαλύψας] Fort. ὑποκαλυψάμενος. Reisk. Πολιτείας] X. p. 599 d. 8 εἴπερ add. Steph. Iebb. om. ΘLO Iunt. εἶ] ἧς E. ὃν Plato. Vulgo ὧν. 9 δὴ] δεῖ L. γιγνώσκειν] Vulgo γινώσκειν. 12 αἰτιᾶται] αἰτιάσεται O. πόλις] πόλεσι E. νομοθέτην] νομοθέτης E. νομοθέτην ἀγαθὸν Plato. 13 μὲν γὰρ]

*λία καὶ ἡμεῖς Σόλωνα, σὲ δὲ τίς ἕξει τινὰ εἰπεῖν; Οὐκ οἶμαί γε, ἔφη ὁ Γλαύκων· οὔκουν λέγεταί γε οὐδ' ὑπ' αὐτῶν Ὁμηριδῶν. Ἀλλὰ δὴ πόλεμος ἐπὶ Ὁμήρου ὑπ' ἐκείνου ἄρχοντος ἢ συμβουλεύοντος εὖ πολεμηθεὶς μνημονεύεται; Οὐδείς. ἀλλ' οἷα δὴ εἰς τὰ ἔργα σοφοῦ ἀνδρὸς πολλαὶ ἐπίνοιαι καὶ εὐμήχανοι εἰς τέχνας, ἤ τινες ἄλλαι* (547)
*πράξεις λέγονται, ὥσπερ αὖ Θάλεω πέρι τοῦ Μιλησίου καὶ Ἀναχάρσιος τοῦ Σκύθου; Οὐδαμῶς τοιοῦτον οὐδέν. Ἀλλὰ δὴ εἰ μὴ δημοσίᾳ, ἰδίᾳ τισὶν ἡγεμὼν παιδείας ζῶν αὐτὸς λέγεται Ὅμηρος γενέσθαι, οἳ ἐκεῖνον ἠγάπων ἐπὶ συνουσίᾳ καὶ τοῖς ὑστέροις ὁδόν τινα παρέδοσαν βίου Ὁμηρικήν, ὥσπερ Πυθαγόρας αὐτός τε ὑπερβαλλόντως ἐπὶ τούτῳ ἠγαπήθη καὶ οἱ ὕστερον ἔτι νῦν τρόπον τὸν αὐτὸν*
328 *ἐπονομάζοντες τοῦ βίου διαφανεῖς πη δοκοῦσιν εἶναι ἐν τοῖς ἄλλοις; Οὐδ' αὖ, ἔφη, τοιοῦτον οὐδὲν λέγεται. ὁ γὰρ Κρεόφυλος, ὦ Σώκρατες, ἴσως, ὁ τοῦ Ὁμήρου ἑταῖρος, ἔτι πρὸς παιδιὰν φανείη, εἰ τὰ λεγόμενα περὶ Ὁμήρου ἀληθῆ. Λέγεται γὰρ οὖν, ἦν δ' ἐγώ. Ἀλλ' οἴει, ὦ Γλαύκων, εἰ τῷ ὄντι οἷός τε ἦν παιδεύειν ἀνθρώπους καὶ βελτίους ἀπεργάζεσθαι Ὅμηρος, ἅτε περὶ τούτων οὐ μιμεῖσθαι, ἀλλὰ γιγνώσκειν δυνάμενος, οὐκ ἄρ' ἂν πολλοὺς ἑταίρους ἐποιήσατο καὶ ἐτιμᾶτο καὶ ἠγαπᾶτο ὑπ' αὐτῶν; ἀλλὰ Πρωταγόρας μὲν ἄρα ὁ Ἀβδηρίτης καὶ Πρόδικος ὁ Κεῖος καὶ ἄλλοι πάμπολλοι δύνανται τοῖς ἐφ'* (548)
*αὐτῶν παριστάναι, ἰδίᾳ ξυγγιγνόμενοι, ὡς οὔτε πόλιν*

---

*γὰρ* om. O. *τίς ἕξει τινὰ*] *τίς ἕξει τίνα* Reiskius. 14 *Γλαύκων* ex Platone correxi. Legebatur *Λάκων*. *οὔκουν* L. Vulgo *οὐκοῦν*. *ὑπ' αὐτῶν*] *ὑπὸ τῶν* L. 15 *ὑπ'* ΘELO. Vulgo *ἐπ'*. 16 *εὐμήχανοι*] *ἐνμήχανοι* L. 17 *Θάλεω* O. Vulgo *Θαλέω*.

328, 1 *πη*] *ποῖ* Θ. *ποι* E. 2 *αὖ*] *ἂν* ΘLO. *Κρεόφυλος*] Vulgo *Κρεώφυλος*. 3 *ὁ τοῦ* ΘLO. Aberat *ὁ*. *ἔτι*] *τοῦ ὀνόματος ἂν γελοιότερος ἔτι* Plato. *παιδιὰν*] *παιδείαν* Plato. Post *ἀληθῆ* apud Platonem sequuntur *λέγεται γὰρ ὡς πολλή τις ἀμέλεια περὶ αὐτὸν ἦν ἐπ' αὐτοῦ ἐκείνου, ὅτε ἔζη.* Quae non ab Aristide omissa esse, sed librarii culpa excidisse videntur. 5 *γιγνώσκειν*] Vulgo *γινώσκειν*. 6 *ἄρ'*] Vulgo *ἆρ'*. *ἄρα* L. *ἆρα* O. 7 *Κεῖος*] Vulgo *Κῖος*. 8 *ἐφ' αὐτῶν*] Vulgo *ἐπ' αὐτῶν*. *ὑφ' αὑτῶν* ΘELO. *ξυγγιγνόμενοι*] Vulgo *συγγινόμενοι*. *ξυγγενόμενοι* L.

Digitized by Google

οὔτε οἰκίαν τὴν ἑαυτῶν διοικεῖν οἷοί τ' ἔσονται, ἐὰν μὴ σφεῖς αὐτῶν τῆς οἰκίας ἐπιστατήσωσι, καὶ ἐπὶ ταύτῃ τῇ σοφίᾳ οὕτω σφόδρα φιλοῦνται ὥστε μόνον οὐκ ἐπὶ τῆς κεφαλῆς περιφέρουσιν αὐτοὺς οἱ ἑταῖροι. Ὅμηρον δ' ἄρα οἱ ἐπ' ἐκείνου, εἴπερ οἷός τ' ἦν πρὸς ἀρετὴν ὀνίναι ἀνθρώπους, καὶ Ἡσίοδον ῥαψῳδεῖν ἂν περιιόντας ἂν εἴων, καὶ οὐ μᾶλλον ἂν αὐτῶν ἀντείχοντο ἢ τοῦ χρυσοῦ καὶ ἠνάγκαζον παρὰ σφίσιν οἴκοι εἶναι, ἢ εἰ μὴ ἔπειθον, αὐτοὶ ἂν ἐπαιδαγώγουν ὅπῃ ἦσαν, ἕως ἱκανῶς παιδείας μεταλάβοιεν; Παντάπασιν, ἔφη, δοκεῖς μοι, ὦ Σώκρατες, ἀληθῆ λέγειν. Οὐκοῦν τιθῶμεν ἀπὸ Ὁμήρου ἀρξαμένους πάντας τοὺς ποιητικοὺς μιμητὰς εἰδώλων ἀρετῆς εἶναι καὶ τῶν ἄλλων περὶ ὧν ποιοῦσιν ἀληθείας οὐχ ἅπτεσθαι;"

Ταῦτα, ὦ πρὸς τῶν θεῶν, τίνας τὰς ἀνάγκας ἢ τίνα τὴν εὐπρέπειαν ἔχει; τίς ἀνέξεται Χαρώνδαν πρὸ Ὁμήρου ταττόμενον καὶ Πρωταγόραν καὶ Πρόδικον καὶ ἄλλους παμπόλλους; ὁ δὲ αὐτὸς οὗτος Πρόδικος ἐν τοῖς αὐτοῦ (549
πολὺ κατάκειται μάλα γελοίως καὶ ὁ Πρωταγόρας εἰς τὸν Ἱππίαν παραβλέπει καὶ ὁ Ἱππίας ληρεῖ. τί ταῦτα συντελεῖ, φαίη τις ἄν, τοῖς θαυμαστοῖς αὐτοῦ δόγμασιν; ἀλλ'
329 ὅμως τούτους τοὺς ἑτέρωθι γελοίους ἐνταῦθα ἐν εὐφημίᾳ τέθειται, οὐχ ἵνα τούτους ἐπαινέσειεν, ἀλλ' ἵνα Ὁμήρῳ, ἀηδὲς μὲν εἰπεῖν, τὸ δὲ ἀληθὲς ἀποκρύψασθαι μὴ ἀνεχό-

---

9 διοικεῖν om. O. σφεῖς ex Platone dedi. Vulgo ὁ φῄς. αὐτῶν] ἑαυτῶν O. οἰκίας] παιδείας Plato. 10 μόνον οὐκ] οὐ μόνον O. οὐ μόνον οὐκ L. 11 ἐπ'] ἀπ' O. πρὸς ἀρετὴν om. E. ὀνίναι] ὀνῆσαι L. 12 ῥαψῳδεῖν ἂν] ἂν om. E. περιιόντας] περιόντας L. ἂν εἴων] ἂν om. Plato. ἢ τοῦ Plato. Aberat ἢ. 14 ἦσαν] ᾖεσαν Plato. 16 ποιοῦσιν ΘE. Vulgo ποιῶσιν. ἀληθείας] τῆς δὲ ἀληθείας Plato. 18 παμπόλους L. 19 πολὺ] Fort. που. Reisk. πολὺς Canterus. ὁ Πρωταγόρας] In Protagora sub init. Canter. 20 συντελεῖ addidi ex ΘELO. Reiskius συνᾴδει, aut συνεχῆ vel simile quid post φαίη τις ἂν deesse suspicabatur.

329, 2 μὴ ἀνεχόμενος add. L Iebb. om. Θ Iunt. μὴ ἀνεχόμενος



Digitized by Google

μενος, ἐπηρεάσειε, λέγω. τίς γάρ ἐστιν ὁ λέγων „Καὶ μὴν Τάνταλον εἰσεῖδον“ καὶ „Τὸν δὲ μέτ᾿ εἰσενόησα;“ οὐκοῦν ἐκείνους μὲν διὰ τῶν Ὁμήρου κωμῳδεῖ, Ὅμηρον δ᾿ αὖ δι᾿ ἐκείνων. παρενθήκη δὲ καὶ Ἡσίοδος αὐτῷ γέγονεν. ὥστ᾿ ἐγὼ θαυμάζω τίνας ἂν τὰς βλασφημίας εἰς αὐτοὺς ἐποιήσατο, εἰ τὴν πόλιν αὐτὴν διέβαλλον, ἢ τὴν πολιτείαν ἀφῃροῦντο, ὁπότ᾿ οὐδὲν ἔχων ἕτερον προφέρειν ἢ ὅτι πλείους ἴσως τοῦ δέοντος ἐπαινοῦσιν, αὐτὸς οὕτως ἀνομοίως αὐτοῖς προσενήνεκται. ἀτάρ, ὦ ἄριστε Καπίτων, ἐνεθυμήθην καὶ τοῦτο μεταξὺ τῶν λόγων ὅτι πάντα εἴδωλά ἐστι τῷ ἀνδρὶ, καὶ τοῦτο μὲν οἱ ποιηταὶ μιμηταὶ εἰδώλων ἀρετῆς, τοῦτο δὲ ἡ ῥητορικὴ πολιτικῆς μορίου εἴδωλον. „Εἰδώ- (550) λων δὲ πλέον πρόθυρον“ φαίη ἂν εἰς αὐτὸν Ὅμηρος. πότερον ταῦτα θρασύτερα καὶ προπετέστερα, ἢ τἀμὰ, ἐν οἷς φημι Πλάτωνα ἀποδημῆσαι ὑπὲρ αὐτῶν, καί φημι ταῦτα λέγειν οὐ τὴν ἀποδημίαν κακίζων, ἀλλὰ τῇ ἀποδημίᾳ τὸν λόγον πιστούμενος. καί, ἀλλ᾿ ἀπεστερήκαμεν αὐτὸν δόξης φιλοσοφίας, ὥσπερ ἐκεῖνος τοὺς μὲν τῆς τραγῳδίας ποιητὰς οὐδ᾿ ἐν λόγῳ τίθησιν, Ὅμηρον δὲ τραγῳδιοποιὸν προσείρηκεν, οὐ τοῦτον τούτῳ κοσμῶν, ἀλλὰ τούτους μὲν διὰ τούτων κολούων, τοῦτον δὲ ᾧ τιμᾷ καθαιρῶν. πλέον γὰρ οἶμαι τὴν τραγῳδίαν Ὁμήρῳ συνήδεσαν οἱ Ἕλληνες. ἀλλ᾿ Ἐπίχαρμος δῆτα δικαίως αὐτῷ κωμῳδίας ἄκρος, ᾧ ταῦτ᾿ ἄριστα φαίην ἂν ἔγωγε ἔχειν ὅσα τῆς φωνῆς τῆς Ἀττικῆς ἐστιν ἐγγυτάτω. οὐκοῦν δεινὸν, εἰ οὗτος μὲν καὶ

---

λέγω, ἐπηρεάσειε Reiskius. 3 λέγω] λέγων E. 3 Καὶ] Odyss. λ, 582. Τάνταλον] τάλαντον O. εἰσεῖδον] Vulgo ἐσεῖδον. Τὸν δὲ μέτ᾿ εἰσενόησα] Odyss. λ, 601. Vulgo τόνδε μετεισενόησα. διὰ τῶν] διὰ τῆς E. 6 αὐτὴν] αὐτοῦ Reiskius. διέβαλλον] διέβαλον L. διέλαβον O. ἢ Canterus. Vulgo εἰ. οὐδὲν] οὐδ᾿ LO. 8 ἀτὰρ] αὐτάρ L. 10 Εἰδώλων] Odyss. υ, 355. φαίη ἂν] φαίη τις ἂν L. 14 οὐδ᾿ E. Vulgo οὐδὲ. ἐν λόγῳ] ἐν ὀλίγῳ ΘELO et Photius p. 422 b, 33. τραγῳδιοποιὸν] τραγῳδοποιὸν ΘELO et Photius. προσείρηκεν] De republ. X. p. 595 c. 15 κολούων] κωλύων O. πλέον γὰρ, οἶμαί, τι τῆς τραγῳδίας Ὁμήρῳ συνῄδεισαν. Reisk. 16 συνῄδεσαν ΘLO. Vulgo συνείδεσαν. 17 ταῦτ᾿ L. Vulgo ταῦτα. ἂν] Aberat.

τραγῳδιοποιοὺς καὶ κωμῳδιοποιοὺς καὶ πόλιν καὶ πολιτείαν
καὶ νόμους αὐτῷ καθίστησιν, ἡμῖν δὲ μηδὲ λόγου τινὸς
ἐξέσται πρὸς αὐτὸν ἀμφισβητῆσαι, καὶ ταῦτα οὐ μύρῳ
330 ἐπαλείφουσιν αὐτὸν, ἀλλὰ λόγοις τοῖς εὐφημοτάτοις καὶ
ὧν οὐδ' ἂν αὐτὸς μείζους ἠξίωσεν ἀκούειν ὑπὲρ αὑτοῦ.
εἰ γὰρ ἓν μόνον εἴπομεν ἀρχόμενοι τῶν λόγων τῶν πρὸς (551)
αὐτὸν, καλῶ δὲ ἐπὶ τῷ τολμήματι καὶ Ἑρμῆν λόγιον καὶ
Ἀπόλλω μουσηγέτην καὶ Μούσας ἁπάσας, εἰ τοῦτο μόνον
τὸ πάσας ἐπεθήκαμεν, τίς εἰς τοσοῦτον ἂν ἠρκὼς ἦν
Πλάτωνα; μὴ γάρ τοι νομίσῃς ῥῆμα ἄλλως ἐφόλκιον εἶναι
τοῦτο, ὥσπερ Ὁμήρῳ ἐστὶ „Μοῦσαι δ' ἐννέα πᾶσαι,“
ἀλλ' εἰ περὶ τῶν ἑαυτοῦ λέγειν ἔξεστιν, ἀμήχανον ὅσον
ἐστὶ τὸ τῆς προσθήκης. νὴ Δί', εἴποι τις ἄν. ἀλλ' ἐν
τούτοις μόνοις ἡμῶν πλείω περιεργάζεται, τὰ δ' ἄλλα με-
στὸς εὐλαβείας ἀνήρ; οὐκ Ἀριστοφάνει μὲν λύγγα προσά-
πτει, οὐδὲν πρὸς λόγον, μᾶλλον δὲ καὶ παντελῶς πρᾶγμα
ἄχαρι καὶ ἀπᾶδον τῶν περὶ ἔρωτος λόγων, τοσοῦτον δὲ
ἀπέχει τοῦ τἀναγκαῖα ἢ τοῦ ἀληθῆ λέγειν ὥστε ὅλην δή
που τὴν συνουσίαν ἔψευσται καὶ τοὺς τεθνεῶτας ὡς ζῶν-
τας συμπλάττει. γνοίης δ' ἂν ἐξ αὐτῶν τῶν λεγομένων.
Μαντινεῖς μὲν γὰρ, ὧν ἐν τῷ λόγῳ μέμνηται λέγων ὡς
ἐπὶ Ἀρκάδων διῳκίσθησαν ἐπὶ τοῦ δεῖνος ἄρχοντος, Σω-
κράτης δὲ ἐτεθνήκει πρὸ τόσου καὶ τόσου, ὁ δὲ Ἀριστο- (552)
φάνης αὐτῷ λύζει τε καὶ λέγει ταῦτα πρὸς τοῦ Σωκράτους.
εἶτ' ἐκείνῳ μὲν ἔνια καὶ μηδαμῇ συμβαίνοντα ἔξεστι συμ-

---

18 τραγῳδοποιοὺς καὶ κωμῳδοποιοὺς ΘELO et Photius. πολιτείαν] πολιτίαν L. αὐτῷ] Vulgo αὐτῷ. ἑαυτῷ Photius.

330, 2 εἰ] εἰ μὲν O. ἓν] ἓν τοῦτο Reiskius. 3 Ἀπόλλω] ἀπόλλωνα E. 4 ἂν ἠρκὼς] ἀνηρηκὼς L. ἠρκὼς] ἠρηκὼς O. 5 ἄλλως LO. Vulgo ἄλλος. Ὁμήρῳ] Odyss. ω, 60. 8 ἀνήρ] Vulgo ἀνήρ. λύγγα προσάπτει] In Symposio. 10 ἀληθῆ] τἀληθῆ Reiskius. 11 ὡς ζῶντας] εἰς ζῶντας O.

ὧν] ὡς EO. ὧν L. Fort. ὡς ὑπὸ Λακεδαιμονίων διῳκίσθησαν. Vid. p. 287, 3. Reisk. ἐπὶ τοῦ δεῖνος ἄρχοντος] Imperante Dexitheo: Diodor. lib. XV. init. Canter. 13 Post ταῦτα figendum punctum. nam verba πρὸς Σωκράτους sunt obtestatio et adiuratio, *per Socratem te obtestor, mi Capito.* Reisk. 14 μὲν ἔνια καὶ μηδα-

28 *

λάττειν, κἂν ἔξω φανερῶς ᾖ τοῦ λόγου, ἡμῖν δὲ ἄρα ς μνησικακήσει, εἴ τι τῶν ὑπ' αὐτοῦ πραχθέντων ἠνέγκαιν εἰς μέσον;

; ELO. Vulgo μὲν καὶ τὰ μηδαμῆ. 15 φανερῶς] καὶ φανε-ῖς LO.

# XLVIII.

## ΑΙΓΥΠΤΙΟΣ.

331 Ἃ πρώην ἤρου με περὶ τοῦ Νείλου, ἐπειδή σοι διὰ βραχέων καὶ ἐπιπολῆς ἀπεκρινάμην καὶ ἅμα οἱ ἐπεισελθόντες ἀφείλοντο, ἐβουλήθην ἀναλαβὼν διελθεῖν σοι καὶ ὥσπερ ἄλλο τι χρέος ἀποδοῦναι πάντα τὸν λόγον· εἰρήσεται δὲ καὶ ταῦτα ὡς δυνατὸν ἐν βραχυτάτοις. ἐπειδὴ γὰρ καὶ μέχρι τῆς Αἰθιοπικῆς χώρας προελθὼν καὶ αὐτὴν διερευνησάμενος Αἴγυπτον τετράκις τὸ σύμπαν, καὶ παρεὶς οὐδὲν ἀνεξέταστον, οὐ πυραμίδας, οὐ λαβύρινθον, οὐχ ἱερὸν, (553) οὐχὶ διώρυχας, ἀλλ' ὧν μὲν ἐν ταῖς βίβλοις τὰ μέτρα ὑπῆρχεν ἐκεῖθεν πορισάμενος, ὧν δὲ μὴ ἐξ ἑτοίμου λαβεῖν ἦν ἐκμετρήσας αὐτὸς μετὰ τῶν παρ' ἑκάστοις ἱερέων καὶ προφητῶν, εἶτ' οὐκ ἠδυνήθην αὐτά σοι διασώσασθαι, τῶν ὑπομνημάτων διαφθαρέντων ἃ τοῖς παισὶ προσέταξα

331. *Γ* in initio adscriptum ab rec. m. habet *ἀνασκευὴ οὐδὲν ἔχουσα καινόν.* Quod soli Nilo noster cum veteribus tribuit, ut per aestatem crescat, id aliis quoque fluviis Africae et Indiae commune esse asseverat Abulfeda in Geographia. e. c. de fluvio Sáleph sic ait: e monte Wanscharisch exoritur fluvius Salaph, ingens fluvius, auctore Ibn Saido, crescens cum alii decrescunt, ad similitudinem Nili Aegyptiaci. Reisk. 3 *εἰρήσεται*] Haec sententia loco huic non convenit. neque enim dicit, neque poterat dicere, et caussam quare non possit statim addit, sibi commentarios suos periisse, quod verene an noto genere iactantiae dicat quis dixerit? conveniret melius *ἐμοὶ δὲ τοῦτο νῦν ἀδύνατον σοί τι χαρίζεσθαι καὶ τὸ τῆς ἐμῆς προθυμίας ἐκπληρῶσαι.* Reisk. 6 *οὐχὶ* *ΓΔΘ.* Vulgo *οὐ.* *βίβλοις* Steph. Iebb. *βύβλοις* *Γ* Iunt. 8 *εἶτ' οὐκ ἠδυνήθην*] *εἶτα οὐκ ἐδυνήθην* *Δ.* 9 *τοῖς παισὶ* *Γ.* Le-

ιεῖσθαι, τοῦτό γ' ἂν ἔχοιμι τὸ ἕν τι καὶ μικρὸν ἐρώ-
μα ἀπολῦσαι, τὸ πῶς ὁ Νεῖλος ἀνέρχεται καὶ τίς ἡ
όφασις τὸ τἀναντία αὐτὸν πεπονθέναι τοῖς ἄλλοις πο-
μοῖς περὶ τὰς ὥρας τοῦ ἔτους. μέμνησαι μὲν οὖν ὅτι
ὶ τότ' εὐθὺς ἀπεκρινάμην ὅτι κινδυνεύει περὶ Νείλου
ιφὲς οὐδεὶς οὐδὲν ἔχειν λέγειν, ἀλλὰ ληροῦσιν εἰκῆ, οἱ
ν πρὸς τὸ δοκοῦν αὑτοῖς ἰσχυριζόμενοι, οἱ δ' οὐδ' αὐ-
ὶ πάνυ τι πεπεισμένοι, προσποιούμενοι σχήματος ἕνεκα
ιῦ πρὸς τοὺς πολλούς, ὅπως τι δοκοῖεν περὶ τῶν ἀδή-
ων ἐπίστασθαι· δίειμι δέ σοι καὶ νῦν οὕτως οὐ τὴν αἰ-
αν ὑφ' ἧς τοῦτο συμβαίνει, ἀλλ' ὅτι οὐ διὰ ταῦτα ἃ
ιαστοι λέγουσιν.

Ἀνάγκη δ' ἐνίων μνησθῆναι καὶ ὧν Ἡρόδοτος ἀντι- (554)
ιγων ἐλέγχει, πρῶτον μὲν ὅτι οὐχ οἱ ἐτησίαι τὸ ῥεῦμα
νακόπτοντες ποιοῦσι τὴν ἐπίκλυσιν. εἰ γὰρ ἦν παρὰ τοῖς
ησίαις τὸ αἴτιον, εὔδηλον δή που τοῦθ' ὅτι μὴ πνευ-
άντων γε οὐκ ἂν ἐγίγνετο· ὃ πολλοῦ δεῖ συμβαίνειν
ὕτως. ἔτι δ' εἰ οἱ ἐτησίαι πρὸς μεσημβρίαν πνέοντες

---

ebatur τοῖς σοῖς παισί. „Videtur σοῖς aut delendum, aut cum ἐμοῖς
ermutandum; nisi si quis putet servos eius, ad quem hanc dispu-
ıtionem misit Aristides, ei totius itineris Aegyptiaci comites ad-
iisse." Reisk. 10 ἀπολῦσαι] Malim ἐπιλῦσαι. nam resolvere
el expedire quaestiones, eas absolvere et respondendo profligare
icitur ἐπιλύειν, non ἀπολύειν. Reisk. τὸ τἀναντία ΓΔ. Vulgo
ιῦ τἀναντία. 11 οὖν ὅτι ΓΔΘ Opor. et Reiskius. Aberat ὅτι.
καὶ τότ'] καὶ ταῦθ' Δ. καὶ ταῦτ' Θ. 12 ἔχειν] ἔχει Δ.
5 οὕτως addidi ex ΓΔΘ. 17 οἱ ἐτησίαι] Vide Herodotum
, 20. οἱ ἐτησίαι] Hanc causam incrementi Niliaci, quam
im excogitarunt quidam, pulchre depingit Lucanus, lib. 10. v. 239.
qq. praeterquam quod minus recte Etesias vocet Zephyros, et
› occidente flare faciat;

*— Zephyros quoque vana vetustas*
*His adscripsit aquis, quorum stata tempora flatus,*
*Continuique dies, et in aëre longa potestas:*
*Vel quod ab occiduo depellunt nubila coelo*
*Trans Noton, et fluvio cogunt incumbere nimbos:*
*Vel quod aquas toties rumpentis littora Nili*
*Assidue feriunt, coguntque resistere flatus:*
*Ille mora cursus, adversique obice ponti*
*Aestuat in campos.*

Digitized by Google

ἀνέστελλον τὸν τοῦ Νείλου ῥοῦν, χρῆν δή που καὶ τοὺς πρὸς ἄρκτον πνέοντας ἀνέμους τὸ αὐτὸ τοῦτο ποιεῖν περὶ τοὺς ἐπέκεινα ποταμούς, Τάναϊν λέγω καὶ Φᾶσιν καὶ ὅσοι τούτοις ἑξῆς εἰσι. πολλοὶ δὲ πολλάκις ἤδη καὶ νότοι καὶ οἱ παρ' αὐτοὺς ἀπὸ Λιβύης ἐκπνέοντες παρέτειναν, καὶ θέρους ὥρᾳ καὶ χειμῶνος, καὶ οὐδεὶς τούτων τῶν ποταμῶν τοῦτο ἔπαθεν, οὐκοῦν οὐ τῶν γε ἐπιφανῶν. εἰ γὰρ αὖ φήσουσιν, ὅτι ἡ συνέχεια τῶν ἐτησίων ἀπωθεῖ τὸν Νεῖλον, ὅτι μὲν καὶ οὓς εἶπον ἄνεμοι μυριάκις διήρκεσαν οὐκ εἰς ἔλαττον χρόνου παραλείπω, ἀλλ' ὅ γε Νεῖλος οὐ μεσούντων ἐτησίων οὐδ' ἡνίκ' ἂν ὦσι πρὸς τῷ λήγειν, τότε πληροῦται, ἵνα τῷ χρόνῳ δῶμεν τὴν ὑπερβολήν, ἀλλὰ καὶ ἀρχομένων καὶ πρὶν ἄρξασθαι πολλάκις. ὥστ' (555) οὐκ ἂν τὸ συνεχὲς τῶν πνευμάτων αἴτιον εἴη, ἃ πρὶν εἶναι κεκίνηται. ἀλλὰ μὴν οὐδ' οἱ ἐτησίαι κατὰ στόμα παντάπασιν ἐκφυσῶσι τοῦ Νείλου, ἀλλ' εἰς τὴν ὄχθην τὴν ἑῴαν· οἱ γοῦν πλείους αὐτῶν εἰσι δή που ζέφυροι. οὗτοι δ' ἀπὸ ἑσπέρας πρὸς ἥλιον ἀνίσχοντα ἀποτείνουσιν. οὔτ' οὖν διὰ τοὺς ἐτησίας ἀνακόπτεσθαι δυνατός, εἴ τε διὰ τούτους, τί δή ποτ' οὐ καὶ πάντες αὐτὸ πάσχουσιν ὅσοι τῷ Νείλῳ τὴν αὐτὴν ῥέουσι; πρὸς δὲ καὶ γέλως ἤδη γίγνεται τὸ τῶν ἐτησίων παντελῶς. εἰ γὰρ παραδεξόμεθα τοῦτον τὸν λόγον, κἀκεῖνο ἤδη χρὴ προσπιστεύειν, ὅτι ἀπηλιῶται μὲν πνέοντες τὸν Ἠριδανὸν ἱστᾶσι καὶ ὅσοι τῷ Ἰονίῳ κατὰ ταὐτὸ ὁμιλοῦσι· ζεφύρων δὲ πνεόντων ὁ Ῥῆνος εἴσω ῥεῖ καὶ οὐ διεξέρχεται πρὸς τὴν ἔξω θάλατταν· τῶν δὲ περὶ βορέαν οἱ πρὸς μεσημβρίαν πληθύνουσι, νότων δὲ οἱ πρὸς ἄρκτῳ κατὰ τὰ αὐτά· καὶ οὕτως οὐ

---

Confer etiam Lucret. lib. 6. et Iul. Solin. cap. 42. Iebb.

332, 1 εὔδηλον] εὖ Δ. 4 Φᾶσιν] Phasis non fertur ad austrum, sed ad boream. quare nomen eius hoc loco alienum videtur. Reisk. 7 ἐτησίων] Vulgo ἐτησιῶν. 9 ἐτησίων addidi ex Γ. 11 Post πνευμάτων aegre patior τούτων desiderari, quod non ad πνευμάτων, sed ad αἴτια redibit. Reisk. 12 εἶαι] εἶσιν Θ. 15 ῥέουσι] ῥέουσιν Δ. παραδεξόμεθα] παραδεξόμεθα (sic) Γ. κατὰ ταυτὸ ΓΔΘ. Vulgo κατ' αὐτό. κατ' αὐτὸν] Scil. τὸν Ἠριδανόν. in mare Adriaticum eodem modo excurrunt atque Padus. Reisk. ῥεῖ ΓΔΘ. Vulgo χωρεῖ. 18 πληθύνουσι] πληθύνουσιν Θ. 19 οἱ πρὸς ἄρκτον, scil. ῥέοντες, ut modo praeces

τὴν αἰτίαν ζητοῦμεν, τί δή ποτε ἐφ' ἑνὸς μόνου συμβαίνει, τοῦθ' ἅπασι προσθήσομεν ἐν κύκλῳ. καὶ πῶς οὐχ ὑπερφυὲς, μᾶλλον δ' ὅλως ἐπιλήσμον, ζητεῖν μὲν διὰ τί ὁ Νεῖλος ἐκ πάντων, πάντας δ' ἀποφαίνειν τὸ αὐτὸ (556) πάσχοντας ἐκ τῶν αὐτῶν; καὶ μὴν εἰ μὲν οὐδεὶς ἄλλος
333 τοῖς αὐτοῖς ἐνέχεται, ψευδὴς ὁ λόγος, εἰ δ' ἅπαντες, τί δεῖ λέγειν ὡς ὁ Νεῖλος μόνος; ἢ γὰρ οὐ χρὴ ζητεῖν, ἢ τὸ αἴτιον οὐ τοῦτο.

Ἀλλὰ μὴν κἀκεῖνό γε δῆλον ὅτι οὐδ' ἐν τοῖς φαυλοτάτοις τῶν ποταμῶν ἐστιν ὁ Νεῖλος, οὐδ' οὕτω παρὰ πάντας εὐμεταχείριστος ὥστε μόνου τούτου τὰ στόματα ὑπὸ τῶν πνευμάτων ἀνακόπτεσθαι καὶ μεταπίπτειν. ὁπότε γὰρ μηδὲ τὰ βραχύτατα ἀποκλείεται τό γε παντελὲς, ἀλλ' ἐκροὴν ἴσχει, πῶς τόν γε Νεῖλον, ὃς ἅπασαν Αἴγυπτον οἷός τ' ἐστὶν ἐπικλύζειν, ἡττώμενον τῶν ἀνέμων εἰκός ἐστι τοῦτο ποιεῖν; ὁρῶμεν δ' ὅτι οὐδ' αἱ τῆς θαλάττης ἠιόνες οὐδ' ὅσα τενάγη καὶ λίμναι, μὴ ὅτι τοσοῦτον ἐπέχεται ὑπ' ἀνέμων τῶν γε δὴ πολλῶν καὶ συνήθων, ἀλλ' οὐ πόρρω φῶ τῆς αὐτῶν ἐκβαίνει χώρας· ἀλλὰ κύματα μὲν προσκλύσαντα ἐπαναχωρεῖ, τενάγη δὲ ἀτρεμῆ μένει· καίτοι τά γ' ἐν τῷ ἰσοπέδῳ ῥᾴω κλιθῆναί ἐστιν ἢ τὰ πρὸς τὸ κάταντες ῥέοντα μεταστραφῆναι. οὐ μὴν οὐδὲ τοῦτ' ἔστιν εἰπεῖν, ὡς ἰσχυρότατοι τούτοις τοῖς τόποις οἱ ἐτησίαι προσβάλλουσιν· ἀλλ' εἴτε ζεφύρους εἴτε (557) βορέας εἴθ' οὕστινας αὐτοὺς εἶναι δοῦναι δεῖ, τοῖς ἐγγυτέρω δή που καὶ πρὸς αὐτῶν σφοδρότεροι καὶ βιαιότεροι προσπίπτουσιν· ὧν οὐδενὸς ταὐτὸ πάσχοντος πῶς εἰκός ἐστι μόνον τὸν Νεῖλον, ὃς πρὸς τῷ πλεῖστον τῆς ἐκδρομῆς τῶν ἐτησίων ἀπέχειν, τοσοῦτον καὶ τῷ ῥεύματι; ἔτι τοίνυν καὶ ὅλως ἀναιδές ἐστιν. οὐ γὰρ ὅτι ἀξιοῦσι τοὺς ἐτησίας αἰτίαν παρέχειν, διὰ τοῦθ' ὁ Νεῖλος οὐκ ἐξίησιν

---

sit οἱ πρὸς μεσημβρίαν. Reisk. 21 ἐκ πάντων] μόνος πλήθει addit Reiskius.

333, 5 τ'] τε Δ. 7 ἐπέχεται] ἀπέρχεται Δ. 9 ἀτρεμῆ ΓΔΘ et Reiskius. Vulgo ἀτρεμεῖ. γ'] γε Δ. ῥᾴω κλιθῆναι Γ Vulgo ῥᾷον κλιθῆναι. κλιθῆναι ῥᾷον Δ. 13 μόνον] πάσχειν addit Reiskius. 14 Post ῥεύματι deest ὑπερέχει vel simile. Reisk. 15 τοῦθ'] τοῦτο ΔΘ. ἐξίησι] Scil. τὸ ἑαυτοῦ ὕδωρ, vel

Digitized by Google

εἰς θάλατταν, ἀλλ' ἐπ' αὐτὰ τὰ στόματα ἐλθόντι πανταχοῦ φανεῖται ῥέων λαμπρὸς ἐν λαμπροῖς ἐτησίαις. οὐ λεκτέος ἦν ἔτι οὗτος ὁ λόγος τοῖς τι καὶ μικρὸν εἰδόσι περὶ Νείλου. ὥστε τῶν ἀτόπων τὰ ἐν ποσὶν οὐκ ἰδόντας περὶ τῶν ἔξω διαφέρεσθαι καὶ τὰ δῆλα τοῖς ἀδήλοις ὑπάγειν, ἀλλὰ μὴ τούτοις ἐκεῖνα πιστοῦσθαι, ἐάν περ ἐγχωρῇ. τὰ τοίνυν στόματα ἅπαντα, ἐάν τε φῶσιν ἐάν τε μὴ φῶσιν οἱ σοφισταί, ἔξεισι — καὶ τοῦτ' ὀφθαλμοῖς, οὐχὶ λόγῳ κρίνεται — καὶ οὐκ ἐπὶ βραχύ γε οὑτωσὶ οὐδ' ἐφ' ὅσον τὰ τῶν ἄλλων καὶ πολλῶν ποταμῶν, ἀλλ' εἰς ὅσον εἰκὸς τοῦ μεγίστου τῶν ποταμῶν ἐξικνεῖσθαι, καὶ (558)
ἐπὶ πολύ γ' αὖ πλέον τοῦ θέρους ἢ τοῦ χειμῶνος. ἔγωγ'
334 οὖν ἤκουσα τοῦτο δὴ τὸ τοῦ Δημοσθένους, ἀνδρὸς οὐδαμῶς οἵου τε ψεύδεσθαι, Δίωνος ἑταίρου ἡμετέρου καὶ πραγμάτων καὶ λόγων ἐμπείρου, ὃς ἔφη πλεῖν ἐπ' Αἰγύπτου θέρους ὥρᾳ, καὶ γῆν οὔπω φαίνεσθαι, ἀλλ' ἀπέχειν ὅσον μηδὲ τεκμήρασθαι, τοὺς δὲ ναύτας ἀρύσασθαι, εἴτ' οὖν ἐπεῖξαν εἴτε καὶ ἄλλως βουλομένους ἐπιδεῖξαι τοῖς ἐμπλέουσιν ὕδωρ καθαρὸν καὶ πότιμον ἐκ πολλοῦ κάτωθεν· ἐπὶ τοσοῦτον ἐπιρρεῖν τὸν Νεῖλον τῆς τε γῆς ἔξω καὶ αὐτῆς θαλάττης ἄνω. καίτοι εἰ τὰ στόματα ἵστατο ὑπὸ τῶν ἐτησίων αὐτοῦ, πῶς εἰκὸς ἦν τοὺς τοῖς ἐτησίαις μέσοις καταίροντας ἐν μέσῃ θαλάττῃ τὸ τοῦ Νείλου ὕδωρ λαμβάνειν; καὶ μὴν καὶ αἱ λίμναι γε, ὅταν ἀρκούντως ἡ γῆ βρεχθῇ, μεθίενται πάλιν εἰς τὴν θάλατταν ὑπὸ τῶν Αἰγυπτίων. πῶς οὖν ἂν ἐξέρρεον, εἴπερ ἐκώλυον οἱ ἐτη-

---

ἑαυτόν. v. versu 20. Reisk. εἰς θάλατταν ΓΔΘ. Vulgo εἰς τὴν θάλατταν. ἀλλ' ἐπ' Reiskius. Vulgo ἀλλ' ὅτι ἐπ'. 16 λαμπροῖς] λαμπραῖς Δ. ἐτησίαις] τοῖς ἐτησίαις Reiskius. 17 ἦν ΓΔΘ. Vulgo οὖν. ὥστε τῶν] Vulgo ὥστ' εἰ τῶν. „Leg. aut ἕν, unum aliquid absurdorum est, aut leg. ὥστε τῶν." Reisk. 18 ἰδόντας Γ. Vulgo εἰδότας. 19 ἐγχωρῇ ΓΘ. Vulgo ἐγχωρεῖ. 20 σοφισταὶ ΓΔ. Vulgo δικασταί. ἐπὶ βραχύ] Vulgo ἐπιβραχύ. ἐπιβραχεῖ Δ. 21 εἰκὸς ΓΔΘ. Vulgo ἐοικός.

334, 1 Δημοσθένους] Olynth. II. Canter. 5 Post κάτωθεν figendum punctum. infinitivus ἐπιρρεῖν pendet ab ἔφη versu 2. Reisk. αὐτῆς θαλάττης Δ. Vulgo τῆς αὐτῆς θαλάττης. τῆς θαλάττης αὐτῆς Reiskius. 6 ἐτησίαις ΓΔΘ. Vulgo ἐτησίοις.

σίαι; ὡς ἐκεῖνό γε ἀμήχανον, κατὰ μὲν στόμα καὶ ᾗ πέφυκε ῥεῖν ὁ ποταμὸς καὶ βιαιότατός ἐστιν αὐτὸς αὑτοῦ τοὺς ἀνέμους ἀνθισταμένους εἴργειν, οὗ δ' εἰς τὰς λίμνας (559) χυθεὶς ἡσυχάζει, μηδαμοῦ τὰ πνεύματα ἀποκωλύειν, ὅταν δεήσῃ τῆς ἐκροῆς.

Ἀλλὰ τοῦτον μὲν τὸν λόγον ὥσπερ ἐν ταῖς παραγραφαῖς * * καὶ ἀνίσχυρον ἐκκρούει τὸ παντὶ ὁρᾶν εἶναι ῥέοντα τὸν ποταμὸν καὶ ὃ λέγω πολὺ ἐρρωμενέστερον τοῦ θέρους ὡς ἂν ἐκ πλήθους ἢ τοῦ χειμῶνος. εἰ γὰρ ἐξεπίτηδες ἔδει τοὐναντίον τοῦ συμβαίνοντος εἰπεῖν, οὐκ ἦν ἄμεινον εὑρεῖν. ἕτερον δ' ἐξεταστέον ἄνδρα τε καὶ λόγον, ὅς φησι

Νείλου μὲν αἵδε καλλιπάρθενοι ῥοαί,
ὃς ἀντὶ δίας ψακάδος Αἰγύπτου πέδον
λευκῆς τακείσης χιόνος ἀρδεύει γύας.

πῶς οὖν, ὦ σοφώτατε Εὐριπίδη, λευκῆς τακείσης χιόνος ἀρδεύει Νεῖλος Αἰγύπτου γύας; τῆς ποῦ τακείσης; πότερον τῆς ἐν Σκυθίᾳ; καὶ τί τοῦτο πρὸς τὸν Νεῖλον; ἀλλὰ τῆς ἐν Αἰθιοπίᾳ, ἢ ἔτι προσωτέρω; ἀλλὰ τοῦτ' ἐκείνου γελοιότερον. ὁρμᾶται μὲν γὰρ ἐκ τῶν θερμοτάτων τῆς οἰκουμένης ὁ Νεῖλος δή που καὶ προϊὼν εἰς ἧττον ἀεὶ θερμὴν * * ὧν γοῦν ἴσμεν ὡς εἰπεῖν ἔτι θερμοτάτην Αἴγυπτον, ἐν δὴ ταύτῃ γνώριμος ἡμῖν ἤδη γίγνεται. πῶς οὖν δυνατὴ πίπτειν χιὼν ἐστιν ἐν τοιαύτῃ φύσει χώρας, ἄλλως τε καὶ τοσαύτη, ὅση τὸν Νεῖλον ἐγεῖραι; ὅπου γὰρ

11 οὗ δ' Scaliger et Canterus. Vulgo οὐδ'. 12 Post παραγραφαῖς videtur φαῦλον vel ψευδῆ vel simile deesse. Reisk. Indicavi lacunam. 13 τοῦ θέρους om. Γ. 14 ἢ τοῦ χειμῶνος] ἢ του χειμῶνος, aliqua procella. Reisk. 16 Νείλου] Euripidis Helenae initium. δίας] Vulgo ἰδίας. ψακάδος Δ. Vulgo ψεκάδος. πέδον] πέδων Canterus. 17 γύας. πῶς οὖν ὦ σοφώτατε εὐριπίδη λευκῆς τακείσης χιόνος ἀρδεύει addidi ex Γ. γύας Γ. Vulgo γυίας. γίας Δ.
20 Fort. προϊὼν εἰς ἧττον ἀεὶ θερμὴν, ἀφικόμενος εἰς πασῶν, ὡς εἰπεῖν, ὧν νῦν ἴσμεν ἔτι, θερμοτάτην. delatus in Aegyptum, quae terrarum omnium adhuc nobis cognitarum calidissima est, quamquam earum, quas Nilus perluit, est frigidissima. Reisk. Indicavi lacunam. ἧττον ἀεὶ θερμὴν] Vulgo ἧττον (sic) αἰεὶ θέρμην. δὴ] δὲ Θ. 21 ἤδη om. Δ.

335 οὐδ' οἰκεῖν ἔτι φασὶν εἶναι διὰ καῦμα, ποίαν εἰκὸς εἶναι (560) χιόνα, ὑφ' ἧς γίγνεσθαι ῥεῦμα τοσοῦτον; ὅμοιον γάρ ἐστι τοῦτό γε ὥσπερ ἂν εἴ τις τοὺς ἐν τῇ Αἴτνῃ κρατῆρας ἀπορροὴν εἶναι κρυστάλλου βιάζοιτο, ἢ εἴ τις τὴν μὲν χιόνα θερμαίνειν, τὸ δὲ πῦρ ψύχειν ἐπιχειροίη λέγειν. ὅταν γὰρ ἐν αὐτῇ τῇ χώρᾳ τῆς θέρμης τιθῇ τις εἶναι χιόνα, πῶς οὐ τοιοῦτον γίγνεται, ὥσπερ ἐξ Ὀδρυσῶν ἢ Βισαλτῶν τὸν Νεῖλον ὁρμώμενον, ἀλλ' οὐχ ὅθεν οὐδ' εἰπεῖν ἔχομεν πλήν γε δὴ ὅτι ἀεὶ ἀνὰ πλέον εἰς θερμότερα ἀφικνεῖ, ἕως οὐκ ἔστιν ἀντισχεῖν. καὶ ὡς ἔοικεν, Αἰγυπτίων μὲν οἱ μὴ ἀποδημήσαντες οὐδὲ εἶδον χιόνα, ἀλλ' οὐδ' ἑτέρου λέγοντος δύνανται μαθεῖν, — ἡμεῖς γοῦν ὥσπερ ἄλλο τι τῶν ἀτόπων ἀφηγούμενοι διδάσκειν οὐκ εἴχομεν, ἀλλ' ὥσπερ ὅσα ἑρμηνέως ἐδεῖτο ὅλως πρὸς τοὺς βαρβαρίζοντας αὐτῶν, οὕτω τοῦτο ἄγνωστον ἦν — οἱ δ' ἐπὶ τῇ τῆς μεσημβρίας ἀρχῇ χιόνος πλέον ἢ θέρμης ἔχουσι; καὶ τί γένοιτ' ἂν τούτου τραγικώτερον ψεῦσμα, ἄν τ' Εὐριπίδης ἄν τ' Αἰσχύλος αὐτὸ συνθῇ; αὐτῆς γοῦν Αἰ- (561)

335, 1 Quamvis probabilem et verisimilem hanc disputationem recentiorum temporum usus et sedulitas rerum naturas observandi, eam evertit, a qua didicimus in celsissimis calidissimarum regionum montibus glaciem reperiri. de caetero verum quodammodo est, quod noster negat, Nilum a liquata nive crescere. crescit quidem ab his undis, verum non a solis, sed a pluviis potissimum, quae per aestatem in Aethiopia confertae et continuae cadunt. Reisk. 5 ὅτι] ὅτι μὲν Γ. ἀεὶ] Vulgo αἰεί. 6 ἀφικνεῖ Γ. Vulgo ἀφικνῇ. 9 ἄγνωστον Reiskius. Vulgo γνωστόν. 10 ἀρχῇ] Non *initio*, sed *imperio*, *ditione*, *regione*. Reisk. 11 Αἰσχύλος] Alludit ad Aeschyli verba in Supplicibus v. 560. seqq. *Λειμῶνα χιονόβοσκον, ὅντ' ἐπέρχεται Τύφω μένος ὕδωρ τὸ Νείλου.* Anaxagoram autem huius esse sententiae auctorem scribit Aetius in lib. *περὶ φιλοσόφων ἱστορίας*, adnotante Stanleio. Hanc vero cum Aristide nostro ut falsam reiicit Lucanus lib. 10. v. 219. seq.

*Vana fides veterum, Nilo, quo crescat in arva,*
*Aethiopum prodesse nives; non Arctos in illis*
*Montibus aut Boreas: testis tibi sole perusti*
*Ipse color populi, calidique vaporibus Austri.*
*Adde, quod omne caput fluvii, quodcunque soluta*
*Praecipitat glacies, ingresso vere tumescit*
*Primo tabe nivis.*

Iebb. αὐτὸ Canterus. Vulgo αὐτός. αὐτῆς ΓΘ. Vulgo καὶ

γύπτου τὰ πρῶτα πρὸς τὰ τελευταῖα πλέον ὡς εἰπεῖν διαλλάττει ἢ ἄλλο ἔθνος πρὸς αὐτὴν Αἴγυπτον· τοσοῦτον τὰ ἄνω προφέρει καύματι. ἃ τοίνυν περὶ τὰς ἐσχατιὰς τῆς Αἰγύπτου τὰς πρὸς ἡμῶν καὶ τῆς θαλάττης τὸ πρὸς Αἰγύπτου οὔτε συμβαίνει οὔτε τις ἤκουσε πώποτε, πῶς ταῦτ' εἰκὸς ἐπ' ἀρχῇ τῆς μεσημβρίας εἶναί ποτε φῆσαι; κρύος καὶ πλῆθος χιόνος τοσοῦτον ὥστε τὸ ἐκείνης ὕδωρ πλέον ἢ τὸ κύριον εἶναι τοῦ ποταμοῦ· καὶ πνεύματα μεσημβρινὰ πνευμάτων πάντων σύνισμεν ὄντα θερμότατα, καὶ αὐτὸν τὸν ἥλιον μεσημβρίζοντα τὰ εἴσω φλέγοντα· ὃ δὲ τῶν ἐσχάτων ἐστὶ κρυμῶν καὶ χειμώνων καὶ τῆς παρ' ἡμῖν ὥρας, ἡνίκ' ἂν ᾖ χειμεριωτάτη, τοῦθ' οὕτως ἄφθονον εἶναι τοῖς ἐκεῖ τιθέντες οὐκ αἰσχυνούμεθα, ἐὰν μὲν αὐτοὶ λέγωμεν τὸν λόγον, ὡς ἀναιδῆ ψευδόμενοι, ἐὰν δ' ἑτέροις λέγουσι πιστεύωμεν, ὡς ῥᾳδίως ἐξαπατώμενοι; μικροῦ δ' ἔγωγε δέω λέγειν μόνον τοῦτο μηδ' ἐπείσακτον εἶναι τῇ χώρᾳ, καθάπερ φύσιν πολέμιον. καὶ μὴν ὅτι γε σπουδά-

336 ζεται τὴν θερινὴν ὥραν ἅπαντες σύνισμεν, ἀλλ' ὅμως πάντ' ἂν εὕροις ἐν τῇ μεγάλῃ πόλει τῇ Ἀλεξάνδρου πλὴν τούτου· καίτοι κράσπεδον Εὐριπίδου φωνῇ μάλιστ' ἄν τις αὐτὴν Αἰγύπτου προσείποι. εἶθ' ὃ μηδ' ἐπείσακτον αὐτοῖς ἐστι θέρους νόμῳ, τοῦτ' ἄγειν τὸν Νεῖλον θέρους ὥρᾳ τοσοῦτον πλήθει; πάντων γε ἥκιστά μοι δοκεῖν. καὶ πρὸς μὲν Εὐριπίδην τε καὶ Αἰσχύλον καὶ ταῦτα ἴσως οὐχ ἱκανά, ἀλλὰ πέρα τῶν ἱκανῶν, οὕτως γε σαφοῦς καὶ

---

αὐτῆς. 12 πλέον] Vulgo πλεῖον. 14 τὰς πρὸς ἡμῶν καὶ τῆς θαλάττης τὸ πρὸς αἰγύπτου addidi ex Γ. 16 πνεύματα ΓΔ. Vulgo πνεύματα μὲν. 17 μεσημβρίζοντα ΓΔΘ. Vulgo μεσημβριάζοντα. τὰ εἴσω] Interiora aedium. Reisk. 20 λέγωμεν] λέγομεν Δ. 22 θερινὴν] ἠρινὴν Δ.

336, 2 κράσπεδον] κράσπεδος Δ. Εὐριπίδου] In Theseo apud Stephanum Byzant. v. Εὐρώπη, σχεδὸν παρ' αὐτοῖς κρασπέδοις Εὐρωπίας. αὐτὴν Αἰγύπτου] αἰγύπτου αὐτὴν Δ. 3 ἄγειν potest defendi et ita, ut fecit Canterus, exponi. malim tamen ἀνάγειν, Nilum in altum extollere. v. p. 341, 6. Reisk. 4 δοκεῖν ΓΔΘ. Vulgo δοκεῖ. καὶ ταῦτα] καὶ transferendum et pone ἀλλὰ collocandum est. Reisk. οὐχ] Vulgo οὐκ. 5 οὕτως ΓΘ. Vulgo

Digitized by Google

πρὸ ποδῶν ὄντος τοῦ ἐλέγχου, καὶ δεικνύντος ὅλως τὸ ἀδύνατον, ὥσπερ ἐν τοῖς ἄνω τῆς ἐκροῆς.

Ἴωμεν δὲ ἐπὶ τὴν τῶν πολλῶν δόξαν ἤδη καὶ τοὺς χαρίεντας τοὺς πεποιηκότας αὐτήν· οἵ φασιν ὕειν περὶ τοὺς ἄνω τόπους, ὅταν ὦσιν ἐτησίαι, καὶ τὰ νέφη παρ' ἡμῶν ἐλαυνόμενα ἐκεῖ καταρρήγνυσθαι, ἐκ δὲ τῶν ὄμβρων τὸν Νεῖλον πληρούμενον εἰκότως μείζω τοῦ θέρους ἢ τοῦ χειμῶνος εἶναι. δεῖ τοίνυν σε μαθεῖν τὸ συμβαῖνον ἅπαν περὶ τὴν ἀνάβασιν. ὁ γὰρ Νεῖλος, ἡνίκ' ἂν αὐτῷ ὡραῖον ᾖ, κατέρχεται τὰ ὑψηλὰ, κατέρχεται δὲ οὐ φανερᾷ τῇ προσθήκῃ οὐδ' ὥστε ὀφθαλμῷ γνῶναι τὸ ὕδωρ ἐπιφερόμενον, ἀλλ' ἀρξάμενος ἀπὸ δακτύλων ὀλίγων ἐπιδίδωσι τοσοῦτον ὥστ' ἐν μησὶ μικροῦ τέτταρσι τοὺς τέτταρας ἢ (563) πεντεκαίδεκα τούτους πήχεις πληροῦν περὶ Μέμφιν, κἂν τούτῳ τὴν προσθήκην ἄδηλον ἀεὶ παρεχόμενος καὶ ἐνὶ τούτῳ σημαίνων, τῷ καταλαμβάνειν ἑξῆς τὴν γῆν. πρὸς δὴ τί τοῦτο λέγω; ὅτι φασὶν ὥσπερ τοὺς παρ' ἡμῖν ποταμοὺς ἐκ τῶν ὄμβρων τοῦ χειμῶνος αὔξεσθαι, οὕτω τὸν Νεῖλον τοῦ θέρους ἐκ τῶν ὄμβρων. εἰ τοίνυν τοῦτ' ἀληθὲς ἦν, πρῶτον μὲν κατιόντ' αὐτὸν ἐξαίφνης ἔδει φαί-

---

οὕτω. 6 Fort. ἐν τοῖς ἄνω τὰ περὶ τῆς ἐκροῆς. quaemadmodum erat illud in superioribus allatum argumentum de impedito Nili effluxu. Reisk. χαρίεντας Δ Iunt. χαριέντως Steph. Iebb.
7 ὕειν Steph. Iebb. ὕει Δ Iunt. 10 Fort. κατέρχεται εἰς τὰ ψιλὰ (scil. πεδία) vel κατέρχεται ἐκ τῶν ὑψηλῶν, aut ἀνέρχεται εἰς τὰ ὑψηλά. significans Catadupas. v. p. 340, 3. Reisk. 12 τέτταρσι ΔΘ. Vulgo τέσσαρσι. 16 τοὺς τέτταρας ἢ πέντε καὶ δέκα] Plin. Hist. Nat. lib. 5. cap. 9. *Auctus eius per puteos mensurae notis deprehenduntur. Iustum incrementum est cubitorum* XVI. *minores aquae non omnia rigant, ampliores detinent tardius recedendo: Hae serendi tempora absumunt, solo madente; illae non dant, sitiente. Utrumque reputat provincia. In* XII. *cubitis famem sentit, in* XIII. *etiamnum esurit;* XIV. *cubita hilaritatem afferunt*, XV. *securitatem*, XVI. *delicias.* Recte autem noster addit περὶ Μέμφιν. non enim eodem incremento ubique augetur Nilus. Apud Elephantinen assurgit ad altitudinem cubitorum XXVIII; apud Mendetem cubitos VI. vix superat; apud Memphim medias partes obtinet. Vide Plutarch. de Iside, et Aristidem nostrum infra pag. 611. De Nilometrio vero consulatur Strabo Geogr. lib. 17. pag. 817. Iebb. 13 τούτῳ] τῷ ΓΔ. ἀεὶ] Vulgo αἰεὶ. 16 εἰ τοίνυν] At haec oratoris nostri

νεσθαι μετέωρον. ὥσπερ γὰρ ὅταν κατὰ γῆς ἢ στερεοῦ φέρηται ῥεῦμα, οὕτως ἐπὶ τοῦ ἀρχαίου τὸ ἐκ τῶν ὄμβρων ἐπιθεῖ κεκυρτωκός. διὰ τί οὖν οὐ καὶ περὶ τὸν Νεῖλον ταυτὸν τοῦτο γίγνεται; οὐ γὰρ δή που ἅμα μὲν εἰς τοὺς ἄλλους ποταμοὺς ἀναφέρειν δεῖ καὶ τοῖς αὐτοῖς τεκμαίρεσθαι, ἅμα δ' οὐ τοῖς αὐτοῖς ἐπ' ἀμφοῖν χρῆσθαι σημείοις. καὶ γὰρ εἰ μὲν ἅπαξ ποτὲ οὕτω συνέβη, λόγος ἦν, εἰ δ' ἀεὶ τοῦτον τὸν τρόπον αἴρεται, τί ἂν εἴποιεν; πρῶτον μὲν τοίνυν καὶ μέγιστον ὅπερ λέγω τοῦτο σημεῖον
337 ὡς οὐκ ἐξ ὄμβρων αὔξεται, ὅτι οὐκ ἐμπλήκτως οὐδ' ὀξέως οὐδ' ὡς ἂν τύχῃ φέρεται, ἀλλ' ὃ δὴ λέγουσιν Αἰγύπτιοι, ἐργάζεται ὥσπερ ἄλλο τι· καὶ ἀεὶ τὸ ἔργον αὐτῷ κατὰ λό- (56

---

argumenta minus valent ad diluendam hanc veterum sententiam, modo certa quadam ratione nives liquefiant in Aethiopiae montibus, et pluviae decidant. Rem vero ita se habere ex hodierna constat experientia. Ad Abassenae Regem legationem obiit ex parte Regis Lusitani celebratissimus Dominus Franciscus Alvarez, et in Itinerario suo, cap. 146. *In Abassena*, inquit, *hyems incipit medio Iunii, desinit medio Septembris; toto tempore ingentes sunt pluviae, unde crescit Nilus.* Adde et Is. Vossium in lib. de Nili origine, cap. 15. De harum pluviarum causis accurate disserentis consulatur Eruditissimi Domini I. Marshami Can. Chron. ad Sec. V. p. 82. seq. Jebb. 18 *ἐπιθεῖ*] *ἐπέθει*, *supernataret*. nam supernataret aqua recens a pluviis in Nilum advecta, et gibbosa vel tumida superficie sese monstraret innatantem pristinis Nili undis, quemadmodum in alio quocunque flumine contingit imbribus aucto et per planum decurrente solum solidum. Subauditur itaque in *ὥσπερ γὰρ* a communi *ἐπιθεῖ τὸ ἐκ τῶν ὄμβρων ὕδωρ τῷ ἀρχαίῳ*. Reisk.
19 *ἄλλους ποταμοὺς* addidi ex *ΓΔΘ*. *αὐτοὺς* addebant Canterus et Reiskius. „*εἰς τοὺς αὐτοὺς* (subaudi *ὄμβρους ὡς αἰτίους*) *ἀναφέρειν*. non enim fas est unum eundemque hominem in duabus rebus afferre caussas easdem, eademque effecta illinc colligere, et tamen signa effectorum alias alia probare. Caussa effecti hic est pluvia, effectum ipsum Nili incrementum. haec duo Nilo cum aliis fluviis communicantur, sed non item effectum signi. quod est aqua adventitia velut cymba inversa supernatans reliquis fluviis, non autem Nilo." Reisk. 20 *λόγος ἦν*] *Haberet momentum ratiocinium illud.* Reisk. *ἀεὶ*] Vulgo *αἰεί*.

337, 1 *αὔξεται ΓΔ* et Opor. Vulgo *ἄρχεται*. 2 *ἀεὶ*] Vulgo *αἰεί*. *τὸ ἔργον*] Opus suum Nilus via et ordine et ratione certa certumque ad finem modisque definitis peragit, ut si quod aliud

Digitized by Google

γον χωρεῖ. ἕως δ' ὁπόταν] λήξωσιν οἱ ὑετοὶ καὶ ὁ πολὺς δή που τῶν ποταμῶν ὄγκος πέφυκεν ὑπορρεῖν οὐκ εἰς μακράν. πῶς οὖν ἐπὶ τοσοῦτον τοῦτον ἀνταρκεῖν φήσομεν ἐκ τοιαύτης αἰτίας; ἀφομοιοῦντες γὰρ αὐτὸν κατ' ἄλλον τρόπον ποιοῦμεν ἀνόμοιον καὶ δύο τὰ ἀτοπώτατα μίγνυμεν, θέντες μὲν οὐχ ὁμοίως ἔχειν τοῖς ἄλλοις, εἶθ' ὅμοιον ἀποφαίνειν πειρώμεθα, ὅμοιον δ' αὖ τιθέντες δείκνυμεν οὐχ ὁμοίως διακείμενον. εἰ μὲν γὰρ τρισὶν ἢ τέτταρσιν ἢ καὶ διπλασίαις που τούτων ἡμέραις ἐπληροῦτο αὐτῷ τὸ κεφάλαιον, ἢ μὴ πολλοστόν γ' ἦν τὸ τοσοῦτον τοῦ παντὸς χρόνου τῆς ἀναβάσεως, τάχ' ἂν τι κομψὸν εὕρητο· εἰς τέταρτον δὲ μῆνα μάλιστα ἐξικνεῖσθαι καθ' ἑκάστην ἡμέραν ὑψούμενον τίς λόγος ἐστὶν ἐξ ὑετῶν; καὶ μὴν οὐδ' οἱ παρ' ἡμῖν ποταμοὶ συνεχῶς τοῦ χειμῶνος τέτανται· ἀλλ' ὕσεν, ἐπῆλθον· ἐπαύσατο, ὑφεῖσαν· μείζους καὶ ἐλάττους διατελοῦσι γιγνόμενοι παρὰ τοὺς ὄμβρους αὐτοῦ τοῦ χειμῶνος ἐκ μεταβολῆς. χρῆν τοίνυν καὶ τὸν Νεῖλον εἴπερ ἐξ ὑετῶν ἤρετο, μὴ διηνεκῆ (565) τὴν αὔξησιν ἴσχειν μηδ' ἐπὶ προσθήκην ἀεὶ χωρεῖν ἐπὶ τὸ πλεῖστον καὶ μέγιστον ἐκ τοῦ βραχυτάτου καὶ πρώτου, μέχρι ἐξεπλήρωσεν, ἀλλ' ἀνώμαλον καὶ μεταπίπτουσαν καὶ τὴν ἐπίδοσιν καὶ τὴν ἀναχώρησιν ἔχειν ἐν μέρει. ὥστ' οὐκ ἂν ἦν τὸ λεγόμενον αὐτὸ τοῦτο ἀνάβασις τοῦ Νείλου, ἀλλ' ἀναβάσεις ἂν ἦσαν πολλαί, καὶ πάλιν γε ἀπόρροιαι τοῦ θέρους ἑκάστου, καθότι κἀκ τῶν ὄμβρων συνέβη. ἔτι τοίνυν ὥσπερ τοῦ χειμῶνος οὐ συνεχεῖς τοὺς ὄγκους ἔχουσιν οἱ ποταμοί, οὕτω καὶ τοῦ θέρους ἐνίοτε ἐπιδιδόασι παρὰ τὴν σχέσιν τὴν οὖσαν ἡνίκ' ἂν ὕσῃ. ἔτι τοίνυν ἃ τούτοις συμβαίνει, συνέβαινε καὶ τῷ Νείλῳ κατὰ θάτερα, καὶ ὁ Νεῖλος ἂν ηὔξετο τοῦ χειμῶνος ἐνίοτε ὥσπερ οὗτοι τοῦ θέρους. ὥστε ὁμοίως μὲν οὗτοι μείζους ἐγίγνοντ' ἄν, τοτὲ μὲν

machinamentum. Reisk. 4 ἀνταρκεῖν] Legebatur αὐταρκεῖν. 7 τέτταρσιν ΓΘ. Vulgo τέσσαρσιν. ἐπληροῦτο ΓΘ. Vulgo ἐκ πληροῦτο. 9 εὕρητο] εὕροιτο Δ. εἰς τέταρτον δὲ Δ. εἴς τε γὰρ τόνδε ΓΘ Iunt. εἰς τέταρτον γὰρ Steph. Iebb. 13 ἴσχειν] ἔχειν Δ. ἀεὶ] Vulgo αἰεὶ. 14 μέχρι] μέχρις ΓΔ. 16 κἀκ] Leg. τἀκ. i. e. τὰ ἐκ. prout imbres seu rari et exiles, seu crebri et ingentes fuerent. Reisk. 18 παρὰ ΓΔΘ et Canterus. Vulgo περὶ. ἔτι] εἰ Δ.

τοῦ θέρους, τοτὲ δὲ τοῦ χειμῶνος ἑαυτῶν, ὁμοίως δὲ ὁ
338 Νεῖλος ὅτι μὴ πλέον ἢ ἑκάτεροι μείζους καὶ ἐλάττους παρὰ τὴν ὥραν ἑκατέραν. ἀλλὰ μὴν εἰ μηδεπώποτ' αὐξηθεὶς χειμῶνος ὁ Νεῖλος ἀκούεται, τοὺς δὲ παρ' ἡμῖν ἔστιν ἰδεῖν μείζους ἑαυτῶν γιγνομένους τοῦ θέρους, ἐὰν ὄμβροι κατάσχωσιν, ἄλλο τι χρὴ ζητεῖν τὸ τῆς ἀναβάσεως αἴτιον, εἴπερ δή, ὥς τό γ' ἐξ ὄμβρων οὐδαμῇ συμβαίνει. (565)

Οὐ τοίνυν μόνον αὔξεται τακτὰ ὁ Νεῖλος, ἀλλὰ καὶ ἀπολήγει τεταγμένως ὀπίσω καὶ σχεδὸν οὐκ ἐν ἐλάττονι χρόνῳ καθίσταται εἰς τὸ ἐξ ἀρχῆς ἢ ἐν ὅσῳ προϊὼν ἐξεπλήρωσε. καίτοι οἵ γ' ἐκ τῶν ὄμβρων αὐξανόμενοι ποταμοὶ οὐδαμοῦ τοῦτο πάσχουσιν, οὐδ' ἔπεστιν αὐτῶν τάξις οὐδετέρῳ τῷ παθήματι· εἰκότως, ὅτε γε μηδ' αὐτοῖς τοῖς ὄμβροις. οὐκοῦν καὶ τὸ ἅπαξ τοῦ ἔτους ἀναβαίνειν, τοὺς δ' ἄλλους ὡς τύχοιεν ἑκάστοτε, καὶ τὸ μὴ ἀπολείπειν πρὶν ἐκπληρῶσαι καὶ τὸ πληρώσαντα αὖθις ἀπορρεῖν, καὶ ἡ μετὰ τοῦτο ἡσυχία τοῦ ῥεύματος οὐκ ἐᾷ παρὰ τοῖς ὑετοῖς εἶναι τὴν πρόφασιν δοκεῖν. εἰ δὲ δεῖ καὶ τοῦτο εἰπεῖν, ὑπερβαλόντι

---

21 πλέον ἢ Canterus. Vulgo πλέονι.

338, 1 εἰ μηδεπώποτ' αὐξηθεὶς χειμῶνος] Lucan. de Bello Civili lib. 10. v. 225. seqq.

— *Nilus neque suscitat undas*
*Ante Canis radios, nec ripis alligat amnem*
*Ante parem nocti Libra sub iudice Phoebum.*
*Inde etiam leges aliarum nescit aquarum.*
*Nec tumet hybernus, cum longe sole remoto*
*Officiis caret unda suis; dare iussus iniquo*
*Temperiem caelo, mediis aestatibus exit.*
*Sub torrente plaga, ne terras dissipet ignis,*
*Nilus adest mundo, contraque incensa Leonis*
*Ora tumet; Cancroque suam torrente Syenen,*
*Imploratus adest, nec campos liberat undis,*
*Donec in autumnum declinet Phoebus, et umbras*
*Extendat Meroe.*

Iebb. 3 δὴ Γ. Vulgo δεῖ. 4 συμβαίνει] συμβαίνειν Γ. 5 ἢ ἐν Scaliger, Steph. Iebb. ἦν ἐν Iunt. 7 τάξις ΓΔ, Canterus, Reiskius. Vulgo τάξεις. ὅτε Γ. Vulgo ὅτι. 8 τύχοιεν] τύχοι Δ. ἑκάστοτε ΓΔΘ. Vulgo ἕκαστοι. 10 δοκεῖν] ζωτεῖν (sic) Δ. 11 ὑπερβαλόντι καταρράκτας ΓΔΘ. Vulgo ὑπερβάλλοντι

καταρράκτας ψάμμος ἔνθεν καὶ ἔνθεν ἐστὶ τοῦ Νείλου, τὸ μὲν δὴ κατὰ Λιβύην καὶ παντάπασιν ἔρημοι θῖνες. ὥστ' εἴπερ ὗεν, οὐκ εἰκός γε ἦν γίγνεσθαι ῥεύματα, ὑποδεχομένης τῆς ψάμμου τοὺς ὄμβρους εἰς αὑτήν. ἃς γοῦν ἴσμεν ψάμμους ἄλλας εὐμεγέθεις, ἴσμεν τοῦτο πασχούσας, ἐπεὶ καὶ αἱ περὶ τὰς εἰσβολὰς τὰς ἐξ Ἀράβων εἰς Αἴγυπτον (567) ψάμμοι οὐ τοσοῦτον ὕσει ὡς παρήσουσι ῥεῦμα ὕδατι. αἱ δὲ δὴ πρὸς Λιβύης καὶ κατάντεις ἐπὶ θάτερά εἰσιν ἀπὸ τοῦ ποταμοῦ περιφανῶς, ἄνευ τοῦ κατ' ἄμφω παραλλάττοντος, καὶ τοῦ τῆς ψάμμου ταύτης παρ' ἃς ἴσμεν ἄλλας πλήθους καὶ τοῦ κατὰ τὸν ποταμὸν ῥεύματος τοσοῦτον ὑψουμένου, ὅσον εἰ καὶ ὑπὲρ ἀντιτύπου θαυμαστὸν ἦν. καὶ περὶ Μερόην γέ φασιν ὕειν, καὶ εἰ τοῦτ' ἦν αἴτιον τῆς ἀναβάσεως, οὐκ ἂν ἐλάνθανε δή που τοὺς αὐτοὺς ὁρῶντας καὶ προσοικοῦντας, οὐδ' ἂν ἐζητεῖτο ὑπ' αὐτῶν ἐκείνων ὁπόθεν κατέρχεται, ἀλλ' ἦν ἂν φανερὸς αὐτόθεν αὐξανόμενος. οὐ τοίνυν ἐστὶν οὐδ' ἔχουσι λέγειν Αἰθίοπες, οὐδὲν ἔχοντες λέγειν ὡς ὕει παρ' αὐτοῖς. ἄμφω γοῦν ἤκουσα παρ' αὐτῶν. πῶς οὖν ἐξ ὑετῶν αἴρεται; ἔτι τοίνυν
39 καὶ τὰ κάτω τῆς Αἰγύπτου λαμπρῶς πολλάκις ὕεται, — ψακάδι μὲν γὰρ καὶ ἄνω πολλάκις ὡς ἐν χρόνοις, ἀλλὰ τά γε πρὸς θαλάττης καὶ κατὰ συνήθειαν πολλῷ — καὶ οὐδ' ὁπωστιοῦν ἐπίδηλον τῷ Νείλῳ γίγνεται. καίτοι πῶς εἰκὸς τοὺς μὲν ἐν Αἰγύπτῳ γιγνομένους ὄμβρους μὴ κινεῖν (568) αὐτὸν ὅσοι ποτ' ἂν ὦσιν, ἀλλὰ πάσχειν τὸ ὕδωρ ταυτὸν ὅπερ τὸ εἰς τὴν θάλατταν εἰσχεόμενον ἀδήλως ἀναλοῦσθαι, ἐκ δὲ τῶν ἀπορρήτων τόπων, ὡς ἔοικε, τῆς οἰκουμένης ὑπάρχειν αὐτῷ τὴν ἐπίδοσιν, ὥσπερ σοφιζόμενον τὸν Νει-

---

καταράκτας. τὸ μὲν] μὲν prodit defectum, aut cum γε est mutandum. Reisk. 12 ὗεν] Malim ὕσειν. Reisk. 14 τὰς ἐξ ΓΔΘ. Vulgo τὰς εἰς ἐξ. 16 περιφανεῖς] περιφανῶς Δ. 18 Post ἀντιτύπου videtur ἐφέρετο deesse. quae admirationem videtur motura etiam si fluvius per solum saxosum et solidum ferretur, nedum arenosum, quale illud solum est, per quod Nilus fertur. Reisk. 19 αὐτοὺς] αὐτούς τε Reiskius. 21 ἔχουσι ΓΔ. Vulgo ἔχουσιν.

339, 1 ψακάδι ΓΘ. Vulgo ψεκάδι. ἄνω] τὰ ἄνω Reiskius. 2 πολλῷ] Subaudi ὑετῷ ὕεται. conferta et larga pluvia solet



Digitized by Google

λον ἢ δεδοικότα μὴ φανῇ διὰ τοῦτο αὐξανόμενος; εἰ δὲ ταῦτ᾽ ἐστὶ γέλως, τοιαῦτ᾽ ἐστὶν ἃ λέγουσιν οἱ προστιθέντες τὴν αἰτίαν τοῖς ὄμβροις.

Βούλομαι δέ σοί τι καὶ περὶ τῶν νεφῶν μικρὸν διηγήσασθαι. ὅτε γὰρ τὸ δεύτερον εἰς Αἴγυπτον ἀνέπλεον τὸν εἰς κορυφὴν ἀνάπλουν, ἐνέτυχεν ἡμῖν περὶ τὸν Θηβαϊκὸν τόπον ἐν νομῷ ὄνομα Ἑρμουνθὶ ἄνθρωπος φυγὰς ἐκ τῆς κάτω πόλεως, Δραῦκος ὄνομα, φίλου καὶ ἑταίρου συμπλέοντος ἡμῖν συστήσαντος αὐτόν, ὡς εἶδεν ἐκεῖ. ὡς δὲ συνέβη λυθῆναι τὴν φυγὴν αὐτῷ καὶ ἧκεν ἐπὶ θάλατταν, προσῄει πολλάκις ἡμῖν καὶ ἐχρώμεθα ὥσπερ εἰκὸς οἰκείως αὐτῷ. καί ποτε οὑτωσὶ περιεπατοῦμεν περὶ δείλην ὀψίαν ἐν τῷ μεγάλῳ δρόμῳ τῷ κατὰ τὰς στοὰς καὶ ἦσαν ἐτησίαι λαμπροί· ἀπεβλέψαμεν οὖν εἰς τὰ νέφη, καί τις ἔφη τῶν παρόντων, ταῦτα δὴ τὰ τοῦ Νείλου πνεύματα· (56 οὕτω γάρ πως ὠνόμασε. καὶ ὃς ἐγέλασεν. ἐρομένου δέ μου ὅ τι αὐτῷ τοῦτο βούλοιτο, Οὐκ οἶσθα, ἔφη, ὅτι ἐγὼ τρία ἑξῆς ἔτη κατετρίβην ἐπ᾽ ἄκροις Αἰγύπτου; Οἶδα, ἔφην, ἀλλὰ τί τοῦτο; Ὅτι ἐγὼ ἐν τοσούτῳ χρόνῳ τριφθέντι μοι πανταχῇ σκοπῶν οὐκ ἠδυνήθην ἰδεῖν νέφος αὐτόθι τοῦ θέρους, ἀλλ᾽ ἑστηκότα ἀκλινῆ τὸν ἀέρα ὥσπερ τὰ γεγραμμένα. καίτοι νομίζω, ἔφη, ὁρᾶν τά γε ἐγχωροῦντα, ἀλλ᾽ ἐγὼ οὐκ εἶδον νέφος, ἃ ὑμεῖς, ἔφη, οἴεσθε ἐνθένδε ἐλαυνόμενα ἄνω καταρρηγνύντα πληροῦν τὸν Νεῖλον. τοῦτο δὴ καὶ τότε ἀκούσας ἐθαύμασα καὶ ἥσθην, καὶ σοὶ νῦν ἀπομνημονεύσας ἐξήγγειλα, ὅπως εἰδείης πόρρω τοῦ ἀληθοῦς ὄντας καὶ τοὺς τούτῳ τῷ λόγῳ καταχρωμένους τε

---

inferior Aegyptus irrigari. Reisk. 9 Ἑρμουνθὶ] Vulgo ἑρμουνθί. ἑρμουθὶ Δ. Sed verum est Ἑρμωνθίς. 10 ἐκ τῆς κάτω πόλεως] Fort. ἐκ τῆς Πανοπόλεως, aut ἐκ τῶν κάτω πόλεων, aut ἐκ τῆς κάτω Αἰγύπτου. Reisk. ἑταίρου ΔΘ, Canterus, Reiskius. Vulgo ἑτέρου. 12 ἐχρώμεθα αὐτῷ οἰκείως ὥσπερ εἰκός Δ. 14 λαμπροὶ ΓΔΘ. Vulgo λαμπραί. 15 αὐτῷ Canterus et Reiskius. Vulgo αὐτό. 17 τριφθέντι ΓΔΘ. Vulgo τριφέντι. σκοπῶν] σιωπῶν Δ. ἠδυνήθην] Vulgo ἐδυνήθην. 20 Quas nubes vos existimatis hinc ex Aegypto sursum versus Aethiopiam propulsas et deorsum praecipitatas Nilum implere. Reisk. καταρρηγνύντα] καταρηγνύντα Θ.

καὶ πεπιστευκότας καὶ ὅλως ἐπίστῃ τὸ τοῦ Νείλου πρᾶγμα ὅτι κινδυνεύει μόνος ποταμῶν οὐδέποτε ὁ αὐτὸς εἶναι, ἀλλ' ἐν αὔξῃ καὶ φθίσει ῥέων ὁμαλῶς, εἰ δὲ βούλει ἀνωμάλως διατελεῖ, ταῖς ἡμέραις τε καὶ νυξὶ τὰ μάλιστά πως παραπλησίως καὶ τῷ περὶ τὴν σελήνην. ἀρχόμενός τε γὰρ εἰς ὕψος ἰέναι, ἐπάγων ἀεὶ ἕτερον ἐφ' ἑτέρῳ, οὕτως (570) προβαίνει τῇ προσθήκῃ προστιθεὶς, ἄχρι ἂν τὸ μήκιστον αὐξηθῇ, καὶ συναγερθεὶς ἅπας, ὥσπερ ὁ τῆς σελήνης κύκλος, ἄρχεται λήγειν αὖθις ὑποστρέψας, ὥσπερ στροφήν τινα δευτέραν ἀποδιδοὺς ἐπὶ θάτερα· καὶ καταλαμβάνει πάλιν ἡ ἑτέρα περίοδος τῆς ἐπιρροῆς, πολλάκις δὲ καὶ ἐνέμεινε τῆς προτέρας ὅσον μὴ λαθεῖν. οὔτ' οὖν παρὰ τὴν ἀνάβασιν ὁ αὐτός ἐστιν, ἀεὶ γὰρ αὔξεται, μέχρι ἂν τὰ τέλεια ὑψωθῇ, οὔτ' αὖ παρὰ τὴν ἀπορροὴν, ἀεὶ γὰρ λήγει, μέχρι ἂν ἀποδῷ. οὕτω δή τοι τό γε τοῦ Νείλου θειότερόν τι καὶ ἰδιώτερον ἔοικεν εἶναι ἢ κατὰ τοὺς ἄλλους ποταμούς τε καὶ ῥεύματα, καὶ εἰ τούτου ζητοῦμεν αἰτίας, ζητῶμεν καὶ ὧν εἶπον, τί δή ποτε ἡμέρα μὲν ἡμέρας μικρὸν προφέρειν ἐτάχθη, μέχρι ἂν κορυφωθῇ τὸ μήκιστον, ἔπειτα ὑπολείπειν, ἄχρι ἂν εἰς τοὐλάχιστον ἀφί-

---

340, 1 ἐπίστῃ Θ et Canterus. Vulgo ἐπίστη. ἐπίσθῃ Γ. ἐπείσθη Δ. ὁ αὐτὸς] Aberat ὁ. 2 φθίσει] φύσει Δ. 3 νυξὶ τὰ] Legebatur νυξὶν ὡς. νυξὶν ὡ Γ. 4 ἀεὶ] Vulgo αἰεὶ. ἕτερον] Subaudi ὕψος. οὕτως Δ. Vulgo οὕτω. ἄχρι] ἄχρις Δ. 5 συναγερθεὶς (coacervatus undique adscitis copiis) Reiskius. Vulgo συνεγερθεὶς συνανεγερθεὶς ΓΘ. 7 ἐπιρροῆς] Canterus videtur ὑπορροῆς legisse. [reddidit *defluvii.*] sed bene habet vulgata. nam quod Aegyptiis est ὑπορροὴ, recessus, defluxus, imminutio fluenti, id est hominibus e contraria ad meridiem parte positis ἐπιρροὴ, affluxus, ut contra his iisdem australibus est defluxus, qui borealibus est affluxus. Reisk. παρὰ] περὶ Canterus. 8 ὁ αὐτός] Aberat ὁ. Sententia est: Nilus illo toto tempore, quo inflatur et turget, non est sibi semper similis, neque pari semper altitudine, neque rursus par et constans est eius mensura, cum exilis est. deinde utroque loco est aut περὶ aut παρὰ legendum. Reisk. ἀεὶ] Vulgo αἰεὶ. μέχρι] μέχρις Δ. οὔτ' αὖ ΓΔΘ. Vulgo οὔτ' οὖν. παρὰ] Vulgo περὶ. 9 ἀεὶ] Vulgo αἰεὶ. μέχρι] μέχρις ΔΘ. ἀποδῷ] ὑποδῷ Θ. 11 μέχρι] μέχρις Δ. 12 ὑπολείπειν Reiskius. Vulgo ὑπολείπει. ὑπολείπῃ Δ. ἄχρι]

κηται, τὸ μὲν ἐξ ἀρχῆς ἑαυτῆς, εἶτα καὶ τῆς νυκτὸς ἐλάττων μετ' ἰσημερίαν γιγνομένη, νὺξ δὲ ἀντιλαβοῦσα αὔξην ταὐτὰ ταῦτα πάσχει, ἐκ προσθήκης καὶ ἀφαιρέσεως προϊοῦσα καὶ ἐπανιοῦσα, μέχρι ἂν ὥσπερ οἱ γεωμέτραι καλοῦσιν εἰς (571 ἐκεῖνο καταστῇ ὅθεν ἤρξατο φέρεσθαι, ταὐτά τε καὶ τἀναντία τῇ ἡμέρᾳ πάσχουσα ἀεί. καὶ γὰρ εἰ τὰ μάλιστά τις εἶναι ταῦτά γε φήσει φανερὰ, τῇ τοῦ ἡλίου πορείᾳ προστιθεὶς τὴν αἰτίαν, ἀλλ' οὐκ αὐτῆς αὖ τῆς περὶ τὴν πορείαν τάξεως οὐδὲ τοῦ ταῦθ' οὕτως ἀνάγκαις τὸ ἐξ ἀρχῆς κατακλεισθῆναι, οἷον εἰ βούλει τριμήνοις μὲν χρόνοις ὡρίσθαι τὰς μεταβολὰς, νυκτὶ δὲ καὶ ἡμέρᾳ τοσοῦτον τὸν σύμπαντα ἀποδοθῆναι χρόνον, εἶναι δὲ ὅρους τακτοὺς τῷ θεῷ πρὸς ἄρκτους καὶ μεσημβρίας, οὓς οὐχ οἷόν τε ὑπερβῆναι, τούτων οὐδενὸς δή που τὸ αἴτιον δείξει, πλὴν εἰ προσποιήσεται. καίτοι τοσοῦτόν γ' ἐστὶ προὔργου τοῦ παραδείγματος, τοῦ μὲν γὰρ ἡλίου διττὴν οὖσαν
341 τὴν κίνησιν ὁρῶμεν ὡς περὶ τῶν ὅλων περάτων εἰπεῖν, ἀφ' ὧν καὶ τὰ μήκη καὶ τὰς βραχύτητας ἑκάστων τῶν χρόνων ἔξεστι συλλογίζεσθαι· ὅτε δ' αὐτὸ τοῦτο ὁμολογεῖται περὶ Νείλου, μηδέπω καὶ νῦν εὑρῆσθαι πόθεν ὁρ-

---

ἄχρις Δ. εἶτα] Deberet δὲ post εἶτα addidisse, quia μὲν praecessit. sed solet omittere. v. p. 342, 4. 344, 17. 345, 2. 393, 7. 405, 6. Reisk. 13 αὔξην ΓΔΘ Iunt. αὔξησιν Steph. Iebb. 14 μέχρι] μέχρις ΓΔ. 15 ἀεὶ Δ. Vulgo αἰεί. 19 τὸν σύμπαντα Reiskius. Aberat τόν.

341, 2 βραχύτητας] βραχυτάτας Δ. 3 μηδέπω καὶ νῦν εὑρῆσθαι] Marsham in Can. Chron. ad Sec. 5. pag. 82. Ptolemaeus *inter gradus* XII. et XIII. *Australis latitudinis* collocat *Lunae*, quem vocat, *montem;* ὑφ' οὗ ὑποδέχονται τὰς χιόνας αἱ τοῦ Νείλου λίμναι, *a quo Nili paludes nives suscipiunt.* Geog. lib. 4. cap. 9. Nisi *terra incognita* illi fuisset, quae australior, ultra hibernum Tropicum proculdubio removisset Nili fontes; utpote in locum, quem putabat aetas ista pluviis accommodatiorem. Illum quidem secuti sunt recentiores; sed errorem hunc erudite coarguit Is. Vossius, Vir inter literatos celeberrimus. De Nili Orig. cap. 15. *Quicquid*, ait, *in Aegyptum adfluit aquarum, id omne Aethiopiae tribuendum, et quidem isti Aethiopiae, quam Abassenam hodie appellant:* Abasseni regni terminos inter VIII. *gradum et* XVI. *latitudinis borealis* con . . u t

μᾶται· καὶ τί τὸ νότιον πέρας αὐτοῦ, πῶς οἷόν τε τὴν αἰτίαν ζητεῖν, ἢ πῶς εἰπεῖν πόθεν αὔξεται; ἀλλ' ἴσως (572) οὐκ ἐπὶ τούτου μόνον, ὥσπερ ἔφην, ἀλλὰ καὶ ἐπ' ἄλλων χαλεπὸν τὰς αἰτίας ἐξευρεῖν. τέτταρα δὲ ἐπὶ πᾶσι σημεῖα ποιησάμενος τοῦ μὴ τὰ νέφη μηδὲ τοὺς ἐτησίας ἀνάγειν τὸ ῥεῦμα, καὶ δὴ καταλύσω τὸν περὶ τούτου λόγον. ὧν ἓν μέν ἐστι τὸ καὶ πρὶν ἐτησίας συμβῆναι πολλάκις αἴρεσθαι τὸν ποταμὸν, δεύτερον δὲ τὸ μὴ καὶ συμβάντων ὅλως, τρίτον δὲ καὶ τέταρτον τούτοις ἀκόλουθα τὸ μὲν ὡς οὐ τηνικαῦτα μέγιστος ἐπέρχεται, ἡνίκ' ἂν μέγισται καταίρωσιν ἐτησίαι καὶ νέφη πλεῖστα κινήσωσι, τὸ δ' ἐναλλὰξ ὡς οὐ τηνικαῦτα αὖ βραχύτατος, ἡνίκ' ἂν τὰ πνεύματα κοῦφα συμβῇ, πάντα ταῦτα εἰκὸς ὂν οὐχ ὡς νῦν ἔχειν, εἴπερ ἢ οἱ ἐτησίαι κύριοι τοῦ ῥεύματος ἦσαν, ἢ κατὰ στόμα εἴργοντες, ἢ πληροῦντες ἐξ οὐρανοῦ.

Ἵνα δὲ καὶ τὴν Ἡροδότου γνώμην μὴ παντάπασιν ἀτιμάσωμεν ὡς δὴ τὸ παράπαν οὐδ' ἀντειπεῖν ἄξιον, φέρε σκεψώμεθα ἃ κἀκείνῳ περὶ τούτων δοκεῖ. φησὶ δ', εἴ τι μεμνήμεθα, ἀπελαυνόμενον τὸν ἥλιον ὑπὸ τῶν ἐνταυθοῖ χειμώνων ἔρχεσθαι τῆς Λιβύης τὰ ἄνω καὶ τήκειν τὸ ὕδωρ, (573) τήκοντα δὲ ἐλάττω ποιεῖν τὸν Νεῖλον τοῦ χειμῶνος ἢ τοῦ θέρους. ἔστι δὲ τοῦτο οὐκ εἰπεῖν πῶς ὁ Νεῖλος αὔξεται, ἀλλὰ πῶς μειοῦται συμπλάσαι. ὅτι μὲν γὰρ τοῦ χειμῶνος καθαρώτατός ἐστιν ὁμολογεῖται παρὰ πάντων, τούτου δὲ οὕτως ἔχοντος αὔξοιτ' ἂν τοῦ θέρους, ὅτ' ἐστὶ μείζων

---

Iebb. νότιον] νότειον Γ. 5 μόνον ΓΔΘ. Vulgo μόνου. 9 καταίρωσι Δ. 11 εἴπερ] ὥσπερ ΓΔΘ. οἱ ΓΔ. Legebatur εἰ οἱ, consentiente Θ. εἴπερ ἢ οἱ ἐτησίαι ἢ οἱ ὄμβροι κύριοι Reiskius. 12 Ἡροδότου] II, 25. Herodotus minus a vero aberrasset, si de aquis marinis, non fluvialibus, in vapores a sole attractis verba fecisset, et quo modo ex imbribus inde derivatis Nilus oriretur et cresceret exposuisset. Iebb. μὴ ΓΔΘ. Vulgo καί. 13 ἄξιον] Malim aut ἀξίαν aut ἄξιον ὄν. sed prius rectius. Reisk. φέρε] φέρε δὴ Δ. ἃ κἀκείνῳ περὶ τούτων δοκεῖ. φησὶ δ', εἴ τι μεμνήμεθα addidi ex Γ. 14 Λιβύης εἰς τὰ ἄνω. quamquam scio verba ἔρχεσθαι, ἥκειν, μολεῖν sequi accusativos etiam sine εἰς. ut ἥκειν πόλιν. venire in urbem. Reisk. 16 μὲν γὰρ] γὰρ om. Δ. 17 τούτου δὲ οὕτως ἔχοντος οὐκ αὔξοιτ' ἂν τοῦ θέρους. si res ita habet, h. e. si sol absumendo aquas et exsiccando Ni-

ἅμα καὶ θολερώτερος. ἔτι οὖν μένει τὸ ζητούμενον, ἕως ἄν τις μὴ δείξῃ τοῦτο, πῶς ὁ ῥοῦς ὑψοῦται, τὸ γὰρ κύριον καὶ πρῶτον αὐτοῦ ῥεῦμα τὸ χειμερινὸν φαίνεται. ἄνευ δὲ τούτων, εἰ μὲν τοσοῦτον ἦν τὸ διαφέρον παρὰ τὴν χειμερινὴν τοῦ ἡλίου πορείαν, ὥστε ποιεῖν θέρος περὶ τὴν ἐκεῖ γῆν, ὅταν ἐνταῦθα χειμὼν ἵστηται, καὶ πάλιν αὖ χειμῶνα, ὁπόταν θέρος ἵστηται παρ' ἡμῖν, ἴσως ἂν ἦν
342 παραδέξασθαι. νῦν δ' ὅτι μὲν οὐκ ὀλίγον θέρμῃ προφέρει τἀκεῖ τῶν παρ' ἡμῖν τοῦ χειμῶνος οὐδεὶς ἀντιλέγει, οὐδὲν μὴν κωλύει καὶ κατ' αὐτοὺς ἐκείνους ἐλάττω τὸν ἥλιον τοῦ χειμῶνος ἢ τοῦ θέρους ἔχειν τὴν ἰσχύν. οὐδὲ γὰρ τοῦ θέρους δή που περὶ μὲν τὴν ἄρκτον καὶ τὴν ταύτῃ γῆν ἰσχύειν αὐτὸν φήσομεν, Αἰγύπτου δὲ καὶ Λιβύης ἀποχωρεῖν, ἀλλ' ἐκεῖ καὶ μᾶλλον κάει, μάλιστα μέν, (57
οἶμαι, ἐν Αἰθιοπίᾳ, ἔπειθ', ὥσπερ εἰκός, ἐν Αἰγύπτῳ, μάλιστα μὲν ἐν τοῖς ἀνωτάτω, ἔπειτα ἑξῆς κατὰ λόγον, ἐπεὶ καὶ περὶ τὴν Σκυθικὴν γῆν καὶ τὸν Πόντον οὐδὲν κωλύει τὸ θέρος ψυχρότερον τοῦ θέρους τοῦ παρ' ἡμῖν εἶναι πολλῷ γε, καίτοι τοῦ ἡλίου τὰ βόρεια ἐλαύνοντος τοῦ παντὸς οὐρανοῦ. καίτοι εἰ ἀντεστρέφοντο αἱ ὧραι τοῦ ἔτους ἐν τοῖς τόποις τούτοις, ὁμοίως μὲν ἂν πρὸς μεσημβρίαν ἀπιόντος τοῦ ἡλίου καὶ χειμῶνα ποιοῦντος ταύτῃ θέρος ἦν κατ' Αἴγυπτον καὶ τὴν τοῦ Νείλου λῆξιν, ὁμοίως δ' ἂν πρὸς ἄρκτον ἐπανιόντος ἐπλεονέκτει θέρμῃ τὰ πρόσβορρα, ὃ πολλοῦ δεῖν οὕτως ἔχειν φαίνεται. εἰκότως·

---

lum, minuit eo tempore, quo aestas est in partibus Africae maxime australibus, in Aegypto autem hiems est, sequitur quo tempore in Aegypto aestas est Nilum, qui tunc est maximus et turbidissimus, non posse crescere, sed esse quam minimum. Reisk.

342, 1 οὐδὲν] οὐδὲ Γ. 3 αὐτὸν ΓΔΘ et Reiskius. Vulgo αὐτήν. 4 ἀλλ' ἐκεῖ καὶ μᾶλλον κάει] Et propter hanc ipsam causam efficit ut oriantur pluviae et hiems ingruat. Dum enim Sol propinquus mari perpendiculariter immineat, vapores exinde maiori copia in aërem attrahit; qui in nubes condensati a montibus sistuntur, dein soluti in imbres frigus et brumam secum afferunt. Iebb. μάλιστα μὲν οἶμαι ἐν αἰθιοπίᾳ, ἔπειθ' ὥσπερ εἰκὸς ἐν αἰγύπτῳ addidi ex Γ. 6 ἐς τὰ βόρεια, ut etiam Canterus expressit. Reisk. 8 λῆξιν ΓΔΘ. Vulgo τάξιν. 9 ἂν] αὖ Reiskius. θέρμῃ Γ. Vulgo τῇ θέρμῃ. πρόσβορρα Γ. Vulgo πρὸς βορρᾶν. πρὸς

κινεῖται μὲν γάρ, οἶμαι, τὰ πρὸς ἄρκτον, οὐ μὴν πληροῖ
γε εἰς αὐτήν. οὐκοῦν ὅτε τοῦ θέρους αὐξανόμενός φανερός
ἐστιν ὁ Νεῖλος, δῆλον ὅτι τοῦ γε χειμῶνος ἀδυνάτως ἔχει
τήκεσθαι. εἰ γὰρ ἦν ὁ ἥλιος αἴτιος, εἶργεν ἂν τοῦ θέρους
ἔτι μᾶλλον τὴν ἀνάβασιν, ἰσχυρότατός γ' ὢν αὐτὸς αὑτοῦ
τότε κἀκεῖ πολλῷ, ὥστ' αὐτὸ ἐν αὐτῷ λύεται. εἰ μέν γε
τηνικαῦτα ἐξέτηκεν, ἔθ' ἧττον ἂν εἶα πληροῦσθαι νῦν·
εἰ δὲ μὴ τήκει τοῦ χειμῶνος, οὐ διὰ τοῦτο ὁ Νεῖλος μεί- (575)
ζων τοῦ θέρους. ὅμοιον δ' εἶναί μοι δοκεῖ τό τε ἀπελαύ-
νεσθαι φάσκειν τὸν ἥλιον ὑπὸ τῶν χειμώνων καὶ τὸ τὸν
Νεῖλον τῷ ἡλίῳ τήκεσθαι. ἀλλ' οὔθ' οἱ χειμῶνες τὸν
ἥλιον ἀπελαύνουσιν, ὦ κάλλιστε λογοποιῶν, οὐδὲ γὰρ ἐφι-
κνοῦνται τῆς τοῦ ἡλίου χώρας, ἀλλ' ὁ ἥλιος ἀποχωρῶν
κατὰ τὴν αὑτοῦ πορείαν καὶ φύσιν τοῖς ἀνέμοις παρέχει
ψυχροῖς καὶ βιαίοις ἔτι μᾶλλον γίγνεσθαι· οὔτε ὁ Νεῖλος
τηκόμενος ὥσπερ ὁ Ξάνθος ὑπὸ τοῦ Ἡφαίστου τοῦ ἡλίου
συστέλλει τὸ ῥεῦμα.

Ἀλλὰ γὰρ εὐφημότατα καὶ κάλλιστα εἰρηκὼς Ἡρό-
δοτος περὶ Αἰγύπτου καὶ Νείλου ὀλίγα τῶν ἀληθῶν εἰρη-
κέναι κινδυνεύει, οὐχ ὡς ἐπὶ τὸ μεῖζον αἴροντας αὐτοῦ
343 λέγω πάντα, ἐπεί τοι τινά γ' ἔσθ' ἃ καὶ μείζω παρέλι-
πεν· ὧν εἰπεῖν αὖ νῦν οὐδὲν ἐπείγει λέγειν, ἀλλ' ἅ γε
τῶν ὄντων ἑτέρως εἴρηκεν, οἷον ὡς ὑπὲρ Ἡλιούπολιν τετ-
τάρων ἡμερῶν πορείαν αὖθις εὐρεῖα Αἴγυπτος, ἥ γε οὕ-
τως εἰς στενὸν ἀεὶ κλείεται καὶ πρὸς γωνίαν ὥστε ὁ Νεῖ-
λος εἰς αὐτὴν ὑπερβάλλει δι' ἀμφοῖν τῶν ὀρῶν ἤδη συμ-

βορρᾶν ΔΘ. 10 ἄρκτον] ἄρκτου Δ. κινεῖται μὲν γάρ, οἶμαι, (scil. ὁ ἥλιος) τὴν πρὸς ἄρκτον (subaudi κίνησιν). nam movetur quidem sol, ni fallor, versus septentrionem, non tamen plane ad eam pervenit. Reisk. 11 ὅτε ΓΔΘ et Reiskius. Vulgo ὅτι. 13 ἰσχυρότατος Reiskius. Vulgo ἰσχυρότερος. αὐτῷ] Vulgo αὐτῇ. 14 ἐξέτηκεν Canterus. Vulgo ἐξέστηκεν. τήκει] τήκῃ Γ. 19 ἔτι] ἐπὶ Reiskius. Ξάνθος] Iliad. φ, 332. τοῦ ἡλίου om. Θ. 20 ἀλλὰ] ἄλλα Canterus.

343, 1 Fort. ὧν πέρι τὰ νῦν οὐδὲν ἐπείγει λέγειν. Reisk. 2 ἑτέρως εἴρηκεν ΓΔΘ. Vulgo εἴρηκεν ἑτέρως. οἷον ὡς] Vulgo οἷον ἢ ὡς. „ἢ delendum, aut cum ἐστιν est mutandum.“ Reisk. οἷον ἢ ὡς Canterus. 3 ἀεὶ Δ. Vulgo αἰεὶ. 4 καταρράκται ΓΘ.

Digitized by Google

πεπτωκότων· καὶ τοῦτ᾿ εἰσὶν οἱ καταῤῥάκται ἡ διὰ τῶν ὀρῶν τοῦ ποταμοῦ κατάβασις, Αἰγύπτου πάσης ὡσπερεὶ (576) κορυφή. ὥστ᾿ ἔτι προσπλέων τῷ κατ᾿ Ἐλεφαντίνην ὅρμῳ εἰκάσεις κεκλεῖσθαι τὸ ῥεῦμα· μὴ γὰρ ὅτι Αἴγυπτος εὐρεῖα ἔτι, ἀλλὰ καὶ τὸ ῥεῦμα τοῦ Νείλου στενὸν ἤδη φαίης ἂν ὑποῤῥεῖν ὑπὸ τῆς πέτρας αὐτόν. ἴδοις δ᾿ ἂν καὶ πρὶν εἰς Ἐλεφαντίνην τελέσαι πρὸ οὐκ οἶδ᾿ ὁπόσων τινῶν σχοίνων συνιόντα οὕτω τὰ ὄρη ὡς μέσον εἶναι μηδὲν πλὴν τοῦ ῥεύματος αὐτοῦ, καὶ τοῦτο ἐνταῦθα εὖρος Αἰγύπτου ὅπερ τοῦ ποταμοῦ. ἢ τἄλλα ἄν τις ἐλέγχοι τῶν ἐκείνου πόσον ἔργον ἐπεξελθεῖν, ὅς γέ φησι καὶ περὶ τῶν πηγῶν δή που τοῦ Νείλου πυθέσθαι παρὰ τοῦ γραμματιστοῦ τοῦ Σαΐτου ὡς ἄρ᾿ εἴη ὄρη δύο μεταξὺ Συήνης καὶ Ἐλε-

---

Vulgo καταράκται. 5 ὥστ᾿] ὥστε Δ. Ἐλεφαντίνην ΓΔ. Vulgo Ἐλεφαντίνη. 6 μὴ γὰρ ὅτι αἴγυπτος εὐρεῖα ἔτι, ἀλλὰ καὶ τὸ ῥεῦμα addidi ex Γ. Distinguo sic et lego κεκλεῖσθαι τὸ ῥεῦμα τοῦ Νείλου ἐς στενὸν ἤδη. φαίης ἂν ὑποῤῥεῖν ὑπὸ τὰς πέτρας αὐτόν. statio navium apud Elephantinam est a parte Catarrhactarum australi, Elephantina autem ipsa a parte boreali. Dicit itaque, sive ex Aethiopia versus Aegyptum Nilo deveheris, videbis adhucdum adnavigans ad stationem navium apud Elephantinam flumen ibi iam sic angustum ut putes ibi clausum et abruptum esse. Dicas Nilum ibi sub scopulos descendere, et in eorum voraginibus mergi, nunquam rursus inde exiturum. Contra si ex Aegypto flumine subvectus ascendas versus Aethiopiam, videris ἴδοις δ᾿ αὖ (sic leg. pro ἂν) priusquam perveneris, ad Elephantinam, quum adhuc ab ea schoenos absis οὐκ οἶδα ὁπόσων nescio quot, ita coire montes. Reisk. στενὸν] σχεδὸν Canterus. καὶ στενὸν idem apud Reiskium. 7 ἴδοις] ἴδης Δ. 8 τοῦτο] Fort. ταὐτό. Reisk. 9 Ante ἢ τἄλλα aliquid excidisse videtur. ἢ] ἦ, *sane, si reliqua Herodoti examinare quis et arguere velit.* Reisk. ἐλέγχοι ΓΔΘ. Vulgo ἐλέγχῃ. καὶ περὶ τῶν πηγῶν] Huc spectant illa Strabonis Geogr. lib. 17. pag. 818. seq. Πολλὰ δ᾿ Ἡρόδοτός τε καὶ ἄλλοι φλυαροῦσιν, ὥσπερ μέλος, ἢ ῥυθμὸν, ἢ ἥδυσμά τι τῷ λόγῳ τὴν τερατείαν προσφέροντες. οἷον καὶ τὸ φάσκειν περὶ τὰς νήσους τὰς πρὸς τῇ Συήνῃ, καὶ τῇ Ἐλεφαντίνῃ (πλείους δ᾿ εἰσὶ) τὰς πηγὰς τοῦ Νείλου εἶναι, καὶ βάθος ἄβυσσον ἔχειν τὸν πόρον κατὰ ταῦτα τὸν τόπον. νήσους δ᾿ ὁ Νεῖλος κατεσπαρμένας ἔχει παμπόλλας, τὰς μὲν καλυπτομένας ὅλας ἐν ταῖς ἀναβάσεσι, τὰς δ᾿ ἐκ μέρους· ἐποχετεύεται δὲ τοῖς κοχλίαις τὰ λίαν ἔξαλλα. Iebb. 10 τοῦ νείλου ΓΔΘ. Vulgo τῇ Νείλου. γραμματιστοῦ] *ludimagistro.* Reisk. 11 συήνης Δ. Vulgo Συήνης.

φαντίνης, τούτων δὲ τῶν ὀρῶν ἐκ τοῦ μέσου ῥέοιεν αἱ πηγαί, καὶ τὸ μὲν ἥμισυ τοῦ ῥεύματος ἐπ' Αἰθιοπίας καὶ νότου ἀνέμου ῥέοι, τὸ δ' ἕτερον ἥμισυ ἐπ' Αἰγύπτου τὰ βόρεια. καίτοι ἥ γ' Ἐλεφαντίνη, μέχρι ἧς ἀναπλεῦσαί φησιν, ὑπ' αὐτοῖς σχεδὸν τοῦ Νείλου τοῖς καταρράκταις ἐστὶν, ἀπέχουσα μάλιστα ἑπτὰ σταδίους. ἀνέπλευσα γὰρ οὖν ἔγωγε καὶ αὐτὸς καὶ εἶδον ἀκριβέστερόν ἢ ἔδει φασίν. εἰ δὲ δεῖ κατ' αὐτὸν Ἡρόδοτον καὶ παρεξελθεῖν ψυχαγω- (577)
γίας ἕνεκα καὶ μηδὲν ἔξω τοῦ προκειμένου τὸν λόγον ἐξάγοντα, οὕτως συνέβη. ὡς ἀνῄειν ἐπὶ τοὺς βωμοὺς οὗ τοῖς Αἰθίοψίν ἐστιν ἡ φρουρά, πολὺ τῆς ὄχθης ἀποσπάσας τοῦ ποταμοῦ, ὑπερβὰς ἐπὶ τὸν ὅρμον, ὅς ἐστι πρῶτος ὑπὲρ Καταδούπων, εἰς Φίλας διέβαλον· ἔστι δ' αὕτη νῆσος μεθόριον Αἰγύπτου καὶ Αἰθιοπίας, τοσαύτη τὸ μέγεθος ὅσηπερ ἡ ἐν αὐτῇ πόλις· περιρρεῖ δ' αὐτὴν ὁ Νεῖλος ἀκριβῶς μέσην ἑαυτοῦ ποιῶν. ἐπεὶ δ' ἐπανῄειν, ἐχώρουν μὲν πάλιν τὴν αὐτὴν ἀπὸ τῶν Φίλων, καὶ προσεδόκων νῦν
344 γέ που τοὺς καταρράκτας ὄψεσθαι. καὶ τοὺς ἄγοντας ἀνηρώτων, οἱ δ' ἠγνόουν. οὕτω δὴ γενόμενος πάλιν ἐν τῇ Συήνῃ, ἣν ἀπὸ τῆς Ἐλεφαντίνης ὁ Νεῖλος διαιρεῖ, δέομαι τοῦ φρουράρχου, καίτοι φαύλως ὑπ' ἀρρωστίας διακείμενος, πέμψαι με ὀπίσω πλοῖόν τι κοῦφον δόντα, τῆς θέας ἕνεκα τῶν καταρρακτῶν, συμπέμψαι δὲ καὶ τοὺς ἀναγκάσοντας τοὺς ἐν τῇ νήσῳ τῶν καταρρακτῶν, εἰσὶ δ' οὗτοι ναῦται συνήθεις τοῦ ῥεύματος, ἐπιδεῖξαι ἡμῖν αὐτούς τε καὶ τὸ θέαμα δὴ τὸ ναυτικὸν ὅ τι εἴη, ἐπυνθα- (578)
νόμην γὰρ τῶν αὐτόθι· ὁ δὲ μάλα μὲν ἐργῶδες ἔφη εἶναι καὶ ἐθαύμαζε τὴν γνώμην, οὔκουν αὐτός γε μέχρι τούτου θαρρῆσαι, ἠρνήθη δὲ οὐ τό γε παντελές, ἀλλ' ἐπειδὴ

---

13 φησίν] φησι Δ. 15 δεῖ κατ' ΓΔΘ. Vulgo δεῖ καὶ κατ'. 16 ἕνεκα καὶ] καὶ delendum, ut e fine proximi vocabuli ἕνεκα natum. Reisk. οὕτως ΓΔΘ. Vulgo οὕτω. 18 Καταδούπων] Vulgo κατὰ δούπων. Conf. p. 348, 11. 15. 21 καταρράκτας ΓΔ. Vulgo καταράκτας.

344, 1 συήνῃ Δ. Vulgo Συήνη. 3 ἕνεκα] Vulgo εἵνεκα. καταρρακτῶν ΓΔ. Vulgo καταρακτῶν. Iisdem codicibus auctoribus correctum 4. 10. 15. 5 θέαμα ναυτικὸν] quod describit versu

πειρώμενος ἀποτρέπειν οὐκ ἔπειθεν, οὕτω πέμπει, καὶ τἄλλα ἔχων οἰκείως καὶ βουλόμενος χαρίζεσθαι. ἀνέπλευσα δὴ κἀκείνους τε ἰέντας ὑπὲρ τῶν σκοπέλων, ὥσπερ εἰώθεσαν, εἶδον ἀπ' ἄκρας τῆς νήσου, ἣ ἀνέχουσα ἐκ μέσου περιφανεῖς πανταχῆ ποιεῖ τοὺς καταρράκτας, καὶ προσέτι αὐτὸς ἐπεθύμησα εἰς τὸν λέμβον ἐμβὰς πειραθῆναι τοῦ πλοῦ, οὐ μόνον διὰ τῶν αὐτῶν δι' ὧνπερ ἐκείνους εἶδον κατενηνεγμένους, ταῦτα δ' ἦν τὰ πρὸς ἕω τῆς νήσου, ἀλλ' ἀρξάμενος αὐτόθεν περιπλεῦσαι κύκλῳ πᾶν τὸ ὁρώμενον, καὶ κατὰ τὴν ἑτέραν τῆς νήσου πλευρὰν ἀφεῖναι κατὰ ῥοῦν ἐπὶ τὰς πόλεις. ὅπερ οὖν λέγω οὐκ ἀκούσας, ἀλλ' ἰδὼν ἀκριβῶς οἶδα, ὅτι ἥ τ' Ἐλεφαντίνη ὑπ' αὐτοῖς ἐστι τοῖς καταρράκταις, μεταξύ τε Συήνης καὶ Ἐλεφαντίνης οὐδέν ἐστιν ἀλλ' ἢ τὸ ῥεῖθρον τοῦ ποταμοῦ, καὶ (579) προσοικεῖ τὴν ὄχθην ἑκατέρα τῶν πόλεων τούτων. εἰ τοίνυν Ἡρόδοτος εἰς Ἐλεφαντίνην ποθ' ἧκεν, ὥσπερ εἴρηκεν, ἔσθ' ὅπως πρῶτον μὲν ἀκοὴν διηγεῖτο περὶ ὧν εἶδεν, ἔπειθ' οὕτω ψευδῆ ὥστε περὶ τῶν ἀρχαίων πηγῶν τοῦ Νείλου ζητῶν καὶ φήσας οὐδενός πω τἀληθὲς ἀκοῦσαι, ἀλλὰ τόδε μὲν ἤκουσα τοῦ γραμματιστοῦ γράψαι, καὶ ταῦτα τοῦ ἐν τῷ Σαϊτικῷ νομῷ περὶ τῶν ἐν Ἐλεφαντίνῃ, * * ἢ μνησθεὶς, εἰ μηδὲν ὧν ἤκουσεν εἶχε σιωπῆσαι, ἄλλοις ἂν ἢ τούτοις οἷς ἐγὼ νῦν εἶπον ἐλέγχοις ἐπὶ

---

nono. Reisk. 10 πανταχῆ ποιεῖ Γ. ποιεῖ πανταχῆ Δ. Aberat ποιεῖ. 14 πόλεις] Syenem puta et Elephantinam. Reisk. 15 συήνης Δ. Vulgo Συήνης. 18 ὥστε περὶ Reiskius. Legebatur ὥστε πρῶτον μὲν περὶ. 19 πω τἀληθὲς ΔΘ. ποτ' ἀληθὲς Γ. Legebatur πω ἀληθές. 20 νομῷ] Vulgo νόμῳ. Post Ἐλεφαντίνῃ videtur haec fere sententia abesse. τοῦτον δὲ οὕτω λέγοντα παίζειν ἑαυτῷ δόξαι, ὃς εἶχεν ἢ μηδὲν ὅλως περὶ τούτων εἰπεῖν, ἢ μνησθεὶς —. Reisk. Indicavi lacunam. 21 ἄλλοις] οὐκ ἄλλοις. sententia tum haec erit. iam si unquam venisset Herodotus, quod ait, ad Elephantinam, fierine potest, ut de iis, quae vidisset, primum quidem loqueretur ut de rebus non compertis sibi neque visis, sed tantum a fama acceptis; deinde tam falsa de illis traderet, ut quaestionem de primis Nili fontibus agitans, postquam affirmasset, sibi de illis nihildum esse certi compertum, auderet tamen ita literis consignare: haec audivi quidem a grammatista, et eo quidem Saitico, de rebus circa Elephantinam; quibus se negat fidem adhi-

Digitized by Google

τὸν λόγον χρήσασθαι. νῦν δέ φησι μὲν ὡς παίζειν αὐτῷ δοκοίη ὁ γραμματιστής, δι' ὧν δ' εἰκὸς ἦν ἐλέγχειν, ἀπέ-
345 λιπεν, ὅτι πρῶτον μὲν ἀπὸ πολλοστοῦ μέρους ἤρξατο φράζειν αὐτῷ τὰς πηγάς· πολλῶν γὰρ μηνῶν ἀνάπλουν ὑπὲρ τὸν τόπον τοῦτον ἔτι ὁ Νεῖλος γιγνώσκεται. ἔπειθ' ὅτι ἀμήχανον οὐ μὴ ἔστι ῥεῖν τῷ ποταμῷ κατὰ συνήθειαν, ἀλλὰ ὑπὲρ τῶν πετρῶν καταρρήγνυσι βιαζόμενος τὴν κατάβασιν, ἐνταῦθα ἄνω φέρεσθαι τὸ ἥμισυ τοῦ ῥεύματος, ὥσπερ οἱ πρὸς τὰ ὑψηλὰ ὄρνιθες. τὸ γὰρ δὴ λεγόμενον οὐχὶ ἄνω ποταμῶν τοῦτ' ἂν εἴη χωρεῖν, ἀλλ' ὁρῶν ἄνω (580)
χωρεῖν τὰς τῶν ποταμῶν ἀκούειν πηγάς; ἀλλ' οὔτ' ἐλθὼν εἰς Ἐλεφαντίνην οὔτε σαφὲς περὶ τούτων εἰδὼς οὐδὲν κέχρηται λόγῳ πειθομένοις μὲν κεχαρισμένῳ, ἀπιστοῦσι δ' ἔχοντι ἀναφοράν.

Ἔπειτα ἐπὶ τούτοις προειρημένοις φησίν, εἰ ἄρα ταῦτ' ἀληθῆ, δοκεῖν αὐτῷ δίνας ἐνταῦθα εἶναι καὶ παλιρροίας

---

bere, cum potuisset aut nihil horum omnium attingere, aut si eorum, quae audisset, nihil tacere poterat, argumentis ea, quae referret, non aliis refutare, quam quibus ego nunc usus sum. Reisk.

345, 1 ἀπέλιπεν Γ et Reiskius. Vulgo καὶ ἀπέλιπεν. Sententia est, Herodotus ea, per quae mendacium arguere poterat, omisit; poterat enim urgere et arguere hoc primum, quod ille ludimagister Saiticus origines Nili reperisset ἀπὸ πολλοστοῦ μέρους. cuius dictionis haec est vis. affirmabat ipsi ludimagister ille, Nili fontes ibi loci prorumpere, unde usque ad ostium, per quod in mare exit, porrectus fluvius perexigua pars est totius fluvii. vel unde ad veros fluvii fontes redeunti viderentur ab illo Saïta praeterita et dissimulata multis partibus maiora esse illo fluvio, quem iste totum perhibuisset. Reisk 2 ἔτι ΓΘ et Canterus. Vulgo ὅτι. 3 ὅτι ἀμήχανον ΓΔΘ. Vulgo ὅτι μὴ (ὅτι καὶ Canterus) ἀμήχανον. 4 ὥσπερ οἱ πρὸς τὰ ὑψηλὰ ὄρνιθες] Oportebat dici, ὥσπερ οἱ ὄρνιθες πρὸς τὰ ὑψηλὰ φέρονται. sed primum eiusmodi traiectiones non sunt auctoribus insolitae. deinde recte habet illa verborum collocatio, si ad οἱ subaudis φερόμενοι, quasi dixisset ὥσπερ οἱ πρὸς τὰ ὑψηλὰ φερόμενοι ὄρνιθες. Reisk. 5 Nam haec narrantem audire idem esset atque narrantem audire fluvios non iam, quod proverbio dicitur, retro ad fontes suos recurrentes atque revolutos, sed in ipsa montium cacumina ascendentes. Reisk. 7 κέχρηται] κέχρη Δ. λόγῳ ΓΔΘ. Vulgo τῷ λόγῳ. 8 προειρημένοις Γ. Vulgo τοῖς προειρημένοις. 10 Sed ab eo inde

Digitized by Google

τοῦ ποταμοῦ. καὶ τί δεῖ παλιρροίας καὶ δίνας λέγειν, ἀμελήσαντα ὅτι οὔτ' αὐτόθεν ὁ Νεῖλος ὁρμᾶται, ἀλλὰ πολὺ πλείων ὁ ἄνω τόπος αὐτόθεν ἤπερ ὁ πρὸς θάλατταν, οὔθ' ὑπὲρ τοὺς καταρράκτας δυνατὸν τὸ ὕδωρ ὑπερβαλεῖν, εἰ μὴ κατ' Αἰσχύλον ὡς ἀληθῶς ἐξ αἰθέρος τις αὐτὸ κατάπαλτον φέρεσθαι θείη, οὔτ' ὅρος οὐδέν ἐστι μεταξὺ Συήνης καὶ Ἐλεφαντίνης, ἀλλὰ μᾶλλόν ἐν τῷ μεταξὺ τῶν ὅρων ἥ τε Συήνη καὶ ἡ Ἐλεφαντίνη. οὐ μὴν ἅπαν ψεῦδος τὸ εἰρημένον, ἀλλ' εἰσὶ μὲν αἱ πηγαὶ ἐν τῷ μεταξὺ Συήνης καὶ Ἐλεφαντίνης ὡς ἀληθῶς, πέτραι μεγάλαι δύο ἐν μέσῳ τῷ πόρῳ ἀνέχουσαι, καὶ τὸ μέσον αὐτῶν Αἰγύπτιοί φασιν εἶναι πηγάς. εἰσὶ δ' οὐ παντὸς αὗται τοῦ ποταμοῦ, ἀλλὰ τῷ πρὸς Αἰγύπτου κάτω συντελεῖς, οὐκ ἀρχαῖαι. καὶ μὴν καὶ τὸ βάθος γε οὐκ ἐφικτὸν ἔφασκον εἶναι πειρωμένῳ, πειρᾶσθαι δὲ οὐ συμφέρειν· τοῦτό με (581) καὶ ἀπέτρεψεν ὄντα πρὸς αὐτῷ καὶ δή, οὐ γὰρ ἦν τοσοῦτον τὸ διάφορον. αὗται οὖν αἱ πηγαὶ κατὰ φύσιν που ῥέουσι, καὶ οὐ μόνον τῷ λόγῳ πείθομαι ὅτι εἰσὶν αὐτόθι πηγαί, ἀλλὰ καὶ αὐτῷ τῷ πράγματι· πολὺ πλείων ἀπὸ

---

loco iter sursum ad fontes Nili esse longius quam ex eodem loco deorsum ad eius ostium. Reisk. 11 οὔθ'] οὔτε Δ. καταρράκτας ΓΔ. Vulgo καταράκτας. 12 κατάπαλτον (vi et velut per tormentum deorsum excussum) Reiskius. καταπαλτὸν Iunt. κατάπαλτὸν Steph. Iebb. 13 συήνης Δ. Vulgo συίνης. συίνης (η supra) Θ. συήνη et 15. συήνης Δ. Vulgo Συΐνη et Συΐνης. 14 ἡ om. Δ. 15 ἀνέχουσαι Canterus et Reiskius. Vulgo ἀνέχουσι. 17 ἀλλὰ τῷ Reiskius. Vulgo ἀλλὰ τῶν. Leg. τῷ. redit enim ad ποταμῷ. hi fontes, ait, sunt συντελεῖς τῷ ποταμῷ τῷ κάτω (scil. τείνοντι vel προϊόντι) πρὸς Αἰγύπτου. Reisk. ἀρχαῖαι] Hi fontes non sunt Nili totius primigenii solique fontes, sed conferunt solummodo suas undas illi Nili parti, quae illinc ad Aegyptum defertur. sic quoque iam supra p. 344, 18. ἀρχαῖος usurpaverat pro eo, quod ἄρχει πράγματός τινος, aut ἀρχὴν αὐτῷ παρέχει. conf. etiam p. 350, 18. Reisk. 19 οὐ γὰρ] tanti enim non erat. tanti mea non intererat, ut eius rei faciendae vel cognoscendae caussa tantum vitae periculum adirem. Reisk. 21 Post πολὺ excidit γάρ. quod sequitur καὶ ἅπας, ὡς εἰπεῖν, significat fluvium iam ex eo inde loco, ubi auctus fuit undis illorum duorum fontium, integrum esse, qui ante, prius quam id fieret, quasi se ipso minor fuisset. ἅπας hic idem est atque ὁλόκληρος plenus, perfectus, omnibus partibus

Digitized by Google

τούτων ὁ ποταμός ἐστι καὶ τὸ εὖρος καὶ ἅπας ὡς ἔπος
εἰπεῖν, καὶ πλοῖα μείζω δέχεται προϊὼν καὶ οὐ μείζω μό-
346 νον, ἀλλὰ καὶ πολλῷ. καίτοι τοὐναντίον οἱ ποταμοὶ πά-
σχουσι, προϊόντες ἐλάττους γίγνονται, ὅταν μὴ ἄλλο ὕδωρ
ἐπιβοηθῇ.

Εἰ δὲ δεῖ καὶ περαιτέρω διαβῆναι, ἐρῶ σοι δι' ὀλίγων ἃ ἤκουσα ἀνδρὸς Αἰθίοπος τῶν ἐκεῖ δυνατῶν. ὁ μὲν γὰρ ὕπαρχος ἀπὼν ἐτύγχανεν, ἡνίκα ἡμεῖς ἐπέβημεν τοῦ χωρίου, ἐπιτροπὴν δέ τις ἔχων ἦν, ὃς ἐμοὶ δι' ἑρμηνέων εἰς λόγους ἧκε. καὶ ὅσα μὲν ἔξω τοῦ παρόντος ἐστὶ λόγου παραλείψω, ἔφη δ' εἰς Μερόην, ἥπερ ἐστὶ πόλις μεγίστη τῶν ἐν Αἰθιοπίᾳ καὶ οὗ τὰ βασίλεια τῶν Αἰθιόπων, τεττάρων, οἶμαι δὲ καὶ ἓξ εἶπε μηνῶν, αὐτόθεν εἶναι πλοῦν, καταρράκτας δὲ ἐκδέχεσθαι πολλοὺς ἄλλους ἐπ' ἄλλοις, σχεδὸν εἰς ἓξ καὶ τριάκοντα τοὺς σύμπαντας ὑπὲρ Ψέλχιν (582) μέχρι Μερόης, καὶ τοῦτο πᾶν εἶναι τὸ γιγνωσκόμενον δὴ ῥεῦμα τοῦ ποταμοῦ. Μερόης δὲ ἐπέκεινα οὐ μέμνημαι μεθ' ὁπόσον τι ἔφη οὐκ εἶναι τὸ ῥεῦμα καθ' ἕν, ἀλλὰ δύ' εἶναι ῥεύματα, ὧν τὸ μὲν ἕτερον γήινον τὴν χρόαν, τὸ δ' ἕτερον ἀέρος ἐγγύς. ταῦτα δὲ συνιόντα καὶ μιγνύμενα γίγνεσθαι τὸν Νεῖλον τοῦτον, τὰ δὲ ἄνω οὔτ' αὐτὸς ἔφη ἔτι γιγνώσκειν οὔτ' ἄλλον Αἰθιόπων οὐδένα εἴς γε τὸ παντελές, ἀλλ' εἶναι μὲν ἀνθρώπους μέλανας, μελαντέρους ἑαυτῶν τε καὶ τῶν ὁμόρων τοὺς ὑπὲρ αὐτῶν ἀεί· εἰς ἄκρον δὲ οὐκ ἔχειν ἀνενεγκεῖν ὅθεν καὶ δι' ὧν φέρεται τὰ πρὸς πηγῶν ὁ ποταμός. καίτοι πῶς οὐκ ἄτοπον καὶ ὑπερφυὲς Αἰθίοπας μὲν ὁμολογεῖν μὴ ἔχειν εἰπεῖν τοῦ Νείλου τὰς πηγάς, ἡμᾶς δὲ ἀεὶ τούτου μὲν ζητουμένου, εὑρημένου δὲ οὐδέπω καὶ νῦν, τίς ἡ τῆς ἀναβάσεως αἰτία φροντίζειν καὶ τὸ πρῶτον, φασίν, οὐκ εἰδότας τὸ δεύτερον ζητεῖν; καὶ ταῦτ' οὐχ ἐν Ἡροδότῳ πρὸς

---

constans. potest tamen etiam accipi pro *κατὰ πάσας ἰδέας*, *omnibus modis*, non solum quoad latitudinem, sed etiam aliis omnibus modis, ut profunditate et velocitate cursus. Reisk. 22 *δέχεται*] *διέρχεται* Γ.

346, 1 *προϊόντες*] *γὰρ* add. Canterus. *γίγνονται* Steph. Iebb. *γίνονται* Iunt. 4 *ἧκε*] *ἧκεν* Γ. 7 *καταρράκτας* ΓΔ. Vulgo *καταράκτας*. 8 *Μερόης*] *μερρόης* Δ. 12 *ἔτι* om. Δ. 13 *αεί* Δ. Vulgo *αἰεί*. 16 *ἀεί*] Vulgo *αἰεί*. *εὑρημένου* om.

ἀηδίαν ἐπιτιμήσω διεξῆλθον — οὔτε γὰρ ἄλλως τῶν ἠσκηκότων ἔγωγε τὸ τοιοῦτον, ἀλλ' οὐδὲ τοῖς ποιοῦσι συγχαίρω, Ἡροδότῳ τε καὶ αὐτοῦ τοῦ ἔρωτος χάρις, ὃν ἡμῖν πρῶτος ἐνέβαλεν Αἰγύπτου, καὶ τἄλλα, φα- (583
σὶν οἱ παρρησιαζόμενοι, φίλος ἀνήρ — ἀλλ' οὔπω περὶ τούτων τἀληθὲς εἴρηται. πρόειμι δὲ πορρωτέρω τῶν ἐλέγχων, ἵνα ὥσπερ κεφαλαίῳ κατακλεισθεὶς ὁ λόγος βεβαιωθῇ. ἄρχεται μὲν γὰρ ἡ ἀνάβασις τροπαῖς θεριναῖς ἢ ὀλίγῳ βραδύτερον· τότε δ' Αἰγύπτου τῶν πρὸς
347 Αἰθιοπίαν καὶ Λιβύης τῶν πρὸς Αἴγυπτον ὑπὲρ κεφαλῆς ὁ ἥλιος ἵσταται. ὃ δῆλον ἐκ δυοῖν τῶν μεγίστων σημείων, ὧν οὐδέτερον περὶ τὴν ἄλλην συμβαίνει γῆν, ὅσην ἡμεῖς οἰκοῦμεν. δυοῖν γὰρ ὄντοιν πολισμάτοιν, οἶν ἀρτίως ἐμνήσθην ἐπ' ἄκροις τῆς Αἰγύπτου — Φίλας γὰρ τὰς ὑπὲρ τῶν καταρρακτῶν μεθόριον Αἰγύπτου λέγω καὶ Αἰθιοπίας — ἐν μὲν Ἐλεφαντίνῃ λάμπεται πάντα, καὶ νεὼ καὶ ἄνθρωποι καὶ στῆλαι, καὶ οὐδὲν ἔχει σκιὰν τῆς μεσημβρίας, ἐπειδὰν τὴν μεγίστην ὁ ἥλιος πληροῖ· ἐν δὲ Συήνῃ τῆς αὐτῆς ἡμέρας τε καὶ ὥρας μέσος ἐν μέσῳ τῷ ἱερῷ φρέατι ὁ κύκλος τοῦ ἡλίου φαίνεται, ὥσπερ ἐπίθημα ἴσον πανταχόθεν πρὸς τὸ χεῖλος ἐλλάμπων. καίτοι τοῦτ'

---

ΔΘ. 20 ἀνήρ] Vulgo ἀνήρ. Fort. ἀλλ' ἐπιδεῖξαι βουλόμενος ὅτι οὔπω — *sed haec eo dixi, quo demonstrarem* nondum certas huius rei rationes editas esse. Reisk.

347, 3 οἶν ΓΔΘ Iunt. ὧν Steph. Iebb. καταρρακτῶν ΓΔ. Vulgo καταρακτῶν. 5 τὴν μεγίστην] Canterus videtur ἡμέραν supplendum existimasse. Sed tum μηκίστην esset aptius. possit quoque τάξιν aut στάσιν subaudiri vel περιφοράν. facillimum tamen et veri simillimum penes me est, subaudiri σκιὰν e proximo. quo tempore sol in aliis terrarum orbis partibus umbram facit longissimam. id est aestatis diebus longissimis. quo enim longiores sunt dies, eo etiam longiores umbrae sunt mane atque vesperae. vel etiam excidit θέρμην, id est θερμότητα. τὴν μεγίστην θέρμην πληροῖ. Reisk. 6 συήνῃ Δ. Vulgo Συήνῃ. ἐν μέσῳ τῷ ἱερῷ φρέατι] De Syene et sacro hoc puteo Eustathius ad Dionysii Perieg. v. 220. πολλὴ δὲ ἐν ταῖς ἱστορίαις ἡ Συήνη, ἀπὸ Συήνου τινὸς οὕτω κληθεῖσα. ἐν ᾗ καὶ φρέαρ εἶναί φασι τὰς θερινὰς τοῖς ἐκεῖ διασημαῖνον τοῦ ἡλίου τροπάς· ὅπου καὶ ἄσκιοι κατὰ μεσημβρίαν εἰσὶν οἱ ὡρολογικοὶ γνώμονες, διὰ τὸ ὑποκεῖσθαι τοὺς τόπους τῷ τροπικῷ. Iebb. 7 ἐλλάμπων] ἐλλείπων

ἀμφοτέρων ἐστὶ σημεῖον, τοῦ τε μὴ τοῦ χειμῶνος ἐγγυ- (584)
τέρω τῆς Λιβύης γίγνεσθαι τὸν ἥλιον ἢ τοῦ θέρους, εἴ γε
δὴ δυοῖν ὄντοιν τῆς Αἰγύπτου μερῶν ἐπὶ τῆς Λιβύης ἡ Ἐλε-
φαντίνη πεπόλισται· πάντα γὰρ ἐνταῦθα ἤδη συμπέπτω-
κεν, Αἴγυπτος, Ἀραβία, Λιβύη, Αἰθιοπία, τὰ μὲν ἔνθεν,
τὰ δὲ ἔνθεν εἰς ταυτὸν ἥκοντα· ἔπειτα εἰ τὰ μάλιστά τις
αὐτῷ δοίη τὸ τὸν ἥλιον τῇ Λιβύῃ πλησιάζοντα τήκειν τὸ
ὕδωρ, αὐτὸ τοῦτο κατ' αὐτοῦ γίγνεται. εἰ γὰρ ἐξέτηκε τοῦ
χειμῶνος τὸν ποταμὸν διὰ τὸ προσχωρεῖν, δῆλον ὅτι τοῦ γε
θέρους, ὁπηνίκα ἔστη κατ' αὐτοῦ, παντελῶς ἀναρπάσας
ᾤχετ' ἄν. οὐ γάρ ἄλλον γέ που τρόπον ἐγγυτέρω τῆς γῆς
ἔνι γίγνεσθαι φῆσαι τὸν ἥλιον ἢ ὅταν εἰς κάθετον ὑψω-
θῇ, ἐπεὶ ὅτι γε οὔτε τῇ Λιβύῃ πλησιάζει ποτὲ ὁ ἥλιος οὔτ'
ἄλλῳ μέρει τῆς γῆς οὐδενὶ ῥᾳδίως ἄν τις ἔχοι μαθεῖν. οὐ
γὰρ μέρη τῆς γῆς ἐπέρχεται δή που τὰ μὲν θέρους, τὰ δὲ
χειμῶνος, ἀλλ' ἡ γῆ μᾶλλον ἐν μέρει τῆς ἐκείνου περιφορᾶς
ἐστιν. ἀλλ' ἀπέχει μὲν τὸ ἴσον πάσης ἀεὶ τῆς γῆς, οἷς
δ' ἂν ὑπὲρ κορυφῆς ἵστηται τὰ μεσημβρινὰ, τούτοις
πλείστην φέρει τὴν φλόγα. φαίνεται τοίνυν οὐκ ἐπέχων (585)
οὐδὲ ἱστὰς, οὐδ' ἀναρπάζων τὸν ποταμὸν τότε, οὐδ'
ἐλάττω ποιῶν ἐκ μείζονος, ἀλλ' αὐξανόμενον καὶ προσ-
θήκην ἀεὶ τῷ ῥεύματι λαμβάνοντα ἐφορῶν. ὃ σὺ θαυμά-
ζεις· καίτοι πότε λοιπὸν τήκεσθαι φήσομεν τῇ θέρμῃ τὸν
Νεῖλον, εἰ ὑπό γε τὴν τοιαύτην ἀκμὴν ἀνιὼν ὁρᾶται;
348 ὑποστρέψας τοίνυν ὁ ἥλιος ἐκ τροπῶν ἐπ' Αἰθίοπας χω-
ρεῖ· λέγω δέ πως καθ' Ἡρόδοτον τῷ ῥήματι. ὥστ' ἀεὶ
τοῖς ἀνωτέρω ταυτὸν τοῦτ' ἔχων σχῆμα πορεύεται. ταῦ-
τα δ' ἐστὶν ἡ τοῦ ποταμοῦ πορεία, ὥστ' ἀεὶ παρῃρεῖτ' ἂν

---

in textu, ἐλλάμπων in marg. Γ. 8 τοῦ τε] Huic respondet mutata constructione v. 11. ἔπειτα εἰ τὰ μάλιστα. Reisk. 9 δὴ] δεῖ Θ. Fort. ἐπὶ τοῦ πρὸς Λιβύης. μέρους puta. Reisk. 11 τὸ τὸν] τοῦ τὸν ΓΔ. 16 μέρη Γ. Vulgo μέρει. 17 ἀλλ'] ἀλλὰ Θ.
Loco ἐστὶν flagitat sententia ἀπολαύει. sed terrae magis aliae ex aliis, solis vicibus, nunc hoc, nunc alios acrius urgentis, fruuntur. Reisk. ἀεὶ] Vulgo αἰεὶ. 19 ἐπέχων] ἀπέχων Δ.
20 ἀεὶ] Vulgo αἰεὶ. ὃ σὺ Reiskius. ους vulgo. οὓς οὐ Γ. ὡς θαυμάζων, nisi forte plura desint, Canterus. 21 Fort. τοῦ καύματος ἀκμήν. v. p. 349, 16. Reisk.
348, 2 ἀεὶ] Vulgo αἰεὶ. τοῖς] τῆς Θ. 3 ἀεὶ] Vulgo

οὐκ ὀλίγην μοῖραν τοῦ ὕδατος καὶ κατὰ μικρὸν ἐξήραινεν ἄν, οὐ τοὐναντίον φαίνεται ποιῶν· εἰ τοῦτ' ἄρα εἰπεῖν δεῖ, μᾶλλον δ' οὐχ ὁ ἥλιος, οἶμαι, φαίνεται ποιῶν, ἀλλ' ὁ Νεῖλος τοὐναντίον, εἴτ' οὖν ποιῶν εἴτε πάσχων δεῖ λέγειν. δέον γὰρ αὐτὸν λήγειν κατὰ μικρὸν πρὸς τὴν τοῦ ἡλίου κίνησιν, ἀρξάμανος αὐξάνεσθαι αὔξει κατὰ μικρὸν αὐτὴν τὴν ἐπίδοσιν καὶ τὴν αὐτὴν ἀρχὴν καὶ τὴν αὐτὴν ἀκμὴν ὁ μὲν τοῦ καύματος, ὁ δὲ τῆς ἐπιρροῆς παρέχεται.

Ἀλλ' ἄγε δὴ μετάβηθι, Ἐφόρου δὲ τοῦ φιλοσόφου καὶ σοφοῦ κόσμον ἄεισον, ᾧ κεκόσμηκεν ἀνὴρ αὐτόν τε καὶ τὴν συγγραφήν. καίτοι δέδοικα μὴ γελοιότερος ὁ πει- (587) ρώμενος ἐλέγχειν ᾖ τοῦ φάσκοντος εὑρεῖν· εἰ μὲν γὰρ μὴ πολὺ μὲν Καταδούπων ἄνω, πολὺ δ' ὧν ἴσμεν τόπων ἔτι τὴν ἐπίδοσιν κατῆγεν ὁ Νεῖλος, τάχ' ἄν τις προσεῖτο τὴν ὑπόνοιαν ὡς ἄρα ἐκ τοῦ Λιβυκοῦ ὄρους καὶ τοῦ Ἀραβίου τὸ ὕδωρ ὑποχωροῦν εἰς τὸ κάτω πληροῖ τὴν Αἴγυπτον μέσην τε καὶ κοίλην οὖσαν, ἅ φησιν ἐκεῖνος τὴν θέρμην αἰτιώμενος. νῦν δ' αὖ καὶ οἱ μηδεπώποτε ὄνομα ἀκούσαντες Ἐφόρου τοῦτ' ἴσασιν ἐκ πολλῶν ἡμερῶν πλοῦ κατιόντ' αὐτὸν ἄνωθεν ὑψηλὸν καὶ περί τε αὐτοὺς Καταδούπους θαυμαστὸν αἰρόμενον καὶ τὸ μεταξὺ Συήνης καὶ Ἐλεφαντίνης, ὅθεν περ των Αἰγύπτου μερῶν ὁ κληθεὶς ἂν ὑφ' Ἑλλήνων Ἑρμῆς ἄρχεται, θαυμαστῷ κτύπῳ διεξιόντα καὶ πληροῦντα τριάκοντα πήχεις ἄγοντα ὡς μέσως εἰρῆσθαι.

---

αἰεί. 4 εἰ τοῦτ' — ποιῶν om. *Δ*. 7 Fort. καὶ τὴν αὐτὴν ἀρχὴν καὶ τὴν αὐτὴν ἀπακμήν. *idem initium calorum et incrementorum eandemque remissionem.* loco primi αὐτὴν a κατὰ μικρὸν proximi malim quoque αὐτὸς, *ipse increscit.* Reisk. 8 Ἀλλ' ἄγε ex Odyss. *θ*, 492. Vulgo ἀλλά γε. σοφοῦ *ΓΔΘ*. Vulgo σοφιστοῦ. 9 ἀνὴρ] Vulgo ἀνήρ. 13 μέσην] Scil. inter illos Libycos et Arabicos montes et inter mare mediterraneum. Reisk. 14 τοῦτον ἴσασι. Nilum scilicet. neque obest quod αὐτὸν sequitur. nam id ad Ephori sententiam respicit, qui putabat Nilum colluvione aquarum crescere. Noster autem Nilum ait ipsum per se αὐτὸν descendere sine undis adscititiis. Reisk. 16 συήνης *Δ*. Vulgo Συῆνης.

18 τριάκοντα πήχεις ἄγοντα] Scil. in profundum, εἰς κάθετον, ut noster ait, quod non admodum magnum est pro magnitudine tanti fluvii in angustias scopulorum coacti et conclusi. deinde πληροῦντα cum ἄγοντα non facile concilio. πληροῦντα πήχεις satis erat;

Digitized by Google

πῶς οὖν τὸ ἐκ τῶν ὀρῶν τῶν ἔνθεν καὶ ἔνθεν κλειόντων τὴν Αἴγυπτον ὕδωρ τοσοῦτον κάτω τῆς ἀναβάσεως τοῦτ' ἐστὶ τὸ ποιοῦν τὴν ἀνάβασιν, καὶ τὸ αὐτὸ ἅμα μὲν πληροῖ τὴν Αἴγυπτον ὑπορρέον, ἅμα δὲ ὑπὲρ κορυφῆς Αἰγύπτου τοσοῦτον φαίνεται κατὰ νώτου τοῦ ἀρχαίου ὕδατος (587) φερόμενον, εἰ μὴ καὶ Ἔφορος τοῦτ' ἐρεῖ καὶ προσθήσει
49 τῷ σοφῷ ὅτι ὥσπερ ἐκ τῶν ὑψηλοτέρων εἰς τὸ κοῖλον καταρρεῖ τὸ ὕδωρ, οὕτως πάλιν ἐκ τῶν κοίλων ἀναστρέφει πρὸς τὰ ὑψηλά, καὶ ἀρξάμενος ἐκ θαλάττης ὁ ποταμὸς αὖθις ὑποστρέψας ἐπὶ καταρράκτας καὶ Μερόην ἄνω φέρεται, ὥσπερ τις ἐν προσάντει δολιχὸν τρέχων. ταῦτα δὲ οὐδ' ἂν τοὺς αὐτοῦ πολίτας οἶμαι πείθοι λέγων. καὶ δὴ τοῦτο τὸ ἰσχυρὸν ἐῶ, καίτοι φασὶ καὶ τὰς κλοπὰς ἄχρι τούτου δεῖν ἐλέγχειν, ἕως ἄν τις τὰ φώρια ἐν τοῖν χεροῖν ἔχοντα ἀποδείξῃ. ἀλλ' ἕτερον εὔηθες· αὐτὸ γὰρ τοῦτο πρῶτον τὸ νομίζειν ἢ τὴν Ἀράβιον ταύτην τὴν ὀρεινὴν ἢ τὴν Λιβυκὴν ὕδατος μεστὴν εἶναι τίς λόγος; ποῖαι γὰρ ἢ ἐνταῦθα ἢ ἐκεῖ πηγαί; τίς δ' ὅσον ἔννοια ὕδατος ἐν τοῖς χωρίοις τούτοις; ἅ γ' ἐστὶ ξηρότερα καὶ ψεδνότερα παντὸς οὗ τις ἂν εἰκάζων εὕροι, ὥστ' ἔν γε τῇ Ἀραβικῇ καὶ ἡ περιβόητος αὕτη λιθοτομία ἡ πορφυρῖτίς ἐστιν· ἐργάζονται δ' αὐτὴν ὥσπερ καὶ τὰς ἄλλας δή που κατάδικοι· ἀλλὰ τούτους γε, ὥς φασιν, οὐδεὶς φρουρεῖ, οὕτω σφόδρα ὕδατός ἐστιν ἄπορος, ὑφ' οὗπερ καὶ ἠρήμωται, ἀλλὰ φόβῳ τοῦ (588) καυθήσεσθαι ζῶντες, ὃ δεῖ παθεῖν ἄν τις φεύγων ἁλῷ, μένουσιν οἱ μένοντες τῶν μεταλλέων. καὶ ὅμως εἰσὶν οἳ καὶ τοῦθ' αἱροῦνται μᾶλλον ἢ διὰ παντὸς τοῦ χρόνου κάεσθαι. τῷ γὰρ ὄντι τοῦτ' εἶναι τὸ κάεσθαι ζῶντα. οὕτως

---

rursus ἄγοντα πήχεις sufficiebat. ἄγειν πήχεις idem est atque πληροῦν πήχεις, agere et implere tantam molem aquarum, quae impleat ulnarum tot et tot altitudinem. videtur itaque auctor dedisse τριάκοντα πήχεις ἢ τετταράκοντα πληροῦντα. implentem altitudinem ulnarum triginta aut quadraginta. Reisk. 22 Fort. τῷ σοφῷ σοφόν. Reisk.

349, 1 οὕτως ΓΔΘ. Vulgo οὕτω. 2 καταρράκτας ΓΔ. Vulgo καταράκτας. 3 τοὺς αὐτοῦ πολίτας] Cumanos ex Aeolide, quorum fuit olim celebris stupiditas. Canter. 5 τοῖν Γ. Vulgo ταῖν. 6 ἢ ἐνταῦθα] ἢ om. Δ. 10 ἠρήμωται. redit enim ad Arabiam. Et sic quoque Canterus in Latinis. Reisk. Legebatur ἠρήμωνται. 12 οἳ] εἰ Δ. 13 οὕτως ΓΔ. Vulgo οὕτω.



Digitized by Google

διὰ παντὸς ὁ χῶρος ἀμμώδης ἐστὶ καὶ διψῇ. ὅλως δὲ τί δή ποτε οὐ καὶ πάντες οἱ ποταμοὶ μείζους ἑαυτῶν τοῦ θέρους γίγνονται τῷ λόγῳ τούτῳ; εἰ γὰρ ὁ ἥλιος εἰς τὰ κοῖλα τῆς γῆς τὸ ὕδωρ ἀπωθεῖ, ἡ δὲ γῆ μεστὴ γιγνομένη τελευτῶσα ἐπικλύζεται αὐτὴ δι' αὑτῆς, τί δή ποτ' οὐκ εἰσὶν ἐν ἀκμῇ τοῦ καύματος οἱ ποταμοὶ μέγιστοι, πάντες ἐν τοῖς κοίλοις ὄντες τῆς καθ' αὑτοὺς ἕκαστοι γῆς; ἀλλ' ἀντὶ τοῦ μέγιστοι τότ' εἶναι τότ' εἰσὶν ἐλάχιστοι. καὶ μὴν καὶ περὶ ἄλλους δή που ποταμοὺς ἕτερά ἐστιν ὄρη καὶ οὐ μόνον οὐκ ἐλάττω τούτων, ἀλλὰ πρὸς τῷ μείζω σαφῶς ἔτι καὶ ὑγρότερα καὶ πολλῷ, ὡς δῆλον τοῖς τε δένδρεσι τοῖς ἐπιπεφυκόσι καὶ ταῖς εἰς τὸ φανερὸν ἀπορρεούσαις νοτίσι. πῶς οὖν οὐ τὰ ἄμικτα μίγνυται, εἴ γε ἀπελαθήσεται μὲν εἰς βάθος τῆς γῆς τὸ ὕδωρ, τηνικαῦτα δ' ὑψωθήσεται διὰ τὸ αὐτὸ τοῦτο; καὶ ὡς ἔοικεν, ὁ αὐτὸς ἥλιος τὸ μὲν (5
Ἀράβιον καὶ Λιβυκὸν ὄρος ἐξιποῖ καὶ τὸ ὕδωρ ὠθεῖ κάτω,
350 ἐν Αἰγύπτῳ δὲ τὸ αὐτὸ τοῦτο ὕδωρ ὑψούμενον περιορᾷ. ποῦ δὲ καὶ ἡ χώρα μεστὴ γίγνεται κάτωθεν, ὦ σοφίας κεφάλαιον; ἥ γε οὕτως ἔρρωγε καὶ διέστηκεν εὐθὺς ἐκ τροπῶν τῶν ἠρινῶν ὥστ' εἶναι μονονοὺ χάσματα καὶ χαράδρας ἅπασαν καὶ μηδὲ τοῖς ὑποζυγίοις ἀκίνδυνον τὴν πορείαν εἶναι. πῶς οὖν αἱ πόρρω τοῦ Νείλου, φησί, λίμναι πληροῦνται, εἴπερ ἐξ ὄμβρων ἢ χιόνος λυθείσης αἴρεται; τοῦτο δ' εἰ τὰ μάλιστα δυνατόν ἐστιν, οὐδὲν μᾶλλον τῷ γε Ἐφόρου λόγῳ συνθεῖ. ἔστι γὰρ καὶ μήτε ἐξ ὄμβρων μήτ' ἐκ χιόνος αἴρεσθαι τὸν ποταμὸν καὶ μὴ τοῦτ' αἴτιον εἶναι, τὸ τὴν ἰκμάδα εἰς αὐτὸν ὑπορρεῖν. οὐ μὴν ἀλλ' ἔμοιγε καὶ πᾶν τοὐναντίον ἤπερ ἐκείνῳ δοκεῖ, τὴν μὲν ἄνωθεν ἐπιρροὴν μηδὲν μᾶλλον κωλύειν οὗτος ὁ λόγος, τὴν δ' αὐτόθεν πλήρωσιν παντελῶς ἐξελέγχειν ὡς ἔστι γέλως. τὸν μὲν γὰρ ποταμόν, ἕως ἂν ἀπῇ τἄλλα ἃ κωλύει,

15 τὸ ὕδωρ ἀπωθεῖ] ἀπωθεῖ τὸ ὕδωρ Δ. 17 τότ' εἶναι] τοῦτ' εἶναι Δ. 18 ἐστιν] εἰσιν Δ. 19 δένδρεσι ΓΔΘ. Vulgo δένδροις. 22 ἐξιποῖ] Legebatur ἐξοπτεῖ. ἕξει ποῖ Γ. ἐξιπποῖ Δ. ἐξοπτοῖ Θ. Malim ἐξοπτᾷ cum Cantero.

350, 2 μονονοὺ] μόνον οὐ Δ. 5 δυνατόν Reiskius. Vulgo ἀδύνατον. συνθεῖ] συνθῇ ΓΔ. ἔστι γὰρ καὶ ΓΘ. Aberat καὶ. 8 μηδὲν] μηδένα ΓΔ. 8 πλήρωσιν] πήρωσιν Γ.

Digitized by Google

εἰκός ἐστι καὶ ὑπὸ τῆς χιόνος καὶ ἐξ ὄμβρων αὐξανόμενον κατιέναι, κατιόντος δ' αὐτοῦ τὴν γῆν πληρουμένην καὶ (590) διοιδοῦσαν ἀφιέναι κάτω νοτίδας εἰς τὰ πλάγια, οὐ διὰ τὴν θέρμην οὐδ' ὑπὸ τοῦ ξηραίνεσθαι — γελοῖον γὰρ τὴν αὐτὴν οὐκ ἔχουσαν τὸ ἀναγκαῖον ὕδωρ ἀποστέλλειν τὸ πέριττὸν ἑτέρωσε — ἀλλὰ τοὐναντίον τῷ πλεονάζοντι παρέχουσαν τοὺς ἐγχωροῦντας ἀδήλους ὀχετούς. εἰ δ' ἡ κοιλότης ἡ τῆς συγκεκλεισμένης ὑπὸ τῶν ὀρῶν χώρας παρεῖχε τὴν αἰτίαν, οὐκ ἂν ἐπληροῦντο αἱ πόῤῥω δή που λίμναι τοῦ ποταμοῦ· καὶ τούτου μάρτυς αὐτὸς Ἔφορος. φησὶ γὰρ φεύγων τὸν ἔλεγχον ὡς ἄρα οὐ δυνατὸν τοῦτο συμβαίνειν περὶ τὴν ἄλλην γῆν, διὰ τὸ μήτε κοίλην εἶναι μήτ' ἐπίκτητον ὥσπερ τὴν Αἴγυπτον, ἀλλ' ἀρχαίαν τε καὶ ὡς ἐκεῖνος κέκληκεν αὐτοπαγῆ. τοῦτο δὴ δῶμεν ἀληθὲς εἶναι μέχρι γοῦν τινός· ἔστι δ' οὐδὲν μᾶλλον· οὐκοῦν αἱ μὲν ἐγγὺς τοῦ ποταμοῦ καὶ κατ' αὐτὴν Αἴγυπτον λίμναι οὐκ ἀφ' αὑτῶν ἄρχονται δήπουθεν, ἀλλ' ἐκ τοῦ ποταμοῦ πᾶσαι, καὶ διώρυχες εἰς αὐτὰς φέρουσιν, ἐάν τ' Ἔφορος φῇ ἐάν τε μή. ὥστε ταύτας μὲν οὐδὲν ἀπεικὸς μετέχειν τῆς αἰτίας, ἥτις ἂν ᾖ τῷ ποταμῷ τῆς ἀναβάσεως· ἥ τε
351 γὰρ Μοίριδος λίμνη καὶ αἱ πρὸς τοῖς ἕλεσι κάτω καὶ ἡ (591) πρότερον μὲν ὑπὲρ Φάρου, νῦν δ' ἐξόπισθεν τῆς Ἀλεξάνδρου πόλεως Μάρεια, ἐξ ἀρχῆς τέ εἰσι τοῦ Νείλου κόλποι καὶ τῆς ἀναβάσεως μετέχουσιν, ὅταν κατὰ τὰς διώρυχας εἰσπέσῃ τὸ μέρος τοῦ ῥεύματος· ἡ δ' αὖ Σερβωνὶς λίμνη περιφανῶς ἔξω τῶν ὀρῶν τούτων ἐστίν. ὑπερελθόντι γὰρ Πηλούσιον καὶ τῶν ὀρῶν τῶν συγκλειόντων τὴν Αἴγυπτον θάτερόν ἐστι πρὸς Ὀστρακίνην βαδίζοντι, ἥπερ ἐστὶ μέση μάλιστα τῆς ἀσπόρου τῆς Ἀραβικῆς. εἰ μὲν οὖν καὶ εἰς ταύτην

---

13 περιττὸν] περισσὸν Θ. παρέχουσαν Γ. Vulgo παρέχουσα. βρέχουσαν Canterus. 15 αἱ πόῤῥω Γ. Aberat αἱ. τοῦ ποταμοῦ ΓΘ. Aberat τοῦ. 19 Αἴγυπτον] τὴν Αἴγυπτον Reiskius. 20 ἀλλ' ἐκ] ἀλλ' αἱ Δ. διώρυχες Canterus. Legebatur διώρυχας. 22 ἕλεσι ΓΔ et Reiskius. ἕλεσι Θ. Vulgo Ἕλλησι. Cf. ad p. 301, 18 et vide Valckenar. ad Herodoti II, 148.

351, 1 ὑπὲρ Φάρου] Fort. ὑπὸ Φάρου, sub Pharo. nam ultra Pharum semper mare fuit. Reisk. Μάρεια Reiskius. Vulgo Μαρία. 4 Πηλούσιον] πληρούσιον Δ. 5 Vulgo τῆς ἀσπάρου. „Fort. τῆς

ἐκ τῶν ἄνωθεν τόπων ἔρχεται τοῦ Νείλου τις ἀπόρροος, οὐδὲν δέομαι λέγειν· ὅτι δ' ἐκφεύγει τοὺς ὅρους τοὺς Ἐφόρου δῆλον ἐξ ὧν εἶπον. ὥστε δυοῖν θατέρῳ περιπίπτει· εἰ μὲν γὰρ οὐ δέχεται τοῦτον τὸν λόγον οὐδ' εἰς ἔλεγχον τίθησιν, ὃς δείκνυσιν αὐτὴν ἔξω τῆς κοίλης χώρας οὖσαν, τί οὐ καὶ κατὰ πᾶσαν τὴν γῆν ταὐτὸν τοῦτ' ἔδειξε γιγνόμενον, εἴπερ παρὰ τῇ θέρμῃ μόνῃ τὸ αἴτιόν ἐστιν; εἰ δ' οὐκ ἀξιοῖ ζητεῖν ἑτέρωθι ταὐτὸν τοῦτο τῷ μὴ τὴν αὐτὴν εἶναι φύσιν τῆς χώρας, ἔξω τῶν ὅρων τούτων ἐστὶν ἡ λίμνη. ὥστε πῶς αὔξεται; οὐκοῦν πρὶν ὃ τὸ πρῶτον προὔκειτο σκέψασθαι, πῶς ὁ Νεῖλος αὐξάνεται, δεύτερον δεῖ ζητεῖν πῶς ἡ λίμνη κατὰ τούτους τοὺς λόγους. καὶ μὴν ὅτι γ' οὐδ' ἄλλως ἀληθῆ λέγει ταύτῃ τῇ προφάσει καταχρώμενος ῥᾴδιον γνῶναι. πολλαὶ γὰρ δή που καὶ ἄλλαι χῶραι γεγόνασιν ἐκ ποταμῶν ἐν τῷ παντί, ἃς ἀνάγκη πολλὴ καὶ κοίλας εἶναι καὶ ἀραιὰς τοῖς αὐτοῖς λόγοις τούτοις. καὶ τὰς μὲν ἄλλας παραλείπω, μία δ' ὦ Ζεῦ πρὸ πυλῶν εὐθὺς ἦν αὐτῷ τῆς πατρίδος καὶ ἐν ὀφθαλμοῖς. τὸ γὰρ περὶ Λάρισσαν πεδίον θάλατταν εἶναι τὸ παλαιὸν πολλὰ τεκμήρια. καὶ ὅτι μὲν πολλοστὸν ὁ Ἕρμος τοῦ Νείλου μέρος εἰς ἕτερον λόγον τίθει τοῦτο, ὅτι δ' ἐκ τῶν αὐτῶν καὶ τούτῳ τοῦ θέρους αὔξεσθαι προσῆκε καθ' αὑτὸν ἐλέγχεται. ὁρᾶται μὲν γὰρ τὰ κύκλῳ περιέχοντα ὄρη τὴν χώραν, ὁ δὲ ῥεῖ δι' αὐτῆς ἀραιᾶς οὔσης καὶ πεποιηκὼς αὐτὸς ἐξ ἀρχῆς. τίνος οὖν ἕνεκα οὐ μόνον οὐκ αὔξεται τοῦ θέρους, ἀλλὰ καὶ πολλῶν ἀπολείπεται τῶν οὐδ' ἐγγὺς ἐκείνῳ τοῦ χειμῶνος ὄντων; πολλάκις δὲ οὐδ' ὅσον ῥεῖν ἐστιν αὐτῷ. καὶ ἕτερ' ἄν τις ἔχοι λέγειν μυρία τοιαῦτα.
352 καίτοι πρός γε οὓς αὐτὸς ἀντιλέγει, καὶ ἓν ποιησάμενος

---

ἀσπόρου. id est τῆς ἐρήμου. deserti Arabici, quod agriculturam haud patitur." Reisk. 6 τοὺς ἐφόρου Γ. Vulgo τοῦ Ἐφόρου. 7 δῆλον] δῆλον ὅτι ΔΘ. οὐ δέχεται] οὐ delendum. nam si hanc admittit rationem eamque erroris non arguit. Reisk. 8 οὐδ' εἰς] οὐδεὶς Δ. 9 ἔδειξε ΓΔ. Vulgo ἔδειξεν. Aut ἔδειξε γιγνόμενον aut ἔδειξεν ἐγγιγνόμενον. nonne declaravit idem fieri posse. Reisk. 13 λέγει] λέγειν Δ. 20 αὐτὸς] αὐτοὺς Δ. 21 τῶν οὐδ'] τῶνδ' οὐδ' Δ.

352, 1 ἀντιλέγει] ἀντιλέγοι Δ. 2 Est argumentum Ephori

*παράδειγμα ἀπαλλάττεται· ἔστι δ' οὐ μηδ' ὄνομα ἐπενεγκὼν, ὥστε γνῶναι ἢ τὸν ποταμὸν ἢ τὴν γῆν, ὅμως ἀξιοῖ νικᾶν. ἀραιὰ γὰρ ἡ Αἴγυπτος καὶ ῥᾳδία λιβάδας διαδοῦναι. ἀλλ' ὅτι μὲν οὐδ' ἄλλη πίων οὕτω καὶ μόνον ἀρκοῦν εἰπεῖν ἐῶ· ἀλλὰ τί φήσομεν περὶ τῆς ἔξω τοῦ Κασίου ταύτης ἧς ἐμνήσθην ἀρτίως; οὐ γὰρ δή που καὶ ταύτην ἔργον εἶναι τοῦ ποταμοῦ, ἀλλ' ὅμως μετέχει τοῦ πράγματος· οὐ μὴν οὐδ' ὑπ' ἄλλου φαίης ἂν αὐτὴν κεχῶσθαι ποταμοῦ, ἄνυδρος γάρ ἐστι παρὰ τὴν λίμνην ἅπασα. καὶ μὴν οὐδ' οἱ τοῦτο πείθοντες περὶ πάσης Αἰγύπτου πειρῶνται πείθειν, ἀλλ' ὑπεξαιροῦνται τήν γε ὑπὲρ κορυφῆς τοῦ Δέλτα τοσαύτην οὖσαν ἀρχαίαν εἶναι, καὶ οὐχ ἁπλῶς οὐδ' ὡς κοινὸν εἰπεῖν, ἀλλ' οὕτω διαφερόντως ἀρχαίαν ὥστε καὶ πρώτην ἀνθρώπους ἐνεγκεῖν τῶν κατὰ τὴν Ἀσίαν, ἵνα μή τι λέγω πλέον. οὐκοῦν εἰ μὲν ἐν τῷ Δέλτα μόνῳ συνέβαινε γίγνεσθαι τὴν ἀνάβασιν, εἰκὸς ἦν καθ' ἕν γέ τι τοῦτο πιστεῦσαι, εἰ δ' ἐν ἁπάσῃ γίγνεται καὶ τοσοῦτον περὶ τὰ ἄνω πρότερον ὅσον τὸ ῥεῦμα κατέρχεται, τί πρὸς* (594) *λόγον ἐστὶ τὸ τὸν Νεῖλον ἄγειν γῆν καινὴν ἢ ποιεῖν;*

*Ἔτι τοίνυν οὐδὲ τῆς Αἰθιοπίας τε καὶ Αἰγύπτου ἡ αὐτὴ φύσις, ἀλλ' ἡ μὲν ὑπόψαμμός τε καὶ ξηρὰ καὶ κατὰ λεπτόν ἐστι συνεστηκυῖα, ἡ δ' οὕτω βαθεῖα καὶ πεπηγυῖα ὡς οὐ ῥᾴδιον εὑρεῖν ἑτέραν· ἀλλὰ μὴν ἀμφοτέρωθι ταυτὸν γίγνεται. πῶς οὖν ταὐτὰ αἴτια περὶ ἀμφοῖν ἐγχωρεῖ λέγειν, τῶν τοσοῦτον διαφόρων; εἰ μὲν γὰρ ἡ τῆς Αἰγύπτου φύσις αἰτία, οὐχ ἥ γε τῆς Αἰθιοπίας, ὡς ἔοικεν, ὅθεν πρόπαλαι κεκίνηται· εἰ δ' ἡ τῆς Αἰθιοπίας φύσις*

---

per sermocinationem introductum. cui statim respondetur in illis: atqui neque aliam terram esse pariter pinguem atque mollem. Reisk. 5 *εἶναι*] Scil. *φήσομεν*. quod tacite debet e praemissis repeti. Reisk. 6 *παρὰ τὴν λίμνην*] Videtur Canterus *περὶ τ. λ.* legisse. non male, sed nec opus, et videtur vulgata vel idem dicere, vel hoc significare *tota illa regio, praeter lacum, est arida*. Reisk. *ἅπασα*] *ἅπασαι* Δ. 7 *τοῦτο*] Scil. *ἔργον εἶναι τοῦ ποταμοῦ τὴν Αἴγυπτον*. Reisk. *πείθοντες*] *πείθονται* Δ. 10 *μόνῳ*] *μόνον* Δ. *γίγνεσθαι*] *γίνεσθαι* Γ. 11 *περὶ τὰ*] Vulgo *περί τ'* (*τε* Δ). 12 *ἐστὶ* ΓΔΘ. Vulgo *ἐστὶν*. 13 *τε* Reiskius. Vulgo *γε*. 17 *ἡ τῆς Αἰγύπτου*] *ἡ* om. Δ.

αἰτία, τί δεῖ λέγειν ὡς ἡ Αἴγυπτος κοίλη καὶ ὑπὸ τῶν ὀρῶν συγκέκλειται; οὔτε γὰρ ἐν ταύτῃ τὸ αἴτιον οὐθ', ὡς ἔοικε, τοῦτο. καὶ μὴν κἂν τοῖς ἄνω καταρρακτῶν τοῖς περὶ Ψέλχιν κέκλιται τὸ πρὸς ἑσπέραν τοσοῦτον ὥστε μηδ' ἐγγὺς εἶναι τὸ βάθος τῆς χώρας τῷ ῥείθρῳ. ἔστι μὲν γὰρ ὀφρὺς ἀμμώδης, ἀπείργουσα τὸν ποταμὸν πρὸς τὴν κάτω πᾶσαν χώραν, τελευτᾷ δ' εἰς πολλῷ βαθύτερον τὸ πρὸς
353 ἑσπέραν. ὥστ' εἰ τῆς γῆς νοτὶς ἦν τὸ ὕδωρ, οὐκ ἂν εἰς (3
τὸν ποταμὸν εἶχε συρρεῖν, ἀλλ' ἐξεχεῖτ' ἂν ἐπὶ θάτερα τοῦ ποταμοῦ. ἤκουσα δὲ ἔγωγε καὶ τῆς Παλαιστίνης Συρίας ἐν Σκυθῶν πόλει περὶ τὸν τόπον, ὃς τάς τε δὴ βαλάνους τῶν φοινίκων τὰς ὀνομαστὰς καὶ τὸν ὀπὸν φέρει, λίμνην εἶναι, ἣν ἐπειδὰν ὁ Νεῖλος ἀνέλθῃ, σημαίνειν· καὶ γὰρ τὸ ῥῆμα τοῦτ' ἦν τῶν ξένων, ἔλεγον δὲ ὡς αὐξανομένης. εἰ μὲν οὖν καὶ αὕτη μεταξὺ Λιβύης καὶ Ἀραβίας ἐστὶν ἡ γῆ ἡ κοιλοτέρα τῆς ἄλλης ἁπάσης, δῶμεν ἀληθῆ λέγειν Ἔφορον, καίτοι τοσοῦτόν γε ψεύδεται, εἰπὼν μὴ δεῖν ἄλλοθι ζητεῖν, μὴ γὰρ εἶναι ταυτόν. εἰ δὲ πολλαὶ ταύτης οὖσαι κοιλότεραι, εἰ καὶ μὴ ἐπὶ μακρὸν, ἀλλ' οὖν ἔστ' ἐφ' ὅσον γε, ὅμως δὲ τοῦτ' οὐχὶ πάσχουσιν, ἄλλο

---

συγκέκλειται] Vide Thomam Mag. v. κέκλειμαι p. 521 κεκλιμένοι restitui I. p. 78, 5. 19 καταρρακτῶν ΓΔ. Vulgo καταρακτῶν. ψέλχιν ΓΘ. Vulgo Ψέλχιν. ψέλκιν Δ. κέκλιται ΓΘ. Vulgo κέκλειται. κέκλειται] κέκλιται, declivis est terra, deorsum vergit, ex plaga occidentali tantopere ut —. Reisk. 20 τὸ βάθος τῆς χώρας] τῆς χώρας τὸ βάθος Δ. 22 βαθύτερον] Subaudi βάθος. Reisk.

353, 2 τῆς Παλαιστίνης Συρίας ἐν Σκυθῶν πόλει] Dicta haec urbs olim *Bethsan*, et celebratissima habebatur inter civitates Galilaeae. Ioseph. Antiq. Iud. lib. 5. πλάτος δὲ ἐπὶ Βηθσάνων, ἣ νῦν Σκυθόπολις καλεῖται. Et de interpretatione locorum Hebraicorum Hieronymus; *Bethsan. Ex hoc oppido tribus Manasse accolas pristinos non potuit expellere, et nunc appellatur Scythopolis, urbs nobilis Palaestinae, quam interdum Scriptura nominat Domum San.* Iebb. 4 ξένων] λεξέων Δ. ὡς αὐξανομένης;] Fort. ὡς περὶ αὐξανομένης. Reisk. 5 ἡ κοιλοτέρα Reiskius. Vulgo ἡ κοιλοτέρα. „Leg. ἡ quod si ergo haec quoque regio, Iudaea, Libyam inter et Aegyptum iacet, aut magis quam ulla alia, humilis aut cavernosa vel meatibus pertusa est.“ Reisk. 6 τοσοῦτόν γε] γε om. Δ.

Digitized by Google

τί σοι σκεπτέον τὸ αἴτιον τῆς ἀναβάσεως, ὡς οὔτε τὴν ἀραιότητα τῆς γῆς οὔτε τὴν κοιλότητα λέγειν ἐνὸν φαίνεται, ἀλλὰ ταῦτα καὶ πάντων ἥκιστα. εἰ γὰρ ἐγίγνετο αὐτόθεν ἡ πλήρωσις, οὐκ ἂν οὔτε τὰς λίμνας τὰς ἔξω τοῦ ποταμοῦ συνέβαινεν αὔξεσθαι οὔτ' αὐτὸν ὑψοῦσθαι τοσοῦτον ὥστ' ἐπικλύζειν ἅπασαν τὴν εἴσω τῶν ὀρῶν τούτων γῆν οὕτω λαμπρῶς ὥστε τοὺς πλέοντας νύκτωρ τοῖς (596) ἄστροις ἐστὶν ᾗ τεκμαίρεσθαι. ὅμοιον γάρ ἐστι τοῦτό γε ὥσπερ ἂν εἴ τις ἐκ τῆς κοτύλης τὸν ἀμφορέα πληροῦσθαι πείθοι, ψιλὸν ἐκ ψιλῆς, αὐτὸν ἐξ αὐτῆς. ἀλλ', οἶμαι, κατιόντος τοῦ ποταμοῦ μεγάλῳ τῷ μέτρῳ καὶ τῆς γῆς οὐχ ἱκανῆς οὔσης τὸ ὕδωρ χωρεῖ μέχρι τοῦ δεχομένου, τὴν διέξοδον αὐτὸ αὑτῷ ποιοῦν. διὰ τοῦθ' αἵ τ' ἔξω πηγαὶ προσλαμβάνουσι πίδακας ἐκ τοῦ ποταμοῦ καὶ εἰς τὰ ἔθνη τὰ πλησίον αἴσθησις τῆς ἀναβάσεως ἔρχεται, καὶ συνδιαδέχεται τὰ σχολάζοντα, ὥσπερ ὅταν οἴκημα πληρωθῇ.

Τοσαῦτα δὴ ἡμῖν καὶ πρὸς τὴν Ἐφόρου σοφίαν καὶ γνώμην καινὴν εἰρήσθω, ὅτι καὶ μόνος ἧφθαί φησι τῆς ἀληθείας. ἥσθην δὲ θαλάττῃ γλυκείᾳ Λιβύης ἐπέκεινα εἴσω ῥεούσῃ διὰ τοὺς ἐτησίας καὶ ταύτῃ καὶ κροκοδείλοις καὶ μύθοις Μασσαλιωτικοῖς ἀντὶ τῶν Συβαριτικῶν. εἰ γὰρ μὴ συνίῃς, ὦ χαριέστατε Εὐθύμενες, εἰ ταῦτ' ἀληθῆ Ἔφορος λέγει σοὶ φάσκων δοκεῖν, ὅτι οὐ λύεις ἀπορίαν, ἀλλὰ

---

8 ἄλλο τι Canterus. Vulgo ἀλλ' ὅτι. 9 οὔτε τὴν κοιλότητα] Vulgo οὐδὲ τὴν κοιλότητα. 14 Post γῆς aut ἱκανῆς deesse videtur στέγειν vel similis infinitivus. Reisk. 16 Unaque cum proximis Nilo fontibus et stagnis remotiora alias per se vacantia loca suscipiunt eius redundantes aquas. sed proxima ὥσπερ ὅταν οἴκημα πληρωθῇ non intelligo. *tanquam si cubiculum impleatur*. quanam re? ecquid inde? quo quid fiat? quid ad rem praesentem? Reisk. 17 δὴ] δὲ Θ. 19 ταύτῃ Reiskius. Vulgo ταύτης. 20 συνίῃς] συνίεις Θ. συνιεὶς ΓΔ. 21 Post δοκεῖν comma ponendum. si vera tradidit Ephorus perhibens eam fuisse tuam sententiam. Constructio haec est εἰ ἀληθῆ λέγει Ἔφορος φάσκων σοὶ δοκεῖν ταῦτα. Reisk.

Digitized by Google

354 κινεῖς μείζω καὶ ἀτοπωτέραν τῆς ἐξ ἀρχῆς, πῶς οὐκ (597) ἀληθῶς ἔξω στηλῶν καὶ Γαδείρων φήσει τις ἐπισκώπτων εἶναί σοι τὸν νοῦν, ὥσπερ τὴν Θρᾶτταν φασί ποτ' ἐκεῖνο εἰς Θαλῆν εἰπεῖν, εἰ ποταμὸν φεύγων ἀγνοεῖς εἰς τὴν θάλατταν ἐμπίπτων, ἀνὴρ ὁ σκώπτων ἐρεῖ; τί γὰρ δή ποτ' εἰ μέν τις ποταμὸς τοῦ θέρους αὔξεται μόνος τῶν ἄλλων θαυμασόμεθα καὶ τὰς αἰτίας ζητήσομεν, θάλατταν δ' οὐ πολλῷ μᾶλλον θαυμασόμεθα εἴ τις ἐστι γλυκεῖα μόνη τῶν πασῶν; καὶ μὴν οἱ ποταμοὶ μὲν εἰ καὶ τὴν αὐτὴν ἔχουσι φύσιν τὴν τοῦ ῥεῖν, ἀλλ' οὖν χωρίς γε καὶ καθ' αὐτοὺς ἕκαστοι ῥέουσιν ὅσοι μὴ προϊόντες εἰς ταὐτὸ συμβάλλουσιν, ἡ δὲ θάλαττα ἅπασα ἀνακέκραται δή που καὶ συνεχής ἐστιν ἡ φύσις αὐτῆς, ἣν εἴ τις διαιρήσει τῷ λόγῳ, τί χρήσεται θαυμάσαι λοιπόν; δεῖ δ', ὡς ἔοικε, καὶ περὶ τούτων εἰπεῖν διελόμενον. εἰσὶ γὰρ δή που τέτταρές που τῆς ἔξω θαλάττης ἀπόρροι. ὧν ὁ μὲν ἐξ ἑσπέρας εἰς Φᾶσιν διὰ Γαδείρων εἰσέχει καὶ τῆς πλησίον Λιβύης, καὶ ἔστιν ὁ κόλπος οὗτος ἡ καθ' ἡμᾶς αὕτη θάλαττα, ἣ σχίζει δίχα τὴν γῆν, προσλαβοῦσα τὴν Μαιῶτιν λίμνην καὶ τὸν ὑπὲρ αὐτῆς ποταμὸν Τάναϊν, καὶ ποιεῖ νῆσον τὸ τμῆμα ἑκάτερον τῇ κύκλῳ θαλάττῃ, πλὴν εἰ βούλει Φᾶσιν καὶ δὴ Τάναϊν φάσκειν εἶναι τῶν (598) ἠπείρων ὅρον. ἀλλ' ὅ γε τῆς θαλάττης κόλπος οὗτος οὕτως ἔχει. ἕτερος δ' ἐστὶν ἀπόρρους ἐκ μεσημβρίας πληρούμενος, ἡ ἐρυθρὰ θάλαττα καλουμένη, ἣ Λιβύην καὶ Αἴγυπτον καὶ τὸ πρὸς τούτων Ἀραβίας χερρόνησον ποιεῖ,

354, 1 τῆς ἐξ] τὴν ἐξ Γ. 2 φασί] φασίν Θ. εἰ ποταμὸν] Leg. est ἢ aut εἶτα ποταμόν. in sequentibus agnosco tragici sententiam. Reisk. 4 μόνος] μόνον Δ. 5 εἴ τις] ἥτις Δ. 6 Aut καθ' αὐτὸν ἕκαστος aut καθ' αὐτοὺς ἕκαστοι. Reisk. ἕκαστοι ΓΔ. Vulgo ἕκαστος. 8 τί χρήσεται] Scil. τῷ λόγῳ aut ἑαυτῷ οὕτω λέγοντι. reliquum est ut mireris quomodo sit exitum inventurus suae disputationi, aut quomodo possit eam recte et ex sententia sua tractare, ut quis tractat rem habilem, tractabilem, ut recte procedat et eo, quo ipse vult, neque conversa suum ipsa auctorem refutet. *wie er damit will zu rechte, oder hinaus kommen.* v. p. 376, 3. Reisk. 9 εἰσὶ γὰρ δή που τέτταρες] De Oceano Dionysius in Perieg. v. 43. seqq. κόλπους δ' ἔνθα cet. Iebb.
15 Fort. καὶ τὸ πρὸς ἕω τούτων. *ex earum parte orientali Arabiam.*

Digitized by Google

πρὸς τὴν εἴσω τε καὶ ἔξω θάλατταν τριῶν ἡμερῶν ὁδὸν Ἰσθμῷ. τρίτος δ᾽ ἄνω τούτων ἐστὶ κόλπος ὁ Περσικὸς, ᾧ μετὰ τὴν ἐρυθρὰν θάλατταν ἐπιστρέφοντι χεῤῥόνησός ἐστιν, ἡ εὐδαίμων Ἀραβία καὶ ὁ τῆς Περσικῆς ὅσον ἐντός. τετάρτη δ᾽ ἐκ Βορέου καὶ Κασπίας πύλης εἰς τοὺς παρ᾽ ἡμῖν τόπους εἰσέχει θάλαττα, ἣ καλεῖται Κασπία, εἰ δὲ βούλει, Ὑρκανία.

Τί οὖν πρὸς λόγον ταῦτα; οὐ γὰρ ἄλλως γε ἀπόλογον Ἀλκίνου διηγοῦμαι. ὅτι πρῶτον μὲν αὗται καὶ τοσαῦται τὸ πλῆθός εἰσι θάλαττης χῶραι καὶ παρὰ ταύτας οὐδεμίαν ἑτέραν θαλάτταν ἴσασιν οὔτε Ἑλλήνων οὔτε βαρβάρων οὐδένες, οὔκουν ὡς ἀληθῶς τῶν γ᾽ ἐντὸς τούτων
355 καὶ τῆς περιεχούσης, ἀλλ᾽ ὅσον ἄλλο ὕδωρ κέχυται κόλπους ἔχον, λίμναι καὶ ἕλη καὶ τενάγη καὶ τοιαῦτα ὀνομάζεται. ἣν γὰρ ἐν τῇ κατὰ Φοινίκην Συρίᾳ θάλατταν καλοῦσί τινες νῦν, τὴν ἄγονον ταύτην, αὐτίκα ἐροῦμεν (599)
πόθεν εἴληφε τοὔνομα. ἔπειτα ταύτας πάσας, οἶμαι, συμβέβηκε τὴν αὐτὴν ταύτην ἔχειν φύσιν ἀλλήλαις τε καὶ τῇ πηγῇ, καὶ οὐδείς ἐστιν ὅστις ὑπεξείλετο εἶναί τιν᾽ αὐτῶν γλυκεῖαν, ἀλλ᾽ ὁμοῦ θάλατταν εἰρήκασι. καὶ δήλη ἐστὶν ἡ τοῦ ὕδατος φύσις ἰδία τε καὶ μόνης τῆς θαλάττης οὖσα, ὥστε καὶ τῶν φρεάτων ὅσα πρὸς τὸ ἁλμυρὸν κέκλικε θάλατταν καλοῦσιν οἱ πολλοὶ, καὶ ἧς ἀρτίως ἐμνήσθην λίμνης τῆς ἐν τῇ Συρίᾳ τὸ ὕδωρ ἅλμην ἔχον τῆς γῆς θαλάττης ἐπωνυμίαν παρὰ τοῖς πολλοῖς πεποίηκε. καὶ οὐχ ἡ μὲν Λιβύην περιῤῥέουσα θάλαττα γλυκεῖα καὶ πότιμός ἐστιν, ἡ δὲ πρὸς αὐτοῖς Γαδείροις ὁμοία τῇ παρ᾽ ἡμῖν διὰ τὸ μίγνυσθαι. πρῶτον μὲν γὰρ οὐδὲν μᾶλλον ἁλμυρᾷ προσῆκεν αὐτῇ διὰ ταύτην ἢ καὶ γλυκείᾳ δι᾽ ἐκείνην εἶναι, εἴπερ κἀκείνῃ μίγνυται, καὶ ταῦτα χύδην, οὐ διὰ

---

Reisk. [a] πρὸς] Vulgo πρὸ. πρὸς Γ. Ἀραβία;] Vulgo Ἀραβίαν. ἀραβίας Γ. 18 πύλης] πύλας ΓΘ.

355, 4 ἔχων ΓΔΘ. Vulgo ἔχει. 5 Post ὁμοῦ videtur πάσας deesse. Reisk. 7 Fort. ἔχον ἐκ (vel ἀπὸ) τῆς γῆς. Reisk. 8 πεποίηκε] Comparavit, conciliavit, effecit. Reisk. 9 Fort. ἡ δ᾽ αὖ πρὸς τοῖς Γαδείροις. Reisk. 11 διὰ πορθμοῦ] Per fretum Gaditanum. Canter.

Digitized by Google

πορθμοῦ. ἔπειτα καὶ ἐκ τῆς μαρτυρίας δῆλον τῶν ἔτι νῦν ἐκπλεόντων ὡς ὁ λόγος πέπλασται. εἰσὶ γὰρ δή που καὶ νῦν οἱ πλέοντες ἔξω στηλῶν οὐκ ἐλάττους ἢ κατ' ἐκείνους τοὺς χρόνους· καὶ οὐκ ἐν μακροῖς γε χρόνοις ἅπαξ ἢ δίς, (600) ἀλλ' ὁσημέραι συνεχῶς καὶ ὁλκάδες καὶ ἔμποροι κομίζονται δι' ἀμφοτέρας τῆς θαλάττης, ὡς συνεχοῦς καὶ μιᾶς, ἀνοιχθέντος τοῦ κάτω τόπου παντὸς καὶ δοθείσης ἀδείας πλεῖν ὑπὸ τῆς νῦν ἡγεμονίας. ἡμᾶς δ' ὡρμημένους ἡ νόσος ἔφθη καταλαβοῦσα. καὶ οὔτε τῶν ἁλιέων τῶν πρὸς τοῖς Γαδείροις ἔστιν ἀκοῦσαι λεγόντων γλυκεῖαν εἶναι τὴν ἔξω θάλατταν οὔτε τῶν εἰς τὴν μεγάλην νῆσον περαιουμένων τὴν ἀντιπέρας Ἰβήρων· καίτοι στρατεύματά τε εἰς αὐτὴν ἑκάστοτε παντοῖα διαβαίνει καὶ ἀναχωρεῖ τοῖς καθήκουσι χρόνοις, καὶ ἄρχοντες καὶ ἰδιῶται μυρίοι διαβαίνουσιν ἑκάστοτε. οὐ γὰρ τῷ μέρει τὸ ὅλον λόγον ἐστὶν ἔχον ἀκολουθεῖν, ἀλλ' εἶναι τὸ μέρος τοιοῦτον οἷόν περ ἂν ᾖ τὸ ὅλον τὴν φύσιν. ἀπορρεῖ δ' οὐκ ἀπὸ τῆς 356 ἡμετέρας ἡ ἔξω θάλαττα καὶ πᾶσα καὶ ἧς μηδ' ὁτιοῦν εὕρηται πέρας πρὸς θάτερα, ἀλλ' ὁ καθ' ἡμᾶς οὗτος κόλπος ἀπὸ τῆς ἔξω θαλάττης εἰσρεῖ, πόρρωθεν κομίζων τὴν φύσιν. καὶ μὴν οὐδὲ Καρχηδονίων οἱ ἐκπλεύσαντες ἔξω Γαδείρων καὶ τὰς ἐν τοῖς ἐρήμοις τῆς Λιβύης πόλεις οἰκίσαντες τοῦ- (601) τον ἤνεγκαν οἴκαδε τὸν λόγον οὐδ' ἀνέγραψαν οὐδ' ἀνέθηκαν ἐν τῷ ἱερῷ, ἕτερα πολλὰ καὶ ἄτοπα γράψαντες οὓς οὔτ' ἀγνοῆσαι δήπουθεν οὔτε γνόντας εἰκὸς ἦν ἀποκρύψασθαι. καὶ ταῦτ' ἐξεπίτηδες οἷς εἶδον ὥσπερ φιλοτιμουμένους, ἅπαντ' ἦν ἐλάττω τοῦ γλυκεῖαν θάλατταν ἔχειν εἰπεῖν ὡς εἶδον.

Ἔτι τοίνυν ἔγωγε θαυμάζω πῶς ποτ' ἀπῆρεν ἀνὴρ οὗτος τοσοῦτον ἀπὸ τοῦ γνωρίμου καὶ τίς ἡ δύναμις αὐ-

---

356, 3 οἰκίσαντες Γ et Canterus. Vulgo οἰκήσαντες. 5 γνόντας] γνόντα Γ. 6 ἅ πάντ' Θ et Canterus. Vulgo ἅπαντ'. ἦν ΓΔΘ. Vulgo εἶναι. ἔμελλεν εἶναι Canterus. 7 ποτ' ΓΔΘ. Vulgo τ'. ἀνὴρ] Vulgo ἀνήρ. γνωρίμου] Subaudi κόσμου. Reisk.

8 δύναμις αὐτοῦ] Potest sic accipi, quae fuerint eius opes vel copiae, cum hominum tum navium aliarumque rerum longo itineri maritimo necessariarum, quibus instructus potuisset tantum opus aggredi atque perficere. potest tamen, et haud scio an rectius,

τοῦ καὶ τίς ἡ πρόφασις τῆς ἀποδημίας. μόνον μέν γε οὐκ εἰκὸς ἐκπλεῦσαι, μετὰ πολλῶν δ' ἀφικόμενον μόνον οὐκ εἰκὸς ἦν κοσμῆσαι τὸν λόγον, οὐ μὴν οὐδ' εἰς βιβλίον ἐγγράφειν ὡς ἀποχρῶν, οὐδ' ὅσον πρὸς τοὺς ἐπιτηδείους διηγήσασθαι, ἀλλὰ δημοσίᾳ φράσαι καὶ ἀναγγεῖλαι, ἀναθέντα λέγω καὶ τοῦτον, ὥσπερ οἱ τῶν Καρχηδονίων ἡγεμόνες γράμματα ὑπὲρ τούτων εἴς τι τῶν κοινῶν ἱερῶν. καὶ μὴν εἴ γ' ἦν ταῦτ' ἀληθῆ, τίν' ἂν Ἑλλήνων ἐλάνθανε λοιπόν; ἅπασι γὰρ ἂν ἐξῆν εἰς Μασσαλίαν πλεύσασι μαθεῖν, καὶ μιᾶς γε ταύτης ἀπορίας ἀπηλλάχθαι διὰ Μασσαλιωτῶν. ἀλλ' οὔτε Μασσαλιῶται ταῦτα λέγουσιν οὔθ' ὁ (602) Μασσαλιώτης ὁμοίως ἡδὺς εἰπεῖν καὶ πιστὸς, ἀλλά τις ἀρχαῖος μᾶλλον καὶ ποιητικός. καὶ μὴν οὐχ ὅτι κροκοδείλους καὶ ἵππους ποταμίους εἰς τὸν λόγον ἐντέθεικε, τούτου χάριν ἄξιον πιστεῦσαί τι, ἀλλ' ἐνταῦθα καὶ κάλλιστα τὸ πλάσμα φωρᾶται καὶ ὅτι κομψεύεται. οὐ γὰρ ἰδὼν τοὺς κροκοδείλους οὐδὲ τοὺς ἵππους, εἶτ' ἐξήγγειλεν, ἀλλ' ἵνα τὰ ἄλλ' ὡς ἀληθῆ δόξειε λέγειν, τοὺς κροκοδείλους καὶ τοὺς ἵππους προσέθηκε, καταφεύγων ἐπὶ τὰ γνώριμα καὶ πίστιν ἐφελκόμενος τῷ πλάσματι προσθήκῃ πλάσματος ἑτέρου πρὸς τἀληθὲς πεποιημένου. ἀλλ' οἶμαι τοὺς μὲν τοιούτους λόγους καὶ μύθους ταῖς τιτθαῖς ἄμεινον παρι-

---

δύναμις referri ad πορείας. ut eadem sit sententia ac si dixisset τίς ἡ δύναμις τῆς πορείας αὐτοῦ aut τί ἐδύνατο αὐτῷ ἡ πορεία, quid ipsi potuisset, valuisset, effecisset, retulisset commodi suum iter. REISK. πολλῶν δὲ Δ. μόνον οὐκ Reiskius. Vulgo μόνον δ' οὐκ. „Cum multis autem domum reversum, aut illuc delatum (in loca incognita puta) commentum esse has fabulas ipsum solum, easque disseminasse, probabile non est. ἀφικνεῖσθαι est aut aliquo pervenire, aut domum reverti. utrumque hic locum potest habere. κοσμῆσαι idem est atque συμπλάσαι excogitasse, confinxisse." REISK. 10 βιβλίον] βυβλίον Γ. 11 καὶ τοῦτον] καὶ ταῦτα Canterus. 12 ταῦτ'] ταῦτα Δ. 15 Neque Massaliota hoc dixit (Euthymenem significare videtur) ut homo facundus, atque idem certus, cui tuto confidi possit. ἀρχαῖος accipio non de tempore, sed de animo et moribus. *simplex, tardus*, qui facile absurdissima quaeque commenta et fabulas stultissimas credat, sibique patiatur obtrudi, et eas, quas accepit, ita reddit credulus. REISK. 19 ἀληθῆ Reiskius. Vulgo τἀληθῆ. 22 τιτθαῖς] Vulgo τίτθαις.

Digitized by Google

καὶ τοῖς παιδαρίοις, ἐπειδὰν ὕπνου δέηται, διηγεῖσθαι,
357 θάλατταν τινα γλυκεῖαν καὶ ἵππους ποταμίους καὶ ῥέουσαν τὴν θάλατταν εἰς τὸν ποταμὸν καὶ τὰ τοιαῦτα ὕπνου φάρμακα. ἑτέρων δ' εἴρηται λόγος μικτός. τὸ μὲν γὰρ οὐ μάντεως δεῖται, τὸ δ' οὐδ' ἂν μάντις οὐδεὶς πεῖσαι. ὅτι (603)
μὲν γὰρ ἐν τοῖς θερμοτάτοις εἰσὶν αἱ πηγαὶ τοῦ Νείλου δῆλον, εἴπερ ἐκ τῆς μεσημβρίας ὁρμᾶται. φησὶ δὲ ταύτας καομένας τοῦ θέρους ἕλκειν ἐφ' αὐτὰς τὸ πλησίον ὑγρὸν καὶ συνιόντος ὕδατος πολλοῦ πληροῦσθαι, καὶ τοῦτ' εἶναι τοῦ ποταμοῦ τὴν ἀνάβασιν. ἐγὼ δ' ὅτι μὲν καὶ πάντας εἰκὸς ἦν τοὺς ἐν τοῖς θερμοῖς τόποις ταὐτὸ τοῦτο πάσχειν ποταμοὺς οὐ λέγω, ἀλλὰ πῶς οὐκ ἄτοπον τὰς μὲν πηγὰς ἐν τοῖς θερμοτάτοις φάσκειν εἶναι, τὰ δὲ πλησίον ὕδατα αὐτῶν μὴ ἐν τοιούτοις ἑτέροις ἀξιοῦν εἶναι; οὐκοῦν ὁπότ' ἐν τοῖς ὁμοίοις ἐστὶ τόποις, ταὐτὸν πάσχειν ἀνάγκη. τί οὖν μᾶλλον τὰς τοῦ Νείλου πηγὰς ἕλκειν ἐφ' αὐτὰς τὰ ἄλλα ὕδατα ἢ τἆλλα ὕδατα αὐτὰ δεῖσθαι τῆς ἐκεῖθεν ἐπιρροῆς εἰκός ἐστιν; ἀλλὰ μὴν εἴ γε ἅπαντα ἐνδεέστερα αὐτῶν ἔσται, πρῶτον μὲν ἅπαντα ἐλάττω τοῦ θέρους ἢ τοῦ χειμῶνος ἔσται, ἔπειτα ἀλλήλοις ἐπαρκεῖν οὐχ ἕξει, χωριζόμενα ὑπὸ τῆς θέρμης καὶ καθ' αὐτὰ ἕκαστα γιγνόμενα. ὥστ' ἐπὶ τοὔλαττον καὶ κάτω χωρεῖν αὐτοῖς, οὐχ ὑψοῦσθαι προσῆκε. καὶ μὴν τὸ μὲν ἕλκειν τὰς πηγὰς ἐφ' αὐτὰς τὸ πλησίον ὑγρὸν τῇ ξηρότητι δότω τις ἀληθὲς εἶναι καὶ μὴ φιλονεικείτω· τὸ δὲ μὴ μόνον τοσοῦτον λαμβάνειν ὥστε τὸ ἀρχαῖον ἐκπληροῦν, ἀλλὰ καὶ (604)
τοσούτῳ πλεονάζειν ὡς παραπέμπειν τὸν Νεῖλον μέχρι θαλάττης, τοσοῦτον ὑπὲρ τοὺς ἄλλους τε καὶ ὃ τούτου μεῖζόν ἐστιν ** ἔχει λόγον ταῦτα συγχωρεῖν; ποῦ γὰρ ἔτι

357, 2 Post refutatas Herodoti, Ephori et Euthymenis ab Ephoro excitati sententias de incrementis Nili, iam aliorum quoque rationes examinat. Reisk. 4 αὐτὰς] ἑαυτὰς Δ. 5 ὕδατος πολλοῦ Γ. Vulgo πολλοῦ ὕδατος. 9 αὐτὰς] ἑαυτὰς Δ. 14 αὐτὰς] ἑαυτὰς Δ. 16 θαλάττης] θαλάσσης Θ. 17 ὃ τούτου μεῖζον] ὃ μεῖζον ταύτου Δ. ἐστιν ἔχει ΓΘ. Vulgo ἐστι εἶτ' ἔχει. Indicavi lacunam. Post ἐστὶ videtur ὑπὲρ ἑαυτὸν αὐξανόμενον deesse. ut sententia sit, tanto et reliquis fluviis et, quod adhuc maius est, semet ipso auctiorem. aut καὶ ὃ μεῖζόν ἐστιν, ὑπὲρ

καὶ ἐκτήκεσθαι φήσομεν αὐτάς, εἴπερ τοσοῦτόν τε καὶ εἰς τοσοῦτον χρόνου καθ᾽ ἡμέραν ἑκάστην ἐπιδιδόασιν; οὐκοῦν ἢ ἅμα τ᾽ ἐξαναλοῦνται καὶ τὸ ῥεῦμα οὐκ ἂν ἔχοιεν ἀφιέναι, ἢ τοσοῦτον εἰ περίεστιν αὐταῖς, πῶς ἕλκουσι διὰ ξηρότητα; εἰ γὰρ καὶ τὸ ἐξ ἀρχῆς ἐφειλκύσαντο, πληρωθείσας γε εἰκὸς ἀνιέναι· εἰ δ᾽ αὖθις ὁ ἥλιος ἐξέτηκεν, οὐκ ἂν εἶχον εἰς ὕψος ὑπερβαλεῖν διὰ τὸ αὐτὸ τοῦτο ὑποδιδόντος ἀεὶ τοῦ πληρουμένου κατὰ τὸν τῶν ποιητῶν πίθον. ὥστ᾽ ἐλάττοσιν αὐταῖς προσῆκεν εἶναι τὸ πλέον τοῦ χρόνου ἢ συνεχῶς μείζοσιν.

358 Ἄλλος δὲ ἄλλο τι ληρεῖ, ἐμοὶ δὲ δοκοῦσιν ἅπαντες οὗτοι λόγον εἰπεῖν ἕκαστος ἐζητηκέναι καὶ τοσοῦτον ἀπέχειν τοῦ τἀληθῆ λέγειν ὥστε καὶ συνειδότες αὐτῶν οἱ πλείους ὅτι ψεύδονται φιλονεικεῖν πρὸς ἃ ὑπέθεντο, εἶθ᾽ ὥσπερ ἐν σκότῳ τοξεύοντες ἄλλος ἄλλοθεν διαμαρτάνειν. ἐγὼ δ᾽ οὐχ οὕτω σοφὸν εἶναι νομίζω περὶ τῶν ἀδήλων φροντίζειν, (605) οὐδὲ σκαιότητα ἔχειν εἴ τις ἀφίσταται, ὡς τὸ τοῖς ὑπὲρ τῶν ἀδήλων ἰσχυριζομένοις μὴ ῥᾳδίως πιστεύειν νοῦν ἔχοντος εἶναι τίθεμαι. εἰ δὲ δεῖ κοινὸν ἐπὶ πᾶσιν εἰπεῖν, λέγω πρὸς μὲν τοὺς διὰ τῶν ἐτησίων ψευδομένους ὅτι τοῦ χειμῶνος πολλῷ μείζους καὶ βιαιότεροι βορέαι συνείρουσι καὶ νέφη πάντα κινοῦσι, κινοῦντες δ᾽ ἐλαύνουσι κατὰ φύσιν πρὸς μεσημβρίαν. καὶ τότε καὶ πρότερον πᾶν ἐστ᾽,

---

ἑαυτὸν ῥέοντα. Reisk. 19 αὐταῖς Reiskius. Vulgo αὗται. 20 ἐφειλκύσαντο] ἐφελκύσαντο Δ. Fort. πληρωθείσας γε οὐκ ἦν εἰκὸς, vel πῶς εἰκὸς ἀνιέναι. quamquam attraxissent antiquas aquas, non ideo tamen necesse erat, atque credibile, ut redundarent et ultra solitas ripas effunderetur. vel: si statuimus eos fontes tantummodo aquas antiquas ad se pertrahere, qui est consentaneum dicere eos repletos redundare? Reisk. 21 ἀεὶ] Vulgo αἰεί. 22 τῶν ποιητῶν Δ. Aberat τῶν. αὐταῖς (i. e. ταῖς πηγαῖς) Canterus et Reiskius. Vulgo αὐτοῖς.

358, 1 ληρεῖ] ληροῖ Δ. 2 τοσοῦτον] Vulgo τοσοῦτ᾽. 4 φροντίζειν Steph. Iebb. φροντίδων ΔΘ Iunt. εἴ τις ἀφίσταται, ὡς τὸ τοῖς ὑπὲρ τῶν ἀδήλων ἰσχυριζομένοις μὴ ῥᾳδίως πιστεύειν addidi ex Γ. Eorum pars etiam in Θ, in quo hic locus sic est perturbatus σκαιότητα ἔχειν εἴ τις ἀφίσταται ὡς τὸ τοῖς ὑπὲρ τῶν ἀδήλων οὐδὲ σκαιότητα ἔχειν νοῦν ἔχοντος —. 5 εἶναι ΓΔΘ et Reiskius. Vulgo οἶμαι. 6 συνείρουσιν Γ. 7 καίτοι γε καὶ πᾶν πρότερον ἐστ᾽

εἰπεῖν ἢ ὅτι χειμῶνος ποτὲ ὁ Νεῖλος ηὐξήθη. καίτοι τί μᾶλλον τοῦ θέρους ηὔξετ' ἂν ἢ τοῦ χειμῶνος, εἴπερ ἐκ τῶν ἀνέμων εἶχε τὴν ἀρχήν; πρὸς δὲ δὴ πάντας ἐφεξῆς ἐκεῖνο λέγω ὅτι πάντες ὑπ' ἀλλήλων ἐλέγχονται νέοι ὄντες ἐν τοῖς λόγοις. ὅταν γὰρ οἱ μὲν ἐκ τῶν πνευμάτων, οἱ δ' ἐξ ὑετῶν, οἱ δ' ἐκ χιόνος, οἱ δὲ τὸν ἥλιον τοῦ χειμῶνος εἶναι τὸν τήκοντα, οἱ δὲ τὸν ἥλιον τοῦ θέρους τὸν ἀπελαύνοντα τὸ ὕδωρ, οἱ δ' ὅθεν ἂν τις βούληται φάσκειν γίγνεσθαι τὴν ἀνάβασιν, πάντες δὲ εἰκάζωσιν, εἰδῇ δὲ μηδεὶς, οὐ μόνον ἐκ τῶν καθ' ἕκαστον ἐλέγχονται δήπουθεν, ἀλλὰ καὶ πάντες κοινῇ περὶ ἀλλήλους ὅτι οὐ τἀληθὲς εὑρήκασιν, ἀλλ' ἕκαστος λόγον εἰπεῖν βεβούληται. καὶ νῦν ἐγὼ κινδυνεύω δοκῶν ἅπασιν ἀντιλέγειν ἅπαντας ἔχειν (607) τούτου μάρτυρας. οἷς γὰρ ἕκαστοι τοὺς ἑτέρους ἐλέγχουσι, ταῦτ' ἐμοὶ πρὸς ἅπαντάς ἐστιν. ὥσθ' ὅσον εὖ φρονοῦσι βεβαιῶν αὐτοῖς, ὅσον ὥσπερ ἐν μάχῃ προεισφέρουσιν ἀγνωμοσύνης, τοῦτ' ἀφαιρῶ. ὥστ' οὐ μόνον ἐκ τοῦ βελτίονος, ἀλλὰ καὶ τοῦ πολλαπλασίου, σύμψηφός εἰμι καὶ καθ' ἕνα ἑκάστῳ καὶ πᾶσι κοινῇ· ἕκαστος γὰρ αὐτῶν ἅμα τ' αὐτὸς τὴν αὑτοῦ φέρει καὶ πᾶσι τοῖς ἄλλοις ἀνταγωνίζεται. εἰ δὲ μὴ ἐλάττω προσεξεύρομεν ἡμεῖς ἢ 'κεῖνοι προ-

---

εἰπεῖν. quamquam alia omnia prius licet affirmare quam hoc, Nilum per hiemem exundare aut unquam exundasse. Reisk. καὶ πρότερον] καὶ om. Δ. 11 Fort. οἱ δ' ἐκ τοῦ τὸν ἥλιον τοῦ χειμῶνος εἶναι τὸν τήκοντα, οἱ δὲ τοῦ θέρους τὸν ἀπελαύνοντα τὸ ὕδωρ, οἱ δὲ, ὅθεν ἂν τις βούληται, φάσκωσι γίγνεσθαι. Reisk. 12 φάσκειν] φάσκει Θ. 14 περὶ ἀλλήλους Γ. περὶ ἀλλήλων Δ. Vulgo περιπίπτουσιν ἀλλήλοις. Post ἀλλήλοις videtur μαρτυροῦντες vel ἐλέγχοντες deesse. Reisk. 15 ἕκαστος] ἕκαστον Δ. 16 τούτου Reiskius. Vulgo τούτους. τούτου μάρτυρας. huius rei testes, scilicet cum dico illos omnes a vero, quod ignorabant, cum aberrarent, commentos esse fabulas. Reisk. ἐλέγχουσι Δ. Vulgo ἐλέγχουσιν. 17 προσεισφέρουσιν. praeterea quoque conferunt. scilicet praeter dimicationis contentionem, adhuc acerbitatem et pertinaciam, et inhumanitatem atque furorem. ea enim omnia insunt vocabulo ἀγνωμοσύνη. Reisk. 20 Sententia videtur haec esse: si vero nos neque paucioribus, neque minus gravibus argumentis, recens a nobis inventis, adversariorum nostrorum opiniones arguimus, quam illi suorum arguerunt suis a se inventis, non videmur ideo in reprehensionem incurrere. Reisk. ἢ 'κεῖνοι] Vulgo sine

Digitized by Google

κατεχρήσαντο, οὐκ ἴσως ἄξιοι μέμψεως. καὶ μὴν οὐδ' Ὅμηρος ἀξιόπιστος, λέγων

Ἂψ εἰς Αἰγύπτοιο, διιπετέος ποταμοῖο.

ἐγὼ γὰρ ὡς μὲν ἅπαντά τις ἂν προσθείη τε καὶ χρὴ Διὶ,
359 καὶ Νεῖλον ἂν δοίην εἶναι διιπετῆ καὶ ἔργον ἐκείνου, ἐπεὶ καὶ πατέρα αὐτὸν ἀνδρῶν τε θεῶν τε καλοῖμεν Ὁμήρου καὶ τοῦτο τὸ ῥῆμα φθεγγομένου, καίτοι τῶν θεῶν, ἀλλ' οὐ πάντων πατὴρ αὐτῶν τῶν θεῶν ἐστι. κατ' αὐτοὺς τοὺς ποιητὰς, καὶ οὐ δή που βιάσαιτ' ἄν τις καὶ τὸν Ποσειδῶ τούτου χάριν υἱὸν εἶναι Διὸς καὶ τὴν Ἥραν θυγατέρα, (607) καὶ ταῦτα Ὁμήρῳ δοκεῖν· αὐτὸς γὰρ Ὅμηρος οὐχ οὕτω νομίζων δείκνυσιν. καὶ μὴν εἴ γε πατὴρ ἀνδρῶν τε θεῶν τέ ἐστιν ὁ Ζεὺς, καὶ ποταμῶν ἂν εἴη καὶ τῶν γιγνομένων ἐν τῷδε τῷ παντὶ, πρέπων γ' ἐστὶ καὶ Νεῖλου κεκλῆσθαι πατὴρ οὐχ ἧττον ἢ Ξάνθου τοῦ Τρωικοῦ. οὕτω μὲν δὴ καὶ Νεῖλον φήσαιμ' ἂν ὅπερ εἶπον, εἶναι Διὸς ἔργον τε καὶ παῖδα. εἰ δ' ὡς περὶ Σκαμάνδρου καὶ τούτου ἢ Ὅμηρος ἤ τις ἄλλος ποιήσεται τοὺς λόγους, ἢ Σιμοῦντος, ἢ Γρανίκου, συγγνώμην ἂν ἡμῖν ἔχοι, εἰ μᾶλλον ἂν αὐτὸν φαῖμεν τῶν ἐν Τροίᾳ γιγνώσκειν ἢ τῶν κατ' Αἴγυπτον· ἐπεὶ καὶ Φάρον ἐν τοῖς ἔπεσιν εἴρηκεν Ὅμηρος διαρρήδην

---

coronide. 21 λέγων] Odyss. δ, 581. 22 χρὴ] Subaudi προστιθέναι. Reisk. In Canteri schedis χρῆ annotatum.

359, 2 Legebatur καλούμενον ἡρου̃. καὶ τοῦτο τὸ ῥῆμα φθεγγόμενοι. „Sic distinguenda et ordinanda verba sunt temere permixta, καλοῦμεν, Ὁμήρου καὶ τοῦτο τὸ ῥῆμα φθεγγομένου. nam (auctore Homero huius quoque appellationis, quemadmodum prioris est) Iupiter deorum hominumque pater nobis est. Homerum ait non solum Νεῖλος διιπετὴς dixisse, verum etiam Ζεὺς ἀνδρῶν τε θεῶν τε πατήρ. potest quoque φθεγγόμενος servari, hac sententia: quam dictionem usurpantes, Homericam usurpamus. Reisk. καίτοι] Videtur locus ita integrandus, καίτοι μέγιστος μὲν ὁ Ζεὺς καὶ κράτιστος τῶν θεῶν, ἀλλ' οὐ πατὴρ αὐτῶν πάντων ἐστὶ κατ' αὐτοὺς τ. π. Reisk. πάντων πατὴρ αὐτῶν Γ. Vulgo πατὴρ αὐτῶν πάντων. Ad αὐτῶν in schedis Canteri annotatum αὖ τῶν. 4 υἱὸν εἶναι Γ et Reiskius. Vulgo υἱὸν αὐτὸν εἶναι. 5 νομίζων] νομίζω Θ. 6 Fort. post παντὶ deest εἰ δὲ ποταμῶν, scil. πατήρ ἐστιν ὁ Ζεύς. Reisk. 9 Γρανίκου] Vulgo Γρανικοῦ. 10 γιγνώσκειν] τι γιγνώσκειν Reiskius. ἐπεὶ] Confirmat quod modo dixerat Homero usum et

ἡμερήσιον πλοῦν ἀπέχειν Αἰγύπτου, καὶ ὥσπερ οὐκ ἀρ-

---

scientiam rerum Aegyptiacarum defuisse, et in geographicis Aegypti rationibus eum misere lapsum esse ostendit. Reisk.

ἐπεὶ καὶ Φάρον] Hic Homeri versus exercuit omnes antiquos; extat in Odyss. δ. [354.]

Νῆσος ἔπειτά τις ἐστὶ πολυκλύστῳ ἐνὶ Πόντῳ
Αἰγύπτου προπάροιθε (Φάρον δέ ἑ κικλήσκουσι)
Τόσσον ἄνευθ' ὅσσον τε πανημερίη γλαφυρὴ νηῦς
Ἤνυσεν, ᾗ λιγὺς οὖρος ἐπιπνείῃσιν ὄπισθεν.

Eratosthenes et alii ignorantiam Homeri hoc in loco reprehendunt, quasi ignoraverit Homerus, ubi sita fuerit Pharus insula, ut qui eam in alto mari collocaverit. Alii eum excusant, et Strab. lib. 1. plura adversus Eratosthenem dixit, ut ab Homero τοῦ ἀτόπου opinionem removeret. Sed id praecipue apud Strabonem notandum est, Eratosthenem non videri attribuisse Homero monstrum opinionis, quod ei tribuit hoc loco Aristides, quod ex eo patet, quod Strabo nullam de tali accusatione mentionem facit, sed tantum ait, Homerum ab Erastothene et aliis eo nomine reprehendi, quod Pharum insulam πελαγίαν dixerit, quae terrae copulatur, et in eo consistit praecipue Strabonis apologia, quod mutatio facta fuerit ab Homeri seculo ad Eratosthenem, et per terrae aggestionem a Nilo factam iunctam fuisse continenti Pharum, quae Homeri tempore mari circumluebatur. Sic enim eorum reprehensionem proponit; οὐκ εὖ δὲ οὐδὲ τοῦτο προφέρουσιν αὐτῷ τῷ περὶ τῆς νήσου τῆς Φαρίας, ὅτι φησὶ πελαγίαν, ὡς κατ' ἄγνοιαν λέγοντι, id est, *nec bene etiam hoc contra eum proponunt de insula Pharia, quod ait eam in alto sitam, tanquam id per ignorantiam dixerit.* At non usus foret tali defensione, si putavisset Homerum intellexisse Phariam insulam distare a terrae continente unius diei navigatione prospera: quis enim id tulisset, paucorum seculorum spatio tantam aggestionem factam fuisse? Non igitur id dixit aut putavit Homerus, nec Eratosthenes et alii id monstrum sententiae Homero tribuebant. Sed Aristides post Plinium, et cum eo alii recentiores, male apud Homerum intellexerunt vocem Αἰγύπτου, et cum deberent de Nilo intelligere, de continente Pharo insulae opposita intellexerunt; nam Homero Νεῖλος vox fuit incognita, sed semper Aegyptum vocat eum fluvium. Sic Menelaus, Odyss. 4.

Ἂψ δ' εἰς Αἰγύπτοιο διιπετέος ποταμοῖο
Στῆσα νέας — —

Id est, *Rursus ad Aegypti fluvii a Iove cadentis* (fauces sup.) *naves firmavi.* Unius igitur diei navigatione distabat a Nili ostio praecipuo tunc temporis, quod Homerus intellexit, et Heracleoticum ostium forte Menelai et belli Troiani temporibus nondum erat frequentatum, forte nec apertum; nam ea regio plures mutationes ac-

Digitized by Google

κοῦν, ἀλλὰ προσεπισφραγιζόμενος τὸ τῆς ἐξουσίας προσέθηκεν, Ἠι λιγὺς οὖρος ἐπιπνείησιν ὄπισθεν, τῇ νηὶ δὴ

---

cepit, et plures διώλκοι facti sunt in ea, et Nilus, qui tempore Romanorum per septem ora tantum in mare suas aquas eructabat, nunc decem aut plures effluxiones habet, ut nos docent mappae recentiores. Tum ostium Heracleoticum, per quod ramus Nili effluit, qui ἀγαθὸς δαίμων dicebatur, cum habeat nomen Graecum, ut et ipse ramus, non videtur esse tam antiquum, quam ii, qui nomina Aegyptiaca habent, ut Pharmathiacus fluvius, qui per ostium Sebennyticum effluit. Desinant igitur ii, qui Plinium et Aristidem sequuntur, Homero tale ἀτόπημα tribuere, quod antiqui critici et eius obtrectatores non tribuerunt, nec tribuet quicunque accurate et cum iudicio eum locum eius rhapsodiae legerit. Quod si quis instet, et dicat de altero Nili ostio non posse intelligi, quam de Heracleotico, quoniam Canobus Menelai navis fuit gubernator, a quo Canobus urbs denominata fuit, quae non longe ab Heracleotico ostio sita etiam ei suum nomen communicavit, (nam et Canobicum ab ea urbe dictum est,) pro me respondebit ipse Aristides, qui pagina sequenti asserit, se a sacerdotibus Aegyptiis didicisse, Canobum urbem sic appellatam fuisse multum ante Menelai tempora. Sed et ut concedamus de Heracleotico debere intelligi, ab illo ore ad Pharum insulam Strabo lib. XVII. centum quinquaginta stadia numerat, hoc est milliaria 19. circiter, quod spatium tempore Menelai, quo navigatio remorum auxilio fiebat, non ita expedite ut nunc arte ea multum provecta fit, erat πανημέριος πλοῦς ordinarius: non enim per captiva mancipia fiebat violenta et coacta verberibus navigatio, ut nunc fit, sed remigibus utebantur voluntariis militibus, imo et heroibus ipsis, ut in Argonautarum expeditione. Ideo saepe intermittebant remigandi laborem; nam et ipse Menelaus apud Homerum postquam ἀντιθέους ἑταίρους nominavit, de iis ait,

Ἐν δὲ καὶ αὐτοὶ βάντες ἐπὶ κληῗσι κάθιζον,
ἑξῆς δ' ἑζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς.

Addit autem Poeta, *cum ventus stridulus pone flaret;* nam eo reflante non potuissent tantum spatium permeare, imo nullum, si violentius ingruisset. Ideo necesse erat et hoc addere. At cavendum est nobis a Plinii interpretatione, qui lib. 2. cap. 85. videtur sententiam Homeri absurdiorem facere velle, dum πανημερίη interpretatur *noctis et diei* cursum, nam in ea voce ne umbra quidem est noctis, sed ut παννύχιος *per totam noctem* significat, nulla diei parte intellecta, sic πανημέριος *per totam diem* sine ulla noctis parte intelligi debet. Ad haec omnia si addas defensionem, qua utitur Strabo, scilicet Homerum ex persona Menelai ea dixisse suas

λέγων τῇ πλεούσῃ. καίτοι τῆς μὲν ἠπείρου ἀπέχει Φάρος ἑπτὰ μάλιστα σταδίους, αὐτὴ δ' ἐστὶν ὥσπερεὶ μεθόριον Λιβύων καὶ Αἰγυπτίων. εἰ δὲ τοσοῦτον ναῦς πανημερίᾳ θεῖ, καὶ εἰ λιγὺς οὖρος ἐπιπνείησιν ὄπισθεν, ἐγὼ μὲν οὐκ ἔχω πιστεῦσαι· καίτοι φασί τινες τῶν ὑπὲρ τῶν ἄλλων ῥᾳδίως ἀπολογουμένων ὅτι ἀπεῖχεν, ὡς ἔοικεν, ἡ Φάρος τότε τῆς Αἰγύπτου πολύ, νῦν δ' ὁ ποταμὸς συντέτμηκε προσχῶν ἀεί. καὶ τοῦτ' οὖν ἔχει νῦν οὕτω κἀκεῖνα, φασίν, ὀρθῶς Ὅμηρος εἴρηκε. τούτοις δὲ ἤδη σαφῶς Ὅμηρος αὐτὸς ἀντιλέγει. πῶς; ὅτι οἶδε καὶ αὐτός που τὸν Μενελάου σὺν Ἑλένῃ πλοῦν εἰς Αἴγυπτον. ὁ τοίνυν Κάνωβος ὄνομά ἐστι Μενελάου κυβερνήτου, ὡς Ἑκαταῖός τε δή φησιν ὁ λογοποιὸς καὶ τὸ κοινὸν τῆς φήμης, οὗ τελευτήσαντος περὶ τὸν τόπον τοῦτον λείπεται τοὔνομα, ταυτί φημί, ὡς Ἕλληνες λέγουσιν, ἐπεὶ ἔγωγε ἤκουσα

peregrinationes in maius tradentis, ἀλαζὼν γὰρ δὴ πᾶς ὁ πλάνην αὐτοῦ διηγούμενος, τούτων δὲ ἦν καὶ ὁ Μενέλαος, facile absolvetur omnibus calculis bonus Homerus, si ex persona Menelai πανημέριον πλοῦν vocabit spatium a Pharo ad Nilum. Sed et in eo erravit noster Aristides, quod Canobum a Pharo distare ait stadiis tantum centum viginti: nam id quidem verum erat terrestri itinere, de quo non agitur hic, et quod brevius erat. Audi Strabonem, Κάνωβος ἐστὶ πόλις ἐν εἴκοσι καὶ ἑκατὸν σταδίοις ἀπὸ Ἀλεξανδρείας πεζῇ ἰοῦσιν. Sed ab ipso Canobico vel Heracleotico ostio stadia semper centum quinquaginta per mare eunti numerat Strabo, ἐντεῦθεν δὲ ἐπὶ Φάρον τὴν νῆσον ἄλλοι στάδιοι πεντήκοντα πρὸς τοῖς ἑκατόν. Male id spatium contraxit noster rhetor, ut Homerum insectaretur. PALMER. 12 Ut suae quoque auctoritatis sigillum velut imprimeret. REISK. 13 λέγων Γ. Vulgo λέγουσι. 14 αὐτὴ Reiskius. Vulgo αὕτη. εἰ δὲ] ἢ δὲ Canterus. 16 ὑπὲρ τῶν ἄλλων] Fort. ὑπὲρ τῶν παλαιῶν. vulgatam si defendis, erit τῶν ἄλλων accipiendum de reliquis ἀπόροις καὶ ἀτόποις ζητήμασι παρ' Ὁμήρῳ, in quibus expediendis veteres grammatici multum laboraverunt. REISK. 17 προσχῶν Reiskius. Vulgo προχῶν. προσχὼν Δ. προσχῶν, a προσχόω, aggero, accumulo, exaggero terram. videtur planum facere velle, Homerum, qui rerum Aegyptiacarum imperitus fuisse, non posse haberi pro idoneo auctore caussae, a qua Nilus crescat, neque elogium διιπετὴς Nilo ab ipso tributum momenti quidquam habere. REISK. ἀεί] Vulgo αἰεί. καὶ τοῦτ' ὡς οὖν Γ. 18 εἴρηκε. τούτοις δὲ ἤδη σαφῶς Ὅμηρος addidi ex Γ. 21 Verba φημί, ὡς Ἕλληνες λέγουσι parenthesi

ἐν αὐτῷ Κανώβῳ τῶν ἱερέων οὐ τοῦ φαυλοτάτου ὅτι μυ-
ρίοις ἔτεσι πρότερον ἢ Μενέλαον ἐκεῖσε προσχεῖν τὸ χωρίον
οὕτως ὠνομάζετο. καὶ οὐχ ἄντικρυς μὲν ἔλεγε τοὔνομα
τοῦτ' αὐτὸ ὡς ἀπογράψαι γράμμασιν Ἑλληνικοῖς, ἀλλ'
ἦν μὲν ὥσπερ ἐμφερόμενον καὶ περιτρέχον, Αἰγύπτιον δὲ
καὶ δυσγράμματον μᾶλλον. τόδ' οὖν ἡμετέρᾳ φωνῇ δηλοῦν
ἔφη χρυσοῦν ἔδαφος, εἰωθός τι τοῦτο τοῖς Αἰγυπτίοις
ἐπιφημίζειν τοιαῦτα τοῖς παρ' αὐτοῖς χωρίοις, οἷον Ἐλε- (609)
φαντίνη καὶ πάλιν Διὸς πόλις καὶ Ἡλίου δὲ πόλις· οὕτω
καὶ τοῦτ' ἔφη τοὔνομα χρυσοῦν ἔδαφος εἶναι εἰπεῖν ἀνδρὶ
Ἕλληνι. ἀλλ' ἐῶ τοῦτο· καίτοι Αἰγυπτίους γε ἀκριβέστε-
ρον εἰκὸς εἰδέναι τὰ σφέτερα αὐτῶν ἤπερ Ὅμηρον τὸν ἐν
Σμύρνῃ καὶ Ἑκαταῖον τὸν ἐν Μιλήτῳ, οὐ μόνον κατὰ
τοῦθ' ὅ τις ἂν φήσειεν ἁπλῶς εἰκὸς καὶ κοινόν, ἀλλ' ὅ γε
καὶ ἴδιον κατὰ τούτων ἔστιν εἰπεῖν, ὅτι διὰ παλαιότητα
χρόνου καὶ τὸ μηδὲν αὐτοῖς τῶν ἐξ οὐρανοῦ πεπονθέναι
τὴν χώραν, καὶ τῶν παρὰ τοῖς ἄλλοις ἐπιφανῶν μάρτυρές
εἰσιν αὐτοὶ καὶ ἵστορες ἀξιόχρεῳ, καὶ πάντα φυλάττουσιν
ἐν στήλαις ἐν τοῖς ἱεροῖς ἀντ' ἄλλων κτημάτων. ἀλλ'
ὅμως καὶ τοῦτο τὸ ἰσχυρὸν παρίημι. ἀλλ' ἔστω κατὰ τοὺς
παρ' ἡμῖν λογοποιοὺς ὁ τοῦ Μενέλεω κυβερνήτης ὃ τὴν
ἐπωνυμίαν, ὡς ἐτελεύτησε, πεποιηκὼς τῷ τόπῳ. εἰ τοίνυν
δεῖ τούτῳ τῷ λόγῳ πιστεύειν, Κάνωβος Φάρου σταδίους
εἴκοσι καὶ ἑκατὸν ἀπέχει. καίτοι ναῦς πανημερία θέουσα
ὑπ' ἀνέμου κατὰ πρύμναν πνέοντος, προσθήσω δὲ καὶ λι-
γέος, οὐχ εἴκοσι καὶ ἑκατὸν σταδίους ἀνύσει μάλιστα, ἀλλ'
ἴσως μᾶλλον διακοσίους καὶ χιλίους. καὶ ἡμεῖς τοσούτους (610)

---

sunt includenda. sic aio, prout Graeci perhibent. quod lectores meminisse velim. Reisk.

360, 3 ὥσπερ om. *Δ*. ἐμφερόμενον videtur idem esse atque ἐμφερὲς, scil. τῷ Ἑλληνικῷ ὀνόματι Κάνωβος. q. d. φερόμενον καὶ στρεφόμενον ἐν τοῖς αὐτοῖς γράμμασιν καὶ περὶ τὰ αὐτὰ τρέχον. ita enim interpretor περιτρέχον. nisi mavis accipere pro στρογγύλῳ καὶ συνεστραμμένῳ μᾶλλον εἰς τὸ βραχύ. Reisk. 4 τόδ'] ὁ δ' Reiskius. εἰωθός τι] εἰωθότι *Δ*. 6 Ἡλίου δὲ Reiskius. Vulgo Ἡλίου δή. χρυσοῦν *Γ*. Vulgo χρυσοῦ. 8 σμύρνῃ *ΔΘ*. Vulgo τῇ Σμύρνῃ. ὅ τις Reiskius. Vulgo ὅτι τις. 15 καίτοι ναῦς] καὶ τὸ ναῦς *ΓΔ*. 16 λίγεος Iunt. λιγέως Steph. Iebb.



Digitized by Google

*ἐν εὐπλοίᾳ πολλάκις ἠνύσαμεν, τὸ πᾶν διελόμενοι πρὸς τὰς ἡμέρας ὕστερον.*

*Ἀλλ' οἱ ποιηταὶ μύθους μὲν οἶμαι συνθεῖναι καὶ ποταμῶν καὶ πόλεων ὀνόματα ἀπαριθμῆσαι καὶ τοιαῦτα ποικίλλειν παντὸς μᾶλλον ἴσασί τε καὶ διώκουσι, μάρτυρες δ' οὐχ ἱκανοὶ περὶ τῶν οὕτως ἐλέγχου δεομένων. αὐτίκα Πινδάρῳ πεποίηται, ὅσπερ μάλιστ' ἀληθείας ἀντέχεσθαι δοκεῖ τῶν ποιητῶν περὶ τὰς ἱστορίας, καὶ οὐ πόρρωθεν, ἀλλ' ἐξ αὐτῶν τῶν τόπων καὶ οὗτος ὁ ἔλεγχος. φησὶ γὰρ „Αἰγυπτίαν Μένδητα παρὰ κρημνὸν θαλάσσας.“ καίτοι*
361 *οὔτε κρημνός ἐστιν οὐδεὶς ἐκεῖ οὔτε θάλαττα προσηχεῖ, ἀλλ' ἐν πεδίῳ πολλῷ καὶ κεχυμένῳ, οὗπερ ὁ Μενδήσιος ἅπας νομὸς οἰκεῖται, καὶ ἡ πόλις αὐτῶν, ἣν ὀνομάζουσι Θμοῦιν, ὥστε μηδ' ὀφθαλμῷ καταλαβεῖν εἶναι μήτ' ἀπ' ἄκρων ἐπὶ θάτερα μήτ' ἐκ μέσου, μηδ' ἑτέρωσε. ὁ δ' ἄρα Κιθαιρῶνος καὶ Ἑλικῶνος πλέως ὢν καὶ Φικίου ἄκρου πρὸς τὰ παρ' αὐτῷ καὶ συνήθη κἀκεῖνα τεκμαιρόμενος μάλα ἐλευθέρως εἶπεν οὔτ' ἰδὼν οὔτ' ἀκούσας σαφῶς, ποιήσας δὲ πρὸς τὸ δόξαν αὐτῷ κατὰ τὴν ἀρχαίαν τε καὶ ἐκ πατέρων τοῖς ποιηταῖς ὑπάρχουσαν περὶ ταῦτα ἐξουσίαν. καὶ τί δὴ θαυμαστὸν, εἰ περὶ ὧν μηδ' αὐτοὶ οἱ ἐπιχώριοι καὶ ταῦτα ὄντες Αἰγύπτιοι γιγνώσκουσι, περὶ τούτων οἱ τοσοῦτον ἀπέχοντες ποιηταὶ μηδὲν ἰσχυρὸν ἔχουσι λέγειν; ἀλλὰ γὰρ κινδυνεύει παντελῶς, ὅπερ καὶ μικρῷ πρόσθεν εἶπον, ἴδιον τὸ τοῦ Νείλου πρᾶγμα καὶ τελέως ἀποκεχωρηκὸς εἶναι τῶν ἄλλων ποταμῶν. τί γὰρ δή ποτ', εἰ βούλει, μόνος ποταμῶν αὔρας οὐκ ἀφίησι; καίτοι εἴ γε ἀπὸ χιόνος ἢ ὑετῶν ᾔρετο, οὐκ ἂν μόνος ποταμῶν αὔρας οὐ παρείχετο, ἀλλὰ*

---

20 ὅσπερ] ὅπερ *Δ*. 21 ἀλλ' om. *Δ*. 22 Αἰγυπτίαν] Fragm. 215. p. 664. παρὰ] πὰρ Boeckhius.

361, 1 οὐδεὶς ἐκεῖ] ἐκεῖ οὐδεὶς *Δ*. προσηχεῖ] Videtur verbum poeticum ab Aristidis more et a ratione loci abhorrere. num προσήκει? Reisk. καὶ κεχυμένῳ *Γ*. Aberat καὶ. οὗπερ addidi ex *Γ*. 4 πλέως *Γ* et Canterus. Vulgo πόλεως. Φικίου ἄκρου] Φίκιον ἀκρότατον dixit Hesiodus Scut. Herc. v. 33. 4 et 6 αὐτῷ] Vulgo αὐτῷ. 8 τοσοῦτον] Vulgo τοσοῦτ'. ἔχουσι] ἴσχυσι *Δ*. 10 ἀποκεχωρηκὸς *ΓΔΘ* et Reiskius. Vulgo ἀποκεχωρικός. εἰ βούλει] Scilicet ἀποκρίνασθαι, aut ἀκούειν τοῦτο τὸ παράδειγμα

καὶ πλείστας ἂν καὶ μεγίστας, ὅσῳ καὶ μέγιστός ἐστιν. ὅπου γὰρ καὶ γῆ ψιλὴ βρεχθεῖσα ἀφίησιν αὔρας, τί τόν γε δὴ Νεῖλον πάσχειν ἂν φήσομεν, εἴπερ ἐξ ὄμβρων τοσοῦτος ἀνήρχετο, ἢ νὴ Δί' ἐκ χιόνος τακείσης, ὡς ὁ τῶν ἑτέρων λόγος; τί δ' ἂν εἴποις τὴν περὶ τὴν ἀνάβασιν αὐτοῦ τάξιν καὶ μουσικήν; τὸ ἐν Συήνῃ μὲν καὶ Ἐλεφαντίνῃ ὀκτὼ καὶ εἴκοσιν αἴρεσθαι πήχεις, περὶ δ' αὖ τὸ Ἰνδικὸν καὶ Ἀράβιον ἐμπόριον τὴν Κόπτον ἕνα καὶ εἴκοσι, καὶ πάλιν τούτων ἀφαιρεῖν ἑπτὰ καὶ τέτταρας καὶ δέκα ἄγειν τοὺς κατὰ Μέμφιν γνωρίμους καὶ πρὸς οὓς Ἕλληνες ἤδη (61?) λογίζονται, κάτω δ' ἐν τοῖς ἕλεσιν εἰς ἑπτὰ καταβαίνειν, εἶτα δύ' ἥκουσιν. ἆρά γε Ἴστρος ἢ Φᾶσις ἢ Στρυμὼν ταῦτα σοφίζεται, ἀλλ' οὐ τοῦ Νείλου μόνου ταῦτ' ἐστὶ σοφίσματα; χῶν μὲν οὐ τῇ φύσει τῆς χώρας . . ποῖος δ' ὧν ἴσμεν ποταμὸς χρόνου κρεῖττον ὕδωρ παρέχεται σὺν τοσαύτῳ ῥεύματι; οὔτε γὰρ αὐτόθι σήπεται φυλάττοντι οὔτ' εἰς τὴν ὑπερορίαν ἐκκομισθέν. ἀλλ' αἱ ὁλκάδες αἱ εἰς Ἰταλίαν ἀπ' Αἰγύπτου πλέουσαι, ἐπειδὰν ἀναπλεύσωσιν ἐκεῖθεν, ὧν ἔχουσι τὸ λοιπὸν οὐ παρεσκευάσαντο, καὶ φθάνει τὸ δεύτερον ὃ ἂν προσαρύσωνται, οἷα ἐν μήκει πλοῦ προδιαφθαρὲν, ἢ τὸ ἀρχαῖον καὶ συναναχθέν. καὶ μόνοι δὴ ὧν ἴσμεν Αἰγύπτιοι κεράμια ὕδατος ὥσπερ ἄλλοι οἴνου πιμπλᾶσι, καὶ ἔχουσι τριῶν καὶ τεττάρων ἐτῶν ἔνδον καὶ ἔτι πλειόνων, καὶ τῷ χρόνῳ σεμνύνουσιν, ὥσπερ ἡμεῖς τὸν οἶνον. ἢ καὶ τούτου φήσει τις αἴτιον εἶναι ὅτι ἐξ ὄμβρων αὔξεται; καὶ τί δή ποτε οὐ πᾶσι ποταμοῖς τὸ αὐτὸ συμ-

---

REISK. 12 ὅσῳ ΓΔΘ. Vulgo ὅσον. γῆ] ἡ γῆ ΔΘ. 13 φήσομεν ΓΔ. Vulgo φήσαιμεν. 15 συήνῃ Δ. συητνῃ Iunt. Συΐνῃ Steph. Iebb. 16 τὸ Ἰνδικὸν] τὸν ἰνδικὸν Δ. εἴκοσι] εἴκοσιν Δ. 17 Fort. τοῖς κατὰ Μέμφιν. REISK. 18 ἕλεσιν Γ et Reiskius. Vulgo Ἕλλησιν. Conf. ad p. 350, 22. 20 Lacunam indicavit Canterus. χρόνου] χρωμένου Canterus apud Reiskium. 21 παρέχεται ΓΔ et Canterus. Vulgo παρέρχεται. σήπεται] σήπτεται Δ.

362, 2 λοιπὸν] Reliquias aquae, quam Aegypto abeuntes nautae in usum itineris secum sumserant, et in testis suis condiderant, sed quae in traiectu absumta omnis non fuit. REISK.

6 αὔξεται] ἄρχεται (ὕξεται superscr.) Θ, litteris ρχεται lineola transfixis.

Digitized by Google

βέβηκε; πάντες γὰρ ὕονται. καὶ οὐκ εἰκάσαι γε ἡμᾶς ὅτι ὕονται δεῖ, ἀλλὰ πάρεσμεν αὐτοὶ τοῖς ὄμβροις καὶ προσοικοῦμεν ὡς ἔπος εἰπεῖν τὰς ὄχθας. καὶ ἔνιοί γε αὐτῶν ἐπ' ἐλαχίστῳ τῷ ἀρχαίῳ τὸ ἐκ τῶν ὄμβρων προσλαβόντες καὶ αὐξηθέντες ὅμως οὐδ' ἐκ τοῦ νικῆσαι παρέχονται τὴν αὐτὴν χρείαν. ὁ δὲ καὶ τοῦ θέρους αὔξεται, τοῦ δὲ χειμῶνος ἔσθ' αὑτοῦ καὶ τότ' ἐστὶ βέλτιστος. γλυκύτητι τοίνυν πόσον οἴει νικᾶν τοῦτο τὸ ὕδωρ; ὅσον οὐδ' ἂν εἴποις. καίτοι τούτου τί τὸ αἴτιον; ἐκείνου δ' αὖ τί τις ἂν φαίη, ὅτι κινδυνεύει τρόπον τινὰ ἀεὶ τὸ ἀποσχιζόμενον αὐτοῦ ῥεῦμα ἴσον εἶναι τῷ κυρίῳ καὶ παντί; τί δ' οὐ τῶν ἐκείνου θαῦμα; ἢ πῶς οὐκ ἐκ παραδόξων ἅπας συνείλεκται; ᾧ γε ἐπικουρεῖ μὲν ὕδωρ οὐδὲν, ἀλλὰ καὶ πέτραι ῥήγνυνται τῇ ξηρότητι καὶ τὰ ὄρη μονονοὺ φλόγα ἀφίησιν, ὁ δ' ἐν μέσῳ τῶν ἀποριῶν τούτων ῥέων πάσας μὲν λίμνας, πάντας δὲ κόλπους καθείργει πλήθει τοῦ ὕδατος, οὐ μόνον τὸν τῆς ἀναβάσεως χρόνον, ἀλλὰ καὶ τὸν ἄλλον ἅπαντα. καθέστηκε δ' ἀντὶ μιᾶς πηγῆς ἁπάσῃ τῇ γῇ καὶ οὔτε πόλις οὔτ' οἶκος οὔτε χωρίον οὐδὲν ἐκφεύγει τὴν ἐκείνου χρείαν καὶ δύναμιν, ἀλλὰ ταυτὸν δύναται ταῖς ἐν μεσογείᾳ τῶν πόλεων

---

7 ἡμᾶς ΓΔΘ. Vulgo ὑμᾶς. 8 δεῖ Canterus. Legebatur αἰεί. 10 ὅμως] ὁμοίως Δ. χρείαν] Ut scilicet condi doliis et asservari queat eorum aqua. Reisk. 11 ἔσθ' αὑτοῦ] Subaudi κύριος vel ἐγκρατής. sui iuris est, liber est, non cedit caussis adventitiis, quae cursum eius neque moderantur, neque augent, neque minuunt. Reisk. 12 οἴει] οἴῃ, sed lineola transfixum est in Θ. ἐκείνου] ἐκεῖνο Reiskius. δ' αὖ τί] δὲ τί Δ. 13 ἀεὶ] Vulgo αἰεί. 14 παντί Γ. Vulgo πατρί. 15 Significat Nilum, quamquam undis adsciticiis non augescit, et per terram praeterea decurrit tam aridam et sitientem et exustam, ut vel rupes crepent, et colles ignem evomant, tamen non tantum non exarescere, sed etiam largissimo alveo decurrere, quanto nullus alius fluvius. vel potius in animo habuit duos illos fontes in mediis Catadouparum scopulis exsilientes, et Nilum magna aquarum accessione augentes. v. p. 345 extr. Reisk. 16 μονονοὺ] μόνον οὐ Δ. 17 καθείργει] Vulgo κατείργει. κατήργει Δ. κατέχει Canterus. κατείργει recte habet. obruit, obscurat, vincit, proprie continet atque coercet ut infra se maneant, neque ad suam magnitudinem et altitudinem accedant. post οὐ μόνον subaudiri debet παρὰ, quod saepe omittitur, sed hic additum mallem. Reisk. 20 δύναται

καὶ τοῖς ἐν ταῖς ἐσχατιαῖς ὅπερ τοῖς ἐπὶ ταῖς ὄχθαις κατῳκημένοις, μᾶλλον δ' αὐτοῖς τοῖς πλέουσι μέσον πόρον.

63 ἐπειδὰν δὲ ὁ θερισμὸς ἥκῃ καὶ δέῃ πρὸς ὕψος ἰέναι, τὰ μὲν ἄλλ' ἀμύθητα, ἄμμοι δ' ἐκεῖναι καὶ γῆς χάσματα ἀντὶ τεμπῶν καὶ ἑλῶν ἐστιν αὐτῷ τὸ μηδαμῇ κωλύειν, ἀλλ' ἀτεχνῶς ὥσπερ οἱ τὴν ἐναντίαν τῷ παντὶ βαδίζοντες τῶν ἀστέρων ἐναντία καὶ τοῖς καιροῖς καὶ τῇ φύσει τῆς χώρας αἱρεῖται. καίτοι τίς οὐκ ἂν ἰδὼν καὶ τοῦθ' ἕν τι τῶν ἀπίστων ἔκρινεν, ἐξαρκέσαι τοῖς χάσμασι καὶ πληρῶσαι τὰ διεστηκότα, μᾶλλον δ' ἔτι τούτου πρότερον διὰ τῆς ἄμμου τῆς ἄνω διεξῆλθεν; ὁ δ' ὥσπερ φιλονεικῶν πρὸς τὰ ἐναντία αὐτῷ τὸν πόρον ἐργάζεται. καὶ πρῶτον μὲν τὰ κοῖλα καὶ τὰς χαράδρας ἐπλήρωσεν ὑπελθὼν ὑποβρύχιος, ὥσπερ οἱ ὕφαλοι κολυμβηταί, τρέψας εἰς τὸ κάτω τὰ πρῶτα τῆς ἀναβάσεως· ἔπειθ' ὑπὲρ αὐτῶν τε καὶ τῆς χώρας ἵσταται, προϊὼν ἀεὶ πρὸς τὸ μήκιστον μετρητὸς ἤδη. εἰ (615) δέ τις ᾔδει τὸ ἀφανὲς τοῦ ἔργου, μειζόνως ἂν ἐθαύμασε τοῦ ὁρωμένου. πολλοὺς γὰρ οἶμαι ποταμοὺς τῶν νῦν εἰς πρώτους τελούντων οὐκ ἂν ἀρκέσαι τοῖς κάτω τῆς χώρας, ἀλλ' ἐμπεσόντας ἂν αὐτόθι κρυφθῆναι, ὥσπερ τὸν Εὐφράτην προϊόντα ἀφανίζεσθαι λόγος. νῦν δ' ὥσπερ τῶν πυραμίδων τὰς μὲν κορυφὰς ὁρῶντες ἐκπληττόμεθα, τὸ δ' ἀντίπαλον καὶ ὑπὸ γῆς ἕτερον τοσοῦτον ὂν ἠγνόηται, λέγω δὲ ἃ τῶν ἱερέων ἤκουον, καὶ δὴ καὶ τὸν Νεῖλον κορυφωθέντα μὲν Αἴγυπτος ἡ πᾶσα ὁρίζεται, καὶ πρὸς τὰ

---

Reiskius. Vulgo δύνανται. 21 κατῳκημένοις Δ. κάτω κειμένοις ΓΘ. Vulgo κατῳκισμένοις.

363, 1 θερισμὸς] θεσμὸς ΓΔΘ. 2 Fort. εἰσὶ παρ' αὐτόν; τῷ μηδαμῇ κωλύειν. immanes arenae et labes terrarum sunt veluti Tempe et prata amoena, rivulis Nili irrigata, eo quod Nilum nusquam impediunt, neque sistunt eius cursum, non magis quam Tempe et prata rivos alios aut sistunt, aut absorbent, sed ut hi illa, ita Nilus istas arenas atque voragines cum transiit, tum ulterius procedit. Reisk. τῷ μηδαμῇ κωλύειν Canterus. Fortasse καὶ μηδαμῇ κωλύει. 5 δ' ἔτι] δὲ τί Δ. δ' ὅτι Canterus. 6 διεξῆλθεν] διεξελθεῖν. non enim probo Canteri ὅτι. Reisk. 9 αὐτῶν. redit enim ad τὰ κοῖλα et τὰς χαράδρας. Reisk. Legebatur αὐτούς. ἀεὶ] Vulgo αἰεί. 14 κορυφωθέντα] Summam partem

Digitized by Google

προκείμενον κρίνομεν τὸ Αἰγύπτιον πέλαγος, τοσοῦτος ἐπέρχεται· ὅπως δ' εἰς τοῦτο ἥκει καὶ ὅθεν ἤρξατο τῆς ἀναβάσεως ἐκπέφευγε τὴν ἱστορίαν. τὸ δὲ δὴ καὶ μόνην ταύτην ἁπασῶν χωρῶν ὥσπερ τι ζῶον καθεστάναι πρὸς ἀμφότερα ὑπὸ τοῦ ποταμοῦ, τοτὲ μὲν χερσαίαν εἶναι καὶ ἐφ' αὐτῆς ἐπὶ τοῦ ξηροῦ, αὖθις δ' ἐν τῷ ὕδατι διαιτᾶσθαι, τῷ χρὴ ταῦτα προσθεῖναι πλὴν ἢ τῇ μεγάλῃ σοφίᾳ καὶ προνοίᾳ τοῦ θεοῦ, ὅστις ἐν ᾗ ἥκιστα ὕειν ἔμελλε, τὸν Νεῖλον ἐπήγαγε μιμητήν τινα ἑαυτοῦ καὶ ἀντὶ (515)
ὄμβρων εἶναι τοῖς * * ταύτης τῆς δωρεᾶς αὖ τηνικαῦτα
364 ἐπήγαγεν, ἡνίκα τοῖς τε ἀνθρώποις ἔμελλε μάλιστα ἐν καιρῷ ἔσεσθαι καὶ τῇ χώρᾳ τὴν φορὰν οὐ μόνον οὐκ ἐλάττω τῆς ἱκανῆς, ἀλλὰ καὶ θαυμαστὴν πλήθει παρέξεσθαι; ταύτην ἐγὼ μόνην αἰτίαν ἐπινοῶ δι' ἣν ὁ Νεῖλος δι' Αἰ-

---

Nili. Reisk. 15 Fort. τὸ Αἰγύπτιον πεδίον πέλαγος, et ex eo quod subiectum oculis cernimus, iudicamus campum, vel solum, Aegyptium esse aequor undis exaestuans. Reisk. 18 τοτὲ] Vulgo τότε. καὶ τότε Canterus. Fort. τοτὲ μὲν χερσαίαν εἶναι, τοτὲ δὲ θαλαττίαν, καὶ τοὺς ἐπ' αὐτῆς νῦν μὲν ἐπὶ τοῦ ξηροῦ. Reisk. ἐφ' αὐτῆς ΔΘ. ἐφ' αὐτῆς Iunt. Steph. ἐπ' αὐτῆς Iebb.
19 τῷ χρὴ ταῦτα προσθεῖναι, πλὴν εἰ τῇ μεγάλῃ σοφίᾳ καὶ προνοίᾳ τοῦ θεοῦ] Eandem, quam ponit noster, incrementi Niliaci causam adsignat Achoreus apud Lucanum de Bello Civili lib. 10. v. 237.

—— —— *Quis causas reddere posset?*
*Sic jussit Natura parens decurrere Nilum;*
*Sic opus est mundo.* —— ——

Et paulo infra v. 263, seqq.

*Ast ego, si tantam ius est mihi solvere litem,*
*Quasdam, Caesar, aquas post mundi sera peracti*
*Secula, concussis terrarum erumpere venis,*
*Non id agente Deo; quasdam compage sub ipsa*
*Cum toto coepisse reor, quas ille creator*
*Atque opifex rerum certo sub jure coercet.*

Iebb. πλὴν ἢ] Vulgo πλὴν εἰ. 20 ἐν ᾗ Canterus. Vulgo εἰ μὴ. ᾗ μὲν in textu, εἰ μὴ in margine Γ. ὕειν ἔμελλε Γ. Vulgo ἔμελλεν ὕειν. 21 Indicavi lacunam. τοῖς ταύτῃ, καὶ τὸ ταύτης Canterus. Probo Canteri ταύτῃ, sed locum ita constituo, εἶναι τοῖς ταύτῃ, τὴν δὲ δωρεὰν αὖ. Constructio est, ἐπήγαγε τὸν Νεῖλον, εἶναι (id est ὥστε εἶναι αὐτὸν) μιμητὴν ἑαυτοῦ τοῖς ταύτῃ, καὶ ἀντὶ ὄμβρων. Reisk.

364, 3 ὁ Νεῖλος Δ. Aberat ὁ.

Digitized by Google

*γύπτου καὶ τῶν ἐκείνῃ ῥεῖ καὶ μέγιστος δὴ τοῦ θέρους. ὁρῶ δ' ὅτι καὶ τῶν ἰαμάτων ἀπὸ τῶν σωτήρων θεῶν ἀπολαύομεν, ὧν εἷς ἐστιν ὁ τῷ Νείλῳ συνώνυμος· καὶ τὸ μὲν κεφάλαιον καὶ τὴν καθάπαξ αἰτίαν ἅπαντες σύνισμεν, ὅτι ἡμᾶς βούλονται σώζειν καὶ ὑγιεῖς ποιεῖν, τὴν δ' ἐπίνοιαν αὐτὴν καὶ τὸ αἴτιον ὧν φράζουσιν ἑκάστοτε τίς πώποτ' ἐξευρεῖν οἷός τε; οἵ γε καὶ διὰ αὐτῶν τῶν ἐναντιωτάτων εἶναι δοκούντων καὶ ἃ μάλιστ' ἄν τις φυλάξαιτο ἰάσαντο. καὶ ταῦτα μὲν εἰς τοσοῦτον παρεφθέγχθω, οὐκ ἐκ προνοίας εἰρημένα οὐδὲ βουλευθέντα ἐξ ἀρχῆς, ἀλλὰ τοῦ λόγου ταύτῃ προενεγκόντος ὥσπερ ῥεύματος. Νεῖλος δὲ ποταμῶν οὐχ ἧττον κάλλιστος ἢ μέγιστος, καὶ χρείᾳ καὶ* (617) *θέας ἡδονῇ καὶ τοῖς πᾶσι πολὺ νικῶν· καὶ διὰ γῆς ἀρίστης καὶ καλλίστης διεξέρχεται, καὶ ἀὴρ ὁ περὶ αὐτὸν ἀέρων κάλλιστος καὶ τοῖς ὀφθαλμοῖς λαβεῖν καθαρώτατος· μεστὴ δὲ ὕδατος οὖσα ἡ γῆ πᾶσα ξηρότατον τὸ ἄνω πασῶν χωρῶν παρέχεται. ὡς δὲ καὶ σεισμοῖς καὶ λοιμοῖς καὶ τοῖς ἐξ οὐρανοῦ κατακλυσμοῖς ἀνάλωτος ἡ χώρα δι' αὐτόν ἐστιν οὐδὲ τοὺς πρὸ ἡμῶν Ἕλληνας ἔλαθεν. ἃ δὴ καὶ Αἰγύπτιοι συνεορακότες, οἶμαι, μειζόνως ἄγουσι τὰ κατ' αὐτόν. ὥστ' ἔγωγέ ποτε ἤκουσα καὶ ἄλλου τῶν τι δοκούντων εἰδέναι περὶ ταῦτα ὅτι καὶ τῶν νομίμων τῶν περὶ*

---

4 *σωτήρων*] *σωτηρίων Δ.* *σωτήρων θεῶν*] Quos videtur Asclepiadas dicere. Canter. 5 *συνώνυμος*] Quis ille? nequit alius esse quam Sarapis. Ergone Nilus et Sarapis idem in sermone Aegyptiaco significant? Reisk. *κεφάλαιον — αἰτίαν*] Subaudi *τῶν ἰαμάτων* vel *ἰασίων*. Reisk. 6 *ποιεῖν Γ.* Vulgo *εἶναι*, quod om. *Δ.* 7 *ἐναντιωτάτων*] *ἐναντιωμάτων Θ.* 8 *τοσοῦτον*] *τοσοῦτο ΓΔΘ.* 9 *ἀλλὰ* addidi ex *Γ.* *τοῦ λόγου ΓΔ.* Vulgo *τοῦ δὲ λόγου.* 13 *μεστὴ δὲ οὖσα ἡ γῆ πᾶσα ὕδατος Δ.* 15 *ἡμῶν ΓΔΘ.* Vulgo *ὑμῶν.* 16 *συνεορακότες*] Vulgo *συνεωρακότες.* 17 *ὅτι καὶ τῶν νομίμων*] Iul. Firmicus de errore Profan. Relig. *Aegypti incolae, aquarum beneficia percipientes, aquam colunt, aquis supplicant, aquas superstitiosa continuatione venerantur.* S. Athanasius, et ipse ex Aegypto ortus, in orat. contra Gentes: *Ἄλλοι ποταμοὺς καὶ κρήνας, καὶ πάντων μάλιστα Αἰγύπτιοι τὸ ὕδωρ προτετιμήκασι, καὶ θεοὺς ἀναγορεύουσι.* His adde Plutarchum in lib. de Iside et Osiride, *Οὐδὲν οὕτω τιμῇ Αἰγυπτίοις ὡς ὁ Νεῖλος.* Unde etiam illud Parmenonis Byzantii apud Athenaeum *Αἰγύπτιε Ζεῦ Νεῖλε.* Plura quoque videantur apud eruditis-

τὰς ἑορτὰς καὶ θυσίας εἰς τὸν Νεῖλον αὐτοῖς ἀνήκει τὰ πλεῖστα.

---

simum Vossium, lib. 2. de Orig. Idolol. c. 74. 75. hunc deum spectantia. Nili imago, quem circumstipant liberi septendecim, ab Aegypto Romam allata et in Templo Pacis a Vespasiano dicata, etiamnum conspicienda extat in Bibliotheca Vaticana. Iken. νομίμων τῶν Reiskius. Vulgo νομίμων καὶ τῶν.

Digitized by Google

# XLIX.

## ΠΕΡΙ ΤΟΥ ΠΑΡΑΦΘΕΓΜΑΤΟΣ.

365 Δεινοί τινες εἰσὶ νουθετεῖν ἑτέρους ἀφέντες ἑαυτούς. καὶ (618) εἰ μέν γε ἐκ τοῦ εὐθέος προσιόντες ἐποίουν αὐτὸ, κέρδος ἦν ἄν. ἢ γὰρ ἐπείσθη τις ἂν, ἢ πείσας ἀπήλλακτο. νῦν δ᾽ ἑτέρους διακόνους ὑποβαλλόμενοι τῆς συμβουλῆς ὡς ἀληθῶς σκιαμαχεῖν ἀναγκάζουσι. καὶ τὰ προοίμια δὲ δεινῶς ἐκ κύκλου αὐτῶν „ὡς μὲν ἔχω πρὸς αὐτὸν εὐνοίας,“ „ὅτι μὲν εἷς εἰμι τῶν φιλούντων“ τὰ τοιαῦτα. ταῦτα δ᾽ ἐστὶ πλεῖν ἢ ναυτιᾶν. καὶ τοίνυν καὶ πρώην τις τὸ αὐτὸ πρόβλημα ποιησάμενος ἀπαγγέλλειν ἑνὶ τῶν ἐμῶν ἐκέλευε πρός με ὡς ἄρα οὐκ ὀρθῶς παραφθεγξαίμην μεταξὺ τοῦ ἐγκωμίου καὶ τῶν λόγων τῶν εἰς τὴν θεόν· οὐ γὰρ εἰκὸς ἄρα εἶναι περὶ αὑτοῦ καὶ τῶν αὑτοῦ τι λέγειν τινὰ, ἄλλως τε καὶ ἐν τοῖς ἀκριβῶς εἰδόσι, πάντως δὲ εἰδέναι πάντας περὶ τῶν λόγων τῶν ἡμετέρων ὅσον τε ὑπερέχουσι, τουτὶ

---

*ΠΑΡΑΦΘΕΓΜΑΤΟΣ*] Rationem huius appellationis declarat p. 365, 15. et p. 370, 3. Reisk. Adde p. 373, 20. 377, 18. 381, 18. 386, 6. 387, 22. 388, 10. 389, 19. 392, 21. 397, 5.

365, 4 *δὲ δεινῶς* Steph. Iebb. *δὲ* om. Iunt. *ἐκ κύκλου*] *ἐκκυκλοῖν* Canterus. 5 *τὰ τοιαῦτα Γ.* Vulgo *καὶ τὰ τοιαῦτα.* Conf. p. 371, 17. *πλεῖν* Opor. Vulgo *πλεῖον.* *ναυτιᾶν* Opor. Vulgo *ναυτικῶν.* *ναυτικῶν* suspectum est. *nauseam movere* significare nequit. hoc enim foret *ναυτιᾶν ποιεῖν.* et si vel maxime id significaret, non conveniret tamen ea significatio huic loco. *ναυτικῶν* non potest aliud significare quam nauticum hominem vel nautam se gerere: quod num huic loco conveniat viderint alii. solent quidem nautae exemplo agrestium et importunorum hominum proponi. Reisk. 6 *ἐκέλευε*] *ἐκέλευσε Θ.* 8 *ἄρα εἶναι ΓΘ.* Vulgo *εἶναι*

γὰρ προστίθει, καὶ ὅτι εἴ τι ἄλλο ἄλλῳ, καὶ τοῦτο ἡμῖν ἀπείργασται· πολλὰ τοιαῦτα ἐχαρίζετο, τοῦ παραδέξασθαι (619)
τὴν αἰτίαν ἡμᾶς. φέρε δὴ καὶ πρὸς τοῦτον ἀποκρινώμεθα, ἐπειδή γε καὶ ὁ χθιζὸς ἡμῖν ἑστιάτωρ ἔχει τὴν ἀξίαν. πόθεν οὖν ἂν αὐτὸν ἐπιχειρήσαιμεν ἀρξάμενοι μεταπαιδεύειν, ἄνδρα οὕτω σεμνὸν καὶ πόρρω σοφίας ἐλαύνοντα ὥστε καὶ ἑτέρους ἐπιχειρεῖν νουθετεῖν οὑτωσὶ ῥᾳδίως; ἐγὼ μὲν ὑπὸ σπουδῆς μοι δοκῶ τὸ τελευταῖον πρῶτον ποιήσειν, παρέξομαι γὰρ αὐτὸν καθ᾽ αὑτοῦ μάρτυρα, ὅτι συκοφαντεῖ. καὶ δὴ παρέστω μὲν ἀνὴρ, εἴτ᾽ οὖν πάρεστιν εἴτε μὴ, οὐ γὰρ οἶδά γε αὐτὸν ὅστις ὢν τυγχάνει, οὔκουν ἔγωγε οὐδ᾽ αὐτὸν ὅλως, ἀποκρινέσθω δὲ ὡς παρών. τὸ δὲ ἐρώτημα τοιοῦτον, ὦ ἄριστε ἀνδρῶν, ὅτι μὲν συγχω-
366 ρεῖς ποιεῖν λόγους, εὖ ποιεῖς· τοσοῦτον δ᾽ ἡμῖν εἰπὲ, πότερον συγχωρεῖς μὲν ποιεῖν αὐτοὺς, γιγνώσκειν δ᾽ οὐκ ἐπιτρέπεις περὶ αὐτῶν τούτων ἅ τις ποιεῖ; καὶ τί γένοιτ᾽ ἂν χάριεν τοῦ ποιοῦντος μὲν, οὐ γιγνώσκοντος δὲ ὃ ποιεῖ; ἆρ᾽ οὖν γιγνώσκειν μέν ἐστι περὶ τῶν πραγμάτων, φρονεῖν δὲ ὑπὲρ ὧν γιγνώσκει τις οὐκ ἔστιν; ἀλλὰ μὴν τοῦτό γε αἴνιγμα καὶ πέρα γε ἴσως αἰνίγματος ἂν εἴη. οὐκοῦν περὶ ὧν φρονεῖν, περὶ τούτων καὶ λέγειν φασὶ δεῖν οἱ (620)
σοφοὶ, εἰ μή τι σὺ κἀνταῦθα ἕτερον λέγεις.

Σκόπει τοίνυν ὡς τὸ πᾶν ὡμολόγηκας ἓν τὸ πρῶτον δούς. εἰ γὰρ ἓν μὲν τῶν καλῶν κατ᾽ αὐτόν σε τὸ τοὺς λόγους ποιεῖν, ποιεῖν δὲ ἀμήχανον καλῶς ὁτιοῦν μὴ γιγνώσκοντα περὶ αὐτοῦ, ἀλλὰ μὴν περὶ ὧν γε γιγνώσκειν,

---

ἄρα. 10 τοῦτο ἡμῖν ἀπείργασται] Hoc a nobis est opus perfectum atque absolutum. scilicet τὸ ὑπερέχειν τοὺς ἄλλους εἰς τοὺς λόγους, ut eloquentia caeteris praestemus. Reisk. 11 ἐπειδή γε καὶ Γ. Vulgo ἐπειδὴ καί. 12 χθιζὸς] χθιζενὸς correctus Γ. Debuit χθιζινὸς. Significare videtur alium aliquem obtrectatorem alio quodam scripto a se refutatum esse. v. p. 369, 6. et ibi notulam Canteri. Reisk. 15 ἀνὴρ] Vulgo ἀνήρ. 16 οὐδ᾽] οἶδ᾽ Θ. 17 τοσοῦτον ΓΘ. Vulgo τοσοῦτο.

366, 2 γιγνώσκοντος Γ. Vulgo γινώσκοντος. 6 et 12 αὐτόν σε] Vulgo αὐτὸν σέ. 8 μὴν περὶ] μὴν ὑπὲρ ΓΘ. γε addidi ex Γ. In hoc versu ad crebros infinitivos subaudiendum est ἐστι. integre et explicate sic fuisset dicturus περὶ ὧν γινώσκειν ἐστί.

Digitized by Google

περὶ τούτων ἀνάγκη καὶ φρονεῖν, περὶ δ' ὧν φρονεῖν, καὶ λέγειν, δέδωκας περὶ ὧν τις ποιεῖ, περὶ τούτων χρῆναι καὶ λέγειν. νὴ Δί' ἀλλ' ἐν εἰδόσιν ἦν τὰ λεγόμενα. τί δῆτ' ἂν ἐποίησας, ἢ οὐ κατηγόρησας ἂν εἴ μ' ἔλαβες ψευδόμενον, ὅς γε ὧν ἅπαντας εἶναι φῂς μοι μάρτυρας, ταῦθ' ὡς οὐ προσήκοντα ᾐτιάσω; καὶ ὡς ἔοικεν, ἂν μὲν Δημοσθένη, ἢ Μιλτιάδην, ἢ Θεμιστοκλέα, ἢ τὸν ὁμώνυμόν ὑποκρίνωμαι, τότε μὲν πολὺ σοῦ κατ' αὐτόν σε ἀμείνων εἰμὶ γνῶναι τοὺς ἑκάστῳ προσήκοντας λόγους· οὓς δ' ἐμοὶ περὶ ἐμοῦ καὶ τῶν ἐμῶν προσήκει ποιεῖσθαι λόγους, τούτους δὲ σὺ καλλίων εἰδέναι; καὶ πῶς ἂν σοὶ παρεὶς εἰδέναι βέλτιον ὀρθῶς ἂν φρονοίην; καὶ μὴν τὸ μὲν ἐκείνων ἦθος εἰκάσαι δεῖ με, τὸ δ' ἐμαυτοῦ σαφῶς, οἶμαι, ἐπίσταμαι. καὶ νῦν εἰ μὲν περὶ τῆς Ἀθηνᾶς αὐτῆς ἐχρῆν (621) εἰπεῖν, ἐγὼ βελτίων ἦν σοῦ γνῶναι τοῖς σοῖς λόγοις, ἃ δ' ὑπὲρ τῶν λόγων τῶν εἰς τὴν Ἀθηνᾶν σὺ κρείττων ἐμοῦ; καὶ τοὺς μὲν ἄλλους ἐπίστασθαι φῂς αὐτά, αὐτὸν δέ με οὐκ ἐᾷς; καὶ σὺ μὲν ἡμῖν ἐπιτιμᾷς, ἐμοὶ δ' οὐκ ἐξέσται τοῖς οἷος εἶ σύ, καὶ ταῦτα ἐπιστροφῆς ἕνεκα; καὶ σὺ μὲν ὢν ἀκροατὴς μετείληφας ῥήτορος σχῆμα, τὸν δὲ ῥήτορα ἀξιοῖς ἡσυχίαν ἄγειν εἰς τὰ οἰκεῖα, καὶ ὑπὲρ μὲν ἄλλων λέγειν, ὑπὲρ δ' ἑαυτοῦ σιγᾶν; τί δῆτ' ἄν, εἰ ἡμῖν ἐδεδώκεις ἐξελὼν

Ὁππόθι πιότατον πεδίον Καλυδῶνος ἐραννῆς

367 ἢ περὶ οὗ Χαλκιδεῖς ποτὲ καὶ Ἐρετριεῖς διέστησαν, ἢ τὸ

---

περὶ τούτων καὶ φρονεῖν ἐστιν ἀνάγκη. περὶ ὧν δὲ φρονεῖν ἐστι, περὶ τούτων ἐστὶ καὶ λέγειν. de quibus iudicare possumus, de iis etiam ut sentiamus necesse est, sive excelsius, sive demissius: quarum rerum caussa vero animos aut attollimus aut deiicimus, iis de rebus licet etiam loqui. Reisk. 9 ἀλλ' ἐν] ἀλλ' εἰ ἐν Γ. 11 Δημοσθένη] Vulgo Δημοσθένην. 16 αὐτῆς addidi ex ΓΘ. 17 ἃ δ'] Subaudi χρὴ εἰπεῖν. Reisk. 18 δέ με] Vulgo δ' ἐμέ. εἶ addidi ex ΓΘ. 19 ἕνεκα] Vulgo εἵνεκα. 20 μὲν ἄλλων Θ. Vulgo μὲν τῶν ἄλλων. 21 δῆτ' Γ. Vulgo δῆτα. εἰ] ἢ Canterus. εἰ bene habet. subauditur ἐποίησας. quid igitur fecisses, si nobis pro mercede campum dedisses uberem. Reisk. Ὁππόθι] Iliad. ι, 577.

367, 1 περὶ οὗ] Ληλάντιον πεδίον dicit. Vide Thucydidis in-

μέσον Κορίνθου καὶ Σικυῶνος, ὁ χρησμὸς ἔφη, ὅτι ἁπλῶς οὑτωσὶ φιλίας ἕνεκα αὐτῆς παρών τε καὶ ἀπολαύων τῶν καλλίστων, οἷ᾽ ἂν τὰ ἡμέτερα εἴη κάλλιστα, εἰ μὴ ἄρα σοι καὶ τοῦτο προσίσταται, σὺ δὲ οὐδὲ τοσοῦτον ἡμῖν ἐν μισθοῦ μέρει κατέθου, ὅσον εἰ καί τι παρεληρήσαμεν τοῦτο συγγνῶναι; οὐκ οἶσθ᾽ ὅτι κἂν τοὺς ἐν Αἰγύπτῳ νομοὺς συνθεὶς κἂν τὴν γῆν τὴν Βαβυλωνίαν προσθεὶς (622) μισθὸν ἐμοὶ διδῷς τούτων τῶν λόγων, ἀνιάσω γάρ σε καὶ νῦν, οὐδέποτ᾽ ἐγγὺς ἀφίξει τῆς ἀξίας; ἀλλὰ τίς ἡμέτερος μισθὸς καὶ πρέπων ἡμῖν; φιλία, εὔνοια, σύνεσις, μνήμη, μετρία τιμὴ τῶν λόγων, αἰδὼς τοῦ ποιοῦντος τοὺς λόγους. ἐπεὶ δὲ δέδοικας μή τινος αὐθαδείας ἢ ἀλαζονείας ταῦτ᾽ ἐγγὺς εἶναι δοκῇ, φέρε ἐγώ σε παραμυθήσωμαι.

Σκόπει δῆτα ἀκούων ὡς ἔχω περὶ τούτων, κἂν λάβῃς ψευδόμενον, τὸ τοῦ Σοφοκλέους, φάσκειν ἐμὲ ἤδη μηδὲν φρονεῖν, καὶ τὴν μαντικὴν διάγραφε. ἐγὼ νομίζω τὸν μὲν τῶν ὑπαρχόντων μεῖζον φρονοῦντα, ἢ καὶ σχηματιζόμενον πρὸς τοὺς πολλοὺς ὡς ἂν ἐκπλήξειεν εἴτε λόγοις εἴτε καὶ πράξεσιν, οὐχ ὑγιαίνειν, ἀλλ᾽ εἶναι τοῦτον ἐκεῖνον τὸν ἀλαζόνα καὶ γόητα, καὶ ὅ τι τοιοῦτον βούλει καλεῖν· ὅστις δ᾽ εἰς ὅσον ἥκει δυνάμεως ἐξεπιστάμενος πρὸς τοῦτο καὶ τὴν ἀξίαν φρονεῖ, καὶ μηδὲν πλέον μήτε ζητεῖ μήτε θηρᾶται, τοῦτον ἀκριβῶς τὸν τῆς ἐλευθερίας ὅρον πληροῦν, ὥσπερ γε κἂν χρήμασιν ὅστις μὲν οἶμαι πλείω τῶν ὑπαρχόντων τὸν ὄγκον περιβάλλεται καὶ περινοστῶν σοβεῖ διὰ κενῆς, καὶ τοῦτ᾽ ἐσπούδακεν ἐξαπατᾶν (623)

---

terpretes I, 15. τὸ μέσον Κορίνθου καὶ Σικυῶνος] Vide ad Athenaei V. p. 219 s. 2 ὅτε] Huc pertinet κατέθου versu 4. quae duo cohaerent. ὅτι σὺ — οὐ κατέθου. Reisk. 3 οἷ᾽ Reiskius. οἷα Θ. Vulgo οἱ. τοῦτο] Scilicet quod mearum lucubrationum quibusdam κάλλος arrogem, easque καλλίστας appellem. Reisk. 5 συνθεὶς] Omnes in unum compositos acervum mihi dares. Reisk. 6 διδῷς] Vulgo δίδως. καὶ νῦν] Ut tum quoque te momordi, quum eloquentiam meam te audiente laudabam. Reisk. 7 φιλία addidi ex ΓΘ. μετρία ad μνήμη referebatur. Correxit Reiskius. παραμυθήσωμαι Iunt. παραμυθήσομαι Steph. Iebb. 10 Σοφοκλέους] In Oedipo tyr. v. 462. 12 εἴτε καὶ] καὶ om. Θ. 13 τοιοῦτον ΓΘ. Vulgo τοσοῦτο.

Digitized by Google

τοὺς ἐντυγχάνοντας, ἀλαζόνα που καλοῦμεν καὶ βλᾶκα καὶ χαῦνον τοὺς τρόπους· ὁ δ' αὖ ταπεινότερος ἢ κατὰ τὴν δύναμιν ἀξιῶν φαίνεσθαι καὶ συστέλλων ἑαυτὸν ἐπίτηδες εἰς τοὔλαττον ἑκὼν καὶ προχειρότερος ἐξαρνεῖσθαι τὰ ὄντα ἢ ὁμολογεῖν οὐ μάλα ἐν ἐλευθέροις ἐστὶν, ἢ κἂν εἰ μικροπρεπῆ καὶ γλίσχρον καὶ τοῦ κέρδους ἥττω καλοίης, τυγχάνοις ἂν μᾶλλον τοῦ προσήκοντος. οὕτως οἶμαι καὶ περὶ τῶν λόγων ἔχει, καὶ πάντων ὡς εἰπεῖν τῶν ἐν τῇ
368 φύσει πρὸς τὴν ἀξίαν ἕκαστον κρίνεται· καὶ ὅ γε ἁπλοῦς ἀνὴρ καὶ οὐ πολλαπλοῦς οὗτός ἐστιν, ἐμοὶ δοκεῖν, ὅστις οἶδε μὲν ἐπὶ τοῖς αὐτὸς αὑτοῦ μεῖζον φρονεῖν, οἶδε δὲ ἔλαττον, ἐπαινεῖ δὲ καὶ τὰ αὑτοῦ καὶ τὰ τῶν πλησίον, ἂν αὐτὸν προσίηται, ψέγει δὲ καὶ τὰ αὑτοῦ καὶ τὰ τῶν πλησίον, ἄν τι τοιοῦτον ἐνευρίσκῃ, μηδὲν τοῦ δοκοῦντος ἀληθοῦς εἶναι προτιθεὶς μηδαμοῦ. σκόπει δὲ κἀνθένδε. ἐμοὶ γὰρ σὺ ἴσως οὔπω ἐνέτυχες· ἐπεὶ ἔγνως ἂν ὅσα ἐπὶ τῶν ἐμαυτοῦ ψέγω. ἃ γὰρ διαγράφω καὶ μεταποιῶ, πῶς οἴει με πρὸς ταῦτα ἔχειν; φημὶ δὲ τοῦ πάντας ἴσον φρονεῖν ἐπὶ τοῖς ἑαυτῶν οὐδὲν εἶναι μᾶλλον κατ' ἀνθρώπους ἄνισον. ἀλλά μοι δοκεῖ καὶ τὸ γράμμα τὸ θεῖον ἄντικρυς (624)
τοῦτο κελεύειν καὶ λέγειν τὸ γνῶθι σεαυτὸν, οὐχ ἁπλῶς οὑτωσὶ, φάθι μηδὲν εἶναι, ἀλλὰ μήτε ὑπερβάλῃς μήτε ἐλλίπῃς. ἐπικυροῖ δὲ τὸ δεύτερον γράμμα καὶ ἐπισφραγίζεται ὅτι οὗτός ἐστιν ὁ νοῦς τοῦ προτέρου· τὸ γὰρ μηδὲν ἄγαν εἰς τοῦτο οἶμαι φέρει. τὴν τοίνυν ἀξίαν ὅ τ' Ἀπόλλων, ἅτε μάντις καὶ ποιητὴς ὢν καὶ κατ' ἀμφότερα ἐξηγητὴς τῆς ἀληθείας, παρακελεύεται τιμᾶν, σύ τ' ἂν εὖ φρονῇς καὶ μὴ θεοῖς ἐχθρὸς ᾖς, σκέψει πανταχοῦ, σκέψει δ' ὅπως ἁπάντων ὑπαρχόντων οὐ δείξεις ἀτιμάζων, ἀλλ' ἐπὶ παντὸς ἀεὶ παραλαμβάνων, οὕτω κρινεῖς ἀναφέρων ἐπ'.

---

18 βλᾶκα] Vulgo βλάκα. 20 ἢ κἂν] ἢ om. Θ.

368, 1 πολλαπλοῦς] Sumpsit a Platone de republ. III. p. 397 e. τοῖς αὐτὸς αὑτοῦ ΓΘ. Vulgo τοῖς αὐτοῦ. 3 ἐνευρίσκῃ ΓΘ. Vulgo εὑρίσκῃ. 4 Aut delendum ἐπὶ aut cum ἔπη mutandum. quot versus meorum (scil. scriptorum) damnem. Reisk. 6 πάντας Γ. Vulgo παντός. ἑαυτῶν ΓΘ. Vulgo ἑαυτοῦ. 8 φάθι] Vulgo φᾶθι. 10 τοίνυν Reiskius. Vulgo νῦν. 12 σκέψει] Vulgo bis σκέψῃ. Fort. σκέψῃ πανταχοῦ ὅπως τὴν ἀξίαν

ἐκεῖνο τὴν γνώμην, τὸ ποῖός τις ἕκαστος ἡμῶν καὶ πόσου τινὸς ἄξιος. τὰ γὰρ αὐτὰ τοῖς μὲν ἄξια, τοῖς δ' οὔ· οἷον ὅταν μὲν ὁ Θερσίτης λέγῃ

Ὅν κεν ἐγὼ δήσας ἀγάγω ἢ ἄλλος Ἀχαιῶν,

γέλως ἐστίν, οἶμαι· σὺ δήσας; εἰ δὲ μὴ σὲ ἕτερος αὐτῶν τῶν Ἀχαιῶν, οὐκ ἀγαπήσεις; οὐ γνώσει κατὰ τοῦ νώτου ληρῶν; ἀλλ' ὅταν γε Ἀχιλλεύς, οἶμαι, διηγῆται

Δώδεκα δὴ σὺν νηυσὶ πόλεις ἀλάπαξ' ἀνθρώπων,
πεζὸς δ' ἕνδεκά φημι κατὰ Τροίην ἐρίβωλον· (63
τάων ἐκ πασέων κειμήλια πολλὰ καὶ ἐσθλὰ
ἐξελόμην, καὶ πάντα φέρων Ἀγαμέμνονι δόσκον,

οὐδείς ἐστιν ὅστις ἔτι νεμεσήσει τῶν Ἀχαιῶν. διὰ τί; ὅτι συμβαίνουσιν οἱ λόγοι τοῖς ἔργοις. τρεῖς καὶ εἴκοσι, φησί, πόλεις εἷλον. τί οὖν; οὗτος αὐτὸς τὰς ἁπάσας; οὐκ ἔχομεν ἀντειπεῖν. ἀλλ' οὐ τὰς μὲν ἐν θαλάττῃ, τὰς δὲ πεζός,
369 καὶ τὰς μὲν τόσας, τὰς δὲ τόσας, ἀλλὰ καὶ ταῦτα συνίσασιν οἱ ἀκούοντες. οὐκοῦν ἅπαντα ἀληθῆ. ἀλλὰ καὶ προθυμότατος εἰς τὸ κοινὸν ἐγενόμην, φησίν. ἕως ἂν δείξῃ ὅτι οὐ προθυμότατος, οὐ ληρεῖ. διὰ ταῦτα ὁ αὐτὸς ἀνὴρ Ὀδυσσεὺς τὸν μὲν ἐμαστίγου, τὸν δ' ἱκέτευεν. ἵνα τοίνυν εἰδῇς ὅτι καὶ ὅλως ἀρχαῖον νόμιμον τοῦτο καὶ Ἑλληνικόν, φρονεῖν ἐπὶ τοῖς ἑαυτοῦ, καὶ χωρὶς τούτου τοῦ φρονήματος οὔτε πρᾶξις κατ' ἀνθρώπους ἀξία μνήμης οὔτε λόγος διαφέρων οὔτ' ἄλλο τελεσθείη ποτ' ἂν οὐδέν, ἄκουε οἷα καὶ ὅσα παρῆλθέ σε. ἀδελφοὺς δέ που τοῖς χθὲς ἔοικα ποιήσεσθαι τοὺς λόγους, καὶ γὰρ ἡ ἀπόκρισις τῆς αὐτῆς ἔχεται γνώμης σχεδόν. ὅσα μὲν δή σοι Ὅμηρος ἐφαίνετο (63)

---

τῶν ὑπαρχόντων μὴ δόξῃς ἀτιμάζειν. vide omnibus in rebus ne verum pretium rerum contemnere videare. v. p. 373, 4. Reisk.
15 λέγῃ Steph. Iebb. λέγει Iunt. Ὅν κεν] Iliad. β, 231.
16 αὐτῶν] Leg. αὖ vel αὐτόν. Reisk. γνώσει] Vulgo γνώσῃ.
17 γε] μοι Θ. Δώδεκα] Iliad. ι, 328. 20 τρεῖς καὶ ΓΘ. Vulgo τρεῖς γὰρ καί. αὐτὸς] αὐτὰς Θ. 21 ἀλλ' οὐ] Scilicet εἷλεν Ἀγαμέμνων. Reisk.

369, 2 δείξῃ Canterus. Vulgo δείξῃς. ὅτι οὐ Γ. Vulgo ὅτι ὁ. „Fort. ὅτι οὐ προθυμότατος. scil. ἐγένετο vel ἦν." Reisk.
5 λόγος Steph. Iebb. λόγους Iunt. 6 παρῆλθέ σε Γ. Vulgo παρήλθετε (ου). που Θ. πω Γ. Vulgo πω. πως Reiskius. τοῖς χθὲς] In oratione contra ineptos histriones, quae uno die videtur ante

λέγων αὐτὸς ὑπὲρ αὑτοῦ καλεῖν κελεύων τοὺς προσαγωγέας μέμνησαι· ὥστε ἀφίημι αὐτά. καίτοι γε ἐκεῖνα τὰ ἔπη σχεδὸν ἄντικρυς λέγει τοῦθ᾽ ὅτι Ὅμηρος αὑτὸν ψηφίζεται ποιητῶν εἶναι κράτιστον. ἀφεῖται μὲν δή σοι Ὅμηρος. σκόπει δὲ καὶ Ἡσιόδου φρόνημα, εἰ ἄρα πρότερον μὴ κατεῖδες. ἐκεῖνος γὰρ ἀρξάμενος τῆς θεογονίας καὶ τὰς Μούσας ὑμνῶν εὐθὺς λέγει

Αἵ νύ ποθ᾽ Ἡσίοδον καλὴν ἐδίδαξαν ἀοιδήν.

καὶ οὕτω σχέτλιος ἦν καὶ ὑβριστὴς ὥστ᾽ οὐδὲ τοσοῦτον ἐνέμεινεν ἐκτελέσαι τὸ προοίμιον ταῖς θεαῖς, ἀλλὰ λέγων ὅτι αἱ Μοῦσαι ὑμνοῦσι τὸν Δία καὶ

Λητώ τ᾽ Ἰαπετόν τε ἰδὲ Κρόνον ἀγκυλομήτην,

εἶτα οὐ καρτερεῖ, ἀλλ᾽ ὀλίγου μεταξὺ τῶν θεῶν τῶν ὀνομάτων φησὶν

Αἵ νύ ποθ᾽ Ἡσίοδον καλὴν ἐδίδαξαν ἀοιδὴν,

ὡς εἰ μὴ καὶ τοῦτο δόξει τῶν Μουσῶν ἔργον εἶναι, ὥσπερ τοὺς θεοὺς ᾄδειν οὕτω καὶ Ἡσίοδον ποιητὴν ἀπεργάσασθαι, μοῖράν τινα αὐταῖς ἀπολλυμένην τῆς εὐφημίας. καὶ οὐ μόνον λαβεῖν φησι παρ᾽ αὐτῶν τὴν ᾠδὴν, ἀλλ᾽ ὅτι καὶ καλὴν οὖσαν προστίθησι· νὴ Δί᾽ ἀσφαλῶς γε, (627) φαίης ἂν, προστιθεὶς ταῖς Μούσαις ἑαυτόν.

Οὐκοῦν καὶ ἡμεῖς ἃ προήχθημεν εἰπεῖν προστιθέμεν ταῖς Μούσαις καὶ τῇ θεῷ. ἐλέγομεν γοῦν, εἰ μέμνησαι, ὅτι καὶ ἄντικρυς ἐστιν ἃ τῶν ῥημάτων ἀπεμνημονεύσαμεν ὧν ἡ θεὸς προὔδειξεν, εἰ μὴ τὸ σὸν κωλύει. ὅσῳ δὲ ἡμεῖς
70 ἐπιεικέστεροι Ἡσιόδου μάθε, ἐπειδή γε ἀναγκάζεις. ὁ μὲν μεταξὺ τὸν ὕμνον ποιῶν ταῖς θεαῖς τοῦτο ἐντέθεικε τὸ ἔπος, ἐγκώμιον ὡς εἰπεῖν ἑαυτοῦ· ἡμεῖς δὲ τοὺς εἰς τὴν θεὸν λόγους καθαροὺς καθαρῶς ἐξεργασάμενοι μικρόν τι

---

hanc habita. CANTER. 8 αὑτοῦ Θ. Vulgo αὐτοῦ. καλεῖν ΓΘ Iunt. χαίρειν Steph. Iebb. προσαγωγέας] Usitatius est προσαγωγεύς. REISK. 9 σχεδὸν ἄντικρυς ΓΘ. Vulgo σχεδὸν οὐκ ἄντικρυς.
13 Fort. τοσοῦτον ἀνέμεινεν, ὅσον ἐκτελέσαι. significat autem ἐκτελεῖν h. l. proprium facere et peragere totum solis Musis consecratum nulla interposita aliena laude. REISK. 14 Vulgo Λητώ τε Ἰαπετόν τε ἠδὲ. ἰδὲ praebuit Θ. ἀγκυλομήτην] ἀγκυλομήτιν Γ. 18 καλὴν οὖσαν] Subaudi ἔλαβε. REISK. Δί᾽] δία Θ.
370, 1 ἐντέθεικε ΓΘ Opor. Vulgo ἐνέθηκε. 3 ἐξεργασάμενοι

περὶ ἡμῶν αὐτῶν ἄγραφον παρεφθεγξάμεθα. καὶ οὐχ ἁπλῶς γε οὑτωσὶ ὅτι τὴν ᾠδὴν ἔλαβε παρὰ τῶν Μουσῶν εἰπὼν ἀπαλλάττεται ὁ Ἡσίοδος οὐδ' ἐπὶ τῇ προτέρᾳ προσθήκῃ περὶ τῆς ᾠδῆς ὡς εἴη καλὴ, ἀλλ' οὕτως ἀλαζὼν καὶ φιλότιμος ἦν ὥστε καὶ σκῆπτρόν φησι λαβεῖν παρ' αὐτῶν. τοῦτο δ' αὐτῷ τι βούλεται πλέον ἢ νοήσειεν ἂν ἀργὸς ἀκροατής. ἀνένεγκε δὲ εἰς Ὅμηρον τί περὶ τοῦ σκήπτρου λέγει,

Νῦν δέ μιν υἷες Ἀχαιῶν
ἐν παλάμῃς φορέουσι δικασπόλοι.

κἀγὼ, φησὶν ὁ Ἡσίοδος, τὸ τῶν Μουσῶν μέρος εἰμὶ τούτων εἷς. ἐν ὑπερβολῇ δὲ σεμνύνων τὰ αὑτοῦ τί φησί; „Δρέψασθαι θηητόν·“ ὡς οὐδὲ τὸν τυχόντα κλαδίσκον λαβὼν, ἀλλὰ πολλῶν ὄντων τὸν μάλιστα περίβλεπτον εἶναι σκῆπτρον Ἡσιόδῳ. καὶ οὐδ' ἐνταῦθα ἔστη τῆς ὕβρεως, ἀλλ' ὥσπερ σὲ ῥηγνὺς ἐξεπίτηδες προστίθησιν „Ἐνέπνευσαν δέ μοι αὐδήν.“ καὶ τοῦ μὲν ἔπους ἐτελεύτησε, τοῦ δ' ἐγκωμίου οὐδὲν μᾶλλον, ἀλλὰ καὶ θεσπεσίην πάλιν αὖ προσέθηκε, καὶ τό γ' ἔτι κάλλιον, ὥσπερ οἱ πανταχῇ περιττοὶ τῶν σοφιστῶν „Ἵνα κλείοιμι τά τ' ἐσσόμενα πρό τ' ἐόντα.“ τοῦτο δ' ἐστὶ τί; τὰς Μούσας φησὶν ὑμνεῖν τά τ' ἐσσόμενα πρό τ' ἐόντα, καὶ ταύτην εἶναι φύσιν αὐτῶν. κἀγὼ οὖν, φησὶν, ὑμνῶ ταῦτα ἅπερ αἱ Μοῦσαι. ἐὰν οὖν σοι δοκῇ ταῦτα διαγράφειν Ἡσιόδου, καὶ ἡμεῖς τὴν ἐπιτίμησιν δεξόμεθα. δείξεις δὲ δή που πρότερον ὡς ἀνάξιος εἶ τῶν ἐπῶν.

Φέρε δὴ πάλιν ἐπανέλθωμεν ἐπὶ τοὺς ἄνδρας περὶ ὧν διαλέγονται. οὐκοῦν δοκεῖ σοι σαφέστατα ἀνθρώπων Ὅμηρος πεποιηκέναι τὸν Ἀχιλλέα λέγοντα εἰς αὑτὸν ἄλλα τε δὴ καὶ εἰσάπαξ οὕτως;

---

Γ. Vulgo ἐργασάμενοι. 4 ἔλαβε] ἔλαβεν Γ. παρὰ ΓΘ, Canterus, Reiskius. Vulgo περὶ. 6 αὐτῷ Γ, Canterus, Reiskius. Vulgo αὐτὸ. τι Reiskius. Vulgo τί. 7 Νῦν] Iliad. α, 238. ubi νῦν αὖτέ μιν. 8 παλάμῃς] παλάμαις Θ. 9 εἷς. ἐν] ἦσεν Γ. αὑτοῦ Θ. αὐτοῦ Γ. Vulgo ἑαυτοῦ. Δρέψασθαι] V. 31. 10 ἡσιόδῳ ΓΘ. Vulgo Ἡσιόδου. 14 ἐσσόμενα] ἐσόμενα hic et infra ΓΘ. τί; τὰς Reiskius. Vulgo τὸ τὰς. 16 δεξόμεθα] δὲ δεξόμεθά Γ. 18 οὐκουν] Vulgo οὐκοῦν. οὐκοῦν οὐ Canterus.

Digitized by Google

Ἀλλ' ἧμαι παρὰ νηυσὶν ἐτώσιον ἄχθος ἀρούρης,
[ἄν τε σὺ βούλῃ, φησίν, ἄν τε μή· κἂν ἔτι κάκιον ἢ νῦν διαφθαρῇ]
τοῖος ἐὼν οἷος οὔ τις Ἀχαιῶν χαλκοχιτώνων.

71 νὴ Δία ἀλλ' ὁ Ἀχιλλεὺς νεανιεύεται. ὁ δέ γε Ὀδυσσεὺς ὠμογέρων ὢν τί λέγει; καὶ ταῦτα πρὸς αὐτὸν ἐκεῖνον λέγων „Ὦ Ἀχιλεῦ Πηλέως υἱὲ," εἰ μὲν ἄλλο τι κρείττων ἀξιοῖς εἶναι, συγχωρῶ, „ἐγὼ δέ κε σεῖο νοήματί κεν προβαλοίμην," καὶ προσέθηκεν ὅτι καὶ πολλόν. οὐδὲ γὰρ ὥσπερ οἱ φαῦλοι τῶν γραμματιστῶν λυμαίνονται τῷ ἔπει οὐχ οὕτως ἔχει, οἳ τὸ πολλὸν ἀπολύουσιν ἀπὸ τοῦ προτέρου, ἄγουσι δ' ἐπὶ τὰ ἑξῆς, ὧν ἡγεῖται κατὰ τὴν τοῦ ἔπους ἀρχήν. ἐμοὶ δὲ οὗτοι οὐ πάνυ τι δοκοῦσιν ἐπαΐειν περὶ λόγων. ἔστι γὰρ ἄντικρυς ἀντίθετον· φησὶ γὰρ

Κρείττων εἷς ἐμέθεν καὶ φέρτερος οὐκ ὀλίγον γε ἔγχει

τὸ πρότερον· εἶτα,

ἐγὼ δέ κε σεῖο νοήματί κεν προβαλοίμην πολλόν.

ἄκουε δὴ πῶς ἀντίκειται. ὃ μὲν ἐκεῖ τὸ ἔγχει, νοήματί ἐστιν ἐνταῦθα, ὃ δ' ἦν· τὸ οὐκ ὀλίγον γε, τοῦτ' ἀντ' ἐκείνου τὸ πολλόν, ὥσπερ ἂν εἰ καὶ οὕτως εἶπε μεταλαβών, πολὺ κρείττων σὺ ἐμοῦ τὰ ἐν πολέμῳ, ἐγὼ δὲ σοῦ (630) ταῦτα οὐκ ὀλίγον. ἔτι δέ σε ἐπάξω βεβαιότερον, εἰ βούλει. Ὅμηρος γὰρ περὶ μὲν ἡλικίας οὐ πάνυ τι χρῆται προσθήκαις τοιαύταις, ὅσα γε ὡς ἐν τῷ παρόντι μεμνῆσθαι, εἰς δὲ ἀρετῆς κρίσιν πολλάκις, οἷόν τι λέγω, φησὶ δή που περὶ τοῦ Διὸς λέγων καὶ τοῦ Ποσειδῶνος

Ἀλλὰ Ζεὺς πρότερος γεγόνει,

τοσοῦτον μόνον, καὶ πολὺ οὐ προστίθησι. καίτοι ὅτι πολὺ

---

19 Ἀλλ'] Iliad. σ, 104. ἄν τε σὺ — διαφθαρῇ om. ΓΘ. βούλῃ] Vulgo βούλει. διαφθαρῇ] διαφθαρῇς. rumparis. iactat se Achilles Homericus, etiamsi tu nolis, tametsi tu magis etiam pereas quam nunc peris. Reisk.

371, 1 Ὦ] Iliad. τ, 218. 3 προσέθηκεν ΓΘ. Vulgo προσέθηκε. 4 ἄγουσι] ἄγουσιν Θ. 7 ὀλίγον γε] ὀλίγον περ Homerus. ἔγχει addidi ex Homero. 11 προσθήκαις τοιαύταις] Significat praedicata πολὺ et ὀλίγον. Reisk. ὡς ἐν ΓΘ. Aberat ὡς. 13 Ἀλλὰ] Iliad. ν, 355. τοσοῦτον ΓΘ. Vulgo τοσοῦτο.



Digitized by Google

δῆλον καὶ μὴ προσθέντος αὐτοῖς τε τοῖς ἐκείνου καὶ τοῖς ἄλλοις. ᾄδει γὰρ εἰς αὐτὸν ἀεὶ, πατὴρ ἀνδρῶν τε θεῶν τε. ὥστε πῶς οὐ μακρῷ πάντων ἐστὶ πρεσβύτατος; ἑτέρωθι τοίνυν φησὶν

> Ὁ δ' ἅμα πρότερος καὶ ἀρείων
> ἥρως Πρωτεσίλαος.

τοσοῦτον μόνον ὅτι πρότερος, πόσον δέ τι οὐ λέγει. ἀλλ' ἐπειδὰν κρίνῃ, προστίθησι πολὺ, μέγα, τὰ τοιαῦτα,

> Ἀνδρῶν αὖ μέγ' ἄριστος ἔην Τελαμώνιος Αἴας,
> ὄφρ' Ἀχιλεὺς μήνιεν.

εἶτα πῶς;

> ὁ γὰρ πολὺ φέρτερος ἦεν.

τοῦτο δὴ τὸ οἴκοθεν ἔθος διαβιβάζει καὶ ἐπὶ τὸν Ὀδυσσέα, νομίζων κἀκείνῳ προσήκειν οὕτως εἰρῆσθαι, ὅτι ἐγὼ σοῦ προφέρω πολὺ εἰς γνώμην. καὶ ὅ γε Ὀδυσσεὺς θαρρῶν αὐτὸ, οἶμαι, προσετίθει. ᾔδει γὰρ καὶ αὐτὸν τὸν
372 Ἀχιλλέα ἃ μὴ δυνατὸς ἦν οὐ προσποιούμενον οὐδ' ἀλαζονευόμενον. αὐτὰ γὰρ ταῦτα ὧν ἀρτίως ἐμνήσθην, ἐν οἷς ὁ Ἀχιλλεὺς ἐπαρρησιάζετο, ὁμολογίαν τινὰ εἶχεν ἀδελφὴν τοῖς λόγοις τοῦ Ὀδυσσέως, ἐπεὶ κἀκεῖνος οὕτως διορίζεταὶ λέγων ὅτι

> Ἐν πολέμῳ, ἀγορῇ δέ τ' ἀμείνονές εἰσι καὶ ἄλλοι.

ἔχων οὖν ἐνέχυρον ὁ Ὀδυσσεὺς τὴν ἐκείνου ψῆφον καὶ εὖ εἰδὼς ὅτι οὐκ ἀηδῶς τἀληθὲς ἀκούσεται, ἀλλὰ τοῦ αὐτοῦ καὶ λέγειν καὶ ἀκούειν ἐθέλειν ἐστὶ τἀληθῆ· ἐκεῖνά τε σὺ, ἔφη, πολὺ κρείττων ἐμοῦ καὶ ταῦτα ἐγὼ σοῦ τοσοῦτον ἕτερον.

Τὸ δὲ ἔτι κάλλιον, ὁ γὰρ Νέστωρ οὐδ' ὁμογέρων τις ἔτι ὢν, ἀλλ' οὕτω σφόδρα πρεσβύτης καὶ πέπων ὥστ' αὐτῷ

> Δύο μὲν γενεαὶ μερόπων ἀνθρώπων

---

15 ἀεὶ] αἰεὶ Θ. 16 Ὁ δ'] Iliad. β, 708. τοσοῦτον ΓΘ. Vulgo τοσοῦτο. 18 Ἀνδρῶν] Iliad. β, 768. αὖ ΓΘ. Vulgo δ' αὖ. 19 γὰρ πολὺ] Vulgo γὰρ δὴ πολύ. 21 ᾔδει ΓΘ. Vulgo ἤδη.

372, 3 οὕτως διορίζεται ΓΘ. Vulgo οὕτω διωρίζετο. 3 Ἐν πολέμῳ] Iliad. σ, 106. 5 ἔφη] ἔφης ΓΘ. 7 Δύο] Iliad. =

*ἐφθίαθ᾽, οἵ οἱ πρόσθεν ἅμα τράφεν ἠδ᾽ ἐγένοντο,*
*μετὰ δὲ τριτάτοισιν ἄνασσεν·*

*οὕτω σφόδρα δόξει σοὶ κριτῇ μειρακιεύεσθαι ὥστε μηδὲν εἶναι χρῆμα λαλίστερον αὐτοῦ μηδ᾽ αὐθαδέστερον. οὐδὲ γὰρ εἰσάπαξ ποτὲ ἐπαινέσας αὐτὸν ἀπηλλάγη, ἀλλ᾽ ἐστὶν* (632) *ὅμοιος ἁπανταχοῦ· ὃς πρῶτον μὲν τοὺς βασιλέας διαλλάττων φησὶ συγγενέσθαι ἀνδράσιν οὐ κατὰ τοὺς νῦν, ἀλλὰ μακρῷ πάντων κρατίστοις, ἑαυτὸν δι᾽ ἐκείνων σεμνύνων· ὥστ᾽ οὐδ᾽ ἀπεκρύψατο αὐτό, ἀλλ᾽ εἶπεν ἄντικρυς*

*Καὶ μέν μευ βουλέων ξύνιον, πείθοντό τε μύθῳ,*

*ὄντες, φησί, τοιοῦτοι. τὸ δ᾽ ἔτι μεῖζον*

*καὶ μὲν τοῖσιν ἐγὼ μεθομίλεον ἐκ Πύλου ἐλθὼν*
*τηλόθεν ἐξ Ἀπίης γαίης· καλέσαντο γὰρ αὐτοί.*

*δύο προσθῆκαι, ὅτι τε αὐτοὶ ἦσαν οἱ μεταπεμψάμενοι καὶ δεηθέντες καὶ ἔτι „Τηλόθεν ἐξ Ἀπίης γαίης," ὡς δὴ οὕτω σφόδρα ἔνδοξος καὶ θαυμαστὸς ὤν. εἰ δ᾽ ἐρεῖς ὅτι εὔγνωμον καὶ σύμμετρον τὸ „Καὶ μαχόμην κατ᾽ ἐμαυτὸν ἐγώ," φημὶ κἀγώ, καὶ οὐδαμοῦ τοὺς μαινομένους ἐπῄνεσα, ἀλλά τοι τῆς αὐτῆς ἐστι δεξιότητος καὶ τὰ προκείμενα, καί πως ἀμφότερά ἐστιν ἀληθῆ καὶ τοῦ ἐμοῦ λόγου. οὐ μὲν γὰρ ἐκείνων ἡττᾶτο „Καὶ μαχόμην" ἔφη „κατ᾽ ἐμαυτόν," οὗ δὲ κἀκείνων κρείττων καὶ τούτων πρὸς οὓς διελέγετο, ὑπό τ᾽ ἐκείνων προκριθῆναί φησι καὶ*
73 *τούτους ἀξιοῖ συγχωρεῖν, ἄντικρυς εἰς ταυτὸν ἰὼν τῷ* (633)
*Ὀδυσσεῖ τῷ λέγοντι πρὸς τὸν Ἀχιλλέα ὅτι χείρων μὲν εἴη αἰχμὴν ἐκείνου, γνῶναι δ᾽ ἃ χρὴ βελτίων, ὥσπερ πρότερον καὶ αὐτῷ τῷ Ἀχιλλεῖ περὶ αὑτοῦ συνεδόκει. οὐ γὰρ ἄλλο γε οὐδὲν ἢ μία τις γνώμη τῶν τριῶν φαίνεται κατ᾽ αὐτό γε τοῦτο, τοῦ νεανίου, τοῦ ὠμογέροντος, τοῦ γέροντος, φρονεῖν περὶ αὑτοῦ καὶ λέγειν πρὸς ἀξίαν τῶν ὑπαρχόντων. λέγων γοῦν παρακλητικὸν τοῖς Ἀχαιοῖς ὁ πρεσβύτατος αὐτὸς ὑπὲρ τοῦ δέξασθαι τὴν πρόκλησιν τοῦ*

---

251. 11 *πρῶτον*] *πρῶτος* ΓΘ. 13 *Καὶ μέν μευ*] Iliad. β, 273. 14 *μεθομίλεον*] Vulgo *μεθωμίλεον*. 17 *καὶ μαχόμην* ΓΘ. Aberat *καί*. 18 *καὶ οὐδαμοῦ* Θ. Vulgo *κοὐδαμοῦ*.
19 *τὰ προκείμενα*] Exemplum Nestoris, in quo nunc versatur Aristides. Reisk. 21 *τ᾽* Reiskius. Vulgo *γ᾽*.

373, 5 *πρεσβύτατος*] Fort. *πρεσβύτης* *idem senex*, Nestor puta.

Ἕκτορος οὐδὲν ἀλλ' ἢ ἐγκώμια αὐτοῦ διεξέρχεται· ἐνταῦθα δὲ καὶ ὡς κατὰ χεῖρα κράτιστος γεγονὼς διαλέγεται, καὶ ἐστὶ φορητὸς οὐδαμῶς, ἀρξάμενος ἀπὸ τοῦ „Εἴθ' ὡς ἡβώοιμι ὡς ὅτ' ἐπ' ὠκυρόῳ Κελάδοντι μάχοντο.“ τὸ δὲ δὴ πέρας τῆς ἀλαζονίας, οὐδὲ γὰρ οὐδ' ἀπέχρησεν αὐτῷ εἰπεῖν ὅτι ἀπέκτεινε τὸν ἀντίπαλον, ἀλλ' ὥσπερ αὐτῷ τὸν ἐπίνικον ποιῶν

Τὸν δὴ μήκιστον, φησὶ, καὶ κάρτιστον κτάνον ἄνδρα·
πολλός γάρ τις ἔκειτο παρήορος ἔνθα καὶ ἔνθα,

τῆς αὐτῆς ὁδοῦ δηλῶν ὅτι καὶ ἑτέρους ἀπεκτονὼς εἴη συχνοὺς καὶ μεγάλους καὶ καλούς. ἀλλ' ὦ τᾶν ὅρα μὴ οὐκ εἰκῆ ταῦτα ἀλαζονεύηται, ἀλλὰ παροξυντικὰ εἰς τοὺς Ἀχαιοὺς ἐξεπίτηδες λέγῃ. καὶ ὅτι ἔτυχε τοῦ σκοποῦ καὶ ἥψατο αὐτῶν μαρτυρεῖ ὁ πάντα ταῦτα συγγράψας ποιητής. ἐπὶ γὰρ τῇ δημηγορίᾳ τοῦτο ἐπιτίθησιν,

Ὣς νείκεσσ' ὁ γέρων, οἱ δ' ἐννέα πάντες ἀνέσταν.

καὶ μὴ ὅτι ἐν τῷ δημοσίῳ τοιοῦτός ἐστιν ὁ Νέστωρ, ἀλλὰ καὶ ἐν ταῖς ἰδίαις συνουσίαις ἀλαζών τίς σοι φανεῖται, ὅς γε καὶ τὸν Πάτροκλον πεμφθέντα ὑπὸ τοῦ Ἀχιλλέως ὡς αὐτὸν, ὅπως ἔροιτο ὅντινα ἄγει καὶ οὕτω σφόδρα ἠπειγμένον ὥστε μηδ' ἀναπαύσασθαι βούλεσθαι διὰ τὸ ὀκνεῖν μὴ αἰτιάσαιτο αὐτὸν Ἀχιλλεὺς, ἀλλ' ἐξεπίτηδες καθέζεσθαί τε κελεύει καὶ ἀκροᾶσθαι τῶν λόγων, καὶ πάλιν ἀπ' ἀρχῆς τινος ὁμοίας ἀρξάμενος καὶ τὴν ἥβην τὴν ἀρχαίαν ποθήσας τε καὶ ἀνακαλέσας διήγησίν τινα περαίνει μακρὰν, ἧς τὰ μὲν ἄλλα καὶ μνησθῆναι χαλεπὸν, τὸ δὲ ὑβριστικώτατον αὐτῷ τῶν ἐπῶν καὶ οὐδέν τι τοῖς ἐμοῖς ῥήμασι προσεοικὸς, ἃ πρώην παρεφθεγξάμην,

---

Reisk. 6 δὲ καὶ ὡς ΓΘ. Aberat καὶ. 7 Εἴθ'] Iliad. η, 157. ὡς ὅτ' Iliad. η, 133. αἲ γὰρ — ἡβῷμ', ὡς ὅτ' —. 8 Vulgo ἀλαζονείας. οὐδὲ γὰρ οὐδ' Θ. Aberat οὐδ'. 9 ἐπίνικον ΓΘ. Vulgo ἐπινίκιον. 9 Τὸν δὴ] V. 155. κάρτιστον Θ. Vulgo κράτιστον. 10 δηλῶν ὅτι καὶ ἑτέρους Θ. δῆλον ὅτι καὶ ἑτέρους Γ. Vulgo δηλονότι καὶ ὅτι ἑτέρους. 11 ὦ τὰν Canterus et Reiskius. Vulgo ὦ τ' ἄν. 12 πάντα ταῦτα ΓΘ. Vulgo ταῦτα πάντα. 13 τοῦτο ἐπιτίθησιν ΓΘ. Vulgo τοῦτον ἐπιτίθησι. τοῦτο etiam Canterus et Reiskius. Ὣς] V. 161. 14 τοιοῦτος ΓΘ, Reiskius. Vulgo τοιοῦτο. 15 ὅς γε καὶ Γ. Aberat καὶ.

Digitized by Google

*Πάντες δ' εὐχετόωντο θεῶν Διὶ, Νέστορί τ' ἀνδρῶν.*

74 *ἐῶ γὰρ οἷα καὶ πρὸς τὸν Ἀγαμέμνονα ὁ σοφὸς ἡμῖν* (635) *ἀποκρίνεται διεξιόντα τὰς τάξεις κατὰ σπουδήν. ἀλλὰ τὸ πάντων ἥδιστον· τοῦ γὰρ Ἀχιλλέως διατιθέντος τὸν ἀγῶνα ἐπὶ τῷ Πατρόκλῳ καὶ ἄλλων ἄλλα νικώντων αὐτὸς οὐχ οἷός τε ἦν οὐδὲν ἀγωνίσασθαι, ἀλλὰ τὸ λεγόμενον δὴ τουτὶ οὐδὲν ἔτι ὢν εἰς ταῦτα ὑπὸ γήρως ἃ πρόσθεν ποτ' ἐνίκα, λέγει ὡς δή τι ταύτῃ δρῶν, καὶ φησὶ πρὸς τοὺς Ἀχαιοὺς οὐ τούτοις αὐτοῖς τοῖς ῥήμασιν, ἀλλά πως σχηματιζόμενος, ὅτι ὑμῶν μὲν ἕκαστος ὁ μὲν δρόμον νενίκηκεν ἢ νικήσει, ὁ δ' ἴσως πάλην, ἄλλος δὲ ἄλλο τι· ἐγὼ δὲ*

*Πὺξ μὲν ἐνίκησα Κλυτομήδεα Οἴνοπος υἱόν,*
*Ἀλκαῖον δὲ πάλῃ Πλευρώνιον, ὅς μοι ἀνέστη,*
*Ἴφικλον δὲ πόδεσσι παρέδραμον ἐσθλὸν ἐόντα,*
*δουρὶ δ' ὑπερέβαλον Φυλῆά τε καὶ Πολύδωρον·*

*τοσοῦτον ἐγὼ τῶν νῦν νικώντων κρείττων εἰμὶ, εἰ καὶ τῷ γήρᾳ συγκεχώρηκα.*

*Εἰ δ' αὖ βούλει, τοῦ πύκτου τοῦ Φωκέως ὅσον τὸ χρῆμα τῆς ὑπερηφανίας,*

*Ἆσσον ἴτω ὅστις δέπας οἴσεται ἀμφικύπελλον·*
*ἡμίονον δ' οὔ φημί τιν' ἀξέμεν.*
*ὧδε γὰρ ἐξερέω, καὶ μὴν τετελεσμένον ἔσται·*
*ἀντικρὺ χρόα τε ῥήξω, σὺν δ' ὀστέ' ἀράξω.*

*κηδεμόνες δέ οἱ παρέστων, φησὶν,* (636)

*οἵ κέ μιν ἐξοίσουσιν ἐμῆς ὑπὸ χερσὶ δαμέντα.*

*ἆρ' οὖν ἠπείλησε μὲν, οὐκ ἐποίησε δέ; οὐδὲν μὲν οὖν ἄλλο*

---

21 *Πάντες*] Iliad. λ, 761.

374, 2 *τῷ πατρόκλῳ ΓΘ.* Aberat *τῷ.* 3 *ἦν*] Leg. *ὤν.* Reisk. *οὐδὲν ἀγωνίσασθαι ΓΘ* Opor. Vulgo *οὐδὲ ἀγωνίσασθαι.*

4 *ποτ'*] *τότ' Θ.* *λέγει ΓΘ,* Canterus, Reiskius. Vulgo *λέγειν.* 6 *Πὺξ*] Iliad. ψ, 634. 7 *Ἀλκαῖον*] Corrige ex Homero *Ἀγκαῖον.* *ἀνέστη*] *ἀντέστη Θ.* 9 *εἰμὶ, εἰ καὶ Θ* et Reiskius. Aberat *εἰ*, quod in *Γ* ab al. m. superne adscriptum est. Comma post *Φωκέως* positum ad *βούλει* retrahendum. si autem vis, scil. audire, quanto fastu pugil Phocensis (Epeus) superbit? Reisk.

10 *Ἆσσον*] Iliad. ψ, 667. *ὅστις*] *ὅτις Γ.* *ἀμφικύπελλον* Steph. Iebb. *ἀμφικύπελον Θ* Iunt. 11 *καὶ μὴν*] *καί μιν ΓΘ.*

12 *ἀράξω*] *ἄρ' ἔξω Θ.* 12 *κέ μιν*] *καί μιν Θ.*

ἢ ἐμαντεύσατο ἃ δράσειν ἔμελλεν. οὐκοῦν θρασύτης, οἶμαι, ταῦτ' ἦν. ἀλλὰ καί πως παρακολουθῶν αὐτῷ, ὥσπερ δὴ καὶ ἀπολογούμενος ὑπὲρ αὐτοῦ Ὅμηρος, ὅτι οὐδεμιᾷ δυσμενείᾳ ταῦτ' ἔλεγεν εἰς τοὺς ἄλλους οὐδ' αὐθαδείᾳ δυσχερεῖ, ἀλλ' ὅσον αὐτῷ συνῄδει, τοσοῦτον ἐνεδείκνυτο, κόψαι μὲν φησιν αὐτὸν ὡς προεῖπεν, ὡς δὲ εἶδε καίριον οὖσαν τὴν πληγὴν, αὐτὸν ἤδη γενέσθαι τῷ Εὐρυάλῳ τῶν κηδεμόνων ἕνα. λέγει γὰρ

> Ἀτὰρ μεγάθυμος Ἐπειὸς
> χειρὶ λαβὼν ὤρθωσεν,

ἐν ᾗπερ καὶ κατέβαλλε. ταῦτ' ἄρα καὶ Ὀδυσσεὺς ἐν τοῖς Φαίαξιν οὐδὲν ὑποστέλλεται, ἀλλὰ τοῦτο μὲν πρὸς τὸ μειράκιον παροξυνθεὶς τὸν Εὐρύαλον ἐν τοῖς ἄθλοις τῶν Φαιάκων οὐδὲν παρίησιν ἐγκώμιον αὐτοῦ λέγων μεθ' ὅσης
375 ὥρας ἐν σώματι καὶ κάλλους ὁπόσου τινὸς ἀντάξιον ἡ τῶν λόγων χάρις καὶ τὸ ταύτης κάλλος ὑπερπέφυκεν. ἢ ταῦτ' οὐκ εἰς αὐτόν σοι δοκεῖ λέγειν;

> Ἀλλὰ θεὸς μορφὴν ἔπεσι στέφει· οἱ δέ τ' ἐς αὐτὸν
> τερπόμενοι λεύσσουσιν, ὁ δ' ἀσφαλέως ἀγορεύει
> αἰδοῖ μειλιχίῃ, μέγα δ' ἐμπρέπει ἀγρομένοισιν·
> ἐρχόμενον δ' ἀνὰ ἄστυ θεὸν ὣς εἰσορόωσι.

---

14 παρακολουθῶν Opor. Vulgo παρακολουθεῖν. Probo Canteri παρακολουθῶν. sed deinde pro δὲ malim δεδιώς. tanquam eius caussa sollicitus et meticulosus. παρακολουθεῖν τινι dicitur ille, qui aut e vestigio insectatur, aut a latere comitatur, tenetque ne cadat, aut a lapsu erigit. sed eum (Epeum) puta quodammodo deducens Homerus, tanquam si ei metueret, eiusque defensioni haec allegaret, eum haec dixisse nulla erga Euryalum malevolentia, neque agresti et odiosa iactantia ferocitateque, sed tantum de se prodidisse, quantum sibi conscius esset penes se esse. haec igitur excusans Homerus ait vulnus alteri eum inflixisse. Reisk. ὥσπερ δὴ Θ. ὥσπερ δὲ (η ab al. m.) Γ. Vulgo ὥσπερ δὲ. 16 τοσοῦτον] τοσοῦτ' ΓΘ. κόψαι] κόψε Θ. 17 αὐτὸν] αὑτὸν Θ. 18 Ἀτὰρ] Iliad. ψ, 694. 19 κατέβαλε Iunt. Steph. κατέβαλεν ΓΘ. κατέβαλλε Iebb. 21 λέγων ὅσης Reiskius. Vulgo λέγων μεθ' ὅσης.

375, 1 Fort. καὶ τὸ ταύτῃ κάλλος (aut. καὶ τὸ τῆς ψυχῆς κάλλος) ὑπερπέφυκε. vincat, excellat pulchritudo huius partis vel mentis. Reisk. ὑπερπέφυκεν Θ. Vulgo ὑπερπέφυκε. 2 Ἀλλὰ] Odyss.

Digitized by Google

καὶ μὴν ὅτι γ' εἰς αὐτὸν αὐτῷ ταῦτα ἔχει δῆλον ἐκ τοῦ ἑτέρου τοῦ ἐναντίου. φησὶ γὰρ

Ὡς καὶ σοὶ εἶδος μὲν ἀριπρεπές.

τὸ μὲν γὰρ ἐκείνῳ δίδωσι δυοῖν ὄντοιν, τὸ δ' αὐτῷ, τὸ λοιπόν. καὶ ταῦτ' οὐχ ὑπ' αὐθαδείας, ὦ σοφίας ὄφελος σὺ καὶ μέγα κῦδος Ἀχαιῶν, οὐδὲ τηνάλλως ἐκεῖνος διεξῄει τῷ θυμῷ παραδοὺς ἑαυτὸν, ἀλλ' ἐπιστρέψαι βουλόμενος τὸ μειράκιον, τεθραμμένον ἐν τρυφῇ καὶ πολὺ τῆς ἀληθείας διημαρτηκός. καὶ ὡς ἔοικεν ὤνησε. μεταγιγνώσκει τε γὰρ οὐκ εἰς μακρὰν καὶ πατέρα αὐτὸν ἀντὶ τῶν προτέρων ἐκείνων καλεῖ καὶ εἰς διαλλαγὰς ἔρχεται. πάλιν δ' αὖ περὶ τῆς ἐν τοῖς ἄθλοις ἕξεως αὐτοῦ λέγων, ἄντικρυς ὥσπερ Νέστωρ ἐν Ἰλιάδι, καθ' ἕκαστον διελόμενος ὁπόσον κρατοίη λέγει

Πάντα γὰρ οὐ κακός εἰμι, μετ' ἀνδράσιν ὅσσοι ἄεθλοι.
εὖ μὲν τόξον οἶδα ἐΰξοον ἀμφαφάασθαι, (638)
πρῶτός κ' ἄνδρα βάλοιμι ὀϊστεύσας ἐν ὁμίλῳ
ἀνδρῶν δυσμενέων, εἰ καὶ μάλα πολλοὶ ἑταῖροι
ἄγχι παρασταῖεν καὶ τοξαζοίατο φωτῶν·
δουρὶ δ' ἀκοντίζω ὅσον οὐκ ἄλλος τις ὀϊστῷ.

ταῦτα μὲν ἐν τῇ θέᾳ τῶν Φαιάκων, πρὶν καὶ τοὔνομα εἰπεῖν πρὸς αὐτοὺς ὅ τι ἐστὶν αὐτῷ. ἐρωτηθεὶς δὲ καὶ τοῦτο ἐν τῷ δείπνῳ

Εἴμ' Ὀδυσεὺς, ἔφη, Λαερτιάδης, ὃς πᾶσι δόλοισιν
ἀνθρώποισι μέλω, καί μευ κλέος οὐρανὸν ἵκει·

εὖ εἰδὼς ὅτι οὐχ ὁμοίως Φαίακες ἀκούσονται αὐτοῦ τῶν λόγων, ἕνα τε εἶναι τῶν πολλῶν νομίζοντες καὶ προλαβόντες ἐν ταῖς γνώμαις ὅτι νῦν αὐτοῖς τῶν Ἑλλήνων ὁ ἀρι-

---

θ, 170. 7 τηνάλλως Steph. Iebb. τηνάλως Θ Iunt. 9 μεταγιγνώσκει] Vulgo μεταγινώσκει. 11 καθ' ἕκαστον Γ. καθέκαστον Θ. Vulgo καθ' ἑκάστου. καθ' ἕκαστον, scil. ἆθλον, vel uno vocabulo καθεκάστου, scil. ἄθλου. Reisk. διελόμενος addidi ex Θ. Πάντα] Odyss. θ, 214. 15 τῇ θέᾳ τῶν φαιάκων ΓΘ. Vulgo τῇ Φαιάκων θέᾳ. 16 Εἴμ'] Odyss. ι, 19. πᾶσι δόλοισι ἀνθρώποισι μέλω] Dicam de hoc celeberrimo loco in Animadversionibus ad Homerum, si eas per fata in lucem proferre licebit, pluribus, hic interim satis habeo admonere, pro μέλω videri legendum esse μέδω, *dominor*, *regno*, *impero*. Reisk. 17 ἵκει]

Digitized by Google

*στος διαλέγοιτο. οὐκ ᾐσχύνετο οὖν ἑαυτὸν ἐπαινῶν, εἴπερ γε μηδ᾽ ἑτέρους ὠφελῶν.*

*Οὕτω μὲν αὐτοί [τε] οἱ ποιηταὶ φρονοῦσιν ἐφ᾽ αὑτοῖς καὶ οἱ ἄνδρες περὶ ὧν διαλέγονται, καὶ οὓς μάλιστα παρ᾽*
376 *αὐτῶν ἐπαινοῦσιν οἱ ποιηταί. εἰ δὲ δή τις ἔροιτό σε πότερον τοὺς τὰ ψευδῆ περὶ αὐτῶν λέγοντας κακίζεις, ἢ καὶ τοὺς ὁπωσοῦν, εἰ μὲν ἐκείνως ἐρεῖς, ἔλεγχε ὡς ἡμεῖς ταῦτα ἐψευδόμεθα, εἰ δ᾽ ὅλως, ἐὰν γρύζῃ τις, σκόπει τί τῷ δευτέρῳ χρήσει. ἃ γὰρ ἂν αἰσχρὰ φαίης ἐπ᾽ ἀνθρώπων εἶναι,* (63)
*ταῦτ᾽ οὐκ ἂν ἔχοις εἰπεῖν μὴ οὐ πολὺ τοῦ γε θεοῖς πρέπειν ἀπέχειν. ἃ δὲ μηδὲ θεῶν μηδενὶ φαίης ἂν πρέπειν, κομιδῇ τῷ γε ἀρίστῳ τῶν θεῶν οὐκ εἰκὸς πρέπειν. πῶς οὖν Ὁμήρῳ πεποίηται τοσαῦτα καὶ τοιαῦτα λέγων ὁ Ζεὺς περὶ αὑτοῦ καὶ τοὺς ἄλλους θεοὺς ἐκπλήττων καὶ φοβῶν ὥσπερ παιδάρια, τοῦτο μὲν ἐν θεῶν ἀγορᾷ ὅτ᾽ εἰς τὸ κοινὸν ἀπειλεῖ*

*Γνώσετ᾽ ἔπειθ᾽ ὅσον εἰμὶ θεῶν κάρτιστος ἁπάντων,*

*ὁ ἀπειθῶν δὴ τοῖς παραγγέλμασι· καὶ τἀπὶ τούτοις,*

*Εἰ δ᾽ ἄγε πειρήσασθε θεοί, ἵνα εἴδετε πάντες,*
*σειρὴν χρυσείην ἐξ οὐρανόθεν κρεμάσαντες,*
*πάντες δ᾽ ἐξάπτεσθε θεοὶ πᾶσαί τε θέαιναι·*
*ἀλλ᾽ οὐκ ἂν μ᾽ ἐρύσαιτ᾽ ἐξ οὐρανόθεν πεδίονδε*
*Ζῆν᾽ ὕπατον μήστωρ᾽, οὐδ᾽ εἰ μάλα πολλὰ κάμοιτε.*
*ἀλλ᾽ ὅτε κεν καὶ ἐγὼ πρόφρων ἐθέλοιμι ἐρύσσαι,*
*αὐτῇ κεν γαίῃ ἐρύσαιμ᾽ αὐτῇ τε θαλάσσῃ·*
*τόσσον ἐγὼ περί τ᾽ εἰμὶ θεῶν περί τ᾽ εἴμ᾽ ἀνθρώπων·*

*καὶ ταῦτα ἐν εἰδόσι δή που λέγων τοῖς θεοῖς. οὐ γὰρ δὴ τότε γ᾽ ἐμάνθανον πρῶτον ὅτι ὁ Ζεὺς κρείττων ἐστὶν αὐτῶν. ἄλλα τοίνυν ὅσα τοιαῦτα ἀποφθέγγεται ἢ πρὸς τὴν* (64)

---

*ἴκει Γ.* 20 *εἴπερ γε μηδ᾽ ἑτέρους ὠφελῶν*] Videtur sententia haec esse *εἴπερ γε μηδ᾽ ᾐσχύνετο ἐπαινῶν ἑτέρους ἐν ᾧ ὠφέλει γε.* non magis eum pudebat se laudare quam alios, dummodo ea laude, seu sui, seu aliorum, prodesset. Reisk.

376, 3 *χρήσει*] Vulgo *χρήσῃ*. 7 *Γνώσετ᾽*] Iliad. Θ, 17. *Εἰ δ᾽*] Vulgo *εἴδ᾽*. *ἄγε* Θ. Vulgo *ἄγε δή*. 10 *μ᾽* om. Θ. *ἐρύσαιτ᾽*] Vulgo *ἐρύσετ᾽*. *ἐρύσιτ᾽* Θ. 11 *ἐρύσσαι* Steph. Iebb. *ἐρύσαι* Iunt. 13 *γ᾽*] *γε* Θ. *ὁ ζεὺς* Θ. Aberat *ὁ*. 14 *ἄλλα* Can-

Ἥραν ὀργιζόμενος ἢ κατὰ πᾶσαν πρόφασιν, τίς ἂν ἐκλέξαι ῥᾳδίως; καὶ ὅπως μή μοι σοφὸς ἐνταυθοῖ γένῃ μηδὲ γελάσας εἴπῃς, τί δ' οὐκ ἂν πρέποι τῶν μεγίστων τῷ Διί; οὐ γάρ τοῦτ' ἐστὶ τὸ ἀμφισβητούμενον, ἀλλ' εἰ τῷ ἐν ὁτῳοῦν καὶ ὁσονοῦν προέχοντι μὴ προσήκει λέγειν περὶ αὑτοῦ μηδὲ φρονεῖν, ἀλλ' ἀποχρῆν ἐὰν οἱ συνειδότες ὦσιν, ἥκιστα πάντων ὑπὲρ αὑτοῦ προσήκει λέγειν τῷ Διί. καὶ γὰρ πλεῖστον κρατεῖ καὶ πάντες συνίσασι καὶ ὅτι αὖ συνίσασιν αὐτὸς ἐπίσταται.

Ἑλοῦ δὴ ποτέρως ἐμὲ συκοφαντεῖς, πότερον τοῦτο λέγων, ὡς ἐμοὶ τούτων οὐχὶ προσῆκε τῶν λόγων οὓς ἂν τις εἴποι συνειδὼς ἑαυτῷ τι πλέον τῶν ἀκροατῶν, ἢ καθάπαξ οὐκ ἐῶν οὐδὲν ὁτιοῦν παρρησιάζεσθαι. καὶ μὴν
377 οὐδ' ἐκεῖνό γ' ἂν εἴποις, ὡς ἐμοὶ μὲν αἰσχύνην φέρει τὸ τοιοῦτον, Ὁμήρῳ δ' εἰς τὸν Δία ἀναφέροντι αἰσχύνην οὐκ ἔχει. ἀλλ' ὡς ἔοικεν, ὅ τε Ζεὺς ἐξηγεῖται τοῖς θεοῖς τἀληθῆ σωτηρίας τῶν ὅλων ἕνεκα καὶ Ὅμηρος ὡς προσήκοντα τὰ τοιαῦτα οὕτω πεποίηκεν, ὅ τ' Ἀπόλλων καὶ αὐτὸς παραπλήσια ἐν τοῖς χρησμοῖς ἐπιδείκνυται, οὐκέθ' (641) οὗτος διὰ ποιητοῦ λέγων, ἀλλ' ὡς θέμις αὐτῷ

*Οἶδα δ' ἐγὼ ψάμμου τ' ἀριθμοὺς καὶ μέτρα θαλάσσης*
*καὶ κωφοῦ συνίημι καὶ οὐ λαλέοντος ἀκούω.*

τίνι γὰρ καὶ μᾶλλον προσῆκε τἀληθὲς εἰπεῖν ὑπὲρ αὑτοῦ ἢ τῷ τἀληθῆ περὶ πάντων εἰδότι καὶ λέγοντι; οὕτω τοίνυν καὶ τῶν ἀνθρώπων ὅσοι θεοφιλεῖς καὶ τῶν ὁμοφύλων προέχουσιν, οὐκ αἰσχύνονται τἀληθῆ λέγοντες, ἀλλ' ἡγοῦνται τοὺς ἀλήτας ὑπὸ ἀπορίας πολλὰ ψευδομένους καὶ κατὰ τὴν τῆς χρείας αἰτίαν ποιῆσαι τοὔνομα τοῦτο ὃ σὺ φεύγεις, τὸν ἀλαζόνα, ᾧ πᾶσαν τὴν ἐναντίαν ἔρχεται

---

terus. Vulgo ἀλλά. 16 τῷ μεγίστῳ τῶν θεῶν Διί, aut τῷ μεγίστῳ πάντων Διί. Reisk. 17 μὴ προσήκει] μὴ προσήκειν Θ. 18 ὑπὲρ αὑτοῦ] Vulgo ὑπὲρ αὐτοῦ. προσήκει λέγειν ΓΘ. Vulgo προσήκειν λέγειν. γὰρ πλεῖστον Θ. Vulgo γὰρ ὅτι πλεῖστον. 19 ποτέρως Steph. Iebb. προτέρως Iunt. 20 τούτων προσῆκε τῶν λόγων] Subaudi τι aut μέρος. v. p. 395, 12. Reisk.

377, 2 ἕνεκα] Vulgo εἵνεκα. 4 Οἶδα] Oraculum apud Herodotum I, 47. 6 εἰδότι Reiskius. Vulgo εἰπόντι.

Digitized by Google

δήπουθεν ὁ τἀληθῆ λέγων. ἔστι δὲ κἀν τοῖς νόμοις μὴ
λέγειν κακῶς, οὐχ ἁπλῶς, ἀλλὰ τὰ ψευδῆ. ὥσπερ τοίνυν
ἐν τοῖς εἰς ἕτερον λόγοις οὐ τὸ κακῶς εἰπεῖν, ἀλλὰ τὰ
ψευδῆ δεινὸν, οὕτως οὐδ' ἂν περὶ ἑαυτοῦ τις εὐφημῇ, δι-
καίως ἂν ἔχοι μέμψιν, ἕως ἄπεστι τὸ τὰ ψευδῆ λέγειν. ὡς
ὅ γε ἀψευδὴς οὐθ' ἕτερον κακῶς ἀδίκως ἐρεῖ οὐθ' αὑτὸν
ἐπαινέσαι δεήσαν φεύξεται. οἶμαι δέ σε καὶ Σαπφοῦς ἀκη- (643)
κοέναι πρός τινας τῶν εὐδαιμόνων δοκουσῶν εἶναι γυναικῶν
μεγαλαυχουμένης καὶ λεγούσης ὡς αὐτὴν αἱ Μοῦσαι τῷ
ὄντι ὀλβίαν τε καὶ ζηλωτὴν ἐποίησαν καὶ ὡς οὐδ' ἀποθα-
νούσης ἔσται λήθη. ἀκούεις δὲ καὶ τοῦ Λάκωνος λέγοντος
εἰς αὑτόν τε καὶ τὸν χορὸν „ἡ Μῶσα κεκλήγει, ἡ λίγεια
Σειρήν." καίτοι τί τοιοῦτον ἐγὼ περὶ ἐμαυτοῦ καὶ τῶν
ἐμαυτοῦ λόγων παρεφθεγξάμην; πότερον τοῖς Σειρήνων
μέλεσι παρέβαλον αὐτοὺς, ἢ πρὸς βιβλία βιβλίον ἀντεξε-
τάσαι κελεύειν αὐθαδέστερόν ἐστιν ἢ τῇ τῶν Μουσῶν φωνῇ
τὴν αὑτοῦ φῆσαι προσεοικέναι; προστίθει δὲ κἀκεῖνο, ὅτι
αὐτῆς τῆς Μούσης δεηθεὶς κατ' ἀρχὰς ὁ ποιητὴς, ἵν'
ἐνεργὸς ὑπ' αὐτῆς γένοιτο, εἶτα ὥσπερ ἐξέστη καὶ φησὶν
378 ὅτι τοῦτο ἐκεῖνο χορὸς αὐτὸς ἀντὶ τῆς Μούσης γεγένηται.
καὶ εἰ μὲν ἄνευ τῆς Μούσης τοῦτο ἐξελάλησεν, οὐ κοινωνεῖ
τοὐμὸν τῆς αἰτίας, ἐγὼ γὰρ τῶν ἐν τοῖς λόγοις ἀγαθῶν
ἀφιστάμην τῷ θεῷ· εἰ δ' ἡ Μοῦσα κληθεῖσα καὶ παρα-
γενομένη ταῦτ' ἤγαγεν ἐπὶ νοῦν αὐτῷ, δοκοῦντα καὶ ταῖς
Μούσαις, ὡς ἔοικεν, ἐστὶ τὰ τοιαῦτα παρρησιάζεσθαι
τοὺς ὑπ' αὐταῖς ζῶντας. ἑτέρωθι τοίνυν καλλωπιζόμενος (643)
παρ' ὅσαις εὐδοκιμεῖ τοσαῦτα καὶ τοιαῦτα ἔθνη καταλέ-
γει ὥστ' ἔτι νῦν τοὺς ἀθλίους γραμματιστὰς ζητεῖν οὗ
γῆς ταῦτ' εἶναι, λυσιτελεῖν δ' αὐτοῖς καὶ μακρὰν, ὡς

---

12 τὰ ψευδῆ δεινὸν] τὸ τὰ ψευδῆ δεινὸν Reiskius. 14 τῶν εὐδαιμόνων ΓΘ, Canterus. Vulgo τὴν εὐδαιμόνων. 16 Λάκωνος] Alcmanis, cuius in verbis utrumque ἡ recte delere videtur Hermannus in censura fragmentorum ab Welckero collectorum. 17 κεκλήγει] κεκλήγη Γ.

378, 1 ἐξελάλησεν ΓΘ. Vulgo ἐξελάλησε. κοινωνεῖ] Subaudi αὐτῷ. Reisk. 4 ἑτέρωθι ΓΘ. Vulgo ἑτέρωθε. 5 ὥστ' ἔτι] ὥστε τί ΓΘ. εἶναι] ἐστὶ Reiskius: recte, nisi aliquid excidit.

Digitized by Google

ἔοικεν, ἀπελθεῖν ὁδὸν μᾶλλον ἢ περὶ τῶν Σκιαπόδων ἀνήνυτα πραγματεύεσθαι. ἀλλαχῇ δὲ οὕτω σφόδρα ἔνθεος γίγνεται ὥστε φαίης ἂν ὅτι οὐδ᾽ οὑτωσὶ κατὰ τὸ ῥῆμα ἔνθεός ἐστιν, ἀλλ᾽ αὐτὸ δὴ τοῦτο ὥσπερ θεὸς τῶν ἀπὸ μηχανῆς λέγει, Εἴπατέ μοι τάδε, φῦλα βροτήσια. πρὸς θεῶν σὺ δ᾽ αὐτὸς ἡμῖν τίς εἶναι φήσεις; Φέρε δὴ γνώρισον καὶ ταῦτα, εἰ ἄρα οἷός τε εἶ,

Μαθόντες λάβροι
παγγλωσσίᾳ κόρακες ὣς ἄκραντα γαρύετον
Διὸς πρὸς ὄρνιχα θεῖον.

οὐκ ἐνταῦθα ὁ ποιητής, ὅστις ποτὲ οὗτός ἐστι, καλεῖ κόρακας μὲν τοὺς ἄλλους ποιητάς, ἀετὸν δ᾽ ἑαυτὸν πρὸς ἐκείνους; οὐκοῦν τοσούτῳ κρείττω τῶν ἄλλων ποιητῶν ἑαυτόν, ὅσον κοράκων ἀετόν; πάλιν τοίνυν πρός τινα τῶν ἀκροατῶν, ἐπειδὴ νυστάζοντα ἑώρα, καὶ οὐκ εἰδότα ὅτῳ σύνεστιν, οὑτωσὶ πεποίηκεν „Ὄπισθεν δὲ κεῖμαι θρασειᾶν ἀλωπέκων ξανθὸς λέων.“ οὐ γὰρ δή πού καὶ Πίνδαρον φήσεις ὑπ᾽ ἐμοῦ ταῦτα ἀναπεισθέντα ἐμβαλεῖν εἰς τὴν (644) ποίησιν τὴν ἑαυτοῦ. ἄκουε δὴ καὶ ἑτέρων

Κεκρότηται χρυσέα κρηπὶς ἱεραῖσιν ἀοιδαῖς
οἷα τειχίζομεν ἤδη ποικίλον
κόσμον αὐδάεντα λόγων.

Ἡράκλεις ταυτὶ μὲν οὐδὲ παντάπασιν ἀναίτια τοῖς ῥήμασιν, ἀλλ᾽ ὅμως καὶ ἐπὶ τούτοις σεμνύνεται ὡς οὐδὲν ἀτιμοτέροις τοῦ νέκταρος, καὶ φησὶν ὅτι οὗτος μέντοι ὁ τῶν λόγων κόσμος

---

7 γίγνεται] γίνεται ΓΘ. 10 Μαθόντες] μαθόντες δὲ Pindarus Olymp. II, 156. (95. Boeckh.) et Aristides supra p. 47, 9. παγγλωσσίᾳ] Scribebatur παγγλωσσίαι. παγγλωσία Θ. παγγλωσσίαι Γ. 11 ὄρνιχα ΓΘ Iunt. ὄρνιθα Steph. Iebb. ποτε οὗτός ἐστι ΓΘ. Vulgo ποτ᾽ ἐστὶν οὗτος. 12 ἀετὸν] αἰετὸν ΓΘ. δ᾽ ἑαυτὸν ΓΘ. Vulgo δὲ αὐτὸν. 12 κρείττω] κρείττων Γ. 13 ὅσον ΓΘ. Vulgo ὅσῳ. ἀετόν] Vulgo ἀετός. αἰετὸν ΓΘ. 14 πεποίηκεν ΓΘ. Vulgo πεποίηκε. Ὄπισθεν] ὄπισθε Boeckh. fragm. 261. p. 680. θρασειᾶν ΓΘ Iunt. θαρσειᾶν Steph. Iebb. 16 Κεκρότηται] Fragm. 206. p. 661. ἱεραῖσιν] ἱερῇσιν Θ. ἀοιδαῖς Γ. Vulgo ἀοιδῇς. οἷα] εια Γ (superscr. οι). Videtur igitur εἶα lectum fuisse. 17 τειχίζομεν] τειχίζωμεν Γ. ταυτὶ μὲν ΓΘ.

Digitized by Google

καὶ πολυκλείταν περ ἐοῦσαν ὅμως Θήβαν ἔτι μᾶλλον
ἐπασκήσει θεῶν
καὶ κατ' ἀνθρώπων ἀγυιάς·

ὥσπερ οὐκ ἀρκοῦν εἰ κατὰ ἀνθρώπων μόνον, ἀλλὰ καὶ τοὺς θεοὺς ἔτι μειζόνως τιμήσοντας δι' ἐκεῖνον τὴν τῶν
379 Θηβαίων πόλιν εἰς τὸ λοιπόν. ἑτέρωθι δὲ ἔτι λαμπρότερον

Πρὸς Ὀλυμπίου Διός σε
χρυσέα κλυτόμαντι Πυθοῖ.
λίσσομαι Χαρίτεσσί τε καὶ σὺν Ἀφροδίτᾳ
ἐν ζαθέῳ με δέξαι χώρῳ ἀοίδιμον
Πιερίδων προφάταν.

ὁρᾷς ὡς εὐχόμενος μεταξὺ οὐ κατέσχεν ἑαυτόν, ἀλλὰ κἀνταῦθα ἐσεμνολογήσατο. καίτοι τίς ἂν ἦν τυχὼν τῶν ἐκ τῆς εὐχῆς; ὃς εὐθὺς ἀρχόμενος τῆς εὐχῆς τοσοῦτον ἐφ' αὐτῷ φρονεῖ εἰπὼν εἰς αὐτόν; μυρίους τοίνυν ἑτέρους ἔχων εἰπεῖν οὐδὲ πολλοῦ τινος ἀξίους ἀνθρώπους ἐπαρ- (645)
θέντας ἐφ' αὐτοῖς φρονῆσαι, ἐξεπίτηδες παραλείπω, δεδοικὼς μὴ περιστήσω τὸν λόγον εἰς τοὐναντίον, ὡς ἄρα καὶ φαύλων εἴη τὸ τὰ τοιαῦτα κοσμεῖν ἑαυτούς. ἀλλὰ τήν γε τοῦ Σιμωνίδου σωφροσύνην οἶσθα, εἰ δὲ μή, ἀλλ' ἕτεροι ἴσασιν, ὡς ἕν τι τῶν ἀγαθῶν ἐστι τῶν ἐκείνου τὸ γνωριμώτατον σχεδὸν καὶ περὶ τὴν ποίησιν καὶ περὶ αὐτὸν τὸν βίον. οὗτος τοίνυν ἀνὴρ φανεῖταί σοι καὶ αὐτὸς μειρακιευόμενος καὶ τὸ λεγόμενον δὴ τοῦτο ἐπὶ γήραος οὐδῷ γενόμενος τῆς ἀλαζονίας. ἐτόλμησε γοῦν εἰπεῖν

Μνήμῃ δ' οὔτινα φημὶ Σιμωνίδῃ ἰσοφαρίζειν.

ταυτὶ γὰρ οὐχ ἕτερος δή που περὶ τοῦ Σιμωνίδου λέγει, ἀλλ' αὐτὸς εἰς ἑαυτὸν πεποίηκεν. ἵνα δὲ μὴ δόξῃ νέος ὢν

---

Aberat μὲν. 19 πολυκλείταν] Vulgo πολύκλειτον. πολυκλειτάν Γ. πολὺ κλειτὰν Θ. 20 ἀγυιάς — κατὰ ἀνθρώπων om. Θ.

379, 1 Πρὸς] Fragm. 60. p. 589. λίσσομαι Steph. Iebb. ᾄσομαι Γ. ἄσομαι Θ Iunt. Χαρίτεσσι Hermannus et alii. Vulgo Χάριτες. 2 χώρῳ] χρόνῳ ΓΘ. Πιερίδων Canterus. Vulgo Πιερίων. 4 αὐτόν Θ. Vulgo αὑτόν. 7 τὸ τὰ τοιαῦτα] τὸ ταῦτα Θ. 9 ἀνὴρ] Vulgo ἀνήρ. 10 ἀλαζονίας Γ. Vulgo ἀλαζονείας. Μνήμῃ] Fragm. 53. p. 377. Gaisford. μνήμῃ ΓΘ. Vulgo μνήμην. 11 ἰσοφαρίζειν] ἰσοφερίζειν Θ. λέγει Γ, S…

ἔτι καὶ ὡραϊζόμενος λέγειν ταῦτα, προστίθησιν

'Ογδωκονταέτει παιδὶ Λεωπρεπέος,

ὥσπερ ἐνδεικνύμενος καὶ λέγων ὅτι ταῦτα ἐγὼ περὶ ἐμαυτοῦ φρονῶ καὶ λέγω κἀνακηρύττω, ὀγδοηκοντούτης ὤν· ὥστε οὐ μειρακιεύομαι, ἀλλὰ τἀληθὲς εἴρηκα. τὸ δὲ πάντων μέγιστον, καὶ γὰρ Σιμωνίδης καὶ Πίνδαρος ἀμφότεροι φανοῦνται σφίσιν αὐτοῖς ἐπινίκους πεποιηκότες ἐκ τοῦ εὐθέος ὥσπερ ἄλλοις τισίν. οὐ γάρ πώ σε ἤνεγκεν ἡ γῆ, (646) ἀλλ' ἔτι τοῖς ἐλευθέροις ἦν ἄδεια τῶν τοιούτων. ἐπιτιμήσαις δ' ἂν οὕτω καὶ τοῖς ἀθληταῖς αὐτοῖς τοῖς τοὺς ἐπινίκους παρὰ τῶν ποιητῶν λαμβάνουσι. καὶ γὰρ οὗτοι τρόπον τινὰ ἑαυτοὺς ἐγκωμιάζουσι, παρακαλοῦντές τε τοὺς ποιητὰς καὶ διδόντες ἀργύριον, καὶ τελευτῶντες παραλαβόντες τὸν ἐπίνικον, ᾄδοντες ἑαυτοὺς ὑπ' αὐλοῦ καὶ χοροῦ. κατηγορήσαις δ' ἂν ἀλαζονίαν καὶ τῶν τὰ τρόπαια ἱστάντων, ὡς ἔοικεν. ἔξεστι γοῦν καὶ πρὸς τούτους λέγειν, ἄνθρωποι, τί ζητεῖτε; ἐξαρκεῖ νενικηκέναι. τί δέ σοι βούλεται τὸ παράγραμμα; Ἀθηναῖοι ἀπὸ Θηβαίων ἢ Περ-
380 σῶν, ἢ Λακεδαιμόνιοι ἀπὸ τῶν δεῖνων, ἢ ὁτιδήποτ' ἄν, ἢ τοὐπίγραμμα ἐξαλειπτέον. ἆρά σοι καὶ τὰ τοιάδε δόξει ἀλαζονία τις εἶναι;

Ἑλλήνων προμαχοῦντες Ἀθηναῖοι Μαραθῶνι,
ἔκτειναν Μήδων ἐννέα μυριάδας·

καὶ

Ἀμφί τε Βυζάντειον ὅσοι θάνον, ἰχθυόεσσαν
ῥυόμενοι χώραν ἄνδρες ἀρηίθοοι·

---

liger, et Reiskius. Vulgo λέγειν. 12 ὡραϊζόμενος Scaliger et Reiskius. Vulgo ὁραϊζόμενος. 13 ὀγδωκονταέτει Θ. ὀγδωκονταέτη Γ. ὀγδοηκονταετεῖ Iunt. ὀγδοηκονταέτει Steph. Iebb. 14 κἀνακηρύττω (ἀνακηρύττω Γ) addidi ex ΓΘ. 17 αὐτοῖς τοῖς τοὺς] αὐτοῖς τοὺς Reiskius. παρὰ ΓΘ, Canterus, Reiskius. Vulgo περί. 19 τὸν ἐπίνικον] τῶν ἐπινίκιον Θ. ᾄδοντες] Sinentes se cani, curantes ut canantur. Reisk. 20 ἀλαζονίαν] Vulgo ἀλαζονείαν. 21 τούτους ΓΘ et Reiskius. Vulgo τούτοις.

380, 1 ἀλαζονία] Vulgo ἀλαζονεία. 2 Ἑλλήνων] Apud Iacobs. in appendice ad Antholog. Palat. 167. p. 812. Conf. Lycurgum contra Leocrat. p. 163, 31. HSt. 3 Βυζάντειον Scaliger. Vulgo Βυζάντιον. θάνον Opor. Scaliger et Reiskius. Vulgo θάνατον.

Digitized by Google

καὶ πάντα ἐκεῖνα καλλίω τῶν σῶν οἶμαι λόγων ἐπιγράμματα, καὶ ἔτι γε μᾶλλον

'Εξ οὗτ' Εὐρώπην 'Ασίας δίχα πόντος ἔκρινε (64
καὶ πόλιας θνητῶν θοῦρος Ἄρης ἐφέπει,
οὐδενί πω κάλλιον ἐπιχθονίων γένετ' ἀνδρῶν
ἔργον ἐν ἠπείρῳ καὶ κατὰ πόντον ὁμοῦ.
οἵδε γὰρ ἐν γαίῃ Μήδων πολλοὺς ὀλέσαντες
Φοινίκων ἑκατὸν ναῦς ἕλον ἐν πελάγει
ἀνδρῶν πληθούσας, μέγα δ' ἔστενεν 'Ασὶς ὑπ' αὐτῶν
πληγεῖσ' ἀμφοτέραις χερσὶ κράτει πολέμου.

καὶ πρό γε τούτων

Ἔθνεα Βοιωτῶν καὶ Χαλκιδέων δαμάσαντες
παῖδες 'Αθηναίων,

οἶμαι λέγει τὸ ἐπίγραμμα καὶ πολλὰ ἕτερα. νὴ Δί' ἀλλὰ ταῦτα 'Αττικὰ καὶ θερμότερα. ἀλλ' ὡς μὲν καὶ ἡμεῖς οὐκ εἰς ἕτερον τελοῦμεν ἔθνος τῇ προαιρέσει τῶν λόγων ἅπασι πρόδηλον. σὺ δ' οὖν ἐξέταζε τὰ Δώρια, εἰ βούλει, καὶ τὰ Λακωνικά·

Μυριάσιν ποτὲ τῇδε τριηκοσίῃς ἐμάχοντο
ἐκ Πελοποννήσου χιλιάδες τέτορες.

ἆρ' οὖν οὐκ ἀλαζονία ταῦτα καὶ πολλή γε καὶ πρός γε αὐθάδεια λαμπρά; τετρακισχίλιοι, φασίν, ὄντες τριακοσίαις μυριάσι πολεμίων ἀντήραμεν. ἕτεροι δ' αὖ λέγουσιν

'Ακμῆς ἑστηκυῖαν ἐπὶ ξυροῦ 'Ελλάδα πᾶσαν (645
ταῖς αὐτῶν ψυχαῖς κείμεθα ῥυσάμενοι
δουλοσύνας· Πέρσαις δὲ περὶ φρεσὶ πήματα πάντα
ἥψαμεν, ἀργαλέης μνήματα ναυμαχίας.
ὀστέα δ' ἄμμιν ἔχει Σαλαμίς· πατρὶς δὲ Κόρινθος
ἀντ' εὐεργεσίης μνῆμ' ἐπέθηκε τόδε.

---

4 'Εξ οὗτ'] Simonidis epigramma 43. p. 373. allatum ab Aristide supra p. 156, 16. ἐξοῦτ' Iunt. ἐξ οὗτ' Steph. Iebb.
8 Ἔθνεα] Epigramma apud Herodotum V, 77. in Anthologia Palatina VI, 343. Ἔθνεα Steph. Iebb. ἐννέα Iunt.
12 Μυριάσιν] Simonidis epigramma 26. p. 368. μυριάσιν Θ. Vulgo μυριάσι. τριηκοσίαις et Πελοποννάσου Herodotus VII, 228. 13 τέτορες Canterus cum Herodoto. τέτταρες Γ Iunt. τέταρες Steph. Iebb. ἀλαζονία Γ. Vulgo ἀλαζονεία. 15 'Ακμῆς] Simonidis epigramma 37. p. 371. 16 δουλοσύνας] δουλοσύνης Θ. ναυμαχίας] ναυμαχίης Θ. 17 ἄμμιν Brunckius. Vulgo

ὥστε ὥρα σοι σκώπτειν αὐτοὺς ὡς ἀδολέσχας τινὰς νεκροὺς καὶ οὐκ εἰδότας ἡσυχίαν ἄγειν. κατά σε ἀνήρ τις Σιμωνίδειος ἀμείψεται, ὤνθρωπε, κεῖσαι ζῶν ἔτι μᾶλλον τῶν ὑπὸ γῆς ἐκείνων. φέρε δὴ καὶ ταῦτα ἐξέτασον

Ἀ Μοῦσα γὰρ οὐκ ἀπόρως
γεύει τὸ παρὸν μόνον, ἀλλ' ἐπέρχεται
πάντα θεριζομένα.

ταῦτ' οὐ δοκεῖ σοι σαφῶς ὁ ποιητὴς ἑαυτὸν ἐπαινῶν λέγειν
381 ὡς γόνιμον καὶ πόριμον εἰς τὰ μέλη; τί δ' ἐπειδὰν λέγῃ

Μή μοι καταπαύετ', ἐπεί περ ἦρξατο
τερπνοτάτων μελέων ὁ καλλιβόας πολύχορδος αὐλός;

Νὴ Δί' ἀλλ' οἱ ποιηταὶ μόνοι οὕτως ἐφρόνησαν. σκόπει δῆτα καὶ τοὺς ῥήτορας, οὓς μόνους σὺ φῂς θαυμάζειν, ἅτε καὶ σφόδρα κατ' αὐτοὺς ὢν τὴν φύσιν. πρότερον δὲ τοὺς μεταξὺ τῶν ποιητῶν τε καὶ ῥητόρων ἐξετά- (619)
σαι βούλομαι. „Ἡροδότου Ἀλικαρνασσέος ἱστορίης ἀπόδεξις ἥδε, ὡς μήτε τὰ γενόμενα ἐξ ἀνθρώπων τῷ χρόνῳ ἐξίτηλα γένηται μήτε ἔργα μεγάλα καὶ θωυμαστὰ, τὰ μὲν Ἕλλησι, τὰ δὲ καὶ βαρβάροις ἀποδεχθέντα, ἀκλεᾶ γένηται.“ εἶεν, ὦ βέλτιστε Ἡρόδοτε, ἐν σοὶ δὴ καὶ τοῖς σοῖς λόγοις ἀξιοῖς εἶναι τὸ σωθῆναι μνήμῃ τάς τε Ἑλλήνων καὶ βαρβάρων πράξεις, ἢ διεφθάρθαι πάσας; ἔγωγε, φησὶν ὁ Ἡρόδοτος, εἰ μὴ παντάπασιν ὕπνου μεστὸς εἶ. καί μοι δοκεῖ τὸν ἕτερον τοῦτο ἡσυχῇ κνίζειν. οὐκ ἔχων γοῦν ὅστις γένηται τὸν πόλεμον αἴρει, καὶ βουλόμενος εἰπεῖν, οἶμαι, ὅτι αὐτὸς ἀξιολογώτατος εἴη τῶν συγγραφέων τῷ πολέμῳ

ἡμῖν. 18 ἀδολέσχας ΓΘ. Vulgo ἀδολέσχους. 20 γεύει suspectum. sententia postulat γεύεται, *degustat.* nam γεύειν significat gustu imbuere. num δοκεύει vel σκοπεύει, lustrat, intuetur, contemplatur. Reisk. 21 θεριζομένα ΓΘ. Vulgo θεριζομένη.

381, 1 μή μοι Γ. μή μου Θ. Vulgo μή με. 3 δῆτα ΓΘ. Vulgo δή. μόνους Reiskius, qui comparat p. 383, 2. Vulgo μόνος. 4 ἁλικαρνασσέος Γ. Vulgo Ἁλικαρνασέος. 5 ἀπόδεξις ΓΘ. Vulgo ἀπόδειξις. 6 θωυμαστὰ Γ. Vulgo θαυμαστά. δὲ καὶ βαρβάροις Γ. δὲ βαρβάροις Iunt. δὲ ὡς βαρβάροις Steph. Iebb. 7 ἐν σοὶ] ἐν ᾧ Γ. 8 ἢ διεφθάρθαι] ἤδε διεφθάρθαι Θ. 9 εἶ ΓΘ. Vulgo ᾖ. δοκεῖ] δοκεῖν Γ. τὸν ἕτερον] Thucydidem. Canter. 10 αἴρει ΓΘ, Canterus, Reiskius. Vulgo αἴρῃς. αἴρει] Nam cum aegre ferret Thucydides Herodotum sibi principatum historiae scribendae arrogare, prodere tamen satis



Digitized by Google

τὴν ψῆφον δίδωσι. καὶ τὸ μὲν κεφάλαιον ὅπερ λέγω τῆς
σπουδῆς τοῦτ᾽ ἔστι. περιέρχεται δ᾽ αὐτὸ καὶ μάλα ἀστείως
καὶ τοὺς πρεσβυτέρους πολέμους ὡς ἂν σὺ δόξαις καθαιρεῖ.
ἔστι δὲ ταῦτα οὐδὲν ἕτερον ἀλλ᾽ ἢ ἐνδείκνυται τῷ Ἡροδότῳ
καὶ τοῖς Ἑλλανίκοις καὶ τοῖς Ἑκαταίοις καὶ πᾶσι τούτοις
ὅτι ἐγὼ ὑμῶν προέχω τῇ κρίσει πρῶτον· τὰ γοῦν κράτιστα
ἐξειλεχὼς, ταῦτα καὶ περὶ τούτων γράφω, τὰ δὲ πλείω
παιδιά. ὅτι δ᾽ οὖν ἔνεστι φρόνημα τῷ Θουκυδίδῃ εὕροις (65
ἂν καὶ διὰ πάσης τῆς συγγραφῆς. πρῶτον μέν γε ἐπίπαν
οἱ δημηγοροῦντες αὐτῷ κατὰ πόλεις μετέχουσι τοῦ τοιού-
του, ἔπειτα κατ᾽ ἄνδρα. τίς οὐκ οἶδεν οἷος μὲν ὁ Περικλῆς
αὐτῷ, εἰ ἄρα καὶ Περικλέους ὄνομα ἤκουσας· ὃς οὐκ ἐν
ὁμιλίᾳ καὶ κατ᾽ ἐξουσίαν οὑτωσὶ παραφθέγγεται, ὃ σὺ
πρώην ἡμῶν ἀφῃροῦ, ἀλλ᾽ ἐν τοιούτοις καιροῖς ἐμβεβηκὼς
αὐτός τε καὶ τοῦ δήμου τοῦ παντὸς ὄντος, ἐν οἷς σύ γ᾽
ἂν αὐτῷ συνεβούλευσας καὶ ἱκετηρίαν θεῖναι, φθειρομένης
μὲν τῆς χώρας ὑπὸ τοῦ πολέμου, φθειρομένων δὲ τῇ νόσῳ
382 τῶν ἐν τῇ πόλει, πάντων δ᾽ ἐγκειμένων αὐτῷ καὶ παρωξυ-
μένων ὡς πρὸς μόνον αἴτιον τῶν κακῶν, παρελθὼν αὐτὸς

---

honeste suam aemulationem verbis nequiret, neque auderet, extollit bellum a se descriptum. REISK. 11 τῆς σπουδῆς] διὰ τῆς σπουδῆς Θ. 14 κρίσει ΓΘ. Vulgo προκρίσει. Aut προαιρέσει legendum aut κρίσει simpliciter. REISK. ἐξειλεχὼς ΓΘ. Vulgo ἐξειλοχὼς. συνειλεχὼς ex libris optimis restitue Demostheni p. 328, 11. ταῦτα] Malim τοιαῦτα. talia, id est τὰ κράτιστα. nam id praecessit. optime a me delectum argumentum optime enarravi. cogitavi quoque εἶτα καὶ περὶ τούτων, ne πρῶτον sic nudum stet atque desertum. quamquam eo quidem non valde offendor. nam illi πρῶτον respondere potest vel sine εἶτα, et commutata atque perturbata oratione et ad aliam personam traducta, id quod sequitur, καὶ διὰ πάσης τῆς συγγραφῆς. ut in Thucydide pro argumento excelsi animi, de seque non demisse sentientis afferatur, primum voluntas, quam in conscribenda historia secutus est, deinde totus color narrationis. REISK. 18 κατ᾽ ἐξουσίαν] Scilicet τοῦ παραφθέγγεσθαί τι. non in familiari amicorum conventu et exercitatione scholastica per otium instituta, ubi licet aliquid etiam a re alienum proferre, gravioribus negotiis non urgentibus, neque digressionem ad res alienas excludentibus. REISK. 19 ἐμβεβηκὼς ΓΘ. Vulgo συμβεβηκώς.

382, 1 παρωξυμένων Γ. παρωξυσμένων Θ. Vulgo παροξυνομένων.

Digitized by Google

ἔλεγε τοιαυτί, Καὶ προσεδόκων ταῦτα, ὦ Ἀθηναῖοι, καὶ ἀδικεῖτε ὅτι ὀργίζεσθε. εἰμὶ γὰρ ὑμῶν, φησὶ, πάντα ἄριστος, ὥσπερ Ζεύς τις Ὁμηρικός. καὶ τὰ μὲν ἄλλα ἧττον ἄν τις θαυμάσειε, τὸ δ᾽, ὦ Ζεῦ καὶ θεοὶ, ῥήτορα μὲν καὶ στρατηγὸν ὄντα, λέγοντα δ᾽ ἐν ἐκκλησίᾳ, ὕποπτον δὲ τοῖς πολλοῖς καὶ κατὰ ταύτην ἴσως τὴν δεινότητα μηδ᾽ αὐτὸ τοῦτο ὡς ὑπεναντίον φυλάξασθαι μηδ᾽ ἀποκρύψαι, (651) ἀλλὰ δέον παραιτεῖσθαι καὶ λέγειν ἅπερ ἂν τις καὶ ἄλλος, Καὶ μή μοι νομίσητε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι ἐγὼ λόγων δεινότητι ἢ τὸ ἐξ ἀρχῆς τοῦθ᾽ ὑμᾶς ἔπεισα, ἢ περὶ τῶν παρόντων ἀξιῶ θαρρεῖν, ἀλλ᾽ ἀντὶ τοῦ ταῦθ᾽ οὕτω κομψεύεσθαι καὶ περιστέλλειν μετὰ τῶν ἄλλων καὶ τοῦτο φάσκει προέχειν, ὅτι καὶ λέγειν εἴη κράτιστος αὐτῶν, καὶ ταῦτα ἐν ἀρχῇ τοῦ λόγου, σχεδὸν γὰρ καὶ τοῦτό μοι δοκῶ μεμνῆσθαι. πότερον οὖν σὸν, ὦ Θουκυδίδη, ἢ Περικλέους ἦν; ἕτερος δ᾽ αὖ φησι τῷ αὐτῷ ποιητῇ, Καὶ προσήκει μοι, ὦ Ἀθηναῖοι, ἄρχειν, ἀνάγκη γὰρ ἐντεῦθεν ἄρξασθαι, ἐπειδή μου, φησὶ, προστίθει γὰρ, οὐ σοί τις παραπλήσιος, ἀλλὰ Νικίας καθήψατο· ὅς σοῦ γε οὐδ᾽ ἂν τοὔνομα ἀναγκαζόμενος εἰπεῖν ἀνασχέσθαι μοι δοκεῖ. ὁ δ᾽ ἐν Συρακούσαις δημηγορῶν Ἑρμοκράτης οὐκ ἄντικρύς σοι κομπαστὴς εἶναι δοκεῖ; λέγει γοῦν ἑαυτόν τε καὶ τοὺς Συρακοσίους σεμνύνων δεῖξαι Ἀθηναίοις ὅτι οὐκ Ἴωνες ταῦτα οὐδὲ Ἑλλησπόντιοι, κελεύων ἀπαντᾶν αὐτοῖς ἔξω τῆς Σικελίας. καὶ ταυτὶ μὲν καὶ μετριώτερα· ἀλλ᾽ ὅρα τὰς ὑπερ-

---

τοιαυτὶ] Vide Thucydidem II, 60. 2 ὅτι] ὅτ᾽ Θ. 3 θαυμάσειε] θαυμάσειεν Θ. 5 κατὰ ταύτην] κατ᾽ αὐτὴν Reiskius. 7 μή μοι Γ. Vulgo μήτοι. δεινότητι ΓΘ et Canterus. Vulgo δεινότητα. 9 Ante τοῦτο potest κατὰ subaudiri. malim tamen additum aut κἂν τούτῳ legi. Reisk. τούτῳ Canterus. φάσκει ΓΘ. Vulgo φάσκειν. 10 ὦ] ὢ Γ. Θουκυδίδη ΓΘ. Vulgo Θουκυδίδους. 11 ἕτερος] Alcibiades apud Thucydidem VI, 16. ποιητῇ ΓΘ. Vulgo συγγραφεῖ. 12 ἐπειδή μου Steph. Iebb. ἐπὶ δήμου Iunt. φησὶ] φὴς Γ. Verba προστίθει γὰρ, οὐ σοί τις παραπλήσιος, ἀλλὰ parenthesi includenda sunt. Reisk. 13 ὅς σοῦ Reiskius. Aberat ὅς. 14 συρακούσαις ΓΘ. Vulgo Συρρακούσαις. Memoriae errore Syracusas pro Camarina hic et paullo post nominat. Vide Thucydidem VI, 77. 15 συρακοσίους Γ. Vulgo Συρρακουσίους. 16 Ἑλλησπόντιοι] ἑλλησπόν-



Digitized by Google

βολάς· ἰέναι δ᾽ ἐπὶ τοὺς πολεμίους μὴ φρονήματι μόνον, ἀλλὰ καὶ καταφρονήματι. σὺ δ᾽ ἀφήρησαι καὶ τὸ φρονήματι. καὶ ὁ μὲν ἀξιοῖ καταφρονεῖν τῶν δεινῶν, σὺ δὲ μηδὲ φρονεῖν ὅλως, ἀπὸ σαυτοῦ μοι δοκεῖν ἀρξάμενος.

Φέρε δὴ καὶ ἑτέρου κόσμον ὥσπερ ἵππου κατάμαθε. οἶμαι γάρ σε τῶν Δημοσθένους εἰ μή τι ἄλλο, ἀλλὰ τόν
383 γε ὑπὲρ τῆς ἀναρρήσεως λόγον τὸν πολυύμνητον δὴ τοῦτον ἀνεγνωκέναι. ἐνταῦθα τοίνυν ἐστὶ τῷ Δημοσθένει, οὗ σὺ τοὔνομα θαυμάζεις μόνον, ὡς ἔοικεν, „Ἐπεπείσμην δὲ ὑπὲρ ἐμαυτοῦ, τυχὸν μὲν ἀναισθητῶν, ὅμως δὲ ἐπεπείσμην — ὁρᾷς ὅπως ἐρεθίζει σε δὶς εἰπὼν ἐπεπείσμην — μήτε γράφοντα ἂν ἐμοῦ γράψαι βέλτιον μηδένα — ἐγὼ δὲ ὑπὲρ ὧν ἔγραψα μόνον καὶ ὧν ἐπὶ τοῦ παρόντος ἐδείκνυον, περὶ τούτων τι παρεφθεγξάμην, καὶ ταῦτα τοῖς φήνασι θεοῖς θαρρῶν· ὁ δὲ προστίθησι, μήτε πράττοντα πρᾶξαι μήτε πρεσβεύοντα πρεσβεῦσαι προθυμότερον μηδὲ δικαιότερον. διὰ ταῦτα ἐν ἅπασιν ἐμαυτὸν ἔταττον. ἀναγνωσθείσης τοίνυν τῆς ἐπιστολῆς, Εἰς ταῦτα, φησί, κατέστησε Φίλιππον τίς; οὐχ ὁ τῶν Ἀθηναίων δῆμος, ἀλλ᾽ ἡ ἐμὴ πολιτεία, Αἰσχίνη· ταύτην τὴν φωνὴν ἀφῆκεν ἐκεῖνος, πολλοὺς καὶ θρασεῖς τὰ πρὸ τούτων ἐπαιρόμενος τῇ πόλει λόγους· οὑτωσί πως, οὐ γὰρ ἀκριβῶς μέμνημαι τὰ ῥήματα. πολὺ δὲ ἔτι τούτων λαμπρότερον καί πως ἤδη τοῦ Περικλείου τύπου περὶ τὴν τοῦ λόγου τελευτὴν „Εἰ δ᾽ οἷος ἐγὼ παρ᾽ ὑμῖν κατὰ τὴν ἐμαυτοῦ τάξιν εἷς ἐν ἑκάστῃ τῶν Ἑλληνίδων πόλεων ἀνὴρ ἐγένετο, μᾶλλον δὲ εἰ ἕνα ἄνδρα μόνον Θετταλία καὶ ἕνα ἄνδρα Ἀρκαδία ταὐτὰ φρονοῦντα

---

τινοι ΓΘ. 17 μὴ φρονήματι ΓΘ et Reiskius. Vulgo μή μοι φρονήματι. φρονήματι — καταφρονήματι] Ex oratione Periclis apud Thucyd. II, 62. 19 φρονεῖν] *Sentire:* quod hic etiam in in malam partem capitur; nam φρονεῖν et fidere significat et capere. CANTER. 19 ἀρξάμενος Canterus et Iebb. ἀρξάμενοι Iunt. ὥσπερ ἵππου] Homerus ab Cantero comparatus Odyss. θ, 492. ἀλλ᾽ ἄγε δὴ μετάβηθι καὶ ἵππου κόσμον ἄεισον δουρατέου.

383, 2 Ἐπεπείσμην] Demosthenes p. 302, 2. ἀναισθητῶν correctus Γ : fuit . . . . τον. Hoc est ἀναίσθητον, quod plurimi praebent codices Demosthenis. 9 τὰ πρὸ ΓΔ. Vulgo τοὺς πρὸ. ἐπαιρόμενος] ἐπαρώμενος Θ et correctus Γ. οὑτωσί πως; Subauditur φησὶ Δημοσθένης. 11 Εἰ δ᾽] Demosthenes p. 327, 2.

ἔσχεν ἐμοί, οὐδεὶς οὔτε τῶν ἔξω Πυλῶν Ἑλλήνων οὔτε
τῶν εἴσω τοῖς παροῦσι κακοῖς ἐκέχρητ' ἄν, ἀλλὰ πάντες
ἂν ὄντες ἐλεύθεροι καὶ αὐτόνομοι μετὰ πάσης ἀδείας
ἀσφαλῶς ἐν εὐδαιμονίᾳ τὰς ἑαυτῶν ᾤκουν πατρίδας, τού-
των τῶν τοσούτων καὶ τοιούτων ἀγαθῶν ὑμῖν καὶ τοῖς
ἄλλοις Ἀθηναίοις ἔχοντες χάριν δι' ἐμέ.“ καὶ ἴσως τινὲς
τότε τῷ Δημοσθένει ταῦτα λέγοντι ἤχθοντο ἄνθρωποι
μικροὶ καὶ δυστυχεῖς καὶ ἀπεκάλουν αὐτὸν ἀλαζόνα. ὁ δ'
ἐπιὼν ἔδειξε χρόνος ὅτι οὐδὲν καθ' ὑπερβολὴν ἐλέγετο,
ἀλλὰ καὶ συμπάσῃ τῇ Ἑλλάδι ἱκανὴ φορὰ τοιοῦτος εἷς (654)
τις ἦν γενόμενος. οὐκοῦν οὐδ' ἀμφισβητήσαις αὐτῷ πρω-
τείων, οὐδὲ πρὸς οὓς ἐμοὶ νομίζεις ἀποχρῆν εἶναι τὸν λόγον.
καί μοι πρὸς θεῶν ἀπόκριναι τοῦτο αὐτό, εἰ κατὰ τοὺς
αὐτοὺς ἐγένου χρόνους ἐκείνῳ, πότερόν ποτε καὶ τῷ Δη-
μοσθένει αὐτὰ ταῦτα ἂν ἐνεκάλεις, ἢ ἐκεῖνόν γ' ἂν ἠφίεις
384 αἰτίας; εἰ μὲν γὰρ κἀκείνῳ ταῦτ' ὠνείδιζες, πόρρωθεν
συκοφάντης εἶ, εἰ δ' ἐκεῖνόν γ' ἂν ἀφῆκας, τοῖς αὐτοῖς
ἐμὲ συκοφαντεῖς. δοκεῖ δέ μοι καὶ τὸ ἐπίγραμμα οὐκ ἔξω
τῆς Δημοσθένους γνώμης ἔχειν τὴν ἐπιγραφήν, ὃ νῦν
ἀναγιγνώσκομεν ἐν Κεραμεικῷ. ἐμοὶ μὲν οὖν ἐξήρκει, ἐπειδή
γε καὶ ῥητόρων ἐμνήσθην, τάττοις γὰρ ἄν που καὶ ἡμᾶς
ἐνταῦθα χοροῦ· οὐ μὴν ἀλλ' ὑπέρ γε τῆς ἀληθείας διὰ
πάντων ἐθέλω τὸν λόγον ἐξακριβῶσαι, ὅπως καὶ γνῷς
οἷος ὢν ἐμὲ νουθετεῖς, τῆς παροιμίας σοι λεγούσης
αἰπολεῖν.

---

15 τῶν τοσούτων Θ. Aberat τῶν, quod in Γ superne ab al. m. adscriptum. 18 ἐλέγετο] ἐγένετο Γ. 19 τοιοῦτος] εἰ τοσοῦτος Θ. εἰ in Γ superscriptum. ἀμφισβητήσαις] Aut ἂν addendum aut ἀμφισβητήσεις scribendum. 22 ταῦτα ἂν ΓΘ. Aberat ἄν. ταῦτ'] ταῦτα Θ.

384, 1 Ob eadem ipsa me calumniaris, ob quae illum absolvisses. seu, eo ipso calumniatoris infamiam tibi in me consciscis, quia illum absolvisses. Reisk. τοῖς αὐτοῖς ἐμὲ] ἐμὲ τοῖς αὐτοῖς Θ. 2 ἐπίγραμμα si bene habet, debet accipit pro re ἐπιγεγραμμένῃ, seu statua. sed durius mihi videtur dictum ἐπίγραμμα ἔχον τὴν ἐπιγραφήν. Fort. haec duo vocabula τὴν ἐπιγραφὴν sunt delenda. Reisk. Epigramma servarunt Plutarchus Moral. p. 847 a. et Zosimus in vita Demosthenis apud Reiskium Orator. vol. IV. p. 151. 3 ἀναγιγνώσκομεν ΓΘ. Vulgo ἀναγινώσκομεν.

Digitized by Google

*Σκόπει δὴ καὶ ἑτέραν ἀπολογίαν ἀνδρὸς σοφοῦ, ὃς τοσοῦτον ἀπέχει τοῦ κομπάζειν ὥστε καὶ τοὺς σοφιστὰς ἤλεγχε περιιὼν ὡς μάτην θρασυνομένους. λέγει τοίνυν τοῖς Ἀθηναίοις ἀπειλῶν ὡς, ἐὰν αὐτὸν ἀποκτείνωσιν, ἕτερον* (655) *τοιοῦτον οὐχ εὑρήσουσι. καὶ ταῦτα εἰς ἀξιόχρεων ἀναφέρει τὸν θεὸν τὸν ἐν Δελφοῖς. καὶ ἐγὼ οἶμαι, φησίν, οὐδέν πω ὑμῖν μεῖζον ἀγαθὸν γενέσθαι ἐν τῇ πόλει ἢ τὴν ἐμὴν τῷ θεῷ ὑπηρεσίαν. τοιαῦτ' ἄττα ἐστὶν ἐν ἀπολογίᾳ Σωκράτους. καὶ γάρ τοι καὶ ἑάλω διὰ ταῦτα, φαίης ἄν. καὶ μετέγνωσάν γε οἱ καταγνόντες, φαῖεν ἂν οἵ γε ἀπ' ἐκείνων. νὴ Δί' ἀλλ' οὐκ εἶπε τούτους τοὺς λόγους Σωκράτης αὐτός. ἔστω τοῦτο. ἀλλ' εἰ τὰ μάλιστα αὐτὸς μὲν μὴ εἶπεν, ἕτερος δὲ ὁμότιμος εἴρηκεν ὡς ἐκείνῳ προσήκοντας, εἰς ταυτὸν ἀφικνεῖται. φημὶ δ' ἐγὼ καὶ διὰ βίου Σωκράτη μεγαλαυχεῖσθαι, καὶ εἰ τοὺς πολλοὺς λέληθεν. ἢ τί νομίζεις εἶναι τὴν πολλὴν εἰρωνείαν αὐτοῦ; ἐγὼ μὲν ἡγοῦμαι ὅτι τοῖς πολλοῖς ἐκεῖνος ὥσπερ παισὶ διελέγετο, ὡς ἀληθῶς προσπαίζων τε καὶ ὡς εὐηθικοῖς οὕτω προσφερόμενος. οὐκοῦν ὅτε σπουδῇ μὲν οὐκ ἐθαύμαζεν, οὐδ' ἔφασκεν, οὐδ' αὖ διενοεῖτο περὶ ἑαυτοῦ ὡς τῷ ὄντι οὐδενὸς ἀξίου, φαίνεται δ' ὅμως τοῖς ῥήμασι τούτοις χρώμενος, ἄλλο τι ἢ περιλείπεται ὡς οὐδενὸς ἀξίων ὄντων πρὸς ἑαυτὸν φαίη γ' ἄν τις οὑτωσὶ συμβαίνειν; καὶ δὴ* (656) *τὸν μὲν Σωκράτη, εἰ βούλει, παρίημι, τὸν δὲ Ἰφικράτη σκόπει, ἄνδρα οὐ μεθόριον ῥήτορος καὶ στρατηγοῦ, ἀλλ' ἀμφοτέρων ἐφικνούμενον. ἆρ' οὖν διῆλθές ποτ' αὐτοῦ*

---

8 *τοιοῦτον* addidi ex *ΓΘ*. *ἀναφέρει*] *ἀναφέρων* Canterus. 9 *οὐδέν*] *οὐδέ Θ*. *ἢ τὴν Θ* et Reiskius. Vulgo *ἢ εἰ τὴν*. 10 *τοιαῦτ' ἄττα*] Vulgo *τοιαῦτ' ἄττα*. 11 *μετέγνωσάν γε*] *μετέγνωσάν τε Θ*. 12 *Σωκράτης· αὐτός*] *αὐτός* om. *ΓΘ*. 14 *σωκράτη ΓΘ*. Vulgo *Σωκράτην*. *λέληθεν ΓΘ*. Vulgo *λέληθε*. 16 Fort. *σπουδῇ μὲν οὐκ ἔστιν ὃν ἐθαύμαζε*. nemo est, quem, cum serio ageret, magni fecisset. Reisk. 17 *τούτοις τοῖς ῥήμασι*] quibus ita de se loquebatur, ut de homine contemnendo. Reisk. 18 Post *περιλείπεται* videtur excidisse *περὶ τῶν ἄλλων οὕτως αὐτὸν διανοηθῆναι*, *ita eum de aliis existimasse*. *φαίη γ' ἄν τις οὕτω συμβαίνειν. profecto aiat quis id e superioribus effici*. Reisk. 19 *Σωκράτη*] Vulgo *Σωκράτην*. *ἰφικράτη ΓΘ*. Vulgo *Ἰφικράτην*. 20 *ποτ'*] *ποτε ΓΘ*. De oratione seu Iphicratis seu Lysiae vide Lysiae fragmenta in editione Taylori p. 637. Reisk.

τὴν ἀπολογίαν τὴν ὑπὲρ τῆς δωρεᾶς; καίτοι τίθει μὲν, εἰ
385 βούλει, Λυσίου τὸν λόγον εἶναι, τίθει δ' Ἰφικράτους, εἰ τοῦτο αἱρεῖ. ἔστι τοίνυν οὐδὲν οὕτω τοῦ παντὸς ἀγῶνος ἐπιφανὲς ὡς τὸ φρόνημα, ὃ δὴ καὶ ποιεῖ κρείττω Λυσίου τῶν πολλῶν εἶναι τὸν λόγον. λέγει γὰρ ἄλλα τε δὴ τοῖς Ἀθηναίοις, οὐ τῆς σῆς ψυχῆς, καὶ εἰ, φησὶν, ἑπτὰ ὑμῖν ἦσαν τοιοῦτοι στρατηγοὶ οἷος ἐγὼ, ἀοίκητος ἂν ἦν ἡ Λακεδαίμων. καὶ μνησθεὶς Ἁρμοδίου καὶ Ἀριστογείτονος, οὓς Ἀθηναῖοι πρώτους ἁπάντων τῶν εὐεργετῶν ἦγον, ἢ παραλαβεῖν ἂν αὐτούς φησιν, ἢ ὑπ' ἐκείνων παρακληθῆναι, εἰ κατ' ἐκείνους ἐγένετο. καὶ ὑμεῖς μὲν, φησὶν, οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, παρ' ὑμῶν ταῦτά μοι γράμματα καὶ τὴν στήλην εἶναί τι σεμνὸν, ἐμοὶ δὲ στήλη οὐρανομήκης ἕστηκεν ἐν τῇ Πελοποννήσῳ μαρτυροῦσα τὴν ἀρετήν. εἰς τοσοῦτον δὲ ἀφικνεῖται τῆς παρρησίας ὥστ' ἀμφοτέροις (657)
ἑαυτὸν ἀντεξετάζει τοῖς στρατηγοῖς, καὶ τοῖς τῶν πολιτῶν καὶ τοῖς τῶν πολεμίων. καίτοι πρὸς θεῶν εἴ σε σύμβουλον τότε ὁ Ἰφικράτης παρεκαθίσατο μέλλων ἀπολογήσεσθαι, πότερον αὐτῷ συνεβούλευσας τοῦτον ἀπολογεῖσθαι τὸν τρόπον, ἢ πεσόντα εἰς γόνυ ἱκετεύειν τοὺς δικαστάς; ἆρ' οὖν περὶ μὲν τῆς δωρεᾶς ἀπολογούμενος παρρησίᾳ τινὶ χρώμενος φαίνεται, κινδυνεύων δ' ὑπὲρ τῆς ψυχῆς ὑπ' Ἀριστοφῶντος μετέθετο; ἀλλὰ κἀκεῖ τὴν φύσιν διεσώσατο. ἐρόμενος γὰρ τὸν Ἀριστοφῶντα, ὥς φασι, σὺ δ' αὐτὸς εἰ κύριος ἦσθα τῶν νεῶν, πότερον προὔδωκας ἂν, ἢ οὔ; ἐπειδὴ ἀπέφησεν ὁ Ἀριστοφῶν, εἶτα σὺ μὲν οὐκ ἂν προὔδωκας ὢν Ἀριστοφῶν, Ἰφικράτης δὲ προὔδωκεν; ἔτι τοίνυν ἑνὸς ῥήματος τῶν ἐκείνου μνησθεὶς ἐπ' ἄλλο τι τρέψομαι. λέγεται γὰρ ἐν Αἰγύπτῳ παρατάττων καὶ μελλούσης ἔσεσθαι τῆς μάχης φάναι πρὸς τοὺς παρόντας ὅτι αὐτῷ τὰ μὲν ἄλλα ἐπιεικῶς ὑπάρχοι πάντα, ἓν δὲ ἀπείη τὸ μέγιστον.

---

385, 1 αἱρεῖ] Vulgo αἱρῇ. 2 ὃ δὴ καὶ Θ. Aberat καί. 3 Λακεδαίμων Steph. Iebb. λακεδαιμόνων Iunt. 4 εὐεργετῶν ΓΘ, Scaliger, Canterus, Reiskius. Vulgo εὐεργεσιῶν. 8 τοσοῦτον δὲ Θ. Aberat δὲ, quod in Γ ab al. m. superscriptum. 10 ἀπολογήσεσθαι Γ. Vulgo ἀπολογήσασθαι. 13 διεσώσατο] οὐκ ἐσώσατο Opor. 18 et 20 αὐτῷ.] Vulgo αὑτῷ. 18 ὑπάρχοι] ὑπάρ-

Digitized by Google

ἐρομένου δέ τινος τί τοῦτο λέγοι, Ὅτι, ἔφη, τὸ τοῦ Ἰφι-
κράτους ὄνομα οὐκ ἴσασιν οἱ πολέμιοι, ὃ πρὸς τοὺς ἐν τῇ (63
Ἑλλάδι κινδύνους μέγιστον εἶναι φάρμακον αὐτῷ. ἀκούω
δὲ καὶ τὴν Ἐπαμεινώνδα πρὸς Θηβαίους ἀπολογίαν ἔτι
ὑπὲρ τὴν τοῦ Ἰφικράτους γενέσθαι· καὶ τί ταῦτα θαυ-
μάζοι τις ἄν;

Ἀλλ' ἐμὲ πρώην ἀνὴρ ἑταῖρος, ὃς οὑτωσὶ καθῆστο
386 μάλα πλησίον, ζωγράφου τι ἐπίγραμμα ἐξεδίδασκε τοι-
οῦτον

*Εἰ καὶ ἄπιστα κλύουσι λέγω τάδε, φημὶ γὰρ ἤδη*
*τέχνης εὑρῆσθαι τέρματα τῆσδε σαφῆ*
*χειρὸς ὑφ' ἡμετέρης, ἀνυπέρβλητος δὲ πέπηγεν*
*οὖρος. ἀμώμητον δ' οὐδὲν ἔγεντο βροτοῖς.*

εἶτ' ὦ πρὸς τοῦ Διὸς τὸν μὲν δεῖνα τὸν γραφέα ἠξίους
τοσαύτας ὑπερβολὰς περὶ αὐτοῦ λέγειν καὶ παρρησιάζεσθαι,
ᾧ καὶ σιγῇ τὸ αὑτοῦ περαίνειν ἐκ τῆς τέχνης ἦν, ἄνθρω-
πον δὲ ἐν ὀλίγοις ἐξεταζόμενον, οὐδὲν γὰρ ἄλλο λέγω τὰ

---

χει Θ. 19 λέγοι ΓΘ. Vulgo λέγει. 21 Ἐπαμεινώνδα] Vulgo Ἐπαμινώνδα. Post γενέσθαι videtur aliquid de Epaminonda se defendente deesse. non enim videtur Aristides ita obiter rem ut notam perstricturus, sed uberius enarraturus fuisse, praesertim cum ipse p. 400, 4. lectorem ad h. l. remittat. 22 ἑταῖρος, ὃς οὑτωσὶ καθῆστο Θ. Legebatur ἑταῖρος οὑτοσὶ κάθηται. Fort. ἑταῖρος ὃς οὑτωσὶ κάθηται. Reisk. ἑταῖρος, οὑτοσὶ ἐκάθητο Scaliger.

386, 1 πλησίον Steph. Iebb. πλησίων Iunt. Parrhasii epigramma attulit Athenaeus XII. p. 543 e. τοιοῦτον Εἰ καὶ Reiskius. τοιουτονὶ καὶ Γ Iunt. τοιουτονὶ εἰ καὶ Θ. τοιουτονὶ, κ' Steph. Iebb. Eodem errore apud Athenaeum εἰ cum praecedente τούτοις in τούτοισι coaluerat. κλύουσι Steph. Iebb. et Athenaeus. κλύοις εἰ Γ Iunt. κλύοις ἢ Θ. 2 τέχνης Θ et Athenaeus. Vulgo τῆς τέχνης. 3 ἔγεντο Θ et Athenaeus. Vulgo ἐγένετο, correctum etiam ab Scaligero, Cantero, Reiskio. 4 περὶ αὐτοῦ Θ. Vulgo περὶ ἑαυτοῦ. 5 τὸ αὑτοῦ Θ. Vulgo τὸ αὐτοῦ. ὀλίγοις ΓΘ. Vulgo λογίοις. λογίοις possit videri diminutivum extenuandi caussa usurpatum. sed primum λόγια non sunt literulae; usus quidem non patitur; sed *oracula*. deinde Aristides non videtur in illud incurrere voluisse vitium, quod reprehendit et acriter exagitat, abiectius de se quam par est iudicandi. quare praefero λόγοις. Reisk.

Digitized by Google

νῦν περὶ τῶν ἐμαυτοῦ λόγων, καὶ ὁσονοῦν παραφθέγξασθαι θαυμαστόν τι σοι καὶ δεινὸν κατεφάνη; ἄκουε δὴ καὶ ἑτέρου ζωγράφου, ὡς μὲν σὺ φαίης ἄν, ἀλαζονευομένου, ὡς δὲ οἱ ταῦτα δεινοὶ λέγουσιν, οὐ μεῖζον ἢ προσῆκον φρονήσαντος. λέγει δὲ τί;

Ἡράκλεια πατρίς· Ζεῦξις δ' ὄνομ'· εἰ δέ τις ἀνδρῶν (659)
ἡμετέρης τέχνης πείρατά φησιν ἔχειν,
δείξας νικάτω·

δοκῶ δὲ, φησὶν, ἡμᾶς οὐχὶ τὰ δεύτερ' ἔχειν. καὶ τοῦτο τὸ ἐπίγραμμα οὔτ' ἐκεῖνος ἀπώκνησεν ὡς θρασὺ οὔτε τις αὐτῷ τῶν ἑταίρων ἀπαλεῖψαι συνεβούλευσεν, ἐπειδή γε ἐποίησεν. οἷον δ' αὖ καὶ τόδε ἔρεξε καὶ ἔτλη ὁ ὑβριστὴς ἐκεῖνος ἐγγράψαι. ποιήσας γὰρ αὖ τὴν τῆς Ἑλένης εἰκόνα προσπαρέγραψε τὰ τοῦ Ὁμήρου ἔπη

Οὐ νέμεσις Τρῶας καὶ ἐϋκνήμιδας Ἀχαιοὺς
τοιῇδ' ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάσχειν,

ὥσπερ τὸ αὐτὸ ποιοῦν εἰκόνα τε Ἑλένης ποιῆσαι καὶ τὸν Δία Ἑλένην αὐτὴν γεννῆσαι.

Καὶ δή σοι τοὺς μὲν ζωγράφους ἐῶ χαίρειν· ἀλλ' ἔγωγε κωμῳδιοποιοῦ τινος ἤκουσα σεμνολογουμένου θαυμαστὰ οἷα. καίτοι ἐάν τις ἔρηται τοὺς τῆς κωμῳδίας ποιητὰς ἐφ' ὅτῳ μέγα φρονοῦσι, φαῖεν ἄν, οἶμαι, ὅτι γέλωτα κινοῦσιν, ὥσπερ καὶ αὐτῶν τις ὡμολόγηκεν οὐδενὸς ἐρωτῶντος. ἀλλ' ὅμως καὶ οὗτοι χωρὶς ἀξιοῦσιν εἶναι τά τε τῶν ἀστείων σκώμματα καὶ τὰ τῶν πολλῶν· καί τις αὐτῶν ἐν ἀρχῇ τοῦ δράματος μεγαλαυχούμενος ὡς προφήτης προαγορεύει τοιάδε (660)

Ἀφυπνίζεσθαι χρὴ πάντα θεατήν,

---

6 ὁσονοῦν] ὅσον οὖν ΓΘ. 8 λέγουσιν Θ. Vulgo λέγουσι. προσῆκον ΓΘ. Vulgo προσῆκε. Ἡράκλεια] In appendicem Antholog. Palat. recepit Iacobsius 211. vol. II. p. 823.
11 Post ἀπώκνησεν aut post θρασὺ videtur ἐπιγράψαι aut ἀναθεῖναι deesse, aut ποιῆσαι, ob sequens ἐποίησεν. Reisk. 12 οἷον δ' αὖ] Parodia versus Homerici Odyss. δ, 242. 271. ἔρεξε Θ. Vulgo ἔρρεξε. ἔρεζεν Γ. αὖ τὴν Θ et Reiskius. Vulgo αὐτὴν. 13 Οὐ νέμεσις] Iliad. γ, 156. 16 κωμῳδιοποιοῦ] κωμῳδοποιοῦ Θ.
18 ὡμολόγηκεν οὐδενὸς ΓΘ. Vulgo ὡμολόγηκε καὶ οὐδενός. 19 τις αὐτῶν] Cratinus. 20 χρὴ] Apud Cratinum fortasse fuit νῦν δὴ

Digitized by Google

ἀπὸ μὲν βλεφάρων, αὐθημερινῶν ποιητῶν λῆρον ἀφέντα,

387 ὥσπερ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ μέλλων ἅπαντας σοφούς τε καὶ σπουδαίους ποιήσειν. διδάξας δὲ τοὺς Χείρωνας προσπαραγράφει πάλιν αὖ μάλα ὑπερηφάνως ἐπὶ τελευτῆς „Ταῦτα δυοῖν ἐν ἔτοῖν ἡμῖν μόλις ἐξεπονήθη“, τοῖς δ᾽ ἄλλοις ἐν ἅπαντι βίῳ προτιθέναι φησὶ ποιηταῖς μιμεῖσθαι, δηλονότι ὡς οὐδένα ἐφιξόμενον. ἕτερος δ᾽ αὐτῶν Ἡρακλέους ὀργήν τιν᾽ ἔχων φησὶ μεγίστοις ἐπιχειρεῖν· καὶ πάλιν προελθὼν ἀκόλουθον τούτῳ ῥῆμα ἐπιτίθησι

Τοιόνδ᾽ εὑρόντες ἀλεξίκακον τῆς χώρας τῆσδε καθαρτήν.

οὔκουν δεινόν, ὦ γῆ καὶ θεοί, Ἀριστοφάνη μὲν τὰ ἑαυτοῦ σκώμματα τοῖς Ἡρακλέους ἔργοις ἐπιχειρεῖν ἀπεικάζειν, τοὺς δὲ τῶν σπουδαίων, ὃ κἂν αὐτὸς ἐκεῖνος δοίη, λόγων ποιητὰς τοὺς ἑαυτῶν λόγους τοῖς ἑτέρων ἀξιοῦν παραβαλεῖν ὑβριστικόν τι δοκεῖν εἶναι σοὶ κριτῇ; κἀκεῖνος μὲν κωμῳδίαν τινὰ τῶν αὑτοῦ σεμνύνων ἑτέρωθι,

Σπένδων πόλλ᾽ ἐπὶ πολλοῖς ὄμνυσιν τὸν Διόνυσον (661)
μή πώποτ᾽ ἀμείνον᾽ ἔπη τούτων κωμῳδικὰ μηδέν᾽ ἀκοῦσαι.

σὺ δὲ τὸν τῇ θεῷ καὶ σὺν τῇ θεῷ λόγον ποιηθέντα οὐδ᾽ ἀνωμότως συνεχώρησας ἐπαινέσαι, καὶ ταῦτα ἀπὸ στόματος μόνον. καὶ σιωπῶ τοὺς ἑτέρους· ἀλλ᾽ ἵν᾽ ἐπ᾽ αὐτοφώρῳ λάβῃς σεαυτὸν ὑβριστὴν ὄντα καὶ συκοφάντην καὶ περίεργον, ἐξέτασον τίς ἦν ὁ τὸν αὑτοῦ λόγον οὕτως ἐπαινέσας ὥστε ἄντικρυς ἐν αὐτῷ ἐκείνῳ περὶ αὐτοῦ δια-

---

χρῇ. 21 αὐθημερινῶν] ἀπὸ θ᾽ ἡμερινῶν Γ. Fort. ἀπὸ δ᾽ ἡμερινῶν, quod pariter nuper correxi in Aristophanis Pacis v. 163. αὐθημερινοὺς appellat poetas eodem die et nascentes subito et rursus pereuntes. τοὺς ἐφημερινούς. Reisk.

387, 1 Χείρωνας Canterus. Vulgo χείρονας. ἐν ἔτοῖν] Aberat ἐν. 3 Sic distinguo ποιηταῖς μιμεῖσθαι, δηλονότι ὡς — ait se iniungere aliis poetis ut hoc imitari tota vita laborent, quo significare voluit, ut apparet, sibi non videri illorum quemquam ad idem fastigium perventurum. Reisk. Vulgo ποιηταῖς, μ. δηλονότι, ὡς —. 4 Ἡρακλέους] Aristoph. Vespar. v. 1030. 5 Τοιόνδ᾽] V. 1043. 6 οὔκουν] Vulgo οὐκοῦν. 9 ὑβριστικόν ΓΘ et Reiskius. Vulgo ὑβριστόν. 10 Σπένδων] V. 1046. πόλλ᾽ — ὄμνυσιν] Vulgo πολλὰ — ὄμνυσι. ἀμείνον᾽ ἔπη Steph. Iebb. ἄμεινον ἐπὶ Γ Iunt. 11 σὺν τῇ θεῷ ΓΘ et Reiskius. Vulgo σὺν τῷ θεῷ. 13 ἑτέρους] ἑταίρους Γ. 15 περὶ αὐτοῦ] Vulgo περὶ αὑτοῦ.

Digitized by Google

λέγεσθαι, ὥσπερ ὁ τῆς κωμῳδίας ποιητὴς περὶ τοῦ δράματος, τοῦτο μὲν ἀρχόμενος τοῦ προοιμίου ὑπισχνούμενος ἀξίως ἐρεῖν καὶ τοῦ πράγματος καὶ τοῦ χρόνου τοῦ διατριφθέντος αὐτῷ περὶ τὸν λόγον, καὶ πρός γ' ἔτι προστιθεὶς ὅτι καὶ παντὸς ὂν τυγχάνει βεβιωκώς· τοῦτο δ' ἐν τοῖς τελευταίοις ὥσπερ εἰς ἀγῶνα καὶ ἅμιλλαν ἅπαντας προκαλούμενος, ὡς οὐδένα ἂν οὐδ' ἐγγὺς ἐλθόντα. καίτοι τί φήσεις; πότερα ἐκείνῳ μεῖζον ἐπὶ τοῖς αὑτοῦ προσῆκον φρονεῖν, ἢ 'κείνῳ μὲν ἐξεῖναι καὶ μεῖζον τοῦ δέοντος, ἐμοὶ δὲ μηδ' ὅσον ἄξιον; κἀκείνῳ μὲν εἰς αὐτοὺς τοὺς λόγους ἐγγράφειν ἃ φρονεῖ περὶ αὐτῶν, ἐμοὶ δὲ μηδ' ὅσον λόγου ἔξω παραφθέγξασθαι; καὶ κωμῳδοῖς μὲν καὶ τραγῳδοῖς (662)
88 καὶ τοῖς ἀναγκαίοις τούτοις ἀγωνισταῖς ἴδοι τις ἂν καὶ τοὺς ἀγωνοθέτας καὶ τοὺς θεατὰς ἐπιχωροῦντας μικρόν τι περὶ αὐτῶν παραβῆναι, καὶ πολλάκις ἀφελόντες τὸ προσωπεῖον μεταξὺ τῆς Μούσης ἣν ὑποκρίνονται δημηγοροῦσι σεμνῶς· σὺ δ' ἡμῖν οὐδὲ τοσοῦτον μετέδωκας ἀναπνεῦσαι, καὶ ταῦτα ὢν οὐδείς, ἀλλ' ἀγαπᾶν σοι προσῆκον, εἰ καὶ ἐν οἰκέτου τάξει παρῆσθα τοῖς γιγνομένοις.

Τί καὶ φήσεις πρὸς θεῶν εἴ τις ἔροιτό σε; ἐπαχθῆ νὴ Δί' αὐτὰ εἶναι καὶ φορτικά; οὐκοῦν εἰ μὲν τοῖς πολλοῖς, τί οὐχ οὗτοι δυσχεραίνουσιν; εἰ δὲ σοί, τί καταφεύγεις ἐπὶ τοὺς πολλούς; οἱ γὰρ πολλοὶ οὗτοι σχεδόν τι εἷς τις ἀναφαίνεται, βάσκανος καὶ οὗτος, εἰ δὲ μή, ψυχρός γε. καὶ μὴν εἰ μὲν καὶ αὐτὸς ἐπήνεις τὸν λόγον, κατὰ νοῦν ἦν σοι τὰ λεχθέντα· οὐ γὰρ δή που σαυτῷ μὲν ἠξίους μετεῖναι τῆς ἐπὶ τοῖς ἐμοῖς ἡδονῆς, ἐμὲ δ' αὐτὸν ὁρῶν γανύμενον συμφορὰν ἐποιοῦ. εἰ δὲ παρῄει σε τὸ τοῦ

---

16 ἀξίως ἐρεῖν] Isocrates in Panegyrico p. 43 d. HSt. (34,2. ed. meae.) 17 διατριφθέντος ΓΘ, Canterus, Reiskius. Vulgo διατριφῶντος. 18 παντὸς ὂν Steph. Iebb. πᾶν τόσον Θ Iunt. 20 ἢ 'κείνῳ] Vulgo ἢ ἐκείνῳ. 21 αὐτῶν, ἐμοὶ δὲ ΓΘ et Reiskius. Aberat δὲ. 22 ἀναγκαίοις] Indicat eos malum necessarium esse, quo si tui res sit arbitrii, aequo animo careas, sed eo carere respublica nequit. Reisk.

388, 1 ἐπιχωροῦντας ΓΘ. ἐπιχειροῦντας Iunt. συγχωροῦντας Steph. Iebb. αὐτῶν Scaliger, Canterus, Reiskius. αὐτῶν Γ. Vulgo αὐτήν. 3 τοσοῦτον Γ. Vulgo τοσοῦτα. 4 προσῆκον] προσῆ-

λόγου κάλλος, εἰκότως ὑφ' ἡμῶν ταῦτα ἐλέγετο. ἐπ' αὐτοῖς
τοίνυν οἷς παρεφθεγξάμην ποτέρως διετέθης; εἰ μὲν γὰρ
καὶ αὐτὸς ἐδυσχέρανας, διὰ τοῦτο ἐλέγοντο, ἵνα ἀχθε- (663)
σθῇς. οὐ γάρ δή που σὺ μὲν ζημίαν ποιεῖ ἐμοῦ τοῖς
ἐμαυτοῦ χαίροντος, ἐγὼ δ' οὐ ποιήσομαι κέρδος, ἂν σὺ
λυπῇ διὰ ταῦτα. ἀλλὰ μὴν εἴ γε ἀπεδέξω τὰ λεχθέντα,
πῶς αἰτιᾷ νῦν περὶ ὧν τότ' ἦσθα σύμψηφος, ἢ ποτέρου
κατηγορεῖς ὅταν οὕτως ἔχῃς; φαίνει γὰρ οὐχ ἧττον σεαυτοῦ.
οὐ τοίνυν μόνον κατ' ἄνδρας ὅλως καὶ πρὸς τὴν ἀξίαν
εὑρεθήσεται τὰ τοιαῦτα κρινόμενα, ἀλλὰ καὶ πρὸς τοὺς
καιροὺς καὶ πρὸς τὴν τῆς προφάσεως ἀεὶ προσθήκην. οἷον
εἴ τις ὕβρει καὶ ὑπερηφανίᾳ τοὺς τοιούτους λόγους προαι-
ρεῖται, ἢ τοὺς πολλοὺς ἐξεπίτηδες ἀτιμάζων καὶ τοῦ μη-
δενὸς ἀξίους ἡγούμενος, ἢ καὶ ὅπερ ἀρτίως εἶπον, ἕνεκ'
οἰκείου τινός, οἵους ἐγώ τινας εἶδον ἤδη τὰς ὀφρῦς ἀνε-
σπακότας καὶ βαδίζοντας ὥσπερ δεσπότας τῶν ἐντυγχα-
νόντων, καὶ καταπεπλασμένους οὕτω τὸν βίον ὥστε πλήτ-
τειν εὐθέως τοὺς ἀπαντῶντας, τοῖς μὲν τοιούτοις δίκαιον
οἶμαι νεμεσᾶν καὶ νομίζειν τῆς Γοργείας κεφαλῆς ἀπογό-
νους τινὰς εἶναι καὶ οὐ τὰ κάλλιστα ἀπολελαυκέναι τῶν
λόγων οὓς προΐστανται. ὅστις δὲ τὸν μὲν ἄλλον βίον οὕτω (664)
389 μέτριον καὶ κοινὸν ᾕρηται, ὥστ' ἀπ' αὐτοῦ τούτου μά-
λιστα γιγνώσκεσθαι καὶ τοῦτ' εἶναι σύμβολον αὐτοῦ, εἰ
μὴ καὶ νῦν ἔλαθόν τι μεῖζον εἰπών, καὶ δεῖ παραιτήσα-
σθαι, ἡνίκ' ἂν δὲ ὁ θεὸς κινήσῃ, τότε καὶ περὶ αὑτοῦ
τι φθέγγεται, καὶ ταῦτα ἅττα ποτέ ἐστι, καὶ φθεγξάμε-
νος παρ' αὐτὸν τὸν ἀγῶνα καὶ τὸν καιρόν, ἡνίκ' οὐδενὸς
ἄλλου μεμνῆσθαι πλὴν τῶν λόγων εἰκός ἐστιν, εἶτ' ἀπηλ-
λάγη, τί τούτῳ ταῦτ' ὀνειδίζοι τις ἄν; σὺ δ' ὦ πρὸς Διὸς
τοσαύτην εἰπέ μοι σχολὴν ἦγες, ὥστ' ἀφεὶς ἐκεῖνα τὰ
φάσματα μικρὰ καὶ τοῦ μηδενὸς ἄξια ὥσπερ οἱ ὄρνιθες
παρεξέλεγες, ἵνα ἀπίῃς ὥσπερ ἕρμαιον ἔχων ὃ κακῶς ἐρεῖς;

---

αν ΓΘ. 12 ποιεῖ Γ. Vulgo ποιῇ. 14 φαίνει] Vulgo φαίνῃ. 16 ἀεὶ] αἰεὶ Θ.

389, 1 τούτου addidi ex ΓΘ. 2 ἡνίκ' ἂν δὲ Θ. Vulgo ἡνίκα δέ. 3 αὑτοῦ] Vulgo αὐτοῦ. τι addidi ex ΓΘ. 4 εἰκός ἐστιν] ἐστιν εἰκός Θ. 6 Fort. ἐκεῖνα τὰ θαυμαστά, τὰ

Digitized by Google

φάθι δή με καὶ τοῦτο φιλανθρωπίᾳ πεποιηκέναι, ἵνα
μὴ παντάπασιν ἀθυμήσῃς, ἀλλ' ἔχῃς ἐφ' ὅτῳ βουλήσει
ζῆν. ἦν γάρ, ὡς ἔοικε, σοί τι πυθόχρηστον, ὅταν πάντας
ἐπαινέσῃς ἀπολωλέναι. ὥστ' ἄποινα ὀφείλεις μοι, καὶ εἰ
τοῦτ' αἰτιᾷ, δικαίως αἰτιᾷ. ἦ καὶ τὴν Πυθίαν αὐτὴν καὶ
τοὺς χρησμολόγους, ὅταν αὐτοματίζωσιν, ἀκριβῶς ἐξετάζεις
ἐπιτηρῶν καὶ σχῆμα καὶ βλέμμα, καὶ εἴ τί σοι δόξουσι (665)
λέγειν θρασύτερον, εἶτ' αὐτοῖς ὕστερον ἐγκαλεῖς; ἄθλιε
καὶ πόρρω θεῶν, ἅπαντα ταῦτα ἦν τοῦ καιροῦ;

Ἀναμνήσω δέ σε καὶ Ξενοφῶντος, ὃς περὶ τοῦ Κύρου
τοῦ μεγάλου διαλεγόμενος τὸν μὲν ἄλλον χρόνον εὐσταλῆ
φησι καὶ κόσμιον αὐτὸν εἶναι καὶ ἥκιστα ἀλαζόνα, ἡνίκα
δ' εἰς τοὺς ἀγῶνας ἴοι καὶ ὑποθερμαίνοιτο, οὐδὲν μικρὸν
λέγειν οὐδ' ὑποστέλλεσθαι, ἀλλὰ καὶ αὐτὸν καὶ τοὺς
στρατιώτας ἐξαίρειν. εἰκότως· ἐὰν γάρ, ὦ τᾶν, ἐξέλῃς τὸ
κέντρον ἐκ τῆς ψυχῆς, ἀνῄρηκας τὸ τῆς ἀνδρείας ἐφόδιον.
κἀμὲ οὕτως ἐξέταζε, καὶ ἔτι μεῖζον προστίθει· εἰ μὴ
μέλλων ἀγωνιεῖσθαι, ἀλλ' ἐμβεβηκώς, ἀγωνιζόμενος, εἰ
παρ' αὐτὴν τὴν χρείαν, εἰ τοῦ κρείττονος ὤν, εἰ ζέοντος
τοῦ λόγου, εἰ πρῶτος μὲν αὐτὸς ἐλαυνόμενος, εἶτα τοὺς
πολλοὺς τῷ αὐτῷ κέντρῳ κινῶν, ταῦτα παρεφθεγξάμην
ἐπιστροφῆς ἕνεκα καὶ κοινῆς ὠφελείας τῶν ἀκουόντων, ὃ
καὶ τῶν προοιμίων ἐπαινοῦμεν καὶ προσδεῖν αὐτοῖς φαμέν.
κἂν εὑρίσκῃς ἃ λέγω προσόντα, τόλμησον εἰπεῖν, οὐχ ὅδ'
390 ἄνευ θεοῦ τάδε μαίνεται, ἀλλὰ παρούσης τῆς Ἀθηνᾶς, (666)

---

μικρά. Reisk. 7 φάθι] Vulgo φᾶθι. 8 βουλήσει] Vulgo βουλήσῃ (ει suprascr.). 9 ὀφείλεις Θ. ὄφλεις (ει ab al. m.) Γ. Vulgo ὄφλεις. τοῦτ' αἰτιᾷ Θ. τοῦτ' αἰτία (ᾶ suprascr.) Γ. Vulgo τοῦτό γε αἰτιᾷ. 11 ἐξετάζεις] ἐξητάσῃς (sic) ΓΘ. ἅπαντα ΓΘ. Vulgo οὐ πάντα. 13 Ξενοφῶντος] Cyri institut. VII, 1. 15 στρατιώτας] συστρατιώτας Θ. 16 ἀνῄρηκας] ἀνῄρηται Θ. 18 Fort. ἐμβεβηκὼς ἤδη (scil. εἰς τὸν ἀγῶνα) καὶ ἀγωνιζόμενος. Reisk. τοῦ κρείττονος ὤν] A deo agitatus, deo plenus, ideoque sui non compos. Reisk. 19 πρῶτος Θ. Vulgo πρῶτον. 20 ἕνεκα] Vulgo εἵνεκα. ὃ] Aut cum ἃ est permutandum aut sequens αὐτῶν cum αὐτοῦ. Reisk. προοιμίων] πρὸ ἡμῶν Θ. 21 αὐτοῖς Θ. Vulgo αὐτῶν. ἄνευ] Apud Homerum Iliad. ε, 185. est ἄνευθε.

ἢ τὰ κράτιστα τῆς σωφροσύνης ἀνεῖται. ἤκουσας δέ που καὶ Ὁμήρου περὶ ἀγωνιστῶν λέγοντος

*Μαίνετο δ' ὡς ὅτ' Ἄρης ἐγχέσπαλος, ἢ ὀλοὸν πῦρ*
*οὔρεσι μαίνηται βαθέης ἐν τάρφεσιν ὕλης,*
*ἀφλοισμὸς δὲ περὶ στόμα γίγνετο·*

καὶ οἶσθα δὴ τἀπὶ τούτοις, ἵνα σοι καὶ χαρίσωμαι. νὴ Δί' ἀλλὰ βάρβαρος οὗτος καὶ κατέχειν αὑτὸν οὐ δυνάμενος. τὸν δ' ἕτερον τί φῶμεν, τὸν κάλλιστον τῶν Ἀχαιῶν; οὐκ ἀναμνησθήσει πῶς αὖ καὶ τοῦτον ὁπλίζει μετὰ τὴν ἀπόρρησιν τῆς μήνιδος;

*Ἐν δὲ μέσοισι κορύσσετο δῖος Ἀχιλλεύς,*
*τοῦ καὶ ὀδόντων μὲν καναχὴ πέλε· τὼ δέ οἱ ὄσσε*
*λαμπέσθην ὡσεί τε πυρὸς σέλας, ἐν δέ οἱ ἦτορ*
*δῦν' ἄχος ἄτλητον· ὁ δ' ἄρα Τρωσὶν μενεαίνων*
*δύσατο δῶρα θεοῦ.*

ὁρᾷς ὅτι πάντα ὁμοῦ τῷ ἀνδρὶ προστίθησιν, ὀδόντων κρότον, πῦρ ἐν ὀφθαλμοῖς, ὀργὴν εἰς τοὺς πολεμίους, λύπην ἐπὶ τῇ συμφορᾷ, καλλωπισμὸν εἰς τοὺς συστρατιώτας. Ἐνυοῦς μὲν δὴ καὶ Ἐνυαλίου χορευταὶ τοῦτον ἵστανται τὸν τρόπον, οὔτε τὴν γνώμην ἀτρεμεῖν δυνάμενοι, πολὺ δὲ ἧττον ἔτι τὼ χεῖρε ἀτρεμίζοντες, κινεῖται δὲ (66) ἄτοπόν τινα κίνησιν καὶ τὰ χείλη καὶ πᾶν μέρος τοῦ σώματος, καί τις αὐτοὺς θαυμαστὴ κατέχει κρᾶσις λύπης, ὀργῆς, ἐπιθυμίας, λογισμοῦ· οἳ κἂν εἰς λόγους ἔρχωνται, μεταξὺ τῶν ἔργων τοιαυτὶ λέγουσιν „Ἄσσον ἴθι" καὶ

*Δυστήνων δέ τε παῖδες ἐμῷ μένει ἀντιόωσι·*

τοὺς δὲ Ἑρμοῦ τε καὶ Μουσῶν χορευτάς, περὶ οὓς τὰ τῶν πτερωτῶν λόγων κάλλη τε καὶ τολμήματα Ζεὺς ὁ θεῶν βασιλεὺς ἔταξεν εἶναι, πότερα εἰς γῆν κάτω βλέποντας

---

390, 2 *Μαίνετο*] Iliad. ο, 605. 3 *τάρφεσιν ΓΘ.* Vulgo *τάρφεσι.* *γίγνετο* Homerus. Vulgo *ἐγένετο. γίνετ'* (sic) *Γ. γίγνεται Θ. γίνεται* Opor. 4 *βάρβαρος οὗτος*] Significat Hectorem. Reisk. 5 *ἀναμνησθήσει*] Vulgo *ἀναμνησθήσῃ.* 6 *Ἐν δὲ*] Iliad. τ, 364. *μέσοισι*] *μέσσοισι Θ.* 7 *πέλε*] *πέλεν Θ.* 8 *Τρωσὶν*] Vulgo *Τρωσί.* *δύσατο ΓΘ.* Vulgo *δύσσατο.* *θεοῦ Γ.* Vulgo *θεοῖο.* 10 *Ἐνυοῦς*] *ἐνίους Γ.* 11 *οὔτε*] *οὐδὲ* Reiskius. Fallitur. 14 *τοιαυτὶ λέγουσιν ΓΘ.* Vulgo *ταυτὶ λέγουσι.* *Ἄσσον ἴθι*] Iliad. ζ, 143. *Δυστήνων*] Iliad. ζ, 127. φ, 151. 16 *βλέποντας*] *βλέποντα Γ.*

Digitized by Google

ὥσπερ τοὺς Ἐρεμβοὺς οὕτως ἀξιώσεις ἐπιδείκνυσθαι τὰ σφέτερ᾽ αὐτῶν ἔργα, μηδὲν τῶν κανθηλίων διαφέροντας, μέσους ἐγρηγορότων καὶ καθευδόντων, ἢ μηδὲν ἀμβλυτέρους ὄντας φαίνεσθαι τῶν ἐκ Κορυβάντων ἤ τινος ἄλλου δαίμονος θερμοῦ κατεχομένων, ἀλλ᾽ ἅμα τῷ μέλει κινεῖσθαι τὰ γιγνόμενα; ἀλλὰ τοῦ μὲν Διομήδους οὐκ αἰνεῖς τὴν κόρυν οὐδὲ τὴν ἀσπίδα, πῦρ ἀφιεῖσαν, ὥς φησιν Ὅμηρος, ἀλλὰ καὶ θαυμάζεις καὶ μεγάλων αὐτὸ ποιεῖς
391 σύμβολον, ὧν δ᾽ ἐξ αὐτῆς τῆς κεφαλῆς ἀνίησι τὸ πῦρ ἡ θεός, τούτοις οὐδὲ συγγνώμης μεταδίδως; καὶ ποίας μάχης τοσαύτην θέρμην φήσεις ἡγεῖσθαι, ὅσην τῶν ἐμψύχων (668) λόγων καὶ ἀληθινῶν; πάντα μὲν γὰρ ἴσως κατὰ Δαρεῖον τὸ πῦρ ἐκόσμησε, καὶ οὐ δυνατοῦ μᾶλλον τὸ ῥῆμα ἢ ἀνδρὸς σοφοῦ, λόγων δ᾽ αὕτη πηγὴ μία, τὸ ὡς ἀληθῶς ἱερὸν καὶ θεῖον πῦρ τὸ ἐκ Διός ἐστιν, ἐφ᾽ ᾧ καθεύδειν οὐκ ἔνι δή που τὸν τετελεσμένον τε καὶ εἰς τὸ μέσον φερόμενον. σὺ δὲ τηνικαῦτα ἀξιοῖς σκοπεῖν εἰς σὲ καὶ τοὺς σοὺς ὀφθαλμούς, δεδοικότα ὥσπερ παῖδα μή τι γρύξειεν ὅ σοί τινα ἀηδίαν οἴσει. καὶ τίθης οὐχὶ τῷ χειμάρρῳ ὅρια, ἀλλὰ τῷ Νείλῳ, καὶ ταῦτα ὁμοῦ τῷ μεγέθει τὴν συμμετρίαν ἔχοντι. οὐκ οἶσθ᾽ ὅτι ὥσπερ τὰ παρ᾽ Ἡφαίστου ὅπλα αὐτὰ καθ᾽ αὐτὰ κινούμενα ἀνὴρ ἐκεῖνος ἐποίησεν; οἶμαι δέ που καὶ τοὺς τοῦ Ἀπόλλωνος ὀϊστοὺς αὐτοὺς ἐφ᾽ αὐτῶν ἐπηχῆσαι συνοργισθέντας αὐτῷ. οὕτω κἂν τοῖς ἀγῶσι τοῖς περὶ τοὺς λόγους τοὺς περὶ τῶν θεῶν πολλὰ τοιαῦτα αὐτῶν τῶν λόγων ἰδίᾳ κινουμένων ὥσπερ ἔκφορα γίγνεται, καί τινα ἠχὴν παρέχεται τότε ὁ λόγος ἀναγκαίαν

---

17 Ἐρεμβοὺς] Vide scholia ad Homeri Odyss. δ, 84. ἀξιώσεις Opor. Iebb. ἀξιώσει Iunt. ἐπιδείκνυσθαι] ἀποδείκνυσθαι ΓΘ. 20 κόρυν ΓΘ, Canterus. Vulgo κόρην. 21 Ὅμηρος] Iliad. ε, 4. ποιεῖς ΓΘ. Vulgo ποιῇς. ποιῇ Canterus.

391, 2 φήσεις ἡγεῖσθαι] φῇς εἰσηγεῖσθαι Γ. ὅσην] ὅσον ΓΘ.

4 ἢ σοφοῦ ἀνδρὸς vocabulis transpositis. nisi malis paullo ante δυναστοῦ legere pro δυνατοῦ. de dicto Darii non memini legere, solere ignem omnia ordinare et ornare. Reisk. 5 ἐστιν, ἐφ᾽] ἐστιν ὡς ἐφ᾽ Γ. 7 οὐχὶ Θ. Vulgo οὐ. 9 τὰ παρ᾽ Ἡφαίστου ὅπλα] Iliad. σ, 376. ἀνὴρ] Vulgo ἀνήρ. 10 Ἀπόλλωνος] Iliad. α. 11 περὶ τῶν θεῶν] παρὰ τῶν θεῶν Γ. 13 ἀναγκαίαν] ἀναγκαῖον Γ, vere fortasse.

Digitized by Google

καὶ ἀκόλουθον τῇ ῥύμῃ καθάπερ βέλος τι σὺν ῥοίζῳ φερόμενον. δέδοικα μὲν οὖν μὴ παρὰ κωφὸν λέγω καί τινα (6 τρόπον ἐξορχοῦμαι δεικνὺς ἀμυήτῳ τὰ ἱερά· ὅμως δὲ ὥσπερ ἐν μύθῳ τις ἀπόρρητος λόγος τοῖς μὲν ἀκούειν δυνατοῖς εἰρήσεται, σοὶ δὲ οὐδὲν μᾶλλον. λέγω γὰρ οὖν ὡς ἐπειδὰν περιέλθῃ τὸ τοῦ θεοῦ φῶς, καὶ τὸ λεγόμενον δὴ τοῦτο ἀστράψῃ δι᾽ ἅρματος, οἷα δὴ ταῖς Μούσαις ἅρματα οἱ ποιηταὶ δεδώκασι, καὶ κατάσχῃ τὴν ψυχὴν τοῦ λέγοντος, ὥσπερ τι πῶμα παρελθὸν ἐξ Ἀπόλλωνος πηγῶν, εὐθὺς μὲν τόνου καὶ θέρμης ἐνέπλησε μετ᾽ εὐθυμίας, ἦρε δὲ τοὺς ὀφθαλμοὺς ἄνω καὶ τὰς τρίχας διέστησε, βλέπει δ᾽ οὐδ᾽ εἰς ἓν ἄλλο ὁ τοιοῦτος, εἴτε χορευτὴν εἴτε βάκχον βούλει λέγειν, οὔτε παρὸν οὔτε ἀπὸν, ἀλλ᾽ ἢ πρὸς αὐτοὺς
392 τοὺς λόγους καὶ τοὺς ταμίας αὐτῶν, ὥσπερ οἱ πρὸς τοὺς ἄλλο τι ὀρέγοντας ἑαυτοῖς βλέποντες, καὶ ταῦθ᾽ ὅταν ἐξ ὑψηλῶν προτείνωσι, καί τι ἔπος, φησὶ, προέηκεν ὅπερ ἄρρητον οὐ φορητὸν ἦν — φέρει γὰρ ὁ καιρὸς πόλλ᾽ ἅ τις οὐκ ἂν ἐννοήσειεν ἰδιώτης τῶν τοιούτων ἀγώνων — καὶ οὐκ ἔστιν ἀνέντα τὴν γνώμην οὐδ᾽ ὑποθέντα ἑαυτὸν τοῖς ἀκροαταῖς, ὃ προσήκει κέντρον τῶν λόγων διασώσασθαι, (6. ἀλλ᾽ ἡ θέρμη καθάπερ τι φάρμακον μόνη δὴ παραπέμπει καὶ κατευθύνει καθάπερ ναῦν τὸν λόγον καὶ τοῖς ἐναντίοις χώραν οὐ δίδωσιν. ἡνίκ᾽ ἂν δὲ αὕτη προλίπῃ, ὑπορρεῖ τὰ τῶν λόγων καὶ τὰ τῆς νάρκης νικᾷ, καὶ ἀνάγκη δὴ κάτω φέρεσθαι τὸν τοιοῦτον ῥήτορα ὑπὸ τῆς ἀμβλύτητος ἀποψυχόμενον, καθάπερ τινὰ ἀετὸν τῶν πτερῶν ὑφιέντα.

Ἔχω δέ σοι καὶ λόγον τινὰ ἱερὸν διελθεῖν, ἀκούσας

---

17 ἀστράψῃ δι᾽ ἅρματος. *refulgeat per currum*, vel *a curru*. mira; neque probanda confusio ignis, radiorum, currus, potus, fontium in una verborum eaque brevi complexione. Reisk. ἀστράψῃ Reiskius. ἀστράψαι ΓΘ. Vulgo ἀστράψηται.

392, 2 καί τι ἔπος] Vide Odyss. ξ, 466. προέηκεν] προέοικεν Θ. 3 πόλλ᾽ ἅ τις Θ. πολλὰ ἅ τις Γ et Reiskius. Vulgo πολλά τις. ἰδιώτης] ἰδιώτης τῆς Θ. τῶν τοιούτων ἀγώνων ΓΘ. Vulgo τὸν τοιοῦτον ἀγῶνα. ἰδιώτης εἰς τὸν τοιοῦτον ἀγῶνα Reiskius. 6 ἡνίκ᾽ ἂν δὲ] Vulgo ἡνίκα δὲ. Conf. ad p. 389, 2. 7 δὴ ΓΘ. Vulgo δεῖ. ὑπὸ Steph. Iebb. ὑπὲρ Iunt. 8 ἀετὸν]

νύκτωρ οὐ πάλαι παρά του τῶν κρειττόνων, οἷόν ἐστι τὸ χρῆμα τῆς θείας μανίας. εἶχε δέ πως ὧδε ὁ λόγος. ἀνάγκη τὸν νοῦν, ἔφη, κινηθῆναι τὴν πρώτην ἀπὸ τοῦ συνήθους καὶ κοινοῦ, κινηθέντα δὲ καὶ ὑπερφρονήσαντα θεῷ συγγενέσθαι καὶ ὑπερέχειν. καὶ οὐδέτερόν γε, ἔφη ὁ διδάσκων, θαυμαστόν. ὑπεριδών τε γὰρ τῶν πολλῶν ὁμιλεῖ θεῷ θεῷ τε ὁμιλήσας ὑπερέχει. τάδε μέν σοι τῆς ἱερᾶς, ὡς οἱ ποιηταὶ καλοῦσι, νυκτὸς ἀπομνημονεύματα διὰ κεράτων μὲν ἥκοντα, στιλπνότερα δὲ ὡς ἀληθῶς ἐλέφαντος παντός. ὥστ' εἰ καὶ μηδένα μηδ' ἀφ' ἑνὸς εἴδους εἴχομεν εἰπεῖν ἐπ' αὐτῷ τι φρονήσαντα, μηδ' ἦν ἀναγκαῖον τῶν λόγων τὸ (671)
τοιοῦτον πάθημα, ἡμᾶς δ' εἰς ταύτην ὁ θεὸς νῦν ἦγεν, οὐκ ἂν τὰ πρεσβεῖα δή που συμφορὰν ἐποιούμεθα. σὺ δ' αἰτιᾷ τὸ σύμβολον αὐτοῦ τοῦ ῥήματος. ἢ πρὸς θεῶν ἀκροατὴς μὲν οὐχ ὅστις σφόδρα σώφρων, ἀλλ' ὅστις ἐπίσταται κινεῖσθαι βέλτιστος καὶ ὅστις ἀπαντᾷ τοῖς λεγομένοις, ῥήτωρ δὲ οὐχ ὁ θερμότατος καὶ πρῶτος αὐτὸς αὑτοῦ συνιεὶς ἄριστος, ἀλλ' ὅστις ἡττᾶται τῶν ἀκροωμένων, ἢ παρ' ἐκείνων δεῖται μαθεῖν ὁποῖ' ἄττα ἐστὶν ἃ λέγει; σκόπει δὴ καὶ τοῦτο. φημὶ γὰρ αὐτῶν ἕνεκα τῶν λόγων συμβαίνειν ἀνάγκην πολλάκις παραφθέγξασθαι τόν
303 γε δὴ καθαρῶς ἁπλοῦν καὶ φιλάνθρωπον· εἰ δὲ μή, τοὺς πολλοὺς ἐκφεύγειν ἐστὶν ἃ τῶν κρειττόνων μὴ λαθεῖν. οἷόν τι λέγω, ἔστι κάλλη περὶ λόγους, ὡσαύτως δὲ περὶ ποίησιν, καί τινες ἰδέαι καὶ πόρρω καὶ ἐγγὺς ἀλλήλων,

---

Vulgo αὐτόν. 9 τῶν κρειττόνων ΓΘ. Aberat τῶν. 12 ὁμιλεῖ θεῷ add. Steph. Iebb. ex interpretatione Canteri: om. ΓΘ Iunt. 14 ὥστ'] ὅτ' Γ. 15 τοιοῦτον ΓΘ. Vulgo τοιοῦτο. 16 δή που] που om. Θ. 17 αὐτοῦ] αὐτό. ipsam notam huius vocabuli, unde agnoscitur faustine an infausti sit ominis. verbum scilicet παραφθέγγεσθαι est ominosum, aliquid dicere praeter rem, et quod melius esset premi, perverse, prave, perperam dicere. obiectas mihi, ait orator, ipsum illud ominosum et scaevum, quod inest nomini τοῦ παραφθέγματος, quod ego nomen meae digressioni dedi. Reisk. ῥήματος Steph. Iebb., Canterus in Latinis. ῥήτορος Θ Iunt. 20 Vulgo ἅττα et εἵνεκα.

303, 1 Fort. μηδένα λαθεῖν. alias necesse est plebi multa scita, bella, egregia latere, quae hominibus elegantioribus non latent.



Digitized by Google

ἃς ἅμα μὲν πάσας λαβεῖν οὐ ῥᾴδιον, μέρος δὲ ἕκαστος ἀποτεμόμενος κατὰ τοῦτο ηὐδοκίμησεν· Ὅμηρόν δὲ, εἰ βούλει, ποιητῶν ἐξαίρει λόγου. ὅταν οὖν τις ἀγώνισμα ποιήσηται διὰ πάντων τῶν καλῶν τούτων διεξελθεῖν καὶ (67) πάσας μίξεις μῖξαι περὶ τοὺς λόγους, καὶ πρῶτον μὲν τὰ ἤθη πρέποντα τοῖς καιροῖς ἀποδοῦναι, ἔπειτα τὰς συζυγίας, οὗ μὲν ἀκριβείας δεῖ, ἐνταῦθα ὥραν προστιθεὶς, οὗ δ᾽ ἐργασίας, ἐνταῦθα τάχος, τῷ δὲ περιττῷ σαφήνειαν, χάριν δὲ οὗ σεμνότης, οὗ δὲ εὕρεσις, ἐνταῦθα διαχειρίζειν, οὗ δὲ τολμήματα, ἐνταῦθα ἀσφάλειαν, ἐφ᾽ ἅπασι δὲ ῥᾳστώνην καὶ δρόμον, καί μοι παρείη περὶ τούτων ἄμεινον σοῦ καὶ τῶν σοὶ προσομοίων ἐπίστασθαι, σκοτοδινιᾷ δὴ πᾶς ἐνταῦθα ἀκροατὴς καὶ οὐκ ἔχει τίς γένηται, ἀλλ᾽ ὥσπερ ἐν παρατάξει κυκλούμενοι θορυβοῦνται, καὶ ὡς ἕκαστος ἔχει φύσεως ἢ δυνάμεως οὕτως ἐπαινεῖ, ὁ μὲν τῆς λέξεως τὴν ἀκρίβειαν, ὁ δὲ τοῦ νοῦ τὴν λεπτότητα, ὁ δὲ ὡς ὡραία. ὁ δὲ ῥήτωρ ὑπὲρ αὐτῶν ῥήγνυται. τί φῄς; οὐχ ὁρᾷς τὸ ἀγώνισμα οὐδὲ ἀπὸ πολλοῦ, ἀλλ᾽ εἰς ἑκάτερον, φησὶ, τῶν αὐλῶν ἐμοῦ χωρὶς αὐλοῦντος καὶ πάσαις ἅμα ταῖς ἁρμονίαις χρωμένου κάθησαι πρὸς ἑνός τινος τῶν δακτύλων κίνησιν βλέπων, ὥσπερ ἂν εἰ καὶ ἐν λύρᾳ ἢ κιθάρᾳ πάντων ὁμοῦ δεικνυμένων μιᾶς χορδῆς ἤχου (67)

---

Reisk. 3 ἅμα μὲν ΓΘ, Canterus. Aberat μὲν. ἀποτεμόμενος Θ. Vulgo ἀποτεμνόμενος. 4 τοῦτο] τοῦτον Γ. ηὐδοκίμησεν Θ. Vulgo εὐδοκίμησε. εὐδοκίμησεν Γ. Fort. Ὅμηρον δὲ, εἰ βούλει, τούτου μόνον ποιητῶν ἐξαίρει τοῦ λόγου. Homerum inter poetas unum hac regula, vel hoc edicto exime. alludit ad illud Platonis, Πλάτωνα δὲ μόνον ἐξαιρῶ. Reisk. ὅμηρον Γ. Vulgo Ὅμηρος. ἐξαίρει ΓΘ. Vulgo ἐξαίρειν. 6 μῖξαι] Vulgo μίξαι. πρῶτον ΓΘ, Reiskius. Vulgo πρῶτος. 8 διαχειρίζειν] διαχείρισιν Reiskius. 10 παρείη] παρίει ΓΘ. 12 ἐπαινεῖ] ἄλλος ἄλλο τι addit Canterus. 13 ὁ δὲ post λεπτότητα add. Steph. Iebb. ex Canteri interpretatione: om. ΓΘ Iunt. ὡραία Iunt. ὡραῖα ΓΘ. ὡραίαν Steph. Iebb. 14 Distinguo sic, οὐχ ὁρᾷς τὸ ἀγώνισμα οὐδ᾽ ἀπὸ πολλοῦ; ἀλλ᾽ ὥσπερ εἰς ἑκάτερον — χωρὶς αὐλοῦντος, ἀλλ᾽ οὐ καὶ πάσαις ἁρμονίαις. non vides concertationis huius ne minimam quidem partem? sed quasi ego unamquamque binarum tibiarum seorsim inflarem, non autem harmoniis simul omnibus uterer. Reisk. 15 κάθησαι ΓΘ Iunt. κάθισαι Steph. Iebb. 16 ὥσπερ ἂν ΓΘ. Aberat ἂν. 17 ἤχου] ἦχον Θ.

δοκοίης ἀκούειν. διδάσκει σε ὁ ῥήτωρ, ἄλλου μὲν οὐδενὸς ἕνεκα, ἴχνος δέ τι θεῖον σώζων ἐν αὐτῷ καὶ προνοούμενος καὶ σοῦ καὶ ἑτέρων, μάλιστα δὲ αὐτῆς τῆς φύσεως τῶν λόγων, ὅπως αὐτῶν τὰ σπέρματα εἰς γνῶσιν ἐλθόντα σωθείη κατὰ τὸ δυνατόν. ταῦτ' ἐστὶν, ὦ τἀμὰ μὲν εἰδὼς, τὰ σαυτοῦ δ' ἀγνοῶν, ἃ κἀμὲ πρώην ἐκίνησε. σὺ δὲ τὸν νόμον μεταβάλλεις καὶ τὴν τάξιν ἐναλλάττεις, ἣν ἡ φύσις κατέδειξεν οὐκ ἐν ἀνθρώποις μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις
394 ζώοις, αὕτη δ' ἐστὶν ἀκούειν τοῦ βελτίονος, καὶ νομίζεις τὸν ἀετὸν οἷόν τ' εἶναι τὸ ἴσον κινεῖσθαι τῷ κολοιῷ, οὗ καὶ προσιόντος ἔτι πόρρωθεν δήλη τοῖς ὁρᾶν καὶ ἀκούειν δυναμένοις ἡ ἀλκὴ σχίζοντος τὸν ἀέρα, ὥσπερ ὅταν ναῦται τῇ κώπῃ τὴν θάλατταν. δῆλος δὲ καὶ λέων ἐπιβρυχώμενος οἷα δράσει, μὴ ὅτι μασσῶν. σὺ δ' ἀπαιτεῖς ἵππου μὲν δρόμον, σχῆμα δὲ τῆς κεφαλῆς ὄνου, πράγματα οὐχὶ συμβαίνοντα· ἐκείνων δ' οὐκ ἤκουσαις

Ἀμφὶ δὲ χαῖται
ὤμοις ἀΐσσονται, ὁ δ' ἀγλαΐηφι πεποιθὼς
ῥίμφα ἑ γοῦνα φέρει μετά τ' ἤθεα καὶ νομὸν ἵππων.

ὄνῳ δὲ ἀρκοῦν ἐστι γαύρωμα, ἀπαλλαγῆναι τοῦ φορτίου, (674 ὃ τῆς ἐφ' ἡμέρᾳ χρείας ἕνεκα τῷ δεσπότῃ περιφέρει, πλείους τῶν βημάτων τὰς πληγὰς ἐκλέγων. ἀλλὰ γὰρ ᾠχόμην ὥσπερ κατὰ ῥοῦν ὑπὸ τοῦ λόγου φερόμενος. ἐπάνειμι δὴ ἐπ' ἐκεῖνο, ὅτι ἀξιοῖς μεταβάλλειν τὸν τῆς φύσεως νόμον, ὃς κελεύει τὴν τῶν κρειττόνων ὑπερβολὴν ἀνέχεσθαι καὶ ζῆν πρὸς τὸ ἡγούμενον. αἰσχρὸν τῷ στρατηγῷ βλέπειν εἰς τοὺς στρατιώτας, καλὸν δέ γε τοῖς

18 ἕνεκα] Vulgo εἵνεκα. 19 εἰς Iebb. ἐς Iunt. Steph. 20 ἐστὶν ΓΘ. Vulgo ἐστί. ὦ] ὢ Γ. δ' Θ. Vulgo δὲ. 21 ἐκίνησε] ἐκίνησεν Θ.

394, 1 ἀετὸν] Vulgo αἰετόν. 2 ἡ ἀλκὴ Canterus. Vulgo τῇ ἀλκῇ. „ἡ ἀλκή, aut ante τῇ ἀλκῇ deest aliquid, e. c. ἡ πρόσοδος.“ Reisk. 3 Fort. λέων ἔτι βρυχώμενος οἷα δρασείει. a verbo δρασείειν gestire, ruere ad aliquid agendum. Reisk. μὴ ὅτι μασσῶν Γ corrupte. μὴ ὅτι μέσων Θ. μὴ ὅτι μέσον Iunt. In Steph. Iebb. haec verba auctore Cantero deleta. 5 Ἀμφὶ δὲ] Iliad. ζ, 509. 6 νομὸν] Vulgo νόμον. ἐστι] Leg. ἐς. sufficit ad hilaritatem atque superbiam induendam hoc, quod —. fortasse quoque γαυρίαμα legendum pro γαύρωμα. Reisk. 7 ἕνεκα] Vulgo εἵνεκα.

*στρατεύμασιν εἰς τοὺς στρατηγούς, ὥσπερ, οἶμαι, τοῖς χορευταῖς εἰς τὸν ἡγεμόνα, τοῖς ναύταις εἰς τὸν κυβερνήτην, τοῖς δήμοις εἰς τὸν ἄρχοντα, τοῖς ἀκροαταῖς εἰς τὸν ῥήτορα. εἰ μὲν οὖν ῥήτωρ τις ἡμῖν ἐξ ἀκροατοῦ μετεσκεύασαι, ὥρα σοι παραλαμβάνειν τὸν θρόνον, εἰ δὲ μικρὸς μικρὰ ἀπολαμβάνων περὶ ταῦτα διατρίβεις, ἐγὼ μὲν οὐδὲν εὔφημον ἐπενεγκεῖν ἔχω σοι, βούλομαι δ' ὃ μικρῷ πρόσθεν ἔφην διὰ πλειόνων ἐξετάσαι τὸ τῆς αἰτίας, ἐπειδή γε καὶ σὺ συμφαίης ἂν τὰ πολλὰ ταύτῃ κρίνεσθαι. εἰ μὲν γὰρ ἐγὼ τούτου χάριν, ὅπως ἢ μειράκια ὑπαγοίμην, ἢ πατέρας τινὰς κακοδαίμονας ἐξαπατήσας ἐπάραιμι* (675) *τελεῖν ἐμαυτῷ μισθούς, οὕτω ταῦτα σεμνῶς ἀνῆγον, καὶ μὴ μόνον εἰ πρώην, ἀλλὰ καὶ ὁποτοῦν ἐν τῷ παντὶ χρόνῳ τοιούτου τινὸς ἡττηθεὶς ὁτιοῦν ἢ μικρὸν ἢ μεῖζον εἴρηκα ἢ πεποίηκα, ὅ τι βούλει χρῶ λαβών, οὐ παραιτοῦμαι· εἰ δ' ὡς ἡ τοῦ λόγου φύσις εἰργάζετο καὶ προήγετο, οὕτω διεκείμην, καὶ τῶν ἐμαυτοῦ λόγων ἠκροώμην ὡς ἀλλοτρίων, μᾶλλον δὲ ταύτῃ γε καὶ παντάπασιν ἠλαττούμην καὶ ἐπειχόμην, οὐχ οἷός τε ὢν βακχεύειν καὶ μετὰ ἀδείας τῆς*
395 *ἡδονῆς ἀπολαύειν, ὥσπερ ἂν εἰ ἑτέρου τὸ βιβλίον ἦν, οὐδ' ἂν πηδῶν ᾐσχυνόμην, τί τὴν ἐγκράτειάν μου θαυμάζειν ἀφεὶς αἰτιᾷ τὰ μηδὲν ἐμοὶ προσήκοντα;*

*Ἐγὼ τοίνυν ὑπερβολὴν ἔτι ποιήσομαι· ἔστω ταῦτα πάντα ἄρρητα· ἐκεῖνο πρὸς θεῶν ἔχεις εἰπεῖν, ὡς ἄρα*

---

14 *μικρῷ πρόσθεν* ΓΘ. Aberat *μικρῷ*. 15 *τὸ τῆς αἰτίας*] Quare illum excursum, qui te adeo ussit, adiecerim. Reisk. 17 *ἀνῆγον*] Fort. *ἐνῆγον*. illa introduxi, puta aliena illa, tibi adeo exosa et invisa. Reisk. *ἀνῆγον* Steph. Iebb. *ἂν ἦγον* Iunt. 20 *προήγετο*] *προσήγετο* invitabat, aut alias leg. *προῆγεν* in activo. Reisk. 21 Sed potius, hac quidem in parte, laudibus puta ore meo mihi tribuendis, minus quam alii mei generis homines valui, minora commoda, minus voluptatis, minus dignitatis tuli, et memetipse continui, compescui, quasi non possem, velut a crapula laudum et amoris, quo se quisque amplectitur, bacchari, neque voluptate, quae inde nasci solet, plena et liquida frui. quemadmodum si ab alio quopiam conscripta vel recitata fuisset oratio ista, nullus dubitassem, neque pudori mihi duxissem vel exsultare. *τί τὴν ἐγκράτειαν* — hinc incipit alterum periodi membrum vel apodosis. Reisk. 22 *οὐχ* ΓΘ. Vulgo *ὡς οὐχ*. *ὥσπερ*] *ὅσπερ* Canterus.

Digitized by Google

χρείας μὲν οὐδεμιᾶς ἕνεκα οὐδὲν ἔδρων, τηνάλλως δὲ σοφιστοῦ νόμῳ καὶ χαυνότητι ταῦτα ἐκομψευόμην καὶ σχήματος ἕνεκα; οὐ πάντες ἐμοὶ συνίσασιν ὅσον τούτων χωρίς εἰμι; οὐ πᾶν ἕτερον τὸ ἡμέτερον; οὐκ ἐπ' ἔσχατον μὲν ἀληθείας ἥκοντας τοὺς λόγους ἐκ τῶν δυνατῶν ὁρᾶτε, ἐπ' ἔσχατον δ' ἀληθείας πᾶσαν τὴν περὶ αὐτῶν βουλὴν (676) ἅπαντες ὁρᾶτε; ποίαν ἢ χειρῶν ἐγὼ κίνησιν, ἢ χειλῶν παραγωγὴν ἐξεπίτηδες περαιτέρω τοῦ μετρίου νενόμικα; ποῖον ἐσθῆτος σχῆμα λυπηρόν; ὥσπερ ἤδη τινὲς αὐτοὺς ἀπέκρυψαν τοῖς ἱματίοις, ἴσως μὲν τιμήσαντες τῆς ἀξίας αὐτοῖς· ἐγὼ δ' οὔ, καίτοι πλείονος σκέπης ἢ κατὰ τοὺς πολλοὺς δεόμενος, ὅμως τὸ πρόβλημα τοῦτο ἔφυγον. ἀλλὰ ἄλλο τι τοιοῦτον πώποτε ἐπλασάμην; ἀλλὰ ὀρχοῦμαι δίπτυχα, ὥσπερ ἕτεροί τινες; ἀλλὰ προσήκει μοί τι κακῶν ἀλλοτρίων; ἀλλ' εἰς τοσοῦτον ἥκει μοι σχολῆς; ἀλλ' ἔμοιγε ἱκανὸν, ἂν περὶ αὐτοὺς τοὺς λόγους καὶ τἀναγκαῖα πραγματευόμενος οἷός τε ὦ διαγίγνεσθαι, μηδὲν ἐπακτὸν κακὸν ἐμαυτῷ προστιθέμενος. οὐκοῦν ἀφθεὶς ὑπὸ τοῦ λόγου ταῦτ' ἔλεγον. ὥστ' εἰ ὅτι μάλιστα μὴ δεῖ μὲν παραληρεῖν, ὡς σὺ φῄς, ἐκ δὲ τῆς τοῦ λόγου ῥύμης καὶ τὸ τοιαῦτον ἐπέρχεται, τί τῆς ἀδυνάτου συμβουλῆς πλέον; ὥσπερ ἂν εἴ τινα ὑπὸ πνεύματος ἁρπασθέντα ἐν τῇ θαλάττῃ σὺ κελεύοις ἀτρεμεῖν καὶ μένειν, ἀπὸ τῆς ἀκτῆς λέγων, ὁρᾷς, (677)

---

395, 4 τηνάλλως Steph. Iebb. τηνάλοις Iunt. ἕνεκα] Vulgo εἵνεκα. 9 τιμήσαντες] Qua in re illi forsitan non male fecerunt, sed suam sibi congruam poenam statuerunt, indicantes multitudine vestium, quibus se involverunt, se ἀξίους εἶναι συγκαλύπτεσθαι ὑπ' αἰσχύνης, tam turpes homunciones, tam infantes in dicendo esse, ut multis vestimentis ruborem suum obvelare necesse habeant. Reisk. αὐτοῖς] αὐτοὺς Scaliger. 11 τοιοῦτον ΓΘ. Vulgo τοιοῦτο. ὀρχοῦμαι δίπτυχα] Saltone, ut alii oratores faciunt, modo in hanc, modo in aliam partem. persultone inter dicendum ultro citroque meam cathedram. Reisk. 13 ἂν περὶ Θ. Vulgo ἂν εἰ περὶ. τἀναγκαῖα Θ. Vulgo τὰ ἀναγκαῖα. 15 ἀφθεὶς ΓΘ. ἀφθεὶς Iunt. ἐξαχθεὶς Steph. Iebb. Quod sumpserunt ex p. 397, 8. ὑπὸ Θ, Canterus, Reiskius. Vulgo ὑπὲρ. ταῦτ'] Significat, ut paullo ante, suum illum controversum excursum, illud Eridis pomum. Reisk. δεῖ Canterus et Reiskius. Vulgo δεῖν. 16 Quaenam erit utilitas consilii, quod effectui dari nequit. Reisk. 18 κελεύοις Scaliger et

ἐγὼ κάθημαι σιωπῇ. καί μοι δοκεῖς κατὰ τὴν παροιμίαν τὸν ὑπὸ τῆς ἐχίδνης δηχθέντα αἰτιᾶσθαι, μηδεπώποτ' αὐτὸς δηχθείς. ταῦτα δ' ἂν σου Φιλοκτήτης ὁ τοῦ Ποίαντος οὐκ ἠνείχετο ἀκούων. ἀλλὰ γὰρ ἴσως ᾠήθης με τούτων ἕνα τῶν σοφιστῶν εἶναι, οὓς οἱ προσαγωγεῖς νουθετοῦσι καλῶς ποιοῦντες. ἔγωγ' οὖν ἤδη ποτὲ εἶδον σοφιστὴν μεταξὺ λέγοντα ὑπὸ προσαγωγέως ἐξαγόμενον οὕτως ὡς
396 ὅ τε προσαγωγεὺς ἀμείνων ᾤετο εἶναι γνῶναι καὶ ἅττα ἐκείνῳ ῥητέον καὶ εἰς ὅσον καὶ αὐτὸς δὴ ἐκεῖνος συνεχώρει, ἀλλὰ μὴ πάντα ἐν ταὐτῷ φύρειν, ἵνα μὴ καὶ γέλωτα ὀφλήσῃ. ἡμεῖς τοι καὶ εἰς τὸ σῶμα πληγέντες οὐκ ἐπ' ἀγεννεῖς ἱκετείας ἰατρῶν ἀφικόμεθα, ἀλλὰ καίτοι σὺν θεοῖς εἰπεῖν τοὺς ἀρίστους τῶν ἰατρῶν φίλους κεκτημένοι κατεφύγομεν εἰς Ἀσκληπιοῦ, νομίσαντες εἴτε δέοι σώζεσθαι, δι' ἐκείνου κάλλιον εἶναι, εἴτε μὴ ἐγχωροῖ, καιρὸν εἶναι τεθνάναι. ἔχοιεν δ' ἂν καὶ οἱ συμφοιτηταὶ φράζειν περὶ (678) τῆς φύσεως τῆς ἐμῆς. ἐγὼ γάρ τοι καὶ παῖς ὤν, εἴ τι ἤρετο διδάσκαλος ὧν ἠπιστάμην, εἰ ἕτερος ἔφθη ὑπολαβών, οὐκ ἂν ἔτι ἐφθεγξάμην, ἵνα δὴ μὴ τὰ ἑτέρου δοκοίην λέγειν. παραπλήσια δὲ καὶ τὰ νῦν ἐν Ἀσκληπιοῦ. εἰρήσεται γὰρ καὶ πρὸς ὑμᾶς τά γε ἀληθῆ, χεῖρω δὲ καὶ βελτίω νομίζειν ἔξεστιν ὡς ἂν ἑκάστῳ δοκῇ. οὕτω γὰρ αὖ καὶ πρὸς τοὺς ἐκεῖ συμφοιτητὰς καὶ εἶχον καὶ ἔχω, ὥστε ὅστις

---

Reiskius. Vulgo κελεύεις. 22 οὕτως ὡς ὅ τε Reiskius. Vulgo οὕτως ὅτε.

396, 2 ἀλλὰ μὴ πάντα ἐν ταὐτῷ φύρειν] Subaudi δεῖ. orator ipse se reprehendit. at non decet, ait, omnia commiscere, ne ridiculus fias. me non decet ab alio argumento ad aliud delabi. redeamus igitur ad ordinem. Reisk. ἵνα Steph. Iebb. ἃ ΓΘ lunt. μὴ καὶ ΓΘ. Aberat καί. 6 δι' ἐκείνου ΓΘ. Vulgo δι' ἐκεῖνον. 7 ὑπολαβών] ὑποβαλὼν Γ. 8 Eundem ordinem nunc quoque in aede Aesculapii teneo. ita me erga aegrotos, qui una mecum in aedem Aesculapii conveniunt medicinae et opis a deo petendae ergo, gero, non aegre ferens, si quis, me cum videt accedentem ad oraculum, de sede sua non assurgit, neque locum mihi facit. Contra vero, si quis mihi assurgit, ad oraculum accedenti, ab eo me non patior humanitate vinci. Reisk. 9 αὖ ΓΘ.

Digitized by Google

μὲν μὴ ὑπανίσταται, οὐκ ἄχθομαι αὐτῷ, ὑπανισταμένῳ δὲ αἰσχυνοίμην ἂν μὴ παρεὶς τὴν χώραν. σὺ δ' εἰ μὲν ὡς ἄρξων ἐνταῦθα ἀφικνεῖ, πεῖσον τούτους ὡς σοὶ προσήκει πρὸ ἡμῶν, εἰ δὲ παρίης ἑτέρῳ τὴν ἡγεμονίαν, ἀναμνήσθητι τῶν Ὁμήρου

Τέττα, σιωπῇ ἧσο, ἐμῷ δ' ἐπιπείθεο μύθῳ·

καὶ

Ὧδ' ἔστω, Τρῶες μεγαλήτορες, ὡς ἀγορεύω·

καὶ

Πάτροκλος δέ οἱ οἶος ἐναντίος ἧστο σιωπῇ,

στρατήγει δὲ μὴ παρὰ τὸν στρατηγόν. αἰσχρὸν γὰρ ἀμφοτέροις, καὶ σοὶ καὶ τῷ στρατηγῷ.

Μικρὰ δὲ προσθεὶς ἀπαλλάξομαι. καὶ ταῦτα ἐξεπίτηδες ἀπέτεινα, οὐχ ὡς οὐ καὶ ἐν τούτων ὁτιοῦν ἱκανὸν ὄν, ἀλλ' ἵν' εἰδῇς διὰ πόσων ἀμαθὴς εἶ τῶν ἐλέγχων καὶ ὅσων ἀθέατος καὶ ἀνήκοος δεῦρο εἰσῆλθες ὥσπερ τις βέβηλος παντάπασιν. εἶτα μύστης ὢν τὸν ἱεροφάντην ἐξετάζεις; καὶ ὁ μὲν ἀρτιτελὴς μύστης ἀτιμότερος τοῦ πάλαι μύστου, ὁ δὲ νῦν πρῶτον εἰς μύστας τελῶν κρίνεις τὸν μυσταγωγόν; ἀρχαῖον δέ μοι δοκεῖς περὶ Μώμου καὶ Ἀφρο- (679)
397 δίτης λόγον ἀνανεοῦσθαι. φασὶ γὰρ ὡς ἡ μὲν καθῆστο κεκοσμημένη, ὁ δὲ Μῶμος διερρήγνυτο, οὐκ ἔχων ὅ τι αἰτιάσεται· τελευτῶν δὲ αὐτῆς μὲν ἀπείχετο, τὴν δὲ βλαύτην ἔσκωψεν αὐτῆς. ὥστε ἄμφω συμβῆναι, μήτε δὴ τὴν Ἀφροδίτην ἀκοῦσαι κακῶς μήτε τὸν Μῶμον εἰπεῖν εὖ. καὶ σὺ τὴν σκηνὴν θαυμάζων τὰ παρασκήνια ᾐτιάσω καὶ τοὺς λόγους ἀφεὶς ἐτήρεις τὰ παραφθέγματα. οὕτω πόρρω τοῦ νόμου βαίνεις. ἵνα τοίνυν εἰδῇς ὅτι καὶ Σόλων ὁ τῶν νομοθετῶν ἐνδοξότατος παραφθέγγεται, ἄκουε καὶ τούτου. καίτοι τοσοῦτόν γε ἐμὲ τόλμη καὶ αὐθαδεία παρελήλυθε, (680)

---

Vulgo ἄν. 10 οὐκ ἄχθομαι] οὐκ om. ΓΘ. 11 ἀφικνεῖ] Vulgo ἀφικνῇ. 12 προσήκει] Scil. ἄρχειν. Reisk. 13 Τέττα] Iliad. δ, 412. Ὧδ'] Iliad. ϑ, 523. 14 Πάτροκλος] Iliad. ι, 190. 16 καὶ ταῦτα] καὶ ταῦτα δ' Reiskius. ἀπέτεινα] ἐπέτεινα Scaliger. 17 ἱκανὸν ὂν Reiskius. Aberat ὄν. ἀθέατος καὶ ἀνήκοος ΓΘ. Vulgo ἀνήκοος καὶ ἀθέατος. 19 πρῶτον Γ et Reiskius. Vulgo πρῶτος. 20 περὶ] τὸν περὶ Reiskius.

397, 2 ἔσκωψεν αὐτῆς ΓΘ. Aberat αὐτῆς.

Digitized by Google

ταῦτα γὰρ αὐτῷ τὰ ὀνόματα ἐκ τῆς σῆς αἰτίας ἁρμόττει, ὥστ᾽ ἐγὼ μὲν ἔξω τοῦ βιβλίου παρελήρησα, καὶ ταῦτα ἐξαχθεὶς ὑπὸ τοῦ λόγου, ὁ δὲ δὴ Σόλων καὶ βιβλίον ἐξεπίτηδες πεποίηκεν, ὥσπερ ἡμεῖς εἰς τὴν Ἀθηνᾶν, οὕτως ἐκεῖνος εἰς αὐτὸν καὶ τὴν ἑαυτοῦ πολιτείαν, ἐν ᾧ ἄλλα τε δὴ λέγει καὶ ταῦτα

Ἃ μὲν ἄελπτα σὺν θεοῖσιν ἤνυσ᾽, ἄλλα δ᾽ οὐ μάτην
ἔρδον.

ὁρᾷς ὡς αὐθαδῶς καὶ οὐ τῆς σῆς συμβουλῆς; καὶ ταῦτα μέν ἐστιν ἐν τετραμέτροις· ἐν δὲ τοῖς ἰάμβοις

Συμμαρτυροίη ταῦτ᾽ ἂν ἐν δίκῃ χρόνου
μήτηρ μεγίστη δαιμόνων Ὀλυμπίων
ἄριστα, Γῆ μέλαινα, τῆς ἐγώ ποτε
ὅρους ἀνεῖλον πολλαχῇ πεπηγότας,
πρόσθεν δὲ δουλεύουσα, νῦν ἐλευθέρα.
πολλοὺς δ᾽ Ἀθήνας πατρίδ᾽ εἰς θεόκτιτον
ἀνήγαγον πραθέντας ἄλλον ἐκδίκως,
ἄλλον δικαίως, τοὺς δ᾽ ἀναγκαίης ὕπο
χρησμὸν λέγοντας γλῶσσαν οὐκέτ᾽ Ἀττικὴν

---

7 παρελήρησα ΓΘ, Reiskius. Vulgo παρελύρησα. 8 ὑπὸ ΓΘ, Cant., Reisk. Conf. p. 395, 15. 10 ταῦτα] Solonis fragm. 29. p. 343. Gaisf. Ἃ μὲν Gaisfordus ad Herodot. vol. II. p. 722. ἃ μὲν γὰρ ΓΘ Iunt. ἅμα γὰρ Steph. Iebb. ἤνυσ᾽] Vulgo ἤνυσα. ἄλλα Gaisfordus. Legebatur ἅμα. ἔρδον] Vulgo ἔρδον.
11 ἐν τετραμέτροις ΓΘ Iunt. ἐν τοῖς τριμέτροις Steph. Iebb.
12 Συμμαρτυροίη] Solonis fragm. 28. p. 342. δίκῃ] Leg. μήκει. in longitudine temporis. id est multis saeculis post. Reisk.
13 μέλαινα] μέλαιν᾽ Θ. τῆς Scaliger et Brunckius. Vulgo τῆς. ὅροι πεπηγότες qui sint, docet Harpocratio v. ὅρος. palos cum affixis tabulis indicia aedium et agrorum oppigneratorum revelli, h. e. aedes nexorum ob aes alienum liberavi dominisque restitui. Reisk. πρόσθεν ΓΘ. Vulgo πρόσθε. δουλεύουσα ΓΘ. Vulgo δουλεύσασα. 14 ἐλευθέρα] Scil. ἐστί. Reisk. θεόκτιτον Θ, Scaliger, Reiskius. Vulgo θεόκτιστον. ἐκδίκως] ἐνδίκως Θ.
15 ἄλλον δικαίως] ἄλλον δὲ δικαίως Γ. ὕπο χρησμὸν] Vulgo ὑποχρησμόν. ἀναγκαίης ὕπο χρησμοὺς λέγοντας. Significat quaestus olim fuisse genus, quo hodienum quoque plani utuntur, quos *Zigeuner* appellamus, alii *Aegyptios*, ut stolidae plebi futura praedicant e lineamentis manuum, et aliis modis imponant. Egit nuper hoc de argumento I. E. Walch, v. c. professor Ienensis, tribus dissertationibus hoc anno 1761. editis, Ienae, de servis fatidicis

ἰέντας, ὡς ἂν πολλαχῇ πλανωμένους,
τοὺς δ' ἐνθάδ' αὐτοῦ δουλίην ἀεικέα (681)
ἔχοντας ἤδὲ δεσπότας τρομευμένους
ἐλευθέρους ἔθηκα. ταῦτα μὲν κράτει
ὁμοῦ βίαν τε καὶ δίκην συναρμόσας
ἔρεξα, καὶ διῆλθον ὡς ὑπεσχόμην.
θεσμοὺς δ' ὁμοίους τῷ κακῷ τε κἀγαθῷ
εὐθεῖαν εἰς ἕκαστον ἁρμόσας δίκην
ἔγραψα. κέντρον δ' ἄλλος ὡς ἐγὼ λαβὼν
κακοφραδής τε καὶ φιλοκτήμων ἀνὴρ
οὐκ ἂν κατέσχε θυμόν.

Τίθει δὴ καὶ ὑπὲρ ἡμῶν λέγειν τὸν Σόλωνα, ἄλλος
δ' ἂν τοῦτο τὸ κέντρον εἰς τοὺς λόγους εἰσενεγκάμενος οὐκ
398 ἂν τοσοῦτον σωφροσύνης εἰσηνέγκατο. ἐξελέγξεις δέ με
ἡνίκ' ἂν αὐτὸς κτησάμενος τὴν αὐτὴν δύναμιν τῶν λόγων,
οἶμαι δ' οὐ ῥᾶστόν σοι, εἶτα μετριώτερον ἐπὶ σαυτῷ
φρονῶν ὀφθῇς. ἂν δ' αὐτὸς προσαιτῶν καὶ τῆς ἐφημέρου
τροφῆς ἀπορῶν καὶ βλέπων εἰς δύο καὶ τρεῖς ὀβολοὺς
ἔγκλημα ποιῇ τῷ βασιλεῖ τῷ γράφοντι, μηδὲ χρυσοῦ καὶ
ἀργύρου δαπάνη κεκωλύσθω, φάσκων ὑπερηφανίαν εἶναι
ταῦτα καὶ λόγων κόμπον, ὁμοίως ἀργυρίου καὶ φρενῶν
ἀπορῶν ἔσει. εἶτα τί φησὶν ὁ Σόλων; (682)

εἰ γὰρ ἤθελον
ἃ τοῖς ἐναντίοισιν ἥνδανεν τότε,

---

ad Actor. Apostol. c. 16. Sententia itaque est: qui necessitate coacti exsules plebeculae mercede vaticinabantur, et tam diu iam Attica patria aberant, ut dedidicissent sermonem patrium eumque cum barbaro, aut peregrino certe, mutassent. Reisk. 16 δουλίην Brunckius. Vulgo δουλείης. δουλείην Canterus. δουλοσύνην Plutarchus in vita Solonis c. 15. p. 86 f. ἠδὲ Bachius p. 105. Vulgo ἤδη. Post ἤδη comma ponendum, et ante δεσπότας καὶ subaudiendum. Reisk. 17 δεσπότας] δεσποτῶν Γ. κράτει] κράτη Θ. συναρμόσας] ξυναρμόσας Θ. 18 ἔρεξα ΓΘ. Vulgo ἔρρεξα. 18 ὁμοίους ΓΘ. Vulgo ὁμοίως. 20 δῆμον libri et Plutarchus in vita Solonis c. 16. θυμὸν Canterus et in Plutarcho Reiskius. 21 τοσοῦτον Θ. Vulgo τοσοῦτο.

398, 2 οὐ ΓΘ. Vulgo οὐδὲ. εἶτα Θ. εἰ τὰ Γ. Vulgo εἶναι τά. μετριώτερον Θ. μετριώτερον (α) Γ. Vulgo μετριώτερα. 5 ἔσει] Vulgo ἔσῃ. φησὶν Θ. Vulgo φησι. 5 ἥνδανεν Θ. Vulgo ἥνδανε.

Digitized by Google

αὖθις δ' ἃ τοῖσιν ἀτέροις δρᾶσαι, διὰ
πολλῶν ἂν ἀνδρῶν ἥδ' ἐχειρώθη πόλις.
τῶν οὕνεκ' ἀρχὴν πάντοθεν κυκεύμενος
ὡς ἐν κυσὶν πολλαῖσιν ἐστράφην λύκος.

ὁρᾷς ὅτι καὶ Σόλων καλλωπίζεται καὶ σοῦ μεῖζον ἐφ' αὑτῷ φρονεῖ. ἡγεῖτο γάρ, οἶμαι, τὰ εἰς αὑτὸν αὑτῷ ταῦτα ἐγκώμια πεποιημένα λυσιτελεῖν τοῖς ἄλλοις γίγνεσθαι παραδείγματα. διὰ ταῦτα ὁ εἴσω τὴν χεῖρα ἔχων τὸ φθέγμα ἐπαίρεται καὶ τὰ αὑτοῦ κοσμεῖ δικαίως. τὴν μὲν γὰρ χεῖρα, οἶμαι, εἴσω ἔχειν ἠξίου, τὴν κεφαλὴν δ' οὐ κάτω. φέρε δή σε καὶ δι' ἑτέρου τῶν ὀνομαστοτάτων παραμυθήσομαι, ἐπειδὴ δειλότερος εἶ τοῦ δέοντος, ἵνα μὴ λέγω θρασύτερος. ἔστι δ' ὑπερβολὴ τῶν τοῦ Σόλωνος ἃ οὗτος εἴρηκε. σκόπει γάρ· „Τὸν δὲ ὑπερουράνιον τόπον οὔτε τις ὕμνησέ πω τῶν τῇδε ποιητὴς οὔτε ὑμνήσει κατ' ἀξίαν· ἔχει δὲ ὧδε.“ εἶδες ὡς ἐξεφύσησεν ἅπαντας τοὺς βασκάνους, γράψας ἐλευθέρως περὶ τῆς ἑαυτοῦ φύσεως, καὶ ὡς εἰκὸς ἦν τὸν (683) βεβαιοῦντα τὸν ἐν χερσὶ λόγον, ὡς ἄρα ἡ τῶν κρειττόνων

---

δρᾶσαι κακά, πολλῶν — ἐχηρώθη Valckenarius ad Herodoti VI, 83. διὰ in βίᾳ mutat Schaeferus ad Gnomic. p. 117. 7 ἀρχὴν, plane, penitus, omnino. Reisk. κυσὶν] κυσὶ Γ. 9 αὑτὸν Θ. Vulgo αὐτὸν. αὐτὴν Opor. 10 ὁ εἴσω τὴν χεῖρα ἔχων est Solo. manum intra sinum continere erat laus sanctorum et continentium iudicum. v. Demosthen. p. 254, 14. Diogen. Laert. p. 44, 1. et Casaubon. ad D. L. Polemonem, 4, 16. Quintilian. 11, 3. p. 711. ed. Capperon. et p. 746. nota 87. ubi v. Colomes. Artemidor. p. 48, 3. Cicero pro Coelio c. 5. Libanius ep. 449, 14. quos locos ex adversariis huc contuli, materiam idoneam, si quis disputationem de veterum oratorum more manum intra sinum continendi, ad modum Hemsterhusianarum quarundam ad Lucianum et alios auctores, construere et concinnare velit. mihi enim animus ad eiusmodi scribendi genus est segnior, siccitatem sequor, a qua se offendi non dissimularunt aliqui nuper, qui magis ubertate doctrinarum delectantur, heroes literarii. Reisk. 11 ὀνομαστοτάτων Steph. Iebb. ὀνομάτων ΓΘ Iunt. Fortasse satis erat ὀνομαστῶν. 12 ἔστι δ'] ἔστι δὲ Γ. 13 οὗτος] Plato in Phaedro p. 247 c. οὗτος] Fingenda est animo forma oratoris ea ut adversario suo Phaedrum Platonis ostendat. conf. p. 399, 13. Cogitavi aliquando loco huius vocabuli legendum esse ὁ τοῦ Ἀρίστωνος. Reisk. 14 ὕμνησέ πω ΓΘ. Aberat πω. ποιητὴς Steph. Iebb. ποι-

ἐπίπνοια ὑπερφρονεῖν ποιεῖ τῶν πολλῶν. ἢ τοῖς ἐκ τῶν τριόδων παραπλησίως ἔχειν δοκεῖ σοι ταῦτα; διαπερανάμενος τοίνυν τὸν λόγον τὸν περὶ τοῦ ἔρωτος ποίαν εὐφημίαν ὕστερον περὶ αὐτοῦ παραλέλοιπεν, ἢ τί τῶν καλλίστων οὐκ εἴρηκε; πρῶτον μὲν ὡς ὀρθῶς ἐζήτησε τἀληθὲς, τῷ τὰ μὲν συναγαγεῖν, τὰ δὲ τέμνειν πρὸς λόγον εἰδέναι· ἔπειθ' ὡς ἐν τάξει τὸν λόγον διέθετο· μέγιστον δὲ πάντων ἐπὶ τῇ μεγαλοπρεπείᾳ φρονεῖ, ὥστε καὶ ἄντικρυς τοῦ
399 ἀντιπάλου καθαπτόμενος εἴρηκεν, εἰ μὴ ἄρα οὕτω σφόδρα παῖς εἶ ὥστε νομίζειν Φαίδρου τὰ ῥήματα εἶναι καὶ οὐ τὸν Πλάτωνα ὡς τὸν Φαῖδρον λέγειν „Τὸν λόγον δὲ σου πάλαι θαυμάσας ἔχω, ὅσῳ καλλίω τοῦ προτέρου ἀπειργάσω, ὥστε ὀκνῶ μή μοι ὁ Λυσίας ταπεινὸς φανῇ, ἐὰν ἄρα θελήσῃ πρὸς αὐτὸν ἄλλον ἀντιπαρατεῖναι." ἐκεῖνα δ' αὖ τί φήσεις; φεῦ ὅσῳ τεχνικωτέρας λέγεις νύμφας τὰς Ἀχελώου καὶ Πᾶνα τὸν Ἑρμοῦ Λυσίου τοῦ Κεφάλου πρὸς λόγους εἶναι. ταῦτα οὐ μετὰ πάντων ἐγκωμίων εἰς αὐτὸν (684)
εἰρῆσθαί σοι δοκεῖ τῷ ἀνδρὶ, εἴπερ γε μὴ τὰ Μίδου ὦτα ἔχεις, οὗ τὸ ἐπίγραμμα ἐκεῖνος ἐπέσκωπτε προσεικάζων τῷ τοῦ ἑταίρου λόγῳ, καὶ κατὰ πάσας γέ που τὰς ἀρετάς; ἀναγκαίως· ταῦτα διεξέρχεται περὶ αὐτοῦ. φρονίμου μὲν γὰρ, οἶμαι, καὶ σώφρονος γνῶναι τὴν ἀξίαν, δικαίου δὲ τὰ πρέποντα καὶ αὐτῷ καὶ ἑτέροις ἀποδοῦναι, ἀνδρείου δὲ μὴ φοβηθῆναι τἀληθὲς εἰπεῖν. ὁ δ' αὖ νεμεσῶν ἅπασι

---

τῆς Iunt. ἐξεφύσησεν ΓΘ, Scaliger, Reiskius. Vulgo ἐξεφήσησεν. 17 τριόδων] ἄρα add. Γ, ἄρα Θ. 21 ἀντιπάλου] Lysiam designat. Reisk. εἴρηκεν ΓΘ. Vulgo εἴρηκε.

399, 2 προτέρου] Significat illam Lysiae. Reisk. 6 ἐκεῖνος ΓΘ, Canterus, Reiskius. Vulgo ἐκεῖνο. ἐκεῖνος (Plato puta aut Socrates) ἐπέσκωπτε] v. Platon. p. 1233. ed. Wechel. Reisk.
7 Post ἀρετὰς figendum est signum interrogationis et post ἀναγκαίως punctum. nonne tibi videtur Plato κατὰ πάσας τὰς ἀρετὰς per omnia laudum genera suam de amore disputationem laudasse, idque μετὰ πάντων ἐγκωμίων, sic ut nullum honorificum ei titulum negaret, sed omnibus eam verborum honoribus cumularet? Respondet tum ipse sibi: ἀναγκαίως. utique. fieri nequit quin id tibi videatur. Simile est illi quod sequitur versu 15. μετ' ἰσχυρᾶς γέ που τῆς ἀνάγκης οὕτω τοῦτο συμβαίνει. Reisk. 8 γὰρ οἶμαι ΓΘ. Vulgo γὰρ ἦν οἶμαι. 9 μὴ φοβηθῆναι ΓΘ. Vulgo μηδὲ φοβηθῆναι.

τοῖς ἐναντίοις τούτων εἰκότως ἐνέχεται, ἕως ἂν μὴ δείξῃ ὡς ἀλλότριοι τοῦ λέγοντος οἱ λόγοι καὶ μείζω δόξαν τῆς ἀληθείας ἐφέλκονται.

Ἄλλα τοίνυν μυρί' ἔχων εἰπεῖν παραλείπω. ἀλλ' ἐπειδὴ Σόλωνος ἐμνήσθην καὶ ὧν ἐκεῖνος διαλέγεται περὶ τῆς αὐτοῦ πολιτείας, φέρε σκόπει τί αὖ καὶ οὗτος ἐν αὐτοῖς τοῖς νόμοις οὓς ἐτίθει λέγει; ταῦτα δὲ νομοθέτῃ προσήκει μᾶλλον εἰδέναι ἢ ποιηταῖς ξύμπασιν. οὐκοῦν ἄντικρυς δοκεῖ σοι συμπάντων τῶν ποιητῶν πρῶτον καὶ σοφώτατον ἀνακηρύττειν ἑαυτόν; μετ' ἰσχυρᾶς γέ που τῆς ἀνάγκης οὕτω τοῦτο συμβαίνει. ὅταν γὰρ αὐτὸς μὲν ὁ (685) φάσκων εἶναι νομοθέτης ᾖ, αὐτὸς δὲ ὁ φάσκων δεῖν τοὺς ποιητὰς παραχωρεῖν τῷ νομοθέτῃ καὶ ταῦτα σύμπαντας, πῶς οὐκ εἰς τοὖθ' ὃ προεῖπον τελευτᾷ; ἆρ' οὖν ἐνεθυμήθης διὰ πάντων τούτων πόσον τὸ μεταξὺ σοῦ τε κἀκείνου πρὸς ταῦτα; ἢ πάντων οὖν κατηγόρει τῶν ἀρίστων ἐν τοῖς Ἕλλησιν, ἢ καὶ ἡμῖν πρᾳότερος εἶναι τοῦ λοιποῦ, ὦ τὰ μὲν ὑπὲρ ἐμοῦ δεδιώς, τὰ δ' ὑπὲρ σαυτοῦ μὴ σκοπῶν, καὶ αὐτὸς μὲν κατ' εὔνοιαν ἀξιῶν παρρησιάζεσθαι πρὸς ἐμέ, ἐμὲ δ' οὐκ ἐῶν πρὸς τούτους παρρησιάζεσθαι
400 κατ' εὔνοιαν, καὶ σαυτῷ μὲν ἐκ δειλίας παρρησίαν ποριζόμενος, ἐμοῦ δ' οὐκ ἀξιῶν τὴν ὀρθὴν καὶ δικαίαν ἐκ φρονήματος εἶναι. ἔτι τοίνυν ἑνὸς ἢ δευτέρου τῶν στρατηγῶν μνησθῆναι βούλομαι. οἶμαι γὰρ οὐ φαυλοτέραν ὠφέ-

13 σκόπει addidi ex ΓΘ. 13 αὐτοῖς] Potest αὐτοῦ legi, *in suis* (Platonis) *legibus*. si vulgata servatur, referetur αὐτοῖς ad Phaedrum, e quo superiora erant repetita. quum de legislatore sermo sit, non iam, ut antea, ex aliis eius operibus, sed ex ipsis eius legibus locos quosdam excitabimus. Reisk. 16 εἶναι ΓΘ, Reiskius. Vulgo εἰδέναι. Constructio haec est, ὅταν ὁ αὐτὸς ᾖ καὶ ὁ φάσκων εἶναι νομοθέτης καὶ ὁ φάσκων δεῖν — cum unus et idem est, qui et legislatorem se ferat, et aiat oportere. Reisk.
17 τελευτᾷ ΓΘ, Canterus, Reiskius. Vulgo τελευταῖον. 19 πρᾳότερος Θ. πρότερος Γ. Legebatur ἠπιώτερος. Videtur quidem aliquid post εἶναι deesse, e. c. βούλου vel θέλε vel τόλμα. sed Graecis usitatum est infinitivum pro imperativo usurpare. hic loci unum hoc offendit in eadem orationis serie eodemque versu imperativo subiungi infinitivum. Reisk. 20 μὲν κατ' ΓΘ. Vulgo μὲν πρός.
400, 1 ἐμοῦ Γ. Vulgo ἐμοί. ἐμὲ Canterus. εἶναι] λέγειν Can-

Digitized by Google

λιμὸν ἐπενεγκεῖν τῇ Θηβαίων πόλει τὴν Ἐπαμεινώνδου τότ' ἐκείνου φύσιν ἢ σὲ τοῖς σαυτοῦ παρεσχῆσθαι φήσεις. τούτου μὲν γὰρ χωρὶς τῆς ἀπολογίας ἧς ἀρτίως ἐμνήσθην καὶ ἕτερόν ἐστιν ἐπίγραμμα κατηγοροῦν τὸ ἦθος ἐν Πελοποννήσῳ, ὃ πρὸς θεῶν εἴ τις ἀπαλείψειεν, ἆρ' οὐκ ἂν (686) ἀχθεσθείης; ἐγὼ μὲν καὶ σφόδρα ἄν, οἶμαι δὲ καὶ ἕτεροι τῶν κατ' ἐμέ, ἀλλ' οὐ τῶν κατὰ σὲ ἴσως. τί δὴ τοῦτό ἐστι τὸ ἐπίγραμμα ὃ πάντες ᾄδουσιν;

Ἡμετέραις βουλαῖς Σπάρτη μὲν ἐκείρατο δόξαν,
Μεσσήνη δ' ἱερὰ τέκνα χρόνῳ δέχεται.

ἐπανόρθωσον οὖν, εἰ βούλει, καὶ τοῦτο τοῖς σαυτοῦ λόγοις, ὅτι ταυτὶ συνίσασιν ἅπαντες, σὲ δ' οὐ χρὴ γρύζειν. ᾄδουσι δὲ καὶ Χαβρίου τι ῥῆμα, δοκεῖν ἐμοὶ μετὰ τὴν ἐν Νάξῳ ναυμαχίαν εἰπόντος· εἰ δ' ἄρα καὶ πρὸ τῆς ναυμαχίας, οὐ χεῖρον. ἠνίττετο δ' ἁνὴρ εἰς αὐτόν, ἔφη γὰρ φοβερώτερον εἶναι ἐλάφων στράτευμα λέοντος ἡγουμένου ἢ λεόντων ἐλάφου. οὕτω δή σοι διὰ πάντων ἐπιδέδεικται καὶ ποιητῶν καὶ ῥητόρων καὶ στρατηγῶν καὶ ὧν τι ὄφελος ἐν Ἕλλησιν ἀναγκαῖόν τι κτῆμα καὶ ὥσπερ ἔμφυτον ἡ μεγαλοφροσύνη τοῖς κρείττοσι, καὶ ὁ τοῦ Δημοσθένους λόγος εὖ ἔχων, ὁποῖ' ἄττα γὰρ ἂν τὰ ἐπιτηδεύματα τῶν ἀνθρώπων ᾖ, τοιοῦτον ἀνάγκη καὶ τὸ φρόνημα ἔχειν. καίτοι θαυμαστὸν ἐν μὲν τοῖς ἄλλοις κατ' ἀξίαν τῶν (687) ὑπαρχόντων ἐγγίγνεσθαι τὸ φρόνημα, ἐν δὲ τοῖς περὶ αὐτὴν τὴν γνώμην καὶ τοὺς λόγους μὴ πολὺ μᾶλλον οὕτω τοῦτ' ἔχειν. οὐ γὰρ ἄλλο γε οὐδὲν ἢ καθάπερ πηγὴ καὶ ὁρμητήριον τοῖς λόγοις τὸ φρόνημά ἐστιν, ὅτῳ περὶ τούτων σχολὴ λογίζεσθαι. δοκεῖ δέ μοι καὶ ὅλως παντὸς τοῦ

---

terus. 2 ἐπενεγκεῖν ΓΘ. Vulgo ἐσενεγκεῖν. 3 ἐπαμεινώνδου Θ. Vulgo Ἐπαμινώνδου. 3 σαυτοῦ ΓΘ. Vulgo αὐτοῦ. 4 ἀρτίως ἐμνήσθην] P. 385, 21. ubi vide notata. Reisk. 5 Πελοποννήσῳ] Immo in Boeotia, secundum Pausaniam. Canter.

7 Ἡμετέραις] Totum epigramma ex Pausania Iacobsius recepit in append. Anthol. Palat. 203. vol. II. p. 821. 8 εἰ βούλει, καὶ τοῦτο] καὶ τοῦτο εἰ βούλει Θ. 9 σαυτοῦ] αὐτοῖς Γ. 11 ἁνὴρ] Vulgo ἀνήρ. φοβερώτερον] φοβερώτατον ΓΘ. 12 ἐπιδέδεικται] ἐπιδέδεικται Θ. ἀποδέδεικται Opor. 13 ἐν Ἕλλησιν] καὶ ἐν Ἕλλησιν Θ. 14 Δημοσθένους] Olynth. III. Canter.

Digitized by Google

Ἑλληνικοῦ σύμβολον καὶ ὥσπερ εἰκὼν εἶναι τὸ τοιοῦτον εἶδος τῆς γνώμης. τέχνας μὲν γὰρ καὶ λογισμοὺς τοὺς κατὰ χεῖρα καὶ ὅσα τοιαῦτα κἂν παρὰ τοῖς βαρβάροις πιστεύοι τις ἐγγίγνεσθαι μὴ χείρω, ἡ δὲ τῆς ψυχῆς ῥώμη καὶ τὸ φρονεῖν μετ' ἐλευθερίας ἀνεπαχθοῦς ἀρχαῖον ἄρ'
401 ἦν καὶ ἴδιον τῶν Ἑλλήνων ἀγαθόν. θαυμάζω δ' ὅπως εὖ πεφυκὼς πρὸς τὸ παιδαγωγεῖν οὐχ ὁρᾷς τούτους τοὺς ἀργυρίῳ τὸν ἔπαινον ὠνουμένους οὐ μόνον ἐν ταῖς ἐπιδείξεσιν, ἀλλὰ καὶ ἐν τοῖς θεάτροις. καίτοι οὗτοι τί σοι δοκοῦσιν ἕτερον ποιεῖν ἢ αὐτοὶ σφᾶς αὐτοὺς ἐπαινεῖν; καὶ ταῦτα ἃ μὴ χρή γε καὶ ὃν ἥκιστα ἔδει τρόπον, καὶ πρόσεστι τὸ τὰ ὄντα ἐλάττω ποιεῖν, ἐπιθήκη τις τῆς ἀνοίας. ἐγὼ δὲ τούτων εἰ μή τῳ ἄλλῳ, ἀλλὰ τούτῳ γε, ὡς ἔοικεν, εἰμὶ κομψότερος· προῖκα γὰρ ἐμαυτὸν ἐπαινεῖν ἀξιῶ, καὶ ταῦθ' (88
ἃ σύνοιδα· ὡς δ' οὐ πολλάκις αὐτὸ δρῶ, συνίσασιν οὗτοί μοι. ὥστ' οὐκ ἀναισθησίας μᾶλλον ἢ καὶ σοφίας τινὸς ἐκφέρω δεῖγμα. ὅτι δ' οὐ ψεύδομαι, τοῦτο καὶ σοὶ συνδοκεῖ. ἓν δέ τί σε λοιπὸν ἐρήσομαι. πρὸς θεῶν εἴ σοι περὶ παίδων εὐχομένῳ τῶν θεῶν εἴποι τις ὡς ἔσονται μέν, ἔσονται δὲ τούτῳ παραπλήσιοι καὶ τὸ φρόνημα καὶ τοὺς λόγους, ἐμὲ δὴ λέγων, οὐκ ἂν δέξαιο; οἶμαι μὲν κἂν ἐπιδράμοις. εἶθ' ὧν αὐτός, εἰ τύχοις, εὐχῆς ἂν ἐφῖχθαι δόξαις, ταῦθ' ἡμῖν ὀνειδίζεις; καὶ ὧν χάριν ἂν τοῖς θεοῖς ἔχοις, ταῦθ' ἡμῖν ἐμέμψω; καὶ οὐδὲ τὴν Περσικήν τε καὶ Λακωνικὴν τάξιν τῆς δίκης ἐτίμησας, οὐδὲ ἔδωκας τὰ ὀλίγα τοῖς πολλοῖς καὶ τὰ ἐλάττω τοῖς μείζοσιν; εἰ μὲν οὖν σοι μετρίως ἀπελογησάμεθα· εἰ δὲ μή, σκόπει ὅ τι χρήσει σαυτῷ. παιδαγωγήσεις δὲ ἡμᾶς οὔτ' αὐτὸς οὔτε ἕτερος οὐδὲ εἷς· ἱκανὸς γὰρ ὁ προστάτης.

---

401, 4 πρόσεστι Θ. Vulgo πρόσεστιν. τὰ ὄντα] Res domestica, opes, facultates, quae largitionibus minuuntur. Reisk. 10 κἂν ΓΘ. Vulgo καί. ἐφῖχθαι ΓΘ, Canterus, Reiskius. Vulgo ἀφῖχθαι. 12 ἐτίμησας ΓΘ. Vulgo ἐπῄνεσας. 13 χρήσει] Vulgo χρήσῃ.

# L.

## *ΚΑΤΑ ΤΩΝ ΕΞΟΡΧΟΥΜΕΝΩΝ.* (689)

Χαρίεντές γέ εἰσιν οἱ τῶν σφετέρων ἀγαθῶν περὶ τοὺς λόγους, ἵν' εὐφήμως ἄρξωμαι, τοὺς ἀκροατὰς αἰτιώμενοι

---

*ΤΩΝ* om. L.

*ΚΑΤΑ ΤΩΝ ΕΞΟΡΧΟΥΜΕΝΩΝ*] Proditores mysteriorum vocat ineptos histriones, qui Musarum sacra profanabant. Canter. Sophistas ineptos ac imperitos, chorique oratorii dehonestamenta ac opprobria, notat Orator; eosque cum inconcinnis saltatoribus componit, qui numeros modosque Musices, orbisque saltatorii εὐρυθμίαν, absurdis καὶ ἀναρμόστοις motibus gestibusque dedecorant ac perturbant. Huiusmodi vero rhetorculos, τοῦ ῥυθμοῦ καὶ τῆς ὀρθότητος ἐκβαίνοντας, heic designari, non τοὺς ἐξαγορεύοντας τὰ μυστήρια, sive mysteriorum proditores, cum prima orationis verba manifesto indicant, tum reliqua omnis tractatio. Quippe nullo uspiam verbulo eos Noster perstringit, qui initiorum sacra, religioso silentio sollemnia, haud sine summa impietate, capitisque etiam periculo divulganda, (νόμος γὰρ ἦν τὸν ἐξειπόντα τὰ μυστήρια τεθνάναι. Sopater Διαιρέσει ζητημάτων p. 333.) produnt atque enunciant. Caeterum ut paucis vim verbi notionemque aliqua ex parte recludamus; τὸ ἐξορχεῖσθαι ὡς ἰδιαίτατα idem esse, atque ἐκτὸς τοῦ χοροῦ ὀρχεῖσθαι, sive extra chorum saltare; id facile constare arbitramur, cum ex ipsa compositionis natura ac indole; tum luculenta Aristidis nostri descriptione, cuius paullo ante facta est mentio: quale quiddam et Pollux fortasse innuit, dum IV, 13. περὶ ὀρχηστοῦ καὶ ὀρχήσεως post ὀρχήσασθαι et ὑπορχήσασθαι, ἐξορχήσασθαι recenset: dein adfini et cognato sensu, e loco quopiam exsilire atque aufugere valet: unde ἐξορχησάμενος ἀντὶ τοῦ φυγὼν, καὶ ἀποδρὰς, usurpare Demosthenem ἐν τῷ κατ' Ἀνδροτίωνος, Harpocratio et Suidas observant: locus haud procul fine orationis est p. 709 c. Edit. Francof. ἐρωτῶν εἰ μάτην τὸ δεσμωτήριον ᾠκοδομήθη; καταφαίην ἂν ἔγωγε, εἴ γε ὁ πατὴρ ὁ σὸς ᾤχετο αὐτόθεν, αὐταῖς πέδαις

*καὶ λέγοντες ὡς ἄρα τούτου χάριν ἐκβαίνουσι τοῦ ῥυθμοῦ*

---

*ἐξορχησάμενος Διονυσίων τῇ πομπῇ.* vertit Wolphius, *Percontando, an frustra carcer esset aedificatus? equidem id haud negaverim: siquidem pater tuus inde, cum ipsis compedibus, in ipsa Bacchanalium pompa exsiliit.* Quo in loco tametsi recepta lectio ac interpunctio satis concinnam et sententiam et structuram habere videatur, non tamen nihil scrupuli iniiciunt veterum *ἐξηγήματα·* quod haud dissimulandum duximus: videtur enim Harpocratio *τὸ ἐξορχησάμενος* cum *τῇ πομπῇ* iunxisse; his verbis: *προσπαίζων ἅμα εἶπε διὰ τὴν τῶν Διονυσίων πομπήν.* Et apertius adhuc clariusque Ulpianus, *ἐξορχησάμενος Διονυσίων] κακῶς τῇ πομπῇ καὶ τῇ πανηγύρει χρησάμενος· ἔθους γὰρ ὄντος ἀνίεσθαι τότε διὰ τὴν ἑορτήν, εἶτα ἐμβάλλεσθαι· διὰ τὸν δρασμὸν ἐνύβρισε τοῖς Διονυσίοις.* Quod si recipimus, pro *τῇ πομπῇ* legendum opinor, *τὴν πομπήν*, amat enim quartum casum hoc verbum; atque hunc in modum legisse Suidam arguit fortasse *αἰτιατικῇ*, quod hunc exponens locum usurpat. Porro haud infrequens verbi huius acceptio est, qua extra veros iustosque rei cuiuspiam, sacrae imprimis ac augustae, fines ac limites, quocunque tandem modo digredi ac evagari, remque ipsam vitiare, corrumpere, ac polluere, notat; quod hoc in negotio aptissimum mihi esse videtur. Quomodo Ioh. Chrysostomus Psalm. xliiii. T. 1. p. 618. *οὗτοι γὰρ (οἱ Μακκαβαῖοι) ἐπελθόντος Ἀντιόχου τοῦ λεγομένου Ἐπιφανοῦς, καὶ πάντα διαφθείραντος, πολλούς τε τῶν τότε βιασαμένου τὴν πολιτείαν ἐξορχήσασθαι τὴν πατρῴαν, διέμειναν οὐδὲν ὑπὸ τῶν πειρασμῶν παραβλαβέντες ἐκείνων.* Rursus idem Psalm. cxxxvi. p. 386. *οἱ ἐξορχησάμενοι, καὶ τῆς οἰκείας ἀποσκιρτήσαντες λατρείας, καὶ παντὶ τρόπῳ τὰ νόμιμα καταπατήσαντες.* Eodem fere modo Isidorus Pelusiota Epist. 1. 82. *τοὺς ἀνδρογύνους τὸν ἀνθρώπινον ἐξορχεῖσθαι βίον* dicit, sicut et Herodotum Plutarchus *περὶ τῆς Ἡροδότου κακοηθείας* p. 1592. Steph. *ἐξορχεῖσθαι τὴν ἀλήθειαν* ait; digitum intendens ad indecoram Hippoclidis saltationem, qua, ut accommodatissimo urbanissimoque vocabulo Herodotus 6. 129. appellat, *τὸν γάμον ἀπωρχήσατο.* Sed nihil tamen illustrius nostroque instituto convenientius esse potest loco Synesii e Dione p. 40. *οὐ μέντοι τοσοῦτον ὁ Δίων ἐξωρχήσατο τὴν ἀρχαίαν ῥητορικήν. ἐν οἷς καὶ δοκεῖ σαφῶς ἀναχωρεῖν τῶν οἰκείων ἠθῶν, ὡς ἂν καὶ λαθεῖν ὅτι Δίων ἐστί, παρακινήσας ἐς τὸ νεώτερον· ἀλλ' εὐλαβῶς ἅπτεται τῆς παρανομίας, καὶ αἰσχυνομένῳ γε ἔοικεν, ὅταν τι παρακεκινδυνευμένον καὶ νεανικὸν προενέγκηται. ὥστε κἂν αἰτίαν φύγοι δειλίας, εἰ πρὸς τὴν ὕστερον ἐπιπολάσασαν τῶν ῥητόρων τόλμαν αὐτὸν ἐξετάζοιμεν· τοῖς πλείστοις δὲ τῶν ἑαυτοῦ καὶ παραβραχὺ τοῖς ἅπασι, μετ' ἐκείνων ταττέσθω τῶν ἀρχαίων τε καὶ στασίμων ῥητόρων. παρ' ὁντινοῦν καὶ δήμῳ διαλεχθῆναι καὶ ἰδιώτῃ τοῦ παντὸς ἄξιος.* vertit Dionys. Petavius, *Neque tamen tantopere a vetere rhetorica desultavit, in iis etiam, in quibus manifeste videtur a propria consuetudine desi-*

Digitized by Google

καὶ τῆς ὀρθότητος, ἵν᾽ ὡς πλείστους ἀρέσαι δυνηθῶσι.

---

*cere, ut id latere possit, Dionem esse qui perperam in recentiora deflexerit, sed caute ac circumspecte ad eam se transgressionem conferre, et pudore quodammodo suffundi videtur, ubi audacius quid atque insolentius usurpaverit, ita ut vel timiditatis insimulari possit, si cum ea quae postmodum invaluit, rhetorum audacia comparetur; maxima autem suorum scriptorum parte, ac iis ferme omnibus, proxime post antiquos illos et stabiles gravissimosque rhetoras collocandus est, vir sive coram populo, sive coram privato homine, prae caeteris omnibus ad dicendum dignissimus.* Fere tamen adducor ut credam, doctissimum Aristidis interpretem per proditores mysteriorum, hoc loco, ac mysteria prodere, p. 713. non aliud intellexisse quam sacra Musarum corrumpere ac violare, τὰ τῶν Μουσῶν ὄργια χραίνειν, ut noster p. 712. loquitur. quomodo nobiscum ille quidem sentit, sed lubrico ac ancipiti loquendi genere, facile iucauto tituli lectori persuaserit, citius alia omnia hac in oratione tractari, quam ut detrahatur splendida illa oratoria persona, scurris ac impudentibus circulatoribus, Reguli aut magistris aut sectatoribus; viris, non minus malis, quam dicendi imperitis. Quos nemo luculentius magisque graphice, aut depictos, aut depexos dederit, quam festivissimus, urbanissimusque Lucianus ῥητόρων διδασκάλῳ. Norrm. Ἐξορχουμένους appellat oratores aevi sui, mirificis et ridiculis gesticulationibus et voce fracta atque quasi cantillante, applausum plebeculae venantes eoque histrionicam in cathedra exercentes et ἐξορχηστὰς agentes, qui sunt praesultores chori. nam ἐξορχεῖσθαι est praesultare, quod sequatur alter saltando. v. tom. I. p. 489, 22. et II. pag. 415, 14. qui locus in signis est et rationem indicat, quare sic inscripta sit haec oratio κατὰ τῶν ἐξορχουμένων. Reisk.

401, 17 πλείστους] Vulgo πλείστοις. πλείστους Γ. Conf. p. 409, 17. 410, 11. 413, 13. ἀρέσαι] Notat hanc vulgi insaniam, placitura ac iucunda, profuturis et salubribus, etiam sacris in homiliis, praeponentis, aureum ecclesiae Graecae os, Iohannes Chrysostomus, initio sermonis quinti περὶ ἱερωσύνης. οὐ γὰρ πρὸς ὠφέλειαν, ἀλλὰ πρὸς τέρψιν ἀκούειν εἰθίσθησαν οἱ πολλοὶ, καθάπερ τραγῳδῶν ἢ κιθαρῳδῶν καθήμενοι δικασταί· καὶ ἡ τοῦ λόγου δύναμις — οὕτως ἐνταῦθα γίνεται ποθεινὴ, ὡς οὐδὲ τοῖς σοφισταῖς, ὅταν πρὸς ἀλλήλους ἀγωνίζεσθαι ἀναγκάζωνται. γενναίας οὖν δεῖ κἀνταῦθα ψυχῆς, καὶ πολὺ τὴν ἡμετέραν ὑπερβαινούσης σμικρότητα· ἵνα τὴν ἄτακτον καὶ ἀνωφελῆ τοῦ πλήθους ἡδονὴν κολάζῃ, καὶ πρὸς τὸ ὠφελιμώτερον μετάγειν δύνηται τὴν ἀκρόασιν, ὡς αὐτῷ τὸν λαὸν ἕπεσθαι καὶ εἴκειν, ἀλλὰ μὴ αὐτὸν ταῖς ἐκείνων ἄγεσθαι ἐπιθυμίαις. Adde caetera, lectu sane dignissima. Norrm. δυνηθῶσι] δυνηθῶσιν L.



Digitized by Google

καίτοι εἰ μὲν συγγνώμην αἰτοῦντες ταύτῃ τῇ σκήψει κα-
402 ταχρῶνται, πῶς ἐπαινεῖσθαί γ' ἀξιοῦσι; χωρὶς γὰρ ἐπαίνός τε καὶ συγγνώμη, καὶ ὅτε μηδ' αὐτοὶ σφᾶς αὐτοὺς ἐπαινοῦσι, σχολῇ γ' ἂν παρὰ τοῖς ἄλλοις εἰκότως ἐπαινοῖντο. εἰ δ' αὖ μηδέν ἐστι τοῦ τρόπου δυσχερὲς, ἀλλ' ὀρθῶς ἔχει, τί δεῖ τοὺς πολλοὺς αἰτιᾶσθαι καὶ καταφεύγειν ἐπὶ ταύτην τὴν παραίτησιν, ἀλλ' οὐ τὸν τρόπον ὡς ὀρθῶς ἔχει δεικνύναι; ἀλλ' οἶμαι, κομψοί τινές εἰσι καὶ διπλᾶ κρούουσιν, ἵν' ἐὰν μὲν ἕλωσι, ταύτῃ κεκρατηκότες ὦσιν, ἂν δὲ φωράσῃ τις, ἔχωσιν ἀναχώρησιν καὶ λέγωσιν ὡς οὐδ' αὐτοὶ τὸ βέλτιον ἠγνόουν, ἀλλ' ἑτέρων ἕνεχ' ἡμάρτανον. ἔστι δὲ τοῦτο ἡ πρώτη καὶ μεγίστη ψῆφος, ἣν αὐτοὶ καθ' αὑτῶν δι' ὑπερβολὴν σοφίας φέρουσιν. ἐγὼ γὰρ εὐξαίμην ἂν μάλιστα μὲν καὶ παρὰ τοῖς ἄλλοις ἅπασιν εὐδοκιμεῖν, τὴν δ' οὖν ἀρχὴν ἀφ' ἑστίας εἶναί μοι καὶ πείθειν ἐμαυτὸν πρῶτον, καὶ μὴ τὸ τῆς κυνὸς τῆς ἐν τῷ μύθῳ παθεῖν, μηδ' ἐν ὅσῳ τὴν ἔξωθεν συλλέγω δόξαν, ἣν αὐτῷ μοι περὶ ἐμαυτοῦ προσῆκεν ἔχειν διαφθεῖραι, μηδὲ φθάσαι τὴν τοῦ φαῦλος εἶναι πίστιν

---

402, 1 ἀξιοῦσι] ἀξιοῦσιν Δ. 2 αὐτοὺς addidi ex ΓΘL Norrm. 4 ὀρθῶς] ὀρθὸς L et correctus Θ, in quo primum fuit ὀρθῶς. ἔχει om. ΘL. ἔχειν Δ. 5 εἰσι ΔΘL. Vulgo εἰσιν. ἵν' ΓL et Norrm. Vulgo ἵνα. 6 φωράσῃ τις] φωράσῃς Θ. 7 ἕνεχ'] εἵνεχ' ΘL. 8 φέρουσιν ΓΔΘL Norrm. Vulgo φέρουσι. 9 τὴν δ' οὖν ἀρχὴν ἀφ' ἑστίας εἶναί μοι] Plus enim suo unius iudicio perfectus artifex tribuet, quam imperitae multitudinis vocibus, quae ut gratia aut odio agitatur, varie adtollit aut arguit; quod graviter et facunde rursus ὁ χρυσορρήμων, l. c. p. 42. exsequitur, οὐδὲ γὰρ εἰ ζωγράφος ὢν ἄριστος καὶ πάντων κατὰ τὴν τέχνην κριτῶν, τὴν μετὰ πολλῆς τῆς ἀκριβείας ἀναγεγραμμένην εἰκόνα ὑπὸ τῶν τῆς τέχνης ἀπείρων σκωπτομένην ἑώρα, ἔδει καταγνῶναι, καὶ τῇ κρίσει τῶν οὐκ εἰδότων φαύλην ἡγεῖσθαι τὴν γραφήν. ὥσπερ οὐδὲ τὴν ὄντως φαύλην θαυμαστήν τινα καὶ ἐπέραστον, ἀπὸ τῆς τῶν ἀτέχνων ἐκπλήξεως. ὁ γὰρ ἄριστος δημιουργὸς αὐτὸς ἔστω καὶ κριτὴς τῶν αὐτοῦ τεχνημάτων· καὶ καλὰ καὶ φαῦλα ταύτῃ τιθέσθω τὰ γινόμενα, ὅταν ὁ τεχνησάμενος αὐτὰ τοὺς ταύτας φέρῃ τὰς ψήφους, τὴν δὲ τῶν ἔξωθεν δόξαν, τὴν πεπλανημένην καὶ ἄτεχνον, μηδὲ εἰς νοῦν βαλλέσθω ποτέ. adiungantur sequentia. In eandem sententiam idem λόγῳ γ' operis memorati, p. 23. ὑπὲρ τῶν ἡμετέρων ἡμῖν μᾶλλον ἢ ἑτέροις πείθεσθαι δίκαιον. Norrm. μηδ' ἐν ὅσῳ] μὴ δὲ νόσῳ L.

Digitized by Google

κατ' ἐμαυτοῦ λαβὼν, πρὶν τὴν τοῦ σπουδαῖος παρὰ τοῖς
ἄλλοις βεβαιώσασθαι. τοσοῦτον δ' ἔμοιγε ἀπολογίας ἀπέ-
χειν δοκοῦσιν, ὅταν ταῦτα λέγωσιν, ὥστε δύ' ἀνθ' ἑνὸς
ποιεῖν τὰ ἐγκλήμαθ' ἑαυτοῖς, ἓν μὲν εἰ τοιαῦτ' ἀσελγαί-
νουσι περὶ τοὺς λόγους, ἕτερον δὲ εἰ τούτου χάριν, ὡς
ταύτῃ βελτίους κριθήσεσθαι μέλλοντες. καὶ μὴν ὅταν γε
ὡς ἡμᾶς εὐθέως πιστεύσοντας οἷς πλάττονται καὶ τἀληθὲς
οὐχὶ συνήσοντας παράγειν ζητῶσιν, ἄλλην αὖ τρίτην ταύ- (691)
την ἀμαθίαν ἐμφανίζουσιν, εἰ μὴ νομίζουσι φωρᾶσθαι.
τὸ δ', οἶμαι, τοιοῦτόν ἐστιν. οὐδεὶς ἑκὼν μεθίησι τὸ βέλ-
τιστον· ἀλλὰ Πλάτων καὶ Πίνδαρος πολλαχῇ μὲν καὶ ἄλλῃ
σοφοὶ, καὶ δὴ καὶ κατὰ τόνδε τὸν λόγον οὐχ ἥκιστα, ὁ
μὲν οὑτωσὶ λέγων „Οὔτις ἑκὼν κακὸν εὕρετο“ καὶ πάλιν
403 ὁρμηθεὶς ἐκ τῶν περὶ τῆς Ἐριφύλης λόγων „Ὦ πόποι“
φησὶν „οἷ' ἀπατᾶται φροντὶς ἐπαμερίων οὐκ εἰδυῖα·“ ὁ δ'
ἄνω καὶ κάτω δή που διορίζεται καὶ δείκνυσι τὰ ἁμαρ-
τήματα ὡς ἀκούσια καὶ ὅτι οὐδεὶς ἑκὼν φαῦλος. μηδ'

---

12 λαβὼν ΓΔL Norrm. Vulgo λαβεῖν. πρὶν Steph. Iebb. Norrm. πλὴν Iunt. τὴν τοῦ ΓΔΘL Norrm. Aberat τήν. 13 τοσοῦτον ΓΔΘL. Vulgo τοσοῦτο. τοσούτῳ δ' ἔμοιγε ἀπολογίας δοκοῦσιν ἀπέχειν] Sic manu exaratus codex, quem fere ubique exprimimus; at vulgati, usitatiore structura, τοσοῦτο. Norrm. ἔμοιγε addidi ex ΓΔΘL Norrm. ἀπέχειν δοκοῦσιν ΓL. Vulgo δοκοῦσιν ἀπέχειν. δύ' Θ Norrm. Vulgo δύο. 14 ἐγκλήμαθ' ΔΘL Norrm. Vulgo ἐγκλήματα. ἐγκλήματ' Γ. τοιαῦτ' L Norrm. Vulgo τοιαῦτα. 15 ὅταν] ὅτ' ἂν Γ. ὡς ἡμᾶς εὐθέως ΓΘL. Aberat ὡς. ἡμᾶς εὐθέως ὡς Norrm. ἡμᾶς ὡς εὐθέως Norrm. 17 ταύτην addidi ex ΓΔΘL Norrm. 18 ἀλλὰ ΔL Norrm. Vulgo ἀλλ' ὁ. καὶ πίνδαρος L Norrm. Vulgo καὶ ὁ Πίνδαρος. 19 ἄλλῃ] ἄλλοι ΔL. ἄλλη Γ. 20 ὁ μὲν] Pindarus fragm. 248. p. 677.

403, 1 Ὦ (ὦ Γ Norrm.) πόποι] Fragm. 175. p. 651. φησὶν ΓΔΘL Norrm. Vulgo φησί. ἐπαμερίων Γ. ἐπ' ἁμερίων Θ. ἐφαμερίων ΔL Norrm. Vulgo ἐφημερίων. εἰδυῖα] ἰδυῖα Boeckhius. 2 δείκνυσι τὰ ἁμαρτήματα ὡς ἀκούσια] Tractat hanc ὑπόθεσιν Plato diversis in locis: nos uno contenti erimus, e Protagora, T. I. p. 345. Steph. ἐγὼ γὰρ σχεδόν τι οἶμαι τοῦτο, ὅτι οὐδεὶς τῶν σοφῶν ἀνδρῶν ἡγεῖται οὐδένα ἀνθρώπων ἑκόντα ἐξαμαρτάνειν, οὐδὲ αἰσχρά τε καὶ κακὰ ἑκόντα ἐργάζεσθαι. ἀλλ' εὖ ἴσασιν ὅτι πάντες οἱ τὰ κακὰ ποιοῦντες ἄκοντες ποιοῦσι. Quibus similia ac gemina passim rigida ac



Digitized by Google

ἡμεῖς ὑπὸ τούτων πειθώμεθα, ὡς ἄρ' ἔχοντές τι βέλτιον παρ' ἑαυτοῖς, εἶθ' ἑκόντες τοῦτ' ἀφέντες τὸ χεῖρον ἀλλάττονται. οὔκουν χρυσόν γ' ἂν ἔχοντες ἠλλάττοντο μόλιβδον ἀντ' αὐτοῦ, οὐδ' εἰ πάντες ἄνθρωποι κροτήσειν ἔμελλον· οὐδὲ μελίνην ἀντὶ πυρῶν, οὐδ' ἀντ' οἴνου τρύγα καὶ ταύτην σαπρὰν, οἶμαι δὲ οὐδὲ ψίαθον ἀντὶ ξυστίδος, οὐδ' αὖ βύρσης ὄζειν, μύρων ἐξόν. ἀλλὰ ταῦτ' ἐστὶν ἀνθρώπων ὑποκοριζομένων τὴν αὐτῶν φαυλότητα καὶ δυστυχίαν, οἳ τὸ μὲν δίκαιον, οἶμαι, καὶ ἀληθὲς οὐκ ἐθέλουσι λέγειν, ὅτι τὴν ὀρθὴν οὔτ' ἴσασιν οὔτε δύνανται πορεύεσθαι, (3 φασὶ δὲ τοῖς ἀκροαταῖς χαριζόμενοι ταῦτα ποιεῖν, ὥσπερ ἂν εἰ τῶν ὑποκριτῶν οἱ ἐκπίπτοντες καὶ μὴ δυνάμενοι τὸ δρᾶμα περαίνειν κατὰ φύσιν τοῖς θεαταῖς φάσκοιεν χαριζόμενοι ταῦτα ποιεῖν. καὶ συρίττεσθαί γε καὶ κλώζεσθαι ὑπ' αὐτῶν τῶν θεατῶν ἀντὶ ταύτης τῆς χάριτος φαίη τις ἄν. οὐκοῦν καὶ ὑμεῖς ὑπὸ τῶν ἀκροατῶν.

Ἀλλὰ μή πω ταῦτα. ἀλλὰ τί κωλύει καὶ τοὺς πτωχοὺς τοὺς τὰ ῥάκια ἀμπεχομένους οἴκοι μὲν αὐτοῖς ἕτερ' εἶναι φάσκειν πάνυ γενναῖα ἱμάτια, πρὸς δὲ τοὺς ἔξω σχηματίζεσθαι; οὐκοῦν ὅ γ' αὐτὸς ποιητής, οὗ μικρῷ πρόσθεν ἐμνήσθην, ἔφη τὰ καλὰ τρέπειν ἔξω τοὺς ἀγα-

---

severa Porticus tradit. Norrm. 4 ἂν ἔχοντες] ἔχοντες ἂν Δ Norrm. μόλιβδον libri omnes: μολυβδὸν Steph. Iebb. 5 ἄνθρωποι] οἱ ἄνθρωποι Δ. μελίνην] ζειὰν exponit scholium antiquum. Norrm. 6 αὖ ΓΔΘL Norrm. Vulgo ἄν. 7 ἀνθρώπων ὑποκοριζομένων] ὑποκορίζομαι, τὸ μετὰ σεμνολογίας σμικρύνω, inquit haec adducens Thomas Magister. Norrm. αὐτῶν] αὐτῶν L. 8 καὶ ἀληθὲς L Canterus, Norrm. Iebb. καὶ om. Iunt. οὐκ ἐθέλουσι ΓΔΘL. Vulgo οὐκ ἐθέλουσιν. οὐ θέλουσι Norrm. 9 ἴσασιν ΓΔΘL Norrm. Vulgo ἴσασι. 12 ὑμεῖς] ἡμεῖς ΔL. καὶ ὑμεῖς] Subaudi ἐκπίπτετε καὶ συρίττεσθε καὶ κλώζεσθε. Reisk. ὑπὸ ΓΔΘL Canterus, Norrm. Vulgo ὑπὲρ. 14 αὐτοῖς] Vulgo αὑτοῖς. ἕτερ'] ἕτερα ΓΘL. 15 τὰ καλὰ τρέπειν ἔξω τοὺς ἀγαθούς] Locus Pindari est Πυθίων γ, ἀντιστροφῇ δ' versu ultimo: quocum Theophrasti Ethic. Charact. cap. 23. περὶ ἀνελευθερίας, verba, καὶ καθεζόμενος παραστρέψαι τὸν τρίβωνα, ὃν αὐτὸς φορεῖ, componit Is. Casaubonus commentario. Caeterum quae supra commate ἑ ex Pindaro Noster adtulerat, οὔτις ἑκὼν κακὸν εὕρετο. et ὦ πόποι οἷ' ἀπατᾶται φροντὶς (MS. φορτὶς mendose, ut puto) ἐφαμερίων οὐκ

Digitized by Google

θούς. ὥστ᾽ εἰ μὲν ὡς περὶ καλλιόνων τῶν λόγων διαλέγονται, τί δεῖ τοῖς πολλοῖς ἐγκαλεῖν, εἰ τούτων ἐρῶσιν; εἰ δ᾽ ὁμολογοῦσιν ἡμαρτῆσθαι, τοὐναντίον ἢ προσῆκε πράττουσι. πολὺ γὰρ μᾶλλον εἰκὸς ἦν αὐτοὺς ὅπως τι βέλτιον ἐροῦσι σκέψασθαι τῶν ἀκουσομένων καὶ συνησομένων ἕνεκα ἢ τὰ ὑπάρχοντα ἀγαθὰ ἀφανίζοντας τὰ χείρω δεικνύναι, καὶ ταῦτ᾽ ἐξεπίτηδες πορίζομένους. οὔκουν εἴς (693) γε τὰς πομπὰς τὰ χείριστα ἔχοντες βαδίζομεν, ἀλλὰ κἂν
404 εἰ μή τῳ εἴη οἴκοθεν, αἰτούμεθα, ἵν᾽ ὡς κάλλιστα ἔχοντες φαινοίμεθα θαἰμάτια, τὰ σκεύη, τοὺς ἵππους, πᾶν ὅτουπερ ἂν ἡ πομπὴ δέηται. ὥσθ᾽ ὅταν φῶσιν ἐπείσακτα ταῦθ᾽ ἑαυτοῖς εἶναι καὶ πεπορισμένα καὶ τῆς ἀρχαίας ἰδέας ἑκόντες ἐκβαίνειν, ἐρωτᾶν χρὴ πότερον χείρονος οὔσης ἢ βελτίονος. εἰ μὲν γὰρ βελτίονος, πῶς οὐ τετύφωνται, εἰ τὴν οἰκείαν καὶ πλείονος ἀξίαν ἀφέντες τὴν φαυλοτέραν ἅμα καὶ μηδὲν προσήκουσαν διώκουσιν; ἀλλὰ μὴν εἴ γε χείρονος φήσουσιν, οὐκ ἐγχωρεῖ λέγειν ὡς ἄρα ἑκόντες προΐενται τὸ βέλτιον, ὅ γε μήτ᾽ ἐκτήσαντο μήτε εἶδον πώποτε. οὐ γὰρ περὶ ὧν πλημμελοῦσιν ἀπολογία τοῦτό

εἰδυῖα, ea nusquam reperiri quita sunt. utinam ad manus esset, quod olim aerumnabili labore vir optimus doctissimusque Erasmus Schmidius construxerat πινδαροταμεῖον, clarissimam haud dubie facem omnibus Pindaricae musae studiosis, his aliisque in rebus, praelaturum. Audio eiusmodi vocabulorum Thucydidis ac Demosthenis indices, Balthasaris Schmidii cura ac industria confectos, Argentorati apud eruditissimi diligentissimique viri heredes adservari. Rogandi itaque per communia Musarum sacra viri Docti sunt, penes quos hi, horumve similes in optimos scriptores τῶν λέξεων πίνακες κατορωρυγμένοι delitescunt, ut eorum publicatione, bene de rep. literaria, studiisque Graecanicis, bene de eruditorum hominum piis manibus, doctisque ac egregie publico profuturis laboribus, quamprimum mereri velint. Norrm. 16 ὡς om. Norrm. 18 ἦν αὐτοὺς] αὐτοὺς ἦν Δ Norrm. 19 καὶ συνησομένων om. L. ἕνεκα] εἵνεκα ΓΘ. ταῦτ᾽] ταῦτα ΔΘL Norrm. 20 γε ΓΔΘL Canterus, Norrm. Vulgo τε. χείριστα] χαριστήρια L. Conf. p. 404, 20. ἀλλὰ κἂν εἰ ΓΘL Norrm. Vulgo ἀλλ᾽ εἰ καί.

404, 1 θαἰμάτια] Vulgo ἱμάτια. θοιμάτια ΓL Norrm. 2 ὅτου ΓΔΘL Norrm. Vulgo ὅ τι. φῶσιν ΓΔL Norrm. Vulgo φῶσι. 4 εἰ τὴν] εἰς τὴν ΓL. 6 προΐενται] προΐεναι L.

Digitized by Google

γ' ἐστὶν, ἀλλ' ὁμολογία τοῦ κἂν χείρω τούτων εἰπεῖν, εἰ ταῦτ' ἐκωλύθησαν. ἡδέως δ' ἂν πυθοίμην παρ' αὐτῶν εἰ καὶ πηρωθέντας αὐτοὺς ἤτοι νὴ Δία τοὺς ὀφθαλμοὺς ἢ τὰς χεῖρας ἢ καὶ ἄλλ' ὁτιοῦν τοῦ σώματος, ἡδέως ἂν ἰδόντων τῶν ἀκροατῶν, ἑτοίμως ταῦτα ὑπηρετήσουσιν· ἢ τῶν μὲν τοῦ σώματος οὐδὲν ἂν πρόοιντο εἰς τὴν ἑτέρων (64)
ἡδονὴν, τῶν δ' ἐν τῇ ψυχῇ τὸ βέλτιστον διαφθείροντες οὐδεμίαν ζημίαν τίθενται. ἐγὼ μὲν οὖν ὅταν τούτων ταῦτ' ἀκούω λεγόντων, οὐκ ἀπέγνωκα τὸ μὴ καὶ τοὺς χωλοὺς τολμήσειν λέγειν ὡς ἄρα οὐκ ἄκοντες ἐνταῦθ' ἥκουσι τύχης, ἀλλ' ἑκόντες τὼ σκέλη προήκαντο, ἵν' ὡς ἥδιστοι τοῖς ὁρῶσι φαίνοιντο. ἀλλ' ὅστις μὲν οὕτω δύσερως οὐκ οἶδα ἔγωγε, θῶμεν δ', εἰ βούλει, καὶ πάντας, ἀλλὰ τίς οὕτω δυστυχὴς ὅστις ἑκὼν αἱρεῖται δυστυχεῖν; ἢ τίς εἰς τὴν ἑτέρου χάριν αὐτῷ λυμαίνεται; ὅπου γὰρ καὶ τὸ εὖ ποιεῖν διὰ τοῦτο ὁρῶμεν σπουδαζόμενον, ὅτι ἐξ αὐτοῦ καὶ τὸ ἀντ' εὖ πείσεσθαι προσδοκᾶν ἐστιν, ἦ που τό γε ὑπὲρ τοῦ χαρίσασθαί τῳ κακῶς διαθεῖναι τὰ ἑαυτοῦ παντάπασι πᾶς τις ὀκνήσειεν ἄν. ἢ πολλῆς γ' ἂν εἴη τῆς ἀλογίας τῶν μὲν φίλων τοὺς οὐκ ἐθέλοντας ἀντευποιεῖν φαύλους ἡγεῖσθαι, αὐτὸν δὲ τοσαύτην ὑπερβολὴν ποιήσασθαι ὥστε πρότερον αὐτῷ τὰ χείριστα χρήσασθαι, πρὶν εὖ τι
405 ποιῆσαι τοὺς χρωμένους, καὶ πρὶν εἶναι δῆλον ἥντινα τῆς προθυμίας κομιεῖται χάριν, αὐτὸν τῶν ὄντων τὰ βέλτιστ' (65)
ἀφαιρεῖσθαι. οὐ γὰρ δὴ τό γε τοῦ Ζωπύρου καὶ τοῦ

---

7 πλημμελοῦσιν ΓL Norrm. Vulgo πλημμελοῦσι. τοῦτό γ' ἐστὶν] τοῦτ' ἐστὶν Norrm. 9 ἢ καὶ] καὶ om. Δ. ἄλλ' L. Vulgo ἄλλο. ἄλλό τι οὖν Γ. 11 δ' ἐν τῇ ψυχῇ ΓΘL Norrm. Vulgo δὲ τῆς ψυχῆς. 12 ὅταν ΓΔL Canterus, Norrm. Vulgo ὅτ' ἄν. τούτων addidi ex ΓΔ. Post ἀκούω intulit Norrm. ταῦτ' ΓΔL. Vulgo ταῦτα. 14 τὼ σκέλη] τὸ σκέλος Norrm. οὕτω δύσερως. — ἀλλὰ τίς om. L. 16 ἑτέρου ΓΔΘL Norrm. Vulgo ἑτέρων. αὐτῷ] Vulgo αὑτῷ. 17 καὶ τὸ] τὸ καὶ Θ. ἀντ' εὖ πείσεσθαι] ἀντευπείσεσθαι Canterus et Norrm. ἀντ' εὐπήσεσθαι (πη ex correctione) Γ. χαρίσασθαί τῳ L Norrm. Vulgo χαρίσασθαι τὸ. 20 χείριστα] χαριστήρια L, ut p. 403, 20. τι om. L.

405, 1 αὐτὸν Canterus et Norrm. Vulgo αὐτῶν. αὐτῶν Γ.

*Κεφαλλῆνος παράδειγμ' ἂν εἴποιμεν, ὧν ὁ μὲν τὴν ῥῖνα τὴν ἑαυτοῦ καὶ τὰ ὦτα λωβησάμενος εἰσῆλθεν εἰς Βαβυλῶνα, ὁ δὲ πληγαῖς αὑτὸν αἰκισάμενος κατέδυ Τρώων πόλιν εὐρυάγυιαν, ὁ μὲν Βαβυλῶνα λαβεῖν, ὁ δὲ Τροίαν ἐσπουδακώς. πρῶτον μὲν γὰρ οὐκ ἴσα δή που τὰ ἆθλα, κρατῆσαι πολεμίων καὶ τὰ ὦτα γαργαλίσαι τινῶν. ἔπειτ' αὐτὸ τοὐναντίον ἐκ τῶν παραδειγμάτων ἀπαντᾷ. εἰ γὰρ ἐκεῖνοι μὲν οὕτω σφόδρα καρτερεῖν ἠπίσταντο ὥστε μηδὲ τοῦ σώματος φείδεσθαι τοῦ ἑαυτῶν, ἀλλὰ τὰς ἐσχάτας ἀλγηδόνας καὶ πόνους ὑπομένειν ὑπὲρ τοῦ μηδὲν τῶν ἐξ ἀρχῆς ἐγνωσμένων ἐγκαταλιπεῖν, οὗτοι δ', ἐξὸν ἄνευ πραγμάτων καὶ ταλαιπωρίας τὴν ὑπόθεσιν διασώζειν τὴν ἑαυτῶν, αἱροῦνται μαλακίζεσθαι, πῶς οὐχὶ δικαίως ὁτιοῦν ἂν πάθοιεν; ἐγὼ μὲν γὰρ ἁκεῖνοι σφᾶς αὐτοὺς ἔδρασαν, ταῦτ' εἰκότως ἂν τούτους ὑπὸ τῶν ἄλλων παθεῖν οἴομαι, πορνείας ἕνεκα καὶ ὕβρεως τῆς εἰς τοὺς λόγους. ἦ κομιδῇ γ' ἂν ἐκείνους μιμήσαιντο ὑπὲρ τοῦ τὴν τάξιν μὴ λιπεῖν, οἱ* (696) *νῦν ἐπὶ τῷ λιπεῖν πάντα ποιοῦσιν, ἵνα μὴ λέγω πάσχουσιν. ἔτι τοίνυν Ὀδυσσεὺς μὲν καὶ Ζώπυρος οὐκ οὔσης ἴσως ἄλλης ἁλώσεως αὐτοῖς τῶν πολεμίων οὕτω ταῦθ' ὑπέστησαν· οὗτοι δὲ τί καὶ φήσουσι; πότερον οὐκ εἶναι τοῖς βελτίστοις καὶ τοῖς ὀρθοτάτοις λόγοις ἄγειν καὶ πείθειν ἀνθρώπους; ἀλλ' αἰσχρὸς ὁ λόγος, οὐ μόνον ψευδής. ἀλλ'*

---

*βέλτιστ'* ΓΔΘL. Vulgo *βέλτιστα.* 2 *κεφαλλῆνος* ΓΔΘL. Vulgo *Κεφαλῆνος.* *παράδειγμ'* ΓL. Vulgo *παράδειγμα.* *εἴποιμεν*] *εἴποιεν* Canterus. „*ἴσως εἴποιεν*" margo Norrm. *ὧν* L Steph. Iebb. *ὡς* ΓΔΘ Iunt. 3 *εἰσῆλθεν εἰς Βαβυλῶνα*] MS. *Βαβυλῶνος.* mox *καὶ τὰ ὦτα γαργαλίσαι τινῶν.* recte. eumque ad modum emendandum, quod hoc ex loco memoriae suae fidens citat Thomas Magister *γαργαλίζουσι.* de re ipsa vid. Herodot. 3. 153. seq. Iustinus 1. 10. Norrm. *πληγαῖς* om. Norrm. *αὑτὸν* ΓΘL. Vulgo *ἑαυτὸν.* 4 *κατέδυ*] Odyss. δ, 244. 249. 5 *πρῶτον*] *πρῶτα* Δ. 9 *πραγμάτων* ΓΔΘ Iunt. *τραυμάτων* Norrm. Iebb. 10 *πῶς οὐχ ὁτιοῦν ἂν πάθοιεν δικαίως; ἐγὼ δὲ ἃ ἐκεῖνοι* Norrm. *ἁκεῖνοι*] Vulgo *ἃ ἐκεῖνοι. ἃ 'κεῖνοι* Θ. *ἃ κεῖνοι* ΓL. 11 *ἂν* om. Norrm. 12 *γ' ἂν*] *γὰρ* Γ. 13 *ποιοῦσιν* ΓΔΘL Norrm. Vulgo *ποιοῦσι.* 14 *ἁλώσεως αὐτοῖς*] *αὐτοῖς ἁλώσεως* Norrm. 15 *πότερον* Δ Norrm. Vulgo *πότερ'.*

ἐξὸν ἐκείνως ἄγειν οὕτως μᾶλλον αἱρεῖσθαι; περιττὴν ἄρα τὴν αἰσχύνην προστίθενται.

Πάλιν δὲ ἀναλάβωμεν. οὐκ ἔσθ' ἕτερον τρόπον ἀνθρώπους ἄγειν ἢ τοῦτον, δῶμεν τοῦ λόγου χάριν, εἰ δοκεῖ. οὐκοῦν εἰ χωρὶς μὲν τὸ βέλτιον, χωρὶς δὲ τὸ ἄγειν, 406 τί δεῖ τὸ βέλτιον προΐεσθαι, εἴπερ, κἂν μὴ ἄγωμεν, τό γε βέλτιον τοῦτο πράττομεν; εἰ δ' ἐστὶν ὁμοῦ τό τε ἄγειν καὶ τὸ βέλτιον, εἰ μὲν ἐκεῖνο βέλτιον, ἐκείνως ἄγειν ἐστίν, εἰ δ' οὕτω μόνως ἄγειν συμβαίνει, τοῦτο βέλτιον. τί οὖν διαιροῦσι καὶ χωρὶς μὲν τὸ βέλτιον τιθέασι, χωρὶς δὲ ἃ τῶν ἄλλων ἕνεχ' ἡμάρτανον; ἐμοὶ μὲν γὰρ ἄντικρυς οὑτωσὶ μεθύειν δοκοῦσι περὶ τοὺς λόγους ὅταν εἰς ταῦτα (697) καταφεύγωσι. καὶ μὴν ὅτι γε οὔτ' ἀληθῆ λέγουσιν οὔτ' ἀληθέσι προσόμοια, ἀλλὰ τῷ μέλλοντι καὶ πείσειν ἀνθρώπους καὶ ὅλως ὑποχειρίους ἕξειν, τὴν βελτίστην καὶ τὴν ἐρρωμενεστάτην καὶ πάντως ἀδιάφθορον καὶ ἄμεμπτον ἐκ τῶν δυνατῶν ἰτέον καὶ προαιρετέον, καὶ συχνοῦ λόγου δεῖξαι καὶ βραχέος πάνυ, βραχέος μὲν λέγω, διὰ τὸ σφόδρα οὕτω σαφὲς εἶναι, μακροτέρου δέ, ὅτι μυρίοις ἄν τις ἔχοι καὶ τεκμηρίοις καὶ παραδείγμασι δεικνύναι. πρῶτον μέν, εἰ βούλει, τοὺς τῶν πολέμων ἀγωνιστὰς ἐνθυμηθῶ-

---

16 ἐκείνως] οἰκείως Δ. οὕτως Δ. Vulgo οὕτω. 17 προστίθενται I. Norrm. Iebb. προστίθεται Δ Iunt. 18 εἰ χωρὶς μὲν Norrm. Vulgo εἰ μὲν χωρὶς μέν. 19 βέλτιον προΐεσθαι] βέλτιστον προΐεσθαι L.

406, 1 τοῦτο] ταύτου ΓΔL. 2 Fort. εἰ μὲν καὶ ἐκείνως ἄγειν ἐστίν, ἐκεῖνο βέλτιον. Reisk. τοῦτο βέλτιον] τοῦτο τὸ βέλτιον L. 3 τὸ βέλτιον] τὸ βέλτιστον ΓΔΘL. 4 μὲν om. Norrm. οὑτωσὶ] οὕτω Norrm. 4 ταῦτα ΔΘL Norrm. Vulgo αὐτὰ. ταυτὰ Γ. 6 καὶ πείσειν] καὶ om. Δ Norrm. πείσειν] πείσειν (η) Γ. ὅλως] ὅλους ΘL. τὴν ἐρρωμενεστάτην ΓΘL Norrm. Aberat τήν. 8 βραχέος μὲν] βραχέως μὲν L. λέγω] ἴσως λόγου. Norrm. 9 μακροτέρου] μακρότερον L. ἔχοι καὶ τεκμηρίοις] ἔχοι τεκμηρίοις Δ. καὶ τεκμηρίοις ἔχοι Norrm. 10 πρῶτον] καὶ πρῶτον Norrm. πολέμων] πολεμίων L. ἐνθυμηθῶμεν Norrm. Canter. Iebb. ἐνθυμηθῶμαι Iunt. 11 ποτέρως ΓΔΘL Norrm. Vulgo πότερον. ποτέρως recte dat ed. Norrm. nam aliud est ποτέρως, utro modo de duobus modis, et aliud πότερον, utrum duorum. cum praecessit illud, sequitur hoc cum ἢ. in eodem codice

Digitized by Google

μεν, ποτέρως ἂν μᾶλλον αὐτοί τε σῴζοιντο καὶ τοὺς ἀντιτεταγμένους τρέποιντο καὶ χειροῖντο, πότερον βεβαίοις καὶ ὑγιέσι καὶ στεγανοῖς τοῖς ὅπλοις χρώμενοι, ἢ τὸ μὲν ξίφος καττιτέρου φέροντες, φλοιῷ δὲ τὸν θώρακα πεποιημένον, τὸ δ' αὖ δόρυ σύκινον, καὶ κράνος δὴ καὶ ἀσπίδα ὡς ἀπὸ τούτων εἰκάσαι; ἐγὼ μὲν γὰρ οἶμαι τὴν περὶ ταῦτα ἀκρίβειαν καὶ τὸ ἐξ ἀρχῆς τε ἐκ βελτίστων καὶ ὡς βέλτιστα κατεσκευάσθαι καὶ παρὰ τὴν μάχην ἀντέχειν εἰς σωτηρίαν ἅμα καὶ δόξαν καὶ νίκην καὶ πάνθ' ὅσα ταύ- (698)
της ἄν τις τῆς μερίδος θείη, διαφέρειν τοῖς ἔχουσι καὶ χρωμένοις. ῥαγέντων δὲ ἢ κλασθέντων, ἤ τιν' ἄλλον συντριβέντων τρόπον, ἢ καὶ οἴκοθεν εὐθὺς χαύνων καὶ σαπρῶν ὄντων, κληρονομεῖν τὰ σώματα τῆς τύχης καὶ μηδὲ τοῖς πάνυ γενναίοις ὑπάρχειν εὑρεῖν ὅ τι χρήσονται· ταῦτά γε καὶ Ὅμηρος μαρτυρεῖ. καὶ γὰρ ἐκείνῳ τῶν ἡρώων

---

fuisse πεποιημένοι, ut legendum est, non dubito. *qui sibi fieri vel parari curaverunt.* Reisk. μᾶλλον αὐτοί τε] αὐτοὶ μᾶλλον Norrm.

13 ἢ τὸ μὲν ξίφος καττιτέρου φέροντες] Plenius haec exhibet, haud scio an rectius, Thomas in καττίτερος. καὶ τὸ ξίφος ἀντὶ χαλκοῦ καττιτέρινον. fortasse nunc etiam, ut paullo antea, ex memoriae penu verba Nostri depromens. Norrm. φλοιῷ ΓΘL. Vulgo φλοιοῦ. πεποιημένον] πεποιημένω L. 14 ἐγὼ μὲν ΓΔΘL Norrm. Aberat μὲν. 15 τε ἐκ] τε καὶ ἐκ L. παρὰ ΓΔΘL Norrm. Vulgo περὶ. 17 ἄν τις ΓΔΘL Canter. Vulgo ἄντικρυς, quod om. Norrm., qui in marg. εἴη coniecit pro θείη. 18 τιν' ΓL Norrm. Vulgo τινα. 19 ὑπάρχειν εὑρεῖν] εὑρεῖν ὑπάρχειν Norrm. 20 χρήσονται] Vulgo χρήσωνται. χρήσαιντο L. καὶ γὰρ ἐκείνῳ] Puto scripsisse Oratorem καὶ γὰρ παρ' ἐκείνῳ, librariis autem similitudinem soni utriusque voculae, ut saepe, omissionis dedisse caussam. Caeterum, quod ad rem adtinet, convulfa fractaque hasta, Heroas Homericos e proelio recedere, sibique loco cavere, uno alteroque adstruemus exemplo. Merionis. Ἰλ. ν. 159.

*Μηριόνης δ' αὐτοῖο τιτύσκετο δουρὶ φαεινῷ,*
*καὶ βάλεν, οὐδ' ἀφάμαρτε, κατ' ἀσπίδα πάντοσε ἴσην*
*ταυρείην. τῆς δ' οὔτι διήλασεν, ἀλλὰ πολὺ πρὶν*
*ἐν καυλῷ ἐάγη δολιχὸν δόρυ. Δηΐφοβος δὲ*
*ἀσπίδα ταυρείην σχέθ' ἀπὸ ἕο· δεῖσε δὲ θυμῷ*
*ἔγχος Μηριόναο δαΐφρονος. αὐτὰρ ὅγ' ἥρως*
*ἂψ ἑτάρων εἰς ἔθνος ἐχάζετο· χώσατο δ' αἰνῶς*

407 *οἷς ἂν τὰ τῆς αἰχμῆς ἀνακοπῇ, οὐκ ἐθέλουσιν ἵστασθαι, πολὺ δὲ ἔτι μᾶλλον, ἐπειδὰν ὅλως κατάξωσι τὰ δόρατα· ἀλλ' ἀπέρχονται καταλιπόντες τὴν μάχην, οἰόμενοι στερεώτερα. πάλιν αὐτήν, εἰ βούλει, τὴν μάχην ποτέρως ἄμεινον ποιοῦνται, τὴν τάξιν φυλάττοντες καὶ συνεστηκότες καὶ ἀλλήλους τε ὡς δυνατὸν μάλιστα αἰδούμενοι καὶ τοῖς παραγγέλμασιν ἐμμένοντες, ἢ τούτων μὲν ἁπάντων ὑπεριδόντες, τοῦ δ' ἐν τῷ παραχρῆμα δοκοῦντος γλυκέος εἶναι ἡττηθέντες, τὰς δὲ ἀσπίδας ὁμοῦ τῇ πρώτῃ σάλπιγγι ῥίψαντες, νόμον δὲ καὶ τάξιν καὶ κόσμον ὥσπερ ὕθλον τινὰ καὶ φλυαρίαν κρίναντες. Ὅμηρος μὲν γὰρ οὐδὲ λέγειν ἐᾷ τῶν αἰσχρῶν οὐδὲν τοὺς ὀρθῶς προσέχοντας* (699 *μάχῃ. ὃ καὶ θαυμάζω, εἰ πολεμοῦσι μὲν αἰσχύνη λέγειν ἃ μὴ καλόν, λέγουσι δ' ἅ γ' αἰσχύνη λέγειν οὐ χεῖρον.*

*Φέρε δὴ καὶ τοὺς ἐπὶ τῶν στεφανιτῶν ἀγώνων σκεψώμεθα, οἷον τὸν Δωριέα τὸν Ῥόδιον καὶ Γλαῦκον τὸν Καρύστιον καὶ Μίλωνα δὴ καὶ Πολυδάμαντα, καὶ πάντας ὧν εἰκόνες χαλκαῖ, πότερον θρυπτομένους καὶ παροινοῦντας καὶ ταὐτὰ ταῖς ὀρχηστρίσι στρεφομένους ἐστεφάνουν οἱ τῷ Διὶ τῷ Ὀλυμπίῳ τὸν ἀγῶνα κοσμοῦν-*

---

*ἀμφότερον, νίκης τε καὶ ἔγχεος ὃ ξυνίαξε.*
*βῆ δ' ἰέναι παρά τε κλισίας καὶ νῆας Ἀχαιῶν,*
*οἰσόμενος δόρυ μακρὸν ὅ οἱ κλισίῃσφι λέλειπτο.*

Adamantis Troiani. eadem *ῥαψῳδίᾳ*, v. 562. Aiacis Telamonii Il. *π*, 115. Norrm.

407, 3 *εἰ βούλει* om. Norrm. *ποτέρως*] *πότερον* L. Post *ποιοῦνται* videtur *πότερον* excidisse. Reisk. 6 *πρώτῃ* addidi ex ΓΘL. 7 *τινὰ*] *τε* Norrm. *μὲν γὰρ*] *δ'* Norrm. *Ὅμηρος δὲ οὐδὲ λέγειν ἐᾷ τῶν αἰσχρῶν οὐδὲν*] Armis enim, non probris ac conviciis, imbellis impotentisque sexus telis, certantes heroas inducit. Vel nulla igitur ultro citroque iacta vocula, hastas illico gladiosque rotant, ut Il. *γ*, 344. Paris et Menelaus; vel modico quidem, sed serio atque acri alloquio invicem habito, ut Pandarus et Diomedes, Il. *ε*, 277. ut Aiax Telamonius et Hector, Il. *η*, 226. ut Achilles et Aeneas, Il. *υ*, 178. ut Achilles et Hector eodem in libro v. 428. iidemque denuo Il. *χ*, 249. Norrm.
8 *οὐδὲ*] *οὐδὲν* L. 9 *δ'*] *δὲ* Norrm. *ἅ γ'* (*ἄγε* Norrm.) add. L Norrm. Iebb. om. Iunt. 10 *Δωριέα*] *δωριέω* Δ.
12 *ταὐτὰ ταῖς*] *ταῦτα τοῖς* L. *οἱ — κοσμοῦντες* ΓΔΘL Norrm.

τες, ἢ καρτερίαν θαυμαστήν τινα καὶ ῥώμην ὁμοῦ ψυχῆς τε καὶ σώματος παρασχομένους, ἃ τὰς μεγίστας καὶ βεβαιοτάτας ἡδονὰς καὶ αὐτοῖς τοῖς ἔχουσι καὶ τοῖς συνειδόσι προξενεῖ. πρὸς Διός, ἵπποι δὲ ἄριστοι καὶ θαυμασιώτατοι καὶ μάλιστα καθ' ἡδονὴν τοῖς θεωροῦσιν ἆρ' οὐχ οἵτινες ὡς ἐρρωμενέστατα καὶ διαρκέστατα καὶ μηδὲν ἔξω τοῦ δρόμου βάντες ἀπήνυσαν, πανταχοῦ τὴν οἰκείαν ἀρετὴν σώζοντες; καὶ φύσιν ταυτὸν ἄριστόν τε καὶ ἥδιστον εἰς τὴν ἑαυτοῦ χρείαν· ἐπεί τοι καὶ τὰ τῶν σωμάτων κάλλη τοῦτον ἔχει τὸν τρόπον, ἐάν τε Γανυμήδην εἴπῃς
ἐάν τε Πέλοπα ἐάν θ' ὀντινοῦν, ἅμα τῇ λήξει τῆς τύχης (700)
καὶ τοὺς ὁρῶντας ἐφέλκεται· καὶ πάνυ γ' εἰκότως. δεῖ γάρ,
408 οἶμαι, κάλλει μὲν χάριν εἶναι, χάριτος δὲ ἔρωτα ἐξηρτῆσθαι. ὅτῳ γὰρ ἄν τις χαίρῃ, τοῦτ' ἀνάγκη ποθεῖν. διὸ τῶν μὲν αἰσχρῶν οὔ φασιν ἔρωτα εἶναι, τῶν δὲ καλῶν κἂν θεοῖς εἶναι ποιηταὶ λέγουσιν. οὕτω τοίνυν καὶ τὸ τῶν λόγων κάλλος μετὰ τῆς ἁπάσης φύσεως καὶ τοῦτ' ἔχει, κηλεῖν τοὺς ἀκούοντας. ὥστ' οὐχ ὑπὲρ τοῦ πείθειν τὰ χείρω δεῖ λέγειν, ἀλλὰ πειρατέον ὡς κάλλιστα λέγειν, ἵν' ὡς πλείστους ἄγοιμεν. ὥσπερ γὰρ τῶν ἐπῳδῶν αἱ κράτισται μάλιστα ἄγειν πεφύκασιν, οὕτως οἱ κράτιστοι τῶν λόγων μάλιστα πείθειν πεφύκασι. τὸ δὲ ταῖς διαφθοραῖς

Vulgo ἢ — κοσμοῦντας. 13 ἢ καρτερίαν] καὶ καρτερίαν Canterus. 14 ψυχῆς τε ΓΘL Norrm. Aberat τε. ἃ τὰς ΓΔΘL Norrm. Aberat ἅ. καὶ αὐτοῖς ΓΘL. Aberat καί. 15 συνειδόσι ΓΔΘL Norrm. Vulgo συνιδόσι. προξενεῖ addidi ex ΓΔΘL Norrm. 16 μάλιστα] δὴ add. Norrm. 17 ἀπήνυσαν] ἐπήνυσαν Norrm. οἰκείαν] ἰδίαν L. 18 καὶ φύσιν, sed cum praecedentibus iunctum, ΓΘL. Vulgo καὶ φύσει: εἰς τὴν] εἰ τὴν Δ. ἑαυτοῦ] ἑαυτων (οῦ) L. ἐπεί τοι] ἔπειτα L. 19 Γανυμήδην Steph. Norrm. Iebb. γαννυμήδην ΔL Iunt. ἐάν θ' ΓΘL Norrm. Vulgo ἐάν τε. 20 Sententia est οὐ μόνον ἔλαχον παρὰ τῆς ἀγαθῆς τύχης τὸ καλοὶ εἶναι, ἀλλὰ καὶ τοὺς ὁρῶντας ἐφέλκονται. non solummodo formosi sunt, quod benignitati fortunae debent, sed etiam alliciunt spectantes ad se. Reisk.

408, 1 κάλλει] κάλλη L. χαίρῃ ΓΔΘL. Vulgo χαίροι. τοῦτ'] τοῦτο L. 2 φασιν ΓΔΘL Norrm. Vulgo φασι. κἂν ΓΔΘL. Vulgo καί. 3 λέγουσιν ΓΔΘL Norrm. Vulgo λέγουσι. 4 ὥστ'] ὥστε Norrm. ὡς κάλλιστα ΓΘL. Vulgo τὰ κάλλιστα. τα om. Δ. 6 πεφύκασιν ΓΔΘL Norrm. Vulgo πεφύκασι. δια-

Digitized by Google

ταύταις νομίζειν ἐνεῖναί τι χρηστὸν ἢ κεχαρισμένον παρα-
πλήσιόν ἐστιν ὥσπερ ἂν εἰ κἂν τοῖς σώμασι τοὺς μὲν
φθόῃ κάμνοντας καὶ τοὺς ὑδεριῶντας καὶ τοὺς ἀλφοῖς ἢ
λέπρᾳ ποικίλους, τούτους μὲν ὡς ἥδιστα κατεσκευάσθαι
φάσκοιμεν καὶ πολλοὺς ἐπιθυμητὰς ἔχειν, οἷς οὐδ' ἀπαν-
τῆσαι πρῶτον οὐδ' ἂν εἷς δέξαιτο, τοὺς δ' ὁμοῦ τῷ τῆς (701)
ὑγιείας ἀγαθῷ καὶ πρὸς ἔσχατα κάλλους τετιμημένους
ἔλαττον ἔχειν τούτων πειθοίμεθα. ἄνω μένταν ποταμῶν
οὕτω γε πηγαὶ ῥέοιεν. μὴ τοίνυν ὅτι ἐν τοῖς σώμασιν,
ἀλλ' ἐν τοῖς πλάσμασι καὶ τοῖς ἀγάλμασι ποῖ' ἄττα μά-
λιστα χειροῦνται τοὺς ἐντυγχάνοντας; ἆρ' οὐ τὰ κάλλιστα
καὶ μεγαλοπρεπέστατα καὶ πρὸς τοὔσχατον ἥκοντα τῆς
εἰς ταῦτ' ἀκριβείας; ὁ Ζεὺς οὑλύμπιος, ἡ Ἀθήνησιν
Ἀθηνᾶ, λέγω τοῦτο μὲν τὴν ἐλεφαντίνην, τοῦτο δ', εἰ
βούλει, τὴν χαλκῆν καὶ νὴ Δία γ', εἰ βούλει, τὴν Λημνίαν,
ἅπαντα ταῦτα ὑπερβολὴν μὲν ἀρετῆς τῷ δημιουργῷ, τοῖς
δὲ θεαταῖς ἡδονῆς ἔχει. ταυτὸν δὲ τοῦτο καὶ περὶ τῶν
Ἀπελλοῦ φαίης ἄν, οἶμαι, γραμμάτων, κἂν εἴ τιν' ἄλλον
ἐθέλοις θαυμάζειν, ἡ γραμμὴ σωθεῖσα τὸ πᾶν ἔσωσεν.
εἶεν. νεὼς δ' αὖ τοὺς ποίους καὶ τίνας μάλιστα ὁρῶν-
τές τε χαίρομεν καὶ ἐκπληττόμεθα καὶ ἀπαλλαττόμεθα
409 ὡς ἀηδέστατα πάντων; ἆρ' οὐχ οἵτινες μέγιστοι καὶ

---

φθοραῖς Steph. Norrm. Iebb. διαφοραῖς Iunt. 7 ὥσπερ ἂν εἰ κἂν ΘL. ὥσπερ ἂν εἰ καὶ Δ Norrm. ὥσπερ ἂν ἱκανὸν Γ. Vulgo ὥσπερ εἰ καὶ. ὥσπερ εἰ ἐν Canterus. σώμασι ΘL Norrm. Vulgo σώμασιν. 8 ὑδεριῶντας] ὑδερῶντας Γ. 9 πρῶτον] τις superne ab al. m. adscriptum in Γ. 10 ὁμοῦ τῷ ΔΘL. Vulgo ὁμοῦ καὶ τῷ. ὑγιείας] ὑγείας ΔL Norrm. 11 τετιμημένους] ἐληλακότας liber scriptus apud Canterum in syntagm. p. 58. (630 Iebb.) unde Canterus coniecit ἀγαθῷ τετιμημένους καὶ πρὸς ἔσχατα κάλλους ἐληλακότας. ποταμῶν add. L, Norrm. Iebb. om. Iunt. οὕτω γε L Iebb. γε om. Iunt. Norrm. 13 ἄττα] Vulgo ἅττα. 14 πρὸς] περὶ Norrm. τοὔσχατον ΓΔΘL Norrm. Vulgo ἔσχατα. ὁὐλύμπιος L. οὑλύμπιος ΓΘ. Vulgo ὁ Ὀλύμπιος. 15 δία γ' εἰ ΓΘ. δία γε εἰ Iunt. Iebb. δι' ἄγε Δ. Δί' εἰ Norrm. 17 ταυτὸν ΓΘ. Vulgo ταὐτό. οἶμαι ΓΔΘL Norrm. Vulgo εἶναι. τιν' ΓΔΘ Norrm. Vulgo τινα. ἐθέλοις Δ. Vulgo θέλῃς. θέλοις ΓΘ. ἐθέλῃς Norrm. θέλεις L. 18 ἔσωσεν ΓΔΘL Norrm. Vulgo ἔσωσε. εἶεν νεὼς ΓΘL. εἶεν ναοὺς Δ Norrm. Vulgo ἐν ναοῖς. αὖ τοὺς] αὐτοὺς L. 19 τε addidi ex ΓΘL. ἀηδέστατα ΓΔΘL. Vulgo

σεμνότατοι καὶ ἅμα τῆς ἁρμονίας ἐπὶ πλεῖστον ἥκοντες; ναῦς δὲ τίς αἱρετὴ καὶ πλείστην ἔχουσα τοῖς ἐπιβάταις εὐθυμίαν τε καὶ ἡδονήν; πότερον ἡ διεφθαρμένη καὶ ἐρρωγυῖα καὶ (702) ὑπὸ τῆς ἀντλίας δυομένη κάτω, ἢ πολὺ τοὐναντίον ἥτις ὡς ἀκριβέστατα καὶ στεγανώτατα ἔχει καὶ πόρρωθεν ἤσκηται ἐπιθεῖν τοῖς κύμασιν; εἶτ' ἐπὶ μὲν τῶν ἄλλων οὕτως ἕκαστον τὸν αὑτοῦ λόγον σῶζον ὡς πλείστους ἄγει καὶ πείθει, ἐπὶ δ' αὐτῶν τῶν λόγων πῶς ὦ πρὸς θεῶν φήσομεν;

Καὶ μὴν εἰ μὲν ἄλλου του χάριν ὁ λόγος εὑρέθη, μὴ τοῦ πείθειν, ἴσως ἄν τις ἀμφισβήτησις ἦν· ὅτε δ' ἐστὶν εὔδηλον ὡς ἐφ' ἓν τοῦτο ἅπασα ἡ τῆς λογικῆς δυνάμεως ἕξις ὥρμηται, δυοῖν ἀνάγκη δή που θάτερον, ἢ μὴ ὀρθῶς ἔχειν μηδ' ἱκανῶς τὸν λόγον, ἢ ὁμοῦ βέλτιστόν τε εἶναι καὶ κρατεῖν τῶν ἀκουόντων. ὥστ' οὐδὲν δεῖ διαφθείρειν αὐτὸν ὑπὲρ τοῦ κρατεῖν, ἀλλ' ὥσπερ τὰ μηχανήματα αἱρεῖν πέφυκε, κἂν μηδεὶς εἰδῇ τῶν ἐναντίων ἐξ ὅτων καὶ ὅπως συνετέθη, οὕτω λόγος εὖ συντεθεὶς τὸ αὑτοῦ δρᾷ, κἂν τοῖς ἀπειροτάτοις ἐντύχῃ. θαυμάζω δέ, εἰ οἶνον μὲν καὶ σῖτον καὶ ἔλαιον καὶ μέλι καὶ κρέα καὶ τραγήματα καὶ γάλα καὶ χρήματα καὶ ὕδωρ καὶ ξύλα καὶ λίθους (703)

---

ἡδύτατα. Non contemnenda lectio codicis Barocciani ἀηδέστατα. et quibusnam a templis discedimus invitissimi, volentes eorum contemplationi quam diutissime inhaerere et spectaculo satiari? Reisk.

409, 1 σεμνότατοι ΓΔL Canter. Norrm. Vulgo σεμνότητα. ἥκοντες ΓL Iunt. Norrm. et, nisi fallor, ΔΘ. ἔχοντες Steph. Iebb. 2 ἐρρωγυῖα ΓΔΘL Norrm. Vulgo διερρωγυῖα. 3 ἀντλίας] ἀνταίας Γ. 4 κύμασιν ΓΔΘ Norrm. Vulgo κύμασι. εἶτ' ΓΘL. Vulgo εἶτα. 5 λόγων] Alluditur ad homonymiam vocabuli λόγος. Canter. 6—9 καὶ μὴν — ἀκουόντων afferuntur infra p. 484, 10. 6 φήσομεν ΓΔΘL Norrm. Vulgo φήσωμεν. ὁ λόγος] ὁ om. ΓL. ἢ 484 et Canterus. Vulgo μή. 7 ὡς] ὅτι 484. ἅπασα ΓΔΘL Canter. Norrm. Vulgo ἅπασι. πᾶσα 484. 8 ἱκανῶς] ἱκανὸν φαίνεσθαι 484. 9 ὥστ'] ὡς Γ. 10 αὐτὸν] τ' αὐτὸν Γ. ἑαυτὸν ΘL. 11 ὅτων ΓΘL. Vulgo ὅτου. αὑτοῦ] αὐτὸ ΘL. 12 ἐντύχῃ] ἐντύχοι ΓΔΘ. μὲν addidi ex ΓΔΘL. εἰ σῖτον καὶ οἶνον Norrm. 13 χρήματα libri omnes praeter Steph. Iebb., qui χρίματα ex correctione Canteri. καὶ χρήματα] Merces vertimus, at nunc videmus Canterum ex ingenio

Digitized by Google

οὐδ᾽ ἂν εἷς ἡδίω φήσειε τὰ διεφθαρμένα τῶν ἀδιαφθόρων, λόγους δὲ τοὺς ὡς καθαρώτατα καὶ εἰλικρινέστατα ἔχοντας ἀηδεστέρους εἶναι τῶν διεφθαρμένων. οὐδ᾽ ἂν εἷς ταῦτα φήσειε, καὶ ταῦθ᾽ ὅτι οὐ τοῦ παραδόξου λέγεται χάριν, ἀλλ᾽ ἀμήχανον ἄλλως ἔχειν, αὐτὰ κατηγορεῖ. τίς ἄριστος ἐπῶν ποιητής; Ὅμηρος. τίς δ᾽ ὡς πλείστους ἀνθρώπων ἀρέσκει καὶ τῷ μάλιστα χαίρουσιν; ἢ τοῦτό γε καὶ αὐτὸς ὑπὲρ αὐτοῦ προείδετο; διαλεγόμενος γὰρ ταῖς Δηλιάσι καὶ καταλύων τὸ προοίμιον, εἴ τις ἔροιθ᾽ ὑμᾶς, φησὶν

---

legere χρίματα unguenta, lib. cit. p. 19. quod editio Pauli Stephani exprimit. Sed ferri tamen et vulgatum potest, cui MS. suppetias venit. Norrm. Recte codices χρήματα, utensilia. Reisk.

14 λόγους] λόγος L. 15 εἰληκρινέστατα Δ. φήσειε] φήσειεν Δ. 17 πλείστους] Legebatur πλεῖστοι. πλείστοις L. πλειστοῦ (sic) Γ. ἀνθρώπων ΓL. Vulgo ἀνθρώποις. 18 χαίρουσιν ΓΔΘL Norrm. Vulgo χαίρουσι. αὐτοῦ ΔL. Vulgo αὑτοῦ. προείδετο] προΐδετο L. 19 Δηλιάσι] δηλιάσιν Γ. καταλύων τὸ προοίμιον] Quamquam non nescirem pro hymno τὸ προοίμιον antiquioribus, ut Thucydidi, ut Platoni, usurpari; malui tamen nunc prooemium hymni in Apollinem reddere propter illud καταλύων, quo Noster usus est; id quod de clausula hymni haud recte acceperis: quippe primus eorum versuum, quos Noster adducit, aut verius primi ἀκροτελεύτιον, de versu 169. Hymni petitum est; at is 546. versus hexametros habet. Prooemium vero usque ad versum 179. ὦ ἄνα καὶ Λυκίην καὶ Μῃονίην ἐρατεινὴν produci videtur, unde novum veluti exordium sequentia ducunt. Caeterum versus Ὑμεῖς δ᾽ εὖ μάλα πᾶσαι ἀποκρίνασθε ἀφ᾽ ὑμῶν hodie aliter apud Homerum concipitur, nimirum Ὑμεῖς δ᾽ εὖ μάλα πᾶσαι ὑποκρίνασθε ἀφ᾽ ἡμέων. vocem ultimam haud dubie ex Nostro refingendam censerem; nisi si servare illa videretur vestigia lectionis, quae apud Thucydidem libro 3. p. 117. Steph. haec citantem visitur, ἀφήμως. quod Scholiastes exponit σιγῇ, ἥσυχα, ἀθρόως. Idem et Hesychius vocabulum adfert, eodem ut opinor, erutum loco. Solet enim doctissimus ille Grammaticus Homeri τὰ ἅπαξ εἰρημένα Glossemasi suis saepenumero infercire. Quando vero hanc opellam Poëtae dare coepimus, tentabimus mendum isto haud paullo gravius, quod versum obsidet 165. parvulo admodum intervallo anteeuntem, tollere ac propulsare; is hodie hunc in modum editur, ἀλλ᾽ ἄγε δὴ Λητὼ μὲν Ἀπολλόν τ᾽ Ἀρτέμιδι ξὺν Χαίρετε δ᾽ ὑμεῖς πᾶσαι. — tum sic, si Musis placet, latine vertitur, *sed age o Latona quidem, Apolloque Diana cum, salvete vos omnes.* Varam tibia sequitur,

Digitized by Google

Ὦ κοῦραι, τίς δ' ὔμμιν ἀνὴρ ἥδιστος ἀοιδῶν
ἐνθάδε πωλεῖται καὶ τέῳ τέρπεσθε μάλιστα,
410 ὑμεῖς δ' εὖ μάλα πᾶσαι ἀποκρίνασθ' εὐφήμως,
τυφλὸς ἀνὴρ, οἰκεῖ δὲ Χίῳ ἐνὶ παιπαλοέσσῃ.

πάλιν εἰς τραγῳδίαν τίνες ἐνδοξότατοι καὶ πᾶσιν ὡς ἔπος εἰπεῖν τοῖς κριταῖς νικῶντες; οἶμαι μὲν, οἱ βέλτιστοι Σο-

---

pravam ac mendosam scripturam insubida traductio. Etenim qua fronte, qua ratione, ad Apollinem retuleris ὑμεῖς πᾶσαι, quod ad virgines Deliacas referendum esse suadent omnia, ac persuadent? saniora idem nobis Thucydides suppeditat, ἀλλ' ἄγεθ' ἱλήκοι μὲν Ἀπόλλων Ἀρτέμιδι ξύν· χαίρετε δ' ὑμεῖς πᾶσαι. Norrm. Ὦ κοῦραι] Hymn. in Apoll. v. 169. τίς δ' ἀνὴρ ὔμῖν ἥδιστος Norrm. ὔμμιν] Libri ὑμῖν. Correxit Canterus. 20 πωλεῖται] πολεῖται L. δ'] δὲ Δ.

410, 1 ἀποκρίνασθ'] ἀποκρίνασθε ΔΘ Norrm. ἀποκρίνασθαι ΓL. ὑποκρίνασθαι Iunt. ὑποκρίνασθε Canter. Iebb. εὐφήμως dedi ex Homero. ἀφ' ἡμῶν ΓΔΘL. ἀφ' ὑμέων Canter. ἀφ' ὑμῶν Norrm. Iebb. prorsus om. Iunt. 2 οἶμαι μὲν] Prudenter Aristides ac modeste, aleae invidiaeque plenissimam declinat censuram, de Aeschylo, Sophocle ac Euripide, Graecanicae Tragoediae triumviris, qui ut omnibus eiusdem operis auctoribus lumine ac fulgore suo tenebras noctemque quodammodo obduxere, ita soli hodie, postquam caeteri, quotquot unquam grandes illos cothurnos adtigerant, in rationem Libitinae venerunt, magnam partem incolumes superant. Res est sane quam vexata, nec minus multis dicta ac tractata, quam — *Hylas puer et Latonia Delos.* Immo postquam humanis calculis sententiisque, inter se dissidentibus, parum, aut nihil profectum fuit, etiam Divûm oraculis iactata; neque tamen unquam bona fide composita aut diremta: quippe, quod ubique usu venire solet, ex suo quisque sensu ac palato, rem omnem arbitratur. Iam olim vero iustum huic caussae commentarium, περὶ τῶν τριῶν τραγῳδοποιῶν inscriptum, Heraclidem Ponticum impendisse, Diogenes Laërtius nos docet. Quorsum etiam pertinuisse credimus tres eiusdem scriptoris libros, περὶ τῶν παρ' Εὐριπίδῃ καὶ Σοφοκλεῖ· quos nunc, cum tot aliis diffusissimae eruditionis viri scriptis, rei praecipue Poeticae atque Philologicae eximium lumen praelaturis, nudis indicibus titulisque notos habemus. Idem negotium in *Βατράχοις*, sed veteris comoediae more, tractat Aristophanes, tractat peculiari opusculo Halicarnassensis Dionysius, quo de dictione veterum, illorumque κατορθώμασί τε καὶ ἐλαττώμασι, severus accuratusque Censor, magno animo, iudicio, usu, nec minore libertate, sententiam dicit, tum qui Dionysii vestigia legere creditur, gravis inprimis auctor, Fabius Quinctilianus, Insti-

φοκλῆς; Αἰσχύλος, Εὐριπίδης. μὴ γάρ τις τούτων μάλιστα, ἀλλ' ὅτι γε ὑπὲρ πάντας οὗτοι τοὺς ἄλλους. ῥητόρων δὲ τῶν εἰς ἡμᾶς τίς γνωριμώτατος καὶ θαυμαστότατος καὶ μέγιστον ὄνομα ἔχων ἐν τοῖς πολλοῖς; ὁ πλεῖστον (7 ὑπερσχὼν τῷ καλῷ τῷ περὶ τοὺς λόγους. πάντες ὧν μέγιστα ὀνόματα ἐπὶ τοῖς ἑαυτῶν ἀντὶ μαρτύρων εἰσί μοι. νὴ Δί', εἴποι τις ἄν, ἀλλ' ἠκολούθησαν οἱ πολλοὶ τῇ δόξῃ τῶν ὀλίγων καὶ ἀκριβῶς ἐξ ἀρχῆς τὰς ψήφους ἐνεγκόντων. οὐ διαφέρομαι. ἀλλ' οὖν τοῦτό γ' εὔδηλον ὅτι κἂν τοῖς ὀλίγοις κἂν τοῖς πολλοῖς εὐδοκιμεῖν ἀνάγκη τὰ βελτίω, καὶ τοσούτῳ μᾶλλον ὅσῳ περ ἂν ᾖ τελεώτερα. ἔτι δ' εἰ τοσοῦτόν ἐστι τὸ κράτος τῶν ἀκριβεστάτων, ὥστε καὶ ἑτέρους εὐδοκιμεῖν, οὗτοι εἰσιν οἱ παρασκευάζοντες ἀφ' ὧν ἂν κρίνωσι, πῶς οὐ πανταχῇ τὸ ἀκριβὲς ἰσχυρόν; ἢ τί δεῖ τοὺς ἀκριβεστάτους θεραπεύειν ἀφέντα τοὺς πολλοὺς ἀρέσκειν ζητεῖν, οἳ τῶν ἀκριβεστάτων εἰσίν, οὐχ αὐτῶν; ἐκείνως μὲν γὰρ ὑπ' ἀμφοτέρων κριθησόμεθα καὶ

---

tutionum Oratoriarum 10, 1. Quibus unum addemus, nostri quidem aevi hominem, sed ingenio καὶ πολυμαθείᾳ antiquis parem, Danielem Heinsium, in de Constitutione Tragoediae cap. 17. Hoc tamen inter plerosque fere convenit, grandiloquentia ac sublimitate, proinde ac aevo, antistare Aeschylum; ingenio, spiritu, moribus, artisque ac decori observantia, primas Sophoclem mereri; sapientiae facundiaeque artibus, atque sententiarum cum acumine tum frequentia, longe caeterorum principem videri Euripidem; cuius singulos versus, singula testimonia Cicero putabat. Itaque Aeschylum τῶν τραγικῶν μεγαλοφωνότατον, Sophoclem τὸν γλυκὺν, Euripidem τὸν πάνσοφον, appellat Phrynichus apud Photium Biblioth. ρνγ. p. 173. Sed ut finem faciamus, aliis omissis, oraculum, quod Chaerephonti redditum fuisse scholiastes Comici ad Nephelas p. 67, tradit, adiungemus, σοφὸς Σοφοκλῆς· σοφώτερος δ' Εὐριπίδης. Ἀνδρῶν δὲ πάντων Σωκράτης σοφώτατος. Norrm.

3 μὴ γάρ τις] μὴ γὰρ μή τις Norrm. et in margine „Fort. μὴ τίς." μὴ γὰρ] Subaudi λέγω. Reisk. 4 γνωριμώτατος] γνωριμωτάτων L. 5 λόγους. πάντες ὧν] λόγους πάντας· ὧν L. 6 τοῖς] Lege τῆς. Canter. 7 ἀκριβῶς] ἀκριβῶν ΓΔΘL. ἀκριβῶς τὰς ψήφους ἐξενεγκόντων ἐξαρχῆς Norrm. 8 τοῦτό γ'] τοῦτ' Norrm. 9 τελεώτερα — ὥστε καὶ om. Δ. 10 κρίνωσι ΔΘL Norrm. Vulgo κρίνωσιν. οὐ πανταχῇ] οὐ πανταχῇ οὐ ΓΘ. 11 τοὺς πολλοὺς ΓΘ. τὸ πολλοὺς L. Vulgo τὸ πολλοῖς. τοῖς πολλοῖς coniecit Norrmannus. 12 αὐτῶν ΔΘL. Vulgo ἑαυτῶν. γὰρ ὑπ']

Digitized by Google

θαυμασθησόμεθα, οὕτω δὲ ὑπ' οὐδετέρων σχεδὸν εἴπερ μηδὲν ἰσχυρόν ἐστι τῶν πολλῶν. ἀλλ' ἐγὼ τί φημι; καὶ τοῖς ἀρίστοις ἕπεσθαι τοὺς πολλοὺς καὶ καθ' αὑτοὺς εὐθὺς μοίρᾳ τινὶ θείᾳ τὰ κράτιστα θαυμάζειν. καὶ γὰρ ἂν εἴη παγγέλοιον, εἰ δι' ἑτέρων μὲν ἀκριβῶν ἴσασι τοὺς (705) ἀκριβεῖς, αὐτοὶ δ' ἀγνοοῦσι, καὶ τοὺς μὲν κρίνοντας αὑτῶν ἀντικρίνουσιν αὐτοὶ βελτίους ἑαυτῶν εἶναι, τοὺς δ' ἐξ ἀρχῆς τὰ κράτιστα δεικνύντας οὐ θαυμάσονται, οἳ μετὰ τῆς ἐπιστήμης καὶ τὴν δύναμιν τοῦ πείθειν οὖσαν κέκτηνται. οὐδεὶς ὅστις οὐ φήσει ταῦθ' οὕτως ἔχειν. καίτοι κἂν εἰ μὴ συναμφοτέρους ἄγειν ἐξῆν, τό γε τῶν βελτίστων μέρος αἱρετώτερον οἶμαι τοῖς εἰς βελτίους ἀξιοῦσι τελεῖν· ὅτε δ' ἔστιν ἐξ ἀρχῆς καὶ τούτους κἀκείνους χειροῦσθαι ἢ δι' ἐκείνων καὶ τούτους αἱρεῖν, πανταχῇ νικᾷ τὰ βέλτιστα.

Μάρτυρας δὲ καὶ τούτων ἔχομεν ποιητάς, οἳ τοὺς

---

γὰρ καὶ ὑπ' Δ. 14 τὰ κράτιστα θαυμάζειν] Quia in numero ipso est quoddam magnum collatumque consilium; quibusque singulis iudicii parum, omnibus plurimum. Itaque Pomponius Secundus, scriptor tragoediarum, si quid familiarior amicus tollendum, ipse retinendum arbitraretur, dicere solebat, *Ad populum provoco*; atque ita ex populi vel silentio, vel assensu, aut suam, aut amici sententiam sequebatur: tantum ille populo dabat. Recte an secus, nihil ad me: ego enim non populum advocare, sed certos electosque soleo, quos intuear, quibus credam; quos denique et tanquam singulos observem, et tanquam non singulos timeam. Plin. Epist. 7, 17. Rursus idem Panegyrico: melius omnibus quam singulis creditur, singuli enim decipere et decipi possunt, omnes non possunt. Contra Asopodorus apud Athenaeum 14. p. 631. πάλαι μὲν τὸ παρὰ τοῖς ὄχλοις εὐδοκιμεῖν σημεῖον ἦν κακοτεχνίας· ὅθεν καὶ Ἀσωπόδωρος ὁ Φλιάσιος κροταλιζομένου ποτέ τινος τῶν αὐλητῶν, διατρίβων αὐτὸς ἔτι ἐν τῷ ὑποσκηνίῳ, τί τοῦτ'; εἶπεν· δῆλον ὅτι μέγα κακὸν γέγονεν, ὡς οὐκ ἂν ἄλλως ἐν τοῖς πολλοῖς εὐδοκιμήσαντος. οἶδα δέ τινας τοῦθ' ἱστορήσαντας, ὡς Ἀντιγενίδου εἰπόντος· καὶ οἱ καθ' ἡμᾶς δὲ τέλος ποιοῦνται τῆς τέχνης τὴν παρὰ τοῖς θεάτροις εὐημερίαν. Norrm.

15 αὐτοὶ Norrm. Vulgo αὐτούς. καθ' αὑτοὺς Canterus.

16 κρίνοντας αὑτῶν ΓΔΘL. Vulgo κρίνοντας τὰ αὑτῶν. κρίνοντας αὐτοὺς Norrm. ἀντικρίνουσιν (ας) L. 17 οὖσαν ΓΔΘL Norrm. οὓς ἂν Iunt. οὑστινασοῦν Steph. Iebb. οὑστινασοῦν βούλωνται Canterus.

18 κέκτηνται] ἔκτηνται Θ. οὐδεὶς] οὐδείς ἐστιν Norrm.

19 βελτίους] βελτίστους L.

411, 1 ἐξ ΔΘL Norrm. Vulgo ἢ ἐξ. 2 ποιητὰς] Homerum



Digitized by Google

φοκλῆς; Αἰσχύλος, Εὐριπίδης. μὴ γάρ τις τούτων μάλιστα, ἀλλ' ὅτι γε ὑπὲρ πάντας οὗτοι τοὺς ἄλλους. ῥητόρων δὲ τῶν εἰς ἡμᾶς τίς γνωριμώτατος καὶ θαυμαστότατος καὶ μέγιστον ὄνομα ἔχων ἐν τοῖς πολλοῖς; ὁ πλεῖστον (7b) ὑπερσχὼν τῷ καλῷ τῷ περὶ τοὺς λόγους. πάντες ὧν μέγιστα ὀνόματα ἐπὶ τοῖς ἑαυτῶν ἀντὶ μαρτύρων εἰσί μοι. νὴ Δί', εἴποι τις ἄν, ἀλλ' ἠκολούθησαν οἱ πολλοὶ τῇ δόξῃ τῶν ὀλίγων καὶ ἀκριβῶς ἐξ ἀρχῆς τὰς ψήφους ἐνεγκόντων. οὐ διαφέρομαι. ἀλλ' οὖν τοῦτό γ' εὔδηλον ὅτι κἂν τοῖς ὀλίγοις κἂν τοῖς πολλοῖς εὐδοκιμεῖν ἀνάγκη τὰ βελτίω, καὶ τοσούτῳ μᾶλλον ὅσῳ περ ἂν ᾖ τελεώτερα. ἔτι δ' εἰ τοσοῦτόν ἐστι τὸ κράτος τῶν ἀκριβεστάτων, ὥστε καὶ ἑτέρους εὐδοκιμεῖν, οὗτοί εἰσιν οἱ παρασκευάζοντες ἀφ' ὧν ἂν κρίνωσι, πῶς οὐ πανταχῇ τὸ ἀκριβὲς ἰσχυρόν; ἢ τί δεῖ τοὺς ἀκριβεστάτους θεραπεύειν ἀφέντα τοὺς πολλοὺς ἀρέσκειν ζητεῖν, οἳ τῶν ἀκριβεστάτων εἰσίν, οὐχ αὐτῶν; ἐκείνως μὲν γὰρ ὑπ' ἀμφοτέρων κριθησόμεθα καὶ

---

tutionum Oratoriarum 10, 1. Quibus unum addemus, nostri quidem aevi hominem, sed ingenio καὶ πολυμαθείᾳ antiquis parem, Danielem Heinsium, in de Constitutione Tragoediae cap. 17. Hoc tamen inter plerosque fere convenit, grandiloquentia ac sublimitate, proinde ac aevo, antistare Aeschylum; ingenio, spiritu, moribus, artisque ac decori observantia, primas Sophoclem mereri; sapientiae facundiaeque artibus, atque sententiarum cum acumine tum frequentia, longe caeterorum principem videri Euripidem; cuius singulos versus, singula testimonia Cicero putabat. Itaque Aeschylum τῶν τραγικῶν μεγαλοφωνότατον, Sophoclem τὸν γλυκὺν, Euripidem τὸν πάνσοφον, appellat Phrynichus apud Photium Biblioth. ϱνγ. p. 173. Sed ut finem faciamus, aliis omissis, oraculum, quod Chaerephonti redditum fuisse scholiastes Comici ad Nephelas p. 67, tradit, adiungemus, σοφὸς Σοφοκλῆς· σοφώτερος δ' Εὐριπίδης. Ἀνδρῶν δὲ πάντων Σωκράτης σοφώτατος. Norrm.

3 μὴ γάρ τις] μὴ γὰρ μή τις Norrm. et in margine „Fort. μὴ τίς." μὴ γὰρ] Subaudi λέγω. Reisk. 4 γνωριμώτατος] γνωριμωτάτων L. 5 λόγους. πάντες ὧν] λόγους πάντας· ὧν L. 6 τοῖς] Lege τῆς. Canter. 7 ἀκριβῶς] ἀκριβῶν ΓΔΘL. ἀκριβῶς τὰς ψήφους ἐξενεγκόντων ἐξαρχῆς Norrm. 8 τοῦτό γ'] τοῦτ' Norrm. 9 τελεώτερα — ὥστε καὶ om. Δ. 10 κρίνωσι ΔΘL Norrm. Vulgo κρίνωσιν. οὐ πανταχῇ] οὐ πανταχῇ οὐ ΓΘ. 11 τοῖς πολλοὺς ΓΘ. τὸ πολλοὺς L. Vulgo τὸ πολλοῖς. τοῖς πολλοῖς coniecit Norrmannus. 12 αὐτῶν ΔΘL. Vulgo ἑαυτῶν. γὰρ ὑπ']

θαυμασθησόμεθα, οὕτω δὲ ὑπ' οὐδετέρων σχεδὸν εἴπερ μηδὲν ἰσχυρόν ἐστι τῶν πολλῶν. ἀλλ' ἐγὼ τί φημι; καὶ τοῖς ἀρίστοις ἕπεσθαι τοὺς πολλοὺς καὶ καθ' αὑτοὺς εὐθὺς μοίρᾳ τινὶ θείᾳ τὰ κράτιστα θαυμάζειν. καὶ γὰρ ἂν εἴη παγγέλοιον, εἰ δι' ἑτέρων μὲν ἀκριβῶν ἴσασι τοὺς (705) ἀκριβεῖς, αὐτοὶ δ' ἀγνοοῦσι, καὶ τοὺς μὲν κρίνοντας αὐτῶν ἀντικρίνουσιν αὐτοὶ βελτίους ἑαυτῶν εἶναι, τοὺς δ' ἐξ ἀρχῆς τὰ κράτιστα δεικνύντας οὐ θαυμάσονται, οἳ μετὰ τῆς ἐπιστήμης καὶ τὴν δύναμιν τοῦ πείθειν οὖσαν κέκτηνται. οὐδεὶς ὅστις οὐ φήσει ταῦθ' οὕτως ἔχειν. καίτοι κἂν εἰ μὴ συναμφοτέρους ἄγειν ἐξῆν, τό γε τῶν βελτίστων μέρος αἱρετώτερον οἶμαι τοῖς εἰς βελτίους ἀξιοῦσι τελεῖν· ὅτε δ' ἔστιν ἐξ ἀρχῆς καὶ τούτους κἀκείνους χειροῦσθαι ἢ δι' ἐκείνων καὶ τούτους αἱρεῖν, πανταχῇ νικᾷ τὰ βέλτιστα.

Μάρτυρας δὲ καὶ τούτων ἔχομεν ποιητάς, οἳ τοὺς

γὰρ καὶ ὑπ' Δ. 14 τὰ κράτιστα θαυμάζειν] Quia in numero ipso est quoddam magnum collatumque consilium; quibusque singulis iudicii parum, omnibus plurimum. Itaque Pomponius Secundus, scriptor tragoediarum, si quid familiarior amicus tollendum, ipse retinendum arbitraretur, dicere solebat, *Ad populum provoco;* atque ita ex populi vel silentio, vel assensu, aut suam, aut amici sententiam sequebatur: tantum ille populo dabat. Recte an secus, nihil ad me: ego enim non populum advocare, sed certos electosque soleo, quos intuear, quibus credam; quos denique et tanquam singulos observem, et tanquam non singulos timeam. Plin. Epist. 7, 17. Rursus idem Panegyrico: melius omnibus quam singulis creditur, singuli enim decipere et decipi possunt, omnes non possunt. Contra Asopodorus apud Athenaeum 14. p. 631. πάλαι μὲν τὸ παρὰ τοῖς ὄχλοις εὐδοκιμεῖν σημεῖον ἦν κακοτεχνίας· ὅθεν καὶ Ἀσωπόδωρος ὁ Φλιάσιος κροταλιζομένου ποτέ τινος τῶν αὐλητῶν, διατρίβων αὐτὸς ἔτι ἐν τῷ ὑποσκηνίῳ, τί τοῦτ'; εἶπεν· δῆλον ὅτι μέγα κακὸν γέγονεν, ὡς οὐκ ἂν ἄλλως ἐν τοῖς πολλοῖς εὐδοκιμήσαντος. οἶδα δέ τινας τοῦθ' ἱστορήσαντας, ὡς Ἀντιγενίδου εἰπόντος· καὶ οἱ καθ' ἡμᾶς δὲ τέλος ποιοῦνται τῆς τέχνης τὴν παρὰ τοῖς θεάτροις εὐημερίαν. Norrm.

15 αὐτοὶ Norrm. Vulgo αὐτούς. καθ' αὑτοὺς Canterus.

16 κρίνοντας αὐτῶν ΓΔΘL. Vulgo κρίνοντας τὰ αὐτῶν. κρίνοντας αὐτοὺς Norrm. ἀντικρίνουσιν L. (ας superscript) 17 οὖσαν ΓΔΘL Norrm. οὓς ἂν Iunt. οὐστινασοῦν Steph. Iebb. οὑστινασοῦν βούλωνται Canterus.

18 κέκτηνται] ἔκτηνται Θ. οὐδεὶς] οὐδείς ἐστιν Norrm.

19 βελτίους] βελτίστους L.

411, 1 ἐξ ΔΘL Norrm. Vulgo ἢ ἐξ. 2 ποιητὰς] Homerum



Digitized by Google

ἀρίστους καὶ ἀσφαλεστάτους τῶν ῥητόρων μάλιστα ζηλοῦσθαί φασι καὶ μακαρίζεσθαι παρὰ τοῖς πλήθεσι. καὶ τί δεῖ τοὺς παλαιοὺς καταλέγειν ἢ ποιητὰς ἢ ῥήτορας; ἀλλ' ἡμῶν τουτωνὶ, θεὸς δ' εὐμενὴς παραπέμποι τὸν λόγον, τίνες πω μείζους θορύβους ἐν συλλόγοις ἐκίνησαν; ἢ τίς μᾶλλον σὺν θεοῖς εἰπεῖν, τουτὶ γὰρ ἔμοιγε ἡγείσθω πάσης παρρησίας, ἀμφοτέρων ἥψατο τῶν ἐθνῶν, λέγω καὶ τῶν δεξιῶν καὶ τῶν οὓς πολλοὺς ὀνομάζομεν, οἵ γε καὶ μηδενὸς αὐτοὺς ἐπαναγκάζοντος νόμου διώμοτοι τὴν ψῆφον φέρουσιν. ἐῶ τἄλλα. ἀλλ' ἃ νυνὶ φθέγγεσθε ἐπὶ τούτοις ὁρᾶτε δήπουθεν. ἔστιν οὖν ὅ τι πώποτε πρὸς χάριν ἡμεῖς εἴπομεν τῶν ἀκροατῶν; οὐδὲ γρῦ. καίτοι πολλὰ καὶ παντοῖα. μόνοι γὰρ τῶν πώποτε ἁψαμένων λόγων εὐχόμεθα, ὅπερ μετριώτατον εἰπεῖν, ὁπόσα ἐστὶ καὶ νομίζεται περὶ λόγους ἀγαθὰ εἰς μίαν δύναμιν κατακλείσαντες δεικνύναι μεθ'

---

Odyss. θ' et Hesiod. Theogon. Canter. τοὺς ἀρίστους τῶν ῥητόρων] Locum Homeri Odyss. θ, 169. Noster, opinor, innuit; quem totum περὶ παραφθέγματος p. 637. adfert. Norrm.
6 ἐθνῶν] ἐθ..ῶν, abraso ν, Γ. 8 τἄλλα] τὰ ἄλλα ΓL.
Omitto reliqua vestri applausus argumenta commemorare. sufficiat ad illos plausus et ad voces illas provocare, quibus haec ipsa, quae de vestro assensu iam modo dixi, prosequimini. videtis enim et auditis. Reisk. ἀλλ' ἃ νυνὶ φθέγγεσθε L Norrm. Iebb. ἀλλὰ νυνὶ φθέγγεσθαι Iunt. 9 οὖν om. L. πρὸς χάριν ἡμεῖς εἴπομεν πώ ποτε Norrm. γρῦ] γρύ L Norrm. 10 παντοῖα] subaudi εἴπομεν. Reisk. λόγων om. Δ. 11 κατακλείσαντας, δεικνύναι] Codicis nostri scripturam, hoc aliisque in locis, nisi ubi manifesto in mendo cubat, haud indiligenter expressimus. In editis est κατακλείσαντες, communiore in huiusmodi loquendi genere, constructione; quae nostro etiam in hac oratione frequenter usurpatur. ut φασὶ χαριζόμενοι ποιεῖν bis. (ζ) ἑκόντες ἐκβαίνειν. (ια) γενέσθαι τοιοῦτος. et ἑκὼν τιμῆσαι. (μη) ἰατρὸς εἶναι. (νγ) Quanquam vero nonnulla lectioni MS. codicis gemina ac simillima, alibi reperiantur, ipse tamen κατακλείσαντες praetulerim. Verum, ut ad sententiam loci veniamus; quemadmodum nusquam virtutes Noster suas laudesque aut negligit, aut dissimulat, ita in primis hoc loco, et in oratione πρὸς τοὺς αἰτιωμένους ὅτι μὴ μελετῴη, grandiores tibias inflare videtur; quam περιαυτολογίαν summis viri pro meritis, eximiisque ingenii ac doctrinae dotibus, et facile nos concedimus, et tuetur ipse, ut recte inque loco usurpatam, auctoritate potissimum ac exemplis summorum omnis aevi memoriae-

Digitized by Google

ὑπερβολῆς. οὕτως ἐγώ. καὶ οὐδ᾽ ὁτιοῦν φαίην ἂν χαρίζεσθαι καὶ οὐδὲν ὅ τι οὐ χαρίζεσθαι, ἀνθ᾽ ὧν εἰκότως τὰ προσήκοντα χαρίζομαι. εἶτ᾽ ἐγὼ τετηρηκὼς ἐπὶ τῶν πραγμάτων καὶ τῶν αὐτὸς ἐμαυτοῦ λόγων ὡς οὐκ ἀμισθὶ τὸ τὰ βέλτιστα λέγειν περιγίγνεται, συγχωρῶ τοῖς φληνάφοις τούτοις καταψεύδεσθαι τῶν πολλῶν, ὅτι τούτων ἕνεκα ἀμαθαίνουσιν; οὐχ ἕως γ᾽ ἂν ἐμαυτὸν ὑπάρχω γιγνώσκων. εἰ δέ τινες φάσκοντες αὖ βέλτιον ἢ κατὰ τούτους προῃρῆσθαι μὴ τυγχάνουσι τῶν πολλῶν, ἀλλ᾽ ἀπο- (707)
σβέννυνται πρὶν τινα ἰδεῖν τὴν φλόγα, οὐδὲν τοῦτό γ᾽ ἐστὶ κατὰ τῶν σεμνοτέρων λόγων ἢ ὅλως κρειττόνων. ἐνδείᾳ γὰρ τῶν μεγίστων αὐτὸ πάσχουσιν, οὔτε γνώμην ἱκανὴν οὔτε κόσμον παρασχόμενοι περὶ τοὺς λόγους. εἰ δ᾽ ἦσαν τέλεοι τὴν μουσικήν, ὃ τῷ Ὀρφεῖ λέγεται προσεῖναι
2 κἂν τούτοις προσῆν, πάντας ἂν ἦγον. νῦν δ᾽ ἐκείνῳ μὲν καὶ τὰ ξύλα καὶ τοὺς λίθους ἄγειν προστίθησιν ὁ μῦθος δι᾽ ὑπερβολῆς, οἱ δ᾽ ἀντὶ ξύλων αὐτοὶ καὶ λίθων εἰσὶ τῷ μὴ κινεῖν. ἀλλ᾽ ἡμεῖς οὐ τοῦτο προὐθέμεθα σκοπεῖν,

---

que hominum, ἐν τῷ παραφθέγματος. Contra ea, quis sine risu aut fastidio, insanam μεγαλορρημοσύνην Lucianei rhetorum magistri, similiumque κομπαστῶν, audiat? πρὶν ἥλιον δῦναι, ῥήτορά σε ὑπὲρ τοὺς πάντας ἀποφανῶ, οἷος αὐτός εἰμι ἀναμφιλέκτως τὰ πρῶτα, καὶ μέσα, καὶ τελευταῖα τῶν λέγειν ἐπιχειρούντων ἔχων. Neque mirum eandem discipulo suo modestiam istum ἀλαζονοχαυνοφλύαρον commendavisse; ἤν τις ἐντύχῃ, φησί, θαυμάσια ὑπὲρ σαυτοῦ λέγε καὶ ὑπερεπαίνει, καὶ ἐπαχθὴς γίγνου αὐτῷ· τί γὰρ ὁ Παιανιεὺς πρὸς ἐμέ· καὶ πρὸς ἴσα ἴσως μοι τῶν παλαιῶν ὁ ἀγών. Norrm. 12 φαίην ἂν ΓΔΘL Norrm. Vulgo ἂν φαίην. 14 ἀμισθὶ] ἀμισθεὶ Γ. τὸ om. Δ. 15 περιγίγνεται ΓΘL. Vulgo περιγίνεται. 16 γιγνώσκων] γινώσκων Norrm. φάσκοντες αὖ ΓΘL. Vulgo αὖ φάσκοντες. 17 τυγχάνουσι] τυγχάνωσι Δ. ἀποσβέννυνται L, Canter. Norrm. Iebb. ἀποσβέννυται Iunt. 18 οὐδὲν τοῦτό γ᾽ ἐστὶ] οὐδὲ τοῦτ᾽ ἐστὶ Norrm. 19 αὐτὸ] αὐτοὶ Δ. πάσχουσιν ΓΔΘ Norrm. Vulgo πάσχουσι. παρασχόμενοι ΓΔΘL. Vulgo παρεχόμενοι. 20 τέλεοι ΓΔΘ. Vulgo τέλειοι. ὃ τῷ ΓΘL Norrm. Vulgo καὶ ὃ τῷ. κἂν] Leg. καί. Reisk.

412, 1 προστίθησιν ΓΔΘL Norrm. Vulgo προστίθησι. 2 ὑπερβολῆς ΓΘL. Vulgo ὑπερβολήν. Post δι᾽ ὑπερβολὴν videtur

πόσοι πταισμάτων εἰσὶ τρόποι περὶ τοὺς λόγους, οὐδ' εἴ τινες καὶ ἕτεροι δυστυχοῦσιν, ἀλλ' ὅτι τῆς ἀρετῆς οὐδεμία πω κακία τρόπαιον ἔστησεν. οὐδ' ἀφ' ἑνὸς πράγματος τοῦτο λέγοντες οὐκ ἂν αἰσχυνοίμεθα· ἐπεί τοι καὶ τούτων αὖ τινα τῶν περὶ τοὺς ὄχλους καλινδουμένων καλῶς ἐγώ ποτ' ἐφώρασα τἀναντία πράττοντα ᾗ ἔσπευδεν. ᾖδε μὲν γὰρ ἐγκλίνας τῶν χαρίτων ἕνεκα, ἀκροτελεύτιον δ' ἐπεφθέγγετο ἐφ' ἑκάστῳ τῶν κομματίων ὥσπερ ἐν μέλει ταυτόν. οἱ δ' ἀκροαταὶ καὶ ἐρώμενοι οὕτω σφόδρα ἐξεπλήττοντο καὶ κατείχοντο ὑπὸ τοῦ μέλους ὥσθ' ὅτε δὴ ἐγίγνοντο πρὸς τῷ ῥήματι, ἐκγελάσαντες ἂν αὐτοὶ ὑπέβαλον, οὐκ ἀνταποδιδόντες ὥσπερ ἠχὼ τὴν φωνήν, ἀλλὰ καὶ προλαμβάνοντες. καὶ δῆτα ἡδὺς ἦν ὁ κορυφαῖος ἰὼν κατόπιν τοῦ χοροῦ. προσῆπτον δέ τι καὶ ἄλλο τοῦ κόρδακος οὕνεκα, ὥστ' ἐλεινὸν τὸ χρῆμα τῆς συναυλίας εἶναι τοῦ τε σοφιστοῦ καὶ τῶν ἑταίρων ἐφ' οἷς ἐπτόητο.

Τοιαῦτα οἱ τὸ βέλτιον τιμῶντες ἆθλα φέρονται παρὰ τῶν λογίων θεῶν καὶ τοιαῦτα οἱ λυμαινόμενοι τοῖς λόγοις.

---

τῆς δυνάμεως vel τῆς σοφίας vel tale quid deesse. Reisk. 3 εἴ τινες] εἰ δή τινες Norrm. 5 ἀφ' ἑνὸς] Fort. ἐφ' ἑνὸς. Ausim hoc de omnibus omnino rebus affirmare, ne una quidem excepta vel minima. Reisk. ἐπεί τοι καὶ ΓΔΘL Norrm. Aberat τοι. 6 ὄχλους] ὅλους L. καλινδουμένων ΔL Norrm. Vulgo κυλινδουμένων. ποτ' ΔL Norrm. Vulgo ποτε. τἀναντία πράττοντα] Contrario utentem exitu et sinisteriore fortuna. Reisk. 7 ἔσπευδεν ᾖδε ΓΔΘL Norrm. Vulgo ἔσπευδε ποιεῖν. ᾖδε. ᾖδε ἐγκλίνας] Neque hoc scenicae modulationis decus dicam an dedecus, tenellus iste ac calamistratus tinnulusque ῥητόρων διδάσκαλος omisit. ἢν δέ ποτε καὶ φάσαι καιρὸς εἶναι δοκῇ, πάντα ᾀδέσθω, καὶ μέλος γενέσθω. κἂν ποτε ἀπορήσῃς πράγματος ᾠδικοῦ, τοὺς ἄνδρας τοὺς δικαστὰς ὀνομάσας ἐμμελῶς, πεπληρωκέναι οἴου τὴν ἁρμονίαν. Sed severe ac graviter sanioris facundiae sapientiaeque doctor, Fabius, illam cantillandi licentiam confutat ac castigat Institut. Orator. 11. 3. et Dialogo de Oratoribus cap. 26. Norrm. ἕνεκα Norrm. Vulgo εἵνεκα. ἐφ' om. L. 8 ἐν μέλει] ἀμέλει L. ἐρώμενοι ΓΔΘL Norrm. Vulgo θεώμενοι. 9 ἐγίγνοντο ΓΘL. Vulgo ἐγγίγνοιντο. ἐγίνετο Δ. ἐγένετο Norrm. 10 ἂν addidi ex ΓΘL. ἀλλὰ καὶ ΘL. Aberat καί. 12 οὕνεκα ΓΘ. Vulgo εἵνεκα τοῦ κόρδακος οὕνεκα sumpsit ab Aristophane Nub. v. 555. ἐλεινὸν Vulgo ἐλεεινόν. 13 ἑταίρων] ἑτέρων Δ. βέλτιον Norrm

Digitized by Google

ἔπειτα ποιοῦσι παραπλήσιον ὥσπερ ἂν εἴ τις ἀνδρόγυνος ἢ εὐνοῦχος μὴ τὴν ἀσθένειαν τοῦ σώματος μηδὲ τὴν τύχην αἰτιῷτο, προνοίᾳ δὲ φάσκοι γενέσθαι τοιοῦτος. ἀλλ' οὔτ' ἀληθῆ λέγεις, ὦ τᾶν, οὔθ' ὅλως σωφρονεῖς, εἰ φὴς ἑκὼν ταῦτα τιμῆσαι. καὶ νῦν ἐγὼ κινδυνεύω φιλανθρωπότερος περὶ τούτους εἶναι τοῖς λόγοις τούτοις ἤπερ αὐτοὶ περὶ σφᾶς αὐτούς. ἐγὼ μὲν γὰρ ἄκοντας αὐτοὺς ἀποφαίνω καὶ δυστυχίᾳ τινὶ τοῦτο πάσχοντας, οἱ δ' ἐξεπίτηδές φασι (709) ποικίλλειν. οἱ δὲ νόμοι τοὺς ἑκουσίως πλημμελοῦντας δι-
3 πλασίαν τὴν ζημίαν ἐκτίνειν κελεύουσι τῶν ἀκόντων βλαψάντων. ἀρχὴν δὲ οὐδὲ συμβαλεῖν μοι δοκῶ δύνασθαι τί ποτ' ἔσθ' ὃ λέγουσι. καὶ γὰρ ὡς οὐκ ἄκοντες ὑφίενται δοκοῦσί μοι λέγειν, καὶ πάλιν ὡς οὐχ ἑκόντες, ἀλλ' ἄκοντες ὑφίενται. ὅταν μὲν γὰρ εἰς τοὺς ἀκροατὰς ἀναφέρωσι καὶ παρὰ τούτοις εἶναι φῶσι τὴν αἰτίαν, ὥσπερ ἄκοντες ἁμαρτάνειν λέγειν μοι δοκοῦσιν, ὅταν δ' εἰδέναι μὲν ὡς οὐδὲν χρηστόν ἐσθ' ὧν λέγουσιν, αἱρεῖσθαι δὲ λέγειν ὑπὲρ τοῦ ψυχαγωγεῖν, ἑκόντες ἁμαρτάνειν ὁμολογεῖν μοι δοκοῦσιν, ὥσπερ οἱ ἐν ταῖς τραγῳδίαις εἰδέναι μὲν φάσκοντες ἃ δράσουσι κακὰ, αὐτῶν δὲ κρατεῖν οὐ δύνασθαι. τοιαῦτ' ἐστὶ τὰ τούτων αἰνίγματα. καίτοι φησὶ μὲν δή που Κρατῖνος τῶν αἰσχρῶν εἶναι φίλοισι χαριζόμενον πονηρὸν αὐτὸν εἶναι· οὗτοι δ' εἰ μὲν φίλοις αὐτοῖς χρῶν-

---

Vulgo βέλτιστον. 16 φάσκοι] φάσκει Δ. οὔτ'] οὔτε ΓΔΘL. 17 σωφρονεῖς] σωφρονῇς Γ. 18 μὲν γὰρ ΓΔΘL Norrm. Vulgo μὲν οὖν. 19 ποικίλλειν] ποικίλειν Δ. Idem πλημμελοῦντας. 20 ἑκουσίως L Norrm. Iebb. ἑκουσίους Iunt. ἐκτίνειν] ἐκτείνειν Δ.

413, 1 οὐδὲ] οὐ ΘL. 3 μὲν γὰρ] γὰρ om. Norrm. 7 δράσουσι κακὰ ΓΘL. Vulgo δράσουσιν αὐτῶν κακά. δράσουσιν αὐτοὺς κακὰ coniecit Norrmannus. ἃ δράσουσιν αὐτῶν κακά] Ut Medea Euripidis, iam iam filios suos, proh nefas, iugulatura, v. 1080. καὶ μανθάνω μὲν οἷα τολμήσω κακὰ, θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων, ὅσπερ μεγίστων αἴτιος κακῶν βροτοῖς. Versum primum paullo aliter citat Arrianus Dissert. Epictet. 1, 28. καὶ μανθάνω μὲν οἷα δρᾶν μέλλω κακά· quomodo et Nostrum legisse fere censeas. Norrm. αὐτῶν] αὐτῶν ΓL. 8 φίλοισι — αὐτὸν εἶναι add. ΓΔΘL Norrm. Iebb. om. Iunt. 9 πονηρὸν αὐτὸν] αὐτὸν αἰσχρὸν

ται, παραπλησίως αὐτοῖς ἔχουσιν· ὥστ' εἰ τοῖς αὐτοῖς χαίρουσιν, αὑτοῖς ἄρ' οὐχ ἧττον ἢ τούτοις χαρίζονται· εἰ δ' αὖ μὴ νομίζουσι φίλους, ἀντὶ τοῦ χαρίζονται; εἴτε γὰρ ὡς ἐρασταῖς εἴθ' ὡς ἐρασταί, τό γε τῆς αἰσχύνης ἄφυκτον. αἰνίττονται δὲ κἀνταῦθα. φασὶ μὲν γὰρ τοὺς πολλοὺς ἐρᾶν αὑτῶν, φαίνονται δ' αὐτοὶ τούτων ἐρῶντες, εἴ γ' ἵνα τούτους ἀρέσωσιν ἀκολασταίνουσι. καὶ μὴν εἰ μὲν οὐδὲν φροντίζουσιν αὐτῶν, τί μαθόντες φήσουσι χαρίζεσθαι; εἰ δὲ φροντίζουσι, πότερον βελτίους ἂν ἦσαν παιδεύοντες καὶ τὴν οὖσαν ὁδὸν τῶν λόγων δεικνύντες, ἢ τῆς τούτων μοχθηρίας αὐτοὶ κληρονομοῦντες; ὥσπερ ἂν εἴ τις ἰατρὸς φάσκων εἶναι καὶ δέον αὐτὸν τοῖς κάμνουσι τὰ βέλτιστα συμβουλεύειν, τοῖς ἐκείνων αὐτὸς ὑπηρετοίη βουλήμασι καὶ τὴν τέχνην ὁρίζοιτο τῷ χαρίζεσθαι. οὐκοῦν ἀπολεῖς μὲν ἐκείνους, ἀπολεῖ δ' αὐτὸς ἐν εὖ φρονοῦσι δικασταῖς, ἐπεὶ καὶ ἡ φύσις οὕτως ἔταξε τὸν στρατηγὸν ἡγεῖσθαι τῶν στρατιωτῶν, οὐ τοῖς στρατιώταις ἀκολου-

414 θεῖν, τὸν κορυφαῖον ὡσαύτως τοῦ χοροῦ, τῶν ναυτῶν τὸν κυβερνήτην, τοῦ ζεύγους τὸν ἡνίοχον, τὸν ἰατρὸν τῶν δεομένων. εἶτ' ἐξὸν αὐτούς τε βελτίους εἶναι καὶ τοὺς συνόντας ὅπως βελτίους ἔσονται παρασκευάζειν, αὐτοί τε χείρους γίγνεσθε κἀκείνους ἔτι φαυλοτέρους ἢ εἰσὶν ἀπο-

---

Norrm. πονηρὸν om. Δ. 10 ὥστ' εἰ τοῖς Δ Norrm. Vulgo ὥστε τοῖς. Probo Norrmanni ὥστ' εἰ. quapropter locus ita erit constituendus. εἰ μὲν φίλοις αὐτοῖς χρῶνται, παραπλησίως αὐτοῖς ἔχουσιν. si quidem his amicis utuntur, sunt ipsis similes, ὥστ' εἰ τοῖς αὐτοῖς adeoque iisdem si ducuntur, quibus illi, non illis magis quam sibi gratificantur. Reisk. αὑτοῖς L. Vulgo αὐτοῖς. 12 ἄφυκτον ΓΔΘ Canter. Norrm. Vulgo ἄφικτον. τοὺς πολλοὺς ΓΘL. Aberat τούς. αὑτῶν] Vulgo αὐτῶν. 13 γ' ΓΔL Norrm. Vulgo γε. τούτους] τούτοις ΔΘ Norrm. 14 μαθόντες] Fort. παθόντες. Norrm. 15 δεικνύντες L Norrm. Iebb. δεικνύοντες Iunt. τούτων L Canter. Norrm. Iebb. τούτου Iunt. 17 αὐτὸν τοῖς κάμνουσι βουλεύειν τὰ βέλτιστα Norrm. τοῖς κάμνουσι τὰ βέλτιστα ΓΔΘL. Vulgo τὰ βέλτιστα τοῖς κάμνουσι. αὐτὸς ὑπηρετοίη ΓΔΘL Norrm. Vulgo ὑπηρετοίη αὐτός. βουλήμασι ΘL Norrm. Vulgo βουλεύμασι. 18 ἀπολεῖ] Vulgo ἀπολῇ. 19 οὕτως ΓΔΘL Norrm. Vulgo ὄντως.

414, 2 αὐτούς τε] τε om. L. 3 γίγνεσθε ΘL. γίγνεσθαι Γ.

φαίνειν προαιρεῖσθε. καὶ μὴν τὸ μὲν ὡς πέφυκέ τις καὶ προῄρηται λέγοντα ἀνύτειν ἄγειν ὡς ἀληθῶς ἐστι, τὸ δ᾽ ἐξίστασθαι τῆς ἰδέας ὑπὲρ τοῦ τι δοκεῖν ἄγεσθαι μᾶλλον ἢ ἄγειν ἐστίν. ὥστ᾽ εἰ μὲν οὐκ ἔχεις βελτίω τούτων, ἀμφότερα δυστυχεῖς, καὶ οἷς λέγεις καὶ οἷς οὐ δύνασαι λέγειν, εἰ δ᾽ ἐξὸν ἐκείνως ἄγειν οὕτω δέχει, πῶς οὐ παρανοεῖς; ἢ τί σου τὸ καλὸν τῶν λόγων ἐστὶν, ὅστις γε περὶ αὐτῶν τῶν λόγων οὕτω βεβούλευσαι; καὶ γὰρ αὖ κἀκεῖνο οὐ τὸν αὐτὸν τρόπον, οἶμαι, τῷ τε ῥήτορι καὶ φιλοσόφῳ καὶ πᾶσι δὴ τοῖς ἐπὶ τῆς ἐλευθερίου παιδείας προσήκει τέρπειν τοὺς ὄχλους, καὶ τοῖς ἀνδραποδώδεσι τούτοις ὀρχησταῖς, μίμοις, θαυματοποιοῖς. ἀλλὰ τούτοις μὲν πολλὴ συγγνώμη καὶ ποιεῖν ὁτιοῦν καὶ λέγειν, ἡμῖν δ᾽, εἰ τὰ τούτων κακὰ μιμοίμεθα, πῶς εὐπρεπῶς ἕξει; ὅπου γὰρ οὐδ᾽ ἐλευθέρᾳ γυναικὶ καὶ ἑταίρᾳ ταὐτὰ δοκεῖ πρέπειν, οὐδ᾽ ἔτι μᾶλλον ταὐτά γ᾽ ἀνδράσι καὶ γυναιξὶ, κομιδῇ τοῖς γε ἀνδράσι ταὐτὰ πρέπειν ἅπερ ταῖς ἑταίραις οὐ φήσομεν. ὑμεῖς τοίνυν (712) ὅταν εἰς ψαλτρίας τάττησθε καὶ τὰ τῶν Μουσῶν ὄργια χραίνητε ἐν τῷ δημοσίῳ, πότερον φιλοτιμίας δικαίως ἂν ἀμφισβητοίητε, ἢ ζῶντες ἂν κατορύττοισθε Περσιστί;

---

Vulgo γίνεσθε. κἀκείνους] καὶ τοὺς συνόντας Norrm. προαιρεῖσθε] προαιρεῖσθαι (ε) Γ. 4 τις ΓΔΘL Norrm. Vulgo πως. 5 ὥστ᾽] ὥστε Δ. 6 λέγεις] λέγοις L. 7 δέχει] Vulgo δέχῃ. δέχει (η) Γ. παρανοεῖς ΓΔL Norrm. Vulgo παρανομεῖς. 8 κἀκεῖνο ΓΔΘL Norrm. κἀκεῖνος Iunt. κἀκείνοις Steph. Iebb. κἀκείνοις] Quinam hi sint dicit statim, rhetor, philosophus. Reisk.

9 παιδείας ΓΔL Norrm. Vulgo παιδίας. 10 ἀνδραποδώδεσι Norrm. Iebb. ἀνδραπόδεσι (δώ) L. ἀνδραπώδεσι Iunt. καὶ θαυματοποιοῖς Δ Norrm. 12 ἑταίρᾳ] ἑτέρᾳ Δ. 13 ταὐτὰ δοκεῖ ΓΔΘL Norrm. Vulgo δοκεῖ ταὐτά. ταὐτά γ᾽] Vulgo ταὐτά γε. ταῦτα γ᾽ L. 14 ταὐτὰ πρέπειν Norrm. Vulgo ταῦτα πρέπειν. ἑταίραις] ἑτέραις Δ. 15 τάττησθε L Norrm. Iebb. τάττηται Iunt. τάττητε Steph. 16 Rectene poscatis magis praemium, an digni sitis qui more Persico vivi defodiamini? Reisk. ἂν κατορύττοισθε] αὖ κατορύττοισθε Norrm. κατορύττοισθε Περσιστὶ] Herodotum vide 7, 114. Adde Barnabam Brissonium de regno Persarum libro 2. p. 264. Ioh. Bapt. Gramaii Asiam p. 390.

Digitized by Google

Σκεψώμεθα δὴ καὶ τόδε, ὅτι οὐδὲ οἱ δῆμοι τὰ θεάματα ταῦτα, ὧν μάλιστ' ἄν τις αὐτοὺς φήσειεν ἡττῆσθαι, παντὶ τῷ θυμῷ φιλοῦσιν οὐδὲ ἀσπάζονται. τίς γάρ ἐστιν ὅστις οὐκ ἀξιοῖ βελτίων ὀρχηστοῦ παντὸς αὐτὸς εἶναι; ἢ τίς ἂν τῷ μίμῳ συγχωρήσειεν ἔξω φθέγγεσθαι; ἀλλ' ἐν μὲν τῷ παραχρῆμα γαργαλίζονται, ἀπελθόντες
415 δ' εὐθὺς καταγελῶσι, μᾶλλον δὲ καὶ παρ' αὐτὴν τὴν θέαν οὕτω χαίρουσιν ὡς ἄν τινες παίζοντες. ἀλλ' οὐδέν γ', οἶμαι, γελοῖον τιμιώτερον τῶν σπουδαίων, οὕτω πολλοῦ δεῖ τά γε δὴ καταγέλαστα ἔμπροσθεν ἄν ποτε τῶν σπουδαίων γενέσθαι. ἀλλὰ μὴν ὅπου καὶ αὐτὸ τὸ εὐδοξεῖν περὶ πολλοῦ ποιούμεθα ὑπὲρ τῆς εἰς ὕστερον μνήμης, ὧν γ' ἐφ' ἡμέρᾳ καὶ παραχρῆμα τέθνηκεν ἡ δόξα, ποῦ τις ἂν τούτους τιθείη; νὴ Δί' ἀλλὰ καὶ Ἡρακλῆς ἐν Λυδοῖς ὠρχήσατο. οἱ δέ γ' αὐτοὶ κἀκεῖνο μυθολογοῦσι περὶ Ἡρακλέους, ὅτι τὴν γυναῖκα τὴν αὐτοῦ καὶ τοὺς υἱεῖς ἀπέκτει- (713)
νεν, οὐχ ὡς θέμις εἰπεῖν διατεθείς· ἃ τίς ἂν πείθοιτο εὖ φρονῶν; σὺ δ' οὖν εἰ τὰ μάλιστα πιστεύεις, ἀπόκριναί μοι πρὸς αὐτοῦ τοῦ Ἡρακλέους, εἰ καὶ αὐτὸς τούτου χάριν ἡδέως ἂν τὰ σαυτοῦ διαφθείραις. ἀλλ' οὐκ ἐρεῖς. ἐγὼ δ' εἰ μὲν ὠρχήσατο ἐν Λυδοῖς Ἡρακλῆς οὐκ ἔχω λέγειν, εἰ δ' ἄρα, ἀλλὰ μιᾷ γε ἡμέρᾳ καὶ τῆς παιδιᾶς ἕνεκα καὶ ἅμα σκώπτων ἴσως τοὺς Λυδούς, καὶ τέταρτον εἴποιμ' ἂν ὅτι οὐδέν γε χείρων ἐν οἷς ὠρχεῖτο ἐγίγνετο, ἀλλ' ἦν ὅστις ἦν. οἶδα δὲ καὶ Λακωνικάς τινας ὀρχήσεις καὶ τρα-

---

Norrm. Σκεψώμεθα] σκεπτώμεθα Norrm. 17 τόδε] τοῦτο L. μάλιστ' ἄν τις ΓΘL. Vulgo μάλιστά τις. φήσειεν ἡττῆσθαι ΓΘL. Vulgo ἡττῆσθαι φήσειε. 19 αὐτὸς L Canter. Norrm. Iebb. αὐτὸ Iunt.

415, 1 γ'] γε ΔΘL Norrm. 2 οὕτω] οὔτε Θ. οὕτω Γ. πολλοῦ] πολλοῦ γε Norrm. δὴ om. Norrm. ἔμπροσθεν] ἐπίπροσθεν Δ. 3 εἰς ὕστερον Γ Norrm. Aberat εἰς. 4 ὧν γ' ΓΘL. Aberat γ'. 7 πείθοιτο] Inducatur ut idem faciat, ut Herculem in utroque imitetur, et in saltando et in caede carissimorum. Reisk. 9 ἕνεκα] εἵνεκα ΔΘL Norrm. 10 χείρων correctus L: primum fuit χεῖρον. 11 ἐγίγνετο ΓΘL. Vulgo ἐγίνετο. γ'] γε ΔΘL. om. Norrm. ἑτέρας correctus Γ:

Digitized by Google

γικάς γ' ἑτέρας, ἐμμελείας, οἶμαι, καλουμένας — οὐ γὰρ
ἡ ὄρχησις αἰσχρὸν, ἀλλὰ τὸ αἰσχρὸν φευκτὸν πανταχοῦ —
ἀλλ' ὑμεῖς οὐκ ἐν Λυδοῖς, οὐδ' εἰσάπαξ, οὐδὲ σκώπτον-
τες, οὐδ' ὑγιαίνοντες τἄνδοθεν, ἀλλ' ἐν ἅπασιν ἀνθρώ-
ποις ἁπάσας τὰς ἡμέρας ἐξορχεῖσθε, ἃ μὴ ὅτι τοῦ Ἡρα-
κλέους, ἀλλ' οὐδὲ τῆς Ὀμφάλης ἐπαινεῖν ἦν. τίσι δὲ καὶ
προσήκων ὁ χαρακτήρ; πότερον τοῖς περὶ τοὺς πολιτικοὺς
καὶ ἀγωνιστικοὺς τῶν λόγων; τἀναντία μέντἂν πάθοιεν (714)
τῷ Καινεῖ τῷ Θετταλῷ γυναῖκες ἐξ ἀνδρῶν γενόμενοι.
ἀλλὰ τοῖς περὶ τὴν διαλεκτικήν; χαρίεις γ' ἂν οὖν εἴης,
ὦ μάσθλης, ἐπὶ σωφροσύνην καὶ ἀνδρείαν καὶ καρτερίαν
ἐν τούτῳ τῷ μέλει παρακαλῶν, οὐ καρτερῶν αὐτὸς μένειν
ἐν τῇ τάξει τῶν λόγων, ὡσπερεὶ Σαρδανάπαλλος τῇ κερκίδι
τὴν κρόκην ὠθῶν ᾖδε τοὺς εἰς τὴν μάχην παρακλητικούς.
ἀλλ' ἡγεμόσι δὴ πρέπων ὁ τρόπος; ἀλλὰ τοῖς βασιλεῦσιν;
416 ἀλλ' ὅλως ἄρχουσιν; οὐδ' ἡλικίᾳ γε τῶν ἁπασῶν οὐδεμιᾷ.
πότερον γὰρ τοῖς νεωτέροις; ἀλλ' ἑταιρεῖν δόξουσιν, ἐὰν
ταῦτα ἀσπάζωνται. ἀλλὰ τοῖς ἀνδράσιν; ἀλλ' οὐ δόξουσι
βεβαιοῦν τὴν ἐπωνυμίαν. ἀλλὰ τοῖς πρεσβυτέροις; ἀλλ'
ἀωρία πολλὴ τῆς αἰσχύνης. λείπεται δὴ γυναιξὶ, καὶ
ταύταις ταῖς ἀσελγεστάταις, πρὸς ἃς τούτους ἄξιον κρίνειν.

---

prius ἑταίρας. 12 ἐμμελείας] ἐμμέλειαν laudat Plato νόμων Z. p. 579. Basil. Athenaeus illi tribuit τὸ βαρὺ καὶ σεμνόν· mox et σπουδαίαν appellat. Δειπνοσοφιστ. (ιδ) p. 312. 313. Bas. Caeterum ut saltationi hoc loco haud iniquus Noster esse videtur, ita alibi integra ad Lacedaemonios oratione, eam prorsus damnabat, atque ut qui illi rescripsit Libanius ὑπὲρ τῶν ὀρχηστῶν p. 477. adfirmat, ὅλως τὸ πρᾶγμα κακίζει, καὶ νόσον ὀνομάζει, καὶ φθορὰν τῶν θεωμένων. Norrm. Fort. ἀλλὰ τὸ ἐν αὐτῇ αἰσχρόν. non enim saltatio in se est turpis, sed illud turpe est, quod in ea non decet. τὸ δ' αἰσχρὸν φευκτὸν πανταχοῦ. turpe autem, ubi ubi reperitur, fugiendum est. Reisk. 13 ὑμεῖς ΓΘL. Vulgo ὑμᾶς. οὐδ' εἰσάπαξ L Norrm. οὐδὲ εἰσάπαξ Iebb. ἀλλ' εἰσάπαξ Iunt. σκώπτοντες ΓL et, ut opinor, Θ. Vulgo σκώπτοντας. ὑγιαίνοντες ΓΘL. Vulgo ὑγιαίνοντας. 14 ἐξορχεῖσθε ΓΘ. ἐξορχεῖσθαι L. Vulgo ἐξορχουμένους. 17 οὖν om. Norrm. 18 ἀνδρείαν ΓΘ. Vulgo ἀνδρίαν. 19 ὡσπερεὶ L. Vulgo ὥσπερ εἰ. σαρδανάπαλλος Θ. Vulgo Σαρδανάπαλος. 20 τὴν μάχην ΓΘL Norrm. Aberat τὴν. μάχην] μάχην λόγων Δ.

416, 1 γὰρ] δὲ Norrm. 4 ταύταις] Aut τούτων aut ταῦτα

*καίτοι ζηλοῦσι μὲν αὐτάς, λείπονται δὲ συχνῷ τινι. θαυμάζω δ' εἰ τοῖς μὲν τὸ νόμισμα διαφθείρουσιν, ἔφη Δημοσθένης, θάνατος ἡ ζημία κεῖται, τοῖς δὲ τοὺς λόγους κιβδήλους καὶ παρασήμους ἀπεργαζομένοις παρρησιάζεσθαι δώσομεν, ἢ τοῦτο πρῶτον λέγειν ἐξεῖναι· κἂν μὲν ῥήματι* (715) *πταίσῃ τις, ἀμαθὴς εὐθέως, ἂν δ' ὅλῃ τῇ προαιρέσει διαφθείρῃ τὰ τεταγμένα, οὐκ ἄρα πόῤῥω πασῶν πανηγύρεων στήσεται. καὶ μὴν οὐχ ὑπὲρ λόγων ἡ βουλὴ μόνον, ἀλλ' ὑπὲρ ἁπάσης εὐσχημοσύνης καὶ εὐταξίας καὶ τοῦ πότερον δεῖ τοῖς νόμοις ἐμμένειν, ἢ ποιεῖν ὅ τί τις βούλεται τῆς ἐφ' ἡμέρᾳ χάριν ἡδονῆς. ὧν μὲν γὰρ ἐγὼ λέγω νικώντων, νικᾷ νόμος καὶ κόσμος, ὑφ' ὧν οὐ μόνον αἱ πόλεις, ἀλλὰ καὶ γῆ πᾶσα καὶ οὐρανὸς αὐτὸς συνέστηκέ τε καὶ σώζεται, ἃ δ' οὗτοι παραποιοῦσιν ἅπασι καὶ θείοις καὶ ἀνθρωπείοις πράγμασιν ἐχθρῶς ἔχει.*

---

legendum. Reisk. *καίτοι ζηλοῦσι μὲν αὐτάς*] Venuste ut solet huiusmodi sophistam Lucianus depingit, libro saepe citato, *πάνσοφόν τινα καὶ πάγκαλον ἄνδρα, διασεσαλευμένον τὸ βάδισμα, ἐπικεκλασμένον τὸν αὐχένα, γυναικεῖον τὸ βλέμμα, μελιχρὸν τὸ φώνημα, μύρων ἀποπνέοντα, τῷ δακτύλῳ ἄκρῳ τὴν κεφαλὴν κνώμενον.* Et mox, *καὶ ὑπομειδιάσας τὸ γλαφυρὸν ἐκεῖνο καὶ ἁπαλὸν, οἷον εἴωθεν, αὐτοθαΐδα τὴν κωμικὴν, ἢ Μαλθάκην, ἢ Γλυκέραν τινὰ μιμησάμενος τῷ προσηνεῖ τοῦ φθέγματος· ἄγροικον γὰρ τὸ ἀρρενωπὸν, καὶ οὐ πρὸς ἁβροῦ καὶ ἐρασμίου ῥήτορος.* Norrm. 5 *Δημοσθένης*] Contra Leptinem p. 566. Norrm. 7 *ῥήματι ΓΘL.* Vulgo *ῥήμασι.* 8 *πόῤῥω* add. L Norrm. Iebb. om. Iunt. 9 *στήσεται*] Lege *ἐκστήσεται.* Canter. 11 *λέγω*] *λόγων* Norrm. 12 *συνέστηκέ τε καὶ ΓΘL.* Vulgo *συνέστηκε καὶ.* 13 *ἅπασι* L Norrm. Iebb. *ἅπασα* Iunt. *θείοις*] *θεοῖς ΓΔ.* *ἐχθρῶς ΓΔ* Iunt. *αἰσχρῶς* L Opor. Norrm. Iebb. *αἰσχρῶς* (*γρ. ἐχθρῶς*) *Θ.* Non video quid *αἰσχρῶς* multum vetustae lectioni *ἐχθρῶς* praestet. Reisk.

# LI.

## ΠΡΟΣ ΤΟΥΣ ΑΙΤΙΩΜΕΝΟΥΣ ΟΤΙ ΜΗ ΜΕΛΕΤΩΗ.

Οὐκ ἀμφοτέρων ἄρα τῶν καιρῶν διήμαρτον, εἴπερ χάριν
μὲν ἥκοντα ἐκ τῆς ἀποδημίας δέξασθαι καὶ προσειπεῖν, (716)
ἄλλως τε καὶ ἀφ' ὧν συνευξάμεθα ἐπανήκοντα, εἴη δ'
ἄν τι καὶ προπέμψαι ἅμα τῷ μέλει. σὺ δὲ τοῦτον ἥκειν
τὸν καιρὸν ἀπέδωκας· ἐδεξάμεθα οὖν, ἐπειδὴ καὶ ὁ και-
417 ρὸς οὕτω συνῆγε. θεοῦ δὲ, φησὶ Πίνδαρος, δείξαντος
ἀρχὴν εὐθεῖα δὴ κέλευθος ἑλεῖν τὸ προκείμενον. καὶ δῆτα
σοὶ μὲν πλεῖν ἡμῖν ἐξ οὐρίας τε καὶ ἐπὶ χρηστοῖς καὶ δευ-

---

416, 14 Οὐκ] Haec ad amicum quendam verba orationi praeponuntur. CANTER. 15 ἄλλως τε καὶ ΓΔΘL. Aberat τε. συνευξάμεθα ΓΘΕ. συνευξόμεθα L. Vulgo συνευξόμεθα. 16 ἐπανήκοντα ΓΔΘL Soph. Vulgo ἐπήκοντα. εἴη δ' ἄν τι] Scil. χωρίον. REISK. 17 ἥκειν] Leg. ἡμῖν. et sic quoque Canterus in Latinis. sententia est: duo sunt tempora amicum aut mittendis ad eum literis aut libello exarando compellandi, alterum, quum iter ingreditur, alterum, quum ex eo redit. non igitur tecum, amice, utrumque hoc tempus perdidi, sed uno certe possum, si non utroque, erga te meo defungi officio. quamquam enim te nuper abeuntem libello ad te scripto prosecutus non sum, possum tamen tibi nobis reddito reditum gratulari, praesertim quum illinc redeas, unde te redire tecum nos optabamus. quum tamen suave item sit, abeuntem faustis verbis velut carmine auspicato prosequi, facis tu mihi huius quoque voluptatis copiam, eamque amplector occasione sic ferente. REISK. ἐπειδὴ ΓΔΘEL. Vulgo ἐπεί.

417, 1 Πίνδαρος] Fragm. 75. p. 602. Conf. vol. I. p. 236, 7. ἑλεῖν ΓΔΘL. Vulgo εὑρεῖν. σοὶ] σὺ Θ. 2 καὶ ἐπὶ χρηστοῖς — ἐξ οὐρίας τε om. E. Fort. πειρᾶσθαι deest post δευτέρων. altera negotia habere renunciatu ad nos iucundiora: nisi mavis δευτέρων ἀμεινόνων materialiter accipere. quasi sit, nuncios nobis tuos illinc venire cum illa formula proverbiali δευτέρων ἀμει-

Digitized by Google

ρων ἀμεινόνων ἀγγέλλεσθαι, ἡμῖν δ' αὖ τὰ ἡμέτερα ἐξ ρίας τε ἀγωνίζεσθαι καὶ ῥοθίῳ κώπῃ παρενεγκεῖν ἅπαν-ς Ἕλληνας ὅσον πλεῖστον ἔξεστιν, Ἀσκληπιός τε προ-άτης ἡμέτερος καὶ Ζεὺς ὁ πάντα νέμειν κύριος παρέχοι ὰ τέλους. καὶ ταῦτα μὲν δὴ ταῦτα. μέτειμι δὲ ἐφ' ἕτε-ν προοίμιον κατὰ Στησίχορον. σκιαμαχεῖν μὲν οὖν πως δ' ὅτι δεῖ, πρὸς οὓς γὰρ εἰρήσεται τὰ λεγόμενα οὐχ ουσιν. ὥστε συμβαίνει ἅμα μὲν σχεδὸν ὥσπερ ἂν εἰς ίτην γίγνεσθαι τοὺς λόγους, ἅμα δ' εἶναι σαφέστατον ὀρθῶς καὶ προσηκόντως εἰρήσονται. αὐτόθεν γάρ που ινερὸν ὅτι οὐ τὸ ἡμέτερον αἴτιον οὔτε νῦν οὔτε ἄλλοτε ὑποτε σὺν θεοῖς εἰπεῖν, ἀλλ' ἡ τούτων περὶ πάντα συν- (717)
ἡης ῥᾳθυμία. σκεψώμεθα δὲ ὥσπερ ἀντωμοσίαν τινὰ γραφήν. ἀδικεῖν φασί με τὰς μελέτας τῶν λόγων οὐ νεχεῖς ποιούμενον· εἶναι γὰρ ἂν πάντα ἐπ' ἐμοί τε καὶ ' ἐμοὶ, καὶ τοῦτο ὁμαλῶς ὑπὸ πάντων λέγεσθαι τὸ εἰ ούλετο· κἂν βουληθῇ ποτε, τοῦτ' ἐστὶ τὸ ἔγκλημα. εἰ ν οὖν κεχαρισμένον τινὰ ἀκοῦσαι λόγον ζητεῖτε, ὥσπερ ίχ' ἂν πανηγυρίζων τυγχάνω, ληρεῖτε, εἰ δ' ἀνέξεσθε ληθῆ λέγοντος, οὐ πάνυ μέμψεως ἄξιος ἡγοῦμαι φανή-σθαι. πάντως δὲ οὔτε πανήγυρις τὸ νῦν εἶναι οὔτε πα-υσία τοσαύτη ξένων, ἐν οἷς ἐξελεγχόμενοι δυσχερῶς οἴ-σθε — λέγω γὰρ οὖν ὡς πρὸς παρόντας τοὺς ἄνδρας — λ' ἐν ἐλάττοσιν ἢ ἐπὶ Ληναίῳ τὰ τῆς παρρησίας ἔσται. λέχθην μὲν οὖν ὑμῖν καὶ πρότερον περὶ τούτων, ἡνίχ' λοιμὸς ἤκμαζε, τοῦ θεοῦ παρελθεῖν κελεύσαντος· εἰρή-

---

ων. Reisk. ἀγγέλλεσθαι] ἀγάλλεσθαι L. 3 ῥοθίῳ καὶ κώπῃ skius. 5 ἐφ' EL. Vulgo ἐπί. 6 πως addidi ex ΓΘEL. ἤκουσιν ΓΔΘ. Vulgo ἤκουσι. 8 σαφέστατον] σαφέστερον Δ. 10 σκεψώμεθα] σκεψάμεθα Δ. 12 τοῦτο ΓΔΘEL. Vulgo τον. ὑπὸ EL Canter. Iebb. ὑπὲρ Iunt. τοῦτ'] τοῦτο Δ. ἐστὶ ΓΔΘL. Vulgo ἐστίν. 13 κεχαρισμένον] Sermonem iu-dum vobis et expetitum. Reisk. 14 ἀνέξεσθε] ἀνέξεσθαι Δ. 16 οἴσετε ΓΘL. Vulgo οἴσεσθε. 17 ἐν ἐλάττοσιν ΓΘ Iunt. λάττουσιν Steph. Iebb. ἐναλλάττουσιν L. ἐπὶ Ληναίῳ] Spectat Aristoph. Acharn. v. 479. (504. Br.) διελέχθην μὲν] διε-λημεν ΔΘ. 18 τούτων ΓΘEL. Vulgo τούτου. λοιμὸς L, nter. Iebb. λιμὸς Iunt. παρελθεῖν κελεύσαντος ΓΔΘL. Vulgo ύσαντος παρελθεῖν.

Digitized by Google

σεται δὲ καὶ ταῦτα τῆς αὐτῆς γνώμης ἐχόμενα, ἵν' εἰδῆτε ὅτι ἐγὼ μὲν οὐδ' ἐν αὐτοῖς τοῖς σφαλερωτάτοις καιροῖς
418 ἠξίουν ῥαθυμεῖν, ἕτεροι δ' εἰσὶν οἷς λόγων ὀλίγον μέλει. (718)

Πρότερον μὲν οὖν ἔγωγε οὐκ ᾔδειν πρός τί ποτ' εἴη λεγόμενον τὸ προσεγκαλεῖν τοὺς φῶρας, νυνὶ δέ μοι δοκῶ γιγνώσκειν. ὅταν γὰρ οἷς ἀπαντᾶν ἐπὶ τὰς μελέτας καὶ τὰς ἀκροάσεις προσῆκον, τοῦτο παρέντες ὡς οὐδεὶς ἔσθ' ὁ λέγων αἰτιῶνται, πῶς οὐ τὰ σφέτερ' αὐτῶν ἑτέρων λογίζονται, ὥσπερ ἂν εἴ τινες ἡλίου καθαρῶς φλέγοντος μύσαντες λέγουσι τὸ φαινόμενον οὐκ εἶναι. ἀλλ' οἶμαι, ταῦτα μέν ἐστιν αὐτοὺς ἐξαπατώντων, δοκούντων δὲ ἑτέρους. ὡς δ' εἰκός τέ ἐστι καὶ δεῖ διανοεῖσθαι περὶ τούτων, εἰ βούλεσθε, ἀκούσατε. ἐγὼ νομίζω τὰς τέχνας καὶ τὰ ἐπιτηδεύματα ἄχρι μὲν τοῦ μεταχειρίζεσθαι πρὸς τοὺς μετιόντας εἶναι, τὸ πέρας δ' οὐκέτι πρὸς τούτους, ἀλλ' εἶναι διττὴν χρῆσιν ἁπάσης τέχνης, τὴν μὲν αὐτοῦ τοῦ τὸ ἔργον μεταχειριζομένου, τὴν δὲ τῶν χρωμένων. ὅταν μὲν οὖν τις ἐκλίπῃ τὰς οἰκείας πράξεις, ὑπεύθυνος κατὰ τοῦτο· ὁ γὰρ δὴ χρῆσθαι βουληθεὶς κεκώλυται· ὅταν δ' ὁ μὲν ὡς οἷόν τε μάλιστα ἐργάζηται τὰ ἑαυτοῦ, οἱ δ' ἐκποδὼν ὦσιν, οὐχ ὁ πράττων, οἶμαι, τὰ δέοντα ὑπεύθυνος, ἀλλ' οἱ μὴ χρώμενοι. τί χρὴ τὸν ἰατρὸν τὸν ἀγαθὸν ποιεῖν; παρεσκευάσθαι τὰ φάρμακα, τὴν χεῖρα, τὴν ἐπιστήμην· (719) χρῆσθαι δὲ τούτοις κελεύειν οὐκέτι τῆς τέχνης ἐστίν, ἀλλὰ δεῖ τὸν κάμνοντα βαδίζειν, ἢ πέμπειν ὡς ἐκεῖνον. ἂν δέ γε ὁ ἰατρὸς δέηται τοῦ σωθῆναι δεομένου, ἢ νὴ Δί' ὁ κυβερνήτης τῶν πλεῦσαι δεομένων, ἢ τῶν ἀμφισβητούντων

---

418, 1 ὀλίγον μέλει ΓΔΘEL Canter. Vulgo ὀλίγων. ἔγωγε ΓΔΘL. Vulgo ἐγώ. λεγόμενον τὸ ΓΘ. Vulgo τὸ λεγόμενον τὸ. τὸ λεγόμενον L. 2 νυνὶ ΓΔΘL. Vulgo νῦν. 3 προσῆκον] πρόσηκε Reiskius. σφέτερ' ΓΘL. Vulgo σφέτερα. 4 ἑτέρων] ἑτέροις E. λέγουσι L. Vulgo λέγωσι. 5 αὐτοὺς] αφτοὺς L. 6 δεῖ διανοεῖσθαι — νομίζω τὰς add. ΓΔΘEL. om. Iunt. Iebb. 7 πέρας] πέρα Γ. 8 οὖν τις om. L. ἐκλίπῃ ΓΔ. Vulgo ἐκλείπῃ. ἐλλίπῃ E. ἐκλείπει L. 9 ὡς οἷον ΓΔΘEL. Vulgo ὡς οὐχ οἷον. οἷόν τ' ἐργάζηται τὰ κάλλιστα E. 11 παρεσκευάσθαι] παρασκευάσασθαι L. 14 δεομένων] In E est δυνάμενον et δεομέ-

ὁ δικαστής, ἢ τῶν στρατιωτῶν ὁ στρατηγός, ἢ ὁ ῥήτωρ τῶν ἀκροατῶν, ἄνω ποταμῶν ἅπαντ' ἂν εἴη τὰ πράγματα. μὴ γὰρ ὅτι ἐν τοῖς σπουδαίοις καὶ τοσοῦτον ἀξίᾳ προήκουσιν, ἀλλ' ἐπὶ τῶν βαναύσων τεχνῶν οὐδαμοῦ τοῦτο ἐνομίσθη, τοὺς δημιουργοὺς παρὰ τοὺς χρῄζοντας ἰέναι δεησομένους αὐτοῖς χρῆσθαι, ἀλλ' οἱ μὲν χρῄζοντες οἰκοδομῆσαι δέονται τῶν τεκτόνων, οὐχ οἱ τέκτονες τούτων· γεωργὸς δὲ ἐπὶ τὰς τοῦ χαλκέως βαδιεῖται θύρας, ὅταν ἢ σμινύης ἤ τινος ἄλλου τῶν τοιούτων δεηθῇ, καὶ πάλιν γε ὡς ἐκεῖνον ὁ χαλκεύς, ὅταν σίτου. κουρέα δὲ ἤδη πώποτ' εἶδες προσιόντα τῳ καὶ λέγοντα, ὦ βέλτιστε ἀνδρῶν
419 παράσχες μοι κεῖραι σεαυτόν, ἢ τῶν ὀνύχων ἀφελεῖν, ἢ ξέσαι, ταῦτα γάρ ἐσθ' ἡ 'μὴ τέχνη; ἀλλ' οἶμαι, κἂν ἀλουργίδα τις φορῇ κἂν ὁπωσοῦν ᾖ σεμνός, αὐτὸς εἶσι παρ' ἐκεῖνον καὶ καλεῖ γε ὡς αὐτόν, ὅταν του τῶν ἐκείνου (720)
δεηθῇ.

Καὶ τί δεῖ μακρόν τινα ἐκτείνειν κατάλογον τεχνῶν; σχεδὸν γὰρ πάντα ὡς ἔπος εἰπεῖν οὕτως ἔχοντα εὑρήσομεν. εἶθ' οἳ μὲν οὐδ' αὐτοὶ μεῖζον φρονεῖν οὐδενὸς ἀξιώσαιεν ἄν, οἶμαι δ' οὐδ' ἴσον τοῖς ἄλλοις, ἀλλὰ καὶ τέχνην ταύτην ἔχουσιν ὑπηρετεῖν τοῖς πολλοῖς, οὗτοι μὲν τοὺς δεησομένους ἀναμενοῦσι καὶ οὐ ταπεινωθήσονται περαιτέρω τοῦ σχήματος, οἱ δὲ τὴν καλλίστην καὶ τὴν ἐλευθεριωτάτην ἐπαγγελλόμενοι δύναμιν, δι' ἧς ἅπαντα πράγματα ἐξετάζεται καὶ δοκιμάζεται, καὶ μικρὰ καὶ μείζω καὶ καλ-

---

νων. ὁ ῥήτωρ] ὁ om. Δ. 15 ἅπαντ' addidi ex ΓΔΘEL. ἀξίᾳ προήκουσιν] *Dignitate praestantibus.* Reisk. Vulgo ἀξία προήκουσιν. 16 παρὰ ΓΔΘL. Vulgo περὶ. παρὰ τοὺς] π' αὐτοὺς E. 17 αὑτοῖς] Vulgo αὐτοῖς. χρῆσθαι] χρησθῆναι Δ. 18 οὐχ οἱ] οὐχὶ Δ. 19 γε om. Δ. 20 πώποτ' L. Vulgo πώποτε. ἀνδρῶν addidi ex ΓΔΘEL. παράσχες ΓΘ. Vulgo παράσχε. πάρασχε L.

419, 1 ἐσθ'] ἐστιν Δ. ἡ 'μὴ] ἡμῖν ἡ ΔL. κἂν ὁπωσοῦν] καὶ ὁπωσοῦν L. 2 παρ' ΓΘ. Vulgo πρὸς. καὶ καλεῖ ΓE. Vulgo ἢ καλεῖ. αὑτὸν] Vulgo αὐτὸν. ἐκείνου] In E ἐκείνω et ἐκείνου est. 4 οἳ Canterus et Reiskius. Vulgo οἱ. 5 καὶ] κἂν ab al. m. Γ. 7 ἐλευθεριωτάτην Reiskius. Vulgo ἐλευθερωτάτην.

λίω καὶ θάτερα, οὗτοι δ' οὐκ εἰ μηδὲν ἄλλο, τούτους γε μιμήσονται, καὶ τὴν μὲν τῶν λόγων ἐπιμέλειάν τε καὶ μελέτην αὐτοῖς προσήκειν νομιοῦσι, τὸ δ' ἢ τούτοις ἢ ἑαυτοῖς χρῆσθαι, τοῦτο δ' ἑτέρων ἔργον ἡγήσονται; καὶ ὥς ἔοικεν ὁ μὲν σκυτοτόμος καὶ ὑφάντης, ἐὰν ἀφέντες ἐφ' ᾧ κάθηνται περιέρχωνται συλλέγοντες τοὺς προσφοιτήσοντας, οὐ μόνον οὐ πράξουσι τὰ ἐπιβάλλοντα ἑαυτοῖς, ἀλλὰ καὶ διαφθεροῦσι τὰς τέχνας, ὁ δὲ ῥήτωρ ἐὰν τοὺς λόγους ἀφεὶς τοὺς ἀκουσομένους συλλέγῃ, κάλλισθ' οὕτω περὶ (721) τῶν ἑαυτοῦ βουλεύσεται; οὔκ, ἀλλ' οὕτω καὶ μάλισθ', ὥς γ' ἐγὼ φαίην ἄν, τὰ ὑπάρχοντα διαφθερεῖ. καὶ μὴν εἰ πανταχοῦ τὸ τὴν τάξιν λιπεῖν αἰσχρὸν καὶ παρὰ τοὺς νόμους, ῥήτωρ γε μάλιστ' ἂν οὕτω λίποι τὴν τάξιν, εἰ τοὺς τυχόντας θεραπεύων φαυλότερον καθ' αὑτὸν τὸ σχῆμα τῆς τέχνης ποιοῖ. σκέψαι γὰρ εἴ σοι τῶν καλῶς ἐχόντων ἢ λόγον καταλιπόντων εἶναι δοκεῖ τοὺς μὲν γῆμαι προθυμουμένους παρὰ τὰς τῶν κορῶν θύρας καθέζεσθαι, θεραπεύοντας ἢ αὐτὰς ἢ γονέας ἤ τινα ἄλλον τῶν προσηκόντων, τοὺς δὲ τῶν λόγων ἐπιθυμητὰς εἶναι φάσκοντας ἀμελήσαντας θεραπεύειν τὸν ῥήτορα αὐτὸν καὶ πειρᾶσθαι πείθειν ἀμωσγέπως προσέσθαι σφᾶς εἰς τὴν κοινωνίαν, ἔπειτα 420 καταιτιᾶσθαι καὶ λέγειν ὡς ἄρ' οὐ βούλεται. καὶ τίς ὦ πρὸς θεῶν σοι Κάλχας ἢ Μόψος ταῦτα ἐμαντεύσατο; οὐ γὰρ αὐτὸς ἐπειράθης. καὶ μὴν οὐδ' ἐκεῖνό γ' ἔστ' εἰπεῖν ὡς ἄρα οἱ μὲν τὰς ἄλλας ἐπιστήμας ἢ τέχνας μετιόντες ἴσασι καλῶς ἃ δεῖ βεβουλεῦσθαι περὶ αὐτῶν, οἱ δ' ἐπὶ τῶν λόγων ὄντες μόνοι πάντων ἢ μάλιστά γε ἀγνοήσουσιν. (722)

---

8 δ' οὐκ εἰ] δ' εἰ καὶ E. 9 αὐτοῖς] Vulgo αὑτοῖς. ἑαυτοῖς ΔL. 10 δ' ἑτέρων ΓΘ. Vulgo δὴ ἑτέρων. 14 οὕτω — οὕτω καὶ μάλισθ' om. ΔL. γρ. κάλλιστ' (sic) οὕτω περὶ τῶν ἑαυτοῦ βουλεύσεται margo L. μάλισθ'] μάλιστα ΓΘ. ὥς γ' ΓΘ. Aberat γ'. 16 ῥήτωρ γε] ῥήτωρ δέ γε Γ. λίποι] λίπῃ Δ. Inter θεραπεύων et φαυλότερον in Γ ab al. m. οὐ superne adscriptum. 17 καθ' αὑτὸν] κατ' αὐτὸν Θ. τὸ σχῆμα ΓΘΕ. Aberat τό. ποιοῖ Γ. Vulgo ποιεῖ. 18 τὰς τῶν] τὰς om. Δ. 20 Post αὐτὸν in L spatium trium circiter verborum. ἄρ'] ἄρα ΓL.

420, 1 σοι addidi ex ΓΘEL. 2 ἐπειράθης ΓΔΘL. Vulgo ἐπειράσθης. οὐδ'] οὐ δὲ ΓΔΘL. γ'] γε L. ἔστ' ΓΔΘL.

Digitized by Google

ἀλλ᾽ αὐτὸ δὴ τοῦτο καὶ κάλλιστον καὶ μέγιστον καὶ ἀληθινώτατόν ἐστιν ὑπὲρ τῶν λόγων εἰπεῖν ὅτι τοὺς μὲν ἄλλο τι πράττοντας οὐδὲν κωλύει τὰ μὲν τῆς τέχνης ἐπίστασθαι, τὸ δ᾽ ὅπως χρὴ βεβουλεῦσθαι περὶ αὐτῶν ἀγνοεῖν. οἱ δὲ λόγοι χωρὶς τῆς ἄλλης δυνάμεως καὶ τὸ πῶς προσοιστέον ἐστὶν αὐτοῖς παρέχουσι γιγνώσκειν. εἰκότως· οἷς γὰρ περὶ τῶν ἄλλων κρίνειν προσήκει, κομιδῇ περί γ᾽ αὑτῶν ἀγνοεῖν οὐκ εἰκός ἐστι.

Φέρε δὴ τούτων οὕτως ὑποκειμένων τοὐμὸν θεάσασθε, κἂν μὲν εὑρίσκητε ἢ ῥαθυμοῦντα ἢ τι τῶν πάντων ἄλλο προὐργιαίτερον τῆς ἐν τοῖς λόγοις διατριβῆς ποιούμενον ἢ νῦν ἢ πρότερον λέγω, μᾶλλον δ᾽ ὅλως ἐλλελοιπότα ὑπερβολὴν τῆς περὶ ταῦτα προθυμίας τε καὶ σπουδῆς, αἰτιᾶσθε καὶ μέμφεσθε ὅ τι βούλεσθε. εἰ δὲ καὶ σκώμματος οὐδὲν ἴσως λελοιπότα, ὡς ἄρα αὐτόχρημα λόγος τις εἴην, πέρα δ᾽ οὐδέν μοι περιείργασται πώποτε πλὴν ὅσα πρὸς θεούς, ταῦτα δ᾽ εἴργασται μὲν καὶ πέπρακται σὺν αὐτοῖς εἰπεῖν εἰς δύναμιν τὴν ἡμετέραν ὡς ἐπιμελέστατα, περιείργασται δ᾽ οὐδαμῶς· εἰ ταῦθ᾽ οὕτως ἔχοντα φαίνοιτο, συγκαλύψασθε ἐπ᾽ ἀμφοτέροις οἱ μήτε (...) χρῆσθαι τολμῶντες καὶ προσέτι τὰς γυναῖκας μιμούμενοι, ἅς φασιν, ἐπειδὰν αὐταὶ μηδὲν ὧν δεῖ τῇ γνώμῃ ποιῶσι,

---

Vulgo ἐστίν. 6 τὰ μὲν] τὰς μὲν L. 7 ἐστὶν αὐτοῖς ΓΔΘ. Vulgo αὐτοῖς ἐστι. 8 περί γ᾽] περί γε L. αὑτῶν] αὐτὸν Γ. 10 τῶν πάντων ἄλλο ΓΘ. Vulgo τῶν ἄλλων. 11 ἐλλελοιπότα ΘEL. Vulgo εἰ λελοιπότα. εἰ δὲ καὶ ΓΔΘEL. Aberat καὶ. 13 λελοιπότα] Fort. ἀπολελοιπότα vel ἐλλελοιπότα. si autem me talem noritis, qui ab illo fortassis non absim dicterio (h. e. qui tantum non merear illud dicterium in me coniectum vel in alium aliquem a poeta nescio quo) me esse illud ipsum, et praeterea aliud nihil, λόγον, mera verba. Placet quoque καὶ ante σκώμματος, quod est in codice Barocciano. Fuerant qui de Aristide ita iudicarent, eum esse αὐτόχρημα λόγον, et nihil ipsi περιειργάσθαι ἄλλο, εἰ μὴ λόγους, πλὴν, ὅσα ἦν αὐτῷ εἰς (vel πρὸς) τοὺς θεοὺς εἰργασμένα: nihil unquam eum egisse aut cogitasse rerum a literis alienarum, excepto, quod laudes in deos scripsisset, aut quod divinum numen studiis et officiis demeruisset. quam ad criminationem ita respondet: quae scripsisset in laudes deorum, ea sibi εἰργάσθαι diligenter decenterque et prout opus atque necesse fuisset, esse peracta,

Digitized by Google

τοῖς ἀνδράσι περιτρέπειν τὰ σφέτερ' αὐτῶν ἁμαρτήματα καὶ κακά. σκοπεῖτε δὴ καθάπερ τινὰς εὐθύνας ἐξ ἀρχῆς ἐξετάζοντες ὡς δυνατὸν διὰ βραχυτάτων. ἐμοὶ γὰρ ἔδωκεν ὁ θεὸς νέῳ ἔτ' ὄντι χρῆσθαι διδασκάλοις καὶ φήμας πρώτας παρ' ἐκείνων ἢ μὴν πρωτεύσειν γενέσθαι μοι. ἀρξάμενος
421 δ' ἐξ ἐκείνου δεῦρ' ἀεὶ διαγέγονα σχολάζων μαθήμασι καὶ λόγοις ὅσα μὴ χρεία σώματος διεκώλυσεν, ἢ χρόνων περίοδοι συμφορὰς ἐνεγκοῦσαι μείζους τῆς προαιρέσεως. ἀλλ' ὅμως καὶ τούτοις διεγιγνόμεθα ὥσπερ τις Ὀδυσσεὺς, ἐχόμενοι τῆς σχεδίας, ἅτε οὐδ' ἔρημοι πλέοντες ἡμεῖς γε, ἀλλ' ὑπὸ τῷ μεγίστῳ καὶ φιλανθρωποτάτῳ τῶν κυβερνητῶν, ὃς ἡμῖν ἀήτας ἀνεῖχε τὸ μὴ καταδῦναι. μόνοι δὲ ὧν ἴσμεν Ἑλλήνων οὐ πλούτου χάριν, οὐ δόξης, οὐ τιμῆς, οὐ γάμων, οὐ δυναστείας, οὐ προσθήκης οὐδεμιᾶς τοῖς λόγοις ἐπεχειρήσαμεν, ἀλλ' αὐτῶν ἐρασταὶ κα- (724)
θαρῶς καταστάντες ἐτιμήθημεν τὰ πρέποντα ὑπὸ τῶν λόγων. ἄλλοις μὲν οὖν ὁμιλία παιδικῶν ἡδὺ, τοῖς δὲ ὡς πλεῖστα λούσασθαι, τοῖς δ' εἰς πλῆθος πιεῖν, τοὺς δ' ἵπποι καὶ κύνες ἐξέπληξαν. καὶ νὴ Δί' οἱ μὲν παιδιᾷ προσέχοντες ἀφεστᾶσι τῶν λόγων, οἱ δ' ἕτερ' ἄττα σπουδάζοντες. ἐμοὶ δὲ λόγοι πάσας προσηγορίας καὶ πάσας δυνάμεις ἔχουσι. καὶ γὰρ παῖδας καὶ γονέας καὶ πράξεις τε

---

non περιεργάσθαι inutili sedulitate rerum supervacanearum periisse Reisk. αὐτόχρημα] ἀπόχρημα E. εἴην] εἴη ΔL. 17 αὐταὶ Reiskius. Vulgo αὐται. 18 σφέτερ'] σφέτερα Δ. 19 εὐθύνας ΓΔΘ. Vulgo εὐθήνας. 20 νέῳ ἔτ' ΓE. Vulgo νέῳ μὲν ἔτ' (ἔτι Θ).

421, 1 διαγέγονα ΓΔL Canter. Vulgo διαγέγονε. χρεία] χροία Γ. χρεία in marg. ab al. m. διεκώλυσεν ΓΔL. Vulgo διεκώλυσε. 2 καὶ τούτοις ΓΔΘ Canter. Vulgo καὶ τούτων. καὶ ἐν τούτοις L. Fort. κἂν τούτοις. 4 ἀήτας ἀνεῖχε Δ. ἀεὶ τοὺς ἀνεῖχε Θ. ἀεὶ τοὺς (τοῦ ab al. m.) ἀνεῖχε Γ. ἀεὶ ἀνεῖχε E. Vulgo ἀεὶ τοὺς λόγους ἀνεῖχε. 8 παιδικῶν] παιδῶν E. 9 Δί'] δία ΓΘL. παιδιᾷ] παιδείᾳ (ιᾷ ab al. m.) Γ. ἀφεστᾶσι ΓΔΘL. Vulgo ἀφεστῶσι (ου). 10 ἄττα] Vulgo ἅττα. 11 ἔχουσι] ἔχωσι Δ.

καὶ ἀναπαύσεις καὶ πάντα ἐθέμην τούτους. καὶ τὴν Ἀφροδίτην ἐπὶ τούτοις καλῶ. ταῦτα δέ μοι παίζεται καὶ ταῦτα σπουδάζεται, τούτοις χαίρω, τούτους ἀσπάζομαι, ἐπὶ τὰς τούτων φοιτῶ θύρας, καὶ πολλὰ ἂν ἔχων ἔτι πρὸς τούτοις ἕτερ' εἰπεῖν, παραλείπω τοῦ μὴ φορτικὸς εἶναι δοκεῖν. ἀλλὰ μὴν ὑπέρ γε τῆς δόξης οὕτω διενοήθην, ἀπαντῶσαν μὲν αὐτὴν δέχεσθαι καὶ στέργειν· ἢ γὰρ ἂν παντάπασι βλὰξ εἴην τις· πραγματεύεσθαι δὲ μηδὲν εἰς αὐτὴν ἔξω τῶν λόγων αὐτῶν καὶ τῆς περὶ τὸν βίον ὀρθότητος συμφώνου τούτοις, ἀλλ' εἰ μέν τις εἰς ταῦτα ὁρῶν βούλοιτο θαυμάζειν, εἰ δὲ μή, χαίρειν ἐᾶν.

Παρόδους τοίνυν εἰς τὸ δημόσιον πλείστας ὧν ἐγὼ σύνοιδα ἐποιησάμην, καὶ ταῦτα μὴ πόρρωθεν, εἰ βούλεσθε, (72 ἀλλ' ἐξ αὐτῶν τῶν παρόντων τουτωνὶ χρόνων σκέψασθε. τίνα γὰρ πανήγυριν ἡμεῖς ἢ τίνα σύλλογον παρεῖμεν τὸ μὴ οὐ κοσμῆσαι τὴν πόλιν ἐν τῷ μέσῳ; καὶ 422 ταῦτα οὐκ ἐνδείᾳ δόξης. σὺν γὰρ θεοῖς εἰπεῖν τοσαύτη γεγένηται ὥστε μὴ ἀγωνίζεσθαι δεῖν ὑπὲρ τοῦ λαβεῖν αὐτήν, ἀλλ' ἀσφαλῶς ἔχειν σιωπᾶν ὑπὲρ τοῦ τὴν οὖσαν διασώσασθαι. καὶ μὴν τοῖς ἰδίᾳ συνιέναι σπουδάσασιν οὐκ ἀγωνιζόμενον μόνον παρέσχον ἐμαυτόν, ἀλλὰ καὶ παραδεικνύντα ἐπιεικῶς ἐξ ὧν ᾤμην τι βελτίους ἔσεσθαι. εἶεν. τὰ μὲν ἡμέτερα τοιαῦτα καὶ τούτοις παραπλήσια. σκέψασθε δὲ καὶ τὰ ὑμέτερ' αὐτῶν ἐν τῷ μέρει πρὸς ταῦτα, ὦ δυσέρωτες ὑμεῖς, οἳ φιλεῖτε μὲν οὑτωσὶ διαφερόντως καὶ τῶν Ἑλλήνων ἄκρον εἶναι πεπιστεύκατε, καὶ ταῦτα κἂν τοῖς

---

12 τούτους ΔEL. Vulgo τούτοις. 13 τούτους ἀσπάζομαι] τούτοις ἀσπάζομαι Δ. 14 ἕτερ' addidi ex ΓΘ. παραλείπω ΓΔΘL. Vulgo παραλείπει. 16 ἢ L. Vulgo ἤ. εἰς αὐτὴν om. E. 18 εἰ δὲ μή] εἰ δὲ μὴν Θ. 20 παρεῖμεν] παρῆμεν Θ. 21 τὴν πόλιν] Smyrnam, ubi haec oratio est habita. CANTER.

422, 2 καὶ μὴν] καὶ μὴν καὶ Θ. συνιέναι] Nolo συνιέναι *congredi mecum* damnare plane. συνεῖναι tamen est usitatius verbum de discipulis apud magistrum versantibus eiusque disciplinam percipientibus. REISK. συνεῖναι Canterus. 3 σπουδάσασιν EL Iebb. σπουδάσασα Iunt. 4 ἐπιεικῶς] ἐποίεικῶς L. τὰ μὲν ἡμέτερ' αὐτοῖς τοιαῦτα καὶ οὕτως παραπλήσια E. ὑμέτερ' L. Vulgo ὑμέτερα. πρὸς ταῦτα addidi ex ΓΔΘEL. πρὸς ταῦτα] *Quales vos erga talem me gesseritis.* REISK. 6 οἱ Steph. Iebb. οὐ

γυμνασίοις καὶ κατὰ τὴν ἀγορὰν βοᾶτε, πεπόνθατε δὲ — οὐδὲν ἐρῶ πικρότερον, θαρρεῖτε — ταυτὸν τοῖς παισὶ τῶν ἐπιφανῶν ἀνδρῶν. καὶ γὰρ ἐκείνοις ἀρκεῖ τοὺς πατέρας αὐτοῖς εἶναι τοιούτους, αὐτοὶ δ' ὡς τὰ πολλὰ τρυφῶσι· καὶ ὑμῖν ἀρκεῖ παρεῖναι ἐμὲ καὶ λέγειν, τὸ δ' ἀπαν- (726) τᾶν καὶ μετέχειν τῶν ξένων ἅπαν ἠξιώσατε εἶναι. ἀλλ' ἀντὶ τοῦ βαδίζειν ἐπὶ τὰς ἀκροάσεις περὶ τὰς κολυμβήθρας οἱ πλείους διατρίβετε, εἶτα θαυμάζετε, εἴ τινες ὑμᾶς τῶν λεγόντων λανθάνουσι· τὸ δ' ἀληθὲς οὐ βούλεσθε, οἶμαι, πρὸς ὑμᾶς αὐτοὺς λέγειν, ὅτι οὐκ ἔνεστι λίθων ἐρῶντας οὐδὲ λουτρῶν ἐξηρτημένους οὐδ' ἃ μὴ δεῖ τιμῶντας τὰς περὶ τοὺς λόγους διατριβὰς γιγνώσκειν, ἀλλὰ τὰ ὑμέτερ' αὐτῶν ἀνατίθετ' ἐμοὶ καὶ βλασφημεῖτε μετ' εὐφημίας, εἰ γὰρ ἐβούλετο, καὶ τοιαυτὶ λέγοντες, ὡς νῦν γε νυστάζοντα δηλονότι. καίτοι λόγος μὲν λόγον, ὥς φησιν Ὅμηρος, ἀμείβεται, καὶ ὁποῖ' ἄττ' ἂν εἴπῃ τοιαῦτ' ἂν ἀκούσεσθαι χρὴ προσδοκᾶν, ῥήτορα δ' εἶναι φάσκοντα λαβόντα αἰτίαν οὐ προσήκουσαν μὴ χρήσασθαι τοῖς οἰκείοις ὀργάνοις ἔσχατα συμφορᾶς.

Ἐγὼ τοίνυν θεῶν εὐμενῶν ὄντων τοὺς μὲν κατ' αὐτοὺς τοὺς λόγους ἀγῶνας οὐ σφόδρα φήσαιμ' ἂν δεδιέναι, δέδοικα δὲ τοὺς δεινοὺς ἀνταγωνιστάς. εἴπω τίνας; τοὺς λίπα ἀληλιμμένους τουτουσὶ καὶ τὸν φοίνικα περικομίζοντας, οὐκ εἰς ἀκροάσεις μὰ Δία ῥητόρων συγκαλοῦντας, (727)

ΓΔΘL Iunt. 7 οὐδὲν ἐρῶ ΓΕ. οὐδὲν δὲ ἐρῶ Θ. οὐδὲν γὰρ ἐρῶ vulgo. οὐδὲν ἐν νῷ ΔL. 8 ταυτὸν ΓΔL. Vulgo ταυτό. 9 αὐτοῖς ΓΔΘL. Vulgo αὐτῶν. ὑμῖν] ἡμῖν L. 10 ἀπαντᾶν] Scil. πρὸς ἐμὲ καὶ τὰς ἐμὰς ἀποδείξεις aut ἀκροάσεις. aut πρὸς τοὺς ἐμοὺς ἀγῶνας, καὶ μετέχειν αὐτῶν τε καὶ ἐμοῦ. Breviter hic dictum ipse versu proximo exponit illis verbis βαδίζειν ἐπὶ τὰς ἀκροάσεις. Reisk.

15 ἀνατίθετ' ἐμοὶ] ἀνατίθετέ μοι Γ. 16 νυστάζοντα] νυστάζοντος L. 17 Ὅμηρος] Iliad. υ, 250. ὁπποῖόν κ' εἴπῃσθα ἔπος τοῖόν κ' ἐπακούσαις. ἄττ'] Vulgo ἅττ'. εἴπῃς ΓΔΘ. Vulgo εἴποις. εἴποι(θα)ς L. ἂν (ἂν(αὐ) L) ἀκούσεσθαι] αὖ ἀκούσεσθαι Θ. ἀντακούσεσθαι Reiskius. 19 ἔσχατα ΓΘΕ. Vulgo ἐσχάτης.

21 ἀληλιμμένους] ἀληλειμμένους ΓΕ. περικομίζοντας] περικομ(μ)ίζοντας Γ.

423, 1 Post περὶ in L trium circiter syllabarum lacuna est

ὥσπερ ἐγὼ καὶ περὶ Κῶν ταυτηνὶ τὴν Μεροπίδα καὶ ἐν Κνίδῳ ποτὲ εἶδον ἐπ' ἐμαυτοῦ γενόμενον, ἀλλ' ἴστε ὅτι δεξαμενὰς ἐπαινοῦσι, καὶ δεῦρ' ἄγ' ἰὼν νῆα κατάστησον, καὶ τοῖς καταίρουσι τοιαῦτ' ἐπαγγέλλουσι καὶ τοιαῦτα προξενοῦσιν. ὅταν οὖν ἑτέρωθεν μὲν ὁ ῥήτωρ ἀγωνιούμενος εἰσίῃ, ἑτέρωθεν δὲ ὁ ῥέμβος ὑμῖν ἀμφιθαλὴς ἤχῃ τὰ τοιαῦτα ὑπισχνούμενος, εἰκότως, οἶμαι, συμβαίνει τὴν νίκην ἐκείνου τοῦ μέρους γίγνεσθαι, καὶ μήτε πρεσβύτερον μηδένα μήτε νεώτερον ῥᾳδίως ἐθέλειν σωφρονεῖν. ταῦτ' ἐστὶν ἃ τοὺς λέγοντας ὑποσκελίζει, ταῦθ' ὥσπερ νέφος ἢ σκοτόμαινα ἐπισκοτεῖ πᾶσι τοῖς περὶ παιδείαν καλοῖς. πρὸς

---

et sequitur ταυτηνὶ. In margine adscriptum λείπει. περὶ κῶν Θ. περικων Γ. Vulgo περὶ Κῶ. Κῶ ταυτηνὶ τὴν Μεροπίδα] *Meropis* dicta olim *Cos* insula, quomodo etiam eandem vocant Thucydides, Strabo, Antoninus Liberalis; quorum loca iam ad Stephanum congessit doctissimus Holstenius, et quibus accedit Pausanias, lib. 6. pag. 370. ἐκ τῆς Κῶ Μεροπίδος, *e Coo Meropide;* item Plinius lib. 5. cap. 31. Hinc Μεροπηΐς apud Callimachum Hymn. in Delum, v. 160. ob metrum, sicuti Πελοπηΐς *Peloponnesus* vocata ab Eustathio traditur ad Iliad. β'. pag. 318. Quum vero triplex tradatur, in Graecis ad Callimachum Scholiis, huius nominis ratio; aut quod rex illius insulae fuerit Merops; aut quod Meropes eam inhabitarent; aut quod Meropis filia fuerit *Cos* seu *Coos*, unde etiam insulae nomen; tria illa ad unum refert Hyginus, Astron. lib. 2. cap. 16. *Nonnulli dixerunt etiam, Meropem quendam fuisse, qui Coon insulam tenuerit regno, et a filiae nomine Coon, et homines ipsos a se Meropas appellant.* Plura videantur apud Illustriss. Spanhemium ad Callim. pag. 428, 429. Consulatur itidem Tristanus in Comment. Histor. Vol. 1. pag. 65. Iebb. ταυτηνὶ] *Hanc* Con, insulam. *hanc* ait, quasi digito demonstrans; quia Cos non longe aberat a Smyrna, ubi haec oratio dicta, vel potius tantummodo scripta et edita est. Reisk. 2 Μεροπίδα] μεροπίδα (κεκρο) L. Sic distinguo ἀλλ' ἴστε ὅ τι; δεξαμενὰς ἐπαινοῦσι. at laudant. nostisne quid laudent? piscinas nempe. Reisk. 3 δεξαμενὰς] δεξαμένας (sic) L. ἰὼν νῆα om. E. νῆα κατάστησον] Ex Odyss. μ, 184. cantus Sirenum. Reisk. 4 ἑτέρωθεν] ἑτέρωθε L. εἰσίῃ ΘΕ. Vulgo εἴσι. εἶσιν Δ. εἰσὶν L. 5 ῥέμβος] ῥέμνος ΓΕ. πρέμνος Θ. γρ. πρεμνος margo L. ἤχῃ ΓΔΘL. ἤχειν Iunt. ἥκει Steph. Iebb. τὰ τοιαῦτα ΓΘL. Aberat τά. τοιαῦτα] Ostendam vobis pulchras balneas, frigidos lacus, splendida marmora —. Reisk. 6 καὶ μήτε] καὶ μὴ τοῦ E.

δὲ τούτοις οἱ κατάπτυστοι σοφισταὶ πείθουσιν ὑμᾶς ὡς ἄρα καὶ τῷ Ὁμήρῳ τοῦτο μέγιστον ὑπάρξειεν, υἱὸν Μέλητος γενέσθαι. πᾶς τις οὖν ἵεται σπουδῇ παρὰ τὸν πατέρα αὐτοῦ φιλοσοφήσων ἐκεῖ, καὶ οὐδὲ ἐξ αὐτῶν τούτων ἐνθυμηθῆναι δύνασθε εἰ τὰ μάλιστα ἀληθῆ λέγουσιν, ὅτι οὐδ' αὐτῷ τῷ Ὁμήρῳ ἤρκει παρὰ τὰς ὄχθας ἐσκηνῆσθαι τοῦ πατρὸς, οὐδὲ τοῖς ἰχθύσι συμπαρανεῖν ἀδελφοῖς οὖσιν ἑαυ- (728) τοῦ, ὡς ὁ τούτων λόγος, ἀλλ' οὕτως αὐχμηρόν τινα ἐβίω βίον ὥστε πολλαχῇ δῆλός ἐστι στέργων, εἰ τῶν ἀναγκαίων εὐποροίη, λουτρὰ δὲ αὐτοσχέδια καὶ δὴ ἐπ' ὀνήσει καμνόντων σωμάτων, ὥς φησι Πλάτων, ἀπεδέχετο, περαιτέρω δὲ οὐκ εἴα τρυφᾶν. τὸ δὲ πλείστην ἅπασιν ἁπάντων ὀλιγωρίαν ἐμπεποιηκὸς ἡ ἀδιήγητός ἐστιν αὕτη φθορά. πᾶς γάρ τις δεδιὼς μὴ φθάσειε προδιαφθαρεὶς, αὐτὸν ἐλπίζων ἀπόλλυσι, πάντα μὲν τὰ αἴσχιστα ἐν κέρδους τάξει τιθέμενος, πᾶν δ' ὅσον χρηστὸν ζημίαν καὶ πόνους ἄλλως ὑπολαμβάνων, ὡς εἰ μὴ ἀμφότερα λωβηθεὶς ἄπιοι παρὰ τοὺς πλείονας καὶ τὴν γνώμην καὶ τὸ σῶμα, οὐκ ἐσομένης αὐτῷ χώρας ἐκεῖ. τὸ δ', οἶμαι, πᾶν τοὐναντίον ἦν· ἐπειδὴ τοιαῦτ' ἀφέστηκεν, ἀπολαῦσαι τοῦ βίου τὰ

---

10 ἵεται] Vulgo ἵεται. αὐτοῦ om. E. 12 ἤρκει Reiskius. Vulgo ἤρκει. ἥκει L. παρὰ τὰς ΓΔΘ. παρὰ τοὺς L. Vulgo περὶ τάς. ἐσκηνῆσθαι] ἐσκηνησθῆναι Δ. 14 πολλαχῇ] πανταχῇ Θ. 15 δὴ ἐπ' ὀνήσει Steph. Iebb. διαπονητὶ ΓΔΘEL Iunt. 16 ἅπασιν ΓΔΘL. Vulgo ἅπασαν. 17 ἐστιν om. Γ. φθορά] φορά Δ. πᾶς γάρ τις δεδιὼς] Omnis enim metuens ne prius pereat, h. e. moriatur, quam illis imaginariis voluptatibus, balneis, natatione in flumine Melete, contemplatione statuarum et similibus fruatur. φθορά est corruptio morum, luxuries. Reisk. 18 αὐτὸν] Vulgo αὐτόν. 19 καὶ πόνους addidi ex ΓΔΘEL. 20 ἄπιοι] ἄπιοι (εισι) L. ἐσομένης] ἐσομένοις Δ. 21 ἐκεῖ] In sedibus beatorum, in campis Elysiis. deinde facio cum codice Barocciano egregiam lectionem praestante, quae sententiam hanc bonam efficit. quia vero ludicra et inepta haec omnia diximus vitae decora maxima corrumpere, σκοπῶμεν ἕως ἔξεστι, videamus atque constituamus quid agendum nobis sit. Reisk. ἐπειδὴ τοιαῦτ' ἀφέστηκεν] ἐπειδὴ τοιαῦτ' ἐπήχηκεν E. ἐπεὶ δὲ τὰ τοιαῦτ' ἐφάσκομεν L. ἀπολαῦσαι] ἀπόλλησαι (αῦσαι) Γ. ἀποσυλλῆσαι E. ἀπολλῦναι L.

Digitized by Google

424 κάλλιστα, ἕως ἔξεστιν, ἵν᾽ εἰ μὲν τῆς σωζομένης μοίρας εἴημεν, ἐν τοῖς καλλίστοις σωζοίμεθα, ἐν μαθήμασι καὶ λόγοις, καὶ μὴ τὴν ὕειον ἁρμονίαν ἡρμοσμένοι νύκτα ἐκ νυκτὸς καὶ ἡμέραν ἐξ ἡμέρας καλινδοίμεθα, εἰ δὲ μή, κέρδος γ᾽ ᾖ πᾶν ὅ τί τις προὔλαβεν. ἢ πρὸς θεῶν λούσασθαι μὲν κέρδος ἐστὶ ζῶντα, ὃ καὶ τελευτήσαντα μενεῖ δήπουθεν, λόγων δὲ ὧν εἴργεσθαι μετὰ τὴν τελευτὴν ἀνάγκη, τούτων ζῶντα ἀπολαῦσαι, καὶ αὐτὸν λέγοντα καὶ ἑτέρῳ παρόντα, ἀηδία, καὶ τῇ μὲν ἑταίρᾳ συγγενέσθαι κεφάλαιον εὐδαιμονίας, ἀνδρὶ δὲ τῷ πρώτῳ τῶν Ἑλλήνων συγγενέσθαι καὶ ὁσονοῦν εἰς κατάραν τελεῖ; καὶ τῇ μὲν γαστρὶ χαριστέον, ἐξ ἧς αἱ πλεῖσται τῶν νόσων, ὅσα δ᾽ εἰς λόγους ὕθλον ἄλλως καὶ σκιὰν ὑποληπτέον, ὦ χρηστοὶ καὶ τὴν οἰκουμένην ὑμεῖς παιδεύοντες πρὶν ὑμᾶς αὐτούς; ἀλλ᾽ ὥσπερ ἐμὲ ἀξιοῦτε βούλεσθαι λέγειν, οὕτως ὑμῖν αὐτοῖς παρακελεύσασθε ἐμὲ ποιεῖν βούλεσθαι λέγειν, εἰ δὲ μή, ἑκάτεροι τὸ ἑαυτῶν πράξομεν. ἐγὼ μὲν γὰρ οὐδ᾽ οὕτως ἀνήσω λέγων, ἕως ἂν θεὸς εὐμενὴς ᾖ, ὑμεῖς δὲ ἀγνοήσετε ἀεί. ταῦτ᾽ οὖν, εἰ μὲν βούλεσθε, ἀπολογίαν, εἰ

---

424, 1 ἕως] σκοπῶμεν ἕως L. εἰ μὲν] Si superstites a morte erimus, neque animus cum morte prorsus interibit. Reisk. σωζοίμεθα ΓΔΘ. Vulgo σωζώμεθα. 2 ὕειον] ὑ . . . E. 3 καλινδοίμεθα ΔΘ Iunt. κυλινδοίμεθα Γ. κυλινδοίμεθα (α supra) Steph. Iebb. καλινδώμεθα (οι supra) L. κυλινδούμεθα E. εἰ δὲ μὴ] Quod si vero in morte funditus perimus, id saltem lucri feramus ut literati excedamus. Reisk. ᾖ] εἴη Θ. προὔλαβεν] προὔθηκεν E. 5 καὶ αὐτὸν] καὶ πρὸς αὐτὸν L. 6 ἑταίρᾳ] ἑτέρᾳ Δ. 7 ὁσονοῦν] ὅσον οὖν Δ. 9 ἀλλ᾽ ὥσπερ — ὑμῖν αὐτοῖς addidi ex ΓΘΕL. Canterus, cui ignotum fuit hoc supplementum, τοίνυν addebat post παρακελεύσασθε. Post αὐτοῖς in L est quattuor circiter syllabarum spatium et in margine notatum λείπει. 10 ποιεῖν βούλεσθαι ΓΘΕ. Vulgo ποιεῖν ἃ βούλεσθε. βούλεσθαι etiam Canterus. Corrigendnm πρὶν ὑμᾶς αὐτούς, ἀλλ᾽ ὥσπερ ἐμὲ ἀξιοῦτε βούλεσθαι λέγειν, οὕτως ὑμῖν αὐτοῖς παρακελεύσασθε ποιεῖν ἅπερ ἐμὲ βούλεσθε λέγειν. ut me vultis disputare, ita vobismet imperate ut ea velitis ipsi facere, quae me disputando vultis exsequi. Reisk. 11 ἀγνοήσετε ἀεί] ἀγνοήσαιτε αἰεί Γ. ἀγνοήσετε] H. e. ἁμαρτήσετε. peccabitis, labemini, errabitis.

δὲ βούλεσθε, ἐπιτίμησιν ἀπ' εὐνοίας, εἰ δὲ καὶ ὡς ἀμφότερα εἰρήσεται, ἀλλ' οὖν ἀληθῆ γε καὶ συμφέροντα ἀκούειν ἅπασιν εἴρηται. ἢ οὖν παυστέον, φησὶ Δημοσθένης, τούτων τῶν ἐθῶν, ἢ τοῦ γ' Ἱππολύτου καὶ τοῦ Βελλεροφόντου μὴ ῥᾳδίως οὑτωσὶ καταψεύδεσθε.

---

v. dicta ad Dion. Chrys. p. 54. Reisk. 13 εἰρήσεται] εἰρῆσθαι. cohaeret enim cum βούλεσθε. sive dicta esse meae defensionis ergo, sive quo vos amice reprehenderem et castigarem, sive utrumque me spectasse voletis. Reisk. 14 Δημοσθένης] Philipp. IV. in fine. Canter. τούτων] τούτου E. Hippolytus quoque et Bellerophо calumniis pariter atque Aristides petiti et afflicti sunt. Insontem se insontibus aliis pari sorte usis comparat. Reisk.

# LII.

## ΠΡΕΣΒΕΥΤΙΚΟΣ ΠΡΟΣ ΑΧΙΛΛΕΑ.

*Πρεσβευτικὸς πρὸς Ἀχιλλέα*] Declamationis huius argumentum partem maximam de libro nono Iliadis Homericae sumtum est: Fessi enim quotidianis cladibus Graeci, iamque obsessis quam obsidentibus similiores, demum ex sententia Nestoris, ad Achillem, heroum omnium longe fortissimum, placandum, inque castra communia reducendum, oratores quam maxime impetrabileis mittunt, magistrum Achillis Phoenicem; Aiacem Telamonis filium, virum et generis necessitudine, et armorum gloria (Il. β, 758.) Achilli proximum; denique et Ulyxem, Iovi ipsi, si Homero credimus, (Il. β, 169. γ, 223.) prudentia atque facundia haud imparem. Cui ut primas loquendi partes dedit, ita oppido luculentam, crebrisque sapientiae civilis, atque eloquentiae luminibus distinctam orationem servantissimus decori poëta tribuit. Phoenicis melle dulcior sermo est, pristinaeque educationis ac perpetuae familiaritatis memoria mirifice gratiosus ac efficax. Pauca Aiax, sed pro militari ingenio ac captu, valida atque severa, disserit. Sed crudo ac recenti dolore aestuans animus, necdum tractabilis, (quippe intra quintum decimum diem, ex quo abducta erat Hippodamia, Liban. *ἀντιλογ. Ἀχιλλ.* p. 240. Conf. Il. β, 694.) quae adhibebantur fomenta, prorsus tum quidem adspernabatur. Igitur re infecta in castra legati redeunt. Apud Aristidem vero sic in plerisque Ulyxis Homerici exprimi mihi oratio videtur, ut simul ad ea, quae illi reposuit Achilles, respondeatur. Norrm.

*Τοῦ ἀποθέσθαι τὴν μῆνιδα*] Haec, quae uncis inclusimus, non minio ut praecedentia, sed atramento, manuque recentiore, cuius et alibi in marginibus codicis MS. vestigia apparent, scripta, a quopiam adiecta videntur, qui *τὴν τοῦ λόγου ὑπόθεσιν* hac *ἐπεξηγήσει* clarius indicare voluerat. Sed praeter Thomae Magistri auctoritatem, qui hanc tituli appendiculam nusquam agnoscit; praeterque naturam ac indolem inscriptionum, quae rotunde breviterque amat explicari; crediderim, si *αὐτοῦ τοῦ ῥήτορος* esset illum non minus hoc loco, quam in ipsa Declamatione p. 30. et 42. *μῆνιν*, more Homeri, aliorumque veterum, non autem *μῆνιδα*, quamvis sic recte atque ordine formari queat, positurum fuisse. Norrm. Delevi quae post *ΑΧΙΛΛΕΑ* addebantur *τοῦ ἀποθέσθαι τὴν μῆνιδα*, quibus carent P et Cam. *Ὀδυσσεύς* addit P.

25 Ἄριστε Ἀχιλλεῦ, τὸ μὲν θυμοῦσθαί σε καὶ χαλεπαίνειν (2 ἐφ᾽ οἷς ὑβρίσθης οὐδὲν ἀπεικὸς, οὐκοῦν ἄχρι τούτου γε. Norrm.) ἐγὼ δ᾽, εἰ μὲν ἢ τῆς αὐτῆς γνώμης ἔτι καὶ νῦν Ἀγαμέμνων εἴχετο, ἢ περὶ ὧν ἥμαρτεν ἔξαρνος ἦν, οὐκ ἂν παρῃτούμην, ἀλλ᾽ εἴων ὅπως ποτὲ σοι δοκεῖ ποιεῖν· ἐπεὶ δὲ ὑπὲρ αὐτοῦ τούτου καὶ δεήσεις ποιεῖται καὶ δῶρα τὰ μὲν δίδωσι, τὰ δ᾽ ἐπαγγέλλεται, τί ἂν τις ἐξελέγχοι τόν γε ὁμολογοῦντα; ἀλλ᾽ ὥσπερ ἐκεῖνός σοι συγχωρεῖ δίκαια λέγειν, οὕτω καὶ σὺ πείθου παραιτουμένῳ· εἰ δὲ μὴ, πῶς οὐκ ἄτοπον πρῶτον μὲν τὴν αὐτὴν γνώμην ἔχειν ἥνπερ πρὸ τοῦ πρὸς τὸν οὐκέτι τὴν αὐτὴν ἔχοντα; ἔπειτα σκόπει μὴ τὴν δίκην ὧν ἐκείνῳ μέμφῃ παρ᾽ ἡμῶν λάβῃς.

---

425, 1 Ἀχιλλεῦ] ἀχιλεῦ Δ. θυμοῦσθαι σε] Accentu τῆς ἐγκλιτικῆς non in vocem praecedentem, ut communiter fit, reiecto; sed penitus intermisso. Id quod in huiusmodi locis, ubi vocem προπερισπωμένην enclitica μονοσύλλαβος sequitur, librarius noster plerumque observat, cum hoc in libello, tum caeteris eiusdem τεύχους. Rursus ubi παροξύτονος anteit, tum unius syllabae enclitica nunc retinet tonum, ἐκείνοις τὲ, p. 8. nunc amittit, ἄλλως τε, p. 12. Nos in hisce aliisque, illius τονολογίαν, nisi ubi manifesto vitio laborat, bona fide secuti sumus. Idem in distinctione sententiarum, omnique ratione interpungendi, servavimus, ut quum post ἂν, ὑποστιγμὴν fere ponit; quum punctum pensile, saepe loco commatis, aliquando pro nota πευστικῇ, adhibet. Caeterum quod ad subscriptionem τοῦ ἰῶτα adtinet, plus nobis multo indulsimus, haud ausi refragari praeceptionibus Grammaticorum, ac receptae consuetudini. Noster enim cum alibi fere, tum vero perpetuo in δοτικαῖς singularibus τῶν ἰσοσυλλάβων, subscribendum ἰῶτα omittit. Interdum haud refugit; maxime in verbo: ut παρῃτούμην p. 2. πρόῃ p. 6. αἱρήσῃ p. 12. saepius tamen negligit. Praeterea dissimulatis scripturae compendiis, quae frequentare amant librarii, genuinam protenus vocabulorum ὀρθογραφίαν repraesentavimus, pro ἄνος ἄνθρωπος, pro μρς μητρὸς, pro σρί σωτηρίας, et caeteris eiusdemmodi, quae pervulgata sunt, atque in editis etiam libris, Aldi, Calliergi, Iuntae, iisque, quos hodie Graeci ipsimet Venetiis, aut alibi, excudunt, ubique obvia. Id quod semel brevibus indicandum habuimus, ne subinde ad huiuscemodi apinas tricasque literarias, insistendum nobis haerendumque esset. Norrm.
θυμοῦσθαί σε Cam. Iebb. 2 ἐγὼ δ᾽ ΔΘP Cam. ἐγὼ δὲ Norrm. Iebb. 4 δοκεῖ] ἐδόκει Reiskius. τὰ μὲν δίδωσι] Iliad. ι, 519. 5 δ᾽] δὲ P, superscripto δ᾽. 6 καὶ σὺ] καὶ om. ΘP Cam.

εἰ μὲν γὰρ ἅπασι χαλεπῶς ἔχεις, εἰπὲ πρὸς Διὸς ἀνθ᾽ ὅτου, εἰ δ᾽ ἀπολύεις τούς γε ἄλλους αἰτίας, κοινὸς ἁπάν- (4) των ὁ κίνδυνος· ὥστε πῶς δίκαιος εἶ περιορᾷν; ὅπως νὴ Δία ἐκεῖνος ἔτι μᾶλλον μισοῖτο ὑπὸ πάντων διὰ ταῦτα; ἀλλὰ μάλιστα μὲν δέδοικα μὴ οὐ λειφθῶσιν οἱ μισήσοντες· οὕτω πυκνοὶ πίπτουσιν. ἔπειτα νῦν γε ὦ πρὸς θεῶν πῶς ἄλλως γνώμης οἴει ἔχειν αὐτούς. δέδοικα μέντοι μὴ σοῦ πλεονάζοντος τοὐναντίον ἢ σὺ βούλει γένηται, κἀκεῖνον ἀφέντες, εἶτά σοι μέμφωνται. μὴ γὰρ οἴου τὸν μὲν πρότερον ἄρξαντα τῆς ὀργῆς ὑπαίτιον εἶναι, τὸν δὲ μηδ᾽
426 ὕστερον ἐθέλοντα παύσασθαι μετρίως δόξειν βεβουλεῦσθαι. χωρὶς δὲ τούτων οὐ σόν, ὦ φίλε Ἀχιλλεῦ, μᾶλλον ὅπως τις δικαίως μισηθήσεται ζητεῖν ἢ ὅπως τὸ κοινὸν σωθήσεται. εἰ γὰρ δεῖ χαλεπαίνειν διὰ τέλους, τοῖς βαρβάροις ἂν ἔγωγε φαίην δεῖν καὶ τοῖς φύσει πολεμίοις. πολὺ γὰρ

---

9 εἰ δ᾽] εἰ δὲ ΔΘP. 12 πυκνοὶ ΔΘP Cam. πολλοὶ Norrm. Iebb. γνώμης οἴει ΘP Cam. οἴει γνώμης Norrm. Iebb. 14 μέμφωνται P Cam. et ex Norrmanni correctione Iebb.: nam codex Norrm. μέμφονται.

426, 1 οὐ σόν] οὐ σὺ (σὸν) P. 2 μᾶλλον ὅπως (πῶς) P. μισηθήσεται Norrm. Iebb. μισήσεται Θ Cam. et margo P. 3 ἂν ἔγωγε φαίην ΔΘP Cam. ἔγωγε φαίην ἂν Norrm. Iebb. τοῖς βαρβάροις καὶ τοῖς φύσει πολεμίοις] Servit scenae suae Noster, dum mutua Graecorum barbarorumque odia, naturae instinctu concepta atque propagata, cum hoc loco, tum p. 28. inculcat. Consimilia apud alios eius gentis, quae humanitatis laudem, caeteris ademtam, ut propriam ac vernaculam, sibi unice arrogabat, nonnunquam vix sine stomacho, legas. Barbaros natura servos atque vectigaleis progigni; Graecos contra ingenuos, liberos, dominos. Iusta idcirco iis in barbaros ac aeterna bella esse; perinde ac in feras animanteis, queis ingenio rationisque usu barbarorum nonnulli, (Arist. Ethic. Nicomach. 7, 5.) parum antistent. Isocrates παναθηναϊκῷ p. m. 634. de Atheniensibus suis, τὸν πόλεμον ὑπελάμβανον ἀναγκαιότατον μὲν καὶ δικαιότατον τὸν μετὰ πάντων ἀνθρώπων πρὸς τὴν ἀγριότητα τὴν τῶν θηρίων, γενόμενον· δεύτερον δὲ, τὸν μετὰ τῶν Ἑλλήνων πρὸς τοὺς βαρβάρους, τοὺς καὶ φύσει πολεμίους ὄντας, καὶ πάντα τὸν χρόνον ἐπιβουλεύοντας ἡμῖν. Ulpianus in Demosthenis κατὰ Μειδίου, φυσικὸς πόλεμός ἐστι τοῖς βαρβάροις πρὸς τοὺς Ἕλληνας. Cuiusmodi sententias oratoribus et poëtis citius concedas quam philosophiam, vitae morumque magistram, professis. Neque tamen

Digitized by Google

μείζω πρὸς τούτους ἡμῖν τὰ ἐγκλήματα καὶ ὑπὲρ μειζόνων. ὥστε πῶς δίκαιον τὸν μὲν ἐπὶ καιροῦ λυπήσαντα μισεῖν, τοὺς δ' ἐξ ὅτου γεγόνασι πολεμίους μὴ ὅσον ἀθώους περιορᾶν, ἀλλὰ καὶ τοσοῦτον κρατοῦντας τῶν σῶν ἑταίρων καὶ μεθ' ὧν ὤφθης πρῶτον αὐτοῖς; ἐπεὶ νῦν εἴ σοι δέ- (6)
δοκται παντάπασι διαφθεῖραι τὸ στρατόπεδον, τί οὐκ ἄντικρυς γίγνει μετὰ τῶν βαρβάρων καὶ τοὺς μὲν ἐκ τοῦ ἄστεος ἐᾷς προσελαύνειν, αὐτὸς δὲ ἀπὸ τοῦ Σιγείου προσβαλὼν ἐν μέσῳ σαυτοῦ τε κἀκείνων ποιεῖς; ὅτι νὴ Δία οὐκ ἀνεκτὰ ταῦτα οὐδ' ὅσια; τῶν αὐτῶν τοίνυν τούτων ἔχεται λογισμῶν καὶ ἡ νυνὶ βοήθεια. ἀπόλλυνται μὲν γὰρ οὐδὲν ἧττον καὶ τὴν ἡσυχίαν ἄγοντος σοῦ, πρόσεστι δὲ τῷ σχήματι ῥᾳθυμία, τῷ δοκεῖν θεωρεῖν τὰ γιγνόμενα. ὥστε διπλοῦν ἀνθ' ἁπλοῦ τοὔνειδος γίγνεται· καὶ γὰρ μισεῖν τοὺς ὁμοφύλους δοκεῖς καὶ φοβεῖσθαι τὴν μάχην. μὴ σύ γε, ἀλλ' ἐξ ἀρχῆς δυοῖν ἑλοῦ θάτερον· εἰ μὲν τὰ τῆς ὀργῆς νικᾷ, χρῆσαι παντὶ τῷ θυμῷ, εἰ δ' ἐπίστασαι λογίζεσθαι, μὴ σχίζου τῇ γνώμῃ, μηδὲ ἀπέχου μὲν ὡς φιλίων, πρόῃ δὲ ὡς πολεμίους, ἀλλ' ἴσθι τοσούτῳ χείρω

---

non idem sibi indulsit, ipso in aditu exordioque immortalis de republica operis ὁ δαιμόνιος Aristoteles. Quae nos aliis excutienda linquimus. Norrm. 5 ἐπὶ καιροῦ ΔΘΡ Cam. ἐπὶ τοῦ καιροῦ Norrm. Iebb. ὅτου] ὅσου Δ. 6 ὅσον] μόνον margo P. „Bene habet ὅσον, et μόνον eius scholium est.“ Reisk. μὴ ὅσον ἀθώους] Minime nunc quidem certe insontes, secundum eam significationem reddideram, qua ἀθῷος in sacris veteris novique foederis libris, Graecorumque χριστιανιζόντων scriptis familiariter usurpatur. Caeterum cum ea vox apud τοὺς ἔξω fere passive sumatur pro impunito καὶ ἀτιμωρήτῳ, malo nunc vertere, *quum eos, qui nati hostes nostri sunt, non modo incolumes discedere sinas, sed longo iam etiam intervallo, tuorum victores contubernalium.* Quod dum nostra adhuc a prelo calentia relegerem, animadversum mox auditoribus meis indicabam. Norrm. ἀλλὰ καὶ ΘΡ Cam. Aberat καὶ. ἑταίρων] ἑτέρων Δ. 8 γίγνει] Vulgo γίγνῃ. γίνῃ Δ. 9 σαυτοῦ] αὐτοῦ ΔΘ. 10 οὐδ'] οὐδὲ ΔΡ Cam. 11 ἄγοντος σοῦ P Cam. ἄγοντός σου Norrm. Iebb. 12 γιγνόμενα] γινόμενα Cam. Idem γίνεται. 13 δυοῖν ἑλοῦ ΔΘΡ Cam. Vulgo ἑλοῦ δυοῖν. 14 μὲν τὰ P Cam. Vulgo μὲν γὰρ τὰ. 15 φιλίων ΔΘΡ. Vulgo φίλων. πρόῃ] πρώῃ Δ. πρώῃ Θ. πρόῃ ὡς πολεμίους] Recte. Itaque emendandum, quod apud Thomam Magi-

νυνὶ ποιῶν ἢ εἰ μετὰ τῶν βαρβάρων ἡμῖν ἐπῄεις, ὅσῳ φανερᾶς ἔχθρας προδοσία χαλεπώτερον.

Σὺ δὲ εἰ μὲν πρέσβεις ἔλθοιεν παρὰ Πριάμου νυνὶ
περὶ συμμαχίας, οὐκ ἂν αὐτοὺς δέξαιο τῇ σκηνῇ, ἃ δ' (S)
ἂν εὔξαιντο ἐκεῖνοι, ταῦτα σὺ πράττεις, καὶ τῷ θυμῷ
τὰ πράγματα ἀπολλὺς κάθησαι· ἔπειτα δ' εἰ μὴ σιδήρῳ
427 τοῦτο ποιεῖς ἢ πυρὶ, πρᾷον τοῦθ' ἡγεῖ τι. καὶ λόγον μὲν
οὐκ ἂν ἐξ ἴσου δοίης ἐκείνοις τε καὶ ἡμῖν, ἐξ ἴσου δὲ
ἀμφοτέροις ἐκποδὼν ἕστηκας, μᾶλλον δὲ βοηθεῖς μὲν οὐδετέροις, τῇ δὲ γνώμῃ πρὸς ἐκείνους ῥέπεις· τοσούτῳ πλέον ἡμῶν ἔχουσι. καὶ παρ' αὐτὴν μὲν τὴν ὀργὴν οὕτω πολιτικῶς ἔσχες ὥστ' οὐδ' αὐτὸν τὸν Ἀγαμέμνονα ᾤου δεῖν τεθνάναι· μέγα τούτου τεκμήριον· οὔκουν ἀπέσφαξάς γε αὐτὸν, ἐξόν σοι. νῦν δ' οὐδὲ τῶν ἄλλων οὐδένα δεῖν οἴει λιπεῖν, καίτοι πολλῷ βέλτιον μετὰ τῶν ἄλλων κἀκεῖνον ἦν παρ' ἀξίαν σῶσαι ἢ δι' ἐκεῖνον ἅπαντας ἄρδην ἀφανισθέντας περιιδεῖν, καὶ δίκην γ' ἂν οὕτω παρ' αὐτοῦ τὴν γιγνομένην λαβεῖν. εἰπὲ γάρ μοι τί μάλιστ' ἂν εὔξαιο; οὐκ ἀδοξεῖν ἐκεῖνον καὶ κακῶς ἀκούειν καὶ μῖσος ἔχειν ἐν τῷ στρατοπέδῳ; τοῦτο τοίνυν ἐξ ἀμφοῖν αὐτῷ περιέσται, ἔκ τε τῶν μέχρι τοῦδε ἀπολωλότων καὶ τῶν ἀπὸ τούτου σωθησομένων· ὁ μὲν γὰρ ἐκείνοις αἴτιος τούτου δόξει

---

strum in μὴ perperam bis editum est πρώην, in Romana pariter ac Lutetiana editione. Norrm. 16 ἢ εἰ P Cam. Iebb. εἰ om. codex Norrmanni, qui ex coniectura addebat.

427, 1 πρᾷον P Cam. Iebb. ῥᾷον Norrm. ἡγεῖ] Vulgo ἡγῇ. 2 ἐξ ἴσου δὲ ἀμφοτέροις ἐκποδὼν ἕστηκας] Citat Thomas Mag. v. ἐκποδών. Norrm. τῇ δὲ γνώμῃ ΔΘP Cam. Vulgo τῇ γνώμῃ δέ. 3 τοσούτῳ] τοσοῦτο P Cam. 4 τὸν Ἀγαμέμνονα] Vid. Iliad. α, 190. 220. ἀγαμέμνονα ᾤου δεῖν Δ. ἀγαμέμνονα διεχειρίσω ὡς οὐ δεῖν ΘP Cam. διεχειρίσω· οὐδ' ᾤου δεῖν Norrm. Iebb., quam lectionem ab alia rec. manu habet margo P. διεχειρίσω] Fort. διεχρήσω. de verbo διαχρῆσθαι egit Dorville ad Chariton. Reisk. 5 νῦν δ'] νῦν δὲ P Cam. 6 δεῖν οἴει Δ. Vulgo οἴει δεῖν. δεῖν om. Cam. λιπεῖν] λυπεῖν Θ. καίτοι] καίτοι καὶ ΔΘP. 7 ἄρδην ἀφανισθέντας ΔΘP Cam. ἀφανισθέντας ἄρδην Norrm. Cam. 8 γιγνομένην] γινομένην Cam. 10 ἀπὸ τούτου ΔΘP Cam. ἀπὸ τοῦδε Norrm. Iebb. 11 ἐκείνοις] Scil. τοῖς ἀπολωλόσι. Reisk. αἴτιος τούτου ΔΘP Cam. Vulgo τούτων αἴτιος. τούτων] Id est τοῦ θανάτου ἢ τοῦ ἀπολωλέναι ἃ πεπόνθασι.

Digitized by Google

γεγενῆσθαι, τῆς συμμαχίας ἀποστήσας σε δι' ὧν ὕβρισε, (10)
σὺ δὲ τούτους νυνὶ σεσωκέναι μόνος ἀνθρώπων τῇ βοηθείᾳ· ὥστε τὸ μὲν ἐκείνου μέρος οὐδεὶς τῶν Ἀχαιῶν σώζεται, τὸ δὲ σὸν οὐδεὶς διέφθαρται. σκόπει δῆτα καὶ τὴν αἰτίαν τῆς διαφορᾶς αὐτῆς, ὡς οὐκ ἐξ ἄλλου σοι πράγματος κατέστη πρὸς αὐτὸν, ἀλλ' ὑπὲρ τῶν Ἀχαιῶν, ὅπως σωθεῖεν. τήν τε γὰρ ἐκκλησίαν διὰ τοῦτο ἐποίησας, ὁρῶν τὸ πλῆθος τῶν ἀπολλυμένων ὑπὸ τῆς νόσου, τῷ τε Κάλχαντι παρῄνεις εἰπεῖν θαρροῦντως εἴ τι σύνοιδε. καὶ παρελθόντος ἐκείνου καὶ φάσκοντος δεδιέναι μή τινα τῶν αὐτοῦ κρειττόνων παροξύνας κακόν τι λάβοι, ἀπώμνυς ἦ μὴν μὴ περιόψεσθαι τοῦτον. ἐκ δὲ τούτων ὁ μὲν ἀπέ-
428 φαινε τὸν αἴτιον, ἐκεῖνος δ' ἀμφοτέροις ὠργίζετο· σὺ δ' οὐκ ἀπέστης πρὶν ἐπράχθη τὸ δέον.

Οὐκοῦν ἄτοπον ὑπὲρ ὧν ἵνα σωθῶσι τότε ἤρω τὴν ἔχθραν, τούτους νῦν διὰ τῆς ἔχθρας διαφθεῖραι, καὶ τὰς μὲν παρὰ τῆς τύχης συμφορὰς ἀξιοῦν ἐπανορθοῦσθαι, αὐτὸν δ' ἐξεπίτηδες πράττειν ἐξ ὧν ἀπολούμεθα· καὶ περὶ (12)
ὧν τότε ηὔχου τοῖς θεοῖς, περὶ τούτων νῦν οὐ βούλεσθαι διαλεχθῆναι σεαυτῷ· καὶ ὑπὲρ μὲν τοῦ ἱερέως τοῦ βαρβάρου τὸν θεὸν ἀξιοῦν αἰδεῖσθαι, ὑπὲρ δὲ τῶν ὁμοφύλων τοσούτων τὸ πλῆθος μήτε θεοὺς τοὺς κοινοὺς μήτε ὁσίαν μήτε σπονδὰς ἐθέλειν αἰσχυνθῆναι· καὶ τότε μὲν προέσθαι τὴν σαυτοῦ γνωρίμην, ἵνα σωθῇ τὰ τῶν Ἀχαιῶν, νῦν δὲ

---

Fort. leg. est ἐκείνοις τότε τούτῳ (vel τούτου, ut est in codice Laud.) αἴτιος. quia sequitur νυνί. Reisk. τῆς συμμαχίας ἀποστήσας σε ΘP Cam. σὲ τῆς συμμαχίας ἀποστήσας Norrm. Iebb. 14 διαφορᾶς] διαφθορᾶς Θ. 15 ἐκκλησίαν] Iliad. α, 54. 17 εἴ τι ΘP Cam. ὅ τι Norrm. Iebb. 18 λάβοι ΘP Cam. λάβῃ Norrm. Iebb. ἀπώμνυς Cam. Iebb. ἀπῶμνυς P Norrm. ἐπῶμνυς ab rec. m. correctum in P. 19 τὸν αἴτιον] τὸ αἴτιον Δ. ἐκεῖνος δ' ΘP Cam. ἐκεῖνος δὲ Norrm. Iebb.

428, 1 σὺ δ' Cam. Vulgo σὺ δέ. τότε] μὲν ab rec. m. superne additum in P. 3 ἐξ ὧν P Cam. Vulgo ἀφ' ὧν. 4 ηὔχου correctus P: fuit εὔχου. νῦν οὐ] νυνὶ μὴ P Cam. σεαυτῷ] σαυτῷ Cam. et correctus P. 5 τὸν θεὸν] Iliad. α, 64. 386. τοσούτων correctus P: fuit τοσοῦτον. 7 σαυτοῦ ΔP Cam. Vulgo σεαυτοῦ. νῦν δὲ ἀντὶ ταύτης] Caussam irae excandescentiaeque Achillis cum Homero aliisque Noster abductio-

*ἀντὶ ταύτης αὖ πανστρατιᾷ τοὺς Ἀχαιοὺς ἐκτρῖψαι. καὶ μὴν εἰ δυοῖν αἵρεσις ἦν, καί μοι πρὸς Διὸς ἔστω παρρησία, δίκαιον γὰρ, ἄλλως τε καὶ παρ' ἀνδρὶ τιμῶντι τἀληθὲς, πότερον δεῖ τὴν παῖδα σώαν εἶναι ταύτην, ἢ τὸ στρατόπεδον καὶ τὰ τῶν Ἀχαιῶν πράγματα; οὐκ ἂν οὔτε τὸν Δία τὸν σαυτοῦ πρόγονον τοῦτ' ᾔτησας οὔτ' ἄλλον θεῶν οὐδένα ταύτην ἀντὶ πάντων λειφθῆναι· τί οὖν; εἰ ταύτην τε ἔξεστι κομίσασθαι καὶ σῶσαι τοὺς Ἀχαιοὺς, αἱρήσει ταύτης τε ἀφεστάναι καὶ τούτους ἀπολωλεκὼς εἶναι; καὶ πῶς οὐκ ἄτοπον συμφορὰν μὲν ἐπίστασθαι συμφορᾶς ἀνταλλάξασθαι, ἄμφω δὲ ἐξὸν ἔχειν ἄνευ ζημίας, εἶτα ἀμφοῖν δέξασθαι στέρεσθαι; οὐ γὰρ μόνων τῶν Ἀτρειδῶν* (14) *ἦν τὰς ἑαυτῶν γυναῖκας φιλεῖν. τίς δ' ἂν εἴποι ταῦτα; ἀλλά τοι καὶ κατ' αὐτὸ τοῦτο ἡ τοῦ πολέμου φύσις ἀξία θαυμάσαι. εἰ γὰρ ἑκάστῳ τοῦτο παρέστη τὸ κατ' ἀρχὰς εὐθὺς ὅτι νῦν Μενέλαος συλλέγει στρατιὰν τῆς γυναικὸς τῆς ἑαυτοῦ χάριν, πῶς οὖν ἐμέ γ' εἰκὸς καταλιπόντα τὴν ἐμαυτοῦ*

---

nem Briseïdis facit. Verum Protesilaus apud Philostratum in Heroicis, *εἴ τῳ ἀξιόχρεως ὁ ἐξ Ἅιδου μηνυτὴς*, indignam mortem sapientissimi optimique viri, Palamedis,

*—— quem falsa sub proditione Pelasgi,*
*Insontem, infando indicio, qui bella vetabat,*
*Demisere neci.* Virg. Aen. 2.

*λέγει δὲ*, inquit Philostr. p. 668. d. *τὴν τοῦ Ἀχιλλέως μῆνιν οὐχ ὑπὲρ τῆς τοῦ χρύσου* (legendum *Βρίσου* aut *Βρισέως* haud dubie) *θυγατρὸς ἐμπεσεῖν τοῖς Ἕλλησιν, ἀλλὰ κἀκεῖνον ὑπὲρ τοῦ Παλαμήδους μηνίσαι.* Similia idem in vita Achillis p. 709. b. Norrm. *πανστρατιᾷ*] *πανστρατιὰ* Cam. 8 *τοὺς Ἀχαιοὺς*] *ὡς ἐχθροὺς* add. P Cam. 9 *τὴν παῖδα*] Briseïs, quam vero nomine Hippodamiam dictam volunt, saepissime Nostro aetatis respectu *παῖς* et *κόρη* appellatur, quemadmodum et Deïdamia p. 18. Nec insolens poëtis Latinis eiusmodi locutio; qui puellas ac virgines, etiam nuptas ac liberos enixas, nonnunquam nuncupant. Viduam autem Briseïda, marito tribusque fratribus occisis, ceperat Achilles Il. τ, 291. Quod observat et Eustathius ad Il. *Β*. 689. Norrm. *σώαν εἶναι ταύτην, εἰ ἀντὶ πάντων λειφθῆναι* Cam., mediis omissis. 11 *τοῦτ'* P. Vulgo *τοῦτο*. *θεῶν*] *θεὸν* P. *λειφθῆναι*] *ληφθῆναι* Δ. 12 *αἱρήσει*] Vulgo *αἱρήσῃ*. 14 *μόνων*] *μόνον* P Cam. 15 *τῶν Ἀτρειδῶν*] Iliad. ι, 340. *εἴποι* ΔP Cam. Vulgo *εἴπῃ*. *ἀλλά τοι καὶ ἡ τοῦ πολέμου φύσις κατὰ τοῦτο ἀξία* P Cam. 17 *γ'* Cam. Vulgo *γε*, quod om. P. 18 *ἐμαυτοῦ* ΔP Cam.

Digitized by Google

ἑαυτοῦ Norrm. Iebb. τὴν ἑαυτοῦ γυναῖκα] ἑαυτοῦ in prima persona singulari; quod rarum. Minus infrequens in secunda, immo, si Suidam audimus, Atticorum proprium. Id quod exemplis plusculis in commentariis Graecae linguae p. 32, 33. adversus Theodorum Gazam (quicum et alii sentiunt, Man. Moschopulus Sylloge p. 69. et antiquissimus idemque diligentissimus omnium, Apollonius Alexandrinus, Syntax. 3, 1.) adstruxit Gulielmus Budaeus. Sed qui primae non aliud adfert exemplum, quam Isocrateum hocce e laudatione Busiridis p. 528. μηδὲν ἐπιδεικνὺς τῶν ἑαυτοῦ, quod in recentioribus exemplaribus ἐμαυτοῦ emendatum, aut corruptum fortasse esse fatetur, temeritate libros corrigentium. Profert id unum et Franc. Vigerus de Idiotismis Graecae dictionis p. 57. additque, frustra illic nonnullos reponere ἐμαυτοῦ. Quo modo tamen in editis libris, quotquot oculis nos usurpavimus, etiam vetustissimae venustissimaeque editionis Aldinae, constanter legitur. Certioris igitur fidei testimonia, quamlibet paucula, quae nobis observata sunt, adferemus. Basilius Magnus epistola τῇ βουλῇ Τυάνων scripta p. 316. Edit. Basil. πῶς ἐμαυτὸν λογίσομαι ἐξαρκεῖν ἑαυτῷ. Ioh. Chrysostomus in Genes. c. XXIV 5. p. 388, 24. Tom. 1. Savil. διὰ τοῦτο πυνθάνομαι, τί δέοι με παραφυλάξασθαι — εἰ μὴ ἀνάσχοιτο ἡ κόρη μεθ' ἑαυτοῦ παραγενέσθαι. Eunapius vita Iuliani Sophistae p. 122. 23. ὁ δὲ (Ἀψίνης) ἀπεκρίνατο· περὶ τοῖς ἑαυτοῦ τέκνοις ἀγωνιῶν ἐληλύθειν. Plura, quae quidem ἀναμφισβήτητα sint, nunc non succurrunt; in queis ante Salmasianam ἔκδοσιν, censeri haud immerito hoc Achillis Tatii e libro 8. p. 469. poterat, ἐξῆρον τὸ πρᾶγμα ἑαυτοῦ πρὸς σωφροσύνην μεταποιῶν. Pro quo etsi cum excusis antea libris MS. Anglicanus faceret, Cl. Salmasius, novitate locutionis offensus, adstipulantibus MSStis aliis, ἐμαυτοῦ substituit. Caeterum ex poëtis unum Apollonium Rhodium nobis advocabimus, qui simplex εἷο ex οὗ, et ἑοῖ ex οἷ, in prima et secunda persona, tum et factum inde κτητικὸν ἑὸς suus, ἀντὶ τοῦ ἐμὸς καὶ σὸς, haud raro usurpat. Exempla nonnulla Henr. Stephanus Thes. T. 1. 1068. 1069. congessit. Iam vero si rationum momenta exactius pensites, haud promtum explicare, qui τῷ ἑαυτοῦ in prima ac secunda singulari, plus offendamur, quam ἑαυτῶν in iisdem pluralibus. Nos nec temere praestantium Grammaticorum monita ac praecepta migrare audemus; οὐδ' αὖ ἀβασανίστως καὶ προπετῶς τὰ τοῖς ἀρίστοις τῶν συγγραφέων ἀρέσκοντα ἀθετοῦμεν καὶ ὀβελίζομεν. Commodum vero, dum sub prelo nostra sudabant, Aelianum nobis nundinae Upsalenses adferebant, CLL. V. V. Ioh. Schefferi τοῦ μακαρίτου, et Ioachimi Kuhnii Notis exquisitissimis, accuratoque verborum indice illustratum; ubi in ἑαυτοῦ duo huiuscemodi usus exempla, alterum Aeliani 1, 32. alterum Philostrati lib. 3. vitae Apollonii Tyan. p. 127. vir his in literis versatissimus annotavit. Norrm. Sic ἑαυτοῦ pro ἐμαυτοῦ non nunquam usurpari, sed vi atque audacia criticorum fere de sede sua deiici atque

γυναῖκα καὶ πρὸς τῇ γυναικὶ παῖδας καὶ γονεῖς ἐν γήρᾳ καὶ χρήματα καὶ οἰκέτας πλεῖν ἔξω τῆς Ἑλλάδος, καὶ πρὸς
429 τούτοις ἔτι κινδυνεύειν ἐπὶ στρατείας περὶ ψυχῆς, ὃ πᾶσιν ἁπάντων κτημάτων τιμιώτατον εἶναι συμβέβηκε καὶ πρῶτον ὁ τῶν Ἑλλήνων ἄριστος ὁρίζεται, εἰ τούτοις ἕκαστος ἐχρήσατο τοῖς λογισμοῖς, οὐδ' ἂν συνελέγη δή που τὸ στράτευμα τὴν ἀρχήν. νῦν δὲ οἶμαι δύο ταῦτα ἦν τὰ κινοῦντα, τό τε τοῖς ὅρκοις πάλαι προκατειλῆφθαι θεῶν

---

proturbari, annotatum est. Dabimus nunc duo eius rei exempla nuper observata; alterum e Democriti Abderitae epistola ad Hippocratem, in Hippocrateis evulgata, ubi et alia quam multa male reposita sunt recentioribus in libris, et haec ipsa, φῄθην γὰρ εἰ μὴ κατειλήφεις με γράφοντα, ἀνακείμενον δὲ ἢ σχεδὸν περιπατοῦντα, καὶ προσομιλέοντα ἐμαυτῷ. at vetustissima Epistolarum Philosophicarum ἔκδοσις Aldina, γνῶθι γὰρ, ὡς εἰ μὴ καταλελαβήκεις με γράφοντα, ἀλλ' ἀνακεκλιμένον ἢ σχέδην περιπατεῦντα, καὶ προσομιλεῦντα ἑαυτῷ. ex quo duorum versuum specimine, facile videre est, quid distent aera lupinis: alterum ex Heliodori Aethiop. lib. 2. p. 53. editionis principis Basil. ἅπερ ὡς ἀνέγνως, πόθεν τέ ἐστι καὶ τίνος ἔγνων· εἰς ἀγρόν τε κομίζω πόρρω τῆς πόλεως ἀπῳκισμένον, καὶ ποιμέσιν ἑαυτοῦ τρέφειν παραδοὺς, μηδενί τε φράζειν ἐπαπειλήσας, τὰ συνεκτεθέντα κατεῖχον. Sed ecce tibi Manlianum Critici imperium; scribendum ἐμαυτοῦ pro ἑαυτοῦ. Hel. 2. hunc innuens locum edicit Canterus, de ratione emendandi Graecos auctores p. 37. itaque mox in renovata Heliodori editione Lugdunensi cum notis Commelini p. 119. ut et Parisiensi, Ioh. Bourdelotii p. 116. καὶ ποιμέσιν ἐμαυτοῦ τρέφειν παραδοὺς, nec mutationis illius uspiam facta mentione, nec caussa exposita, excusum fuit. Claudet testium nostrorum agmen Thomas Magister v. ἐξήρτημαι. ἀντὶ τοῦ εἰς ἑαυτὸν κρεμῶ. αἰτιατικῇ. quemadmodum Calliergus et Vascosanus edidere. Norrk. in Addendis. περὶ ψυχῆς P Cam. Vulgo περὶ τῆς ψυχῆς.

429, 1 ὁ τῶν] ὡς τῶν Cam. 2 ὁρίζεται] Iliad. α, 244. ι, 401. οὐδ' P Cam. Vulgo οὐκ ἄν. 3 τοῖς ὅρκοις πάλαι προκατειλῆφθαι] De iureiurando, quo proceres Graecorum, Helenae procos, pater illius Tyndareus, Thesei haud dubie exemplum veritus, ad auxilia, electo genero, si necesse foret, ferenda, obstrinxerat, res est pervulgata, ex Pausania 3. p. 202. Libanio πρεσβευτικῷ Ὀδυσσέως πρὸς τοὺς Τρῶας p. 218. c. Apollodoro Biblioth. p. 176. Scholiaste Homeri Il. β, 329. Hygino Fab. 78. Sed et denuo, ubi Helenam, iustis nuptiis Menelao copulatam, subsessor alieni matrimonii, Paris abduxit; de vindicanda iniuria, belloque Troianis inferendo, Graeciae totius primores viri, Argis in domo Diomedis, coniurabant. Narrat multis Dictys lib. 1. brevibus

Digitized by Google

τινος, οἶμαι, προνοίᾳ καὶ τὸ κοινῇ πάντας ὑβρίσθαι δοκεῖν ὑπὸ τῶν ἀλλοφύλων καὶ μὴ δεῖν ἐπιτρέπειν. προσθείη δ' ἂν τις τάχα καὶ τρίτον τὸ τοῖς ἄρχουσι πείθεσθαι χρῆναι.

Μὴ δὴ τοῦτο σκοπῶμεν νῦν, τίνος χάριν τὴν στρατείαν ἠράμεθα ἐξ ἀρχῆς, ἀλλ' ὅτι οὐ τῶν αὐτῶν ἐστι τότε μὲν τὰ ἄλλα πάντα δεύτερα ποιήσασθαι, νῦν δὲ πρὶν ὧν ἕνεχ' ἥκομεν πρᾶξαι διαστῆναι. οὐ γὰρ τῇ προφάσει τῆς στρατείας ἀκόλουθον, ἀλλ' ἐναντίον αὐτῇ τῇ στρατείᾳ φαίνεται· ἔπειτ' οὐδὲ ὅμοιόν ἐστιν· ὅπως δὲ, ἀκούσει πρᾴως. οὐ γὰρ ἵνα ἐλέγξω λέγω, ἀλλ' ὅπως παραμυθήσωμαι· εἰ γὰρ μὴ ἐκομίζου τὴν ἄνθρωπον, εἰκότως ἂν εἰς ταῦτ' ἀνεχώρεις, νῦν δὲ οὐ μόνον αὐτὴν, ἀλλὰ καὶ ἑπτὰ πρὸς αὐτῇ δίδωσιν· ἄλλα γὰρ ἐῶ τοσαῦτα τὸ πλῆθος. καίτοι εἴ γε οἱ Τρῶες ἐβούλοντο τὴν Ἑλένην καὶ ὅσα μετ' αὐτῆς ἄγοντες ᾤχοντο ἀποδιδόναι, οὐκ ἂν ἡμῖν ἦν λόγος πρὸς αὐτούς· εἰ δὲ δὴ καὶ παρ' ἑαυτῶν οἴκοθεν προσετίθεσαν, οὐδὲ φωνὴν οὐδεὶς προήκατο ἂν ὡς οὐ χρὴ δέχεσθαι. τί τούτου μέγα σημεῖον; αὐτοὶ ταῦτα προὐκαλούμεθ' αὐτοὺς (16)

---

Pausan. 2. p. 124. Norrm. 6 δὴ P Cam. Vulgo δὲ. 7 ποιήσασθαι ΔP Cam. Vulgo ποιεῖσθαι. δεύτερα αὐτῆς (scil. τῆς στρατείας) ποιεῖσθαι Reiskius. πρὶν ὧν ΔP Cam. Vulgo πρὶν ἂν ὧν. 9 ἔπειτ' οὐδὲ Δ Cam. ἔπειτ' οὐδὲν P. Vulgo ἔπειτα δὲ οὐδὲ. ἀκούσει] Vulgo ἀκούσῃ. ἐλέγξω] ἐξελέγξω Δ Cam. 10 παραμυθήσομαι Cam. ταῦτ' P Cam. Vulgo ταῦτα. 11 ἑπτὰ] Iliad. ι, 128. 270. τ, 248. ἄλλα correctus ab al. m. P: τἄλλα a pr. m. ἐῶ] ἐῶ εἰ P. 12 εἴ γε οἱ Τρῶες Cam. εἴ γε Τρῶες Norrm. Iebb. εἴγε εἰ τρῶες Δ. οἴγε (correxit alius εἴγε) οἱ τρῶες P. ἀποδιδόναι ΔP Cam. Vulgo ἀποδοῦναι. 13 λόγος P Cam. Vulgo πόλεμος. προσετίθεσαν] προσετέθησαν P: προσετίθεσαν ab correctore. οὐδὲ superscriptum in P. οὔτε habet Cam. Legebatur οὐ. 14 προὐκαλούμεθ' P Cam. Iebb. Correxerat etiam Norrmannus, cuius codex προκαλούμεθ'. ᾐτοῦμεν margo P.

αὐτοὶ ταῦτα προὐκαλούμεθ' αὐτοὺς] Antequam infesta Troadi signa inferrent Achivi, Menelaum, Palamedem, ac Ulyxem, feciales legatos, Helenam, resque cum illa ablatas repetitum, clarigatumque, sollemni prisci iuris bellici sanctimonia ac ritu, nequicquam miserant; intercedente melioribus consiliis praevalida raptoris factione. Qua de re, praeter indicata ad oram libri testimonia Homerica, adeundus est Herodotus Musa secunda tmem. 118.



Digitized by Google

***κατ' ἀρχὰς εὐθύς, ἀλλ' οὔτε ἐκείνων οὐδεὶς ταῦτα ἐβούλετο ποιεῖν, σοί τε ἣν ἀφῃρέθης, ἐπάνεισι μετὰ πολλῶν. εἰ δ' αὖ καὶ δίκην δεῖ προσυποσχεῖν τῆς ὕβρεως, δέδωκε καὶ μάλα πολλὴν ἐκεῖνός γε. χωρὶς γὰρ ὧν ἀπολώλεκε τοσούτων τὸ πλῆθος στρατιωτῶν τήν γε ἀπὸ τοῦ φόβου καὶ τοῦ ταπεινὸς εἶναι πηλίκην τιν' οἴει σοι δίδωσι δίκην;***
430 ***οὐδὲ γὰρ ἄλλο γε οὐδὲν νῦν ἢ τὸ σχῆμα πᾶν ἀποτέθειται, ἱκέτης ἐκ βασιλέως καὶ δοῦλος ἐξ ἐλευθέρου γεγονώς. καὶ εἰ δεῖ τἀληθέστερον εἰπεῖν, ἐλέῳ θαρρῶν, ἐὰν τὰ κράτιστα φέρηται παρὰ τῆς τύχης.***

***Καὶ μὴν εἰ δεῖ καὶ τούτων μνημονεύειν, ἐκεῖνο ἐνθυμήθητι· τῶν ἀτόπων ἐστὶ συλλεγομένης μὲν τότε τῆς στρατιᾶς οὕτω προθύμως ἔχειν σε πρὸς τὸ μετασχεῖν τῶν πραγμάτων, ὥστ' ἐπειδὴ τάχιστα εἶδες τὰ ὅπλα ὁρμῆσαι πρὸς αὐτὰ καὶ μὴ κατασχεῖν σεαυτόν, καὶ ταῦτα ὄντα παῖδα κἀν ταῖς κόραις κρυπτόμενον, νῦν δ' ἐπειδὴ τηλικόσδ' εἶ καὶ παῖδα ἔχεις ὡραῖον ὡς συνεῖναι καὶ στρατεύεσθαι, καὶ δόξαν τὴν πρώτην ἐν ἅπασιν εἴληφας, βούλεσθαι μὴ χρῆσθαι τοῖς ὅπλοις τοῖς σαυτοῦ, ἀλλὰ***

---

Dictys lib. 1. praesertim vero Libanius eximiis duabus declamationibus, altera Menelai, altera Ulyxis nomine scriptis. Legationis summam ac eventum, inimitabili verborum parcimonia, rotundaque celeritate Ulyxes ipse apud Ovidium Metamorphos. 13. enarrat:

*Mittor et Iliacas audax orator ad arces,*
*Visaque, et intrata est altae mihi curia Troiae.*
*Plenaque adhuc erat illa viris; interritus egi,*
*Quam mihi mandarat communis Graecia, caussam.*
*Et moveo Priamum, Priamoque Antenora iunctum.*
*At Paris, et fratres, et qui rapuere sub illo,*
*Vix tenuere manus (haec scis, Menelae) nefandas;*
*Primaque lux nostri tecum fuit illa pericli.*

Norrm. Iliad. γ, 206. λ, 125. 139. 16 προσυποσχεῖν P Cam. Iebb. cum Norrmanno, cuius codex προὔποσχεῖν. 18 τιν' Cam. et margo P. τινα Norrm. Iebb., quod om. P.

430, 2 ἐὰν] καὶ ἂν Cam. 4 στρατιᾶς] στρατείας A. 5 ὥστ' P Cam. Vulgo ὥστε. 6 νῦν δ'] νῦν δὲ P. τηλικόσδ' Cam. Vulgo τηλικόσδε. ὡς συνεῖναι καὶ στρατεύεσθαι Cam. et qui καὶ superne adscriptum habet P. ὡς νῦν εἶναι στρατεύεσθαι A. Legebatur ὡς εἶναι στρατεύεσθαι. Fort ὡς οἷόν τε

Digitized by Google

ζητεῖν προφάσεις δι' ἃς προήσει πάντα, καὶ τότε μὲν τὴν παῖδα ἀπολιπεῖν ῥᾳδίως, ἧς τί σοι φίλτερον εἰκὸς εἶναι; καὶ ἣν ὁμότιμον ἐκτήσω γυναῖκα σαυτῷ, νῦν δ' ἑτέρας παιδὸς ἕνεκα τἀναντία γνῶναι σαυτῷ περὶ τῶν ὅλων. σκόπει μὴ οὐδὲ τῆς Δηιδαμείας ἢ ταῦτα ἄξια ἐπαινέσαι, (20) μή τί γε ἀνδρὸς ὅτου καὶ μνησθῆναι καλόν. καὶ λέγεις δὴ τὰς μοίρας τὰς διττὰς ἀκηκοέναι παρὰ τῆς μητρὸς ἄριστα εἰδυίας περὶ αὐτῶν. ἐγὼ δὲ ἀμφιγνοῶ μὲν εἴτε σπουδάζων ταῦτα λέγεις εἴτ' ἐρεσχελῶν ἡμᾶς καὶ φιλονεικίᾳ τινὶ θυμοῦ· οὐ γάρ σοί γε οἱ λόγοι· πολλοῖς ἔργοις τοῦτο σοῖς τεκμαίρομαι. οὐ μὴν ἀλλ' εἰ τὰ μάλιστα ἐσπούδακας, ἔστι σοι καὶ τούτων οὕτως ἐχόντων ὅμως τὰ δέοντα βουλεύσασθαι· μάλιστα μὲν γὰρ ἔγωγε φαίην ἂν τὴν μητέρα σου ποιεῖσθαι τούτοις συγκατατίθεσθαι τοῖς

---

εἶναι στρατεύεσθαι. Reisk. 8 προήσει] Vulgo προήσῃ. πάντα ΔP Cam. Vulgo πάντας. τὴν παῖδα] τὸν (τὴν correctus P) παῖδα ΘP Cam. 9 ἧς τί σοι] οὐ τί σοι Cam. ἤσθη σοι Θ. οὐ τί σοι (correxit alius in marg. ἧς) ἤσθη σοι P. φίλτερον εἰκὸς ΔΘP Cam. Vulgo φίλτερον οὐδὲν εἰκός. ἐκτήσω γυναῖκα ΔΘP Cam. Vulgo γυναῖκα ἐκτήσω. 10 νῦν δ'] νῦν δὲ Cam. ἑτέρας] ἑταίρας P. μὴ οὐδὲ ΔΘP Cam. Vulgo μὴ δέ. 11 ἄξια ἐπαινέσαι] Videtur pro ἐπαινεῖσθαι positum ἐπαινέσαι. quomodo p. 14. ἡ τοῦ πολέμου φύσις ἀξία θαυμάσαι. et Philostratus in Heroicis de Ulyxe p. 691. b. τὰ ἔργα αὐτοῦ εἶναι μὲν πολλὰ, οὐ μὴν θαυμάσαι ἄξια. Eandem sententiam, verbis iisdem, praeter τὸ ἄξια Noster κατὰ τῶν ἐξορχουμ. p. 713. c. sic expressit: ἃ μὴ ὅτι τοῦ Ἡρακλέους, ἀλλ' οὐδὲ τῆς Ὀμφάλης ἐπαινεῖν ἦν. hoc est, interprete Gul. Cantero, quae non in Hercule modo, sed ne in Omphale quidem probari possent. Ubi obiter iuniores monendi sunt, *non modo*, pro *non modo non*, exemplo veterum scriptum a Cantero esse. Sed et haec huius loci sententia esse potest: quam inconstantiam nec Deidamia tua comprobaverit satis, nedum vir quispiam gravior honestiorque. Norrm. μή τί γε] μήτοι γε Θ. 12 τὰς μοίρας] Iliad. ι, 411. ἀκηκοέναι παρὰ ΘP Cam. Vulgo ἀκηκοέναι γὰρ παρά. εἰδυίας] εἰδείας P. 13 εἴτ'] εἴτε P Cam. φιλονεικίᾳ P Cam. Iebb. et Norrmannus, cuius codex φιλονικίᾳ. 14 γε om. P. πολλοῖς ἔργοις τοῦτο σοῖς ΘP Cam. πολλοῖς ἔργοις σοῖς τοῦτο Δ, πολλοῖς λόγοις σοῖς τοῦτο Norrm. Iebb. πολλοῖς τοῦτο Reiskius. 16 σου P Cam. Vulgo σοῦ. Fort. τὴν μητέρα σου διὰ σπουδῆς πεποιῆσθαί σε τούτοις. matrem tuam id maxime studuisse efficere ut his consiliis (de duabus conditionibus tibi obla-

λόγοις, ἐπεὶ καὶ ὁ πατὴρ καὶ ὁ διδάσκαλος οὕτως ἐπαίδευόν σε πειρώμενοι, ἔπειτ' ἐνταῦθα δὴ καὶ τὸ πάνδεινόν ἐστιν, εἰ παρ' αὐτοὺς μὲν τοὺς λόγους καὶ τὴν ἀκοὴν οὕτως ἐρρωμένως ἔσχες ὥστε τὴν εὐδοξίαν καὶ τὸ καλὸν πρὸ τῆς ἀσφαλείας καὶ τοῦ γήρως αἱρεῖσθαι, ἐπειδὴ δὲ

431 ὡμολόγησας αὐτῇ περὶ τῆς ἀμείνονος μοίρας, πάλιν ἐξ ἀρχῆς ἕτερος γενήσει, καὶ τότε μὲν καὶ τῆς ψυχῆς τῆς σαυτοῦ πλείονος ἄξιον ἡγοῦ τὸ στρατόπεδον, νῦν δὲ οὐδὲ τῆς κόρης ἀντάξιον, μᾶλλον δὲ ἑνὸς τῶν περὶ τὴν κόρην συμβάντων. οὕτως μέντἂν ἀμφοτέρων δόξαις τὴν παῖδα τιμιωτέραν ἡγεῖσθαι, καὶ σαυτοῦ καὶ τῶν Ἀχαιῶν. πῶς γὰρ οὐ καὶ σαυτοῦ, εἰ τοῦ μὲν σώζεσθαι κρεῖττον τὸ εὐδοξεῖν, τοῦ δὲ εὐδοξεῖν ἡ κόρη; δόξαις δ' ἂν οὕτως καὶ τὴν μητέρα ἐψεῦσθαι, καὶ σαυτὸν ἐξελέγχειν οὐκ ἐπιστάμενον λογίζεσθαι. τὸ μὲν γὰρ ἀπ' ἀρχῆς εὐθὺς ἑλέσθαι πλεῖν οἴκαδε καὶ ζῆν ἡσυχῇ γνώμης κρίσις ἦν, τὸ δὲ τοὺς ἐπὶ τῆς στρατείας κινδύνους ἑλόμενον μεταβαλέσθαι περὶ τῶν αὐτῶν οὐ ταὐτὰ γιγνώσκειν ἐστίν· ὃ σοὶ τῶν πάντων ἥκιστα προσήκει, ὅσῳπερ ἀνθρώπων μάλιστα ἀρετὴν ἀσκεῖς καὶ τὸ μὴ ψεύδεσθαι. οὐ γὰρ δή που τοὺς μὲν ἄλλα λέγοντας, ἄλλα δὲ γιγνώσκοντας αἰτιάσει, τοὺς δὲ ὑπὲρ τῶν αὐτῶν ἄλλοτε ἄλλως βουλευομένους καὶ μὴ τοὺς αὐτοὺς ὄντας ἐπαινέσει. σκέψαι δὲ ὅτι κἂν τοῖς στρατοπέδοις μέχρι μὲν μὴ συνάγουσιν οἱ στρατηγοὶ πᾶς τις

---

tis meliorem et praeclariorem optandi) aurem praeberes. aut τὴν μητέρα σου πεῖραν πεποιῆσθαι εἰ τούτοις συγκατατίθῃ τοῖς λόγοις. Reisk. 17 ἔπειτ'] ἐπεὶ Cam. 19 ἀσφαλείας] ἀδοξίας ΘP Cam. ὡμολόγησας] ὁμολογήσας Cam.

431, 1 γενήσει] Vulgo γενήσῃ. 2 τῆς σαυτοῦ ΔΘP Cam. Vulgo αὐτῆς. 3 οὕτως ΘP Cam. Vulgo οὕτω. μέντ'] μετ' Cam. δόξαις] δόξαιο P, altero superscripto. 5 οὕτως Δ. Vulgo οὕτω. 6 ἐπιστάμενον] ἐπισταμένως P Cam. 7 τοὺς addidi ex ΔΘP Cam. 8 ταὐτὰ] ταῦτα Cam. γιγνώσκειν] Vulgo γινώσκειν. τῶν πάντων] τῶν om. Cam. 9 ἀνθρώπων] ἀνθρώπῳ Θ. 10 ἄλλα λέγοντας] Iliad. ι, 313. γιγνώσκοντας ΔΘ. Vulgo γινώσκοντας. αἰτιάσει] Vulgo αἰτιάσῃ et infra ἐπαινέσῃ. 12 συνάγουσιν ΔΘP Cam. Vulgo συνάγωσιν. ὡς εἰπεῖν αὐτοκράτωρ ἐστὶν ΔΘP Cam. Vulgo αὐτοκράτωρ ἐστὶν ὡς εἰπεῖν.

Digitized by Google

*ὡς εἰπεῖν αὐτοκράτωρ ἐστὶν αὐτοῦ, ἐπειδὰν δὲ εἰς τάξιν καταστῇ, ταύτην δεῖ σώζειν, ἢ φαῦλον νομίζεσθαι· σὺ δ' οὐ βουλεύεσθαι δόξεις περὶ ὧν αἱρεσίς ἐστί σοι, ἀλλ' ἀναχωρεῖν ἀπὸ τούτων ἃ προὔκρινας αὐτὸς καὶ μονονοὺ λιπεῖν τὴν τάξιν· ὃ καὶ ὄναρ μοι δοκεῖς σύ γε ἰδὼν εἰ-* (24) *κότως ἂν αἰσχυνθῆναι. δίκαια καὶ καλὰ ταῦτα ἐγίγνωσκες, ὡς οὐχ αἱρετὸς βίος ἀνθρώπῳ μακρὸς, εἰ μὴ προσέσται τὸ πράττειν τὰ δέοντα. ἐπεὶ δὲ τὴν παῖδα οἱ κήρυκές ἄγοντες ᾤχοντο, καὶ δὴ διὰ τοῦτο ἑτέρως ἔχει τὰ τῆς φύσεως. οὐ παύσει δύο τῶν χειρίστων ὀνειδῶν ἀμφισβητῶν, δειλίας καὶ ἀπιστίας· ὃ τῶν ἐχθρῶν οὐδεὶς πώποτε ὠνείδισε.*

*Καίτοι τίς ἂν ἤσθα πρὸς θεῶν, εἴ σοι ταῦτα Ἀγαμέμνων ἀπεῖθει; ἐγὼ δ' ἡγοῦμαι τὸ μὲν τέλος πάντων πραγμάτων τῷ θεῷ χρῆναι καταλιπεῖν, ὥσπερ καὶ ἡμᾶς*

---

*αὐτοῦ* Δ Θ Cam. Vulgo *αὑτοῦ.* 14 *δόξεις περὶ* Θ P Cam. Vulgo *δόξεις νῦν περί.* 15 *μονονοὺ*] *μόνον μὴ* Δ. 16 *ἐγίγνωσκες* Θ P Cam. Vulgo *ἐγίνωσκες.* 17 *τὴν παῖδα οἱ κήρυκες ἄγοντες ᾤχοντο*] Talthybius et Eurybates, invitam inviti ab invitissimo abduxerant, *Ἰλ.* α, 327, 347. *οὐ παύσῃ δύο τῶν χειρίστων ὀνειδῶν φεύγων ἀμφισβητῶν*] Paullo insolentior est haec *δύο μετοχῶν ἀσύνδετος σύνταξις,* eoque nobis haud iniuria suspectior, quod *ἐν τῷ ἀντιγράφῳ* prior literis propemodum *ἐξιτήλοις* scripta sit. Nos tenebricoso ac perplexo loco, quam potuimus lucem, interpretando afferre conati sumus. Atque *τὸ φεύγων* quidem, prout reum noxiae cuiusdam designat, *τῷ ἀμφισβητῶν*, iis maxime, quae sequuntur, inducti, antehabuimus; nec magnopere tamen repugnaturi, si *τῷ φεύγων*, quod oculos paene fugere diximus, praeferatur *τὸ ἀμφισβητῶν.* quo sensu p. 32. dicitur, *μηδ' ἀντιποιοῦ κακίας.* Itaque tum vertendum: *Quin nunc tandem cessas, duo turpissima probra, timiditatem ac perfidiam, tibi vindicare.*" Scholion vero, quod ad *ἀμφισβητῶν* in margine appositum visitur, *ἀμφιβάλλων, ἀμφιγνοῶν σὺ περὶ σεαυτοῦ*, quomodo sententiae auctoris, locique totius *ἀλληλουχίᾳ* conveniat parum dispicimus. Norrm. 18 *παύσει*] Vulgo *παύσῃ.* *ἀμφισβητῶν* Δ Cam. *φεύγων* Θ et adscripto in marg. *ἀμφισβητῶν* P. *φεύγων ἀμφισβητῶν* Norrm. Iebb. Aut delendum *φεύγων*, aut deest aliquid, e. c. *ὀνειδῶν, ἃ ἀεὶ ἐφαίνου φεύγων, ἀμφισβητῶν.* annon desistes tibi vendicare duo teterrima probra, quae semper abhorruisse visus es. vel etiam *τὴν βοήθειαν* (aut *τὴν ἔξοδον* ut p. 432, 14.) *φεύγων. eo quod opitulari nobis recusas.* Reisk. *ὃ*] *ἃ* corrigit Norrmannus. 19 *ἤσθα*] *οἶσθα* P.

ἅπαντας ὁρᾷς περὶ ἡμῶν αὐτῶν βεβουλευμένους. οὐ γὰρ ποικίλης δεῖται τοῦτό γε μούσης, ἀλλὰ πᾶσιν εὔδηλον ὅτι εἰρήνη πολέμου γέρας συμφορώτερον καὶ ὅτι οὐκ ἔστι μαχομένους καὶ κινδυνεύοντας ἀναιμωτὶ τὸν αἰῶνα διελθεῖν. ἀλλ' οὐ τούτου χάριν τὰς πίστεις παραβαίνομεν· ἀλλ' ὧν μὲν ὁ δαίμων κύριος, αὐτῷ καταλείπομεν, ὅσα δὲ εἰς λογισμοὺς ἥκει καὶ τὸ βουλεύσασθαι, μηδαμοῦ τῶν χειρόνων ἑαυτῷ τιμᾶν ἀνδρός. νὴ Δί' ἀλλ' οὐκ ἄξιά σου τὰ δῶρα οὐδ' ἐκπλήξει σε ὑπισχνούμενος, οὐδ' ἂν τὴν ψάμμον καὶ τὴν κόνιν παρέλθῃ τῷ πλήθει. ἄριστά γε, ὦ γενναῖε, καὶ γνωρίζω τούτους ἤδη τοὺς λόγους. ἐγὼ δὲ οὐ τῶν χρημάτων ἕνεκα συμβουλεύω σοι βοηθεῖν τοῖς Ἀχαιοῖς· πόθεν; μηδέποθ' οὕτω σμικρῶς ἴδοιμι τὰ σά· ἀλλ' ὑπὲρ αὐτοῦ τοῦ δικαίου καὶ τοῦ προσήκειν οὕτω ποιεῖν. ἀλλὰ τὰ μὲν χρήματα φιλίας τινὶ συμβόλῳ δέξασθαι εἴτε καὶ χαίρειν ἐᾷς, οὐχὶ διοίσομαι· καὶ περὶ τῆς κηδείας ταύτης ἐπὶ σχολῆς βουλεύσασθαι, μηδὲ γὰρ ἂν τοῦτό σε ἁρπάσαι. παῖς γὰρ ἂν εἴην, εἰ ταῦτα συμβουλεύοιμι, ἡγεῖσθαι

---

432, 2 ποικίλης δεῖται τοῦτό γε Δ. ποικίλης γε τοῦτο δεῖται γε ΘP Cam. Vulgo ποικίλης τοῦτο δεῖταί γε. 3 πᾶσιν εὔδηλον] πᾶσι γε δῆλον ΘP Cam.. εἰρήνη] In P primum fuisse videtur εἰρήνης: nunc correctum εἰρήνης. συμφορώτερον P Cam. Iebb. ut correxerat Norrmannus, cuius codex συμφερώτερον. 7 νὴ Δί'] ἢ βούλει, νὴ δί' ΘP. Fort. οὐδ' ἐκπλήξεις ἐμὲ ὑπισχνούμενος. nam fictus ille Achillis sermo desinit in v. πλήθει et responsio Ulyssis incipit a verbis ἄριστα —. Reisk. 8 ἂν τὴν] αὖ τὴν Θ. ἂν αὐτὴν P Cam. ψάμμον] Iliad. ι, 385. παρέλθῃ] παρέλθοι Δ.
12 τῆς κηδείας] Iliad. ι, 142. 284. 388. ἐπὶ σχολῆς ΔΘP Cam. σχολῇ Norrm. Iebb. γρ. ἐπὶ σχολῆς margo Norrm. ἁρπάσαι Cam. ἁρπάσοι Θ. ἁρπάσοι, superscripto ἁρπάσαι, P. ἁρπάσῃ Norrm. Iebb. τοῦτό σε ἁρπάσῃ] Fateor haec verba mihi obscura esse. quorum sententia si ea esset, quam Normannus ex iis extudit, conveniret primum melius συναρπάσῃ quam simplex, deinde non conveniunt sequentia παῖς γὰρ ἂν εἴην εἰ ταῦτα συμβουλεύοιμι. Reisk. Interpretatus est Normannus, *Tum et de regiae affinitatis negotio, quod minime eiusmodi est ut te transversum abripiat, per otium deliberes licet.* Camerarius, qui post ἁρπάσαι non distinxit, *De affinitate etiam vacuo animo consultaveris. Non enim sum tam imperitus ut si ego suaserim, te arrepturum statim esse sperem.* 13 γὰρ om. Cam. ἂν om. Δ. ἡγεῖσθαι μὲν ἐκεῖνον ΔΘP. ἡγεῖσθαι

μὲν ἐκεῖνον οὐκ ἀνελεύθερον εἶναι τῇ δόσει καὶ τοῖς ἐπαγγέλμασι, σαυτῷ δὲ ἕτερα εἶναι τὰ ποιοῦντα τὴν ἔξοδον. ποῖα ταῦτα; ἃ μικρῷ πρόσθεν αὐτὸς ἀπηρίθμεις, πολλῷ χρημάτων καλλίω πράγματα. πῶς γὰρ οὐκ ἄτοπον καὶ ὑπερφυὲς, εἰ πρότερον μὲν τῶν Ἀχαιῶν τούτων ἡγούμενος δώδεκα μὲν πόλεις κατὰ θάλατταν, ἕνδεκα δ' εἷλες κατ' ἤπειρον οὐδὲν τῶν ἰδίων ὑπολογιζόμενος, οὐ πόνον, οὐ

---

δ' (δὲ Norrm. Iebb.) ἐκεῖνον μὲν Cam., quod in P ab al. m. superscriptum. 14 ποῖα ταῦτα] Iliad. ι, 325. 15 πολλῷ] πολλῶν ΔΘP Cam. 16 εἰ πρότερον μὲν ΔΘP Cam. Vulgo εἰ μὲν πρότερον μὲν. εἰ μὲν πρότερον μὲν τῶν Ἀχαιῶν] μὲν posterius expungendum censeo: dispar autem ratio est τοῦ μὲν, quod mox subsequitur, δώδεκα μὲν πόλεις, cui illico respondet suum δὲ in ἕνδεκα δ' εἷλες. Illud vero δὲ, quod ad εἰ μὲν initio positum, referendum est, longius ad finem periodi summotum habetur, νῦν δ' οὐδ' εἰς αὐτήν. Geminum et simillimum est exordium Philippicae primae Demosthenis, εἰ μὲν περὶ καινοῦ τινος πράγματος προὐτίθετο, ὦ ἄνδρες Ἀθηναῖοι, λέγειν, ἐπισχὼν ἂν ἕως οἱ πλεῖστοι τῶν εἰωθότων γνώμην ἀπεφήναντο, εἰ μὲν ἤρεσκέ τί μοι τῶν ὑπὸ τούτων ῥηθέντων, ἡσυχίαν ἂν ἦγον· εἰ δὲ μὴ, τότ' ἂν αὐτὸς ἐπειρώμην ἃ γιγνώσκω λέγειν, ἐπειδὴ δὲ περὶ ὧν πολλάκις εἰρήκασιν οὗτοι — ubi prius μὲν posteriori δὲ, posterius priori respondere, quemadmodum hoc loco, bene vidit Devarius. Nec dissimile est, quod apud Aristidem nostrum κατὰ τῶν ἐξορχουμένων T. 3. p. 696. c. occurrit, οὐκοῦν εἰ μὲν χωρὶς μὲν τὸ βέλτιον, χωρὶς δὲ τὸ ἄγειν, τί δεῖ τὸ βέλτιον προτεῖσθαι, εἴπερ κἂν μὴ ἄγωμεν, τό γε βέλτιον τοῦτο πράττομεν; εἰ δ' ἔστιν ὁμοῦ. Ubi támen in MS. Rolambiano unum duntaxat μὲν est, οὐκοῦν εἰ χωρὶς μὲν τὸ βέλτιον. E quo codice haud pauca illius orationis emendari, multae etiam non spernendae διττογραφίαι annotari possunt. Cuius rei οἱονεὶ γεῦμα dabimus, p. 693. a. edit. Gr. Lat. Pauli Stephani, Graecae autem Florentinae fol. 56 f. πᾶν ὅ τι περ ἂν ἡ πομπὴ δέηται, MS. recte ὅτουπερ ἂν, p. 694 c. ἤπου τό γε ὑπὲρ τοῦ χαρίσασθαι τὸ κακῶς διαθεῖναι τὰ ἑαυτοῦ. Inepte. Quanto rectius MS. χαρίσασθαί τῳ. 697. b. ἐνθυμηθῶμαι, quod non minus contra artem Grammaticam est, ac p. 699 c. συνειδόσι, p. 711 c. ἀνδραπώδεσι] MS. ἐνθυμηθῶμεν. συνειδόσι. ἀνδραποδώδεσι. p. 709 c. Κρατῖνος, τῶν αἰσχρῶν εἶναι· οὗτοι δ' εἰ μὲν. Interpres: *Et Cratinus quidem turpe censet, * hi vero.* Noster lacunam explet, Κρατῖνος τῶν αἰσχρῶν εἶναι, φίλοισι χαριζόμενον αὐτὸν αἰσχρὸν εἶναι. Haec satis in gustum. Quae si placuisse intellexero, brevi orationem ipsam, deo destinata coeptaque nostra benigne prosperante, ex MSto reconcinnatam dabo. Norrm. δώδεκα μὲν πόλεις] Nomina oppidorum locorumque horum, magna ex parte recenset Libanius Ἀντιλογίᾳ Ἀχιλ-

κίνδυνον, οὐκ ἀσχολίαν, οὐχ ἣν φιλτάτην εἶναι φῂς σαυτῷ ψυχὴν εἰ προήσει, καὶ τοσούτων εὐποριῶν καὶ τοσαύτης εὐδαιμονίας ἀπέδειξας κυρίους· νῦν δ' οὐδ' εἰς αὐτὴν τὴν

433 σωτηρίαν αὐτοῖς ἐπαρκέσαι τολμήσεις. πόθεν ὦ πρὸς θεῶν ἐκτήσω τὴν κόρην, ἵνα τἄλλ' ἀφῶμεν; ἀφ' ὧν εὐηργέτεις ἡμᾶς. οὕτω γοῦν καὶ τὴν Λυρνησὸν εἷλες ἐν τῷ πλήθει τῶν ἄλλων χωρίων.

Οὐκοῦν οὐ τὸ στράτευμα τῆς παιδὸς εἰκὸς εἶναι προσθήκην, ἀλλὰ τὴν παῖδα τοῦ στρατοπέδου καὶ τῶν ἄλλων πραγμάτων. ἁπάντων δὲ ἀτοπώτατον, εἰ ὁ μὲν Χρύσης τὴν θυγατέρα ἀπολαμβάνων οὐ προήχθη περαιτέρω εὔξασθαι ὡς πολεμίοις, ἀλλ' ἐπέπαυτο τῆς ὀργῆς, ἄνθρωπος βάρβαρος καὶ φύσει πολέμιος καὶ συγκινδυνεύσας καὶ περὶ τῆς σωτηρίας αὐτῆς, σὺ δ' αὐτήν τε ἀπολαμβάνων τὴν ἄνθρωπον καὶ πρὸς ἐκείνῃ τοσαύτας λαμβάνων, καὶ πρὸς ταῖς γυναιξὶ χρήματα, πόλεις, χώραν, συγγένειαν, ἃ θαυμάζειν δέον οὐκ ἐῶ, μέμψασθαι δ' οὐκ ἔχεις, εἰσαεὶ μενεῖς ἐπὶ τοῦ παροξυσμοῦ; κἀκεῖνος μὲν συνεύξατο τῷ θεῷ παῦσαι τὴν νόσον ἡμῖν, σὺ δ' οὐ βουλήσει παῦσαι τὰ τοῦ πολέμου δύσκολα; ἀλλ' ὁ μὲν ἐξ

---

λέως p. 232. Norrm. 18 σαυτῷ] αὐτῷ superscriptum in P. προήσει] Vulgo προήσῃ.

433, 1 τἄλλ' Cam. Vulgo τἄλλα. εὐηργέτεις] Libri εὐεργετεῖς. Correxit Norrmannus. 2 Λυρνησὸν] Iliad. β, 690. τ, 60. 4 ἀτοπώτατον ΔΘP Cam. ἀτοπώτερον Norrm. Iebb. γρ. ἀτοπώτατον margo Norrmanni. Χρύσης τὴν θυγατέρα ἀπολαμβάνων] Chryses quod Astynomen filiam liberaliter antea habitam cognoverat, reductam secum Agamemnoni tradidit, si vera memorat Cretensis Dictys lib. 2. p. 62. novissimae editionis, quam Musarum decimae, Annae Tanaquilli Fabri filiae, orbis eruditus debet. Norrm. ἀπολαμβάνων] Iliad. α, 446. 5 εὔξασθαι accipi debet in sensu malo pro καταρᾶσθαι. malim tamen hoc quam illud. v. versu 11. Reisk. 6 καὶ περὶ τῆς σωτηρίας] Iliad. α, 26. σὺ δ'] σὺ δὲ ΘP Cam. 7 τοσαύτας P Cam. Iebb., ut coniecerat Norrmannus, cuum in codice suo invenisset τοσαῦτα. 8 οὐκ ἐῶ, μέμψασθαι δ' οὐκ ἔχεις ΔΘ Cam. οὐκ ἐᾷς μέμψασθαι, οὐκ ἔχεις P, nostra lectione superscripta. οὐκ ἐῶ, σὺ δὲ μέμψασθαι οὐκ ἔχεις Norrm. Iebb. μέμψασθαι] Iliad. ι, 104. 9 συνεύξατο] Iliad. α, 451. σὺ δ' ΘP Cam. Vulgo σὺ δὲ. βουλήσει] Vulgo

Digitized by Google

ἀμφοῖν ἐνεδείξατο τὴν δύναμιν τοῖς Ἀχαιοῖς, ἔκ τε ὧν καταρασάμενος πολλοὺς διέφθειρε καὶ ὧν εὐξάμενος ἅπαντας ἔσωσε, σὺ δ᾽ ἀξιώσεις ἀπὸ θατέρου μόνου μιμήσασθαι τὸν ἱερέα, καὶ ταῦτα ἀπὸ τῶν ἀπολλυμένων; ἀλλὰ πολλῷ βέλτιον ἦν τῷ σώζειν πάντας ἐνδείκνυσθαι τὴν ῥώμην ἢ θάτερον πράξαντα τὸ λοιπὸν φυγεῖν, καὶ προδοῦναι μὲν τὸ στρατόπεδον ἐπὶ τῷ κομίσασθαι τὴν σαυτοῦ δεινὸν ἂν ἡγήσω, σῶσαι δὲ οὐ δέξει τὸ στρατόπεδον μετὰ τοῦ τὴν σεαυτοῦ κομίζεσθαι, ἀλλ᾽ ὁ μὲν Ἕκτωρ πυρὶ καὶ σιδήρῳ πάντα ἐπέρχεται, καὶ σμικρόν ἐστιν αὐτῷ σῶσαι Τροίαν, σὺ δ᾽ ἐν τῇ σκηνῇ μενεῖς ᾄδων πρὸς λύραν; πότερον τὰ ἑτέρων ᾄδων μενεῖς; ἀλλ᾽ ἄμεινον ἑτέροις τὰ σαυτοῦ παρασχεῖν ᾄδειν ἐπὶ χρηστῷ τινι. ἀλλὰ τὴν μῆνιν νὴ Δί᾽ ἣν μηνίεις ταύτην ὑμνήσεις ὥσπερ θεόν; δέδοικα μὴ τῶν Ἀχαιῶν ᾄδῃς ἐπιταφίους, οὕτως ἀωρὶ τοῦ παντὸς χρόνου

434 μελῳδῶν. εἶτα φῂς εἶναι φιλόψυχος καὶ καταψεύδει σαυτοῦ. καὶ τίς ὦ πρὸς θεῶν οὕτω παῖς ἐστιν ὥστε πεισθῆ- (32)
ναι ὡς Ἀχιλλεὺς ἀγαπᾷ ζῶν καὶ διὰ ταῦτα ἔξω βελῶν ἐστιν, ὅτι οὐχ οἷόν τε ἀποθανόντα ἀναστῆναι; εἰ δ᾽ Ἐπειοῦ τοῦ Φωκέως ἠκούομεν, ποίους ἄν τινας ἄλλους ἢ

---

βουλήσῃ. 10 δύναμιν] δέησιν, superscripto δύναμιν, P. 11 ἅπαντας add. P Cam. Iebb. om. Δ Norrm. σὺ δ᾽] σὺ δὲ Cam. 14 τὴν σαυτοῦ ΔΘ. τὴν σεαυτοῦ P Cam. τὰ σαυτοῦ Norrm. Iebb. δεινὸν ἂν ἡγήσω] Iliad. α, 213. 408. 508. 15 δέξει] Vulgo δέξῃ. δόξῃ Cam. κομίζεσθαι ΔΘP Cam. Vulgo κομίσασθαι. 16 σμικρὸν] μικρὸν ΘP Cam. 17 ᾄδων] Iliad. ι, 186. 18 ἐπὶ χρηστῷ τινι] Subauditur συμβάντι vel γεγονότι. Reisk. Δί᾽ P Cam. Vulgo Δία. μηνίεις] μηνύεις P. 19 ᾄδῃς ΔΘP. Cam. Vulgo ᾄδεις. ἀωρὶ τοῦ παντὸς χρόνου] Tam intempestive, aut inopportune, ut nullum sit aliud tempus, quo facere id possis inopportunius. Reisk.

434, 1 καταψεύδει] Vulgo καταψεύδῃ. ὦ πρὸς Δ. Aberat ὦ. 3 εἰ δ᾽] εἰ δὲ ΔP Cam. Ἐπειοῦ] Epeus Phocensis decantatissimi equi Troiani architectus, pugil optimus, sed frigida bello dextera, ut ex citato poëtae loco licet intelligi, et Quinoto Calabro IV, 325. Caussam ignaviae imbelliaeque illius, Panopei patris periurium, statuit Lycophron Cassandra, v. 930. seq. Crediderim et ipsum vitae institutum, ne in summis bellatoribus censeretur, hominem retinuisse, lixae enim cocique regii ministeria, sordium illa quidem, nidorisque ac fumi et fuliginis, plenissima, sed non

Digitized by Google

τούτους ἠκούομεν τοὺς λόγους; καίτοι τί λέγω; ἐκεῖνος πυκτεύων ἥδιον ἂν τεθναίη, πρὶν ἐκστῆναί τινι. ταῦτα μὲν οὖν εἰς Θερσίτην τρέποιτο καὶ ὅστις ἐκείνῳ παραπλήσιος· σὺ δὲ ὦ τᾶν μὴ σκῶπτε, μηδ' ἀντιποιοῦ κακίας, ἧς οὐδέν σοι προσήκει· οὔτε γὰρ ἡμᾶς πείσεις οὐθ', ὡς ἐγῷμαι, σαυτόν. ἀλλὰ καθελκύσας τὰς ναῦς ἀποπλέων οἰχήσει; εἶτ' οὐκ αἰσχύνει τὰς Νηρηίδας τὰς πρὸς μητρὸς συγγενεῖς οὕτως ἀνομοίως πλέων τὴν θάλατταν νῦν καὶ πρὸ τοῦ· τότε μὲν δόξης ἀφορμὰς δύναμιν συλλέγων τῷ στρατοπέδῳ, νυνὶ δ' ἅπασι λελυμασμένος. πρὸς ποτέρων δέ σοι ταῦτα ἄξια τῶν συγγενῶν, πότερον τῶν θαλαττίων ἢ τῶν κατ' ἤπειρον, οἵ ποτ' ἐλθόντες δεῦρο οὐ πρότερον

---

aeque in publicum decora ac splendida, pro sua ἐν τοῖς δημιουργικοῖς sapientia ac industria, assidue obiisse, traditur. Vid. Athen. 10. p. 456, 477. Varro LL. lib. 4. p. 72. et Scalig. Coniect. p. 122, 123. Simmias Rhodius, sive Theocritus in πελέκει sive securi, Minervae ab Epeo dedicata. P. Victor. Var. Lect. 13, 18. Norrm. Peccavit hic Aristides in decorum et probabile. Ulysses enim, Patroclo adhuc superstite haec disserens, utitur aliquo dicto, quod Epeus proiecit in illo certamine, quo Achilles, occiso Hectore, Patrocli manibus parentavit. Orationis Ulysseae fundus est Ilias nona, et hoc dictum ex Iliade penultima desumtum. Reisk. 4 ἐκεῖνος] Iliad. ψ, 665. 5 εἰς ΔΘP Cam. Vulgo ὡς. Θερσίτην] Iliad. β, 248. τρέποιτο ΔΘP Cam. Vulgo τράποιτο. 6 μηδ'] μηδὲ ΘP Cam. 7 ἐγῷμαι] ἐγὼ οἶμαι superscr. in P. καθελκύσας τὰς ναῦς] Iliad. ι, 357. 8 οἰχήσει] Vulgo οἰχήσῃ. ἠχήσῃ Δ. αἰσχύνει] Vulgo αἰσχύνῃ. αἰσχυνῇ P. τὰς Νηρηίδας] Iliad. σ, 38. Νηρηίδας] Thomas Mag. Νηρηίς. Norrm. 9 δόξης ἀφορμὰς Cam. Norrm. δόξαν (superscripto δόξης) ἀφορμὰς P. γρ. δόξαν ἀφόρμας margo Norrm.: quod recepit Iebb. Fort. δόξης ἀφορμὰς καὶ δυνάμεως. Reisk. τότε μὲν δύναμιν συλλέγων τῷ στρατῷ] Citat nomine Aristidis, libro non indicato, Geor. Lecapenus Gram. MSS. f. 305. b. huius voluminis, praetermissis vocibus, δόξης ἀφορμὰς, aut δόξαν ἀφόρμας, quas ex aliis codicibus in marginem nostri relatas, ut concinniores venioresque, interpretatione nostra complexi sumus. Norrm. 10 νυνὶ δ'] νυνὶ δὲ ΔΘP Cam. 11 ποτ' P Cam. Vulgo ποτε. οἵ ποτε ἐλθόντες δεῦρο] Troiam 40 circiter annis, ante fatalem ac ultimam ἅλωσιν, Hercules ceperat, Laomedonti, Priami patri, quod Hesionen, invictosque equos, non redderet, infensus, sive una cum Argonautis, sive seorsum, conducta voluntaria fortissimorum virorum manu. In queis et Telamon, patruus Achillis,

Digitized by Google

ἀπῆραν πρὶν συνεξελθεῖν τῷ πολεμάρχῳ. τί δὲ καὶ θήσει (34)
πρὸς θεῶν ὄνομα τῇ θυσίᾳ, ἣν αὔριον θύσειν φῄς; πό-
τερον χαριστήρια, ἢ τί καλεῖς αὐτήν; εἶτ' οὐκ αἰσχύνει
τοὺς θεοὺς αὐτοὺς μάρτυρας τοσαύτης κακίας ποιούμενος,
θύων καὶ σπένδων καὶ παιανίζων ἐπὶ ταῖς τῶν Ἑλλήνων
συμφοραῖς, φάσκων ἀπέχειν ἅπαντα παρ' αὐτῶν, ὁρῶν
εἰς τὸ πεδίον, μεστὸν νεκρῶν τῶν ὑπό σοι ταττομένων,
ἡμέραν οὐκ οἶδα πόστην ἄνω. τί δ' ἔσται σοι τοῦ πλοῦ
τὸ σχῆμα; ἢ τίς λόγος τῶν ἰδόντων ἢ τῶν ἀκουσάντων;
Ἀχιλλεὺς ἐπαναπλεῖ; ποῖα λάφυρα κομίζων, ἢ ποίας
ἀπαρχὰς ἄγων, ἢ τί τῶν οἴκοι στεφανώσων, ἢ τῶν ἰδίων
ἢ τῶν δημοσίων; καλὸν δὲ τῇ Σκύρῳ νῦν προσχεῖν. καὶ
τί φήσεις πρὸς τὸν παῖδα τὸν σαυτοῦ; τί τῇ γυναικὶ δό-
ξεις εἶναι βελτίων εἰπών; καὶ τί λέγω Σκῦρον ἢ γυναῖκα;
435 ἀλλὰ τί φήσουσιν οἱ Τρῶες; ἆρ' οὐ φεύγειν σε φοβούμε-
νον, ὁρῶντα οὐδεμίαν σωτηρίαν ἐὰν μένῃς; ἄξιόν γε, οὐ
γάρ; τὸ Πριάμου καὶ Νέστορος γῆρας συντεθὲν τοιαύτης
αἰσχύνης.

Ἀλλὰ ταῦτα μὲν οὐ ποιήσεις, μενεῖς δὲ ἄχρι ἂν ἐπὶ
τὰς σὰς σκηνάς τε καὶ ναῦς ὁ Ἕκτωρ ἀφίκηται, κτείνων
πάντας ἑξῆς, τηνικαῦτα δὲ αὐτοῖς δείξεις ὅστις εἶ; εἰ μὲν
σοι τοσοῦτον περίεστι, πῶς οὐκ αἰσχρὸν ἐκεῖνον τὸν και- (36)
ρὸν ἐᾶσαι γενέσθαι καὶ μὴ περὶ τῆς ἁπάντων σωτηρίας

---

et pater Peleus, erant. Diodor. 4. p. 165, 166, 175, 176. Isocrates Evagora, p. 454. Apollodorus Biblioth. 2. p. 110, 111. Libanius πρεσβευτικῷ Ὀδυσσέως, p. 226. Ovidius Metamorphos. 11, 6. Hygin. 89. Dares p. 151. Sed reclamat, suo more, Dio Prusaeus Τρωικῷ. Norrm. 12 ἀπῆραν] Iliad. ε, 640. θήσει] Vulgo θήσεις. θήσῃ ΔΘP Cam. 13 θύσειν] θήσειν Δ. αἰσχύνει] Vulgo αἰσχύνῃ. 16 πόστην] πόσην Δ. ὅσην corrector in P. 17 σοι addidi ex ΘP Cam. superscriptum habet P. ἀκουσάντων] Ἴσ. ἀκουσόντων. Norrm. 18 ἀπαρχὰς corrector in P: codex ἀρχάς. ἢ post στεφανώσων om. Θ, superne adscriptum habet P. ἢ τῶν — ἢ τῶν ΔΘP Cam. Vulgo ἢ τί τῶν — ἢ τί τῶν.

435, 1 ἆρ' ΔΘP Cam. Vulgo ἀλλ'. ὁρῶντα] ὁρῶντα καὶ (γε superscr.) P. ὁρῶντα γε Cam. 2 μένῃς] μένεις Δ. μενεῖς Θ Cam. 3 μενεῖς] Iliad. ι, 646. π, 62. ἄχρι ἂν ἐπὶ] Vulgo ἄχρις ἐπί. ἄχρις ἂν ἐπὶ ΔΘP Cam. 4 αὐτοῖς addidi ex ΔΘP Cam.

*τῇ περιουσίᾳ χρήσασθαι, ἀλλ' ὅταν μηδεὶς λίπηται; εἰ δ' ἐργῶδες ἤδη γίγνεται, βοηθητέον ἡνίκ' ἔξεστιν; ἐγὼ δ' ἀπιστῶ οὐδ' ἐκείνῳ, τῷ μὴ οὐ καὶ μόνον σὲ πρὸς ἅπαντας τοὺς βαρβάρους ἱκανὸν εἶναι καὶ ἔτι κρείττω. ἡγοῦμαι μέντοι τῷ παντὶ τὸ τοῦ καιροῦ διαφέρειν οὐ μόνον κατὰ τοῦτο ὅτι ἄμεινον ὄντων σοι τῶν θεατῶν καὶ μαρτύρων ἐπιδείξασθαι τὴν ὑπερβολὴν ταύτην, ἀλλ' ἔτι καὶ κατ' ἐκεῖνο, ὅτι τηνικαῦτα μὲν σαυτῷ δόξεις βοηθεῖν καὶ κατ' ἀνάγκας ἀμύνεσθαι, νῦν δ' ὑπὲρ τῶν κεκληκότων ἐξέναι καὶ βοηθεῖν τούτοις· ὥστε οὐ μικρὸν κερδανεῖς παρὰ τὴν χάριν. ὅλως δὲ οὐκ ἔστι τοῦ πολέμου ταμίαν γενέσθαι καθ' ὅσον βούλει μέρος. ἀλλὰ πολλὰ γένοιτ' ἂν ὧν βούλει μεθ' ὧν οὐκ ἂν δέξαιο. πεσεῖταί τις καὶ τῶν πάνυ σοι κεχαρισμένων. καὶ τοὺς μὲν ἄλλους ἐῶ, ἀλλ' ἡμᾶς τουτουσὶ οὓς προσεῖπας φιλτάτους, καὶ οὓς ἀνέστης ἰδών, καὶ οἷς τὸν κρατῆρα ἔστησας καὶ προεῖπας ζωρότερον εἶναι,* (35)

---

6 *χρήσασθαι νῦν. ἀλλ' ὅταν* — id est *ἀλλὰ τότε χρήσασθαι, ὅταν* —. Reisk. *ὅταν μηδεὶς λίπηται*] Iliad. ι, 597. *λίπηται*] *λείπηται* ΔΘP Cam. 6 *ἤδη* Δ Norrm. Iebb. *νῦν* ΘP. neutrum habet Cam. *γίγνεται* ΔΘP Cam. Vulgo *γίνεται*. 7 *δ'*] *δὲ* ΔΘP Cam. *ἀπιστῶ οὐδὲ ἐκείνῳ* ΔΘP. *ἀπιστῶ οὐδὲ ἐκεῖνο* Cam. *ἀπιστῶ μὲν οὐδ' ἐκείνῳ* Norrm. Iebb. *οὐ καὶ* ΔΘP Cam. Vulgo *οὐκ καὶ*. *μόνον σε* addidi ex ΔΘP Cam. *μὴ οὐκ καὶ*] Minuta voculae unius lacunula inter *οὐκ* et *καὶ* interesse videtur, quam firmaverit suspicionem *οὐκ* ante consonam hoc loco positum. Iccirco post *οὐ*, si mei res arbitrii sit, interposuerim *σὲ* te, quomodo plana erunt omnia. Caeterum non male Achilli palpatur Orator, dum minime addubitare sese adfirmat, quia unus barbaris omnibus *ἀξιόμαχος καὶ ἀντίπαλος* sit, quod ab Homero suo mutuatus est. Ille enim vel solo herois, caetera nudi ac inermis, adspectu ac clamore, usque adeo adtonitos consternatosque Troianos facit, ut trepido tumultu, mutuoque fugitantium conlisu, haud pauci oppressi interierint. (*Ἰλ.* c. 217.) Sed incredibile ac portentosum commentum, haud iniuria, exagitat Dio *Τρωϊκῷ*. Norrm. 9 *ὅτι*] *ὅτι* ΘP. *ἔτι* correctus P. 10 *δόξεις* Cam. *δόξῃς* P. Vulgo *δόξεις*. *ἀμύνεσθαι*] *ἀμύνασθαι* Δ. *νῦν δ'*] *νῦν δὲ* ΔΘP Cam. 12 *πολέμου ταμίαν*] Id Iovi vindicat poëta *Ἰλ.* Δ. 84. Norrm. *ὧν*] *οὗ* corrector in P. 14 *τουτουσὶ*] *τουτουσὶς* (sic) P. *προσεῖπας* ΔΘP Cam. Vulgo *προσεῖπες*. *φιλτάτους*] Iliad. ι, 198. 518. 638. *ἔστησας* Δ. *προέστησας* ΘP Cam. Vulgo *ἔστησας*. 15 *προεῖπας* ΘP Cam. Vulgo *προεῖπες*. *προύπιες* Δ. *ζωρότερον*]

τί κωλύει καὶ ἡμᾶς αὔριον κεῖσθαι τηνικάδε ὁμοῦ τοῖς
ἄλλοις ἀναμεμιγμένους, καὶ μεθ' ὧν νῦν σπένδεις, ἀπὸ
τούτων ῥυῆναι τὴν γῆν αἵματι καὶ κρατῆρας ἐν Ἕκτορος
ἵστασθαι ἐπινικίους καὶ παιᾶνας ᾄδεσθαι σοῦ ζῶντος, ὦ
Ζεῦ; τί δ', ἂν ἅμα ταῖς σκηναῖς ἐχομέναις καὶ ταῖς ναυ-
σὶν ἐμπιμπραμέναις καὶ τὴν περιπόθητον ταύτην ἀποσφά-
436 ξωσιν, ἢ καὶ λαβόντες αἰχμάλωτον αὖθις ἄγωσι πρὸς ἑαυ-
τούς; ἢ νῦν αὕτη κεφάλαιόν ἐστι πάντων τῶν πραγμά-
των; ἡδέως δ' ἂν σου πυθοίμην, εἰ τότε αὐτὴν παραλα-
βὼν Ἀγαμέμνων ἀπέκτεινεν, ἢ καὶ παρὰ σοὶ μένουσαν, τί
χρῆν αὐτὸν ποιεῖν νῦν, ἢ πόσα τὰ ὑποφόνια καταθέντα
εὐμενοῦς τυχεῖν, εἰ δὴ νῦν ζῶσαν ἀποκαθιστάντος καὶ
προσέτι ὀμνύντος ἃ μάλιστ' ἂν σὺ βουληθείης, εἶτ' οὐ
παύσει, ἀλλ' εἰς τοσοῦτον ἥξεις ὀργῆς, ὥστ' εἰ μὴ παρὰ
πάντων λήψει τὴν δίκην κατὰ ἔθνη καὶ κατὰ πόλεις καὶ
κατὰ σῶμα ἕκαστον, ἀβίωτον ἡγήσει τὸν βίον σαυτῷ. ὅρα
μὴ αὐτὴν τὴν παῖδα μισήσῃς, ὅταν δι' αὐτὴν διαφθαρῇ
πασσυδὶ τὸ στρατόπεδον. (40)

Βούλομαι δέ σοι καὶ τοῦ διδασκάλου Χείρωνος λό-

---

Iliad. ι, 203. καὶ ἡμᾶς] Repetitur ἡμᾶς per ἐπανάληψιν πλεοναστικήν. Cuiusmodi verborum repetitio, in longiore comprehensione, interdum ornatui καὶ ἐπιτάσει servit; nonnunquam imprudentibus obrepit. Norrm. 16 νῦν] νυνὶ Δ. κρατῆρας] Iliad. ζ, 528. 18 ἐμπιμπραμέναις] Vulgo ἐμπιπραμέναις. περιπόθητον ΔΘP Cam. et Thomas Mag. h. v. Vulgo τριπόθητον.

436, 1 ἄγωσι πρὸς ἑαυτοὺς ΘP Cam. ἄγωσι παρ' αὐτούς Norrm. Iebb. ἄγωσιν ὡς ἑαυτούς Δ. ἢ νῦν αὕτη κεφάλαιον ΔP. ἢ νῦν αὐτὴ κεφάλαιον Θ. ἢ καὶ νῦν αὕτη κεφάλαιον Cam. ἢ νῦν κεφάλαιόν Norrm. Iebb. ἐστι πάντων] ἐστιν ἁπάντων Δ. 3 χρῆν αὐτὸν ποιεῖν ΔΘP Cam. Vulgo χρὴ ποιεῖν αὐτόν. ὑποφόνια] Thomas Mag. in λύτρα. Norrm. 4 ζῶσαν ἀποκαθιστάντος] ζῶσάν τε καθιστάντος ΘP Cam. ὀμνύντος] Iliad. ι, 132. 274. τ, 175. 258. σὺ βουληθείης] συμβουληθείης P. εἶτ' ΘP Cam. Vulgo εἶτα. παύσει] Vulgo παύσῃ. 5 τοσοῦτον] τοσοῦθ' Δ. ὥστ' P Cam. Vulgo ὥστε. λήψει] Vulgo λήψῃ, et paullo post ἡγήσῃ. 6 σαυτῷ ΔΘ Cam. et correctus P, in quo est σὺν τῷ. ὅρα μὴ] ὅρα μή ποτ' ΘP Cam. βούλομαι σοῦ καὶ τοῦ] Potius σοὶ, est enim collocatio verborum paullo inusitatior. Norrm. 7 δέ σοι ΔΘP Cam. Vulgo δὲ σοῦ. 8 Χείρωνος] Iliad. λ, 831.

Digitized by Google

γου εἰπεῖν, ὅν ποτ' ἐν τῷ Πηλίῳ διελέχθη πρός τινα τῶν ἀπ' Αἰτωλίας. θυμοῦ γὰρ ἔφη μετρίου μὲν οὐδὲν ἂν κάλλιον ἀνθρώπῳ γενέσθαι, τοῦ δὲ ὑπερβάλλοντος οὐδὲν αἴσχιον· ὃς τοὺς μὲν ἐχθροὺς ἀντιλυπήσας ἀπήλλακται, τὸν δὲ ἔχοντα ἀεὶ καὶ συνεχῶς ἀπόλλυσι. σὺ δὲ μήτε ἐργάσῃ περαιτέρω μηδὲν μήτε αὐτὸς πάθῃς. ἐνθυμοῦ δὲ ὅτι πᾶσι πράγμασιν ὥσπερ ὅρους ἡ φύσις ἐστήσατο καὶ οὐδέν ἐστιν ἀθάνατον τῶν ἐν ἀνθρώποις, οὐ πόλεμος, οὐκ εἰρήνη, οὐ χάρις, οὐκ ὀργή, οὐκ ἄλλο τῶν πάντων οὐδέν· ἦ τῆς μὲν φιλίας τῆς ὑπαρχούσης σοι πρὸς τὸν βασιλέα λύσις εὑρέθη, τῆς δὲ ὀργῆς οὐ φανεῖται πάλιν; καὶ μὴν πολὺ βέλτιον τὰς φιλίας ἀθανάτους ἀξιοῦν εἶναι ἢ 'κείνων ἐρχομένων ὑπὸ τὴν τύχην τῆς ἔχθρας μὴ βούλεσθαι πορίζεσθαι λύσεις· δύο γὰρ τούτω θεὰ περιέρχεσθον ἅπαντα τὰ τῶν ἀνθρώπων, Νέμεσις καὶ Δίκη, οὐκ ἐῶσαι μεῖζον τῆς φύσεως φρονεῖν, ἀλλὰ ῥᾳδίως μικροὺς ἐκ μεγάλων ποιοῦσαι, ἐὰν τις αὐτῶν μηδένα ποιῆται λόγον. καὶ τούτου σοι τὸ παράδειγμα ἐγγύθεν· ὃς σοῦ τότ' ἐφρόνησε μεῖζον, τίνος
437 οὐκ ἔλαττον φρονεῖ νῦν; ἡγεῖσθαι δὲ χρὴ λόγῳ μὲν ἀκούειν ταῦτα παρ' ἡμῶν, τῇ δὲ ἀληθείᾳ καὶ τοῖς γιγνομένοις Ἕκτορα πρεσβεύειν καὶ διαλέγεσθαί σοι· ὃς τὰ μὲν

---

ποτ' P Cam. Vulgo ποτε. Πηλίῳ] πυλίῳ Θ. 9 μετρίου μὲν οὐδὲν Cam. μέτρου (μετρίου in P corrector) μὲν οὐδὲν ΘP. μετρουμένου μὲν μηδὲν Norrm. Iebb. γρ. μετριουμένου margo Norrm. θυμοῦ μετρουμένου] Iram moderatam reddimus, quam verbi huius significationem adstruit Pollux V. IL. περὶ τοῦ μετρίως ἔχειν, usurpat Herodianus 2, 3, 22. ἡ εἰς τὸ σωφρονέστερον καὶ μεμετρημένον μεταβολή. Quod ora libri praefert, μεμετριουμένου, si in usu sit, κειτούκειτος quispiam nos docuerit. Norrm. 13 οὐκ εἰρήνη, οὐ χάρις Δ, corrector in P, Cam. Vulgo οὐκ εἰρήνης χάρις. 14 λύσις om. ΘP Cam. 15 ἢ 'κείνων ΔΘP. ἢ κείνων Cam. ἢ ἐκείνων Norrm. Iebb. 16 δύο] δύω P Cam. τούτω θεὰ] θεὰ in MS. emendatum variatumque manu recenti in hanc formam est, antea fortasse θεὼ scriptum fuerat. Norrm. θεὰ] θεὼ P Cam. 17 οὐκ ΔΘP Cam. Vulgo καὶ οὐκ. μεῖζον ΔΘP Cam. Vulgo μείζω. 18 μηδένα] μὴ Cam. τούτου corrector in P, ut coniecit Norrmannus. Legebatur τοῦτο. 19 τότ'] τότε Cam. φρονεῖ] φρονεῖν P.

437, 2 ὃς] ὡς P.

Digitized by Google

*ἀλλὰ ὅσα ὑβρίζει καὶ προπηλακίζει τί τις ἂν λέγοι; σὲ δὲ ἀπειλεῖ καθεύδοντα λήψεσθαι. πάντως δὲ οὐδὲ τὸν Δάρδανον τὸν ἑαυτοῦ πρόγονον οὐδὲν εἶναι χείρω τοῦ Αἰακοῦ τοῦ σοῦ, σέ τε σκήπτεσθαι τὴν μῆνιν, τὸ δ᾽ ἀληθὲς αὐτὸν ὀρρωδεῖν. ἃ πῶς ἀνεκτὰ ἀκούειν ἐμοί; τίς ὑπὲρ σοῦ τούτων λήψεται δίκην; οὐκ ἀναστήσει πρὸς θεῶν; οὐ δυσχερανεῖς ὅτι μὴ πάλαι, οὐχ ὅσον τοῦ χρόνου προεῖται ζημίαν θήσει; οὐκ εἰ δεῖ καὶ τῆς κόρης ἕνεκα ὀργισθῆναι, εἰς τοὺς Τρῶας ἀφήσεις τὸν θυμὸν τοὺς ἁπάντων τούτων αἰτίους; εἰ γὰρ ἐκεῖνοι μηδὲν παρεκίνησαν ἐξ ἀρχῆς, τί τῶν πάντων ἂν ἢ μεῖζον ἢ ἔλαττον ἐνταυθοῖ συνέβη δυσχερές; ἐνθυμοῦ δὲ ὅτι Πηλεὺς μέσος Αἰακοῦ καὶ σοῦ, Αἰακοῦ ἐκείνου, εἰς ὃν ποτ᾽ ἦλθε τὰ τῶν Ἑλλήνων πράγματα. σοὶ δὲ ὑπάρχει καὶ τοῦτο ὡς καλ-* (44)

---

4 τὸ δ᾽] τὸ δὲ Θ Cam. 5 ὑπὲρ σοῦ τούτων ΔΘP Cam. Vulgo ὑπὲρ τοσούτων. ἀναστήσει] Vulgo ἀναστήσῃ. 6 θήσει] Vulgo θήσῃ. 8 ἐξ ἀρχῆς ΔΘP Cam. τὴν ἀρχὴν Norm. Iebb. πάντων ΘP Cam. Vulgo ἁπάντων. 9 ποτ᾽ P Cam. Vulgo ποτε. 10 τὰ τῶν Ἑλλήνων] Aeacus Iovis ex Aegina filius, in insula Saronici sinus, Piraeeo vicina, Oenone, quae postea Aegina, et rarius Myrmidonia dicta est, hominibus tum temporis, ut ferunt, vacua natus; adultior factus, a patre impetrasse dicitur formicarum (τῶν μυρμήκων) in homines transformationem. Unde Myrmidonibus cum origine nomen, Pausan. Corinthiac. p. 138. Ovid. Metam. 7, 25. Hygin. 52. Aeaci filii Telamon et Peleus ob dolosam fratris Phoci caedem, solum vertere coacti sunt. Telamon in Salamina; Peleus in Phthiotidem Thessaliae regionem, cum magna Myrmidonum manu, secessit. Ubi ducta Polymela (Philomelam nuncupat Scholiastes Apollonii 4. 816.) Actoris, Myrmidonis filii, Phthiotarum reguli, filia, ex qua Achilles illi natus est, socero in principatu successit. Hinc Myrmidonum appellatio, Phthioticae coloniae propria facta fuit, quum Aeginetae dicerentur, qui in patria antiqua remanserant. Eustath. ad Ἰλ. α. 180. p. 57, 58. et β. 683. οἵτ᾽ εἶχον Φθίην, ἠδ᾽ Ἑλλάδα καλλιγύναικα, Μυρμιδόνες δὲ καλεῦντο, καὶ Ἕλληνες, καὶ Ἀχαιοί. p. 242, 243. Pausan. l. c. Hellenes iidem Phthiotae, ab Hellene, sive Deucalionis, sive Phthii filio, qui iis in locis quondam regnaverat, appellati sunt. Postea crescentibus eorum opibus, paullatim in reliquam Graeciam communio nominis manabat, nondum vero Homeri id aetate contigerat, itaque Graecos ille communiter Danaos, Argivos, Achaeos, nominat; Hellenas

Digitized by Google

λιστα· μιμούμενος γὰρ τὴν τοῦ προγόνου γνώμην ὑπεραίρεις τῷ σχήματι. ὁ μὲν γὰρ εὐξάμενος ὤνησε, σὺ δ' ἔργῳ βοηθήσας ἐκπλήσεις τὰς ἁπάντων εὐχάς. κἀκεῖνα ἔτι πρὸς τούτοις λογίζου, ἔξιμεν δὴ αὐτίκα μάλα ἐκ τῆς σκηνῆς, ποίοις ποσὶν, ὦ πρὸς τοῦ Διὸς, εἰ μὴ σοὶ ταῦτα συνδόξειε; τίνας λόγους ἐροῦμεν ἀπελθόντες, ἢ ποίας ἀποκρίσεις ἀποκρινούμεθα; καραδοκοῦσι δὲ δή που πάντες, εἰ ἄσμενοι περιχυθέντες ἄλλος ἄλλοθεν πεύσονται. τί χρὴ πρὸς αὐτοὺς λέγειν; ἀπόκριναι· σπεῖσον μεθ' ἡμῶν τῷ Διὶ τῷ σωτῆρι, μὴ τὴν τελευταίαν τοῦ νῦν εἶναι, ἀλλ' αἰσχυνθεὶς τήν τε χρείαν τὴν κοινὴν καὶ τοὺς πρέσβεις ἡμᾶς καὶ τῆς πρεσβείας τὴν ὥραν, νύκτα ταύτην, ἢ καὶ ἄστρα ταυτὶ καὶ θεοὺς καὶ ἥρωας τοὺς κοινοὺς τῶν Ἑλλήνων, ἐκδὺς τὴν ὀργὴν ὥσπερ νόσον φάνηθι τοῖς βαρβάροις ἅμα τῷ ἡλίῳ.

---

solos, qui cum Achille advenerant. Qua de re notissimus Thucydidis exordio operis locus est, accurate Salmasio in de Hellenistica p. 274, seq. enarratus, habet tamen et πανέλληνας poëta Ἰλ. β. 530. Sed de eo loco olim Zenodotum aliosque dubitasse, annotat Eustathius. Recte igitur Noster, et cum more eius temporis, quo missa ad Achillem haec legatio fuit, convenienter, Graecos, Achaeos saepius, quam Hellenas, usurpat. Norrm.

11 δ' ἔργῳ ΔP. Vulgo δὲ ἔργῳ. δ' ἡμῖν superscriptum in P.

12 κἀκεῖνα ΔΘP Cam. Vulgo κἀκεῖνο. δὴ αὐτίκα ΘP Cam. Vulgo αὐτίκα δή. 14 καραδοκοῦσι] Iliad. ι, 624. δὲ addidi ex ΔΘP Cam. 16 Fort. τελευταίαν τὴν νῦν. scil. σπονδήν. ne haec sit postrema libatio. Reisk. 18 ἢ καὶ ἄστρα P Cam. Iebb. et ex coniectura Norrmannus, cuius in codice deest καί. Aut delendum ἤ, aut tota dictio ἢ καὶ ἄστρα ταυτὶ in margine ponenda, ut varians lectio, ab ipso tamen auctore profecta, et alteri τὴν νύκτα ταύτην ut aequipollens supposita, et lectoris arbitrio atque optioni permissa. Reisk.

Digitized by Google

# LIII.

## ΠΡΟΣ ΔΗΜΟΣΘΕΝΗ ΠΕΡΙ ΑΤΕΛΕΙΑΣ. 1

nert.) ed. Rom.

### ΥΠΟΘΕΣΙΣ.

Ἐπειδήπερ Ἀθήνησι διὰ τὸ πλῆθος τῶν ἀτελειῶν σπάνις ἐγίγνετο τῶν λειτουργιῶν, ἔθηκε Λεπτίνης νόμον, οὕτως ἀτέλειαν ἀναιροῦντα, ὡς μηδ' ἐξεῖναι τὸ λοιπὸν ταύτης ὁντινοῦν ἀξιῶσαι. ἐγράψατο τοίνυν τουτονὶ Δημοσθένης, ὡς μὲν αὐτός φησι, παρανόμων, ὡς δ' ἀληθείᾳ δοκεῖ, συκοφαντῶν μᾶλλον καὶ σοφιζόμενος καὶ τὰ οὐκ ὄντα συμπλάττων. ὅθεν ἀντιλέγει τις αὐτῷ, καὶ δείκνυσιν οὐ καλῶς κατηγοροῦντα τοῦ νόμου, βελτίστου τε ὄντος καὶ κοινοτάτου καὶ μάλιστα πάντων πολιτείᾳ προσήκοντος. ἔρρωται δὲ ὁ μὲν τῷ τε συμφέροντι καὶ πᾶσιν, ὡς εἰπεῖν, τοῖς ἄλλοις τελικοῖς κεφαλαίοις· Δημοσθένης δὲ μόνῳ κέχρηται τῷ ἐνδόξῳ, κἂν εἰ καὶ τοῖς ἄλλοις δοκοῖ.

Πάντα μᾶλλον, ὦ ἄνδρες Ἀθηναῖοι, ἔγωγ' ἂν φήμην ἢ Δημοσθένη ποτὲ τουτονὶ πρὸς τοσοῦτον ἀπονοίας καὶ
2) τοῦ μὴ καλῶς ἔχοντος ἥκειν ὡς καὶ ἀτελείας ἕνεχ' ἡμῖν συμβεβουλευκέναι προῆχθαι, καὶ τοῦτο πολλοῦ τινος εἶναι φάναι, καὶ φέρειν εἰς δόξαν τοῖς δοῦσιν οὐχ ἧττον ἢ τοῖς λαβοῦσιν· οἷς καὶ εἴ τις ἄλλος ἐγχειρεῖν ἠξίου, τοῦτον αὐτὸν πρῶτον ἔδει παντὶ σθένει διακωλύειν πειρᾶσθαι, οὐ μόνον ὅτι τῶν ἀλυσιτελῶν τοῦτ' ἐστὶ καθάπαξ τῇ πόλει,

ΔΗΜΟΣΘΕΝΗ] ΔΗΜΟΣΘΕΝΗΝ T.

1, 3 ed. Grauert. τολοιπὸν Grauertus. τοὐλοιπὸν T. 12 καὶ τοῖς] καί τισιν Grauertus. 14 Δημοσθένη] Δημοσθένην T. τοσοῦτον] τοσοῦτ' T.

2, 1 ἕνεχ'] εἵνεχ' T. 3 φάναι] φᾶναι T. 4 οἷς Nie-

ὡς προϊόντος ἐπιδείξω τοῦ λόγου· — ὁ δὲ πᾶν τοὐναντίον αὐτῇ καὶ βούλεται καὶ συνεύχεται, καὶ οὕτω τὸν ἀεὶ πολιτεύεται χρόνον ὡς καὶ πεπεῖσθαι λέγειν περὶ αὑτοῦ μὴ 2
ἂν ἕνα μηδένα τῶν πάντων τὰ τοιαῦτα δόξαι βελτίω, καὶ οὐ λέγειν μόνον, ἀλλὰ καὶ τοῖς ἔργοις δεικνύναι· — ἀλλ' ὅτι καὶ μεγίστη τις ἐντεῦθεν γένοιτ' ἂν τοῖς πράγμασι βλάβη, εἰ τοῦθ' ἑξῆς διὰ πάντων χωρήσει. νῦν δὲ οἷς τὰ τοιαῦτα συνηγορεῖ, καὶ οἷς πλείω τούτων ἢ πάντων ὧν πώποτ' εἶπεν ἢ συνεβούλευσε λόγον ποιεῖται, δυοῖν θάτερον λογίζεσθαι δίδωσιν, ἢ 'κεῖνα μὴ καλῶς εἰρηκέναι ἢ ταῦτ' οὐκ ὀρθῶς ἐψηφίσθαι· μᾶλλον δὲ εἰ μὲν ὀρθῶς ταῦτ' ἔχει, κόμπος ἐκεῖνα καὶ οὐδὲν ὑγιές, εἰ δ' ἐκ τῶν ἔργων ἐκείνοις ἡ πίστις, καὶ οὐδ' ἂν εἷς ἐξ ὧν, ὦ Δημόσθενες, ἔπραξας φῆσαι μὴ οὐ ταῦτα προσηκόντως εἰρῆσθαι, εὔδηλον πάντως ὡς ἔξω λόγου τὰ τοιαῦτ' ἐσπουδάκεις, καὶ πρὶν ὑφ' ὁτουοῦν ἐληλέγχθαι, κατ' αὐτὸς σαυτοῦ ταυτηνὶ φέρεις τὴν ψῆφον.

Ἐγὼ δέ, ὦ ἄνδρες Ἀθηναῖοι, οὐχ οὕτω δεινὸν εἶναι τοῦτον ἠξίουν ὡς τοῦ βούλεσθαί τισιν ἕνεκα καταθέσθαι χάριν τῇ πόλει λυμαίνεσθαι, μηδὲ τῶν πρὸς ταύτην δικαίων μείζω τὰ τούτων ποιεῖσθαι, μηδὲ βοηθεῖν τούτοις οἰόμενον δεῖν ἔπειτ' αὐτῇ πολεμεῖν, ἀλλ' ὃ μέλλει κοινῇ συνοίσειν, τοῦθ' ὡς ἔθος αὐτῷ καὶ διανοεῖσθαι καὶ
(3) πράττειν ἀεί. ὅπου γὰρ καὶ τῶν ὡς ἀληθῶς ἡμῖν συμφερόντων ἔσθ' ὅτε, μᾶλλον δ' ἐν τῷ καθάπαξ, δι' αὐτὴν ταύτην ὑπερορῶμεν, πῶς οὐκ ἀλογία σαφὴς ἑτέρῳ τῳ κατ' αὐτῆς χαρίζεσθαι; ὁ δὲ τοσοῦτον ἐδέησε τοῦ ταῦτ' ἤδη πράττειν αἱρεῖσθαι, ὥσθ' ὅσον πρόσθεν χρηστὸς ἦν καὶ δημοτικὸς καὶ τῆς πολιτείας ἀκριβὴς σπουδαστής, τοσοῦτον νῦν ἐξέστη τῆς ὑποθέσεως, καὶ τοὐναντίον ἢ πρόσθεν τοῖς πράγ-

---

buhrius. ὡς T. 9 περὶ αὐτοῦ Niebuhrius. περὶ αὐτὸν T. 10 μὴ ἂν ἕνα μηδένα] μηδ' ἂν ἕνα Grauertus. 12 πράγμασι] πράγμασιν T. 16 ταῦτ' οὐκ] ταῦθ' οὐκ T. 21 ὁτουοῦν Grauertus. ὅτουν T. 22 σαυτοῦ ταυτηνὶ Grauertus. σαυτὸν ταυτηνὶ (sic) T. 25 ἕνεκα] εἵνεκα T.

3, 3 ἑτέρῳ τῷ T. ἑτέρῳ τῳ Grauertus. 4 τοσοῦτον] τοσοῦτ' T. 5 ὥσθ' ὅσον πρόσθεν Grauertus. ὡς θ' ὁσοπρόσθεν T. 6 τοσοῦτον] τοσοῦτο T.

Digitized by Google

μασι χρῆται· οὐχ ἃ τῇ πόλει συμφέρει, ἀλλ' ἃ τῷ Χαβρίου παιδί, ἢ εἰ βούλεσθε, οἷ αὐτῷ — τὴν γὰρ δὴ τούτου μητέρα μετὰ τὴν ἐκείνου τελευτὴν αὐτὸς γεγαμήκει — ταῦθ' ἡμᾶς πείθειν ἐθέλων, μονονουχὶ ταῦτ' ἐν τούτοις βοῶν, ὡς οὐδένα ποιοῦμαι τῆς πόλεως λόγον, ἀλλὰ λῆρος 3
πάντ' ἐμοὶ πρὸς τὸ γένος. ἀμέλει καὶ ὃν ἐξ ἀρχῆς ἔδει κεῖσθαι τῇ πόλει νόμον, μηδένα τῶν πολιτῶν ἀτελῆ μήτ' εἶναι μήτ' ἂν γενέσθαι, τοῦτον ἤδη καλῶς ὑπὸ Λεπτίνου τεθέντα, ὡς καὶ πάντων τῶν εὖ φρονούντων, ὡς εἰκός, αὐτὸν ἐπαινούντων, καὶ πάνυ τοι συνηδομένων αὐτῷ τε καὶ τῷ νόμῳ, τῷ μὲν τῆς κοινῆς ὠφελείας, τῷ δὲ τοῦ πρόνοιαν ταυτησὶ πεποιῆσθαι, μόνος οὗτος, ἣν εὖ πάθωμεν ὡς ἔοικε δυσχεραίνων, ἀντὶ τοῦ συγκροτεῖν αὐτὸν καὶ θαυμάζειν καὶ ὅπως εἰς ἀεὶ κύριος ἔσται παρασκευάζειν, ὁ δὲ καὶ ὅπως ἄκυρος ἔσται πάντα ποιεῖ· οὐ τὸ ξυμφέρον, ὡς ἂν εἴποι τις, ἀγνοῶν· τίς γὰρ τούτου τὰ τοιαῦτα δεινότερος; ἀλλ' ὅπως εἰς τὴν πατρῴαν ἀτέλειαν καὶ αὖθις ἐγκαταστήσῃ Κτήσιππον, οὐκ εἰδὼς ὡς ἐν μὲν τῷ τὴν πόλιν εὖ πράττειν καὶ αὐτὸν εὖ πράττειν ἀνάγκη, ἐν δὲ τῷ τὸν μὲν νῦν εὖ ἔχειν ἐθέλειν, τὴν δὲ μή, καὶ αὐτὸν ὅσον οὐκ ἤδη τῶν αὐτῶν πεπειρᾶσθαι.

Ἔτι τοίνυν εἰ μέν, ὦ Δημόσθενες, οὐκ εὖ ἔχειν ὁ
4) νόμος ἐδόκει οὐδὲ τοῦ γιγνομένου διὰ πάντων τυγχάνειν, ἀλλὰ φλυαρίαν ταῦτ' εἶναι καὶ οὐδὲν ὑγιές, αὐτόν σε πρῶτον ἐχρῆν εἰς μέσον παριόντα διακωλύειν τοῦτον, αἰτιᾶσθαι, παρανόμων γράφεσθαι, οὐ τούτους ἢ 'κείνους ἐξ ἀφανοῦς καθιέντα δι' αὐτῶν ἐλέγχειν τοῦτον πειρᾶσθαι, καὶ κατὰ τοῦδε σφίσι συνηγορεῖν. σοὶ γάρ, εἴπερ τῳ, τὰ τοιαῦτα μάλιστα μέλει. οἷς δὲ τότε μὲν σιγᾶν ᾤου δεῖν, νυνὶ δὲ μετ' αὐτῶν αὐτὸν διαβάλλειν, ἀμφότερα βεβαιοῖς, τόν τε νόμον ὡς κάλλιστα ἔχειν, αὐτόν τέ σε μάτην κατ' αὐτοῦ κεκινῆσθαι· ὅς γε καὶ ἵνα μὴ τοῦ μὲν Κτησίππου

---

8 ἀλλ' ἃ Grauertus. ἀλλὰ T. 9 οἷ Grauertus. τῷ T. 21 εἰς ἀεὶ] ἐς ἀεὶ T.

4, 2 φλυαρίαν] φλυαρίαι Grauertus. 4 ἢ 'κείνους] ἢ κείνους T. „Intelligit eos qui ante Demosthenem Leptinem accusaverunt, de quibus Libanius in argumento ad Demosthenicam adversus Leptinem." Mai. 8 μετ' αὐτῶν] μετ' ἄλλων Niebuhrius.

μόνου δόξας ἀντιποιεῖσθαι, τὸ δὲ τῆς πόλεως παρὰ φαῦ-
λον ποιεῖσθαι, εἶτα πρὸς τῷ μηδὲν ὧν βούλει κατωρ- 4
θωκέναι καὶ ὧν μὴ βούλει, τούτων αἴτιος αὐτῷ κατα-
σταίης, τὸν δῆμον εἰς ὀργὴν κεκινηκώς, ταῦτ' οὖν δεδιὼς
δεινότατα πάντων ἐξεῦρες, ὅπως καὶ τὴν ὑπόνοιάν ταύ-
την εὐχερῶς ἀποκρούσῃ καὶ πρὸς ἃ δεῖται τῷ Χαβρίου
συνάρῃ· πρῶτα μὲν ὡς μάλιστα τῇ πόλει συμφέρειν τὴν
ἀτέλειαν φήσας καὶ τούτοις τὸν ἀκροατὴν ὑφελόμενος,
ἔπειτα τούτου μνησθείς. καίτοι ὅταν οὐ θαρρούντως οὐδ'
ἐλευθέρως, ἀλλὰ δεδιότως τε καὶ ὑπούλως καὶ μετὰ τοῦ
πάνυ τοι λανθάνειν ἐθέλειν ἐπὶ ταῦτα χωρῇς, ἔοικας ὧν
λέγεις πρῶτος αὐτὸς ἐπιλαμβάνεσθαι καὶ μισεῖν καὶ διὰ
ταῦθ' οὕτως σχηματίζειν τε καὶ προάγειν τὸν λόγον. ἀλλὰ
μὴν εἰ κατηγοροῦντος καὶ συκοφαντοῦντος ταύτην ἅπαν-
τες ἴσμεν διαφοράν, τὸ τὸν μὲν τὰ οὐκ ὄντα συμπλάττειν,
τὸν δὲ τοῖς οὖσι κακοῖς ἢ φαινομένοις ἐπιπηδᾶν, καὶ τὸν
μέν, εἰ καὶ μὴ δικαίας, ἀλλ' οὖν ἔσθ' ὅτ' ἀξιοῦμεν συγ-
γνώμης, τῷ μηδὲν οἴκοθεν καὶ παρ' ἑαυτοῦ συντιθέναι,
ἀλλὰ τοῖς οὖσι κεχρῆσθαι, τῷ δὲ ἀπρόσωπος ἡ κακία,
ποτέρας βούλει μερίδος θησόμεθα σέ; πότερον τῆς μετρίας
καὶ παραίτησιν δεχομένης, ἢ τῆς φαυλοτάτης τε καὶ κακί-
(5) ότης καὶ παντὸς μίσους ἀξίας, ἢ καὶ ἀμφοτέρων ὁμοῦ, ὡς
ἔγωγε οἶμαι καὶ νῦν ἀποδείξω; οἷς μὲν γὰρ τὸν νόμον,
ὃν μάλιστα θαυμάζειν ἐχρῆν διὰ τὸ τῇ πόλει συμφέρειν,
τοῦτον ὡς μηδενὸς ἄξιον διαγράφειν ἐθέλεις, κακίζων καὶ
κατατρέχων καὶ μηδενός τινος κατ' αὐτοῦ φειδόμενος
ῥήματος, οὐ μόνον κατηγόρων, ἀλλὰ καὶ βασκάνων δόξαν
λαμβάνεις.

Ὅτι δὲ πρὸς τοῖς εἰρημένοις, ὦ ἄνδρες Ἀθηναῖοι,
καὶ συκοφαντῶν οἷς ἐν ἀρχῇ τοῦ λόγου κέχρηται δείκνυται
αἰσχυνοίμην ἂν ἐμαυτὸν εἰ τοῦτ' ἀποδεικνύναι διὰ πλεί-
στου πειρῴμην. αὐτὰ γὰρ ταῦτ' ἐστὶ καὶ συκοφαντία περι-
φανὴς καὶ ἀπόδειξις ἐναργὴς τοῦ μηδὲν συκοφαντίας ἐλλεί- 5
πειν. ἃ γὰρ οὐκ ἂν οὔτ' ἐνεθυμήθη Λεπτίνης οὔτ' εἰ

---

11 παρὰ φαῦλον] παραφαῦλον T. 16 Χαβρίου] Χαυρίου T.
23 προάγειν] περιάγειν Grauertus comparata p. 26, 13. ed. Mai.
5, 2 ἔγωγε] ἐγώ γε T.

Digitized by Google

*κατὰ νοῦν ἔσχε δοκεῖ μοί ποτ' ἂν εἰρηκέναι, ὡς οὐχ ἱκανὰ πρὸς ὃ βούλοιτο δρᾶσαι, ταῦθ' οὗτος, ὦ ἄνδρες Ἀθηναῖοι, ὡς ἂν ἀτεχνῶς εἰρηκότος κατηγορεῖ, ταυτόν τι ποιῶν ὥσπερ ἂν εἴ τις πρὸς ἀνταγωνιστὴν ἰσχυρὸν καὶ ἄμαχον ἔχων, φαρμάκοις ἀνελεῖν τοῦτον ἠξίου, ὅτι μὴ χερσὶν οἷός τ' ἦν· καὶ σὺ τοίνυν αὐτὸς οὐκ ἔχων ἄλλως ἐξελέγξαι τὸν νόμον πλάττεις αἰτίας διὰ κενῆς, τὰ μὲν αὐτὸς κακουργῶν καὶ πονηρευόμενος, ἔστι δ' ἃ καὶ παρ' αὐτὸς σαυτοῦ συντιθεὶς καὶ συρράπτων. οὐκοῦν θάτερον τούτων ἡμῖν εἰκάζειν παρέχεις, ἢ μηδ' ὁπωστιοῦν ἐντυχεῖν τῷ βιβλίῳ, ἤ, εἴ μοι δίδως εἰπεῖν, ἐντετυχηκὼς καὶ θαυμάσας τὸ τῶν βασκαινόντων καὶ αὐτὸς πεπονθέναι, ἐκστῆναί πως ὑπὸ λύπης σαυτοῦ, ὅτι σοι πρᾶγμα πάλαι προσῆκον Λεπτίνης ἤδη παραλαβὼν ἤνυσεν, ὥστε μηδὲ καθαρῶς ἐντεῦθεν τοῦ νόμου μεμνῆσθαι δύνασθαι. εἰ γὰρ ὁ μὲν τοῦ μὴ παντάπασιν ἂν ἐπιλελοιπέναι τὰς λειτουργίας τὴν πόλιν, τούτου χάριν ἐγεγράφει τὸν νόμον, ὁρῶν ὑπὸ πλήθους ἀτελειῶν ταυτασὶ σπανιζούσας καὶ τὴν τῆς πόλεως εὐδαιμονίαν ὥσπερ ἐντεῦθεν ὑποδιδοῦσαν, ὁ δὲ τοῦθ' ἑκὼν σιωπῶν, φάσκει δὲ διά τινας ἀναξίους εὑρομένους ἀτέ-*
*(6) λειαν ταυτὶ νενομίσθαι, πῶς οὐχ ἃ λέγω συνίστησι; πῶς δὲ οὐκ αὐτὸς ἐξελέγχεται μήτε τὰ ὄντα λέγων καὶ προσέθ' ἡμᾶς ὥσπερ τινὰς παῖδας φενακίζειν ἐπιχειρῶν;*

*Καὶ ὅτι ταῦτα λέγων οὐδὲν ἀληθὲς λέγει δῆλον ἔκ τε ὧν ἔφην καὶ οἷς αὐτὸς τὸν Λεπτίνην εἰσάγει οὐ ταῦτ' εἰρηκότα, ἀλλ' ὡς ἔοικεν εἰσέπειτ' ἐροῦντα. φησὶ γοῦν „Ἔστι δ' οὐκ ἄδηλον, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦθ' ὅτι Λεπτίνης, κἂν τις ἄλλος ὑπὲρ τοῦ νόμου λέγῃ, δίκαιον μὲν οὐδὲν ἐρεῖ περὶ αὐτοῦ, φήσει δ' ἀναξίους τινὰς ἀν-* 6
*θρώπους εὑρομένους ἀτέλειαν ἐκδεδυκέναι τὰς λειτουργίας, καὶ τούτῳ πλείστῳ χρήσεται τῷ λόγῳ.“ ὁρᾶτε, ὦ ἄνδρες Ἀθηναῖοι, ὥσπερ ἐπαγγέλλεται τοῦτον ταῦτ' ἐρεῖν καὶ τούτῳ*

---

17 Post *ἄμαχον* excidit vocabulum, aliquod *pugnam* significans. NIEBUHR. *ἄπορος*, *ἄναλκις* vel simile quid excidisse suspicabatur Grauertus. 21 *σαυτοῦ* Niebuhrius, *σαυτὸν* T. 33 *φάσκει δὲ*] *δὲ* abesse malim.

6, 6 *φησὶ γοῦν*] Pag. 457.

πλείστῳ χρήσεσθαι τῷ λόγῳ. οὐκ ἀλόγως γε μὴν οὐδὲ τὸ τῶν ἀναξίων ἐμνήσθη, ἀλλὰ μετὰ πάνυ τοι πονηροτάτης τῆς γνώμης, ἵνα τῶν ἀναξίων ἀτελείας ἐκβεβλημένων ταύτης ἀξιόχρεως Κτήσιππος δόξῃ, καὶ αὐτὸς ἐφ' ἑαυτοῦ καὶ διὰ τὸν πατέρα Χαβρίαν. ἀλλ' εἰς κενὸν, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ τῆς ἐπινοίας τἀνδρὶ, καὶ οὐδὲν ἔσται πλέον ταὐτ' αὐτῷ τεχνωμένῳ, ὑμῶν τὰ δίκαια ποιούντων καὶ ἃ μάλιστα τῇ πόλει προσήκει καὶ προσέτι τοὺς τἀληθῆ διαστρέφειν ἐπιχειροῦντας μισούντων. ἐπεί τοι καὶ αὐτὸς τοσούτου δέω τούτοις πεπεῖσθαι καὶ προσέχειν τὸν νοῦν ὡς πάντα μᾶλλον ἢ ταῦτ' ὀρθῶς ἔχειν νομίζειν. ἄνευ γὰρ τοῦ ταῦτ' αὐτὸν, ὡς ἔφην, πεπραγματεῦσθαι καὶ τὴν αἰτίαν Κτήσιππον εἶναι, οὐδὲ τὸ τῶν ἀναξίων ὅλως ἔχω γιγνώσκειν ὡς εἰς καιρὸν εἰρημένον καὶ τῶν πραγμάτων ἀξίως, κἂν ὅτι μάλιστ' αὐτὸς τούτοις ἐπιχειρῇ. εἰ μὲν γὰρ ἐξέτασις προὔκειτο γένους καὶ μόνους ἔδει τοὺς εὖ γεγονότας τιμᾶσθαι, καλῶς ἂν εἶχε τοὺς εὖ πεισομένους φυλοκρινεῖν· εἰ δ' ἁπλῶς εὖ πάσχειν ἀνάγκη τοὺς εὖ πεποιηκότας, καὶ
(7) τῆς ἀρετῆς οὗτος μισθὸς, ἀτέλειαν δὲ οὐδὲν ἕτερον ἴσμεν ἀλλ' ἢ κατωρθωμένων ἀντίδοσιν, οὐχ ὁρῶ τίν' ἔχει λόγον ἀναξίων τε καὶ μὴ μνημονεύειν, ἔνθα πάντας ἀνάγκη κατ' αὐτὸ δὴ τοῦθ' ὁμοίως τιμᾶσθαι, κἂν φαῦλός τις ὢν τύχῃ καὶ τῆς κάτω φρατρίας κἂν εἰς Κόδρον ἀνήκων. τί γὰρ Ἀχιλλεὺς μᾶλλον Θερσίτου πρὸς τὸ τὴν παρὰ τῶν Ἑλλήνων φέρεσθαι χάριν, ἂν ἐξ ἴσης ἄμφω τοὺς Τρῶας ἕλωσιν; [ἐπειδὴ ὁ μὲν ἐκ θεῶν, ὁ δ' οὐ τοιοῦτος.]

Χωρὶς δὲ τούτων εἰ τοῖς ἀξίοις μόνοις ἀτελείας μετέσται, οὐκ ἔσθ' ὅ τι μᾶλλον καθ' ἡμῶν αὐτῶν ἔσται. πρῶτον μὲν γὰρ οὐδένες, εὖ οἶδα, τῶν πάντων ἔτ' ἀξιώ- 7
σουσι λειτουργεῖν καὶ τὰς ἀναγκαίας εἰσφορὰς, ὡς νόμος, εἰσφέρειν, ἀλλὰ φυγῇ τὰ πράγματα φεύξονται, οἱ μὲν ἀτελεῖς δι' αὐτὸ τοῦτο, οἱ δὲ μὴ τούτου τυχόντες διὰ τὸ μηδὲ τυχεῖν ἂν ὅλως ἐξεῖναι. κἀντεῦθεν τοῖς μὲν βασκανία

15. ἐφ' ἑαυτοῦ] Legebatur ἐφ' ἑαυτόν. 17. ταὐτ'] ταῦτ' T. 18 ὑμῶν Niebuhrius, ἡμῶν T.

7, 7 ἕλωσιν] ἑλῶσιν T. 8 ἐπειδὴ — τοιοῦτος delet Grauer-

τις πρὸς ἐκείνους ἔσται καὶ φθόνος καὶ δυσμεναίνειν ἀεὶ καὶ πάντα τρόπον μισεῖν· τῇ πόλει δέ, ἵνα μηδὲν δυσχερὲς εἴπω, τὸ μένειν ἐπὶ ταὐτοῦ καὶ μὴ πρὸς ἐπίδοσιν ἄγειν διὰ τὴν τούτων ἀργίαν καὶ ἔριν. ἔπειτ᾽ εἰ καί τινες λειτουργοῦντες ἔσονται· οὗτοι δ᾽ ἂν εἶεν οἱ μηδὲν ἐξ ἀτελείας εἰργόμενοι· ὅτι μὲν μικρά τις ἔσται καὶ φαύλη καὶ τοῦ μηδενὸς ὡς εἰπεῖν ἀξία ἡ παρὰ τούτων αὕτη συντέλεια καὶ σπουδὴ οὐδεὶς ἀγνοεῖ. πλὴν ἔστω γ᾽, εἰ βούλεσθε, καλή τε καὶ πρέπουσα καὶ τοῖς πράγμασιν ἀποχρῶσα· πότερον οὖν τῇ πόλει κάλλιον καὶ λυσιτελέστερον καὶ πρὸς αὔξησιν μᾶλλον λειτουργοῦντας ἅπαντας ἴσχειν ἢ τινάς; καὶ κοινῆς καὶ δαψιλοῦς ἀπολαύειν προνοίας ἢ μετρίων δή τινων τυγχάνειν τῶν σπουδαστῶν; καὶ βελτιόνων τε καὶ χειρόνων ἢ τοῦτο αὐτὸ μόνον χειρόνων; καὶ πότερον ἐπαινέτας τοὺς ἄλλους πάντας ἢ μεμφομένους κεκτῆσθαι; ἐγὼ μὲν γὰρ οἶμαι καὶ τοὺς βαρβάρους αὐτοὺς εἰκότως ἂν ἡμῖν νεμεσῆσαι, ὅτι διπλοῦ κέρδους ἁπλοῦν ἀνθειλόμεθα, καὶ δέον εὖ πράττειν κατ᾽ ἄμφω, οἱ δ᾽ ἀπὸ μέρους φήθημεν δεῖν. τὸ μὲν οὖν, ὦ
(8) ἄνδρες Ἀθηναῖοι, τοὺς μὲν ἀτελεῖς εἶναι, τοὺς δὲ μή, ὡς οὐ μόνον οὐδενὸς ὧν ἄνω καὶ κάτω διέξεισι Δημοσθένης, ἀλλ᾽ ὧν ἐμοῦ λέγοντος ἠκούσατ᾽ ἀρτίως, αἰτιώτατον ἔσται τῇ πόλει πάντας ὑμᾶς ἀκριβῶς οἶμαι πεπεῖσθαι, ἀγχίνους τε ὄντας καὶ πρὸς τὴν τοῦ καλοῦ καὶ δικαίου καὶ συμφέροντος κρίσιν οἴκοθεν καὶ παρὰ τῆς φύσεως παρεσκευασμένους. τὸ δὲ μηδένα τῶν πάντων ἀτελῆ κατὰ τὸν νόμον μήτε νῦν εἶναι μήτ᾽ εἰσαῦθις ἂν ταῦτ᾽ ἔχειν ἐξεῖναι, τοῦτ᾽ οὖν οὕτω πολλοῦ τινος ἄξιον καὶ γέμον ἐλπίδων καὶ πάσῃ πόλει καὶ πολιτείᾳ διαφερόντως προσῆκον, ὡς τοὺς μὲν ἄλλους νόμους τοὺς μὲν ὑπὲρ τῶν ἰδίᾳ διαφερόντων ἑκάστῳ, τοὺς δὲ δημοτελεῖς τινας εἶναι συμβαί- 8
νειν, μόνον δὲ τοῦτον ἡμῖν κοινότατον καὶ λυσιτελέστατον καὶ διαρκῆ καὶ βεβαίαν καὶ διὰ πάντων ἤκουσαν τὴν ὠφέλειαν ὡς μάλιστα παρεχόμενον· στρατεύεσθαι γοῦν καὶ τριηραρχεῖν καὶ πρεσβείας τὸ μὲν πέμπειν, τὸ δὲ δέχεσθαι, καὶ προσέτι συμμάχοις χρῆσθαι, σπένδεσθαι πολεμίοις,

---

tus. 16 ἀεὶ] αἰεὶ T. 22 αὕτη Grauertus. αὐτὴ T.

ἀμύνεσθαι πολεμίους, τῶν οἰκείων ἀντιποιεῖσθαι καὶ σώζειν, καὶ νὴ Δία γε ταὐτὰ φρονεῖν πρὸς ἀλλήλους καὶ πάντας ἓν εἶναι τὴν γνώμην, καὶ συλλήβδην εἰπεῖν ὧν δεῖ πόλει τοσῇδε καὶ τοσούτων ἐθνῶν καὶ νήσων ἐπιστατούσῃ, πάντα ταῦθ' ἑτοίμως καὶ μετὰ πολλοῦ τοῦ περιόντος καὶ βουλεύεσθαι καὶ ποιεῖν, ἐξ ἆρ' ἡμῖν τούτου τοῦ νόμου μετὰ τὴν τῆς Ἀθηνᾶς ῥοπὴν κάλλισθ' ὑπάρξει· καὶ τοῦθ' ὡς ἂν οἷός τε ὦ πειράσομαι δεῖξαι καὶ πᾶσι ποιῆσαι καταφανές, ἵνα ἀκριβῶς εἰδῆτε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ γνῶτε ὅσον τῷ νόμῳ τοῦ βελτίστου περίεστι καὶ ὡς, εἴπερ τις ἀνθρώπων, Λεπτίνης δημοτικὸς καὶ περὶ τὴν πόλιν χρηστός.

Πᾶσα τοίνυν πολιτεία καὶ δυναστεία καὶ ὅλως οἱ
(9) τῶν ἀνθρώπων καθ' ἕνα οὐκ εἴ τι πράξουσι μόνον σκοποῦσιν, ἀλλ' εἰ συμφέρον τοῦτ' αὐτοῖς ἔσται, καὶ διὰ πάντων ὡς εἰπεῖν πρὸς αὐτῶν. βούλονται μὲν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ μάλα βούλονται καὶ τοῦ δικαίου τυγχάνειν ἐν τούτοις καὶ μηδὲν ἐλλείπειν τούτου τοῦ μέρους, ὡς μόνην ταύτην οὖσαν πρᾶξιν ἀρίστην· ἂν δ' ἄρ' ἀμφότερα μὴ ἐξῇ, καὶ δίκαια πράττειν καὶ συμφέροντα αὑτοῖς, οἱ δ' αἱροῦνται συμφέροντα μᾶλλον ἢ δίκαια πράττειν. μᾶλλον δὲ οὐδὲ τὴν ἀρχὴν πράττειν οἴονται δεῖν, ὅταν ἃ μέλλουσι πράττειν ἢ μὴ συμφέρονθ' αὑτοῖς αἴσθωνται ταῦτ' εἶναι ἢ κατὰ σφῶν αὐτῶν. τὸ μὲν γὰρ μανία σαφής, ἑκόντα τινὰ καθ' αὑτοῦ πράττειν αἱρεῖσθαι· τὸ δ' ὡς ἀληθῶς κουφότητος καὶ ἀνοίας καὶ τῆς περὶ τὸν Μαργίτην, ὡς εἰπεῖν, συμμορίας, εἰκῇ ποιεῖν καὶ πράττειν διὰ κενῆς καὶ εἰς οὐδὲν δέον. Λεπτίνης τοίνυν οὐ μόνον δίκαιον, ἀλλὰ καὶ συμφέροντα καὶ προσέτ' αἴτιον τῇ πόλει δόξης εἰσήνεγκε νόμον, τῶν μὲν ἐξ ἀρχῆς καὶ πάλαι κειμένων οὐδὲν ἐλάττω, εἰ μὴ καὶ μείζω, ὅσον οὐκεῖνοι παρεῖσαν οὗτος ἐξεῦρε καὶ διωρθώσατο· ἄξιον δὲ οὐ παρὰ τοῖς τῆς Ἀθηνᾶς τροφίμοις μόνοις ἡμῖν, ἀλλὰ

8, 19 ταὐτὰ Grauertus. ταῦτα T.
9, 1 καθ' ἕνα] καθένα T. 6 ἄρ'] ἆρ' T. 8 αὑτοῖς] αὐτοῖς T. 10 συμφέρονθ' αὑτοῖς] συμφέροντ' αὐτοῖς T. 12 καθ' αὑτοῦ Grauertus. καθ' αὑτὸν T. 19 οὐκεῖνοι] ὁ 'κεῖνοι T.

καὶ πᾶσιν ὡς εἰπεῖν ἀνθρώποις εὐδοκιμεῖν· δίκαιον μὲν ἀνθ᾽ ὧν κοινῇ πάντας λειτουργεῖν ἀναγκάζει, ὅπερ ἐστὶ δημοκρατουμένων ὡς ἀληθῶς καὶ τὴν ἰσότητα διὰ πάντων τιμώντων, ἀλλὰ μὴ δι᾽ ἀτελείας τὴν ἀναγκαίαν καὶ δημοτελῆ ταύτην εἰσφορὰν παραιτεῖσθαι, ὥσπερ δεδιότας μὴ δόξωμεν εὖ ποιεῖν τὴν ἡμῶν αὐτῶν. καίτοι πῶς οὐκ ἄτοπον καὶ τοῦ δικαίως ἔχοντος πόρρω τῶν μὲν παρ᾽ αὐτῆς ἀγαθῶν ἐξ ἴσης ἡμᾶς ἀπολαύειν ἔχειν, ἡμᾶς δ᾽ οὐκ ἐξ ἴσου τὰ πρὸς αὐτὴν διακεῖσθαι, ἀλλὰ τοὺς μὲν λειτουργεῖν, τοὺς δὲ μή; καὶ παραπλησίους ἀλλήλοις ὄντας τῇ πρὸς ταύτην εὐνοίᾳ, ἐνταῦθα μόνον τὴν ἰσότητα φεύγειν; καὶ
(10) πολέμου μὲν ἐπιόντος πάντας ὑπὲρ αὐτῆς κινδυνεύειν αἱρεῖσθαι καὶ τῆς αὐτῆς ἔχεσθαι προθυμίας, ἐν δὲ τοῖς ἐλάττοσι τῶν πραγμάτων καὶ κίνδυνον μὲν οὐδ᾽ ὁντινοῦν οὐδὲ πόνον, ὠφέλειαν δ᾽ ὅτι πλείστην τῇ πόλει καὶ ἡμῖν προξενοῦσιν, ἔπειτα πολίτας ὡς εἰπεῖν ἐξ ἡμισείας ὁρᾶσθαι; συμφέροντα δὲ μὴ μόνον τῷ συστάσεις ἀτεχνῶς πολιτειῶν. τὰς λειτουργίας εἶναι καὶ θαυμαστὰς καὶ μεγίστας πρὸς ἐπίδοσιν ἀφορμάς, ἀλλὰ καὶ ὅτι μηδενὸς μὲν ἀτελοῦς ὄντος, ὡς ἔφην, πάντες λειτουργήσουσιν, ἐὰν δὲ ἀτελείας μετέχωσι τινές, οὐδὲ εἷς. εἰ τοίνυν ᾧ μὲν χείρω τὰ τῆς πόλεως εἶναι συμβαίνει καὶ πρὸς φθορὰν αὐτῇ μᾶλλον ἢ δόξαν ἑτέροις, τοῦτο τοῦ μηδενὸς ἄξιον χρῆσθαι, ὃ δὲ μείζω ταύτην ἐπιφανῶς καὶ βελτίω ποιεῖ καὶ τοῖς ἅπασιν εὐθενοῦσαν, τοῦτ᾽ ἀνάγκη πᾶσα περὶ πάνυ τοι πολλοῦ πεποιῆσθαι, εἴ γ᾽ ἡμῶν αὐτῶν λόγος ἡμῖν· οὔτ᾽ ἀτελεῖς τινας εἶναι τὸ παράπαν προσῆκεν, ὡς οὐ μικρὰν ταύτην οὖσαν τοῖς πράγμασι βλάβην, ὅ τε νόμος οὕτω διὰ πάντων ἡμῖν συμφορώτατος ὤν, ὡς ἐξ Ἀπόλλωνος 10
ἥκων, δίκαιος ἂν εἴη μετὰ παντὸς νοῦ συγκεχρωηκότος κύριος εἶναι καὶ τοῖς πᾶσι κρατεῖν.

Χωρὶς δὲ τούτων ἐκ μὲν ἀτελείας οὐδ᾽ ὁτιοῦν ἔνεστι κέρδος τῇ πόλει, πλὴν τοῦ χάριν ἔχειν ἐντεῦθεν ἀποδιδόναι· ἀλλ᾽ οἱ ταύτην εἰληφότες τρυφῶσιν, αἱ δὲ λειτουργίαι αὐτῇ τε ταύτῃ τὰ μέγιστα πάντων λυσιτελοῦσιν, ἐξ ὧν αὔξεται συγκροτοῦσαι, τοῖς τε δρῶσιν αὐτοῖς ἰδίαν

10, 13 εὐθενοῦσαν] εὐθηνοῦσαν T.

παρέχουσι δόξαν τὴν ὑπὲρ τῆς ἐνεγκούσης σπουδήν. καὶ μὴν εὐεργέτας μὲν ἔστι καὶ ἄλλως ἀμείβεσθαι, πόλιν δὲ δίχα λειτουργιῶν σωζομένην οὐδ' ἐν τοῖς μύθοις ἐγνώκειν. ἀλλὰ κἂν ἥρως οἰκήτορας ἴσχῃ, κἂν τὴν ἀγαθὴν τύχην συναιρομένην, οὐδὲν αὐτῇ πλέον ἔσται μὴ ταυτησὶ τῆς
(11) ξυμμαχίας ἐνούσης. εἰ γὰρ μήτε δημαγωγεῖν δεῖ μήτε στρατεύεσθαι μήτε τριηραρχεῖν μήτε μηδὲν τῶν πάντων ποιεῖν ἃ λειτουργιῶν μέν ἐστιν εἴδη, συστάσεις δ' ὡς ἀληθῶς τῶν πόλεων, οὐδὲν ἀλλ' ἢ σώματι δόξομεν ἐοικέναι χειρῶν τε καὶ ποδῶν καὶ προσέτ' αἰσθήσεων ἀποροῦντι. ὃ γὰρ πάντα ταῦτ' ἔστ' ἐκείνῳ, τοῦτο τῇ πόλει τὸ δι' ὧν ἔφην ὑπηρετεῖσθαι. οὐ μὴν ἀλλ' εἰ καὶ μηδ' εἰστισοῦν μὲν τὸ παράπαν ἐλείπεθ' ἕτερος ἀποδόσεως τρόπος, ἀλλ' εἰς ἀτέλειαν πάντ' ἦγε, καὶ τοῦτ' ἦν μόνον γέρας τοῖς εὖ πάσχειν ἀξίοις ὧν ἕνεχ' ὑπὲρ ἡμῶν προτεθύμηνται, βεβλάφθαι δ' ἂν οὐ μικρῶς ἐντεῦθεν ἡ πόλις ἐδόκει, οὐδ' οὕτως ἄν μοι δοκοῦμεν, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ τοιαῦτ' ἀνασχέσθαι, οὐδὲ διὰ τὴν πρὸς τὸν δεῖνα ἢ τὸν δεῖνα χάριν αἴτιοι ζημίας καθεστάναι τῇ πόλει, ἀλλὰ τῶν ὑπὲρ αὐτῆς δικαίων καὶ τοῦ κοινῇ λυσιτελοῦντος πάντα θέμενοι λόγον τὸ κατ' αὐτοὺς τούτους εἰκότως ἐᾶσαι, ἱκανὴν ἔχοντας χάριν τὸ πόλεως τοιαύτης εὐεργέτας φανῆναι· ἐπεὶ καὶ οὕτω τιμᾶσθαι μᾶλλον περίεστ' αὐτοῖς, τῷ δοκεῖν μὴ τὴν ἀρετὴν ὥσπερ ὤνιον πεποιῆσθαι, μηδ' ὁτουοῦν ἑτέρου, ἀλλὰ μεγαλοψυχίας ἕνεκα τῆς αὑτῶν καὶ τῆς πρὸς τὴν πόλιν εὐνοίας ταῦτ' ἐνδεδεῖχθαι, καθάπερ ἐπὶ τοῦ 11
Μηδικοῦ πολέμου Θεμιστοκλεῖ τῷ Νεοκλέους ὑπῆρξε καὶ Παυσανίᾳ τῷ Κλεομβρότου, καὶ ἔτι πρὸ τούτων τῷ γ' Εὐφορίωνος Κυναιγείρῳ καὶ Καλλιμάχῳ τῷ Πολεμάρχου· οὗτοι γὰρ πάντες οὔτε πρὶν ἧφθαι τῆς μάχης πρὸς ἀριστείων μέγεθος ἀφεορακότες ἐθάρρησαν τὸν ἀγῶνα οὔτ', ἐπεὶ μηκέτ' εἶναι κινδυνεύουσαν διεσώσαντο τὴν Ἑλλάδα, ἔτυχον ὧνπερ εἰκός, ἀλλ' ἀποχρῶσάν σφισιν αὐτοῖς ᾤοντο

---

11, 2 μήτε τριηραρχεῖν Grauertus. μὴ τριηραρχεῖν T. 10 ἕνεχ'] εἵνεχ' T. 20 ἕνεκα] εἵνεκα T. αὑτῶν] αὐτῶν T. 24 τῷ Πολεμάρχου] τῷ πολεμάρχῳ Grauertus, comparato Herodoto VI, 109. 114. 26 ἀφεορακότες] ἀφεωρακότες T.

δόξαν τό τε μείζω στεφάνων εἰργάσθαι τό τε δι' αὐτῶν τὴν Ἑλλάδα σεσῶσθαι.

12) Οὐ μὴν ἀλλ' εἰ καὶ δοίημεν εἶναί τι παρ' ἀτελείᾳ συμφέρον, ὡς ἔγωγ' οὐκ οἶμαι, ἀλλὰ πρῶτον μὲν οὐχ ὅσον ἐκ λειτουργίας, οὐδ' ὥστε καὶ παραβεβλῆσθαι, οὐδ' ἐγγύς. ἔπειτα τὸ μὲν εἰς πᾶσαν ἥκει τὴν πόλιν, τὸ δ' εἰς ὀλίγους δή τινας. καὶ τὸ μὲν ἥκιστ' ἂν λυμήναιτο παροφθέν, ἐκ δὲ τῶν μὴ λειτουργούντων τὰ μέγιστ' ἂν αἱ πόλεις βλαφθεῖεν. καὶ νὴ Δία γε τὸ μὲν ταυταισὶ ξυνυπέστη· ἅμα γὰρ πόλις, ἅμα καὶ λειτουργεῖν· μᾶλλον δὲ ἢν ἀκριβῶς ἐξετάσῃς, εὑρήσεις καὶ τὸ τὰς πόλεις ἐξ ἀρχῆς γεγενῆσθαι λειτουργίαν ἄντικρυς οὖσαν καὶ οἷόν τινα κοινὴν τῶν ἀνθρώπων ἐπὶ συστάσει τῆς οἰκουμένης δήπουθεν εἰσφοράν· ἀτέλεια δέ τισιν ὕστερον κατὰ τὸ τῆς γνώμης ἐπινενόηται δόξαν, ὥσπερ τι φιλοτιμίας φάρμακον. ὅσον δὴ καὶ μέγιστον καὶ ἀναγκαιότατον τοῦτο καὶ τοῖς ἅπασιν ὑπεραῖρον, τοσοῦτον δεῖ καὶ ἡμᾶς παντὸς μᾶλλον προστίθεσθαι καὶ σεμνύνειν. καὶ μὴν εἰ τῶν πραγμάτων ἐκεῖνα πλείονος ἄξια καὶ τούτοις ἐπαίνων διαφερόντως προσῆκεν ὧν ἡγεμόνες θεοί, οὐκ ἂν φθάνοιμεν εὖ ἴσθι τὸ λειτουργεῖν ὅτου τις ἂν εἴποι μεῖζον τιθέντες. μὴ γὰρ οὖν οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, ὥσπερ τὰ ἄλλα καὶ τοῦθ' ἡμῖν ἐξευρῆσθαι μηδ' ἐντεῦθεν τὴν ἀρχὴν ἐσχηκέναι, ἀλλ' εἴπερ τι παρ' ἀνθρώποις διοπετές, καὶ τοῦτ' ἐκεῖθεν ἀφῖχθαι· εἴπερ οἱ τῶν ὅλων κύριοι θεοί τε καὶ δαίμονες οὐ μόνον 12 οἷς τὸ πᾶν ἐξ ἀρχῆς ὑπεστήσαντο, μεγάλην καὶ θαυμαστήν τινα ταύτην εἰσήνεγκάν τε καὶ προὔφηναν λειτουργίαν τῷ βίῳ, ἀλλὰ καὶ νῦν οὐχ ἥκιστα τοῦτο δρῶσιν οἷς ἡμῶν τοσοῦτον αὐτοῖς ἑκάστοτε μέλει καὶ οὕτω κηδομένως ἔχουσιν ὡς μηδὲν τῶν εἰς ἡμετέραν σύστασιν καὶ σωτηρίαν ἡκόντων μηδὲ καθ' ὅντινα δήποτε τρόπον ἐλλείπειν, ἀλλ' ἀπὸ πολλοῦ τοῦ μείζονος ἢ ὥστε καὶ προσδοκᾶν
13) ἐξεῖναι τὰ παρ' ἑαυτῶν χορηγεῖν, δι' ἀλλήλων ἄμφω

---

29 αὐτῶν] αὐτῶν T.

12, 2 ἔγωγ'] ἐγώγ' T. 5 λυμήναιτο] λυμήνηται T. 8 τὸ λειτουργεῖν Niebuhrius. 15 τοσοῦτον] τοσοῦτο T. 27 τοσοῦτον] τοσοῦτ' T.

δεικνύντες, διὰ μὲν τῆς ἀκαμάτου καὶ συνεχοῦς ταύτης προνοίας τὸ δημιουργοὶ γεγενῆσθαι, διὰ δ' αὖ τοῦ γενέσθαι δημιουργοὶ τὸ καὶ πρὸς ἀνάγκην ἔχειν ἡμῶν ὅσαι ὧραι φροντίζειν, ἵνα μὴ δίχα τῆς τούτων προνοίας εἰς τὸ μηδὲν ἥκωμεν, καθάπερ τι σκάφος κυβερνητῶν ἀποροῦν.

Καίτοι ὅταν ἐξ ἀτελείας, ὦ Δημόσθενες, τὰ τῶν λειτουργιῶν κατὰ μικρὸν ὑπορρέῃ καὶ τούτων αὐτὸς ᾖς σπουδαστής, πῶς οὐκ ἀτεχνῶς τοῖς θεοῖς πολεμεῖς, ἃ κεῖνοι καλῶς ἔθεσαν, ταῦτ' αὐτὸς οἷς ποιεῖς διαφθείρων καὶ τήν γε χάριν αὐτῶν τὸ κατὰ σαυτὸν ἀνατρέπων; εἰ τοίνυν τοῖς τὸ νόμισμα διαφθείρουσι κατὰ τὸν σὸν λόγον θάνατος ἡ ζημία, τίνος ποτ' ἄρ' αὐτὸς δίκαιος ἂν ἡμῖν εἴη τιμᾶσθαι δι' ὧν ἀτελείας ἀντέχει, τά τε τῶν θεῶν ἀτιμάζων τήν τε πόλιν ἅπασαν διαφθείρων; καί, φησίν, ὑπὲρ γὰρ ὑμῶν καὶ τῶν ὑμετέρων αὐτοῖς προσηκόντων διαναστῆναι, καὶ ὧν ἑκάστοτ' ἀπολαύοντες διαγίγνεσθε· οὐδὲ γὰρ οὐδ' ἂν εἷς ἔτ' ἀξιῶσαι τοῦ νόμου κρατοῦντος μεγαλοψυχίᾳ πρὸς τὴν πόλιν ἐν τῷ τῶν πραγμάτων ἀπαιτοῦντι κεχρῆσθαι καὶ φιλοτιμήσασθαι τὰ εἰκότα, ἀλλὰ τῆς ἀτελείας ἀναιρουμένης συναναιρήσεται πάντως καὶ τὸ ὑπὲρ αὐτῆς ἐθέλειν ὁντινοῦν προθυμεῖσθαι· τὸ δ' οὐ μόνον κέρδους ἡμᾶς, ἀλλὰ καὶ δόξης ἀποστερεῖ, ὧν χάριν πάντα καὶ ποιεῖν καὶ λέγειν οἴεσθε δεῖν· εἰ τοίνυν μέλει τούτων ἡμῖν, καὶ ἀτελείας ἐξ ἀνάγκης μελήσει. ὅτι μὲν οὖν, ὦ Δημόσθενες, οὐδένες τῶν πάντων, ὡς σὺ φῄς, ἵν' ἀτελεῖς ὦσι, φιλοτιμίας ἅπτεσθαί μοι δοκοῦσιν, ἀλλὰ δόξης ἕνεχ' αὐτῶν καὶ τοῦ πρὸς τὴν πόλιν ζήλου καὶ φίλτρου, δῆλον ἔκ τε τῶν μετὰ τὸ πάνυ τοι πεφιλοτιμῆσθαι οὐδὲν οὐδ' ὁτιοῦν τὸ παράπαν λαβεῖν βουληθέντων, ἀλλ' αὐτὸ τοῦτο μόνον ἀποχρῆν ἡγουμένων, ὅτι περ
(14) οὕτως αὐτοῖς τὰ πρὸς τὴν πόλιν ὑπῆρξεν· ἔκ τε τῶν ἄλλου δή τινος, ὄντων μυρίων οἷς τοὺς ὑπὲρ αὐτῆς ἡ πόλις

---

13, 4 δίχα τῆς Grauertus. τῆς δίχα T. 8 ᾖς Grauertus. ᾗ T. 9 ἃ κεῖνοι] ἃ 'κεῖνοι T. 14 ἀντέχει] ἀντέχῃ T. 15 φησίν] φησι T. 18 ἀξιῶσαι] ἀξιώσαι T. 27 ὦσι] ὦσιν T. 28 ἕνεχ' αὐτῶν] εἵνεκ' αὐτῶν T.

14, 2 αὐτῆς] αὐτῆς T.

Digitized by Google

δωρεῖται, ἀλλ᾽ οὐκ ἀτελείας ἠξιωμένων. ὅτι δ᾽ εἰ καὶ τοῦτ᾽ ἦν, προτετιμῆσθαι ἔδει τὸ τῇ πόλει ξυμφέρον, καὶ τούτου μάρτυς αὐτὸς, παντὸς ὁτουοῦν τὸ συμφέρον ἀεὶ προτιθεὶς καὶ τούτῳ τὰ πρεσβεῖα διδούς· ἐπεὶ καὶ Κερκυραίους, ἐκσπόνδους ὄντας, συμμάχους εἱλόμεθ᾽ ἡμῖν αὐτοῖς, συμφέρειν κρίναντες, ἐπειδήπερ ἴσχυον.

Ἴσως τοίνυν κἀκεῖνο Δημοσθένης ἤ τις ἄλλος ἐρεῖ, ὡς εἰ μέν ἐστι λυσιτελὲς καὶ μάλιστα πολιτείᾳ προσῆκον ἑνὶ μηδενὶ τῶν πάντων ἀτελείας μετεῖναι, τί μὴ μετὰ τῶν ἄλλων καὶ τοῦτο τοῖς παλαιοῖς ὥρισται νόμοις, τὸ κοινῇ συμφέρον σκοποῦσιν; νῦν δ᾽ οἷς πολλὰ καὶ καλὰ διεξιόντες τοῦτ᾽ οὐκ ἠξίωσαν λόγου, φαίνονται τοῦθ᾽ ὡς ἀλυσιτελὲς παρεικότες· εἰ τοίνυν ἃ κελεύουσιν οὗτοι, ταῦτα δεῖ περὶ πλείστου ποιεῖσθαι, καὶ ὧν μνησθέντες οὐκ ἔγνωσαν οὐδ᾽ ἡμᾶς μεμνῆσθαι προσήκει, ἵνα μὴ νόμους τιμῶντες νόμους ἀτιμάζειν δόξωμεν. ἀλλ᾽ ὦ τᾶν, πρῶτον μὲν οὐ πάνθ᾽ ἁπλῶς ἃ δεῖ τοῖς νόμοις ἐντέτακται, οὐδὲ διὰ πάντων χωροῦσιν, ὡς μηδὲν ἔξω τῆς τούτων διαγνώμης ἑστάναι, ἀλλ᾽ ἔσθ᾽ ἃ καὶ τούτους ἐκφεύγει· ἐξεῖναι γοῦν αὐτῶν ἀφελεῖν καὶ προσθεῖναι, ἐάν τι μὴ καλῶς ἔχον ᾖ, ἐν αὐτοῖς τούτοις εἴρηται· τὸ δ᾽ ἔστι σφόδρα διατεινομένων μὴ διὰ πάντων ἀφῖχθαι. ἔπειτα, ὦ ἄνδρες 14 Ἀθηναῖοι, οὐχ ὅτι μηδ᾽ εἰστισοῦν τοῦτ᾽ ἔφη τῶν νόμων σκοπεῖσθαι δεῖ, ἀλλ᾽ εἰ καὶ κάλλιστα καὶ δικαιότατα ἔχει, καὶ ταύτῃ τὰς ψήφους τίθεσθαι. οὕτω δ᾽ ἀεὶ καὶ κάλλιστα ἔχει αὐτό τε ἑαυτοῦ καὶ τῶν ἄλλων, ἔκ τε ὧν αὐτὸς ἔφην ἔκ τε ὧν ὁ πολὺς καὶ παντοδαπὸς ἔδειξε χρόνος, ὥστε δέδοικα μὴ καὶ τῶν νόμων αὐτῶν τιμιώτερον δόξῃ αὐτῷ τε τούτῳ καὶ τῷ πρεσβύτερον εἶναι καὶ πρὶν ἢ 15) νόμους γενέσθαι τοῦτ᾽ ἐν ἀνθρώποις ἐνεῖναι. ἔτι τοίνυν οὐ πᾶν ὃ τούτοις παρεῖται, τοῦτ᾽ ἤδη καὶ φαῦλον εὐθὺς, οὐδὲ παρὰ τοῦτο τῶν ἀπειρημένων κεχρῆσθαι, ἀλλ᾽ ἃ λυμαίνεσθαι τοῖς πράγμασι πέφυκεν ἀτεχνῶς καὶ προσεγκαλοῦντας ἅπαντας ἴσχει, ὥσπερ αὖ τοὐναντίον πολλοῦ

---

5 αὐτὸς] αὐτὸς ὁ δῆμος Niebuhrius. 7 συμμάχους] Confer cum gr. Ulpianum praefat. ad Olynth. sive potius Thucydidem I, 44. Mai. 18 τᾶν] τὰν T. 27 ἀεὶ] αἰεὶ T.

Digitized by Google

τινος ἄξιον· ὅθεν ἡμῖν περίεστι κέρδος, ἐάν τε φάσκωσι τοῦθ' οἱ νόμοι ἐάν τε καὶ μή.

Εἰ δὲ ταῦθ' οὕτω καὶ τὸ συνοῖσον πανταχῇ δεῖ ζητεῖν, περίεργον ἂν εἴη, ὅταν περὶ ὁτουοῦν ἐξέτασις ᾖ, παρέντας ὅπως τοῦτ' ἔχει ζητεῖν, ἔπειτα νόμων μεμνῆσθαι. ὡς ἔστι γε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ νόμων ἐνίους ἀλυσιτελεῖς δή τινας εὑρηκέναι, νόμων δὲ ἄλλως σώζοντας τάξιν, καὶ πράγματα ἄττα νόμων μὲν ἐκτὸς ὄντα, νόμων δὲ οὐδὲν ἧττον πρὸς τὴν ἀγαθὴν ἡμῖν συμπράττοντα τύχην, καὶ δεῖ περὶ βελτίονος ταῦθ' αἱρεῖσθαι τῶν μὴ συμφερόντων νομίμων. ἐπεὶ καὶ τὸ γεωργεῖν καὶ φυτηκομεῖν καὶ τέχναις κεχρῆσθαι οὐχ ὅτι μὴ τὴν ἀρχὴν ἐξεῦρον οἱ νόμοι, διὰ τοῦτο καὶ ἡμᾶς τούτων ἀπέχεσθαι δεῖ, ἀλλ' ὅτι μόνα ταῦτα τὸν τῶν ἀνθρώπων συνίστησι βίον καὶ τῶν καθ' ἡμᾶς πραγμάτων ἔχει τὰς ἀφορμάς, καὶ τούτων χωρὶς περιεῖναι καὶ ζῆν ὅλως οὐχ οἷόν τε. διὰ τοῦτο καὶ προσέχειν τούτοις παντὸς μᾶλλον ᾠόμεθα χρῆναι καὶ μηδ' ὀντινοῦν ἀφίστασθαι τρόπον, εἴ γε σώζεσθαι μέλλον ἡμῖν καὶ μὴ φανερῶς θανατῶμεν. τί οὖν εἰ καὶ τὸ λειτουργεῖν οὐκ ἐγγέγραπται νόμοις, καθάπερ ἐκεῖνα, καὶ προσέτι τὸ τρέφεσθαι καὶ καθεύδειν καὶ ὅσα κοινότατα καὶ τῷ τῆς 15 φύσεως ἐνέχεται νόμῳ; οὐ μὴν ἀλλ' εἴ τις, ὦ ἄνδρες Ἀθηναῖοι, ἀκριβῶς ἐξετάσει καὶ πάντας ὡς ἀληθῶς εὑρήσει τοὺς νόμους οὕτω περὶ τὸ λειτουργεῖν ἔχοντας, ὡς μὴ ὅτι τοὺς ἄλλους ἐξ ὧν ἑκάστοτε παραινοῦσι καὶ τῆς πολιτείας ὅπως ἄριστα ἔχει ποιοῦνται λόγον μετὰ πολλοῦ τοῦ περιόντος ἐνταῦθα παρακαλεῖν, ἀλλὰ καὶ τούτους (16) αὐτοὺς τῷ ταῦτα ποιεῖν εἰς λειτουργοῦντας, ὡς ἄν τις φῆσαι, τελεῖν.

Καὶ τί δεῖ νόμους λέγειν, ὅταν καὶ Δημοσθένης αὐτός, ὁ δι' ὧν ἀτελείας φροντίζει τὸ λειτουργεῖν πολεμῶν, φαίνηται μάλιστα πάντων τουτὶ βεβαιῶν, νῦν μὲν δημηγορῶν καὶ γράφων καὶ συμβουλεύων, νῦν δὲ πρεσβεύων καὶ χορηγῶν καὶ διὰ πάντων τουτωνὶ λειτουργῶν,

---

15, 13 ἄττα Grauertus, ἅτα T. 28 καὶ πάντας] καὶ fortasse delendum.

16, 6 φαίνηται] Legebatur φαίνεται.

Digitized by Google

καὶ οὔτε πώποτ' αὐτὸς ἀτέλειαν αἰτησάμενος οὔτε ταύτης πέρι λόγον ποιησάμενος ὁντινοῦν, πλὴν ἐν τῷ παρόντι διὰ τὸν ἑαυτοῦ καὶ Χαβρίου παῖδα Κτήσιππον τουτονί. ἄνευ δὲ τούτων εἰ κατ' αὐτοῦ τοῦτ' ἰσχυρὸν ἔχειν νομίζεις, ὅτι μὴ τοῖς νόμοις ἐγγέγραπται, λανθάνεις οὐδὲν ἧττον καὶ τά γε σὰ παιδικὰ ταύταις ὑποβάλλων ταῖς ψήφοις. καὶ τί τούτου μᾶλλον ἐντεῦθεν ἢ τῆς σῆς ἀτελείας κατηγορεῖς; οὐ γὰρ ἡ μὲν κατὰ νόμους, τὸ δ' οὔ, ἀλλ' ἐξ ἴσης καὶ ἄμφω τῶν νόμων ἀποστατεῖ· καὶ οὐδὲν παρὰ τοῦτ' οἶμαι βελτίω ταῦτ' εἶναι καὶ χείρω καὶ αὐτὰ καθ' αὑτὰ καὶ πρὸς ἄλληλα· ἐπεὶ ἄλλως γε τοσοῦτον ἀτελείας μεῖζον τὸ λειτουργεῖν ὡς μηδὲ παραβάλλειν ἐξεῖναι. τὸ μὲν γὰρ καὶ δίκαιον καὶ συμφέρον ὅτι μάλιστα πόλει καὶ τῆς καλλίστης καὶ γιγνομένης αἰτιώτατον τύχης, καὶ προσέτ' ἐξ ἀρχῆς καὶ παρὰ πάντα δή που τὸν χρόνον κεκρατηκός· ἀτέλεια δὲ μὴ μόνον χθὲς καὶ πρώην εὑρέθη, ἀλλὰ καὶ τοιοῦτόν ἐστ' οὐδὲν τὸ παράπαν τά γε πρὸς πόλιν πλὴν αὐτὸ τοῦτο μόνον, ὡς ἔφην, εἰς ὄνησιν μὲν τοῖς χρωμένοις, τῇ πόλει δὲ πᾶν τοὐναντίον, ὥστ' εἶναι πᾶσιν ἐντεῦθεν εἰκότως περὶ αὐτῶν ἀποφαίνεσθαι, τὴν μὲν οὕτως ἔχουσαν, εἰ δὴ τοῖς νόμοις ἐνῆν, διαγεγράφθαι χρῆναι 16 καθάπαξ τῶν νόμων· τὸ δ' ὅτι τοιοῦτον, ἐξ ἀντιστρόφου πᾶσιν ἐγγεγράφθαι τοῖς νόμοις καὶ πλείστων ὅσων ἠξιῶσθαι τῶν ψηφισμάτων, μᾶλλον δὲ νόμον αὐτὸ γεγενῆσθαι. ὃ πάλαι προσῆκον νῦν ὁ βέλτιστος οὑτοσὶ Λεπτίνης, τοῦτο μὲν ὑπὸ θεῶν κινηθείς, τοῦτο δὲ καὶ τούτοις εἴξας τοῖς λογισμοῖς, ἅθ' ὑπὲρ πάντας φιλόπολις ὤν, ὥσπερ ὄφλημά τι κοινὸν ἀποδεδώκει τῇ πόλει, γράψας μηδένα τῶν πάντων ἀτελείας μετέχειν, κἂν εἰ πολλάκις εὐεργετῶν εἴη τὴν πόλιν· οὐ μόνον ἵνα καὶ τῆς ἐκ τούτων προσαπολαύοι συντελείας ἡ πόλις καὶ τὸ λειτουργεῖν ἐξ ὁλοκλήρου γίγνοιτ' αὐτῇ, ἀλλ' ὅτι καὶ δέος οὐ μικρὸν ἐντεῦθεν ὑφώρμει μὴ προϊόντος ἄρα τοῦ χρόνου καὶ τῆς ἀτελείας οὕτω διὰ πάντων χωρούσης ἐκλίπῃ καθάπαξ τὸ λειτουργεῖν. καὶ τί πλέον τηνικαῦτ' ἔσται τῇ πόλει, περὶ τὰ μείζω βλαφθείσῃ καὶ ὧν ἄνευ οὐχ οἷόν τε σεσῶσθαι; ψυχὴ γὰρ πόλει τὸ

11 Χαβρίου] Χαυρίου T. 29 εἰ δὴ] εἰ δὲ T. εἰ καὶ Grauertus.

λειτουργεῖν· καὶ ὡς οὐ περιεῖναι καὶ ζῆν πέφυκε σῶμα ψυχῆς μὴ παρούσης, ὡς δὲ καὶ πόλις μοι δοκεῖ λειτουργιῶν ἀποροῦσα· εἰκότως· εἰ γὰρ χρειῶν οὐδένες ἀνθρώπων ἐλεύθεροι, πλὴν θεῶν, αὗται δὲ τὰς λειτουργίας ἀναγκαίας ὡς οὐκ οἶδ' εἴ τι ποιοῦσι, τηνικαῦθ' ἡμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, λειτουργιῶν οὐ δεήσει, ἡνίκα μηδὲ χρειῶν· εἰ δὲ χρειῶν ποτ' οὐχ οἷόν τε, πῶς οἷόν τε λειτουργιῶν συνιδεῖν οὐκ ἔχω· ὧν διὰ τὰς Δημοσθένους ἀτελείας ἡ πόλις ἐκπεσεῖν κινδυνεύει.

Ἀλλ' ἔδει, φησίν, ἀναμεμενηκότα τὸ μέλλον καὶ τὴν τοῦ λειτουργεῖν ἀπορίαν τηνικαῦτα εἰσάγειν τὸν νόμον. νῦν δ' οἷς πρὶν ἢ τοῦτο γενέσθαι νομοθετεῖ, ἔοικεν οὐκ ἐν καιρῷ προὔχεσθαι ταῦτα. τί οὖν κωλύει καὶ ἡμᾶς, ὦ Δημόσθενες, τοῖς αὐτοῖς πρὸς σὲ τούτοις ἐξ ἀντιστρόφου χρήσασθαι λόγοις, καὶ δικαιότερόν γε ἢ σύ; ὡς ἔδει καὶ σέ γ' αὐτὸν ἀναμεμενηκότα τὸ μέλλον, εἴ γε καὶ τοῦθ' ὅλως ἐπὶ τῶν αὐτόθεν μάλιστα δήλων λέγειν ἐχρῆν, τηνικαῦτ' ἐπιχειρεῖν ἀντιλέγειν τῷ νόμῳ· νῦν δ' οἷς αὐτὸν
(18) πρὶν ἢ τοῦτο γενέσθαι διώκεις ἔοικας οὐκ ἐν καιρῷ τὴν γραφὴν πεποιῆσθαι. εἶτα θαυμάζειν ἔπεισί μοι, πῶς οἴει, ὅτι σοι ταῦτ' ἔπεισι λέγειν, οὐ μόνον ὅτι τοῖς οἰκείοις πτεροῖς καὶ λόγοις ἁλίσκει, ὃ δεινότατόν ἐστι πάντων καὶ συμφορὰ τοῖς χρωμένοις, καὶ προσέτ' αὐτὸς διαφερόντως κακίζεις, τὸ μετὰ τὰ πράγματα λέγω τῷ βουλεύεσθαι χρῆσθαι, τούτου νῦν ἡμᾶς ὡς δὴ χρηστοῦ τινος ἔχεσθαι πείθων, ἀλλ' ὅτι καί, δεινὸν εἶναι φάσκων, λανθάνεις σαυτὸν ἃ μὴ ἔξεστι φάσκων. οὔτε γὰρ οὐδείς, οἶμαι, τῶν πάντων φρενῶν κύριος ὤν, ἐξόν, ὅπως μὴ πείσεται κακῶς, εὖ βεβουλεῦσθαι, ὁ δ' ὅπως πείσεται κακῶς πρόσθεν ἐάσας, ἔπειθ' ὑπὲρ ἀπαλλαγῆς ἕλοιτ' ἂν βεβουλεῦσθαι, ὅτ' οὐδὲ τοῦτ' ἴσως ἐξέσται· οὔθ' ἡμεῖς, τὴν κάκιστ' ἀπολουμένην ἀτέλειαν νῦν ἔχοντες ἐκποδὼν πεποιῆσθαι, εἶτα διὰ τοὺς σοὺς λόγους ἀναμενοῦμεν τὸ μέλλον, ὥσπερ ὅ τί ποτ' ἐστὶν ἀγνοοῦντες καὶ διὰ τοῦτο τῆς ἐκεῖθεν δεόμενοι πείρας. ἄνευ γὰρ τοῦ τῆς ἐσχάτης παραπληξίας

18, 3 ταῦτ' ἔπεισι] ταῦτ' ἔνεστι Grauertus. 4 ἁλίσκει] ἁλίσκῃ T.

τοῦτ' ἄντικρυς εἶναι, περὶ ὧν μάλιστα ἴσμεν, ταῦτ' ἀφέντας ἃ οὐκ ἴσμεν διώκειν, οὐδὲ τοὺς λόγους καθ' οὓς ἔδει ταῦθ' αἱρεῖσθαι γιγνώσκειν ἔχω. εἰ μὲν οὖν ὡς μηδὲν μηδέπω περὶ ἀτελείας σαφὲς εἰδότας παραπέμπεις τῷ χρόνῳ καὶ ταῖς ἔπειτα ψήφοις, ἔοικας ἀγνοεῖν ὅτου χάριν τοὺς κατ' αὐτῆς ἤδη κεκινήκαμεν λόγους· εἰ δ' ἐπισταμένους, ὡς ἀληθῶς οὐδὲν ἄλλο μοι δοκεῖς συμβουλεύειν ἢ ἡμῶν αὐτῶν μετὰ τὸ καθάπαξ ἐφθάρθαι πεποιῆσθαι φροντίδα. ἀλλ' οὔτε σύ γ' αὐτὸς, εὖ ἴσθι, ἄν σέ τις ἀνέλῃ, ἔπειτ' εἰς Ἄρειον πάγον οἷός τ' ἂν εἴης τουτονὶ προκαλεῖσθαι· οὐ μᾶλλόν γε ἢ οἱ μηκέτ' ὄντες τοὺς ἔτ' ὄντας ἀδικίας εἰσάγειν· τῆς τ' ἀτελείας, ὡς ἔφην, ἀνατετραφυίας τὴν πόλιν οὐδὲν πλέον ἔσται πρὸς τὸ τὴν μὲν ἐξελεῖν βεβουλῆσθαι, ἡμᾶς δ' αὐτοὺς ἀνασώσασθαι, ἀλλὰ μεθ' ἡμῶν ἀνάγκη καὶ ταύτην ἐφθάρθαι, καθάπερ τινὰ νόσον συνοιχομένην σώματι· ὥστ' οὐχ ὁρῶ τίν' ἔχει λόγον 18
ὁ περὶ τοῦ μέλλοντος λόγος. διὸ καὶ τὸ νῦν ἀπολέσομεν κἀκεῖνο οὐχ ἕξομεν. οὐδὲ γὰρ οἷόν τε, ὡς αὐτὸς λέγεις, ἂν τὰ παρόντα τις ἀναλώσῃ πρὸς ἃ μὴ δεῖ, τῶν απόντων εὐπορῆσαι πρὸς ἃ δεῖ· ἀλλ' ἕως ἂν σώζηται τὸ σκάφος, ἄν τε μεῖζον ἄν τε ἔλαττον ᾖ, τότε χρὴ καὶ ναύτην καὶ κυβερνήτην καὶ πάντ' ἄνδρα ἐφεξῆς πρόθυμον εἶναι, καὶ ὅπως μηδεὶς μήθ' ἑκὼν μήτ' ἄκων ἀνατρέψει τοῦτο σκοπεῖσθαι, ἐπειδὰν δὲ ἡ θάλαττα ὑπέρσχῃ, μάταιος ἡ σπουδή· εἰκότως. φαρμάκων γοῦν καὶ ποτῶν καὶ σιτίων, πρὶν μὲν ἡμῖν πεπονηρεῦσθαι τὸ σῶμα, μετέχειν οἰόμεθα δεῖν εἰς τὸ μηκέτ' ἂν ἐνταῦθ' ἐμπεσεῖν, ἂν δ' ἄρα πρότερον ἡ νόσος ἐπίῃ, οἱ δὲ πῶς οἴει καὶ τύχην καὶ ἡμᾶς αὐτοὺς δυσχεραίνομεν; καίτοι ὅταν, ὦ Δημόσθενες, σωμάτων καὶ νεῶν καὶ τοιούτων δή τινων ὅπως ἀεὶ κάλλιστα ἔχῃ τοσοῦτον ποιώμεθα λόγον, ἢ πού γε πόλεως τοσαύτης καὶ τηλικαύτης καὶ οὕτω διὰ πάντων κρατίστης, ὡς καὶ θεοὺς, ἵνα μηδὲν πλέον εἴπω, περὶ αὐτῆς ταύτης πρὸς ἀλλήλους ἐρίσαι, οὐδ' ἔστιν εἰπεῖν ὅσον ὀφείλομεν.

---

19, 16 ἀεὶ] αἰεὶ T. ἔχῃ] ἔχει T. 19 ταύτης] ταύτην T: nisi ταύτην delendum. ἐρίσαι] Apollodor. Biblioth. III. 14. Ovid.

Ἔτι τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ μὲν ἦν καὶ ἀτελείας ἀντιποιεῖσθαι καὶ μηδὲν εἰς τὸ λειτουργεῖν βεβλάφθαι τὴν πόλιν, μανία σαφὴς ἂν ἦν ταῦτα κωλύειν αἱρεῖσθαι, ἃ μήτε τῷ κοινῷ λυμαίνεται καὶ τοῖς μετασχοῦσιν ἔνεστι κέρδος. ὅτε δ' ἀνάγκη διὰ τὰς ἐν μέρει χάριτας κοινὴν ἡμᾶς ὑποστῆναι ζημίαν, πότερον βέλτιον καὶ λυσιτελέστερον πάντων ὁμοῦ ἢ λόγον ὀλίγων δή τινων σχεῖν; ἄνευ δὲ τούτων ἀτελειῶν μὲν ἐκποδὼν γενομένων οὐδ' ἡτισοῦν ἔσται ταῖς πόλεσι βλάβη, ἀλλὰ καὶ κέρδος οὔτοι μικρὸν τὸ πλείους ἂν ἐντεῦθεν τὰς λειτουργίας γενέσθαι, ἐξ ὧν αἱ πόλεις συνίστανται· εἰ δ' αἱ λειτουργίαι τοῦτ' αὐτὸ πείσονται, οἰχήσονται μὲν αἱ πόλεις, οἰχήσεται δὲ καὶ τὰ τῶν πόλεων ἆθλα. οὐ γὰρ μόνον ἐξ ἀτελειῶν
(20) οὐδὲν αὐταῖς ἔπειθ' ὑπάρξει, ἀλλὰ καὶ τὸ τάχιστ' ἐφθάρθαι μᾶλλον αὐταῖς προσυπάρξει, εἴπερ ἐκ μὲν λειτουργιῶν ταῖς πόλεσι σωτηρία, ἐν δὲ τῷ ταύτας εὖ ἔχειν καὶ τὸ ταῦτ' ἔχειν διδόναι προσέσται. εἶτα τούτων οὕτως ἐχόντων καὶ τοσαύτης ἑκατέρων οὔσης διαφορᾶς, ὡς τὸ μὲν πλείστην ὄνησιν ἔχειν, τὸ δὲ πᾶν τοὐναντίον, ἔπειθ' ἡμεῖς Δημοσθένει πεισθέντες ἢ οὐκ οἶδ' ὅτῳ καὶ φῶ, οὐχ ὃ πρὸ ἡμῶν ἐστιν ἀτεχνῶς, ἀλλ' ὃ καθ' ἡμῶν αἱρησόμεθα; καὶ ὃν ἐξ ἀρχῆς ὑπὲρ τῆς ἡμετέρας αὐτῶν ἀσφαλείας τε καὶ προνοίας ἔδει νόμον τεθεῖσθαι, καὶ νῦν αὐτῷ τὰ πλεῖστον φασὶν ἄξια χρῆσθαι, τούτῳ χαίρειν εἰπόντες τὴν ἐπὶ καθαιρέσει τῆς πολιτείας ἀτέλειαν ὡς πάνυ λυσιτελῆ νομιοῦμεν; δι' ἧς οὐδ' αὐτὴν ταύτην, ὡς ἔφην, ἔτ' ἔχειν τοῖς βουλομένοις ἐξέσται, ἀλλὰ πρὸς σφίσιν αὐτοῖς καὶ τήνδε προσαπολοῦσιν. καὶ τίσιν οὐκ ἂν δόξαιμεν καταδαιμονᾶν, εἰ τὸ συμφέρον ἡμῖν παντὸς μᾶλλον εἰδότες

---

Metam. VI, 70. Hygin. fab. 164. Visitur haec deorum contentio in antiquo lapide Chalcedonio (praeter alios recentiores) Musei gemmarum Vindobonensis, quorum omnium ectyporum formas affabre expressas munificentia augustissimi Francisci Caesaris bibliotheca Vaticana nuper donatas habet. Mai.

20, 2 λειτουργιῶν Niebuhrius, ἀτελειῶν edidit Maius, fortasse calami lapsu: nam in interpretatione Latina recte habet *in ministeriis*. 3 πόλεσι] πόλεσιν T.

Digitized by Google

ἡμεῖς δ' ἐξεπίτηδες δρῶμεν ἃ παντὸς ἡμᾶς μᾶλλον ἐκτρίψει;

Ὅλως δὲ εἴ τις ἔροιθ' ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, πότερον τοῖς μὲν ἔχουσι μείζονος καὶ περιφανεστέρας καθέστηκε δόξης, τῇ δὲ πόλει μηδ' ὁτουοῦν δυσχεροῦς, πότερον ἀτέλεια καὶ τὸ μὴ λειτουργεῖν ἔτ' ἔχειν, ἢ τὸ τυγχάνειν εἰκόνων καὶ μεθ' Ἁρμοδίου καὶ Ἀριστογείτονος τὸν ἀεὶ πρεσβεύεσθαι χρόνον, εὖ οἶδ' ὅτι τοῦτ' ἂν φήσαιτ'· εἰκότως. τί γὰρ δὴ βλάβος τῇ πόλει, ἐὰν οὐχ ὁ δεῖνα ἢ ὁ δεῖνα λέγω, ἀλλ' ὁμοῦ πάντες Ἀθηναῖοι, ἤ, εἰ βούλει, πάντες ὡς εἰπεῖν ἄνθρωποι εἰκόνων ἢ στεφάνων μετάσχωσι παρ' αὐτῇ; μᾶλλον μὲν οὖν καὶ δύο τὰ πάντων κάλλιστ' ἐντεῦθεν προσγίγνεται, οὐ μόνον ἔπαινός τε καὶ δόξα τοῖς τε ταυτὶ τιμωμένοις τῇ τε τιμώσῃ πόλει, ἀλλὰ καὶ θαυμαστή τις ἐπὶ τὰ ἴσα παράκλησις ἔσται. ὅτε τοίνυν καὶ ἄλλως ἔνι τῇ πόλει καὶ μεγαλοψυχίᾳ πρὸς οὓς ἔδει
κεχρῆσθαι, καὶ μηδὲ αὐτὴν μηδενὶ τὸ παράπαν βεβλάφθαι 20
τίς ἀτελείας ἀνάγκη καὶ τοῦ τοῖς ἡμετέροις αὐτῶν ἐντεῦ-
21) θεν λυμαίνεσθαι; ὥστε καὶ ἃ Δημοσθένης λαμπρῶς ἄγαν ὑπὲρ ἀτελείας προΐσχεται, τῶν ἀτοπωτάτων εἶναι φάσκων καὶ τῆς εἰς ἅπαντ' ἀνάξιον μεγαλοψυχίας ἡμῶν, ἐὰν ἃ δεδώκαμεν ἀφελώμεθα, ταῦτ' εἰς κενὸν αὐτῷ καθειστήκει τοῦτον τὸν τρόπον. οὐ γὰρ μόνον τοὺς εὖ παθόντας ἀφαιρησόμεθα τοῦθ', ὡς αὐτὸς οἴεται, οὐδ' ἧς παρ' ἡμῶν ἀπέλαυσαν δόξης, ταύτης ἐκπεσοῦνται διὰ τὸν νόμον, ἀλλὰ καὶ καλλίω καὶ περιφανεστέραν ταύτην νῦν κομιοῦνται, ἀντ' ἀτελείας θαυμαστῶν τινων ἐπιγραμμάτων καὶ εἰκόνων τυχόντες, καὶ κατὰ παντὸς εἰσέπειθ' ἑστήξοντες δημοσίᾳ τοῦ χρόνου· ὡς καὶ τοῖς ἐπιγιγνομένοις σαφῶς μανθάνειν ἐξεῖναι ὁπόσον τι τούτοις ἡ πόλις τῆς εἰς αὐτὴν ἕνεκ' εὐνοίας ἐχρῆτο· ὃ τίνος ἀτελείας οὐ μεῖζον; εἴπερ ἡ μὲν οὐ διηνεκὴς οὐδὲ διὰ πάντων ἤκουσα τῷ γιγνώσκεσθαι, τὸ δ' ἀθάνατον ὡς εἰπεῖν καὶ οὐδένα τῶν πάντων οἷόν τε

---

32 αὐτὴν Grauertus. ταύτην T.

21, 3 εἰς] ἐς T. 4 καθειστήκει Grauertus. καθιστήκει T. 10 ἑστήξοντες δημοσίᾳ] Hanc a Leptine exceptionem sibi opponit Demosthenes p. 558. ed. Wolf. Mai. 12 εἰς αὐτὴν ἕνεκ']



Digitized by Google

*λανθάνειν, οὐ μᾶλλόν γε ἢ τὴν πόλιν ὁντινοῦν ἔστι λανθάνειν. οὐκοῦν καὶ Ἐπικέρδης καὶ Λεύκων καὶ ὅστις ἕτερος, εἰ ὅτ' αὐτοὺς ἡ πόλις ἐτίμα, δυοῖν αἵρεσις ἦν, ἢ ἀτελείας ἢ ἀνδριάντων μετέχειν, οὐκ ἄν μοι δοκοῦσι μηδ' ὅσον περὶ ἀτελείας ἀκοῦσαι δεδέχθαι, ἐξὸν πολλῷ τινι μείζονι τετιμῆσθαι καὶ ὃ τοὺς μετασχόντας παραπλησίους εἶναι δοκεῖν ποιεῖ τοῖς θεοῖς· τοὺς τοίνυν τότ' ἂν οὕτω διατεθέντας καὶ ὅλῳ θυμῷ πρὸς ταῦτ' ἰσχηκότας εὖ οἶδα καὶ νῦν μὴ μόνον τῆς προσούσης ἀτελείας περὶ πλείονος ἂν πεποιῆσθαι τὴν ἐν ταῖς εἰκόσιν ἐπιτιμίαν, καὶ αὐτοὺς καὶ τούς γ' αὐτῶν παῖδας, ἐάν γε μὴ περιῶσιν, ἀλλὰ καὶ τοσοῦτον ἡσθῆναι ὡς καὶ πλείστην χάριν ὁμολογῆσαι δή που τῇ πόλει τοῦ τε ταυτὶ διανενοῆσθαι τοῦ τ' ἐψηφίσθαι συμφέροντα μὲν ἑαυτῇ, συμφέροντα δὲ καὶ σφίσιν αὐτοῖς.*

(22) *Ἀλλ' ὅταν, φησὶ, ταῦτα δῶμεν, οἱ τούτων παῖδες, ὅτι μὴ κἀνταῦθα κοινωνεῖν ἔθ' ἕξουσι τοῖς πατράσιν, ὥσπερ ἐν ἀτελείᾳ, ἅτε τὰ μέγιστ' ἠδικημένοι, βοήσονται. πρῶτον μὲν οὖν, ὦ οὗτος, οὐκ οἶμαί τιν' αὐτῶν τὸ παράπαν δυσχερανεῖν διὰ τὸ καὶ τοῖς υἱέσιν εὖ μάλα προσεῖναι τῶν γεγεννηκότων τὴν δόξαν, ἀλλ' ὡς εἰκὸς αὐτοὺς ἀγαπήσειν, εἰ μόνον τηλικούτων πατέρων προσαγορεύοιντο παῖδες· ὡς γὰρ τὸ πατρὸς ἢ μητρὸς κακὰ συνειδέναι, κατὰ τοὺς ποιητὰς, καὶ τούς γε θρασυσπλάγχνους δουλοῖ, οὕτως ἡ τούτων εὔκλεια καὶ λαμπρότης ζηλωτοὺς ἄγαν παρασκευάζει τοὺς ἐξ αὐτῶν, ἔπειτ' εἰ μὲν ἁπάντων ὧν ἀξιοῖ τοὺς εὐεργέτας ἡ πόλις καὶ τοῖς ἐκ τούτων ἀνάγκη μετεῖναι καὶ ταῦθ' ὥσπερ τις κλῆρος εἰς τοὺς ἐκγόνους κάτεισιν, εἰκότα ἂν καὶ οὗτοι λέγειν δοκοῖεν τούτων στερόμενοι· εἰ δ' ἐπὶ μόνης μὲν ἀτελείας τοῦτ' ἦν, ἑτέρου δὲ οὐδενὸς, αὕτη δὲ νῦν καθάπαξ ἀνῄρηται, οὔτ' ἔχει λόγον τὰ τοιαῦτα ζητεῖν ἐθέλειν τῶν τε τῆς ἀτελείας κἂν τοῖς ἄλλοις μεμνῆσθαι. καὶ σύν γε ἔτι παραπλήσιον ἔσται*

---

*ἐς αὐτὴν εἵνεκ'* T.  17 *Λεύκων*] *Λεύκολος* T.

22, 6 *γεγεννηκότων*] *γεγενηκότων* T.  9 *κατὰ τοὺς ποιητὰς*] Euripidis sententia est Hippol. v. 324. Mai.  18 *σύν γε ἔτι*]

*ὥσπερ ἂν εἴ τις ὀλυμπιονίκου πατρὸς ὤν, ἔπειτ' ἀξιοῖ διὰ τὴν φύσιν καὶ τοῦ κοτίνου μετέχειν· ἀλλ' ἀκούσεται πάντως ὅ γε τοιοῦτος ὡς οὐ γένους, ἀλλ' ἄθλων ἐστὶ τὰ γέρα, καὶ ὁ τούτων ἐπιθυμῶν ἐκείνοις ἐπαποδύσεται πρῶτον, κᾆθ' οὕτω καὶ πρὸς ταῦτα χωρήσει. εἰ τοίνυν τὰ μικρὰ καὶ οὐ τοσούτου δή τινος λόγου — τί γὰρ δὴ πρὸς ἀνδριάντα θαλλός; εἴπερ ὁ μὲν διαρκὲς, θαλλὸς δὲ κατ' αὐτὸν δὴ μόνον τὸν τοῦ πρασίεσθαι χρόνον ἔχει τὸ κέρδος· — εἰ τοίνυν ἐξ ἄρα τοῦ πεφυκέναι ταῦτ' οὐχ οἷόν τε λαβεῖν μὴ καὶ πόνων ἡγησαμένων, πῶς οἷόν τε ἀκονιτὶ κεκαρπῶσθαι τὰ μείζω; καὶ μὴν εἰ ἃ τοῖς πατράσι δίδοται γέρα,*
(23) *τούτων ἔπειθ' οἱ παῖδες ἀξιοῦσι μετέχειν διὰ τὴν φύσιν, τί μὴ καὶ τῶν ἀτυχημάτων αὐτοῖς ἀξιοῦσι μετέχειν ἀπὸ τῆς αὐτῆς ταύτης αἰτίας; οὐ γὰρ ἐν μὲν τοῖς βελτίστοις* 22
*εἰσὶ παῖδες, ἐν δὲ ταῖς πονηροτάτοις οὐκέτι, ἀλλὰ καὶ πολὺ μᾶλλον ἐνταῦθα δεῖ τούτους τὸ πεφυκὸς ἐνδεδεῖχθαι, εἰ μὴ μέλλοιεν ἔλαττον ἔχειν τῶν φίλων, οὓς αἱ συμφοραὶ παριστᾶσιν· εἰ δ' οὐδ' ἂν ἐν ὀνείροις συνατυχεῖν αὐτοῖς ἕλοιντο, οὔκουν γε ἑκόντες εἶναι, ὥς γε ἐγὼ νομίζω, πῶς ταῖς τούτων εὐπραγίαις δεῖν οἴονται χρῆσθαι; πῶς δ' οὐ σφίσιν αὐτοῖς περιπίπτουσιν, ὅταν ταῦτ' ἀξιῶσιν, εἴπερ ἐπὶ μὲν τῶν φαυλοτάτων ἀρνοῦνται τὴν φύσιν, ἐπὶ δὲ τῶν εὖ ἐχόντων ἄνω καὶ κάτω ταυτησὶ λόγον ποιοῦνται; ὅλως δὲ εἰ μὲν ὀρθῶς καὶ δικαίως ταύτην προΐσχονται, δεῖ δή που ταύτης διὰ πάντων ἔχεσθαι καὶ μὴ νῦν μὲν, νῦν δ' οὔ· εἰ δὲ κέρδους ἕνεκα μόνου πρὸς αὐτὴν καταφεύγουσιν, ἄλλως δὲ οὐδαμῶς, λανθάνουσι σφᾶς αὐτοὺς ταύτης οὐδὲν ἧττον ἀλλοτριοῦντες ἢ συνιστάντες· οὐκοῦν οὐδὲ προσέχειν τὸν νοῦν αὐτοῖς δεῖ τὰ τοιαῦτα προκαλουμένοις.*

*Ἔτι τοίνυν κἀκεῖθεν, ὦ ἄνδρες Ἀθηναῖοι, μάλιστ',*

---

*πρός γε ἔτι?* 19 *ὀλυμπιονίκου* Maius: codex *ὀλυμπιονίκους*. 25 *θαλλός*] Scribebatur bis *θαλός*. *διαρκὲς*] *διαρκὴς* corrigit Maius. 28 *ἀπονητὶ* vel *ἀκονιτὶ* Grauertus. *ἀκονητὶ* T. Conf. ad vol. I. p. 124, 9. 29 *πατράσι*] *πατρᾶσιν* T.

23, 1 *ἀξιοῦσι*] *ἀξιοῦσιν* T. 2 *ἀτυχημάτων αὐτοῖς*] *αὐτοῖς ἀτυχημάτων* T. 15 *ἕνεκα*] *εἵνεκα* T.

ἔχοιτ' ἂν συνιδεῖν ὃ λέγω καὶ τὸ συμφέρον ἐξ ἀνάγκης νομοθετεῖν, ὅτι πλὴν ἀτελείας πάντα τἄλλα πρὸς τοὺς εὐεργέτας ἔσθ' ἡμῖν ποιητέα, ἂν τοὺς ἡμετέρους προγόνους ὁποῖοί τινες περὶ ταῦτ' ἦσαν ἐνθυμηθῶμεν, ὅτι καὶ τὰ τῆς πόλεως ὡς μάλιστα ἤνθει, καὶ τὸ πρὸς ταύτην ἐπιδείκνυσθαι καὶ φιλοτιμεῖσθαι φιλοτιμότερόν πως καὶ μετὰ μείζονος ἀπήντα παρασκευῆς. ἐκεῖνοι τοίνυν καὶ ἀγχινοίᾳ καὶ συνέσει καὶ τοῖς ἄλλοις ἀγαθοῖς τῶν ἁπανταχῇ πάντων κρατοῦντες καὶ πᾶσαν πολιτικῆς ἀρετῆς ἐπιστήμην ἐν τῇ ψυχῇ φέροντες, μᾶλλον δ' αὐτὸ τοῦτο ψυχὴ τῶν πραγμάτων καὶ δοκοῦντες καὶ ὄντες, οὐ μόνον
(24) ὅπως ἑαυτῆς ἀξίως ἡ πόλις εὖ πράττοι καὶ διαγίγνοιτο, ἀλλ' ὅπως καὶ τῶν παρὰ τῆς τύχης εὐποιιῶν μειζόνων ἀεὶ διὰ πάντων πειρῷτο, τοῦτ' ἔχοντες προὔργου, αὐτοί τε πάνθ' ὑπὲρ αὐτῆς καὶ ποιεῖν καὶ λέγειν ᾤοντο χρῆναι, μηδὲν τῶν ὅσα πρὸς εὐδαιμονίαν τοῦ κοινοῦ φέρει μηδ' ὁπωστιοῦν παριέντες, τούς τε πρὸς αὐτὴν ὁτιοῦν ἀγαθὸν διαπραξαμένους, καὶ πολίτας λέγω καὶ ξένους, καὶ γενομένους τοῖς πράγμασιν ἐν καιρῷ, ὁμοῦ μὲν ἀμειβόμενοι τῆς σπουδῆς, ὁμοῦ δὲ καὶ πρὸς τὸ μέλλον καὶ αὐτοὺς καὶ τοὺς ἄλλους ἐπὶ τὰ ἴσα καὶ μείζω παρακαλοῦντες, μεγίσταις ὅτι μάλιστα καὶ φιλοτιμοτάταις ἐδωροῦντο τουτουσὶ ταῖς τιμαῖς, τοῦτο μὲν χαλκοῦς ἐπ' ἀγορᾶς ἱστάντες, τοῦτο δὲ παρέδρους τοῖς ἐν ἀκροπόλει θεοῖς καθιστάντες, τοὺς δὲ μεγάλων καὶ θαυμαστῶν καὶ τῶν αὐτῶν τοῖς θεοῖς ἀξιοῦντες τῶν προσρημάτων, ἔστι δ' οἷς καὶ χρήματα ὅτι πλεῖστα διδόντες· καὶ γὰρ πλέθρα τῆς μὲν πεφυτευμένης, τῆς δὲ καὶ ψιλῆς· οἱ δὲ σίτησιν ἢ στεφάνους ἡροῦντο καὶ ἄττα τοιάδε. ταῦτ' ἦσαν αἱ τηνικαῦτα τῆς πόλεως ἀμοιβαὶ πρὸς τοὺς ἑκάστοτ' εἰς αὐτὴν καλοὺς κἀγαθούς. οὕτως Ἐρεχθεὺς ὁ τῆς Ἀθηνᾶς, οὕτως Ἁρμόδιος καὶ Ἀριστογείτων· Περικλέα δὲ τὸν Ξανθίππου τίς

24, 1 πράττοι Grauertus. πράττει T. 3 ἀεὶ] αἰεὶ T.

18 ἄττα Grauertus. ἅτα T. 20 Ἐρεχθεὺς ὁ τῆς Ἀθηνᾶς] Erechtheum apud Homerum scribi pro Erichthonio, eundemque Minerva esse natum, praeclare observat Eusebius Chron. lib. II. p. 284. ed. Mediol. Consonat huic Aristides. Mai. Ἐρεχθεὺς ὁ τῆς θυγατρὸς μὴ φεισάμενος τιμὰς ἔχει παρὰ τῷ νεῷ τῆς Ἀθηνᾶς Niebuh-

Digitized by Google

*οὐκ οἶδε τῶν πάντων Ὀλύμπιον προσρηθέντα κατὰ ταὐτὰ τῷ Διί; ἀτελείας δὲ οὐδ' εἰστισοῦν μὰ τοὺς θεοὺς λόγος τότ' ἦν οὐδ' ἐξέτασις, οὐδ' ἠξίουν ἐντεῦθεν δή που ποιεῖσθαι τὰς δωρεάς, οὐχ ὅτι ταύτην ἠγνόουν, ἀλλ' ὅτι σαφῶς ᾔδεσαν ὡς ἐν μὲν τῷ ταῦθ' ἅπερ ἔφην διδόναι οὐδ' ὁτιοῦν ἔσται βλάβος τῇ πόλει, ἐν δὲ τῷ τοὺς δεῖνας ἢ τοὺς δεῖνας εἰς ἀτέλειαν ἄγειν οὐ μικρά τις ζημία. ἡ γὰρ τῶν λειτουργιῶν κατὰ βραχὺ δήπουθεν σπάνις καὶ τὸ ταῦθ' ἅπερ ἔφην ἔχειν διδόναι προϊόντος ἀναιρήσει τοῦ χρόνου, πάντων ἀτελῶν καταστάντων. ἔπειτα κἀκεῖνο προσῄδεσαν καὶ σφόδρα γε πεφυκὸς ἐν ἀτόποις, εἰ ὧν ἐνεδείξαντό τινες ἀγαθῶν εἰς τὴν πόλιν, τούτων ἕνεκ' αὐτῇ παραίτιοι κατασταῖεν ζημίας διὰ τὰς ἀτελείας, δέον, εἰ ταῦτ' ἔπειτ' ἔμελλον ἔσεσθαι, μηδὲ τὴν ἀρχὴν εἰς εὐεργέτας τελέσαι. πῶς οὖν οὐκ ἄτοπον τοὺς μὲν οὕτω διακειμένους τῶν πάλαι μηδεμιᾶς μὲν ἡστινοσοῦν ὑπερβολῆς ἐν ταῖς ἀμοιβαῖς ἀποσχέσθαι, ἀτελείας δὲ μηδαμοῦ τὸ παράπαν μηδ' ὁπωστιοῦν μνημονεῦσαι,* 24 *ἡμᾶς δὲ τοὺς τἀκείνων μάλιστα πάντων καὶ στέργοντας καὶ θαυμάζοντας, καὶ νόμον τοῦ, τί δεῖ ποιεῖν ταῦθ', ἡγουμένους, ἔπειτα ταύτῃ κεχρῆσθαι καὶ τὰς τιμὰς ἐντεῦθεν ὁρίζειν, ὥσπερ ἐκείνων κατεγνωκότας, ὅτι μὴ τοῦτο συνεῖδον, ἢ συνιδόντες ὑπὸ βασκανίας ἀπεῖπον. καίτοι ὅταν μὲν τούτους ὡς διὰ πάντων κρατίστους θαυμάζωμεν, καὶ μιμεῖσθαι διὰ πάντων ὀφείλομεν τούτους, ἵν' ἃ τοῖς λόγοις κοσμοῦμεν βεβαιῶμεν τοῖς ἔργοις· ὅταν δὲ ἀκείνοις εἰκότως ὡς μὴ καλῶς ἔχοντ' ἀπείρηται, ταῦθ' ἡμεῖς ὡς ἔχοντα καλῶς ἀσπαζώμεθα, θατέρῳ δυοῖν ἐνεχόμεθα, ἢ τῷ περὶ τὰς κρίσεις ἐσφάλθαι ἢ περὶ τὰς μιμήσεις ἐψεῦσθαι.*

*Ὅλως δὲ εἰ μὲν ἀτέλεια κάλλιστον καὶ λυσιτελέστατον καὶ πολιτικῇ μάλιστα πρέπον, οὐχ ἡμᾶς ἔδει μόνους, ὦ ἄνδρες Ἀθηναῖοι, ἀλλὰ καὶ πάντας τοὺς ἄλλους*

---

rius. Conf. vol. I. p. 119, 11. 22 *Ὀλύμπιον*] Causas huius epitheti varias legere licet apud Plutarchum in Pericle cap. 8. Mai. *ταὐτὰ* Grauertus. *ταῦτα* T.

25, 3 *ἕνεκ'*] *εἵνεκ'* T. 14 *μὲν* Grauertus. *μὴν* T.

ταυτησὶ λόγον ποιεῖσθαι, ὡς ἂν τινος κοινοφελοῦς καὶ διὰ πάντων χωροῦντος. εἰ δ' οὐδένες ἄχρι τοῦ δεῦρο πλὴν ἡμῶν ἐπὶ ταῦτα προήχθησαν — μηδ' ἔτ' ἔπειτα προαχθεῖεν, ὦ δέσποινα Ἀθηνᾶ — τί μόνοι τῶν πάντων ἡμεῖς τὰ τοιαῦτα νοσοῦμεν, ἐκτὸς εἰ μόνοι τῶν πάντων ἡμεῖς μισεῖν ἡμᾶς αὐτοὺς ἀξιοῦμεν; οὐ δή που, φησίν, οὐδὲ ταῦθ' ἡμᾶς ἐγκαλεῖσθαι χρεών. εἰ μὲν γὰρ,
(26) τῶν αὐτῶν ἐθῶν τε καὶ νόμων ἅπασιν ὄντων, ἔπειθ' ἡμεῖς μόνοι τῶν πάντων ἀτελείας εἰχόμεθα, πονηροί τινες ἂν ἦμεν εἰκότως, οἷς οὐκ ἐξῆν ἐγχειροῦντες καὶ παρὰ τὸν κοινὸν πολιτευόμενοι νόμον. εἰ δὲ πολλή τις ἐνταῦθα διαφορὰ, καὶ τοὺς μὲν τούτοις, τοὺς δ' ἐκείνοις ἴσμεν χρωμένους, καὶ πάντας ἁπλῶς οἷς ἐκ πολλοῦ δοκιμάσειαν, τί δεινὸν εἰ παρ' οὐδέσι τῶν ἄλλων ἀτελείας νομιζομένης, μόνοις ἡμῖν ταύτης ἔνεστι λόγος; οὐδὲ γοῦν Λακεδαιμονίοις οὐδὲ Θηβαίοις οὐδ' οἱστισιν ἄλλοις ἐγκαλεῖν ἔχομεν διὰ ταῦτα, ἀλλὰ τῷ τῶν πραγμάτων ἐξ ἀρχῆς ἐσχηκότι 25
διδόναι. ὡς μὲν οὖν, ὦ Δημόσθενες, ἕκαστοι πρὸς ἀλλήλους ταύτῃ διίστανται ὁμολογῶ καὶ αὐτὸς, ἐπεὶ μηδὲ νομοθέτας κέκτηνται τοὺς αὐτούς· ἀλλ' οἱ μὲν τοὺς, οἱ δὲ τοὺς, ὅπως ἡ τύχη καὶ ὁ συμπίπτων χρόνος ἑκάστοις παρεσκεύακει. σοῦ δ' ἂν ἡδέως πυθοίμην, εἰ ἐν οἷς οὗτοι διίστανται, πότερα τῶν λυσιτελούντων ταῦτ' ἐστὶν ἢ τῶν ἰδίᾳ καὶ κοινῇ λυμαινομένων τοῖς πράγμασιν. εἰ μὲν γὰρ τῶν λυμαινομένων ἐρεῖς, πρῶτον μὲν ἐπιεικῶς ἄτοπον καὶ δεινὸν διὰ τούτων ἡμᾶς ἐπὶ τὰ ἴσα πείθειν ἐπιχειρεῖν καὶ κακῷ τὸ κακὸν, ὡς λόγος, ἰᾶσθαι, ἀλλὰ μὴ διὰ τῶν βελτίστων ἐντεῦθεν ὡς μάλιστ' ἀπάγειν καὶ τούτοις ὡς οἷόν τε προσάγειν. ἔπειτα μετὰ τῆς ἀτελείας καὶ ταῦτ' ἐξαίρειν ὥσπερ τινὰς Κῆρας προσῆκε τοῦ βίου καὶ παραπέμπειν εἰκότως εἰς τὸ τῶν ποιητῶν ὄρος καὶ κῦμα· μὴ

17 ἐκείνοις] ἃ 'κείνοις T. 23 κοινοφελοῦς] κοινωφελοῦς Grauertus. Conf. infra p. 32. ed. Mai. κοινοφελεῖ διανοίᾳ apud Aeschylum Eumen. v. 985. ed. Pors. 26 προαχθεῖεν vel quod praefert προαχθεῖμεν Grauertus. προαχθοῖεν T. τί μόνοι — νοσοῦμεν] Hoc quoque argumentum ait Demosthenes p. 556. ed. Wolf. extitisse in adversarii nescio cuius oratione. Rei memor Aristides hanc verisimilitudinem declamationi suae adstruxit. Mai.

26, 17 πράγμασιν] πράγμασι T. 24 ὄρος καὶ κῦμα] Helico-

Digitized by Google

γὰρ οὖν εἴη μηδὲν τὸ παράπαν, ὃ δημοσίαν ἴσχει τὴν βλάβην. εἰ δὲ ταῦτα μὲν κοινοῦ τινος κέρδους ἕνεχ' εὑρέθη καὶ τοῦ τὰ γιγνόμενα δύνασθαι συντελεῖν, ἀτελείας δὲ οὐδὲν μᾶλλον ταῖς λειτουργίαις ἐχθρὸν — ὅταν δὲ ταύτας λέγω, τὴν πόλιν λέγω, δι' ὧν ταύτῃ τὸ σῴζεσθαι — τί περιττὰ συλλογίζει καὶ σοφιστὴς ὢν οὐκ ἔξεστι γίγνει, τὴν μὲν πρὸς ἃ μὴ χρὴ παραβάλλων, ἡμᾶς δ' ἐντεῦθεν 27) ὡς ἀγαθοῦ τινος ταύτης ἀντέχεσθαι πείθων; τὸ δ' ἐστὶν ἀτεχνῶς ἐπίβουλον καὶ πειρωμένου τὴν πόλιν ἐσχάτοις περιβάλλειν κακοῖς. ὥσπερ γὰρ τὸ τοῖς ἀδικοῦσιν ἐπεξιέναι καὶ πολεμεῖν διὰ πάντων αἱρεῖσθαι οὐδ' ἂν εἷς φαίη μὰ τοὺς θεοὺς μὴ οὐχὶ τιμῶντος τοῦτ' εἶναι τοὺς νόμους, οὕτως ἐάν τις τοῖς λυμαινομένοις τῇ πόλει μετὰ πολλοῦ τοῦ περιόντος συνηγορῇ, τεκμήριον ἐναργὲς παρέχεται γνώμης οὐχ ὑγιοῦς καὶ τὰ δεινότατα καθ' ἡμῶν τεχνωμένης. καίτοι ὅταν διὰ τὴν ἐξ αὐτῶν βλάβην ἐκτρεπώμεθα σφᾶς, τίνος ἂν εἰκότως ἄξιος εἴη ὁ δι' ὧν τούτοις συνηγορεῖ αὐτός τε τοιοῦτος ὢν καὶ τούς γ' ἄλλους ἐπὶ τὰ ἴσα παροτρύνων; ἐπεὶ καὶ τὸ συκοφαντεῖν καὶ δωροδοκεῖν καὶ ἀσελγαίνειν καὶ λάθρα τοῖς πολεμίοις κεχρῆσθαι 26 καὶ φάρμακα καθ' ὁτουοῦν συντιθέναι καὶ νὴ Δία γε λησταὶ καὶ τοιχωρύχοι καὶ τοῦ πονηροῦ κόμματος ὁστισοῦν τότε μᾶλλον μισοῦνται καὶ δίκην ὑπέχουσι μείζω, ὅταν οἷς δρῶσιν, ἐγκαλύπτεσθαι δέον καὶ τρέμειν, οἱ δ' ἐπὶ τούτοις τοσοῦτον φρονῶσιν ὡς καὶ σεμνύνειν ταῦτ' ἐθέλειν πρὸς πάντας, διττὰ δή που νοσοῦντες, κακίαν καὶ θράσος, καὶ μηδ' ἑκάτερον συνιέντες, ἀλλὰ καὶ δίκην τίνοντες ταύτην τὸ δημοσίᾳ σφᾶς αὐτοὺς ἐξελέγχειν.

Καὶ μὴν οἷς ἡμᾶς κἀκείνως φενακίζειν ἐπιχειρῶν οἴει λανθάνειν, τούτοις οὐδὲν ἧττον ἁλίσκει πονηρευόμενος καὶ κατ' αὐτὸς σαυτοῦ μᾶλλον ἢ ἡμῶν αὐτῶν. οὐ γὰρ ὡς ἔννομόν τι καὶ τῆς ἐκεῖθεν ἐξημμένον ἀνάγκης ἔχων

---

nem et Hippocrenen. Mai. 26 ἕνεχ'] εἵνεχ' T. 30 συλλογίζῃ et γίγνῃ T.

27, 15 τοιχωρύχοι] τοιχορύχοι T. 16 ὑπέχουσι] ὑπέχουσιν T. 18 τοσοῦτον] τοσοῦτο T. 20 τίνοντες Grauertus. τείνοντες T. 23 ἁλίσκει] ἁλίσκῃ T.

ἀτέλειαν δεῖξαι, οὐδὲ τοὺς ταύτης πέρι διαγορεύοντας νόμους εἰς μέσον θεῖναι κἀντεῦθεν, ὡς νομίζεις, ἐξελέγξαι Λεπτίνην, σὺ δὲ καὶ οὕτως σφόδρ' ἑτέρως ποικίλλεις καὶ περιάγεις τὸν λόγον ὡς καὶ πείθειν ἔχειν ἐκ τοῦ παραχρῆμα δοκεῖν καὶ τοὺς μὴ πάνυ τοι προσεσχηκότας ἑτοίμως χειροῦσθαι. εἰ γὰρ οἱ μὲν νόμοι κελεύουσι, φής, (28) διαρρήδην βεβαίας εἰς τέλος εἶναι τοῖς εἰληφόσι τὰς δωρεὰς καὶ μηδὲ καθ' ὅντινα δήποτε τρόπον ταυτασὶ κεκινῆσθαι, ὁ δὲ ἃς δεδώρηταί τισιν ἀτελείας ἡ πόλις ἐν παντὶ τῷ παρασχόντι, ταύτας δι' ὧν νομοθετεῖ νῦν ἀκύρους καθάπαξ ποιεῖ καὶ νῦν καὶ εἰσαῦθις, πῶς οὕτω παραβαίνων τοὺς νόμους καὶ κατὰ τοῦτο δίκαιος ὢν τὴν τῶν παρανομούντων καὶ αὐτὸς ὑποσχεῖν δίκην, ἔπειθ' οἷος ἔσται περὶ ὧν συμβουλεύει παρ' ἡμῶν πεπιστεῦσθαι; οὐ ταῦτα λέγεις ἄνω καὶ κάτω στρέφων καὶ συνεχῶς ἐρωτῶν εἰ μὴ δίκαιον τοὺς εὖ πεπονθότας διὰ τέλους εὖ πάσχοντας εἶναι καὶ μετέχειν εἰς ἅπαν τοῦ γέρως; ἔχε δὴ καὶ σκοπόν. ἐπέταξεν ὁ τοὺς νόμους τιθεὶς μὴ χρῆναι τὰς δωρεὰς ἀφαιρεῖσθαι· ἀτελείας δὲ οὐδ' ὁντινοῦν τὸ παράπαν ποιεῖται λόγον, ἀλλ' ἁπλῶς οὑτωσὶ δωρεῶν, πλὴν εἰ λάθρα αὐτὸς λέγοντος ἤκουσας. τί οὖν ἃ μὴ 'κεῖνος ἐμνήσθη, ταῦτ' αὐτὸς κακῶς ὑφαρπάζεις, καὶ τὰ μὴ δοκοῦντα τοῖς νόμοις ὡς νόμοις δοκοῦντα λέγεις, ὁμοῦ μὲν τούτοις ἐντεῦθεν συκοφαντῶν, ὁμοῦ δὲ καὶ ἡμᾶς ἐλέγχων μηδὲν ἕνεκα νόμων ἐπισταμένους;

Εἰ δὲ τοῦτο λέγεις, ὡς ἐν τῷ δωρεὰς εἰρηκέναι συμπεριειλήφει καὶ ταύτην· δῶρον γὰρ δή που καὶ τοῦτο· ἐκεῖνο πάντως ἐροῦμεν, ὡς οὐχ ὃ τοὺς μὲν εἰληφότας ἰδίᾳ σεμνύνει, τῷ δὲ παρασχόντι κοινῇ λυμαίνεται δήμῳ, τοῦθ' ὡς ἀληθῶς δωρεά, ἀλλ' ὃ καὶ τούτοις κἀκείνοις πρὸς κέρδους ἐστίν· ὡς ἐκεῖνό γε δωρεὰ μὲν τοῖς λαβοῦσι, πρὸς δὲ τὴν πόλιν ζημία. ταύτην δῆτα καὶ πάντες οἱ νόμοι φασὶ δωρεάν, καὶ ὅπως μηδεὶς ἐκπεσεῖται ταύτης

28 οὕτως σφόδρ'] Legebatur οὕτως οὕτω σφόδρ'.

28, 7 δίκην addidit Niebuhrius. 11 εἰς] ἐς T. 12 σκοπόν] σκοποῦ Grauertus. 15 λάθρα] λάθρ' T. 21 δή που Niebuhrius. δήμου T.

Digitized by Google

ἐφρόντισαν, ἅτε κοινοὶ παιδευταὶ καὶ κηδεμόνες τῶν ἡμῖν προσηκόντων· ἀτέλεια δὲ εἰ μὲν τῇ πόλει ξυμφέρει, δωρεὰ προσειρήσθω καὶ τῶν ἐχόντων ἀναφαίρετός ἔστω· εἰ δὲ λυμαίνεται καὶ διαφθείρει καὶ πάντα ποιεῖ, τί παραλο-
(29) γισμοῖς τισι κεχρημένος ὥσπερ παρέγγραπτόν τινα καὶ ὑποβολιμαίαν φιλονεικεῖς ταύτην εἰσποιῆσαι τοῖς νόμοις; ὁρᾷς ὅπως διὰ σαυτοῦ τὸ ξίφος ἐπὶ τοὺς ἄλλους ὠθεῖς καὶ παίειν ἑτέρους δοκῶν αὐτὸς ὑφίστασαι τὰς πληγὰς, ὑπὸ τοῦ θρασυτάτου τῆς γνώμης καὶ τοῦ φιλονεικεῖν ἔχειν ἀσχέτως μὴ ὅ τι τοῖς σοῖς λόγοις παρὰ τῶν ἄλλων ἀπαντήσεται ξυνιείς; ὁποῖον δὴ κἀκεῖνο, καὶ ταῦτά φασι γυμνασίου. οὐ γὰρ ἀνέχεται Δημοσθένης, ὡς ἔοικεν, ὦ ἄνδρες Ἀθηναῖοι, ἑνί γέ τῳ καὶ δυοῖν δόξαι κακὸς, ἀλλ' ἐκ περιουσίας τοῦτο ὢν ἐληλέγχθαι. πρὸς γὰρ αὖ τοῖς ἄλλοις οἷς κατὰ Λεπτίνου χρησάμενος ἔγνω πᾶσαν μὲν αἰτίαν ἐπενεγκὼν, ἐκ δ' ἄρα πασῶν ταῖς ἀληθείαις ἀποκρουσθεὶς, ὁ δὲ καὶ παρανόμων ἀξιοῖ τοῦτον γεγράφθαι, ἐφ' ᾧ καὶ αὐτὸς νῦν μᾶλλον ἢ πρόσθεν τἀληθοῦς καταψευδόμενος ἔσται. τί γάρ φησι; „Χρὴ τοίνυν Λεπτίνην μὴ πρότερον τιθέναι τὸν ἑαυτοῦ νόμον πρὶν τὸν παλαιὸν 28
τοῦτον ἔλυσε γραψάμενος· νῦν δὲ μαρτυρίαν καθ' ἑαυτοῦ καταλείπων ὅτι παρανομεῖ τουτονὶ τὸν νόμον ὅμως ἐνομοθέτει, καὶ ταῦτα ἑτέρου κελεύοντος νόμου καὶ κατ' αὐτὸ τοῦτο ἔνοχον εἶναι τῇ γραφῇ, ἐὰν ἐναντίος ᾖ τοῖς πρότερον κειμένοις νόμοις." χρὴ μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ μάλιστα χρὴ τὰ τοιαῦθ' οὕτως περαίνειν καὶ τοῦτον τὸν τρόπον αἱρεῖσθαι νομοθετεῖν, καὶ τὸν μὴ ταύτῃ γε παρεσκευασμένον, ἀλλ' ὁμόσε χωροῦντα πρῶτος ἔγωγ' αὐτὸς ἕλοιμ' ἂν παρανόμων, ὅτι μὴ συνίδοι τὸ δέον. ἀλλ' οὐ Λεπτίνης τοιοῦτος. πόθεν; πολλοῦ γε καὶ δεῖ· εἰ μὲν γὰρ ἀτέλειαν ὁ νόμος ἐκέλευεν εἶναι, ὁ δ' οὐ προσεῖχεν, ἀλλὰ καὶ πρὶν ἢ λελυκέναι τὸν νόμον καὶ δεῖξαι μὴ καλῶς εἰρηκότα τἀναντία νομοθετεῖν αὐτὸς ᾤετο χρῆναι,

---

29, 1 παρέγγραπτον] παρεγγέγραπτον T. 2 φιλονεικεῖς Grauertus. φιλονικεῖς T. 4 ἑτέρους Grauertus. ἑτέροις Maius, fortasse typothetae culpa: in interpretatione Latina est *alios*. 5 φιλονεικεῖν Grauertus. φιλονικεῖν T. 10 ἐληλέγχθαι] ἐληλέχθαι T. 15 τί γάρ φησι] Demosth. p. 555. ed. Wolf. Mai.

μαρτυρίαν καθ' ἑαυτοῦ καταλείπει ὅτι παρανομεῖ. νῦν
(30) δὲ οὔτε νόμος ἦν ὁ κελεύων οὔθ' οὗτος δή που παρανομεῖ τοιαῦτα νομοθετῶν· οὐ μᾶλλόν γε ἢ Σόλων ὁ παλαιός· ἀλλ' εἰ χρὴ τἀληθὲς εἰπεῖν, ὁ τἀναντία τοῖς φανεροῖς φρονῶν καὶ τὸ μὲν κοινῇ σῶζον τὴν πόλιν οὐ μὰ Δία σκοπῶν, ὃ δὲ πρὸς ὄλεθρον ταυτηὶ καθειστήκει, πᾶσαν εἰσφέρων ὑπὲρ τούτου σπουδὴν, καὶ τῷ τοῖς λόγοις ᾗ βούλεται δύνασθαι χρῆσθαι νῦν μὲν πρὸς τὸ δοκοῦν ἑαυτῷ μεμνημένος τῶν νόμων, νῦν δὲ τοὺς οὐκ ὄντας νόμους εἰς νόμους τιθείς· ὁποῖος αὐτὸς εἶ. ὥσθ' ὅταν ταῦτ', ὦ Δημόσθενες, λέγῃς, σαυτοῦ κατηγορεῖς, οὐ Λεπτίνου, εἴ γε ὁ μὲν οὐ νόμου δή τινος περὶ ἀτελείας κειμένου, ἀλλ' ἔθους χθὲς καὶ πρώην, ὦ Ζεῦ, εἰσκεκωμακότος τῇ πόλει τὸν ὑπὲρ τῆς πολιτείας τοῦτον εἰσήνεγκε νόμον, ὃν κάλλιστον καὶ δικαιότατον πάντες ἂν φαῖεν· σὺ δ' αὐτὸν ἐλέγχειν ἐπιχειρῶν οὐ νόμῳ τοῦτο ποιεῖς, ἀλλὰ κενοῖς τισι λόγοις καὶ μύθοις παράγων, νόμων μὲν καὶ ἀληθείας καθάπαξ ἀποστατοῦσι, ψεύδους δὲ καὶ παρανομίας μεστοῖς, κἂν χρησμῶν οὐδὲν ἧττον τούτοις αὐτὸς ἰσχυρίζῃ.

Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ταύτῃ μάλιστα καταψεύδει Λεπτίνου, ὡς ἐν τῷ δυσμεναίνειν ἰδίᾳ τισὶν οὐ τῷ τῆς πόλεως προνοεῖσθαι, τεθεικότος τὸν νόμον· ἐπεὶ ὅτι γε τοῦτ' ἐστὶ καὶ οὐχ ὧν αὐτὸς ἕνεκα φάσκεις ἐπὶ ταῦτα προήχθη δῆλον ἐντεῦθεν· πρῶτον μὲν ὅτι πᾶς ὁτῳοῦν χαλεπαίνων κατ' αὐτοῦ μόνου χρῆται τοῖς λόγοις, καὶ τοῦτ' ἀντὶ πάντων ἐσπούδακεν, ὅπως βέλτιστον μὲν ἑαυτὸν διὰ πάντων, ἐκεῖνον δὲ παμμίαρον καὶ κάκιστον ἀνθρώπων ἀποφανεῖ, ἐλέγχων, ἐγκαλῶν, διαβάλλων, πᾶσιν οἷς ἔξεστι κατατρέχων, οὐ μέντοι μὰ Δία νομοθετῶν. οὐ γὰρ οἷόν τε ταῦθ' ὁμοῦ συνελθεῖν, νόμον καὶ τὸ γεγράφθαι· τὸ μὲν γὰρ ἔλεγχός ἐστι καὶ διαβολὴ πονη-
(31) ρίας καὶ τοῦ κακόν τινα εἶναι, ὁ δὲ κοινή τις πρὸς μὲν

---

30 ἑαυτοῦ Grauertus. ἑαυτὸν T.

30, 10 λέγῃς] λέγεις T. 14 ὃν Maius addidit. 21 καταψεύδει] καταψεύδῃ T. ἐν] ἂν Grauertus. 23 ἕνεκα] εἵνεκα T.

τὰ βέλτιστα προτροπὴ, τῶν δὲ χειρίστων ἀπαγωγὴ, ὡς τὰ μὲν φεύγειν, τὰ δ' αἱρεῖσθαι. πῶς οὖν ἤμελλε δή που Λεπτίνης ἀφεὶς οἷς ἐγκαλεῖν εἶχεν ἐπεξιέναι, τούτοις ὅπως ἔσονται βέλτιστοι παραινεῖν, καὶ οὓς κακῶς πεπονθότας ἥδιστ' ἂν εἶδε, τούτων ὡς ἑταιροτάτων τε καὶ φιλτάτων ἀντιποιεῖσθαι; οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν. εἰ δ' ὁ μὲν ὅπως μηδεὶς ἀτελὴς εἴη τῶν πάντων θέμενος νόμον αἰτιώτατος ἄλγους τοῖς ἀτελείας κεκτημένοις κατέστη, σὺ δ' ἐντεῦθεν ῥᾷστα συλλογίζει τὸ μῖσος, ὥρα σοι καὶ περὶ πάντων ὡς εἰπεῖν τῶν νομοθετῶν ταῦτ' ἐψηφίσθαι, καὶ δίκην ἀπεχθείας καὶ τούτοις λαχεῖν, ὅτι σωφροσύνης πέρι καὶ δικαιοσύνης καὶ τῶν ἄλλων διεξιόντες οὐ πᾶσιν ἁπλῶς εἰσι δή που κεχαρισμένοι, ἀλλὰ τοῖς εὖ ἥκουσι τρόπων· ὡς τούς γε πονηροτάτους καὶ τἀναντία τοῖς νενομισμένοις φρονοῦντας οὐδ' ἔστιν εἰπεῖν ὅπως ἀηδῶς ἔχουσι τούτοις.

Ἔπειτα εἴ σέ τις, ὦ Δημόσθενες, ἔροιτο, τίνες ποθ' οὗτοι, οὓς δυσχεραίνων Λεπτίνης τὸν νόμον ἔγραψεν, οὐκ ἄν μοι δοκεῖς ἔχειν εἰπεῖν. ἀλλ' ὅτι μὲν εἰσί τινὲς ἁπλῶς οὕτως εἰρήκεις, τίνες δὲ οὗτοι λέγειν οὐκέτ' ἀξιοῖς· οὐ τῷ μὴ βούλεσθαι Λεπτίνην ἐκ περιουσίας 30
ἐλέγχειν, ἀλλὰ τῷ μηδέν τι περὶ αὐτῶν σαφὲς ἔχων εἰπεῖν, ἔπειτ' ἐκ περιουσίας αὐτὸς ἐληλέγχθαι βούλεσθαι. οὐ γὰρ ἄν, εἰ εἶχες ὀνομαστὶ τούτων μεμνῆσθαι, σιγᾶν ἠνέσχου, οὐδ' ἂν παρόντων ἐφείσω, ὃ καὶ μὴ παρόντων ὡς ἂν παρόντων εἰς τοὺς περὶ τούτων λόγους ἐμπίπτων· οὐ μόνον ὅτι πάντων μάλιστα τὰ τοιαῦτ' αὐτὸς ἑτοιμότατος εἶ, ἀλλ' ὅτι σοι καὶ τοῦτο πρὸς τὸν ἀγῶνα τὸν σὸν συνήρατ' ἂν οὐ μικρῶς. νῦν δ' οἷς ἀνωνύμως προήνεγκας οὐ μόνον ἀπειθοῦντας ἅπαντας ἔχεις, ἀλλὰ καὶ δόξαν παρέχεις μηδ' ὅλως τούτους αὐτοὺς εἶναι, ἀλλ' ὑπὸ σοῦ συντεθεῖσθαι.
32) οὕτω διὰ μὲν τοῦ μεμνῆσθαι μόνον προστρίψασθαι δόξαν οὐ καλὴν ἐθέλων Λεπτίνῃ, διὰ δ' αὖ τοῦ μὴ πρὸς ὄνομα φάσκειν αὐτὸς τὸν ἔλεγχον φεύγων, ἔλαθες, ὦ Δημόσθενες, καὶ σαυτὸν ὡς οὐκ ἀληθῆ λέγεις ἐλέγ-

31, 10 συλλογίζει] συλλογίζῃ T. 23 ἐληλέγχθαι] ἐληλέχθαι T.
24 εἰ εἶχες] Aberat εἰ.
32, 2 αὖ τοῦ Grauertus. αὐτοῦ T.

Digitized by Google

ξας καὶ Λεπτίνην ὡς ἀληθῶς, ἀλλ' οὐχ ἡττώμενος πάθους εἰσῆγε τὸν νόμον. καὶ τὴν μὲν ἐκ Μιλήτου φασὶ Διοτίμαν, ἐπεὶ δέκα ἔτη ἀναβαλέσθαι τῇ πόλει δυνηθεῖσα τῆς νόσου οὐχ οἷα θ' ὑπῆρξε καὶ τὸ πᾶν ἐξειργάσθαι, οὐδὲ τοῦτ' εἰργάσθαι νομίσαι, οὐδὲ γενέσθαι τοῖς πράγμασιν ἐν καιρῷ, ὥστε διχόθεν αὐτὴν βεβοῆσθαι, ἔκ τε ὧν ἠδυνήθη τοσοῦτον ἔκ τε ὧν ὅπως οὐ τὸ πᾶν ἠδυνήθη, ἡ δ' ὥσπερ μηδὲν ἐπιδεδειγμένη οὕτω δυσχεραίνουσα ἦν· σὺ δὲ τοσοῦτον χρόνον νοσοῦσαν ἐξ ἀτελείας τὴν ἐνεγκαμένην ὁρῶν οὔτ' αὐτὸς ᾤου δεῖν ταύτης ἀπαλλάξαι τῆς νόσου καὶ ταῖς τῶν λόγων ἐπῳδαῖς ὡς εἰκὸς ὑπὲρ ταύτης κεχρῆσθαι, ῥᾴδιον ὂν παντὸς μᾶλλον, τόν τε καλὸν κἀγαθὸν τουτονὶ Λεπτίνην κάλλιστα πάντων καὶ τῇ τῶν θεῶν τοῦτ' εἰργασμένον προνοίᾳ ἥδιστα ἄν, εἴπερ ἦν, εἰς τοὺς Σικελικοὺς ὥσας κρατῆρας, πανταχόθεν ἐπιχειρῶν τοῦτον ἐλαύνειν καὶ πᾶσιν οἷς ἔξεστι διαβάλλων, ὅπως τὸν μέν, ὦ θεοὶ καὶ νόμοι, δοῦναι δίκην παρασκευάσῃς, ὡς δι' ὧν εἰσηγεῖται τοῖς πράγμασι δυσμενῆ· ἀτέλειαν δ' ὥσπερ τινὰ φυγάδα καὶ ὑπερόριον καταγαγεῖν αὖθις τῇ πόλει, προπίνων ἐντεῦθεν Κτησίππῳ τὸ ταύτης συμφέρον.

Ἀλλὰ γὰρ τὸ προσγράψαι, φησί, μηδὲ τὸ λοιπὸν ἐξεῖναι δοῦναι, ἢ θανάτου τὸν τἀναντία γεγραφότα τιμᾶσθαι, οὐ μόνον τυράννου δίκην τὸ ταῦτ' ἔχειν συνήθως ἐν τῷ τοῦ καιροῦ φιλοτιμεῖσθαι καλοῦντι, ἀλλὰ καὶ τὸ κατ' ἐξουσίαν ἀνῃρήκει τῇ πόλει. εἰ μὲν οὖν καθάπαξ
(33) ἡμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, Λεπτίνης μεγαλοψυχίας ἀπείργει, ὡς μήτε τοὺς εὐεργέτας ἀντευποιεῖν οἵους τ' εἶναι μήθ' ὅλως τοὺς εὖ πάσχειν ἀξίους τοῖς γιγνομένοις δωρεῖσθαι, ἀγνωμοσύνης ἂν εἰκότως φέροιτο μέμψιν καὶ τοῦ μηδέν τι τῶν δεόντων συμβεβουλευκέναι δύνασθαι, καὶ δεῖ τοῦδε τῷ νόμῳ νόμων ἐξούλης λαχεῖν. εἰ δὲ πλὴν ἀτελείας πάντων εἶναι λέγει κυρίους, καὶ σίτησιν ἐν πρυτανείῳ καὶ συνοικίας καὶ ἀρχὰς καὶ γῆς πλέθρα καὶ πάντα

---

6 Μιλήτου Grauertus. Μυλίτου T. 11 ἰδυνήθη bis T.
26 φησὶ] Confer Demosth. orat. exord. Mai. 30 ἀνῃρήκει Grauertus. ἀνειρήκει T.

Digitized by Google

τὰ τοιαῦθ' οἷς ἔξεστι νέμειν, ποῦ ταῦτ' ἐστὶν ἐγκαλεῖσθαι δίκαιος; ὥσπερ ἂν εἰ καὶ ἰατρὸν ἠξίους κακίζειν, ὡς ἀσιτίαν παντελῆ τοῖς κάμνουσιν ἐπιτάττει, παρὰ τὸ μὴ συγχωρεῖν τοῖς βλάπτουσι χρῆσθαι· ἢ καὶ γεωργὸς ἐδόκει σοι φαῦλος καὶ ταῖς ἀρούραις παντάπασι πολεμῶν ὁ τῶν λυμαινομένων ἐκκαθαίρων τὴν βλάστην. ἐγὼ δὲ καὶ τοῦτο λέγω, ὡς εἰ μὲν παρανόμων, ὦ Δημόσθενες, γράφει τὸν νόμον, τί περὶ τοῦ μέλλοντος δυσχεραίνεις; αὐτὸ γὰρ τοῦτο τὸ παρανομοῦντ' αὐτὸν εἶναι τὸ μηδὲ τὸ παράπαν εἶναι τοῦτόν ἐστι· μάταιον οὖν περὶ τοῦ μὴ νῦν ὄντος ὡς ἔτ' ἐσομένου φροντίζειν· εἰ δ' εὖ ἔχειν τοῦτον ὁμολογεῖς, καὶ τὸ μηκέτ' ἂν ἐξεῖναι λελύσθαι τοῦτον οὐδὲν ἧττον προσωμολόγηκας· οὐ γὰρ δὴ νῦν μὲν φήσεις τοῦτον λυσιτελεῖν, ὕστερον δὲ οὐκέτι, ἀλλὰ τὸν αὐτὸν διὰ τέλους εἶναι 32
προσῆκεν, εἴ γε μέλλει ταῖς ἀληθείαις τὸ πρόσρημα σώζειν.

Ἐκεῖνο δ' ἴσως ἐρεῖς, ὡς εἰ τῷ νόμῳ τὸ δίκαιον πρόσεστι, καὶ σύνοιδε Λεπτίνης βεβαίως καὶ ἀσφαλῶς ἔχοντι, τοῦ χάριν καὶ τῆς εἰσέπειτ' ἀσφαλείας προσδεῖν τούτῳ νομίζει; οὐδεὶς γὰρ τῶν νομοθετῶν περὶ ὧν ἔθεσαν νόμων ταύτην ἔσχον τὴν γνώμην, οὐδ' ἐγγύς, ἀλλ' ἀποχρῆν ᾤονθ' αὐτοῖς, εἰ μετὰ τοῦ δικαίου πᾶσι προσφέροιντο. νῦν δ' οἷς αὐτὸς μόνος τὰ τοιαῦτα διανοεῖ ἔοικας οὐκ ἀγαθὴν περὶ τοῦ νόμου δόξαν κεκτῆσθαι. ὡς μὲν
(34) οὖν ὁ νόμος κάλλιστα καὶ δικαιότατα καὶ ἀσφαλέστατα πάντων ἔχων κοινοφελές ἐστιν ἀγαθόν, οὐ μόνον, ὦ ἄνδρες Ἀθηναῖοι, ἐξ ὧν ἔφην γέγονε δῆλον, ἀλλὰ καὶ οἷς ἐδείξαθ' ὑμεῖς, τῷ τοιοῦτον εὐθὺς ὁρμῇ τινι θεοφορήτῳ καὶ ὅλῳ καὶ παντὶ δεδέχθαι θυμῷ, ὡς καὶ τῆς συνήθους χειροτονίας καὶ ψήφου κοινῆς αὐτὸν ἀξιῶσαι. ὅτι δὲ οὐκ ἄπο λόγου καὶ τὸ τοῖς μὲν ἄλλοις ἅπασι νόμοις μηδὲν μηδ' ὁτιοῦν προσγεγράφθαι, αὐτῷ δὲ μόνῳ τοῦτ' ἐκ περιουσίας ὑπάρξαι, οὐχ ὅπως εἴσεσθε σαφῶς, ὦ ἄνδρες Ἀθηναῖοι, ἀλλὰ καὶ φήσετ', εὖ οἶδα, μὴ χρῆναι ταῦτ' ἄλλως ἢ τοῦτον ἐσχηκέναι τὸν τρόπον, εἰ τὰς αἰτίας ἀμφοῖν λογιεῖσθε.

---

33, 15 γράφει] γραφῇ T. 29 ᾤονθ' αὐτοῖς] ᾤοντ' αὐτοῖς T. 30 διανοεῖ] διανοῇ T.

34, 2 κοινοφελές] κοινωφελές Grauertus.

Digitized by Google

εἰ γὰρ δὴ Σόλων μὲν καὶ Λυκοῦργος καὶ ὅστις ἕτερος τῶν νομοθετῶν, οὐδεμιᾶς τινος ἐπικειμένης ἀνάγκης, ἀλλ' ἀπὸ δημοτικωτάτου τῆς γνώμης ἐπὶ τοὺς νόμους ἧκον καὶ τὰς κοινὰς εἰσηγήσεις, Λεπτίνης δ' ὑπ' ἀνάγκης καὶ τοῦ μηκέθ' οἷός τε εἶναι κινδυνεύουσαν ὁρᾶν ἐξ ἀτελείας τὴν πόλιν. καὶ οἱ μὲν οὐδένα τῶν πάντων δι' ὧν ἐνομοθέτουν ἐλύπουν· οὐδὲ γὰρ οὐδὲ γερῶν ἀπεστέρουν· ὁ δὲ πᾶν τοὐναντίον πολλοὺς καὶ παντοδαποὺς τοὺς ταύτης διὰ τὸν νόμον ἐκπεπτωκότας ἐκπεπολεμωκὼς ἑαυτῷ· οὔτ' ἐκείνους ἐχρῆν, διὰ τὸ μηδὲ τηνικαῦτα τοὺς ἀντιλέγοντας ἴσχειν, πρόνοιαν τοῦ μέλλοντος ἡντινοῦν πεποιῆσθαι· οὔκουν οὐδὲ πεποίηνται· οὔτε τούτῳ, διὰ τὸ πολλούς τι- 33
νας τούτους κεκτῆσθαι, σεσιγῆσθαι τὸ μέλλον· οὔκουν οὐδὲ σεσίγηται· ἀλλ' ὥσπερ τις ἄριστος ἰατρὸς, οὐ νόσους ἀκούμενος μόνον, ἀλλὰ καὶ φάρμακα ἄττα πρὸς τὸ μέλλον ἐπιδιδοὺς, καὶ προσέτι κελεύων μὴ δι' ὧν ἡ νόσος ἐπῄει σιτίων, τούτων μηδ' ὁπωστιοῦν διὰ βίου μετέχειν ἐξεῖναι, ἐφ' ᾧ μὴ τῶν αὐτῶν καὶ αὖ πεπειρᾶσθαι· ὡς δὲ καὶ Λεπτίνης γράψας μηδένα εἶναι ἀτελῆ, ὁ δὲ μηδὲ
(35) τὸ λοιπὸν ἐξεῖναι δοῦναι προσγράφει, τό τε νῦν εἶναι τό τ' εἰσαῦθις εἶναι καθάπαξ ἀσφαλιζόμενος, καὶ τὰ μὲν τῆς πόλεως ἀεὶ προμηθούμενος, τὰ δὲ καὶ τοὺς εἰς νέωτα παραπλησίους Δημοσθένει τὰ τοιαῦτ' ἐσομένους ἀνείργων. εἰκὸς γὰρ, εἰκὸς, μᾶλλον δὲ πᾶσα ἀνάγκη τὸν ἀεὶ χρόνον καὶ χρηστοὺς καὶ φαύλους ἐνεῖναι τῇ πόλει. εἰ δὲ καὶ τυραννίδος εἰς θέσιν νόμων ἐδέησεν εἰστισοῦν, τί καινὸν εἰ καὶ τῆς εἰσέπειτ' ἀσφαλείας ὑπὲρ τοῦ κοινῇ λυσιτελοῦντος ἐδεήθη Λεπτίνης; ἀλλ' οὐ περὶ τῷ νόμῳ μὰ τοὺς θεοὺς, ὡς ἄν τις φαίη, δεδιώς· ὁ γὰρ παρ' ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τῆς ὑμετέρας ψήφου παντὸς μᾶλλον ἐπὶ τῷ βέλτιστος εἶναι τὸ συγκεχωρηκὸς ἐσχηκὼς, τί παρὰ τοῦτο ὄφελος, ἂν ὁ δεῖνα ἢ ὁ δεῖνα ληρῇ;

---

16 εἶναι addidit Grauertus. 20 τὸν νόμον Niebuhrius. τῶν νόμων T. 26 ἄττα Grauertus. ἅττα T. 27 κελεύων νὴ Δία δι' ὧν Niebuhrius.

35, 3 ἀεὶ] αἰεὶ T. εἰς] ἐς T. 7 εἰστισοῦν Niebuhrius. οἱστισοῦν T. 10 φαίη] φῇ T. 13 ὄφελος Niebuhrius. φαῖ-

Οὕτως, ὦ Δημόσθενες, ἃ μὲν ὑπὲρ αὐτὸς σαυτοῦ λέγειν ἐδόκεις, ταῦθ' ὑπὲρ Λεπτίνου λέγων ὡς κάλλισθ' εὑρέθης· καὶ οἷς τοῦτον αἱρήσειν ἤλπισας, τούτοις αὐτὸς καθάπαξ ἑάλως. καὶ ἀτελείας μὲν, ὑπὲρ ἧς πάντ' αὐτὸς καὶ ποιεῖν καὶ λέγειν ᾤου δεῖν, ταύτης οὐδὲν ἐξωλέστερον ὦπται· ὃν δ' εἰσενήνοχε νόμον Λεπτίνης, τούτου μηδὲν ἀναγκαιότερον χρῆσθαι. ὥστε σοι καὶ χάριν ἂν εἰκότως ἔχοι Λεπτίνης οἷς ὅτι πλέον ἐντεῦθεν τοῦτον σεμνύνεις ἢ εἰ συνειρήκεις τὸ ἐξ ἀρχῆς. τότε μὲν γὰρ καὶ χαρίζεσθαι ἂν ἴσως ἐδόκεις καί τις ἀφῆκε βέλος ἐξ ἀφανοῦς, νυνὶ δὲ ἀνύποπτος ἡ μαρτυρία, ὡς ἄρα τῶν βελτίστων καὶ λυσιτελεστάτων ἀνὴρ, τῷ καὶ παρὰ τῶν ἐχθρῶν αὐτῷ ταῦτ' ἐψηφίσθαι.

---

·λος T. 15 σαυτοῦ Grauertus. σαυτὸν T. 25 ἀνὴρ] ἀνὴρ T.



Digitized by Google

# IACOBI MORELLI
# PROLEGOMENA
## IN ORATIONEM ADVERSUS LEPTINEM.

Orationem adversus Leptinem se scripsisse, eaque Demosthenicam illam celebratissimam se aemulatum fuisse, Aristides ipse initio Orationis Platonicae tertiae ad Capitonem hisce verbis declarat (Tom. II. p. 315. ed. Ieb.): *Ἀνὴρ τῶν ἐκ τῆς γερουσίας τῶν Ῥωμαίων, Λίβυς τὰ ἀρχαῖα, Μάξιμος τὸ ὄνομα, ἄξιος ὅτου βούλει· φασὶ δὲ οἱ ταῦτα δεινοὶ καὶ ῥήτορα αὐτὸν ἐν πρώτοις εἶναι Ῥωμαίων· οὗτος τοῖς τε Δημοσθένους λόγοις προσέκειτο ὑπερφυῶς, καὶ οὐκ οἶδ' ὅντινα τρόπον καὶ τοῖς ἡμετέροις ἑάλω τούτοις· καὶ δὴ οἷα συμφοιτῶν τε εἰς Ἀσκληπιοῦ καὶ φιλοκαλίας ἐλλείπων οὐδὲν, συνῆν ἐμοὶ καθ' ἑκάστην ἡμέραν κατὰ τοὺς λόγους· ὥστε τι καὶ περιειργασάμην πρὸς αὐτὸν ὑπὸ τοῦ τοιούτου. ἔτυχε γάρ μοι λόγος τις πεποιημένος ἐκ τρίτων πρὸς Λεπτίνην ἐξ ἀρχῆς τοιᾶσδε. εἶχον ἐν χερσὶ τὸν λόγον τὸν τοῦ Δημοσθένους, καὶ ὡς ἐγενόμην ἐπὶ τῶν κεφαλαίων, ἃ τοῦ Λεπτίνου μέλλοντος ἐρεῖν ὑπετέμνετο, ἀποστήσας ἐμαυτὸν τοῦ Δημοσθένους, ἐπ' ἐμαυτοῦ τι συνεώρων. ὡς δὲ εὗρον καὶ δύο καὶ τρία τῶν χρησίμων ἐνταῦθα, πάλιν αὖ ἐπ' ἄλλο τι ἐχώρουν. καί μοι πειρωμένῳ τὸ αὐτὸ ἀεὶ συνέβαινε, καὶ οὕτω δὴ ἀπὸ τοῦ κρασπέδου θοιμάτιον, εἰ δὲ βούλει, τὸν λέοντα ἀπὸ τοῦ ὄνυχος ἀπειργασάμην. τοῦτον οὖν αὐτῷ τὸν λόγον δεῖξαι ἐπεχείρησα, καὶ μέλλων δείξειν προεῖπον ὅτι πρὸς Λεπτίνην*

Digitized by Google

*ἐφευρημένα σὺν τῷ πρὸς Λεπτίνην ἐφευρήσει. μὴ ἀδικῶ γε; ἔφην ἐγώ. καὶ ὅς, μὰ Δία, εὐγενῶς τε καὶ ὡς ἂν πᾶς ἠράσθη τε καὶ ἠγάσθη ὅστις φιλόλογος, οἶσθα, ἔφη, ὅτι κάθημαι πρὸς τοῦ Δημοσθένους κἀγώ; τὸν αὐτὸν ἄρ', ἔφην, ἐμοὶ βουκολεῖς, ὥστε εἰ νικῴη μ', οὐκ ἐχθρὸς ὁ στεφανούμενος, ἀλλ' ᾧ σύ τε κἀγὼ συσπένδομεν. ὡς δ' ἐκέλευε τὰ βιβλία ἐν μέρει δεικνύναι, καὶ τὸ πρᾶγμα πανταχῇ σπουδὴ ἦν, οὑτωσί τοι ἔφην· ἐγώ σοι ταυτὰ γιγνώσκω περὶ Δημοσθένους, καὶ ἡγοῦμαι ταυτὸν ὅπερ σὺ, μὴ ῥᾴδιον εἶναι τὸν ἄνδρα ἐκεῖνον παρελθεῖν κ. τ. λ.* Ne tamen tres in Leptinem Orationes ab Aristide scriptas quis putet, Scholiastes ineditus Codicis Marciani CCCCXXV. ad ellipticum illud *ἐκ τρίτων* haec adscribit: *ἐκ τρίτων πρὸς Λεπτίνην· ἢ ὅτι διὰ τριπλᾶς μελέτας αὐτὸν ἀπειργάσατο· ἢ ὅτι τῷ λόγῳ δὶς ἐπιχειρήσας πρότερον, καὶ μὴ δυνηθεὶς ἐπιπολὺ προελθεῖν, διὰ τὴν τοῦ Δημοσθένους δεινότητα, τρίτον ὅμως πάλιν ἐπὶ τὴν μελέτην ἑαυτὸν καθεικὼς ἠδυνήθη τὸν λόγον ἀπεργάσασθαι τέλεον.* Reiskius attamen, vir doctissimus, in aliam sententiam ire maluit (Animadvers. ad Graec. Auct. T. III. p. 517.): „*ἐκ τρίτων videtur significare quasi tertiam quandam in hac causa personam sustinens: post duas illas superiores, quae dudum hanc causam egerant (primam Demosthenes, alteram Leptines reus) tertiam nunc Aristides exercitii gratia commentatus erat: subauditur μελετημάτων.*"*)

At enim nescio quo fato, certe iniquo, cum Aristidis opera vel in ipsa deterrima litterarum Graecarum fortuna magno in pretio habita sint, quippe quae in omnibus gymnasiis versarentur; haec Oratio tamen usque adeo

*) Aberraverunt et Scholiasta et Reiskius. Verum haud dubie vidit Wolfius Proleg. ad Lept. p. XXXIV. not., qui haec disputat: „Et sane ante hunc *τριταγωνιστὴν* (Aristidem) in ea causa satis oratum erat. Duobus enim, Phormioni et Demostheni, qui legem Leptineam impugnarant, ille serum quasi subscriptorem se adiunxit, ut Declamatio *τριτολογίας* cuiusdam loco haberi debeat. Eo ipso refer locum ante laudatum: *Ἔτυχε γάρ μοι λόγος τις πεποιημένος ἐκ τρίτων πρὸς Λεπτίνην ἐξ ἀρχῆς τοιᾶσδε· κτλ.*" Grauert.

neglecta est, ut ex antiquis novisque scriptoribus nemo, quantum saltem ego video, eam se legisse prodiderit, aut eandem ullibi superesse innotuerit: hinc ab eruditissimo quoque Fabricio (Bibl. Gr. T. IV. p. 390.) Orationibus deperditis clarissimi huius Sophistae annumeratam fuisse, haud sane mirum. Si qua tamen ex Aristidis Orationibus ut exstaret ac in lucem proferretur, optare par erat, de hac utique vota huiusmodi fieri praestabat. Nempe quantum ille ingenio et eloquentia valeret in argumento tractando, in quo, Ciceronis (Orat. ad Brut. n. 31.), ac Dionysii Halicarnassensis (Epist. ad Ammaeum n. 4.) iudicio, subtilitatis atque elegantiae suae vires Demosthenes maxime exercuerat, haec ipsa declarat; ac tanto se quoque artificio commendat, ut si quidem cum ea conferas, quae ab Oratorum principe prodiit, tantum sane ab ea distare videas, quantum eloquentia umbratilis a germana, et quantum, ut ita dicam, Aristides a Demosthene distat: si vero cum ceteris Aristidis aliorumque Sophistarum componas, nulli eandem concedere intelliges. Cum vero factum forte esset, ut hanc in codice Marciano CCCCXIX. offenderem, nedum sine inscriptione ulla inveni, quaemadmodum etiam in Indice Codicum Bibliothecae Marcianae relata est; sed fine quoque suo mutilam: neque id tamen, quod a Codice abscissum quidquam fuerit, vel negligentia deperierit; bene vero quod vetus Codex, de quo exemplar Marcianum sumptum est, neque is integer facile fuerit. Ne multa tamen deesse videantur, Orationis prolixitas ipsa suadet. Porro codex Marcianus, qui ex pulcherrimo atque celebratissimo Bessarionis Cardinalis munere nobis obvenit, initio saeculi XV. exaratus est, ac nonnullas Demosthenis et Aristidis Orationes continet; Leptinea vero Oratio partim eodem, quo plerumque Codex reliquus, partim alio charactere, eiusdem tamen aetatis, ad calcem adiecta. Hunc Thessalonicae, quae urbs litterarum studiis per ea tempora florebat (Io. Cameniata de Excidio Thessalon. p. 326. et Demetr. Cydonius Monod. Occis. Thessal. p. 386. Scriptor. post Theophanem, Ed. Paris. 1685.)

scriptum fuisse, ex eo fortasse coniici potest, quod antequam in Bessarionis potestatem idem veniret, ad Manuelem Balsamopulum Thessalonicensem spectasse, haec tertia quadam manu, extremo folio, saeculo ipso XV. adscripta declarent: *τὸ βιβλίον τοῦτο ἔστιν Μανουὴλ τοῦ Βαλσαμοπούλου. Ὅστις δυσπραγήσας ἐν τῇ παρούσῃ βίβλῳ, ἐχέτω ἀρὰς πάντων τῶν ἁγίων πατέρων καὶ τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ἀντωνίου τοῦ μεγάλου. Δημήτριε τρισμάκαρ Θεσσαλονίκης κλέος τοὺς ἑορτάσαντας φύλαττε εἰς αἰῶνας, ἐν τῷ παρόντι αἰῶνι, καὶ ἐν τῷ μέλλοντι. Τοῦ πανευγενεστάτου καὶ τετιμημένου ἄρχοντος κυροῦ Μανουὴλ τοῦ Βαλσαμοπούλου πολλὰ τὰ ἔτη. Ὁ ἐλεήμων θεὸς νὰ εὐεργήσει χρόνους πολλοὺς καὶ καλοὺς τὴν εὐγενίαν σου κῦρι Μανουὴλ Βαλσαμόπουλε. Δημήτριε παμμάκαρ Θεσσαλονίκης ἔρμα οἴκτειρον τὸν παρόντα Μανουὴλ Βαλσαμόπουλον. Ἀντώνιος γέγραφα τάδε.*

Etsi vero inscriptione, atque adeo auctoris nomine omnino careat Oratio, Aristidi tamen, ut fidenter adiudicari possit, stilus potissimum efficit, Sophistae huic maxime proprius, aliis vero scriptoribus prorsus alienus; quanquam et illud in hanc rem nonnihil confert, quod Aristidis Orationibus aliis in Codice hoc adscripta fuerit. Sane ea omnia, ex quibus proprius Aristidis character exstat, Demosthenicae imitationis consectatio, Atticae locutionis usus exquisitus, stili suavitas, nimia in argumentis subtilitas, et sententias sententiis creberrime inserendi connectendive studium, obscuritatis efficiendae paene dixerim gratia; haec, inquam, omnia, seu ad laudem, seu ad reprehensionem faciant, haud minus Orationi Leptineae insunt, quam reliquis, quas iam Aristidis esse compertum est. Accedit: quae Aristides in editis, potissimum vero in Panathenaica Oratione habet, eadem ipsissimis quandoque verbis et in hac Leptinea sunt: quod ob oculos ponere cum studuerim in annotationibus, fortasse nimius aliquando fuisse videbor: feci id tamen cum de auctore firmando, tum etiam de textu recensendo sollicitus. Ceterum multa ne annotarem cavi, iis tantummodo con-

Digitized by Google

tentus, quae res quodammodo poscere videbatur: alioquin enim quam multis annotationibus non locum fecisset Oratio, quae rerum Graecarum adeo frequentem ingerit mentionem, quaeque insolentia dicendi tantopere abundat!

Scholia Aristidis inedita identidem adduxi, ad fidem Codicum Marcianorum; eadem omnino, quae ab accuratissimo auctore profecta Politianus dixit (Miscellan. Cap. 91), haud vero contemnenda esse Erasmus pronunciavit (Adag. Chil. I. Cent. VI. n. 35.), Codicibus ipsis Marcianis, ut puto, adhibitis: fatetur ipsemet enim, cum Adagiorum opus an. 1508. Venetiis apud Aldum ederet, plurium Graecorum scriptorum, qui nondum prodierant, et in iis Aristidis totius cum Scholiis, ab Aldo Manutio, Baptista Egnatio, Marco Musuro, Urbano Bolzanio, et Hieronymo Aleandro copiam sibi factam fuisse, atque ad augendum ac exornandum opus illud insigne, magnopere ex iis profecisse (Adag. Chil. II. Cent. I. n. 2.). Quae quidem Scholia ad Aristidem explicandum valde opportuna esse, deinceps Canterus (Praefat in Aristot. Pegli Fragm. p. 15.), Fulvius Ursinus (in Carm. novem Poet. ill. p. 158. 302. 331.), Allatius (De Scriptis Socrat. p. 111.), Holstenius (ad Steph. Byzant. p. 277.), Valesius (in Harpocrat. p. 30.), Hudsonus (ad Longin. in Ind. Verbor. V. θεῖος.), Abrescius (in Aeschyl. p. 13. 304. etc. et Dilucid. Thucyd. p. 655. etc.), Vesselingius (in Herodot. Vid. Indic. Scriptor. in fin.), Valckenarius (De Fragm. Euripid. p. 155. 252. et alibi), Wyttenbachius (in Plutarch. de S. N. V. p. 8.), Schardamius (Diss. de Longino §. 9.), aliique exemplo suo comprobarunt; ac propterea cum sex abhinc annis Bibliotheca Burmanniana Lugduni Batavorum divenderetur, Codex manuscriptus, qui Scholia in Panathenaicam Orationem et Apologiam pro Quatuorviris habebat, ceu eximiae notae expositus est (Bibliotheca Burmanniana n. 1213.). Et quanquam haud ab uno auctore Scholia omnia in Aristidem profecta fuisse, vel ex ipsis Codicibus Marcianis pateat; ea tamen Metrophani Phrygio Sophistae saltem ex parte tribuenda

esse, Gisberto Cupero in suspicionem venit, qui haec ad Iacobum Tollium an. 1687. scribebat (Giornale de' Letterati. Parma, 1687. p. 256.): *Tu me quaeso certiorem facias, num in Bibliotheca Medicea Aristidis Orationes ineditae serventur; num Scholia in Aristidem, qualia Graevium servare nosti; numque eorum auctor sit Metrophanes, quem Suidas testatur commentaria in eius Orationes scripsisse.* Suidas attamen Metrophanem ὑπόμνημα in Aristidem scripsisse dumtaxat affirmat; ut proinde, num in Orationes, vel in libros De civili dictione scripserit, ex ipso minime innotescat. Non Metrophanem, sed Menodotum Scholiis Aristidem explicasse, Abrescius (apud Reisk. ut infr.) existimavit, quod in Aristide editionis Florentinae an. 1517. ipsa Canteri manu recensito pag. 70. Menodotum ab hoc afferri sibi videbatur: quam in opinionem ut etiam Reiskius veniret, effecit, cum eidem Canteri emendationum copiam faceret, quas in Animadversionibus ad Graecos Auctores is demum emisit (Volum. V. p. 591.). At in errorem impegit Abrescius: certe siquidem Canterus eo in loco non Menodotum, sed Menandrum Rhetorem adducit, qui pag. 599. Rhetorum Graecorum editionis Aldinae an. 1508. ea verba syllabatim habet, quae Canterus in margine adscripsit, quibusque apposuit: *Menand.* 599: quod equidem quae Canterus ad Aristidem adiecit, et Reiskius (Lib. cit. p. 591.), edidit, cum Menandri textu qui conferat, aperte cognoscit. Errorem Abrescii deprehendere mihi licuit, humanitate Maphaei Pinellii Veneti, viri iusta veraque amicitia mihi olim coniunctissimi, ante vero menses duos, in magno bonorum luctu, nec levi studiorum meorum incommodo, morte immatura sublati. Is namque cum pro mirifica sua in litteras voluntate, Bibliothecam optimis veterum praesertim auctorum editionibus refertam instruxisset, in ea, quam dixi, Bibliothecae Burmannianae venditione, Aristidis exemplar illud a Cantero recensitum, una cum alio eiusdem editionis, in quo emendationes quaedam ex autographis Iosephi Scaligeri descriptae sunt, sibi compa-

Digitized by Google

ravit; ex utroque autem ut proficerem, libentissime concessit. Porro volumina duo haec ex Bibliotheca Petri Francii (Catal. Libror. P. Franc. 8. Amstel. 1705. p. 115. (ad Burmannos devenerant; apud quos utriusque linguae Scriptores typis editi, doctorumque hominum annotationibus manuscriptis illustrati, bene multi exstitere (Bibliotheca Burmanniana. 8. Lugd. Bat. 1779. in fin.). Et Canterianum quidem librum vidisse atque tractasse, iucundissimum aeque ac utilissimum certe mihi fuit; cum quod, mea sententia, idem ipse sit, quem, Codicibus manuscriptis adhibitis, horumque duobus ex Bibliothecis Venetis; Canonicorum Regularium ad D. Antonii, et Fratrum Praedicatorum ad DD. Ioannis et Paulli, se recensuisse, Canterus in praefatione ad Syntagma de ratione emendandi Auctores Graecos indicavit; tum etiam quod ex iis quae a Cantero adscripta sunt, nonnulla Reiskius omiserit, nonnulla aliter ac se habent, Abrescii tamen culpa, ediderit. Hoc dum affirmo, nihil Abrescio detractum velim, quem ob exquisitam litterarum Graecarum peritiam valde suspicio, quemque novam Aristidis cum scholiis uberrimis editionem, quam pollicitus erat (Miscel. Observ. Vol. V. p. 245.), minime perfecisse, omnino doleo. Quam enim male habitus sit ab Iebbio, qui postremus eum denuo protulit, Aristides, notius est, quam ut hoc loco me id commonstrare oporteat; iamque in oculis omnium Reiskii hac de re querelae sunt (Praef. in Vol. III. Animadv. ad Graec. Auct.), acerbiores fortassis illae quidem in Iebbium; at quae novae editionis vehemens desiderium iniiciant. Ut ut enim iis, quae dicebam, vitiis inquinatus Aristides sit; multas ei tamen virtutes inesse, veterum recentiorumque scriptorum consensione comprobatum est: quippe qui a Phrynicho (apud Photium Cod. CLVIII. p. 326.), Longino (apud Sopatr. in Prolegom. ad Aristid.), Synesio (in Dion. p. 40. Ed. 1612.), magno in pretio habitus sit; Libanio in deliciis omnino fuerit (Orat. pro Saltator. T. II. Oper. p. 475.), τεχνικώτατον τῶν σοφιστῶν Philostratus appellaverit (Vit. Sophist. Lib. II. Cap. 9. n. 3.)

Digitized by Google

suavidicum Trillerus (Observat. Critic. p. 216.), et Sophistam *'Αττικώτατον* Valckenarius (in Herodotum p. 647.); ut alia praeteream elogia, quae Iebbius collegit. Canterus autem adeo magnifice de Aristide sensit, ut scribere non dubitaverit (Prolegom. in Aristid.): *Certe, si quid iudicare possum, videor mihi in uno hoc Oratore et subtilitatem Thucydidis, et suavitatem Herodoti, et vim denique καὶ δεινότητα Demosthenis accuratissime expressas deprehendere.* Ac illud etiam ad commendationem accedit, quod ab Aegypti civitatibus quibusdam, eloquentiae quoque nomine perhonorificam Inscriptionem is retulerit, quam Museum Veronense ostentat, Iosephus vero Bartholus, vir clarissimus, luculento commentario explicavit (Due Dissertazioni sul Museo di Verona, e sopra un' Iscrizione di esso. Verona, 1745.); in quo etiam de statua a Smyrnensibus Aristidi posita, ac de ea, quae in Bibliotheca Vaticana modo est, egregie disserit (p. 197. e seg.).

---

Quod Atheniensium respublica eorum, qui munera publica obirent, inopia laborare videretur, legem tulit ac pertulit Leptines, ut omnes ex aequo eadem facere tenerentur; qui vero immunitatem essent assequuti, eadem exciderent, iis qui ab Harmodio et Aristogitone erant, et novem Archontibus dumtaxat exceptis. Iuxta anonymum auctorem argumenti in orationem Demosthenis Leptineam hisce verbis lata lex est: *ὅπως ἂν οἱ πλουσιώτατοι λειτουργῶσι, μηδένα ἀτελῆ εἶναι, πλὴν τῶν ἀφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος καὶ τῶν ἐννέα ἀρχόντων· μηδὲ τὸ λοιπὸν ἐξεῖναι τῷ δήμῳ αἰτηθέντι διδόναι. εἰ δέ τις αἰτῇ αὐτῶν, ἄτιμον αὐτὸν εἶναι καὶ γένος καὶ οἰκίαν, καὶ ὑποκεῖσθαι γραφαῖς καὶ ἐνδείξεσιν. εἰ δὲ καὶ ἐν τούτοις ἁλῷ, ἔνοχον εἶναι τοῖς αὐτοῖς, οἷσπερ οἱ δικάζοντες, ὅταν ὀφείλοντες τῷ δημοσίῳ δικάζωσιν.* Ad τὸ μηδένα addit Demosthenes contra Leptinem (T. I. p. 466. Ed. Reisk.) quasi verba legis: *μήτε τῶν πολιτῶν μήτε τῶν ἰσοτελῶν μήτε τῶν ξένων.* Poenas vero in eos, qui im-

munitatem denuo peterent, a Leptine constitutas, ita refert (p. 504.): *ἐάν τις ἀπαιτήσῃ χάριν ὑμᾶς, ἄτιμος ἔστω, φησὶ, καὶ ἡ οὐσία δημοσία ἔστω...... εἶναι δὲ καὶ ἐνδείξεις καὶ ἀπαγωγάς. ἐὰν δ' ἁλῷ, ἔνοχος ἔστω τῷ νόμῳ, ὃς κεῖται, ἐάν τις ὀφείλων τῷ δημοσίῳ ἄρχῃ.. θάνατον λέγει· τοῦτο γάρ ἐστ' ἐπ' ἐκείνῳ τὸ ἐπιτίμιον.* Additamenta quoque nonnulla ex hac ipsa Aristidis oratione nunc primum prodeunt, de quibus in annotationibus indicium faciam. Post annum a lege lata hanc veluti iniquam et rei publicae noxiam Demosthenes detulit, Ctesippo Chabriae filio, ut immunitas eidem immota perstaret, omni ope patrocinatus: hinc Aristidis oratio, cui argumentum idem omnino ac Demosthenicae est, eo demum tendit, ut Chabriae filii immunitati consulat. Leptinem infra annum a lege lata a Bathippo accusatum fuisse, post autem a Phormione habitam in Leptinem orationem, pro immunitate Aphepsioni Bathippi filio servanda, ex ipso Demosthene intelligimus. Lysiae itidem orationem adversus Leptinem exstitisse, sunt qui existiment, idque Harpocrationem (v. *Ἄρδηττος*) tradidisse velint; attamen Maussaco annotante, Codices manuscripti, quos inter Marcianus CCCCXLIV, *πρὸς Ἐλπίνην* habent. Ut vero Lysias, Orator ille celeberrimus, adversus Leptinem immunitatis hostem orationem fecerit, non de ipsa tamen immunitate fecisse constat: ex Dionysio namque Halicarnasseo (Ep. ad Ammaeum p. 4.) cognoscimus, Demosthenis orationem habitam fuisse Callistrato Archonte, cuius magistratus incidit in annum 2. Olymp. CVI. (Meursius de Archont. Athen. Lib. IV. Cap. 7.; Corsini Fast. Attic. T. IV. p. 23.), ipsam vero legem anno proxime elapso Leptines tulerat. At Lysias iam ab Olymp. C. vivere desierat, cum ex Dionysio Halicarnasseo (Iud. de Lysia §. 12.), Nicone Archonte vel Callistrato, is decesserit: horum vero magistratus ad illud, quod dixi, tempus sit referrendus. (Meursius Lib. IV. Cap. 1. Corsini T. III. p. 300.).

# LIV.

## 36) ΠΡΟΣ ΛΕΠΤΙΝΗΝ ΥΠΕΡ ΑΤΕΛΕΙΑΣ.

*Εἴπερ τι τῶν πάντων, ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς τὸ* 2 Mor.
*κοινῇ λυσιτελοῦν ἔχον τῇ πόλει καὶ φέρον ἐπὶ πλεῖστον* 4
*εἰς δόξαν· καὶ τὸν τοῦ Λεπτίνου νόμον, ὡς οὐ καλῶς ἔχονθ' ἡμῖν, ἐκποδὼν πεποιῆσθαι. εἰ γὰρ ὁ μὲν δι' ὧν γράφει καὶ νομοθετεῖ οὕτω παντάπασιν ἀτέλειαν ἀναιρεῖ, ὡς μὴ ὅτι τοὺς ἔχοντας αὐτὴν ἀφελέσθαι, ἀλλὰ καὶ ἡμᾶς αὐτοὺς τὸ μηκέθ' οἵους τ' εἶναι ταύτης ὁντινοῦν ἀξιῶσαι·* 6

---

T codex Vaticanus ab Maio cum editione Morelliana collatus: V editio Morelli ex codice Marciano Veneto facta.

36. *ΠΡΟΣ ΛΕΠΤΙΝΗΝ ΥΠΕΡ ΑΤΕΛΕΙΑΣ*] *εἰς τὸ ἐναντίον ὑπὲρ ἀτελείας* T. *Ἀριστειδου προς Λεπτινην λογος* V. 2 *καὶ φέρον — εἰς δόξαν*] Per ellipsin, quo dicendi modo mirifice delectatur Aristides, haec vel eiuscemodi alia hoc loco dici videntur: *εἰς δόξαν ἐστί, καὶ ἐκεῖνό ἐστι, τὸν τοῦ Λεπτίνου νόμον, κτλ.* Mor. 4 *ἐκποδὼν*] *ἐκ ποδῶν* V. 5 *οὕτω*] *οὕτι* codex Venetus.
12 *ὥσπερ τινὰ Κῆρα παντάπασιν ἐξελαύνειν*] Iniquum se Leptini hic, ut alibi quoque, Aristides praebet, si quidem in eadem, quam Demosthenes egit, causa versari vult. Esto namque legem veluti reipublicae noxiam accusare omnino liceret; non tamen Leptini ullum inde periculum creari poterat, quod tunc annus a tempore latae legis elapsus iam esset. Apud Athenienses enim cautum lege erat, quam affert anonymus auctor argumenti in orationem Demosthenis Leptineam, *τὸν γράψαντα νόμον μετὰ ἐνιαυτὸν μὴ εἶναι ὑπεύθυνον τιμωρίᾳ· ὅμως δὲ ἐξεῖναι ποιεῖσθαι τὰς κατηγορίας.* Hinc Demosthenes tota oratione ne verbum quidem habet, quo poenas de Leptine sumendas suadeat; quinimmo sic ad eum: *ἄλλως τε καὶ γεγενημένου σοι τοῦ ἀγῶνος ἀκινδύνου· διὰ γὰρ τὸ τελευτῆσαι Βάθιππον τὸν τουτουὶ πατέρα Ἀψεφίωνος, ὅς σαυτὸν ἔτ' ὄντα ὑπεύθυνον ἐγράψατο, ἐξῆλθον οἱ τῆς κρίσεως χρόνοι, καὶ νυνὶ περὶ αὐτοῦ τοῦ νόμου πᾶς ἐστιν ὁ λόγος· τούτῳ δ' οὐδείς ἐστι κίνδυνος.* T. I. p. 501. Ed. Reisk. Mor.

Digitized by Google

ἡμῖν δὲ δι' αὐτῆς ταύτης τὰ κράτιστα παρὰ πάντων μετὰ τοὺς θεοὺς ἀπαντᾷ, οὐ μόνον ἃ καθ' ἡμῶν ἐστιν ἀτεχνῶς, τούτοις μηδ' ὁπωστιοῦν ἡμᾶς χρῆσθαι προσῆκεν, ἀλλὰ καὶ τὸν ταῦτ' εἰργασμένον κολάζειν τε καὶ μισεῖν καὶ τῆς πόλεως ὥσπερ τινὰ κῆρα παντάπασιν ἐξελαύνειν. δεῖ γάρ που δυοῖν θάτερον, μᾶλλον δὲ πᾶσα ἀνάγκη· εἰ μὲν ἡμῶν αὐτῶν ὡς ἀληθῶς ποιούμεθα λόγον, μηδένα τούτου τὸ παράπαν λόγον ποιεῖσθαι, μᾶλλον δ' ὅπως αὐτίκα πεπαύσεται πάντα ποιεῖσθαι λόγον· εἰ δ' ὅπως κύριος ἔσται· τοῦτο δ' ἀπείη. ποιησόμεθα λόγον, δόξομεν εὖ οἶδα πᾶσιν, ἡμῶν μὲν αὐτῶν οὐδ' ὁντινοῦν λόγον ποιεῖσθαι, τοῦ
(37) δ' ὅπως τὰ ἡμέτερα αὐτῶν ἕξει κακῶς πολύν τινα λόγον 8
ποιεῖσθαι. καὶ τίς ἂν ταῦτα φήσειε; καίτοι εἰ τὸ πρὸς τὴν πόλιν ἐρραστωνεῦσθαι καὶ μὴ τὴν γιγνομένην ταυτησὶ πρόνοιαν ἴσχειν οὐκ ἀγαθοῦ τινος καὶ δημοτικοῦ φάσκομεν εἶναι πολίτου· ὅταν τις πρὸς αὐτῷ τούτῳ καὶ ἃ ταύτῃ καθάπαξ λυμαίνεται, ταῦτα γράφειν καὶ νομοθετεῖν ἐκ περιουσίας αἱρεῖται, ποῦ τουτονὶ θήσομεν; ὡς μὲν οὖν πανοῦργος ἡμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ δύσνους καὶ τὰ τοιαῦτα Λεπτίνης, καὶ ὡς τῆς ἀγαθῆς καὶ τὴν πόλιν ἐξ ἀρχῆς λαχούσης ἀντίπαλος τύχης, ἐν ὑστέρῳ καὶ δὴ σαφῶς ἐπιδείξω· ὅτι δ' οὐδὲν τῶν δεόντων καὶ ὧν τοῖς πράγμασι μάλιστα δεῖ, ἀλλ' ἃ μὴ χρὴ, συμβουλεύει, καὶ παρὰ τοὺς κειμένους τῇ πόλει νόμους καινοτομεῖ, καινούς τινας αὐτὸς εἰς τὴν πολιτείαν εἰσάγων, νῦν ἐμοῦ λέγοντος εἴσεσθε.

Πρῶτον μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐκεῖνο μαθεῖν ἡμᾶς δεῖ, ὅτι τοσούτων καὶ τηλικούτων ἄνωθεν, 10 οὐκ Ἀθήνησι μόνον, ἀλλὰ καὶ πᾶσι τοῖς Ἕλλησι συμβούλων καὶ νομοθετῶν γεγονότων, τούτων μὲν οὐδεὶς οὐδέν τι τοιοῦτον πώποτ' οὔτ' ἔγραψεν οὔτ' εἰσηγήσατο· μάλιστα ἂν εἴ γε συμφέρειν ᾔδεσαν καὶ τοῦτ' εἰρηκότες, ὥσπερ καὶ τἆλλα, δι' ὧν ἡμῖν ἡ πόλις, σὺν θεοῖς εἰπεῖν, ἄριστα

37, 10 τὴν πόλιν — τύχης] Aristides in Leuctrica prima (T. I. pag. 418. Ed. Ieb.): ἀλλὰ σώζει μὲν, ὦ Ἀθηναῖοι, καὶ φυλάττει τὴν ἡμετέραν πόλιν ἥ τῶν θεῶν δικαία πρόνοια, καὶ ἡ λαχοῦσα αὐτὴν ἐξ ἀρχῆς ἀγαθὴ τύχη. Mor. 12 παρὰ T. πρὸς V. 21 ᾔδεσαν

ἔχει· μόνος δὲ αὐτος, ὥσπερ ἐκ θεῶν ἥκων καὶ τὸ συμφέρον ἐκεῖθεν ὑπὲρ τοὺς ἄλλους πάντας εἰδώς, ἐπὶ ταῦτα προῆλθε, καὶ νομοθετεῖν οἴεται δεῖν ἃ μηδὲ τὴν ἀρχὴν ἐντεθυμῆσθαι προσῆκεν. ἔπειθ᾽ ὅτι πάντων ὡς εἰπεῖν τῶν νόμους τιθέντων οὐ τὸ συμφέρον μόνον σκοπούντων, ἀλλὰ καὶ ὅπως μετὰ δόξης τοῦτ᾽ ἔσται μάλιστα παρασκευαζόντων, ὡς τὸ μὲν μετὰ δόξης εὖ πράττειν εὖ πράττειν ὡς ἀληθῶς ὄν, ἄνευ δὲ ταύτης ἐξ ἡμισείας οὖσαν (38) τὴν τύχην· οὕτω πολλοῦ τινος ἐδέησε Λεπτίνης ἀμφοτέρων τουτωνὶ ποιήσασθαι λόγον, ὡς καὶ ἀμφοτέρων τούτων δι᾽ οὗ γράφει νόμου τὴν πόλιν ἀποστερεῖν, ἀτέλειαν ἐκ μέσου τιθείς. ἀλλὰ μή πω τοῦτο, ἀλλ᾽ ὅτι δι᾽ ὧν 12
μόνος τῶν πάντων ἀναιρεῖν ταύτην πειρᾶται καὶ ὅπως μηκέτ᾽ ἔσται τοῦ λοιποῦ πᾶσαν εἰσφέρει σπουδήν, διὰ τούτων οὐχ ἥκιστα πάντων συνίστησι ταύτην, καὶ ὅπως εἰς ἅπαν ἔσται κατασκευάζει σαφῶς. ὅταν γὰρ ταύτῃ μὲν οὐδ᾽ ἡντινοῦν μέμψιν ἐπάγῃ, οὐδ᾽ ἀγορεύειν κακῶς ἀξιοῖ, ἀναξίους δέ τινας φάσκῃ ταυτησὶ μετασχόντας τῶν λειτουργιῶν ἀποσχέσθαι, ἄμφω ταυτὶ μαρτυρεῖ, καὶ τὴν ἀτέλειαν ὡς κάλλιστα ἔχειν καὶ χρῆναι ταύτην εἰς ἀεὶ παραμένειν τῇ πόλει, καὶ πρός γε ἔτι τὸ μηδ᾽ ἂν αὐτὸς ἐπὶ τὸ νομοθετεῖν κεκινῆσθαι, εἰ τοὺς μετέχοντας ἀξίους ἑώρα. ὅτε τοίνυν οὐκ ἂν τοῦτ᾽ ἔδρα, εἰ μηδεὶς ἀνάξιος ἦν, οὐκ εἰκότως οὐδ᾽ ἐξ ἀνάγκης κατὰ τῆς ἀτελείας χωρεῖ, δέον κατὰ τῶν ἀναξίων μόνον, ὡς οὐ προσηκόντων τῷ πράγματι.

Καὶ μηδεὶς εἴπῃ ὡς ἐπειδή τινες φαῦλοι ταύτης 14
μετέσχον, διὰ τοῦτο καὶ ταύτην ἐν τοῖς φαύλοις θετέον.

---

Grauertus. εἴδεσαν V. 26 ἐντεθυμῆσθαι T. ἐντεθυμεῖσθαι V. 27 τῶν νόμους Grauertus. Legebatur τοὺς νόμους. 28 μάλιστα] κάλλιστα T.

38, 4 ἀλλ᾽ ὅτι δι᾽ ὧν] ἀλλὰ ἐκεῖνο μαθεῖν ἡμᾶς δεῖ, ὅτι κ. τ. λ. Elliptica, ni fallor, locutio, quam superiora ea adstruunt: *Πρῶτον μὲν οὖν ἐκεῖνο μαθεῖν ἡμᾶς δεῖ, ὅτι . . . . . ἐπειθ᾽ ὅτι . . . . .* Si quid mutandum est, ἀλλά τοι supponerem. Mor. ἀλλὰ καὶ δι᾽ ὧν Grauertus. 9 ἀξιῇ T. 10 Vulgo φάσκει. λειτουργιῶν] λειτουργιεῶν V. 12 εἰς ἀεὶ] Vulgo ἐσαεὶ. παραμένειν T.

ἀλλ' ἐπειδὴ πᾶσιν ὡς εἰπεῖν τοῖς βελτίστοις τῆς ὑπὲρ ἡμῶν προθυμίας δίδοται γέρας, διὰ τοῦτο καὶ ταύτην ἀνάγκη μετὰ τῶν σφόδρα συνεχόντων τὴν πόλιν σπουδῆς ἀξιοῦσθαι. ἄλλως δὲ οὐδ' ἀνάξιος πώποτ' οὐδεὶς, ὡς ἔγωγ' οἶμαι, ταύτης μετέσχεν, οὐδ' ἐγγὺς, ἀλλ' ὅστις τὰ πρὸς ἡμᾶς ἄριστος ὦπται καὶ γεγονὼς ἐν καιρῷ. τοὺς γὰρ τοιούτους μάλισθ' ἡ πόλις πᾶσιν οἷς ἔχει δωρεῖται καὶ τιμᾷ τὰ εἰκότα καλλίστους ἐξ ὧν ἔδρασαν σφᾶς ἡγουμένη· κἂν ἄλλως φαῦλοί τινες τύχωσιν ὄντες καὶ μὴ διὰ (99) σφᾶς αὐτοὺς ἀξιόχρεῳ δόξης. ὥστ' ἀνάξιός ἐστ' οὐδεὶς, ὦ Λεπτίνη, τοῦτο τὸ μέρος. οὐ μὴν ἀλλ' εἰ καὶ τὰ μάλιστα τοῦθ' οὕτως ἔχει, ὅτι μὲν πολλῷ κάλλιον καὶ φιλανθρωπότερον διὰ τοὺς ἀξίους δή που καὶ τοὺς ἀναξίους τιμᾶσθαι ἢ διὰ τοὺς ἀναξίους ἀποστερεῖσθαι ταύτης καὶ τοὺς ἀξίους, ἐῶ. ἀλλὰ καὶ οὕτω σαυτῷ περιπίπτεις. τί γὰρ οὐ τοὺς ἀναξίους μόνους, ἀλλὰ καὶ τοὺς ἀξίους ἁπλῶς ἀτελείας ἀποστερεῖς; εἰ γὰρ τῷ ὄντι μόνοις τουτοισὶ δυσχεραίνεις, ἔδει δή που τούτων μεμνῆσθαι μόνων, τῶν δ' ἄλλων ἀπέχεσθαι. νῦν δὲ οἷς πάντας ἁπλῶς ὑπάγεις τῷ νόμῳ ἔοικας οὐχ οὓς λέγεις μόνους κακίζων, ἀλλὰ κοινῇ πᾶσι βασκαίνων πάντας ἀφαιρεῖσθαι πειρᾶσθαι τὰς δωρεάς. μᾶλλον δὲ οὐκ εἰκάζειν, ἀλλ' εἰδέναι δίδως σαφῶς μηδ' ὁπωστιοῦν ἔχων πρὸς ταῦτ' ἀντειπεῖν.

---

παραμένειν V. 28 ἔδρασαν T. ἔδρασε V. 29 διὰ T. κατὰ V. 39, 2 τοῦτο T. κατὰ τοῦτο V. Vide infra 23. κατὰ τοῦτο τὸ μέρος] *In hac re, quod ad hoc attinet*, insolens dicendi modus, Aristidi tamen familiaris, nec modo quater in hac una oratione adhibitus; verum etiam in oratione priori de Societate (T. I. p. 481.): *εἰ μὲν οὖν οὐδ' ἐφ' ἡμᾶς ἔρχεται, ἀλλὰ ψεύδεται κατὰ τοῦτο τὸ μέρος;* in oratione Rhodiaca (T. I. p. 554.): *ὃ ἐνταῦθα οὐκ ἠκρίβωσεν ὁ σεισμὸς, εὖ ποιῶν κατὰ γοῦν τοῦτο τὸ μέρος;* in oratione Platonica prima (T. II. p. 103.): *καίτοι καὶ περὶ τούτου τοῦ μέρους ἔχοι τις ἂν εἰπεῖν, ὅτι κάλλος μὲν χρόνος ἐξελέγχει ῥᾳδίως;* in oratione Platonica secunda pro Quatuorviris (T. II. p. 146.): *θεασόμεθα . . . . . ποῖόν τινα παρεῖχεν ἑαυτὸν παράδειγμα τοῖς τε Ἀθηναίοις καὶ τοῖς ἄλλοις Ἕλλησι κατὰ τοῦτο τὸ μέρος;* in eadem (p. 170.): *εἰ κατὰ τοῦτο τὸ μέρος καὶ σὺ μέμνησαι τοῦ κυβερνήτου;* et in eadem rursus (p. 221.): *τοσοῦτον ἐπιφθεγξάμενος καὶ περὶ τούτου τοῦ μέρους.* Neque alia desunt. Mor. 15 ταῦτ' T. ταῦτα V.

Digitized by Google

Σκόπει δὲ καὶ οὕτως. εἰ ὅστις ἀνάξιος, ὡς αὐτὸς λέγεις, οὗτος καὶ ἀτελείας ἀνάξιος, ἀνάγκη πᾶσα τοὺς ἀξίους ταύτης τυγχάνειν, ἵνα καὶ τὸ διάφορον ἑκατέρων σώζηται· ἂν δὲ καὶ οὗτοι μετὰ τῶν ἀναξίων ἐκπέσωσι 18
ταύτης, πρῶτον μὲν οὐκ οἶδ' ὅτῳ τῶν ἀναξίων διοίσουσιν· ἔπειτ' ἀνάξιοι δόξουσιν εἶναι, τῶν γε ἀξίων ὄντες. μᾶλλον δὲ ταῦτ' ἄμφω συμβήσεται, τοὺς μὲν ἀξίους ἀναξίους δοκεῖν τοῦτ' εἶναι τὸ μέρος, τοὺς δὲ ἀναξίους ἀξίους, ἐπειδήπερ ἄμφω ταύτης ἐξ ἴσης στερήσονται. καὶ μὴν τοὺς μὲν ἀναξίους ὄντας ἀξίους ἡ πόλις οἷς μετέδωκεν ἔδειξε, σὺ δὲ καὶ τοὺς ἀξίους παρ' ἑαυτῶν δι' ὧν ἀποστερεῖς οὕτως ἀναξίους ἐργάζει καὶ πολλῷ χείρους ἐκείνων, ὡς τοῖς μὲν οὐδὲν ἂν γενέσθαι καινὸν ἐκπεσοῦσι τῆς δωρεᾶς· ἀνάξιοι γὰρ κατὰ τὸν σὸν τυγχάνοντες λόγον, ἀνάξιοι πάλιν ἔσονται· οἱ δ' ἄξιοι καὶ πρὸ ταύτης ὄντες καὶ ταύτης ἀξίως τυχόντες εἰς ἀναξίους τελέσουσι ταυτησὶ στερηθέντες· καὶ ταῦτ' οὐδὲν ἐγκαλούμενοι τὸ παράπαν, καθάπερ ἐκεῖνοι. οὐκοῦν καὶ κατὰ τοὺς ἀξίους καὶ κατ' αὐτοὺς δή που τοὺς ἀναξίους εἰς τοὐναντίον τὸ πρᾶγμά σοι περιίσταται καὶ σαυτὸν αὐτὸς ἐξελέγχεις, διὰ μὲν τοῦ τοὺς ἀναξίους μόνους καὶ μὴ τοὺς ἀξίους προΐσχεσθαι μάτην τοὺς ἀξίους τῶν πρὸς ἀξίαν ἀποστερῶν, διὰ δ' αὖ τοῦ καὶ τοῖς ἀξίοις καὶ μὴ μόνοις τοῖς ἀναξίοις ἐπηρεάζειν βούλεσθαι, οὐδὲ τοὺς ἀναξίους προϊσχόμενος 20
ἐν καιρῷ, οὕτως ἡμᾶς οἷς λέγεις παράγων, οἷς πράττεις ἃ λέγεις ἐλέγχεις. καὶ τοὺς ἀναξίους προτείνων, σὺ δ' οὐδὲ τῶν ἀξίων ἀπέχει, μᾶλλον δὲ καὶ πάντων ἡμῶν. καὶ τοσούτῳ μᾶλλον ἡμῶν, ὅσῳ τοὺς μὲν αὐτὸ τοῦτο μόνον ἀτελείας ἀποστερεῖς, ἡμᾶς δὲ ἀδικεῖς μὲν οὐχ ἧττον καὶ τοῦτο τὸ μέρος, εἴπερ τἀκείνων ἡμέτερα χρὴ λέγειν.

---

16 οὕτως] Vulgo οὕτω. 19 ἐκπέσωσι T. ἐκπέσωσιν V.
24 στερήσονται T. στερηθήσονται V. 27 ἐργάζει] Vulgo ἐργάζῃ.

40, 2 ταυτησὶ T. ταύτης V. 5 κατ' αὐτοὺς δήπου T. κατὰ δήπου V. 12 σὺ δ' οὐδὲ T. σὺ δ' οὐ καὶ V. 13 ἀπέχει] Vulgo ἀπέχῃ. 14 τοσούτῳ] τοσοῦτο T. 15 ἀδικεῖς T. ἀτυχεῖς V. 16 καὶ] κατὰ Grauertus.

Digitized by Google

Ἀδικεῖς δὲ καὶ οἷς περὶ τοὺς εὐεργέτας ἀγνωμονοῦντας ἡμᾶς φιλονεικεῖς ἀποφαίνειν, καὶ οἷς ἀτέλειαν οὐδ' ἡμεῖς ἡμῖν αὐτοῖς, εἴ τῳ ταύτης ἐν τῷ τοῦ καιροῦ καλοῦντι δεήσει, οἷοί τε πορίζειν ἐσόμεθα, οὐδ' ἑτέρους οὐστινασοῦν οὔτε νῦν οὔτε εἰσαῦθις τουτοισὶ δεδωρῆσθαι. καὶ τὸ πάντων δεινότατον, τῆς εἰς ἡμᾶς φιλοτιμίας ἀπείρξομεν πάντας, ἐὰν ἃ τοῖς εὖ πεποιηκόσι καλῶς καὶ δικαίως ἀποδεδώκαμεν πάλαι, ταῦτ' αὐτοὺς ἤδη παρὰ πάντας ἀφελώμεθα νόμους, διὰ τοὺς νόμους τοὺς σοὺς· ὅπερ οὐκ ἄτοπον μόνον, ἀλλὰ καὶ παντάπασιν ἀσεβές· ἐπειδήπερ εὐνοίᾳ θεῶν εὖ πράττουσιν ἄνθρωποι, καὶ
(41) μάλισθ' ἡμεῖς, τὰ μὲν οἴκοθεν εἰσφέροντες καὶ αὐτοί, τὰ δὲ καὶ τοὺς ἄλλους ξυναγωνιστὰς τῆς ἀγαθῆς ἔχοντες τύχης· ὥσπερ αὖ μὴ βουλομένων ἐκείνων τά τ' ἔνδον τά τε θύραζε δυστυχεῖ. εἰ τοίνυν τὸ μὲν οὐκ οὔσαις σκήψεσι χρῆσθαι καὶ ἃ μὴ προσῆκε συμπλάττειν, ἐφ' ᾧ κοινὴν βλάβην εἰργάσθαι, ἀνδρός ἐστι φθόρου καὶ μηδὲν ὑγιοῦς, τὸ δὲ τοὺς εὖ ποιεῖν αἱρουμένους καθάπαξ ἐπέχειν τοῦ

---

21 τε πορίζειν ἐσόμεθα T. τ' ἐσόμεθα πεπορίσθαι V. 22 εἰσαῦθις T. εἰς αὖθις V. 23 δεδωρῆσθαι Grauertus. Vulgo δεδωρεῖσθαι. τῆς εἰς ἡμᾶς φιλοτιμίας ἀπείρξομεν πάντας] ἐκ δὲ τοῦ μηδενὶ μηδὲν, μηδ' ἂν ἄξιος ᾖ, διδόναι πάντας ἀπείρξετε τοῦ φιλοτιμεῖσθαι. Demosthenes contra Leptinem T. I. p. 458. Ed. Reiskii. Mor.

41, 4 δυστυχεῖ T. δυστυχῆ V. In mente habuit Aristides versum Euripideum Orest. 596. Pors. τά τ' ἔνδον εἰσὶ τά τε θύραζε δυστυχεῖς. ubi libri aliquot δυστυχῆ. 6 ἀνδρός ἐστι φθόρου] Demosthenes de ordinanda republica T. I. p. 173.: νῦν δ', ὦ ἄνδρες Ἀθηναῖοι, φθόρους ἀνθρώπους, οἰκοτρίβας οἰκοτρίβων, τιμὴν ὥσπερ ἄλλου του τῶν ὠνίων λαμβάνοντες, ποιεῖσθε πολίτας; quo in loco φθόρους ἀνθρώπους *perditos homines* male Wolfium reddidisse, bene Valckenarius animadvertit ad Hammon. de adf. voc. dif. p. 43., qui idem *nullius frugi homines* interpretatur: *profligatos et perniciosos homines* Lucchesinius vertit. Malo tamen ego stare ab Henrico Stephano, cuius in Thesauro haec verba sunt: φθόρος *de homine dictum, non videtur de vili simpliciter seu futili seu fragili posse accipi, sed tantum de pernicioso; qui itidem substantivo nomine Pernicies a Latinis vocatur, item Pestis.* Hac ipsa significatione vocem usurpat Aristophanes Equit. v. 1148. et Thesmophoriaz.

θεοῖς πολεμοῦντος, σὺ δὲ περιφανῶς πᾶσι τούτοις ἐνέχει, οὐχ ὅσον νόμους εἰσφέρειν, ἀλλ' οὐδὲ νόμων ὅλως ἀκροᾶσθαι δίκαιος εἶ, τῷ τοὺς μὲν κωλυτὰς κακουργημάτων 24
τυγχάνειν ὄντας, σὺ δ' εἴπερ τις τὰ τοιαῦτα τεχνίτης. ἅμα δὲ οὐδὲ νόμον τὸν σὸν δὴ τοῦτον ἔγωγ' ἂν φαίην, ἀλλ' ἀνομίαν αὐτὸ καὶ τῆς πολιτείας ἀνατροπὴν καὶ οὐδὲν ὑγιές, οὐ μόνον τῷ μηδὲν αὐτὸν ἔχειν ὧν τοὺς ἀγαθοὺς νόμους ἴσχειν εἰκός, οὓς καὶ κοινοὺς τῶν πραγμάτων σωτῆρας μετὰ τοὺς θεοὺς ἅπαντες ἴσμεν, ἀλλὰ καὶ τῷ τοσούτων καὶ τηλικούτων, ὡς ἔφην, τῇ πόλει δεινῶν, ἐὰν ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, πρόησθ', αὐτὸν αἴτιον ἂν γεγενῆσθαι.

Ὅτι δὲ καὶ Λεπτίνης αὐτὸς οὐχ οἷς λέγει τοσοῦτον θαρρεῖ δείκνυσι δή πως δι' ὧν τοῦ τ' εἰσέπειτα πρόνοιαν ἴσχει καὶ τοῖς ὑπὲρ ἀτελείας αὖθις θήσουσι νόμον θανάτου τιμᾶται, οὐδενὸς τῶν νομοθετῶν, ὡς ἅπαντες ἴσασιν, οὐδέν τι τοιοῦτον προσθέντος τοῖς νόμοις. ναί, φησί· διὰ γὰρ τὸ ῥᾳδίως ἐξαπατᾶσθαι τὸν δῆμον ταῦτ' 26
εἰκότως προσγράψαι. τί οὖν ἐκώλυεν, εἴπερ ταῦθ' οὕτως

---

v. 542. Mor. 9 ἐνέχει] Vulgo ἐνέχῃ. 12 δὴ accessit ex T. 15 ἔχειν om. T. 16 οὓς καὶ κοινοὺς τῶν πραγμάτων σωτῆρας μετὰ τοὺς θεοὺς ἅπαντες ἴσμεν] οἱ νόμοι μετὰ τοὺς θεοὺς ὁμολογοῦνται σώζειν τὴν πόλιν. Demosth. contra Aristogitonem Orat. pr. T. I. p. 556. Mor. 18 πρόησθ' Grauertus. Vulgo πρόσησθ'. 20 οὐχ οἷς λέγει τοσοῦτον T. οὐ τοσοῦτον οἷς λέγει V. 22 ὑπὲρ T. ἔχειν V. 23 θανάτου τιμᾶται] Neque in fragmentis Leptineae legis, a Demosthene allatis, neque in iis, quae anonymi auctoris et Libanii argumenta in Demosthenis orationem exhibent, quod heic Aristides affert, additamentum legere est. Mor. 25 ῥᾳδίως ἐξαπατᾶσθαι τὸν δῆμον] Hisce quoque verbis fragmentum quoddam Leptineae legis concludi videtur; ac vel maxime videtur, quod eadem verba et Demosthenes proferat (pag. 457. Ed. Reisk.): ἀλλὰ νὴ Δί' ἐκεῖνό γ' ἂν ἴσως εἴποι πρὸς ταῦτα· ὅτι διὰ τὸ ῥᾳδίως ἐξαπατᾶσθαι τὸν δῆμον, διὰ τοῦθ' οὕτως ἔθηκα τὸν νόμον. Mor. Recte Wolfius monuisse videtur periculosum esse ea quae Aristides passim habeat solus ad legem referre: Proleg. ad Lept. p. LXV. not. 38. Neque Demosthenis verba quidquam comprobant: nam et multa inde sumsit Aristides imitaturus, et ea ipsa potius non prae se ferunt speciem legis: ἐκεῖνό γ' ἂν ἴσως εἴποι. Grauert.

εἶχε, Λεπτίνη, μὴ καὶ ξύμπαντας τοὺς ἐξ ἀρχῆς νομοθετικοὺς ταῦτα τοῖς σφῶν νόμοις προσγράψαι, ἀλλ' ἁπλῶς οὕτως ὑποθέσθαι τὸ δέον; ἢ τότε μὲν τῆς πολιτείας οἱ (42) κρείττους παθῶν ἐπεστάτουν θεοί, νῦν δ' ἐπεὶ δημαγωγεῖν ἔχουσιν ἄνθρωποι καὶ ταύτῃ τὰ κοινὰ διοικεῖται, χώραν ἴσχει τοῦ φενακισμοῦ; ἀλλ' οὐκ ἂν εἰπεῖν ἔχοις· ἀλλ' οἶμαι τῷ μηδ' ὁτιοῦν φλαῦρον, ἀλλὰ πάντα τὰ βέλτιστα ξυνειδέναι τοῖς αὑτῶν νόμοις, τοῖς μὲν οὐδεμιᾶς τινος τοιαύτης ἐμέλησε τῆς προσθήκης, σοὶ δὲ οἷς ταύτης ἐμέλησεν ἔδειξας οὐ σφόδρα τοῖς νόμοις οἷς λέγεις θαρρῶν.

Χωρὶς δὲ τούτων εἰ μὲν οὐδέσιν ἄλλοις, μόνῳ δ' ἐνῆν τῷ δήμῳ περὶ πάντων ἔχειν ψηφίζεσθαι, οὐδ' οὕτως ἂν ἦν παράκρουσιν ἡντινοῦν ὑφορᾶσθαι, διὰ τὸ τὸν δῆμον τῶν Ἀθηναίων τῶν παρ' ἄλλοις δικαστῶν εἶναι βελτίω καὶ οἷον εἰκὸς τὸν τῆς Ἀθηνᾶς τρόφιμον. ἴσως δ' οὖν καί τι τοιοῦτον ἂν ξυνηνέχθη. ὅτε δὲ καὶ βουλή τις ἡμῖν θαυμαστὴ καὶ πάνθ' ἃ προσῆκεν αἱρούμενος δῆμος καὶ δικαστῶν πλῆθος καλόν τε κἀγαθὸν καὶ ἡ περὶ τοὺς νόμους ἀκριβείᾳ καὶ τὸν Ῥαδάμανθυν ἂν παριόντων· πῶς οἷόν τ' ἀπάτην διὰ τοσούτων καὶ τηλικούτων χωρῆσαι; ἢ πῶς ἂν ὁμοῦ πάντας ἔλαθε γεγονυῖα; καὶ μὴν εἰ μὲν ἡμῶν ἀπάτη κρατεῖ καὶ πρὸς τὸ πάθος ἑτοίμως ἔχομεν, ἔδει δή που κἂν τῷ παρόντι τοῦθ' ὑπὸ σοῦ πεπονθέναι. νῦν δὲ περὶ ὧν ἤδη νόμον εἰσάγεις ἀπατᾶν ἡμᾶς ἐπιχειρῶν, ὡς ἄρα τῶν βελτίστων ταῦτ' ἐστὶ τῇ πόλει, τοσοῦτον ἀπέχεις ὃ βούλει ῥᾳδίως εἰργάσθαι, ὥστε καὶ ᾧ μὴ βούλει ῥᾳδίως περιπεσεῖν, κακουργίας καὶ συκοφαντίας ἀτεχνῶς ἁλισκόμενος. ἔτι τοίνυν εἰ διαρρήδην

42, 3 ἀλλ' οὐκ ἂν εἰπεῖν ἔχοις accesserunt ex T. 4 τὰ] τὸ T. 15 καλόν τε κἀγαθὸν] Fortassis καλῶν τε κἀγαθῶν. Mor. 16 ἀκριβείᾳ T. ἀκριβία V. Ῥαδάμανθυν ἂν παριόντων] Iam in communi proverbio versatur Rhadamanthi Lyciae regis et Cretensium legislatoris iustitia insignis, qua mortuorum iudex constitui meruit: Aristides quoque noster in Oratione Platonica secunda T. II. p. 147.: Ῥαδαμάνθυι, inquit, τοσοῦτον περιῆν εὐσεβείας καὶ δικαιοσύνης, ὥστε καὶ τελευτήσας τοῖς ἐκεῖσε ἀφικνουμένοις δικάζειν δοκεῖ περὶ τῶν ἐν τῷ βίῳ πραχθέντων. Mor. 19 ἡμῶν accessit ex T. 23 τοσοῦτον] Vulgo τοσοῦτ'. 24 ὥστε] ὡς T

*μὲν παρὰ πάντων ὁμολογεῖται δεινούς τινας Ἀθηναίους*
*μάλιστα πάντων τὰ δέοντα ξυνορᾶν καὶ ὃ τούτου κάλ-*
*λιον, τῶν εὑρόντων ἄμεινον χρῆσθαι, σὺ δ' οἷς αὐτοὺς*
*φάσκεις πρὸς ἐξαπάτην ἔχειν ἑτοίμως, εἰς Μελητίδας ἐν-*
*τάττεις, ἡδέως ἄν σε ἐροίμην πότέροις δή τισιν ἡμᾶς*
*προσεκτέον τὸν νοῦν, πότερον πᾶσι τοῖς ἄλλοις ἢ σοί γε;*
*οὐ γὰρ ἀμφοῖν, οἶμαι, φήσεις, οὐδ' οἷόν τε, ἀλλ' ἀνάγκη*
*δυοῖν θάτερον, ἢ πάντας ἀνθρώπους οὐκ ἀληθῆ περὶ*
*ἡμῶν φάσκειν νομίζειν, εἰ τῶν ἐξαπατωμένων ῥᾳδίως* 32
*κατὰ τὸν σὸν λόγον ἡμεῖς, ἢ μηδενὸς λόγου τοὺς σοὺς*
*ποιεῖσθαι φληνάφους, εἴ γε τὴν ἁπάντων μαρτυρίαν καὶ*
*ψῆφον τοσοῦτον ἔχουσαν ἴσμεν τὸ συγκεχωρηκὸς ὡς μὴ*
*μόνον ἑκασταχοῦ τῶν πραγμάτων ταύτην χρῆναι διώκειν*
*καὶ προτιμοτέραν τῆς ἐκ μέρει πολλῷ τῷ ὄντι νομίζειν,*
*ἀλλὰ καὶ τὴν ἐντεῦθεν φήμην θεὸν προσειρῆσθαι. καὶ*

---

*ὃ μὴ* V. 28 *εὑρόντων* T. *εὐορώντων* V. Aristides Orat. Sicula priori T. I. pag. 364.: *ἔστε γὰρ σοφώτατοι τῶν Ἑλλήνων, αὐτοί τε ὑφ' ὑμῶν αὐτῶν λογίσασθαι τὰ δέοντα, καὶ ἑτέρου λέγοντος κρῖναι.* Et in Leuctrica secunda T. I. p. 444. *λόγος ἐστὶ παλαιὸς, καὶ γνῶναι τὰ βέλτιστα καὶ πρᾶξαι πάντων ὑμᾶς ὀξυτάτους εἶναι.* Et in Leuctrica tertia T. I. p. 453.: *πολὺ μᾶλλον τὴν ἡμετέραν πόλιν ἢ τὴν Λακεδαιμονίων εἰκός ἐστιν αὐτοὺς δεδιέναι, καὶ διὰ φρόνημα καὶ δι' ἐμπειρίαν πραγμάτων καὶ δι' ὀξύτητα καὶ τὴν ἐπὶ πᾶσι παρουσίαν ἄοκνον.* Mor. 29 *Μελητίδας*] Vulgo *Μελιτίδας.* *Μελιτίδας ἐντάττεις*] Cessit in proverbium a Suida allatum fatuitas Melitidis; de quo Schottus in Adagia Graecorum ann. 1612. Antverpiae impressa. Scriptoribus a Schotto allatis Apuleius accedit, cuius haec in Apologia verba sunt iuxta Pricaei editionem p. 28. itidemque Floridi Oper. p. 444. „Apud socordissimos Scythas Anacharsis sapiens natus est; apud Athenienses catos Meletides fatuus.“ Quo in loco *Melitides* iam olim restituerat M. Antonius Flaminius in Annotationum Sylvis, quae veteri manu scriptae apud me sunt: harum siquidem in posteriori, Capite sexto, scribit: „Apuleli verba haec sunt: *Apud socordissimos Scythas Anacharsis sapiens natus est: apud Athenienses Melecides fatus.* Interpres Aristophanis in Ranis Melitidem inter homines stultitia inclytos censet: quare ubi legebatur *Melecides fatus,* tu meo periculo *Melitides fatuus* repone.“ Mor.

43, 1 *ἡμᾶς* T. *ἡμῶν* V. 7 *τὴν* T. *τῶν* V. 10 *τῆς ἐν μέρει πολλῷ τῷ ὄντι* T. *ἐν τῷ ὄντι πολλῷ τῷ ὄντι* V. 11 *φήμην*



Digitized by Google

τούτου μάρτυς αὐτὸς, οὐχ ἕνα καὶ δύο, ἀλλ' Ἀθη-ναίους πάντας καὶ δι' αὐτῶν πάντας ἀνθρώπους συμ-ψήφους καὶ συναγωνιστὰς λαβεῖν ἐθέλων τοῦ νόμου, ὡς τὴν ἐν μέρει μαρτυρίαν οὐδὲν οὖσαν μὴ παρούσης ἐκεί-νης. εἶεν.

Εἰ δ' ἡμετέραν ἀπάτην νομίζεις ἅ γ' ἐπὶ τῶν ψη-φισμάτων τε καὶ ξυμμάχων καὶ ὅλως ὑπὲρ ὧν πρόκειται σκέψις, ἔστιν ὅτε παρὰ τὸ εἰκὸς ἡμῖν ἀπαντᾷ, ὡς τοῖς μὲν ἀντ' ἀγαθῶν φαύλους ποιεῖσθαι, τοῖς δ' ἑτέροις προὐθέμεθα χρῆσθαι, τὰ οὐκ ὄντα δοξάζεις. διὰ τί; ὅτι οὐ παρὰ τὴν ἡμετέραν διαγνώμην καὶ ψῆφον, οὐδ' ὅτι περ ἃ προσῆκε, περὶ τούτων εἰδότες, εἶθ' ἑκόντες ταῦτ' ἀφέντες ἃ μὴ προσῆκεν εἱλόμεθα, ἀλλὰ παρὰ τὴν τῶν πραγμάτων ἀνωμαλίαν καὶ τοὺς καιροὺς καὶ ὅ τι τοιοῦτον εἴποι τις ἄν, ταῦθ' οὕτω ξυνέβη. ὡς ἡμεῖς μὲν ὅπως βέλτιστα ταῦτ' ἔσται πάντα καὶ ποιεῖν καὶ λέγειν ᾠήθημεν δεῖν· εἰ δὲ μηδὲν ὧν βουλόμεθα γέγονε, τὴν (44) τῶν ξυμπεσόντων ἀνάγκην, μὴ ἡμᾶς αἰτιῶ. ὥσπερ γὰρ ὁ τοῖς πράγμασι κεχρημένος ἀβούλως τὴν μὲν ἐντεῦθεν ἀηδίαν μόνος εἰκότως φέρεται, ἂν δέ τι χρηστὸν ἀποβῇ, ἑτέρωθεν δεῖ τὴν αἰτίαν ζητεῖν, οὕτως ὁ μετὰ βουλῆς ὅτι πλείστης ἐπὶ τὰ ἔργα χωρῶν κατορθοῖ μὲν, ὡς τὸ εἰκὸς, ἀεὶ δήποτε καὶ ὧν ἐθέλει τυγχάνει, ἂν δέ τι πα-

---

θεὸν προσειρῆσθαι] Famae divinitas iam inde ab Hesiodo testimonium accepit Oper. et Dier. v. 763.

*Φήμη δ' οὔτις πάμπαν ἀπόλλυται, ἥντινα πολλοὶ*
*λαοὶ φημίζουσι· θεός νύ τίς ἐστι καὶ αὐτή.*

Hinc Demosthenes de Falsa Leg. T. I. p. 417. et Aristides in Oratione Platonica secunda T. II. p. 150. Hesiodo auctore Famam deam praedicant. Immo vero Aeschines in Timarchum T. III. Or. Gr. p. 141. ad ceteras Famae laudes addit, apud Athenienses τοὺς προγόνους Φήμης, ὡς θεοῦ μεγίστης, βωμὸν ἱδρυμένους. M.

20 φαύλους ποιεῖσθαι] ἀλλὰ καὶ ψηφίσματα πολλὰ πολλάκις ἐξαπατηθέντες κεχειροτονήκατε, καὶ συμμάχους ἤδη τινὰς ἔγνωτε ... κρειττόνων ἐπελάθητε ἑλέσθαι. Demosth. in Lept. T. I. p. 457. Fd. Reisk. Mor. 24 παρὰ T. ἐπὶ V. 26 ταῦθ' T. ταῦτ' V.

28 γέγονε, quod coniecerat Morellius, T. γεγονέναι V.

44, 3 ἀποβῇ T. ἀπέβη V. 5 κατορθοῖ T. κατορθεῖ V.

6 ἀεὶ] Vulgo αἰεὶ.

*καὶ σφαλῇ τύχῃ τινὶ, καὶ οὕτως ἐπαινῶν ἄξιος ἂν εἴη,* 36
*τοῦ δικαίου νικῶντος· τὸ γοῦν εἰς αὐτὸν ἧκον ἅπαντ᾽*
*ἔχει καλῶς, καὶ προνοίας ἕνεκα καὶ σπουδῆς καὶ τοῦ*
*μηδὲν τῶν γιγνομένων ἐλλείπειν. ὥστε ἕως ἂν ᾖ τὸ τὰ*
*βέλτισθ᾽ αἱρεῖσθαι, οὐδ᾽ ἂν εἷς ἑκὼν ἀπατώμενος εἴη,*
*ὥς γε ἐγὼ νομίζω, κἂν μυριάκις ἀποτύχῃ τοῦ τέλους.*
*καὶ σὺ τοίνυν σκοπῶν ἂν μὲν ἡμᾶς εὕρῃς σκέψεως ἀκρι-*
*βοῦς καὶ βουλῆς ἐν οἷς ἔξεστιν ἀμελοῦντας καὶ μὴ λογισ-*
*μῷ καὶ κρίσει τὸ πᾶν ἐνδιδόντας, ἀλλ᾽ ἁπλῶς οὕτω χρω-*
*μένους τοῖς πράγμασι, τότ᾽ ἤδη καὶ ῥᾳδίους ἡμᾶς εἶναι*
*φάθι καὶ ἥττους ἀπάτης. εἰ δὲ πρὸς πᾶσι τοῖς ἄλλοις*
*καὶ ταῦτ᾽ Ἀθηναίων ἐπίσημον, βουλαὶ καὶ δίκαι καὶ*
*τὸ μετὰ πλείστων τε καὶ καλλίστων τῶν ψηφισμάτων*
*ἑκασταχόσε χωρεῖν· οἵ γε καὶ τοὺς στρατηγοὺς αὐτοὺς*
*οὐ μόνον ἐντεῦθεν αἱροῦνται, ἀλλὰ καὶ πεπαυμένους εἰς* 38
*εὐθύνας ἄγουσι· πῶς οὐ παραπλήσιον ποιεῖς εἰς εὐχολίαν*
*τουτουσὶ διαβάλλων, ὥσπερ ἂν εἰ καὶ τὸν Πύθιον κακί-*
*ζειν ἠξίους, ὡς οὐδὲν τῶν δεόντων ἐπίσταται, ὃς καὶ τοῦ*
*τί δεῖ ποιεῖν ἡγεμὼν τοῖς ἄλλοις καὶ σύμβουλός ἐστιν*
*ἀσφαλὴς, καὶ ξυμπάσης ὡς εἰπεῖν τῆς οἰκουμένης τὰ τοι-*
*αῦτα δημαγωγὸς καὶ προφήτης; οὐκοῦν δι᾽ ὧν νῦν ἡμῖν*
*εὖ μάλα σαφῶς ἀποδέδεικται, δέδεικται ὡς ἡμεῖς μὲν οὐχ*
*ὅσον ἀπατᾶσθαι ῥᾴδιοι, ἀλλὰ καὶ τοὺς ἀπατῶντας παν-*
*τὸς μᾶλλον ἐξελέγχειν δεινοί· σὺ δὲ οἷς λέγεις οὐ μόνον*
*ἀξιόχρεως εἶ τὰ τοιαῦτα πιστεύεσθαι, ἀλλὰ καὶ ὡς εἰς*

---

8 *τοῦ δικαίου νικῶντος*] Aristidea locutio, qualis in hac ipsa oratione sub finem: *τοῦ κοινῇ διὰ πάντων λυσιτελοῦντος, θεῶν βουλομένων, αἰεὶ δήποτε νικῶντος.* et in Platonica secunda T. II. p. 258. *τοῦ γ᾽ εἰκότος νικῶντος.* Mor. 9 *ἕνεκα*] Vulgo *εἵνεκα.* 13 *εὕρῃς* T. *εὕροις* V. 20 *ἑκασταχόσε χωρεῖν*] Tritum attamen est vetus proverbium de *δυσβουλίᾳ inconsulta temeritate* Atheniensium, quos eo nomine Aristophanes in Nubibus v. 587. exagitat, ac *ταχυβούλους* et *μεταβούλους* in Acharnensibus vocitat v. 630. et 632. Inde Suidas T. I. p. 72. ceu vulgatum adagium affert: *τὸ κακῶς βουλεύεσθαι Ἀθηναίοις ἤσκητο.* Eiuscemodi quoque vitium Atheniensibus Isocrates obiicit in Oratione de Pace T. II. p. 205. Ed. Augerii. Hanc in rem alia dabit Erasmus Adagior. Chiliad. I. n. 744. Mor. 25 *τοῦ τί* T et Morellius: *τοῦτ᾽ εἰ* codex Marcianus. 30 *οὐ μόνον* T. *οὐ μόνον οὐκ* V.

Digitized by Google

*ἀπατωμένους τελεῖς δίδως εἰκάζειν οἷς περὶ ἡμῶν τοιαύτην ἔσχηκας δόξαν.*

*Καὶ τοῦτο μὲν δὴ τοιοῦτον καὶ οὕτως ἀποφανθέν. σὺ δὲ καὶ ὅταν ἀτέλειαν ἐξελαύνῃς τῆς πόλεως, διὰ τὸ τὰς μὲν λειτουργίας ἐντεῦθεν φάσκειν ἐλαττοῦσθαι τῇ πόλει, δεῖν δὲ λειτουργιῶν, εἴπερ του, μᾶλλον δὲ ἐν οὐδενὸς τούτων πάντων λειτουργιῶν πόλεσι δεῖν· πρῶτον μὲν σαυτὸν, εὖ ἴσθι, λανθάνεις αὐτὰς δή που τὰς λειτουργίας περικόπτων τῇ πόλει καὶ ταύτῃ διαφανῶς πολεμῶν. εἰ γὰρ ἀτέλεια μὲν τοῖς ὑπὲρ ἡμῶν ἐσπουδακόσι δίδοται γέρας, οὗτοι δὲ μετὰ τοὺς θεοὺς δι' ὧν δρῶσι συνιστᾶσι τὴν πόλιν, ταύτης δὲ συνισταμένης καὶ λειτουργεῖν καὶ πάντ' ἔξεστι πράττειν, ὁ τὴν ἀτέλειαν ἀναιρῶν συναναιρεῖ δή που καὶ ἅπαντα ταῦτα, ἐπεὶ λειτουργεῖν μὲν οὐκ ἔνι μὴ τῶν πραγμάτων εὖ καθεστώτων τῇ πόλει. ἀμήχανον δὲ τοῦτο μὴ πάντων πᾶσαν ὑπὲρ αὐτῆς σπουδὴν εἰσφερόντων· εἰσφέρουσι μέντοι προθύμως, ὡς καὶ ἀντ' εὖ πείσεσθαι παρ' αὐτῆς αὐτοὶ προσδοκῶντες. ἔπειτ' εἰ καὶ λειτουργιῶν ἡμῖν δεῖ· δεῖ γάρ, καὶ οὐδεὶς ἀντερεῖ· ἀλλ' ἄρα πολλῷ μᾶλλον τῶν ὑπὲρ ἡμῶν ἑκάστοτε φιλοτιμουμένων καὶ ὅπως τὰ καθ' ἡμᾶς ἄριστα ἔχειν σπουδὴν ποιουμένων. καὶ ὡς ἀληθῆ λέγω δῆλον ἐξ ὧν τοὺς μὲν τιμῶν ἀξιοῦμεν καὶ εὐεργέτας ἡμετέρους καὶ σωτῆρας καὶ πάντα τὰ τοιαῦτα καλοῦμεν, τοῖς δὲ ὡς ὀφειλέταις οὐχ ὅπως ὧν πράττουσιν ἴσχομεν χάριν, ἀλλὰ καὶ ἥν ποτ' ἐλλίπωσι τοῦ δέοντος νεμεσῶντες ὑπάγομεν δίκην· καὶ ὅτι παρὰ μὲν τῶν αὐτῶν*

---

45, 4 *τοιοῦτον* T. *τοιοῦτο* V. *ἀποφανθὲν* T. *ἀποφθαρθὲν* V. 5 *ἐξελαύνῃς*] Vulgo *ἐξελαύνεις*. 6 *ἐλαττοῦσθαι*] Vulgo *ἐλασσοῦσθαι*. 7 *του* T. *τούτου* V. 9 *σαυτὸν εὖ ἴσθι λανθάνεις* T. *εὖ ἴσθι σαυτὸν λανθάνειν* V. 14 *καὶ πάντ'* T. *μετ᾽ οὐκ ἔνι τ'* V. 15 *συναναιρεῖ* Grauertus. Vulgo *συναιρεῖ*. 19 *ἀντ' εὖ πείσεσθαι*] Vulgo *ἀντευπείσεσθαι*. 23 *ὅπως τὰ καθ' ἡμᾶς ἄριστα ἔχειν*] Particulae *ὅπως* cum infinitivo, haud vero cum subiunctivo constructae exempla ex idoneis auctoribus in promptu sunt apud Wesselingium in Diodorum T. II. p. 408. Abrescium in Aeschylum p. 390. et alios. Mor. 25 *εὐεργέτας* Grauertus. Vulgo *οὐ εὐεργέτας*.

Digitized by Google

46) τοῦτο μόνον ὄνησίς ἐστι τῇ πόλει, οἱ δὲ μετὰ τούτου καὶ δόξης οὐ μικρᾶς αἴτιοι γίγνονται. εἶθ᾽ οἳ τοῖς ἅπασι προὔχουσι καὶ τῆς βελτίονός εἰσι μοίρας, τούτους ἡμεῖς ἐλάττους διὰ σὲ νομιοῦμεν; καὶ πῶς οὐκ ἄτοπον εὐεργέτας μὲν ὅπως κτησόμεθα πάντα ποιεῖν, ἡμεῖς δὲ καὶ οὓς μὲν ἔχομεν νῦν θεῶν διδόντων, τούτοις φανέντες ἀγνώμονες ἀποστερήσομεν τῶν τιμῶν, οὓς δὲ μέλλομεν ἕξειν, τούτους, ἢν μὴ νῦν ἀγνωμονοῦντες φανῶμεν, τῆς 44
ὑπὲρ ἡμῶν ἀπείρξομεν προθυμίας;

Καὶ οὐ τοῦτο μόνον, ὦ ἄνδρες Ἀθηναῖοι, ἀλλὰ καὶ τῶν ἡμετέρων προγόνων ταύτῃ δόξομεν χείρους, μᾶλλον δ᾽ ἐκείνους θαυμαστούς τινας ἄγαν καὶ μεγαλοψυχίᾳ χρωμένους ἀποφανοῦμεν, ἡμᾶς δ᾽ αὐτοὺς τὰ μέγιστα αἰσχυνοῦμεν, εἴπερ οἱ μὲν καὶ τοὺς δυσμενεστάτους εὖ ποιοῦντες τὸν ἀεὶ διαγεγόνασι χρόνον, ἡμεῖς δὲ παρ᾽ ὧν εὖ πεπόνθαμεν, τούτους καὶ ὧν ἠξιώκαμεν χαρίτων ἀποστερήσομεν· ἃς τῷ μὲν δοκεῖν παρ᾽ ἡμῶν, τῇ δ᾽ ἀληθείᾳ παρὰ σφῶν αὐτῶν ἐκομίσαντο δή που, τῷ τούτων αἴτιοι γεγενῆσθαι δι᾽ ὧν εἰς ἡμᾶς ἔδρασαν· ὥστε τὰ μὲν παρ᾽ αὐτῶν πρὸς ἡμᾶς χάριν ἄν τις δικαίως προσείποι, τὰ δὲ παρ᾽ ἡμῶν πρὸς αὐτοὺς ἀντίδοσιν καὶ πρέπουσαν ἀμοιβήν. καὶ τοίνυν τῆς διδομένης ἀτελείας ἐκπεπτωκότες ἂν ἤδη, αὐτοὶ μὲν καὶ οὕτως οὐδὲν ἧττον εὖ ἕξουσι ταύτην, ὡς ἀξιόχρεῳ, ἡμεῖς δὲ οὐκ ἀγνώμονες μόνον ἐντεῦθεν, ἀλλὰ καὶ ἄπιστοί τινες καὶ ἀβέβαιοι τοῦ λοιποῦ δόξομεν ἅπασιν εἶναι· τὸ μὲν ἐὰν ἃ δεδώκαμεν ἀφελώμεθα δή που, τὸ δ᾽ ἐὰν πρὸς τοὺς εὐερ- 46
γέτας οὑτωσὶ μάλιστα σχῶμεν. καὶ σιωπῶ τὴν εἰς ἀεὶ παραμενοῦσαν αἰσχύνην τῇ πόλει καὶ τὸ κοινὸν ὄνειδος· ὡς οἱ μὲν πρεσβύτατοι τῶν Ἀθηναίων εὖ ποι-
(47) οῦντες, οὐκ εὖ πάσχοντες, τοὺς φίλους ἐκτῶντο, ἡμεῖς

---

46, 2 γίγνονται] Vulgo γίνονται. 5 κτησόμεθα T. κτησώμεθα V. 6 νῦν addidi ex T. 8 τούτους in T ab alia manu post φανῶμεν transfertur. 24 ταύτην T. ταῦτα V. 28 εἰς ἀεὶ] Vulgo ἐσαεί. 30 ὡς οἱ μὲν T. ὡς δήπου οἱ V. εὖ ποιοῦντες et εὖ πάσχοντες Wolfius. εὐποιοῦντες et εὐπάσχοντες V.

47, 1 τοὺς φίλους ἐκτῶντο] οὐ γὰρ πάσχοντες εὖ, ἀλλὰ δρῶντες κτώμεθα τοὺς φίλους, ait Pericles in funebri Laudatione apud Thu-

δὲ πᾶν τοὐναντίον καὶ οὓς ἔσχομεν φίλους ἐχθροὺς καθίσταμεν, τῷ τὰς μὲν παρ' αὐτῶν εἰς ἡμᾶς ὠφελείας ἀκινήτους εἶναι καθάπαξ βούλεσθαι, οἷς δὲ ἡμεῖς αὐτοὺς ἀμειβόμεθα, ταῦτ' εὐθὺς ἀνατρέπειν· ἀμφοτέρους καὶ ἡμᾶς αὐτοὺς ὧν εὖ πεπόνθαμεν ἀναξίους ἐντεῦθεν δεικνύντες, κἀκείνους ἀσφαλεστέρους ποιοῦντες πρὸς τὸ μηκέτι τηλικούτοις ἐθέλειν χαρίζεσθαι. καὶ πόσων κρημνῶν καὶ βαράθρων ταῦτ' ἄξια; ὅταν οἱ τοῦ καλοῦ καὶ δικαίου παράδειγμα τοῖς ἄλλοις ἅπασιν ὄντες, ἔπειτ' ἀγνωμοσύνης καὶ ἀπιστίας καὶ τοῦ μεταβάλλειν εἰκῇ καὶ ῥᾳδίως σχῶμεν αἰτίαν, καὶ δόξωμεν μετ' Εὐρίπου χωρεῖν, καὶ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν διαφθείρειν καὶ ὅλως τῶν ἐπὶ σκηνῆς ἢ ψάμμου παιζόντων οὐδὲν ἄμεινον ἴσχειν. μᾶλλον δὲ καὶ πολλῷ χεῖρον· εἴπερ οἱ μὲν ὃ προὔθεντο δρῶσι· προὔθεντο δὲ μήποτ' ἐν ταὐτῷ μένειν, ἀλλὰ με-

---

cydidem Lib. II. cap. 40. (Ed. Dukeri p. 122.) Aristides vero in Panathenaica: εὖ γὰρ ποιεῖν, οὐκ εὖ πάσχειν πεφυκότες ᾔδεσαν. T. I. p. 145. Mor. 2 ἡμεῖς δὲ T. Aberat δὲ. 3 εἰς] ἐς T. 6 καὶ ἡμᾶς T. Aberat καὶ. 9 κρημνῶν καὶ βαράθρων] κρημνὸς et βάραθρον supplicia duo erant apud Athenienses: altero rei ex edito loco praecipites detrudebantur; altero in foveam profundam praecipitabantur. De posteriori, post Harpocrationem et auctorem λέξεων ῥητορικῶν apud Montfauconium in Bibliotheca Coisliniana p. 491. potissimum disserunt Meursius Lection. Atticar. Lib. I. cap. 25. Valesius in Harpocrationem p. 14. et Harlesius in Aristophanis Plutum v. 431. Mor. 12 καὶ δόξωμεν μετ' Εὐρίπου χωρεῖν] Notissima ad proverbium usque Euripi Chalcidici reciprocatio, quam intra unius diei atque noctis spatium septies contingere perhibent: de quo Isaacus Vossius ad Pomponium Melam p. 768. Edit. 1748. Neque minus frequens apud scriptores Graecos, ubi inconstantes ac lubricae fidei homines denotare velint, mentio eiusdem. Plato in Phaedone p. 242. Ed. Forsteri 1745. ὥσπερ ἐν Εὐρίπῳ ἄνω καὶ κάτω φέρεται. Aristoteles Ethicor. Lib. IX. cap. 6. καὶ τοιούτων γὰρ μένει τὰ βουλήματα, καὶ οὐ μεταρρεῖ, ὥσπερ Εὔριπος. Aeschines contra Ctesiphontem de Callia Chalcidensi ait (T. III. p. 482. Orat. Reisk.): καὶ πλείους τραπόμενος τροπὰς τοῦ Εὐρίπου, παρ' ὃν ᾤκει. Aristides quoque, ut alios praeteream, nedum hac in Oratione semel atque iterum eiusmodi comparatione utitur; sed et in alia de Concordia ad Rhodios invisum eum esse hominem ait: ὅστις μηδ' αὐτὸς οἶδεν ὃ βούλεται, ἀλλ' ὥσπερ Εὔριπος ἄνω καὶ κάτω φέρεται, πολεμῶν καὶ στασιάζων

*ταβάλλειν ἑκάστοτε πρὸς τὴν χρείαν· ἡμεῖς δ' ἴσοι καὶ παραπλήσιοι διὰ πάντων ὀφείλοντες εἶναι καὶ ταὐτὰ διὰ τέλους φρονεῖν, ἔπειτ' ἀμέλει κατὰ τὸν Φάριον ἐθελήσομεν ἐξαλλάττειν Πρωτέα, καὶ τῇ πρὸς τοὺς ἄλλους χρῆσθαι ταῖς γνώμαις. μήποτε τοσοῦτον ἰσχύσειε Λεπτίνης* 50 *ὡς τὰ τοιαῦθ' ἡμᾶς ὑπειλῆφθαι παρασκευάσαι.*

*Καὶ μὴν εἰ ὥσπερ μισθὸς ἀρετῆς εὐφημίαι, οὕτω καὶ κατωρθωμένων ἐστὶν ἀντίδοσις, ἀνάγκη θαυμάζεσθαι μὲν ἀρετὴν, τοὺς δ' ὁτιοῦν ἀγαθὸν εἰργασμένους τιμᾶσθαι, ἐάν τε ἀτέλειαν ταύτην φῇς ἐάν θ' ὁτιοῦν. εἰ μὲν οὖν τήν γ' ἀρετὴν ὅλως ἐπαινῶν ἔχεις ἀποστερεῖν,*
18) *καὶ τοὺς ὑπὲρ ἡμῶν ἀποφανθέντας σπουδαίους ἀποστέρει τῶν ἄθλων, καὶ μηδ' ἡτισοῦν ἔστω φειδώ. εἰ δὲ τῶν ἀτόπων ἐκεῖνο, πῶς λόγον τοῦτό γε σῶζον συνιδεῖν οὐκ ἔχω. οὐδὲ γὰρ οὔτ' ἀρετὴ τοῦθ' ὅπερ ἐστὶ, δόξει μὴ τῶν γιγνομένων ἀπολαύουσα κρότων οὔτε τὰ βέλτιστ' εἴσεταί τις τῶν ἔργων ἀμοιβῶν ἀποροῦντα. εἰ τοίνυν τὸ τὰ προσήκοντ' ἀμφοτέροις ἀποδιδόναι πρὸς ἀγαθοῦ,* 52 *τό γ' αὐτὰ τούτων ἀποστερεῖν πρὸς βασκάνων. σὺ δ' ἐκπεσεῖν μὲν τῶν ὄντων καὶ ὧν σοι πρόσεστιν ἐστερῆσθαι οὐκ ἂν ἀνάσχοιο, ἀλλά μοι δοκεῖς κἂν ὄναρ τοῦτ'*

---

*αὐτὸς ἑαυτῷ.* T. I. p. 560. Mor. 18 *ὀφείλοντες* T. *ὀφειλοῦντες* V. 20 *ἐξαλλάττειν* T. *διαλλάττειν* V. *Πρωτέα*] Perquam vulgata Protei quoque fabula est, eiusque ad mutabilitatem voluntatis designandam usus frequentissimus. Pharium Proteum Aristides appellat aeque ac Iulius Pollux apud Philostratum de Vitis Sophistarum Lib. II. cap. 12. Apollonius namque Tyanaeus apud Philostratum eundem in Vita ipsius Lib. III. cap. 24. aiebat: *ἔστι μοι καλύβη πονηρὰ περὶ τὴν νῆσον τὴν Φάρον, οὗ ποτε ὁ Πρωτεὺς ᾤκει.* Confer Heraclidem in Allegoriis Homericis p. 488. et seq. Opusc. Myth. Galaei ed. 1688. Mor. 24 *εὐφημίαι* T. *εὐφημία* V. 28 *τήν γ'* T. Aberat *γ'*.

48, 1 *σπουδαίους* T. *δικαίους* V. 3 *πῶς λόγον τοῦτό γε σῶζον*] *ὡς ἔστιν οὐ λόγον σῶζον.* Aristides Orat. Plat. pr. T. II. p. 5. Mor. 4 *ἀρετὴ* T. *ἀρετὴν* V. 5 *δόξει* T. *δόξον* V. 6 *ἀποροῦντα* T. *ἀπορροῦντι* V. 7 *τὰ* T. *τὰ μὲν* V. 11 *κἂν ὄναρ τοῦτ' ἰδὼν τεταράχθαι*] *ὃ καὶ ὄναρ μοι δοκεῖς σύ γε ἰδὼν εἰκότως ἂν αἰσχυνθῆναι.* Aristides in Oratione Legator. Graec. ad Achillem

Digitized by Google

ἰδὼν τεταράχθαι· ἧς δὲ τοὺς εὐεργέτας ἡ πόλις ἠξίωσεν ἀτελείας, ταύτης τούτους ἀπάγων, φορητόν τι νομίζεις, δέον ἀπὸ σαυτοῦ καὶ τὰ τούτων εἰκάζειν, καὶ μὴ σφᾶς ἀξιοῦν ὧν αὐτὸς γενομένων οὐκ ἂν ἠγαπήκεις;

Μᾶλλον δ' ἀνάγκη δυοῖν θάτερον, ἢ καὶ τὴν πόλιν ἐστερῆσθαι τῆς παρ' αὐτῶν ὠφελείας, ἐπειδὴ τούτους τῶν παρ' αὐτῆς γερῶν οἴει δεῖν, ἢ μηδὲ τούτοις ὁπωστιοῦν ἐνοχλεῖν, ἐπεὶ μηδὲ ταύτῃ. εἰ δὲ ταύτην μὲν ἀξιοῖς ὧν παρ' αὐτῶν εἴληφεν ἀπολαύειν εἰς ἅπαν, τούτους δὲ μή, ἔοικας οὐκ ὀρθῶς οὐδὲ δικαίως τοῖς πράγμασι διαντᾶν καὶ προσέτι τὴν πόλιν οὐχ ὅπως ὧν ἐχρῆν, ἀλλὰ καὶ ὧν ἀπεύξαιτ' ἄν τις ἀτεχνῶς ἀξιοῦν. θαυμάζεσθαι μὲν γὰρ αὐτὴν ὁσημέραι καὶ καλῶς ἀκούειν καὶ συναγωνιστὰς πάντας ἴσχειν τῆς δόξης ἐν εὐχαῖς οἶδ' ὅτι ποιεῖ, εἴπερ μὴ κοινὸς εἶ τῆς πολιτείας ἐχθρός· πράττεις δ' ἐξ ὧν ἂν εἰκότως μισοῖθ' ὑφ' ἁπάντων. οὐ (49) γάρ δή που τοὺς εὐεργέτας οὐδ' ὧν τὰ μέγιστα ἀπωνάμεθα, οὐ τούτους μόνον ἐκπολεμώσομεν ἡμῖν αὐτοῖς, ἐάν σοι τὰ τοιαῦτα πεισθῶμεν, ἀλλὰ καὶ πάντας τοὺς ἄλλους ἁπλῶς, οὐ διὰ τὴν πρὸς ἐκείνους τοσοῦτον ἀγνωμοσύνην, ὅσον τὸ πρὸς ἀπάτην ἡμᾶς τοῖς πράγμασι χρῆσθαι καὶ κατ' Εὐρύβατον ζῆν. καίτοι ὅταν ταῦτ' ᾖ, καὶ πονηροτάτην ἡμῖν αὐτοῖς ἐπεισαγάγωμεν δόξαν, τί πλέον ἀπὸ τῶν λειτουργιῶν ἡμῖν ἔσται, ἐάν, οὐκ Ἀθηναίους λέγω μόνον, ἀλλὰ καὶ πάντας ἀνθρώπους κτησώμεθα λειτουργούς; χωρὶς δὲ τούτων εἰ μὲν τοῖς

---

T. II. p. 541. Mor. ἧς δὲ T. ἧς καὶ V. 13 σαυτοῦ T. σεαυτοῦ V. 18 τούτους T. τούτοις V. 19 ταύτην T. ταῦτα V. 20 εἰς ἅπαν] Vulgo ἐσάπαν. 22 διαντᾶν] διαιτᾶν T. προσέτι T. πρὸς ἔτι V. 23 ἀπεύξαιτ'] ἀπεύξαιντ' T. 26 ποιεῖ] Vulgo ποιῇ. 27 ὑφ' ἁπάντων T. ὑπὸ πάντων V.

49, 4 ἁπλῶς T. αὐτοὺς V. 6 Εὐρύβατον] Hominem improbum Eurybatum appellare, et εὐρυβατεύεσθαι pro pravis esse moribus dicere, solemne apud Graecos est; ducto proverbio ab Eurybato homine perfido et nequitia inclyto. Satis multa de hac re sunt apud Diodorum Siculum T. II. p. 553. Ed. Wess., Harpocrationem, Suidam, et Michaelem Apostolium Proverb. Cent. IX. n. 33. Mor. 7 ἐπεισαγάγωμεν T. ἐπεισάγωμεν V.

Digitized by Google

αὐτοὺς οἷόν τ' ἦν καὶ ἀτελείας ἀποστερῆσαι καὶ φίλους 56
παραπλησίως κεκτῆσθαι, καὶ οὕτως ἡμεῖς μὲν ἀγνωμονοῦντες ἂν εἴημεν οὐδὲν ἧττον τῷ τὰ μὴ προσήκοντα σφίσι διὰ τέλους τηρῆσαι, αὐτοὶ δὲ πρὸς τῷ καλοὶ κἀγαθοί τινες εἶναι δι' ὧν εἰς ἡμᾶς ἔδρασαν, καὶ μεγαλοψυχίας φέροιντ' ἂν δόξαν, ὡς οὐκ ἐν οἷς ἠτιμάσθησαν ταραχθέντες, ἀλλ' ἐφ' οἷς εἶχον μεμενηκότες. εἰ δ' ἅμα ταύτης στερήσονται καὶ ἡμῖν ἔσονται δύσνοι, ὡς ὑφ' ἡμῶν ἀτεχνῶς ὑβρισμένοι, μανία δή που σαφὴς ἀντὶ μικρῶν καὶ φαύλων λειτουργιῶν τοσούτοις ἡμᾶς διαβεβλῆσθαι καὶ κακῶς ἀκούειν καὶ μῖσος ἐν Ἕλλησι καὶ βαρβάροις ἔχειν, ἐξὸν πᾶν τοὐναντίον θαυμάζεσθαι καὶ φιλεῖσθαι καὶ διὰ τὴν ἡμετέραν πρὸς τούτους αἰδῶ πάντας ἐπὶ τὰ ἴσα προτρέπειν.

Ἀλλὰ μὴν καὶ περί γ' αὐτῶν τῶν λειτουργιῶν, ἃς ἀναιρεῖσθαί φησι διὰ τὰς ἀτελείας Λεπτίνης, ἐκεῖνο λέγω, ὡς εἴ τις τὴν ἐσομένην ἐντεῦθεν ὄνησιν ἀκριβῶς
(50) ἐξετάσει, καὶ ἣν οἱ τὰς ἀτελείας λαμβάνοντες τῇ πόλει παρέχουσιν, εὑρήσει τὴν μὲν μείζω τοῖς ὅλοις καὶ περιφανεστέραν καὶ ὥστε ταύτης τυγχάνειν ἀξίαν εὐχῆς, τὴν δ' οὐχ ὅσον ἐλάττω καὶ φαύλην παντάπασι καὶ οὐδ' αὐτὸ τοῦτο διὰ σμικρότητα δοκοῦσαν δήπουθεν ὄνησιν, 58
ἀλλὰ καὶ οἵαν παροραθεῖσαν μηδ' ὁπωστιοῦν ἂν τῷ κοινῷ λελυμάνθαι. διὰ τί; ὅτι οὐ πᾶσι μέτεστιν ἀτελείας οὐδὲ διὰ πάντων ἁπλῶς τοῦθ' ἥκει, ἀλλ' οἷς ἄξιον τὰ τοιαῦθ' ὡς εὐεργέταις διδόναι. τοσοῦτοι δὲ οὗτοι ὥσθ' ἕνεκα πλήθους οὐχ ὅσον τοῖς λειτουργοῦσιν ἐγγὺς

---

11 καὶ φίλους — τηρῆσαι accesserunt ex T. 15 καλοὶ κἀγαθοὶ T. καλοκἀγαθοί V. 18 στερήσονται T. στερηθήσονται V. 26 φησι] λέγει T.

50, 1 οἱ — λαμβάνοντες T. οἳ — λαμβάνουσι V. 4 παντάπασι] Vulgo παντάπασιν. 8 οὐδὲ διὰ πάντων ἁπλῶς τοῦθ' ἥκει] Immo vero tum cum de Leptinis lege abroganda agebatur, vix quinque de hospitibus, totidemque de civibus immunitate fruebantur, Demosthene manifeste affirmante in Leptinea p. 463. Iisdem vero nonnisi a muneribus publicis tempore pacis immunes esse licebat: τῶν γὰρ εἰς τὸν πόλεμον καὶ τὴν σωτηρίαν τῆς πόλεως πασῶν εἰσφορῶν καὶ τριηραρχιῶν ὀρθῶς καὶ δικαίως οὐδείς ἐστ' ἀτελὴς ἐκ τῶν παλαιῶν νόμων. Demosth. ib. p. 462. Mor. 10 ἕνεκα]

ἰέναι, ἀλλὰ μηδ' ἂν ἐν προσθήκῃ τουτοισὶ γεγονότες μηδ' ἡντινοῦν εἰργάσθαι διαφοράν, μήτ' εἰς ἀριθμοῦ μήτ' εἰς πραγμάτων ἐπίδοσιν· μᾶλλον δ' ἐπείπερ οὐκ εἰς ἀριθμοῦ, οὐδὲ πολλῷ μᾶλλον εἰς πραγμάτων ἐπίδοσιν. ὥστ' εἴ τις νῦν ἔροιθ' ὑμᾶς πότερα τὴν τῶν μηδὲν εἰς ἐπίδοσιν τῆς κοινῆς ὠφελείας ξυμβαλλομένων ἐν ταῖς λειτουργίαις συντέλειαν ἢ τὴν αὐτῶν τούτων εἰς ἡμᾶς μεγαλοψυχίαν αἱρεῖσθαι δεῖ, τοῦτ' ἂν εὖ οἶδ' ὅτι φήσαιτε πάντες, εἴπερ ὑμᾶς αὐτοὺς προὔργου ποιεῖσθε. οὐκοῦν 60 ἄτοπον καὶ τῷ λυσιτελεῖ πολεμοῦν παρ' οὗ μὲν δόξα καὶ κέρδος ὑμῖν, τοῦτ' εἰσφέροντας τουτουσὶ μὴ θαυμάζειν μηδὲ τοῖς ἴσαις τιμᾶν, παρ' οὗ δὲ μηδ' ἡτισοῦν ὄνησίς ἐστι, μὴ τοῦτο ποιοῦντας κακίζειν, καὶ τὴν οὐδὲν ἔχουσαν κέρδος λειτουργίαν περὶ πλείονος ἄγειν τῆς θαυμαστῆς αὐτῶν ὑπὲρ ὑμῶν προαιρέσεως· ἥν, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ σφῶν αὐτῶν καταψεύδεσθαι δόξωσιν, ἀκίνητα βούλονται σφίσιν αὐτοῖς παντάπασι καθεστάναι τὰ ἆθλα, οἱ τούτων, ὡς ἐγῷμαι, τοσοῦτον δεόμενοι, ὅσον τοῦ καλοὶ κἀγαθοὶ δοκεῖν ἅπασιν εἶναι; μᾶλλον

(51) δὲ διὰ τὸ βούλεσθαι καλοὶ κἀγαθοὶ δοκεῖν ἅπασιν εἶναι τουτωνὶ δέονται δή που, εὖ εἰδότες ὡς εἰ καὶ τὸ καλοὺς κἀγαθοὺς αὐτοὺς γεγενῆσθαι αἰτιώτατον σφίσι τοῦ γερῶν ἠξιῶσθαι, ὡς ἐὰν μὴ τοῦτο παρῇ, οὐδ' ἂν τουτὶ γεγονός. ἀλλ' ἐπεὶ τὸ γερῶν ἠξιῶσθαι καλοὺς κἀγαθοὺς δείκνυσι μᾶλλον, καὶ γνωριμωτέρους καθίστησι πᾶσι, καθάπερ τοὺς Ὀλυμπιονίκας οἱ πομπικοὶ στέφανοι, διὰ τοῦτο δεῖ δή που, μᾶλλον δὲ πᾶσα ἀνάγκη καὶ 62 γερῶν αὐτοὺς ἠξιῶσθαι, ὡς ἂν μᾶλλον καλοὶ κἀγαθοὶ καὶ νῦν καὶ εἰσαῦθις πᾶσι καὶ δοκῶσι καὶ ὦσιν· ὡς ἤδη τινὲς ἠριστευκότες ἐν μάχαις, ἢ καὶ ὁτιοῦν ἄλλο χρηστὸν

---

Vulgo εἵνεκα. 11 ἰέναι T. εἶναι V. 18 φήσαιτε T. φῆσαιτε V. 19 οὐκοῦν Wolfius. οὐκ οὖν V. 28 τοσοῦτον] τοσοῦτο T. 29 ὅσον] ὅσο (sic) T.

51, 5 τὸ γερῶν T. τῶν γερῶν V. 7 οἱ πομπικοὶ στέφανοι] Sane tanta fuit Olympiacae victoriae laus, ὥστε τὸν νικήσαντα αὐτῶν ἰσόθεον νομίζεσθαι, iuxta Lucianum de Gymnasiis T. II. p. 890. ed. Reitz. Affert plura Davisius in Ciceronis Tusculanas Quaestiones Lib. I. cap. 46. et Lib. II. cap. 16. Mor. 9 καὶ νῦν

Digitized by Google

εἰργασμένοι, ἐπειδήπερ οὐχ ὧν ἔδει μετέσχον, οὐδὲ τῆς εἰσέπειτ' ἀπέλαυσαν προθυμίας, οὐδ' ὅτι τοιοῦτοί τινες ἦσαν γεγόνασι δῆλοι, ἀλλ' ἠπιστήθησαν τοῖς πολλοῖς, κατ' αὐτὸν τὸν τῆς ἐπιδείξεως χρόνον μόνοις τοῖς θεαταῖς βοηθέντες.

Καὶ τοίνυν εἰ μὲν τοῦ παρὰ τῆς πόλεως τετιμῆσθαι λόγος οὐδ' εἰστισοῦν αὐτοῖς ἦν, οὐδ' ἂν ὅλως ἠξίωσαν περὶ αὐτὴν χρηστοὶ γεγονέναι, οὐδὲ τῆς πρὸς ἡμᾶς φιλοτιμίας ἀπῆρχθαι· εἰ δ' ὅπως αὐτοῦ τύχοιεν πάντ' ἐποίουν ἐκεῖνα, καὶ τῆς χρηστότητος τὰς ἀφορμὰς ἡ παρ' ἡμῶν ἐλπὶς ἐχορήγει, ποῦ δίκαιον τὸ μάλιστ' αὐτοῖς σπουδασθὲν περικόψαι, καὶ περὶ τὰ καίρια διορύξαι
τὸ πρᾶγμα; καίτοι μετριώτερον ἂν αὐτοῖς ἐδόκει μηδ' 64
ὁτιοῦν τὴν ἀρχὴν εἰληφέναι ἢ οὕτω λαμπρῶς εἰληφόσιν ἔπειθ' ὑπ' οὐδεμιᾶς ἀξιολόγου προφάσεως τοῦτ' ἀφῃρῆσθαι. ἐκεῖνο μὲν γὰρ ἀγνωμοσύνη τις ἂν ἦν μόνον περὶ τοὺς εὐεργέτας τῆς πόλεως, τὸ δ' ἀμφοτέρων μὲν ὕβρις καὶ ἀδοξία· ἰδίᾳ δὲ παρὰ πάντων ὄνειδος καὶ μίσος τῇ
(52) πόλει καὶ τὸ μὴ παρ' ὡντινωνοῦν ἀξίων δοκεῖν εἶναι τὸ

---

accessit ex T. 13 προθυμίας Grauertus. Vulgo προμηθείας.

17 παρὰ T. ἐπὶ V. 23 καίρια codex manifeste habet: attamen καίρια vel κύρια, μέρη videlicet, legas, haud multum interest, ex iis quae accurate disputat Abrescius in Miscellaneis Observationibus novis T. I. p. 63. et in Auctario Dilucidationum Thucydidearum p. 321. quibus ea quoque si adiiciantur, quae Paulus Leopardus Emendat. Lib. V. cap. 5. et Salmasius in Simplicium p. 4. disserunt, vocis huius interpretationem, quam dedi, stabiliri nemo non videt. Ut vero διαρύξαι, quod codex habet, in διορύξαι commutarem, animum Demosthenes quoque fecit, cuius perquam similis locutio est in Oratione in Stephanum T. II. p. 1111. τῷ δὲ κακουργῆσαι καὶ διορύξαι πράγματα οὐδενὸς λείπεται. Metaphorice διορύττειν est apud Demosthenem eundem et in Oratione tertia in Philippum T. I. p. 118. οὕτω δὲ κακῶς διακείμεθα καὶ διορωρύγμεθα κατὰ πόλεις. Quem locum Wolfius vertit: *adeo vero sumus amentes, atque oppidatim, tanquam fossis interiectis et vallis, separati.* Paulus Manutius: *ita male affecti, ita animo fracti per urbes sumus;* Reiskius vero in Indice Graecit. Demosthen. διορωρύγμεθα *confossi, perforati sumus*, h. e. *corrupti, pessumdati.* Mor.

28 ὕβρις] ἄνβρις codex Venetus. 29 παρὰ Maius. περὶ T. ἐπὶ V.

παράπαν ἐπὶ μηδενὶ πεπιστεῦσθαι. ἡ τοσοῦτον δόξης καὶ τοῦ θαυμάζεσθαι μέτεστι, καὶ οὕτως ἐστὶ διὰ πάντων κρατίστη καὶ τοῖς ὅλοις νικῶσα, ὡς μόνην ταύτην τῶν ὑφ' ἡλίῳ πόλεων, εἰ δεῖ συντόμως εἰπεῖν, κοινὴν ἐρωμένην ἀνθρώπων τε καὶ θεῶν καταστῆναι. οἱ μὲν γὰρ οὐ μόνον ἀντὶ πατρίδος, ἀλλὰ καὶ πρὸ τῆς πατρίδος ἄγουσι ταύτην, καὶ ὅλῳ καὶ παντὶ πρεσβεύουσι τῷ θυμῷ, ὡς εἰκὸς τὴν κοινὴν ἁπάντων αἰτίαν τε καὶ τροφόν. πρώτη γὰρ ἄνθρωπον ἤνεγκε καὶ πρώτη βίου

---

52, 2 μηδενὶ T. μηδὲν V. τοσοῦτον] Vulgo τοσοῦτο. 3 καὶ τοῦ T. καὶ τὸ V. 6 ἐρωμένην] Locum hunc ante oculos habuisse videtur Libanius, utpote in Aristidis scriptis, si quis alius, versatus. Sic enim Iulianum alloquitur in Panegyrico T. II. Oper. p. 176. εἰς γὰρ τὴν ἀρχαιοτάτην καὶ σοφωτάτην καὶ θεοφιλεστάτην καὶ κοινὴν ἐρωμένην ἀνθρώπων τε καὶ θεῶν γῆν, τὰς Ἀθήνας ἐπέμπου. Saltem non succurrit, quonam ex auctore scriptor uterque magnificam hanc Athenarum appellationem hauserit. Mor. ἀνθρώπων τὲ καὶ θεῶν T. τε θεῶν καὶ ἀνθρώπων V. 8 ὅλῳ καὶ παντὶ T. ὅλως παντὶ V. 9 πρεσβεύουσι] οὐ μόνον δὲ τὰ τῶν ἰδιωτῶν οὕτω πρεσβεύουσι τὰς Ἀθήνας, ἀλλὰ καὶ πόλεις. Aristides in Panathenaico T. I. p. 183. τί ἂν εἴποις, ἢ τῶν θεῶν ἅπαντα ταῦτ' εἶναι, βουλομένων πανταχῇ τὰς Ἀθήνας πρεσβεύειν. Idem ib. p. 189. Confer Scholiastem et Barnesium in Euripidis Hippolytum v. 5. Mor. 10 πρώτη γὰρ ἄνθρωπον ἤνεγκε] πρώτη γὰρ ἤνεγκεν ἄνθρωπον, καὶ πρώτη πατρίς ἐστιν ἀνθρώπου. Aristides in Panath. T. I. p. 102. Iam vero haud operae pretium esse arbitror hoc loco immorari in explicandis mirificis hisce fabulis de Athenarum origine, de hominum e terra ipsa ortu, de divina frugum largitione, ac deorum ipsa de civitate inter se contentione, mutuisque dissidiis eidem commissis: quae omnia Aristides in Panathenaica Oratione fusius percenset. Adire praestat Platonis Menexenum et Periclis Orationem funebrem ex Thucydide, et quae Io. Christianus Gottleberus ad ea annotavit in editione Lipsiensi an. 1782. ut scriptores multos antiquos et novos praeteream, qui in manibus eorum omnium sunt, qui historiae Graecae operam aliquam navant. Unius tamen Ciceronis verba splendidissima, quibus universas propemodum has Athenarum laudes complectitur, ne huc transferam, facere nequeo: „Adsunt, inquit pro L. Flacco, Athenienses, unde humanitas, doctrina, religio, fruges, iura, leges ortae atque in omnes terras distributae putantur: de quorum urbis possessione propter pulchritudinem etiam inter deos certamen fuisse proditum est: quae vetustate ea est, ut ipsa ex

Digitized by Google

χρῆσιν ἐξεῦρε, καὶ διὰ τοῦτο μόνη πᾶσιν ἀνθρώποις 68
ἐστὶ καταφυγὴ καὶ προστάτις· καὶ πάντες κατὰ τὸ τῆς
χρείας ἑστὸς ὥσπερ ἐκ δυοῖν ποδοῖν ὡς ἀληθῶς, τὸ 70
τοῦ λόγου, πρὸς ταύτην ὡς πρὸς μητέρα χωροῦσι, καὶ τυγχάνουσιν ὧν βούλονται κάλλιον ἢ προσεδόκησαν. οὕτω δ᾽ ἀνθρώποις περισπούδαστος οὖσα, οὕτω καὶ θεοφιλής ἐστι καὶ μέλημα τοῖς κρείττοσιν ἐναργῶς

---

sese suos cives genuisse dicatur, et eorum eadem terra, parens, altrix, patria dicatur: auctoritate autem tanta est, ut iam fractum prope ac debilitatum Graeciae nomen huius urbis laude nitatur." Mor. 12 καταφυγὴ καὶ προστάτις] Paul. ad Rom. XVI. 3. de Phoebe: καὶ γὰρ αὕτη προστάτις πολλῶν ἐγενήθη καὶ αὐτοῦ ἐμοῦ. Quem locum Beza vertit: „Ipsa enim tum multis hospitium praebuit tum mihi;" non sane abludens interpretatio ab Aristidea locutione. Chrysostomus tamen in Epist. ad Hebr. (apud Budaeum Comm. Ling. Gr. p. 488.): ἡ γὰρ ἐλεημοσύνη τεχνίτης ἀρίστη, καὶ προστάτις τῶν ἐργαζομένων αὐτήν. Porro Athenae κοινὴ ἑστία τῆς Ἑλλάδος, ad quam exsules et aerumnis vexati confugerent, oraculo divino dictae sunt apud Aelianum Var. Hist. Lib. IV. cap. 6. ubi Perizonius scitu digna profert. Mor. 13 ἑστὸς] Vulgo ἑστώς. ὥσπερ ἐκ δυοῖν ποδοῖν] Ex Aristidis Panathenaico adagium Erasmus in Chiliades suas derivavit (Chil. I. Cent. V. n. 35.). Sunt vero ipsa Aristidis verba (T. I. p. 117.): καὶ μὴν αὐτὸ τοῦτο πρῶτον, τὸ πάντας τοὺς ἐν χρείᾳ βοηθείας καταφεύγειν ἐπὶ τὴν πόλιν ὥσπερ ἐκ δυοῖν ποδοῖν ὡς ἀληθῶς, καὶ μηδεμίαν τῶν ἄλλων πόλεων ὁρᾶν μέγα καὶ φανερὸν σύμβολόν ἐστι, καὶ στήλης ἄμεινον τοῦ προέχειν εὐθὺς ἐξ ἀρχῆς, οὐχ ὅσον λανθάνειν· καὶ μαρτύριόν γε δυοῖν τοῖν καλλίστοιν, ἀνδρείας καὶ φιλανθρωπίας. Affert quoque Erasmus proverbii explicationem ex Scholiaste inedito Codicis CCCCXXIII. Marciani sumptam, cuius verba: ἐκ δυοῖν ποδοῖν· ἀντὶ προθύμως καὶ ἀνενδοιάστως, παρὰ τὸ τοὺς σπεύδοντας ἀμφοτέροις ἐπείγεσθαι τοῖς ποσίν· ἢ ἀντὶ δύο πηδαλίοις, ἵνα ᾖ ὅμοιον τῷ ἐπὶ δυοῖν ὁρμεῖν ἔδοξαν. Scholiastes quoque alter Codicis Marciani CCCCXXIV. τὸ ἐκ δυοῖν παροιμία ἐπὶ τῶν πάνυ σπουδαζόντων λεγομένη· οὐχ ὅτι οἱ μὴ σπεύδοντες ἑνὶ μόνῳ χρῶνται ποδί· πῶς γάρ; ἀλλὰ τὸ λέγειν ἐκ δυοῖν ἔμφασιν ἔχει μεγάλης σπουδῆς· ἄλλως τε καὶ οἱ μὴ σπουδάζοντες, εἰ καὶ δυσὶ χρῶνται ποσίν, ἀλλ᾽ ἑνὸς τάχος παρέχονται. Aristidis autem proverbium ἐπὶ δυοῖν ὁρμεῖν (T. I. p. 110.) Scholiastes Cod. CCCCXXIII. hisce declarat: παροιμία τὸ ἐπὶ δυοῖν ὁρμεῖν, ἐπὶ τῶν ἀσφαλῶς πρός τι χωρούντων. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν πλεόντων, ὅταν ἢ δυσὶν ἀγκύραις ὁρμίζωνται, ἢ ὅταν ἐλλιμενίσωσι μέν, προσχρήσωνται δὲ καὶ ἀγκύρᾳ διὰ πλείστην ἀσφάλειαν. λέγει οὖν ἐνταῦθα, ὡς ἅπαντες καὶ τῆς πατρίδος εἴχοντο, καὶ ταύτην πλείονος ἐνόμιζον ἀξίαν. Mor. 17 οὕτω κτλ.]

Digitized by Google

ὡς τοὺς μὲν αὐτῶν πάλαι πρὸς ἀλλήλους περὶ ταύτης ἐρίσαι, τοὺς δ' ὧν πρὸς ἀλλήλους εἶχον διαφορῶν ἐνταῦθα πεποιῆσθαι τὰς κρίσεις, πάντας δ' ἁπλῶς κατὰ πάντα δή που τὸν χρόνον πᾶσαν εἰσφέρειν σπουδὴν μὴ μόνον τὰ λυσιτελῆ καὶ συναύξοντ' αὐτὴν ἐκ παντὸς τρόπου περαίνειν, ἀλλὰ καὶ ὅ τι ἂν ἔσθ' ὅτε σφαλῶμεν, ταῦτ' αὐτοὺς ἐπὶ τὸ βέλτιον μεθιστάναι.

Οὐκοῦν καὶ περὶ ἀτελείας ταῦτ' εἰκότως ἔχομεν λέγειν καὶ τῆς τῶν θεῶν προνοίας ἀξίως. ὡς εἰ μὲν τῶν λυμαινομένων κατὰ τὸν σόν ἐστι λόγον αὕτη, Λεπτίνη, οὐκ ἂν ἐπὶ τοσοῦτον εἰσκωμάσαι τῇ πόλει ταύτην εἴασαν οἱ θεοί, ἀλλ' ὥσπερ διὰ τοῦ κοινοῦ μάντεως καὶ
(53) ἐξηγητοῦ τοῦ πατρῴου τῇ πόλει θεοῦ ἔπαυσαν μὲν τὴν πρὸς Εὔμολπον μάχην, ἔπαυσαν δὲ τὸν λοιμόν, ἐνταῦθα μὲν τοῦ Λεῶ τῶν θυγατέρων ἐκστάντος, τοῦ δ' Ἐρεχθέως ἐκεῖ τῆς παιδός, καὶ πάλιν αὖ ἐν τῷ πρὸς Δωριέας

---

σῦτω δὲ T. τοῖς κρείττοσιν] Quod κρείττονες dii appellari soleant, res in comperto est, neque id Canterum certe latuit, virum, si quis alius, litterarum Graecarum egregie peritum: quod et in Aristidis interpretatione persaepe declaravit. Idem ipse tamen Canterus semel *viros probos*, iterum vero *praestantiores* per hallucinationem reddidit. T. I. p. 537. Mor. 24 ταῦτ'] Fort. τοῦτ'. Mor. ἐπὶ τὸ βέλτιον]

φασὶ γὰρ δυσβουλίαν
τῇδε τῇ πόλει προσεῖναι· ταῦτα μέντοι τοὺς θεούς,
ἅττ' ἂν ὑμεῖς ἐξαμάρτητ', ἐπὶ βέλτιον τρέπειν.

Aristophanes in Nubibus v. 587. quibus similia habet etiam in Ecclesiazusis v. 471. Mor. 29 τοῦ κοινοῦ μάντεως καὶ ἐξηγητοῦ] Codex perperam ἐξητοῦ. Non me praeterit, ἐξηγητὰς apud Hesychium appellari τοὺς περὶ ἱερείων καὶ διοσημείων ἐξηγουμένους: quin etiam de aliis atque aliis interpretum generibus vocem huiusmodi speciatim usurpari, ex allatis ab Hemsterhusio ad Pollucem (T. II. p. 949.) et Ruhnkenio ad Timaei Lexicon (p. 80.). Aristides tamen ipse in Panathenaico. T. I. p. 196. id nominis Apollini tribuit iisdem omnino verbis, quibus in Leptinea: φανερὰ δὲ καὶ ἡ παρ' αὐτῶν τῶν θεῶν εὔνοια καὶ ψῆφος, καὶ διὰ τοῦ κοινοῦ μάντεως καὶ ἐξηγητοῦ τοῦ πατρῴου τῇ πόλει. Et p. 112. Apollinem vocat κοινὸν τῶν Ἑλλήνων ἐξηγητήν, ἑαυτῇ δὲ (πόλει) πατρῷον. In Oratione autem de Paraphthegmate T. II. p. 368. τὴν νῦν ἀξίαν ὅ τε Ἀπόλλων, ἅτε μάντις καὶ ποιητὴς ὢν καὶ κατ' ἀμφότερα ἐξηγητὴς τῆς ἀληθείας, παρακελεύεται τιμᾶν. Mor.

*καὶ Πελοποννησίους πολέμῳ περιγενέσθαι τῇ πόλει παρέσχον οἳς ἐθελοντὴν τὸν Κόδρον ἀποθανεῖν παρεσκεύασαν· οὕτω καὶ τὴν ἀτέλειαν, εἴπερ ἐπιβλαβῆ τῇ* 74 *πόλει συνῄδεσαν, εὐθὺς ἂν τὸν αὐτὸν τρόπον ἦραν ἐκ μέσου. καὶ πάντες μὲν ὡς εἰπεῖν οἱ θεοί, ἐπεὶ πᾶσιν ἡμῶν μέλει καὶ πάντων ἡμῖν, πολλῷ δὲ πλέον ἡ τὴν πόλιν ἐξ ἀρχῆς λαχοῦσα Παλλὰς καὶ ὁ προσοικῶν Ἴακχος, ὃς τῆς εἰς ἡμᾶς εὐνοίας καὶ φιλανθρωπίας πλεῖστα μὲν καὶ κάλλιστα δείγματα ἐξήνεγκεν ἐν παντὶ τῷ παρασχόντι, μέγιστον δὲ καὶ ὃ πάντες ᾄδουσιν οἷς ἐν τῷ Μηδικῷ πολέμῳ τὰ κράτιστα συνήραθ' ἡμῖν, καὶ αὐτὸς δι' ἑαυτοῦ καὶ νέφος ταῖς τῶν βαρβάρων ναυσὶν ἐγκατασκῆψαι παρασκευάσας ἅμα τῷ μέλει τῷ μυστικῷ. ἀλλ', ὅπερ ἔφην, εἰ μὲν τὰ τῆς ἀτελείας ἡμῖν εἰς βλάβος ἀπήντα,* 76 *λόγον ἂν εἶχεν ὑπὸ τῶν τὰ ἡμέτερα πάντα τρόπον εὖ ποιεῖν βουλομένων θεῶν καὶ ταύτην αὐτίκα πεπαῦσθαι· οἷς δ' οὐ χθὲς καὶ πρώην, ἀλλ' ἄνωθεν καὶ ἐξ ἀρχῆς οὖσαν τῇ πόλει οὐδενὸς ἠξίωσαν λόγου πρὸς τὸ ταύτην*

---

53, 6 *ἀποθανεῖν παρεσκεύασαν*] Illustria tria facta haec, ad Atheniensium caritatem in patriam ostentandam, coniunctim exhibet Aristides etiam in Panathenaico T. I. p. 118. 119. quibus lux affulget vel ex allatis a Meursio de Erechtheo Lib. I. de Regibus Athen. cap. 8. de Leo vel Leone in Ceramico gemino cap. 17. et de Codro Lib. III. de Reg. Athen. cap. 11. Ad Lei factum quod attinet, illud annotaverim, Canterum in Panathenaico l. c. pro *ἐν τῷ λοιμῷ*, quod Codices manuscripti Marciani ac editiones communiter habent, *ἐν τῷ λιμῷ*, famis tempore, legendum iudicasse; ac propterea in exemplari Aristidis Pinelliano ex editione Iuntarum, Canteri manu recensito, vir idem doctissimus ad oram p. 8. t. *ἐν τῷ λιμῷ* adscripsit. Eadem in sententia versantur Michael Apostolius in Proverbiis (Cent. XI. n. 84.) et Anonymus auctor Scholii in Libanium (T. I. Oper. p. 605.): Federicus vero Morellus insigniter fallitur, dum ea Libanii verba (T. I. p. 403.) *ὁ Λεὼς τὰς θυγατέρας ἔδωκε* reddit „populus filias tradidit." Codex Marcianus in Aristidis Oratione Leptinea *τοῦ Λεῶ*, haud vero *Λεὼ*, aperte habet; quemadmodum etiam Libanius in Oratione Defensoria etc. an. 1775. ab Ernestina Christina Reiskia Lipsiae evulgata p. 2. Mor. 8 *συνῄδεσαν* T. *συνείδεσαν* V. 16 *ναυσὶν* T. *ναυσὶ* V. 17 *ἅμα τῷ μέλει τῷ μυστικῷ*] Portentum Herodotus refert Lib. VIII. cap. 65. quem ad locum Valckenarius observat, Aristidem in orationibus iam editis quater huius ipsius

ἐκτρῖψαι, πᾶσαν δὲ μᾶλλον ποιοῦνται σπουδὴν, ταύτ[ας] ὅσαι ὧραι συνιστάναι τε καὶ συναύξειν, δι' ὧν ἑκάστ[ους] πλείστους ἐπὶ τῷ ταύτης τυχεῖν εὖ ποιεῖν τὴν π[όλιν] προτρέπονται, ἄτοπον ἂν εἴη καὶ τοῖς θεοῖς ἀτιμ[ά]... πολεμοῦν ἀκεῖνοι καλῶς ἔχειν ἔγνωσαν, ταῦθ' ἡμ[ᾶς] διαβάλλειν, ὥσπερ ἢ τῶν θεῶν ἀμείνους ἀξιοῦντας εἶ[ναι] πρὸς τὸ τὰ δέοντα ξυνορᾶν, ἢ ὡς τὰ χείρω τιμῶ[ντας] ἐκεῖνοι δεικνύντας.

(54) Τοσαύτης οὖν καὶ τηλικαύτης, ὦ ἄνδρες Ἀθηναῖ[οι], δόξης ἡμῖν ὑπαρχούσης, καὶ ταύτης οὐ μόνον, ὑπ[ὲρ] βουλομένων, παραπλησίας εἰς ἅπαν, ἀλλὰ καὶ περιφ[α]νεστέρας πολλῷ καὶ μείζονος ἔθ' ἡμῖν ἐσομένης, τ[οῦ] εἰκότος ἀεὶ νικῶντος, ἔπειθ' ἡμεῖς οὐ προτιμήσομεν τα[ύ]της, ἀλλὰ τὰς Λεπτίνου λειτουργίας ἀσφαλεστέρας ν[ο]μιοῦμεν καὶ καλλίους κεχρῆσθαι, ἃς διὰ τὸ μηδὲν εἶν[αι] πρὸς λόγον λυσιτελοῦντος τῇ πόλει οὐδ' εἰστισοῦν τ[ὸ] παράπαν ἄχρι τοῦ νῦν ἠξίωκε λόγου. καὶ πῶς οὐ τοὺ[ς] ἄνωθεν ἡμῖν συναγωνιστὰς τῶν τοιούτων παροξυνοῦ[μεν] θεοὺς, εἴπερ οἱ μὲν ὅπως ἑκάστοθ' ἡμῖν ἐπὶ μεῖζον τὰ τῆς δόξης χωροίη πάντα ποιοῦσιν, ἡμεῖς δὲ οὐ μόνον ὅπως τὴν ἐξ ἀρχῆς προσοῦσαν ἡμῖν αὐξήσαιμεν, ἀλλὰ καὶ ὅπως ἐξαλείψαιμεν ταύτην ἀξιώσομεν, καὶ μῖσος ἡμῖν αὐτοῖς ὅτι μάλιστα προστριψαίμεθα, τῆς πρόσθε[ν] εὐνοίας ἀντίπαλον; πρὸς γὰρ τὰ τελευταῖα ταυτὶ τὰ[ς] ψήφους οἴσουσιν ἅπαντες, καὶ δόξομεν, ὦ ἄνδρες Ἀθη[ναῖοι], ναῖοι, ἐπὶ κενοῖς τισιν ἡμεῖς φιλοτιμεῖσθαι τοῖς πρόσθεν καὶ μύθοις μᾶλλον ἢ πράγμασιν, οἱ καινότητι καὶ τῷ μεγέθει τῶν ἔργων, οὐ μόνοις παρεικότες ἀπιστεῖσθαι τοῖς μύθοις.

Πάντων δὲ ἀτοπώτατον, εἰ πάλαι μὲν τοῦ Μήδου τοῖς ἡμετέροις προγόνοις πλεῖστα καὶ μέγιστα δῶρα τὰ μὲν αὐτίκα διδόντος, τὰ δ' ἐπαγγελλομένου, ἐὰν μετ' αὐτοῦ κατὰ τῆς Ἑλλάδος συστῶσιν, ἐὰν δὲ μὴ, πάντα

fabulae mentionem iniecisse. Mor. 25 ἐπὶ τῷ T. ἐπὶ τὸ V. 27 ἀκεῖνοι] Vulgo ἃ 'κεῖνοι.

54, 3 εἰς ἅπαν] Vulgo ἐσάπαν. 5 ἀεὶ] Vulgo αἰεὶ. ταύτης T. ταύτην V. 7 καλλίους T. κάλλιον V. 18 ἐπὶ T.

τὰ πάντων αἴσχιστ' αὐτοῖς ἀπειλοῦντος, τούτων οὐδὲν τὸ παράπαν εἷλεν αὐτοὺς οὐδ' ἔπεισε γενέσθαι κακοὺς, ἀλλὰ τοσοῦτον ἀπέσχον τοῦ σφῶν αὐτῶν καὶ τοῦ μεγάλου τῶν Ἀθηναίων ὀνόματος ἀνάξια καὶ βεβουλεῦσθαι καὶ δρᾶσαι, ὡς μᾶλλον ἂν ἑλέσθαι καθάπαξ ἀπολωλέναι καὶ αὐτοὺς καὶ τὰ αὐτῶν ἢ τῶν ὑπὲρ τῆς Ἑλλάδος ἐξ ἀρχῆς αὐτοῖς ἐγνωσμένων καὶ ὁπηοῦν καθυφέσθαι· καὶ ταῦτ' οὔσης ἀνάγκης, ἐν ᾗ καὶ τὸ παρὰ τοὺς νόμους εἰργάσθαι φέρει ξυγγνώμην. ἡμεῖς δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, καθ' ἡμῶν αὐτῶν εἴξομεν ὁτῳοῦν, καὶ πλέον ἕξει Λεπτίνης ἃ μὴ δεῖ συμβουλεύων, ἢ Ξέρξης μετὰ πάσης ὡς εἰπεῖν τῆς οἰκουμένης ἡμῖν ἐπιών; καὶ μὴν οἷς μὲν τούτου γῆν καὶ ὕδωρ διὰ τῶν πρέσβεων αἰτοῦντος οὐκ 82
ἐπεστράφημεν οὐδ' ὁπωστιοῦν, ἀλλ' οὕτως ἔσχομεν ἐν τῷ παραυτίκα τῆς ἀκοῆς ὥστ' ἐπειδή τις ἐτόλμησεν εἰπεῖν ὡς χρὴ ξυγχωρεῖν, οὐ μόνον αὐτὸν λίθοις εὐθὺς ἀνελεῖν, ἀλλὰ καὶ τοὺς πρέσβεις εἰς φρέαρ ἐμβεβληκότες, ἔπειτ' αὐτοῖς γῆν ἐπιχῶσαι, ὡς μόνην ταύτην οὖσαν πρὸς εὐψυχίαν παράκλησιν, θαυμαστὴν δόξαν ὑπερφυοῦς μεγαλοφροσύνης καὶ Ἕλλησι καὶ βαρβάροις ἐν τῷ τηνι-

---

ἡμᾶς V.  26 αἴσχιστ' T. αἴσχιστα V.

55, 8 γῆν καὶ ὕδωρ — αἰτοῦντος] More scilicet apud Persas recepto, quo deditionem eis fieri postulabant: quod Brissonius de regno Persarum III. 66. sq. et Freinshemius in Curtium III. 10. 8. luculenter declarant. Ad legatos Darii, haud vero Xerxis, factum Atheniensium referendum est: ex Herodoto (Lib. VIII. p. 563. Ed. 1763.), immo ex Aristide ipso in Panathenaico (T. I. p. 122.); ubi cum Atheniensium responsum ad legatos ἐν χεροῖν κύριον factum fuisse ille dicat, Scholiastes Cod. CCCCXIII. Marciani adscribit: εἰπὼν ἐν χεροῖν διεῖλε τοῦτο εἴς τε τὴν τῶν χειρῶν ἔκτασιν καὶ εἰς τὸ ἐμβαλεῖν τοὺς ἀγγέλους εἰς φρέαρ, καθ' ὃν καὶ γῆν οὐκ ὀλίγην ἐπέχεαν· εἰκότως ἄμφω ταῦτα ποιήσαντες, ἐπειδὴ γῆν καὶ ὕδωρ ἐζήτουν. Mor.  10 ὥστ'] ὡς habet Codex: Aristides tamen ipse locum emendat, cuius in Panathenaico haec verba sunt (T. I. p. 140.): οὕτω γὰρ πόρρω δέους ἢ τοῦ μεταθέσθαι περὶ τῶν ἐξ ἀρχῆς ἐγνωσμένων ἐγένοντο, ὥστ' ἐπειδή τις ἐτόλμησεν εἰπεῖν, ὡς χρὴ συγχωρεῖν, αὐτοὶ μὲν αὐτὸν, αἱ δὲ γυναῖκες τὴν γυναῖκα ἐπελθοῦσαι, διέφθειραν ἐκ χειρός. De Cyrsilo haec dicta fuisse Canterus censet Novarum Lect. Lib. VII. cap. 4. ubi de Lycida, quae Aristides in Leptinea habet, ex eius sententia intelligenda sunt. Consule

καῦτα παρέσχομεν· ἀφορήτῳ δ' ὀνείδει καὶ διηνεκεῖ περιβαλεῖν ἐπιχειροῦντα νῦν τὴν πόλιν Λεπτίνην εἰ μὴ καθέξομεν, ἡμῶν αὐτῶν παντάπασι δόξομεν ἐκπεσεῖν. καὶ τότε μὲν Ἄρθμιον τὸν Ζελείτην καὶ προσέτι τὸν ἑρμηνεύσαντα τὰ γράμματα τὸν μὲν ἔξω πάσης ᾠήθημεν ἀποκτεῖναι συγγνώμης, Ἄρθμιον δ' ἐψηφισάμεθα πολέμιον τοῦ δήμου τῶν Ἀθηναίων, αὐτόν τε καὶ τὸ γένος ἀτίμους, ὅτι ὁ μὲν τῷ βασιλεῖ διακονῶν χρυσίον εἰς Πελοπόννησον ἤγαγεν, ὁ δ' ἔχρησε τὴν γλῶτταν κατὰ τῶν Ἑλλήνων τῷ βασιλεῖ· τὸν δὲ μὴ μόνον ἡμᾶς, ἀλλὰ καὶ τοὺς ἡμετέρους προγόνους εἰς αἰσχύνην δι' ὧν νομοθετεῖ καθιστάντα Λεπτίνην τοῦτον δέον ὑπὲρ ἐκείνους κολάζειν, ἄθ' ὑπὲρ ἐκείνους ζημιοῦντα τὴν πόλιν, ἡμεῖς δ' αὐτοῦ παρρησιαζομένου καὶ λέγοντος ταῦτ', ἀνεχόμεθα, καὶ

---

Scholiastem Lycophronis v. 1432. Mor. 20 τὸν μὲν ἔξω πάσης ᾠήθημεν ἀποκτεῖναι συγγνώμης] ἀλλὰ καὶ τὸν ἑρμηνεύσαντα ἀπέκτεινε (Miltiades) κατηγορῶν, ὅτι τὴν φωνὴν, ὥσπερ ἄλλο τι, τῷ Πέρσῃ κατὰ τῶν Ἑλλήνων ἔχρησε. Aristides T. II. p. 184. Eidem Plutarchus fidem adstruit, quoad factum attinet, Themistocli tamen id tribuit (in Themist. T. I. p. 252. Vitar. Ed. Bryani). Scholiastes vero Aristidis ineditus in Codice Marciano CCCCXXIIII. ad eum Panathenaici locum (pag. 122.), quo res ipsa de legatione Darii ad Athenienses narratur, haec habet: οὗτος ὁ ἑρμηνεὺς Μῦς (al. Μῦσος) μὲν ἐκαλεῖτο, ἐν Σάμῳ δὲ κατῴκει. ἄποικον δὲ τοῦτον λέγει ἢ ὅτι τοανέκαθεν Ἀθηναῖος ὢν ἐλθὼν εἰς Σάμον κατῴκησεν, ἢ ὅτι οἱ Σάμιοι ἐξ Ἀθηναίων ἀπῳκίσθησαν. ἠπίστατο δὲ τὴν Περσίδα γλῶτταν, διὸ καὶ Δαρεῖος ἄκοντα τοῦτον μετὰ τῶν κηρύκων Ἀθήναζε ἔπεμψε. Mor. 23 χρυσίον εἰς Πελοπόννησον ἤγαγεν] Decretum in Arthmium afferunt Aeschines in Ctesiphontem, Demosthenes de falsa legatione, et in Philippica tertia, Dinarchus contra Philoclem, Plutarchus in Themistocle, aliique apud Taylorum in Demosth. T. II. p. 364. Ed. Cantabr. 1757. qui rem explicat, ac ipsam Arthmio positam infamiae columnam propemodum ob oculos ponit. Aristides quater ad minimum facti meminit in orationibus iam editis, nimirum in Panathenaico T. I. p. 190. iisdem fere verbis quibus in Leptinea: Ἄρθμιον Ζελείτην, ἐπεὶ τῷ βασιλεῖ διακονῶν χρυσίον ἤγαγεν εἰς Πελοπόννησον, πολέμιον τοῦ δήμου τῶν Ἀθηναίων ἐψηφίσαντο αὐτὸν καὶ γένος, καὶ ἀτίμους; iterum ac tertio in Platonica secunda T. II. p. 218. 303. ac demum De civili dictione Lib. I. T. II. p. 447. Mor. 28 δ' T. δὲ V.

ήφου καὶ βουλῆς ἀξιοῦμεν, εἴτε τοῖς τούτου πείθεσθαι ῆν εἴτε μή.

Χωρὶς δὲ τούτων τὰ μὲν ἄλλα τῶν ἀδικημάτων ὐκ ἐν ἅπαντι δή που τῷ χρόνῳ, ἀλλ' ἐπὶ μέρους ἐπάγει ἡν βλάβην· ὃ δὲ νῦν οὗτος ἐπιχειρεῖ ποιεῖν, νομοθετῶν δεδώκαμεν ἀφαιρεῖσθαι, τούς τε νῦν ὄντας Ἀθη- αίους τούς τε ἐσομένους πρό τε ὄντας, κατὰ τὸ ἔπος, άλιστα διαβάλλει. οὔτε γὰρ ἡμεῖς ἑστῶσιν ὡς εἰπεῖν ἔθ' ξομεν ὀφθαλμοῖς καθορᾶν, οὓς διὰ τῆς ὧν δεδώκαμεν 88
φαιρέσεως ἀτιμάσομεν, ἀλλὰ τῆς Ἅιδου κυνῆς ἡμῖν δεή- ει, φανέντων· τούς τ' ἐπιγιγνομένους ἡμῶν καταλελήψεται οὔνειδος, καὶ ὡς ἀγνωμονούντων παῖδας ἐκτρέψονται καὶ ισήσουσι πάντες. οὐ μὴν ἀλλὰ καὶ ἡ τῶν προγόνων οὐ μό- ον ὑπὲρ τῶν ἀδικούντων θαυμαστὴ καὶ ἄτοπος προθυμία ε καὶ σπουδή, ἀλλὰ καὶ ἡ πρὸς τοὺς ἠτυχηκότας καὶ κατα-

---

1 χρῆν T. χρὴ V.

56, 5 κατα τὸ ἔπος] Homerus de Calchante H. α, 70.
Ὃς ᾔδη τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα.
Vide Hemsterhusium ad Aristophanis Plutum v. 13. Mor.

ἑστῶσιν — ὀφθαλμοῖς] Proverbialis dictio, qua Aristides ipse titur in oratione Platonica secunda T. II. p. 193.: καὶ τοῖς λο- γισμοῖς ἑστῶσιν, οὐ μόνον τοῖς ὀφθαλμοῖς ὥσπερ εἰς πομπήν τινα αὐτοὺς ξάγων. Pari quoque sensu eadem in oratione inquit (p. 181): καὶ μόνος τοῖς ὀρθοῖς ὀφθαλμοῖς ἀντισχών. Neque aliter in Panathenaico T. I. p. 127.: οὐκ ἦν ἑστῶσι τοῖς ὠσὶν ἀκοῦσαι. Ad quae verba Reiskius in Animadversionibus: „Eleganter dictum pro *intrepido et non deiecto animo.* Asini fustibus castigati demittunt auriculas. Coniecta est haec dictio ad instar alterius item proverbialis: καθεστῶτι τῷ προσώπῳ ὁρᾶν, *oculis rectis; vultu quieto spectare.*" At Scholiastes Codicis Marciani CCCCXXIV. ad allata Panathenaici verba: παροιμία τὸ οὐχ ἑστῶσιν ὠσὶν ἀκούειν ἐπὶ τῶν δυσχερῶν καὶ βαρυτάτων ἀκουσμάτων λεγομένη. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν θηρίων, ἅ, ὅταν κτύπου αἴσθωνται, χαλῶσι τὰ ὦτα, ἵνα μὴ ἔτι ἀκούσωσιν. Mor.

8 τῆς Ἅιδου κυνῆς] Adagium vulgatissimum, quod Zenobius, Diogenianus, Suidas, Apostolius, Erasmus aliique fere omnes, qui dicta eiusmodi collegerunt, adducunt; ex fabula Persei derivatum, quae eundem, Orci galea induta, invisibilem evasisse et a Gorgonibus insequentibus se subduxisse fingit (Apollod. II. 4.). Rem attingit Aristides etiam in oratione de Societate priori, de Philippo inquiens: ἀλλ' ὥσπερ νεφέλῃ κεκαλυμμένος ἢ τῶν ποιητῶν ἄτοπον κυνῆν περικείμενος, δρᾶσαι φανερός, παθεῖν δ' ἀφανὴς περιέρχεται. T.

Digitized by Google

πεφευγότας εἰς τὴν πόλιν φιλανθρωπίᾳ καὶ τὸ σώζεσθαι λόγος ἄλλως ἅπαντα ταῦτ᾽ οἶμαι δόξει, ὑπὸ τῆς ἡμετέρας ἀπιστηθέντα κακίας. τὸ γὰρ τοὺς εὖ πεποιηκότας ὧν ἀντευπεποιήκαμεν ἀποστερεῖν αὖθις ἐθέλειν ὥσπερ ἐκ μεταμελείας ἡμᾶς, ἄνευ τοῦ τῶν ἀδικωτάτων εἶναι, τεκμήριον ποιήσονται δή που πάντες ἢ τοῦ μηδὲν ὧν ἔφην τοὺς προγόνους εἰργάσθαι, ἢ τοῦ μηδὲν ἡμᾶς ἐκείνοις κατὰ γένος προσήκειν, διὰ τὸ τοὺς μὲν καὶ τῶν αὐτοὺς ἀδικησάντων ὥσπερ εὖ πεποιηκότων ὑπὸ μεγαλοψυχίας πολλάκις προστῆναι καὶ πᾶσαν ὑπὲρ τούτων εἰσενηνοχέναι σπουδήν, ἡμᾶς δὲ καὶ ἃ τοῖς εὐεργέταις δικαίως ἀποδεδώκαμεν, ταῦτ᾽ αὐτοὺς ὡς δυσμενεστάτους ἀναφανέντας ὑπ᾽ ἀγνωμοσύνης ἀφῃρηκέναι. ὃ καὶ θαυμάζω εἰ μηδὲν μὲν αὐτοῖς ἐγκαλεῖν ἔχοντες οὕτως ἀτιμάζομεν, ὡς ἀφαιρεῖσθαι σφίσι τὰς δωρεάς, κακοὺς δὲ εἰς ἡμᾶς ἀναφανέντας ἔπειθ᾽ ἕξομεν ὁτιοῦν πλέον εἰργάσθαι.

Ἄνευ δὲ τούτων εἰ, ὅταν τις δι᾽ ὧν ἑτέρῳ λυμαίνεται ἑαυτῷ παρασκευάζῃ τὰ βέλτιστα, αἰτίας οὐκ ἀπήλλακται δή που διὰ τὸ πεπονηρεῦσθαι, οὐδὲ ταύτῃ
(57) μᾶλλον ἐπαινετέος ἢ κατ᾽ ἐκεῖνο μεμπτέος· ἤ πού γε ὅταν τις καὶ ἑαυτὸν καὶ ἕτερον καταβλάπτῃ, μᾶλλον δ᾽ ἐν τῷ δοκεῖν βλάπτειν κἀκεῖνον, τοῖς ἑαυτῷ λυσιτελοῦσιν ἐπιεικῶς πολεμῇ, τίς οὐκ ἂν τῷ τοιούτῳ δι᾽ ἄμφω ταυτὶ νεμεσῴη δικαίως; ἡμεῖς τοίνυν εἰ μὲν τῆς πρὸς ἄλλους βλάβης χωρὶς ἡμῖν αὐτοῖς τὰ λυσιτελῆ κατὰ τὸν σὸν ἐπορισάμεθα λόγον, Λεπτίνη, ζηλωτοί τινες ἂν εἴημεν· νῦν δὲ εἰ ἃς δεδώκαμεν δωρεὰς τοὺς ἔχοντας τούτων ἀποστερήσομεν, ἀποστερήσομεν καὶ ἡμᾶς αὐτοὺς τοῦ τε πιστεύεσθαι τὸ λοιπὸν τοῦ τε προσδοκᾶν ἔτι παρ᾽ ὡντινωνοῦν τὰ βελτίω. καὶ γὰρ οὕτως ἔχει· ἐὰν μὲν ἃ τοῖς εὐεργέταις ἀπέδομεν, ταῦτ᾽ αὐτοῖς ἐάσωμεν ἔχειν, οὐ μόνον τὰ δίκαια ποιοῦντες ἐσόμεθ᾽ αὐτοῖς, ἀλλὰ καὶ τοὺς ἄλλους πρὸς τούτοις ἐπὶ τὰ ἴσα προτρέψο-

---

I. p. 448. Mor. 32 δήπου accessit ex T.
57, 4 πολεμῇ T. πολεμεῖ V. 5 νεμεσῴη T. νεμεσώη codex Marcianus. — 7 ἐπορισάμεθα T. πεπορίσμεθα V. 12 αὐτοῖς] αὐτοὺς Grauertus. ἐάσωμεν T. ἐάσομεν V. 14 τοὺς ἄλλους

ιεν. ἐὰν δέ, ὃ μὴ γένοιτο, ταῦτ᾽ ἀφελώμεθα, οὐ μᾶλλον σφᾶς ἀδικήσομεν ἢ ἡμᾶς αὐτούς, τῶν συμφερόντων ἀποστεροῦντες καὶ ὧν ἥκιστ᾽ ἐχρῆν· καὶ προσέτι δόξομεν ἢ τηνικαῦτα μὴ καλῶς βεβουλεῦσθαι ἃ μετ᾽ ὀλίγον ἐμέλλομεν ἀφαιρεῖσθαι, ταῦτ᾽ αὐτοῖς παρασχόντες, ἢ εἰ καλῶς βεβουλεύμεθα τότε, νῦν οὐ καλῶς ἀφαιρεῖσθαι. ἔτι τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ μὲν ἄλως ἀστάτῳ δή τινι γνώμῃ πρὸς πάντ᾽ ἐγνώκειτε χρῆσθαι καὶ κατὰ τὰς Εὐρίπου στροφὰς ἑκασταχόσε τῶν πραγμάτων χωρεῖν, οὐδὲν ἀπεικὸς οὐ μόνον τὴν ὑπὲρ ἀτε- 94
λείας χειροτονίαν ἀνελεῖν ἐθελῆσαι, ἀλλὰ καὶ πάντων ὡς εἰπεῖν τῶν καὶ ἡμῖν καὶ τοῖς ἡμετέροις προγόνοις καλῶς ἐγνωσμένων ἐπίπροσθεν θέσθαι τοὺς τοῦ δεῖνος ἢ τοῦ δεῖνος φληνάφους. εἰ δὲ τὰ τοιαῦτα νοσεῖν καὶ πρὸς ὑμᾶς αὐτοὺς στασιάζειν ταῖς γνώμαις οὐδ᾽ ἂν ὄναρ
(58) ἐνέγκοιτε, οὐκοῦν ἕως γ᾽ ἂν εἰς Ἀθηναίους τελῆτε καὶ τὸ μέγα καὶ θαυμαστὸν τουτὶ φρόνημα σώζητε, οὐδ᾽ ἀτελείας πέρι οὐδὲν καινὸν οὐδ᾽ ὁπωστιοῦν ποτε ψηφιεῖσθε, κἂν μυριάκις διαρραγῶσί τινες, ἄνω καὶ κάτω λειτουργιῶν μεμνημένοι, ἀλλὰ τοῖς ὡς ἄριστα καὶ λυσιτελῶς δεδογμένοις ἐμμενεῖτε καθάπαξ.

Σκοπεῖτε δὲ κἀκεῖνο. τῶν πραγμάτων, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ μὲν ἐς οἴκοθεν παρεσκεύασται τὴν σύστασιν ἴσχει καὶ οὐ τοσοῦτον δεῖται πρὸς συμμαχίαν τοῦ χρόνου, τὰ δ᾽ εἰ καὶ ἄλλως ἐνδεῖ, ἀλλὰ τὸ πόρρωθεν ἦρχθαι μέγιστον σφίσι πρὸς τὸ τιμᾶσθαι ξυναίρεται· ἔστι δ᾽ ἃ τούτων μὲν ἀμφοτέρων μετέχει, τοῦ δὲ καὶ τι- 96
μᾶσθαι παρὰ πάντων οὐκ ἐξ ἴσης μετέχει, ἀλλ᾽ οἱ μὲν μᾶλλον, οἱ δ᾽ ἔλαττον χρῶνται, καὶ οἱ μέν, οἱ δ᾽ οὔ. τὸ δὲ πᾶσιν οἷς ἔξεστι τοὺς εὐεργέτας κοσμεῖν καὶ μηδὲν τῶν εἰκότων ἐλλείπειν οὕτως, ὦ ἄνδρες Ἀθηναῖοι, δι-

---

T. τοῖς ἄλλοις V. 24 ὑπὲρ accessit ex T.

58, 1 εἰς Ἀθηναίους τελεῖτε] δοκῶν γε δήπως εἰς Ἕλληνας τελεῖν. Aristides Panathen. T. I. p. 91. Mor. 2 τελῆτε T. τελεῖτε V. 4 κἂν μυριάκις διαρραγῶσί τινες] κἂν διαρραγῶσί τινες τούτων. Demosth. pro Corona T. I. p. 254. Mor. 9 τοσοῦτον] Vulgo τοσοῦτο. 11 ξυναίρεται T. ξυναιρεῖται V. 14 ἔλαττον] Vulgo ἔλασσον. τὸ δὲ] τῷ δὲ conficit Morellius.

Digitized by Google

ἄμφω ταῦτα τοῦ παντὸς ἄξιον χρῆσθαι ὥστε καὶ ἄν-
θρωποι πάντες καὶ οἱ τὸν Ὄλυμπον οἰκοῦντες θεοὶ καὶ
δαίμονες τὴν αὐτὴν περὶ τούτου φέρουσι ψῆφον καὶ
ξυγχωροῦσι κατὰ ταῦτα, οἱ μὲν τοῦ μηδένα μὴ δεῖν
τὸ παράπαν ἔτ' ἔχειν ἀγνωμονεῖν παράδειγμα τὸν Ἰξίονα
καὶ τὴν Ἰξίονος τύχην προθέντες τῷ βίῳ, τοὺς δὲ οὐδὲ
λέγειν ἔξεστιν ὁπόσου δή τινος τοὺς σφῶν ἀξιοῦσι γονέας
καὶ παιδευτάς, καὶ ὅπως τούτοις καὶ ζῶσι καὶ τελευ-
τήσασι τὸν ἅπαντα τοῦ βίου κέχρηνται χρόνον, οὐ μόνον
πλείστας καὶ μεγίστας καὶ λόγῳ καὶ ἔργῳ χάριτας αὐ-
τοῖς ἐκτιννύντες καὶ σχεδὸν ὑπὲρ κεφαλῆς αἴροντες, ἀλλὰ
καὶ μετ' αὐτούς, ὡς εἰπεῖν, τοὺς θεοὺς ἄγοντες σφᾶς.
ὥσπερ οὖν τοὺς μὲν οὕτω διακειμένους οὐκ ἂν ἀγά-
(59) σαιτό τις τῆς γνώμης, διὰ τὸ μηδέν τι καινόν, ἀλλ'
ἃ τὸ εἰκὸς ἀπαιτεῖ πράττειν αἱρεῖσθαι, ἐὰν δὲ τὴν ἀναγ-
καίαν ἐλλίπωσι ταύτην φοράν, τότ' ἀδικίας ἐσχάτης ἁλώ-
σονται, ὡς δέ μοι δοκεῖ καὶ περὶ τῶν ἄλλως εὖ πε-

---

20 ταῦτα T. πάντα V. 21 Vulgo Ἰξίωνα et Ἰξίωνος. τὸν Ἰξίονα — προθέντες τῷ βίῳ] Bene supplicium Ixionis, qui apud inferos rotae alligatus perpetuae volutationi damnatus est, ingrati animi vitio obnoxiis obiici solet, quemadmodum Aristides facit. Is namque, socero per fraudem interempto, cum expiationem criminis ab Iove eius misericordia capto retulisset, ac in coelum esset receptus, pro tanta in se beneficentia Iunoni stuprum inferre conatus est. Fabulam praeter mythographos ac poetas explicant Scholiastae in Euripidis Phoenissas p. 748. et 749. Ed. Valck., et Anonymus in Miscellaneis Observationibus Vol. I. p. 269. et Vol. III. p. 309. Aristides vero orationem conformat ad Pindarica illa ex Ode II. Pyth.

*Θεῶν δ' ἐφετμαῖς*
*Ἰξίονα φαντὶ ταῦτα*
*Βροτοῖς λέγειν ἐν πτερόεντι τροχῷ*
*Παντᾷ κυλινδόμενον·*
*Τὸν εὐεργέταν ἀγαναῖς ἀμοιβαῖς*
*Ἐποιχομένους τίνεσθαι.*

Mor. 24 τούτοις accessit ex T. 27 σχεδὸν ὑπὲρ κεφαλῆς αἴροντες] Par dicendi modus apud Platonem de Rep. X. ὥστε μόνον οὐκ ἐπὶ ταῖς κεφαλαῖς περιφέρουσιν αὐτοὺς οἱ ἑταῖροι. T. II. p. 600. Steph. Mor.

59, 3 ἐλλίπωσι Wolfius. ἐλλίπωσιν V. ἐλλείπωσι T. τότ' T.

πονθότων ψηφίζεσθαι χρή. καὶ ὅπως ἐκεῖ μὴ τὴν φύσιν προΐσχῃ. εἰ γὰρ καὶ μείζων ἐπ' ἐκείνοις ἡ δίκη, ἀλλὰ τὸ τῆς ἀγνωμοσύνης οὔ που ταυτὸν, ἐάν τε περὶ φύσιν ἐάν τε ἄλλως ξυμβῇ. οὐ γὰρ τοῦ στρατηγὸν ἀνελόντος ἥττων ἂν δόξειε φονικὸς ὁ τοῦτ' αὐτὸ στρατιώτην ὁντινοῦν εἰργασμένος, οὐδ' αὖ τοῦ τὰ ἱερὰ σεσυ- 100 ληκότος ὁ δημόσια κεκλοφώς· ἐπεὶ μηδὲ νόμον μᾶλλον ἐροῦμεν τὸν τοῖς προδόταις ἐπεξιόντα ἢ τὸν παρὰ τῶν τοιχωρυχούντων λαμβάνοντα δίκην.

Καὶ νῦν ἡμεῖς οἷς τε εὐεργέτας δωρούμεθα καινὸν οὐδὲν δρῶντες, ἀλλὰ τὰ γιγνόμεν' ἀποδιδόντες, οἷς ὧν παρέσχομεν ἀποστερήσομεν σφᾶς, μειζόνως ἀδικήσομεν, εὖ οἶδα, ἢ εἰ μὴ τὴν ἀρχὴν αὐτοῖς εἰσηνέγχαμεν. ἐκεῖνο μὲν γὰρ ἀγνωμοσύνης ἂν ἦν, τὸ δ' ἀδικίας, εἴπερ ἃ παρ' ἡμῶν δικαίως εἰλήφασι, τούτων ἀδίκως ἀποστερήσονται. τοσοῦτον δ' ἀδικία μείζων ἀγνωμοσύνης, ὡς μόριον ἀδικίας ὄντ' εἶναι· οὐ γὰρ πᾶς ἀδικῶν ἤδη καὶ πρὸς τοὺς εὐεργέτας ἐστὶν ἀγνώμων, ἀλλ' ὁ πρὸς τούτους ἀγνωμονῶν τὸ ταῦτ' ἀδικεῖ μόνον, τὸ μὴ τὰ προσήκοντ' αὐτοῖς πράττειν αἱρεῖσθαι· οὐκοῦν 102 τὸ μὲν μισεῖται, ἀδικίας δὲ κολαστὰς ἴσμεν τοὺς νόμους. εἶτ', ὦ ἄνδρες Ἀθηναῖοι, ἃ μὴ παρασχόντες ἠγνωμονοῦμεν ἄν, ταῦτα μετὰ τὸ παρασχεῖν ἀφελόμενοι τοιοῦτον καθ' ἡμῶν βουλησόμεθα λόγον πᾶσι γενέσθαι, ὡς Ἀθηναῖοι τοὔλαττον ὡς κακὸν φυλαξάμενοι ἑκόντες ὄντες τῷ μείζονι περιέπεσον; μηδαμῶς. ἔτι τοίνυν ὁ

τέτι V. 11 δημόσια Morellius. δημοσίᾳ V. 13 τοιχωρυχούντων] τοιχορυχούντων T. παρὰ τῶν τοιχωρυχούντων] Eos nimirum qui parietes furandi caussa perfodiunt, quos capite plecti apud Athenienses consuevisse, vel ex iis Demosthenis verbis contra Lacritum constat (T. II. p. 940.) ἀλλὰ τοιχωρύχους καὶ κλέπτας καὶ τοὺς ἄλλους κακούργους τοὺς ἐπὶ θανάτῳ οἱ ἕνδεκα εἰσάγουσιν. Huiusce criminis reos legibus Hebraeorum ac Romanis quoque impune occidere licebat. Adi Philonem Hebraeum T. II. p. 336. Ed. Mangey. Mor. 20 τοσοῦτον] Vulgo τοσοῦτο. δ' ἀδικία T. δι' ἀδικίαν V. 23 τούτους T. τούτοις V. 24 μὴ τὰ] τὰ μὴ T. 29 τοὔλαττον] Vulgo τοὔλασσον.

Digitized by Google

μὲν παρ' ὧν εὖ ἐπεπόνθ τούτους οὐκ ἐθέλων τοῖς ἴσοις ἀμείψασθαι ἀγνωμοσύνης ἅμα καὶ ἀδικίας ἔγκλημα φέρεται, ὁ δ' ἃ δέδωκεν ἀφαιρούμενος πρὸς τῷ τούτοις ἐνέχεσθαι καὶ τὴν τοῦ μὴ τὰ δέοντα πράττειν εἰδέναι δόξαν ἑαυτῷ δή που προσάπτει, καὶ προσέτι σκαιότητος καὶ περιεργίας. ἐφ' ὧν γὰρ ἃ δέδωκεν ἀφαιρεῖν αὖθις οἴεται δεῖν, λέγεσθαι πᾶσιν ἐξ ἀνάγκης ξυμβαίνει ὡς ἢ μὴ γνώμῃ εὐθύτητι παρέσχεν ἐκείνοις, ἀλλ' ὅπως μειζόνως τούτους οἷς ἀποστερήσει λυπήσῃ, ἢ εἰ μή, τοῦτο λειπόμενόν ἐστιν ἐξ ἀνάγκης, ὡς οὐ μετὰ λογισμοῦ τότε παρέσχεν, ἐπεὶ πάλιν ἐκτὸς αἰτίας ἀφείλετο. τὸ γὰρ μηδ' ἡστινοσοῦν ἐπειγούσης ἀνάγκης· ἀνάγκῃ δὲ οὐδὲ θεοί, φασί, μάχονται· ἑτοίμως ἐφ' ἕτερ' ἄττα μεταχωρεῖν τεκμήριόν ἐστι θαυμαστὸν τοῦ τε καθάπαξ ἀβεβαίου τῆς γνώμης τοῦ τε μηδὲν ἐξ ἀρχῆς βεβουλεῦσθαι, ὥσπερ αὖ κραταιᾶς εὖ μάλα καὶ μετὰ λογισμοῦ καὶ ψήφου τοῖς πράγμασιν ἐγχειρούσης τὸ μηδὲν εἰκῇ μεταβάλλειν, ἀλλὰ τοῖς ἐξ ἀρχῆς ἐγνωσμένοις ἐμμένειν. εἶεν.

Λεπτίνη, σὲ δ' ἄν τις ἔρηται τοῦ χάριν θυσίαις καὶ τελεταῖς τοὺς θεοὺς καὶ προσόδοις τιμῶμεν, εἰ μὲν ὧν παρ' αὐτῶν εὖ πεπόνθαμεν μόνων ἐρεῖς, οὐκ ὀρθῶς ἐρεῖς, εἰ δὲ τοῦθ' ἅπασι δῆλον ὡς ἐφ' ἑκάτερον ταῦτα βλέπει καὶ οὐ μόνον τῶν παρελθόντων, ἀλλὰ καὶ τῶν μελλόντων δι' αὐτῶν ποιούμεθα πρόνοιαν· τὰ μὲν ὅπως εὖ μάλα παρέσται δεόμενοι καὶ μετὰ παντὸς ἀεὶ τοῦ βελτίονος, τῶν δὲ χάριν εἰδότες, καὶ πρὸς τὰ ἴσα καὶ μείζω παρακαλοῦντες· τί καινόν, εἰ καὶ πρὸς τοὺς εὐεργέτας
(61) ταυτὸν τοῦτο ποιεῖν οἰόμεθα δεῖν, ἐπεὶ καὶ πρώτους εὐεργέτας ἅπαντες ἴσμεν θεούς, καὶ ὡς ἐξ ἀρχῆς συστ-

---

60, 2 τούτους T. τούτοις V. 10 τούτους T. τούτων V. 14 ἀνάγκῃ δὲ οὐδὲ θεοί, φασί, μάχονται] Sententiae auctor Pittacus, iuxta Laertium (L. I. Segm. 77. ed. Meib.), ex quo ad proverbiorum collectores transiit. Vide Schotti Adagia Graecorum p. 24. 50. 356. Mor. ἄττα Wolfius. ἅττα V. ἄτα T. „*Codex ceteroqui constanter cum spiritu leni* ἄτα." Mai. 19 μεταβάλλειν T. περιβάλλειν V. 22 εἶεν. Λεπτίνη σὲ T. εἶεν, Λεπτίνη. Σὲ V. 27 εὖ T. ἂν V. ἀεὶ] Vulgo αἰεί.

61, 1 ταυτὸν] ταυτὸ T. 2 ἅπαντες T. πάντες V.

Digitized by Google

σαμένους τόδε τὸ πᾶν, καὶ ὡς τῇ διηνεκεῖ διὰ πάντων προνοίᾳ συνέχοντας τοῦτ' ἀεὶ καὶ κοσμοῦντας καὶ χαίροντας τῷ προσρήματι τούτῳ μᾶλλον ἢ πολυτελείαις ἐναγισμάτων; ὥστε τοῦτον τὸν τρόπον ταυτόν ἐστιν εἰς εὐεργέτας καὶ εἰς θεοὺς ἁμαρτεῖν. καὶ μὴν ἄνθρωποι μὲν ἁπάντων εἰσὶν ἐνδεεῖς, θεοῖς δὲ μηδενὸς δεῖ τῶν ἁπάντων, ἅτ' οὖσι χορηγοῖς τῶν ἁπάντων· ἀλλ' ἢν τὰ 108 παρ' ἡμῶν ποτ' ἐλλείπῃ καὶ μὴ τὴν νομιζομένην ταύτην εἰσφέρωμεν εἰσφοράν, ἐναγεῖς εὐθὺς ἡμεῖς καὶ μιαροὶ καὶ προδόται τοῦ θείου καὶ κακῶν κάκιστοι, καὶ δεῖ δοῦναι δίκην, κατὰ τὸν Σωφρονίσκου Σωκράτη. εἰ τοίνυν τοῖς μηδενὸς δεομένοις θεοῖς τοσούτων ἐσμὲν ὀφειλέται, καὶ πάντων ἀναγκαιότατος οὗτος ἔρανος, πόσον τι χρὴ τοῦτ' εἶναι τοῖς πάντων δεομένοις ἀνθρώποις;

Παρὰ πάντα δὲ ταῦτα ἐκεῖνο λέγω, μάλιστα πάντων ἡμῖν διαφέρον, ὡς εἰ καὶ τῶν δικαίων ἥκιστ' ἐτύγχανεν ὂν τὸ τοὺς εὐεργέτας δή που τιμᾶν, καὶ ἃ παρέσχόμεθ' αὐτοῖς, ταῦτ' εἰς ἅπαν ἔχειν ἐᾶν, ἡμεῖς δὲ καὶ οὕτως οὐκ ἂν τῆς συνήθους ἐξέστημεν μεγαλοψυχίας καὶ τοῦ παντὶ τρόπῳ κοινῇ πάντας ἐκ τῶν δυνατῶν εὖ ποιεῖν προθυμεῖσθαι· εἰκότως. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἡμῖν λόγος χρημάτων οὐδ' εἰστισοῦν, καθάπερ πᾶσι τοῖς ἄλλοις, ἀλλὰ θαυμαστῆς τινος δόξης καὶ τοῦ φιλανθρώπους ἐκ περιουσίας διὰ πάντων ἅπασιν εἶναι. τεκμήριον δ' ἐναργὲς τὸ πάλαι μὲν ἡμᾶς πάνυ τοι πλείστων εὐπο-

---

4 ἀεὶ] Vulgo αἰεί. ἐναγισμάτων] δή τισι θυσιῶν T super rasura. 8 ἄνθρωποι T. ἂν οἱ V. θεοῖς δὲ] Legebatur θεοῖς δὲ εἰ. 9 μηδενὸς δεῖ] θεοὶ αὐτάρκεις εἰσὶ, καὶ οὐδὲν ἐνδεεῖς τῶν ὅλων ἀγαθῶν. Proclus in Platon. Theol. cap. XIX. p. 50. αὐτὸ μὲν γὰρ τὸ θεῖον ἀνενδεές. Sallustius Philos. de Diis et mundo cap. 15. Euripides vero Herc. Fur. v. 1348.

Δεῖται γὰρ ὁ θεὸς, εἴπερ ἔστ' ὄντως θεὸς,
Οὐδενός.

Alia proferunt Lindenbrogius ad Censorinum cap. 1. et Wetstenius ad Act. Apost. XVII. 25. Quem vero Platonis Dialogum hic Aristides respiciat, haud modo succurrit: hoc de argumento in Eutyphrone et de Rep. Lib. II. et III. sermo est. Mor. ἢν T. ἣν V. 14 Σωκράτη] Vulgo Σωκράτην. 15 τοσούτων] τοσοῦτον T. 16 ἔρανος] ἐραννὸς T.

Digitized by Google

(62) *ρηκέναι χρημάτων, πάντα δὲ ταῦθ' ὑπὸ φιλοτιμίας προϊέσθαι καὶ τοῦ θαυμάζεσθαι βούλεσθαι, μίαν ὡς ἀληθῶς ἡγουμένους περιουσίαν τὴν ἐν τοῖς τοιούτοις δαπάνην, τά τε ἄλλα καὶ ὅτι χρήματα μὲν ὑπόκειται τῇ, φιλοτιμίας. δὲ ἀθάνατός ἐστιν ἡ κτῆσις καὶ τὸ κλέος αὐτῆς οὔποτ' ὀλεῖται· ἧς οὔτ' οὖν τινές πω τῶν πάντων οὐδ' ἐπὶ σμικρὸν ἀμφισβητεῖν ἔσχον ἡμῖν οὔθ' ἡμεῖς κίνδυνον πώποθ' ὁντινοῦν ἐξέστημεν ὑπὲρ ταύτης, ἀλλὰ καὶ σωμάτων καὶ χρημάτων κοινῶν τε καὶ ἰδίων καὶ πάσης ἡστινοσοῦν ἄλλης παρασκευῆς δι' αὐτὴν ταύτην ἠφειδοῦμεν ἡδέως. ὅθεν σεσώκαμεν μὲν Ἡρακλείδας κινδυνεύοντας ὑπ' Εὐρυσθέως παντάπασιν ἐκτετρίφθαι, καὶ δι' ἡμῶν εὑρομένους αὐτόν τε ἀμύνασθαι καὶ τῆς Λακεδαίμονος αὖθις μετὰ πολλοῦ τοῦ κρείττονος ἐπιβῆναι· σεσώκαμεν δὲ οὐ μόνον τὸν περὶ Θήβας ἠτυχηκότα καὶ τῆς Σφιγγὸς καθαιρέτην Οἰδίποδα τὸν Λαΐου, ἐξεληλαμένον μὲν Θηβῶν τε καὶ πάσης τῆς Βοιωτίας ὑπὸ τοῦ συγγενοῦς Κρέοντος, καταφυγόντα δὲ ὡς ἡμᾶς, καὶ μεγίστης ἀξιωθέντα προνοίας· ἀλλὰ καὶ Θηβαίους αὐτούς, ὕστερον κακῶς ὑπὸ τῆς φρουρᾶς τῆς Λακωνικῆς διακειμένους. καὶ μὴν καὶ Ταναγραίοις καὶ Θεσπιαλοῖς τοῖς μὲν στάσει χρησαμένοις καὶ πρὸς τὸ μηδὲν ἤδη χωροῦσι, Ταναγραίοις δὲ ὑπὸ Θηβαίων ἐξῳκισμένοις γεγόναμεν ἐν καιρῷ, τοῦ μὴ διεφθάρθαι καθάπαξ αἴτιοι μετὰ τοὺς θεοὺς αὐτοῖς καταστάντες. ταὐτὸ δὲ τοῦτο Μεσσήνιοι καὶ Πλαταιεῖς ἔχουσι λέγειν, οἱ μὲν ὑπὸ Λακεδαιμονίων καὶ Θηβαίων κατασκαφέντες, ὑφ' ἡμῶν δὲ σωθέντες, οἱ Πλαταιεῖς, τοῖς δ' ὑπὸ Λακεδαιμονίων κατασκαφεῖσι τὰ μέγιστα ξυνηράμεθ' ἡμεῖς, καὶ νῦν εἰσι Μεσσήνιοι διὰ τὴν πόλιν. καὶ σιωπῶ Δρύοπας*

---

62, 5 *φιλοτιμίας δὲ ἀθάνατός ἐστιν ἡ κτῆσις*] Isocrates ad Nicoclem n. XXII. T. I. p. 79. Ed. Augerii. Mor. 8 *ἐξέστημεν*] Ex his quaedam syllabatim sunt apud Demosthenem contra Androtionem T. I. p. 617. et contra Leptinem T. I. p. 459. Paria Isocrates habet in Panegyrico p. 210. aliique Graeci oratores passim. Mor. 11 *ἠφειδοῦμεν*] *ἀφειδοῦμεν* T. 26 *Μεσσήνιοι*] *μεσήνιοι* hic et infra T. 29 *κατασκαφεῖσι*] Vulgo *κατασκαφεῖσιν*. 30 *καὶ νῦν εἰσι Μεσσήνιοι διὰ τὴν πόλιν*] *καὶ νῦν εἰσι*

καὶ Πελασγοὺς καὶ πάντας τοὺς ἄλλους, οὓς ἐδέξατο μὲν κινδυνεύοντας, οὕτω δ' ἀντ' ἀγαθοῦ του δαίμονος σφίσι κατέστη ὡς ἐπιλελῆσθαι δι' ὧν εὖ πεπόνθασι καὶ τῶν συμφορῶν.

Καὶ οὐχὶ πάλαι μὲν οὕτω πρὸς πάντας θαυμαστῶς καὶ μεγαλοψύχως ἔσχεν ἡ πόλις, νῦν δὲ ὡς ἑτέρως καὶ παρὰ πολὺ τῶν προγόνων καὶ τῆς ὑποθέσεως ἀναξίως, ἀλλὰ χθὲς καὶ πρώην ἐπὶ τῶν Μηδικῶν, τοῦ μὲν βαρβάρου μεγάλων καὶ ὧν οὐκ ἄν τις ἤλπισεν ἡμᾶς ἀξιοῦντος, ἐφ' ᾧ συμμάχους αὐτῷ προσλαβεῖν δεδυνῆσθαι, τῶν δ' αὖ Λακεδαιμονίων ἑτέρωθεν ἐν τούτῳ δέους διὰ ταῦτα μάλιστα καταστάντων, ὡς καὶ παῖδας ἡμῖν καὶ γυναῖκας καὶ πρεσβύτας, ἕως ἂν ὁ πόλεμος ᾖ, διὰ πάντων εὖ ποιεῖν ὑπεσχῆσθαι, ποίους τινὰς παρέσχομεν ἡμᾶς αὐτοὺς καὶ πῶς τουτοισὶ διετέθημεν δή που; τοῖς μὲν γὰρ ὡς ἀνάξια τῆς ἡμετέρας προαιρέσεως 116
καὶ φιλανθρωπίας δι' ὧν ἐπηγγέλλοντο βεβουλευμένοις μεμψάμενοι, τοῦ δ' ὡς ἀδυνάτοις ἐπιχειροῦντος οὐδ' ἀκοῦσαι ὅλως οὐδ' ὁπωστιοῦν ἀνασχόμενοι, τὸν μὲν αἰσχρῶς ἀναχωρῆσαι τῆς Ἑλλάδος παρεσκευάκαμεν, τοὺς δὲ μετὰ τῆς Ἑλλάδος ἐξειλόμεθα τῶν κινδύνων. πάλιν τοίνυν κοινῇ πάντες ξυνεισενεγκεῖν Λακεδαιμονίοις τὰ χρήματ' ᾠήθημεν δεῖν, ἅπερ ἐδανείσαντο μὲν παρ'

---

Μεσσήνιοι διὰ τὴν πόλιν, Aristidis ipsissima verba in Panathenaico T. I. p. 111. ubi fere omnia bella haec ab Atheniensibus gesta, nobilissimas historiae Graecae partes, magnifice ostentat; neque aliis fere verbis Atheniensium eorundem propensionem ad opem afflictis ferendam extollit. Mor.

63, 3 του] τοῦ T. 14 εὖ ποιεῖν ὑπεσχῆσθαι] Iisdem propemodum verbis Lacedaemonios Atheniensium opem contra Xerxem implorantes Aristides commemorat in Panathenaico T. I. p. 145. ait enim: ἐλθόντων Λακεδαιμονίων περιφόβων, καὶ δεομένων ἐναντία τῇ του βασίλεως πρεσβείᾳ, καὶ τοὺς παῖδας καὶ πρεσβύτας καὶ γυναῖκας αὐτοῖς θρέψειν ὑπισχνουμένων, ἕως ἂν ὁ πόλεμος ᾖ. Eadem repetit in Platonica secunda (T. II. p. 217.): rem vero totam Herodotus narrat Lib. VIII. p. 679. Mor. 17 ἐπηγγέλλοντο T. ἐπηγγέλοντο V. βεβουλευμένοις] βεβουλευμένους T. 20 τῆς ἑλλάδος παρεσκευάκαμεν T. παρεσκευάσαμεν τῆς Ἑλλάδος V. 22 πάλιν T. πάλαι V. 23 ἐδανείσαντο μὲν T. ἐδανείσαμεν codex

Digitized by Google

αὐτῶν οἱ τριάκοντα κατὰ τῶν ἐν Πειραιεῖ· ὡς δὲ τὰ πράγματα κατέστη καὶ Λακεδαιμόνιοι ταῦτ' ἀπῄτουν, οἱ μὲν ἄλλοι πάντες ἀποδοῦναι τοὺς δανεισαμένους ἠξίουν καὶ διαλύσασθαι κατὰ τὸ εἰκὸς, αὐτοὶ δ' οὕτω

(64) τοῦτ' ἂν πρῶτον γνώρισμα τῆς ὁμονοίας ᾤοντο γενέσθαι, ἐὰν ὁ δῆμος ἅπας ἐκτίσῃ.

Ὅτε τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ μηδ' ἡστινοσοῦν προϋπηργμένης ἀνάγκης, ἀλλ' ὑπὸ τοῦ φιλανθρωποτάτου μόνου τῆς γνώμης τὰ τοιαῦτα πράττειν τῶν καλλίστων ἐδόκει, καὶ διαγεγόναμεν τὸν ἅπαντα χρόνον τὴν καλλίστην ταύτην καὶ λυσιτελεστάτην καὶ μόνῃ προσήκουσαν ἀνθρώποις φιλοτιμούμενοι, νῦν ἀμφοτέρων ὄντων, τοῦ τε τὰ δίκαια πράττειν ἀνάγκην εἶναι τοῦ τε κεχρῆσθαι τῇ γνώμῃ, καὶ μὴ τὴν ἐξ ἀρχῆς θαυμαστὴν ταύτην ἔνστασιν ἐγκαταλιπεῖν, ἔπειτ' οὐκ ἐθελήσομεν; καὶ πῶς οὐκ ἄτοπον τοῖς μὲν ἡμετέροις αὐτῶν κινδύνοις ἐξαιρεῖσθαι τοὺς ἄλλους ἐθέλειν κινδύνων, ἄμφω δὲ ἐξὸν ἔχειν, καὶ ἡμᾶς αὐτοὺς εὖ πάσχειν ὑπ' ἄλλων, καὶ τοὺς ἄλλους ὑφ' ἡμῶν ἀξιοῦσθαι τῶν ἴσων, εἶτ' ἀμφοῖν ἐστερῆσθαι δεδέχθαι, καὶ τοὺς μὲν τὰ δεινότατα πάντων εἰργασμένους τὴν πόλιν καὶ μηδ' ἡστινοσοῦν ὑπερβολὴν

---

Marcianus. 24 οἱ τριάκοντα κατὰ τῶν ἐν Πειραιεῖ] Codex mendose τὸν: quam vocem emendare licuit cum ex Oratione Demosthenis Leptinea T. I. p. 460. tum ex Aristidis ipsius Panathenaico T. I. p. 166.: uterque orator enim nedum rei una eademque ratione mentionem facit, verum etiam eadem pene verba usurpat. Ad Aristidis Panathenaicum haec annotat Scholiastes ineditus Codicis Marciani CCCCXXIIII. ὅτε οἱ τριάκοντα Ἀθήνησιν ἔμελλον τυραννήσειν, ἐδανείσαντο παρὰ τῶν Λακεδαιμονίων χρήματα, ἵνα διὰ τούτων δύναμιν ἑαυτοῖς περιποιήσωνται. καταλυθέντων δὲ τούτων, καὶ τῶν Λακεδαιμονίων οὐκ ἀξιούντων ζημιωθήσεσθαι τὰ χρήματα, οἱ Ἀθηναῖοι πάντες ἀπέτισαν, ὁμοῦ τε μεγαλοψυχίαν ἐπιδεικνύμενοι, καὶ τὰς συνθήκας βεβαιοῦντες δι' ἔργου. τοῦτο δὲ ἐποίησαν ἐπειδήπερ οἱ κύριοι τῶν τυράννων ἐξ Ἀθηνῶν ἦσαν αὐτοί τε καὶ οἱ περὶ αὐτοὺς ὑπηρέται. Egregium Atheniensis populi facinus impense laudat Isocrates in Areopagitica Oratione T. II. p. 142. Ed. Augerii. Mor.
26 ἀποδοῦναι accessit ex T.

64, 8 φιλοτιμούμενοι] φιλοτιμίαν φιλοτιμούμενοι Grauertus.
14 ἄλλων T. ἀλλήλων V.

Digitized by Google

ἐλλελοιπότας κακίας, ὡς μηδ' ἀδακρυτὶ μνημονεύειν ἐξεῖ- 120
ναι, τοσαύτης δή τινος διὰ τὴν ὁμόνοιαν σπουδῆς ἀξιῶ-
σαι, ὡς καὶ μεγίστην ὑπὲρ αὐτῶν ὑποστῆναι χρημάτων
δαπάνην· τοὺς δ' ἡμετέρους εὐεργέτας καὶ φίλους, καὶ
οἷς ἀνάγκη δι' αὐτὸ τοῦτο τὰ πλείστου φασὶν ἄξια χρῆ-
σθαι, τούτους, δικαίους ὄντας καὶ μείζονος ἧς νῦν παρ'
ἡμῖν ἀπολαύουσι τυγχάνειν προνοίας, ἡμᾶς δὲ καὶ ἃ
σφίσι δεδώκαμεν, ὡς μηδενὸς ὄντας ἀξίους, ἀφελεῖν
ἐθελῆσαι; καὶ τίς οὐκ οἶδεν ὡς οὕτω γ' ἂν τὸ καθ'
ἡμᾶς εἰς αἴνιγμα πέσοι, νῦν μὲν οὕτως, νῦν δ' ἐκείνως
ἔχοντας, μᾶλλον δὲ οὐδετέρως, ἐπεὶ καὶ οὕτω κἀκείνως;

Καὶ μὴν ἅπας μὲν νόμος, δι' ὧν τοῦ κοινῇ λυσι-
τελοῦντος διὰ πάντων φροντίζει, εὖ πράττειν τοὺς χρω-
μένους παρασκευάζει, τά τε ἄλλα καὶ τὸ ταὐτὰ διὰ 122
τέλους φρονεῖν· ὅπερ εὐπραγίας ὡς ἀληθῶς ἴδιον. οὗτος
δὲ μηδένα τούτου ποιούμενος λόγον, ἀλλὰ καὶ παρὰ τὸ
κοινῇ συμφέρον καινοτομῶν ἃ μὴ δεῖ, ἐν τοῖς μεγίστοις
καταβλάπτει τὴν πόλιν, οὐ μόνον ἀσύμφωνον αὐτὴν
πρὸς ἑαυτὴν καθιστὰς, ἀλλὰ καὶ τῶν πάνυ τοι προση-
κόντων ἀποστερῶν καὶ ὧν πᾶς τις ἂν αὐτῇ τυγχάνειν
εἰς ἅπαν συνεύξαιτο. τί δ' ἂν εἴη κατ' εὐχὴν πόλεσι
μᾶλλον ἢ τὸ φίλους καὶ εὐεργέτας ὁσημέραι κεκτῆσθαι;
ὧν οὗτος, εἰ κύριος ἔσται, ταύτην καθάπαξ ἀπάγων,
εἰ μὴ τοῦτ' ἔσται, τούτων αὐτὴν καθάπαξ ἐμπλήσει.
εἰ τοίνυν τὸ μὲν τουτονὶ λελυκέναι συνίστησιν ἡμῖν
τοὺς γνωρίμους εἰς ἅπαν καὶ προσέτι πλείους ποιεῖ,
τὸ δ' αὖ σώζειν ἐθέλειν ἡμῶν τούτους ἀφίστησι,
τοσούτῳ κάλλιον καὶ λυσιτελέστερον καὶ πρὸς αὐτῆς ὡς

---

20 ὑπὲρ T. ἔχων codex Marcianus. 22 οἷς Grauertus. Vulgo οὓς. οὓς ἀνάγκη — τὰ πλείστου, φασὶν, ἄξια χρῆσθαι] Non absimili locutione Aristides ipse utitur in Platonica prima, Pindarum a Platone adduci in rebus maximi momenti affirmans (T. II. p. 28.): ἔτι τοίνυν ἑνὸς ποιητοῦ τῶν ἀπὸ Βοιωτίας καὶ Ἑλικῶνος παραθήσομαι μαρτυρίαν, ᾧ καὶ Πλάτων τὰ πλείστου, φασὶν, ἄξια χρῆται. Quem ad locum Scholiastes editus: διὰ τὸ εἶναι παροιμίαν τὸ τοῦ πλείστου ἄξια χρῆται, διὰ τοῦτό τὸ φασὶν εἶπεν. Mor.

65, 3 παρὰ T. ἐπὶ V. 4 ἀσύμφωνον T. σύμφωνον V. 14 τοσούτῳ] τοσοῦτο T.

Digitized by Google

ἀληθῶς τῆς πόλεως μᾶλλον λύειν τοῦτον ἢ σώζειν, ὅσῳ τὸ τυγχάνειν εὐεργετῶν τε καὶ φίλων ἢ τούτων παντάπασι στέρεσθαι. οὕτως ὁ σὸς νόμος, Λεπτίνη, καθάπαξ ἀσύμφορος ὢν καὶ τὸ ξύμπαν εἰπεῖν οὐδὲν ὑγιὲς, ἐν τούτῳ μόνῳ πρὸς ὄνησιν ἔσται τῇ πόλει, ἐὰν μηκέτ' ᾖ τοῦ λοιποῦ· αὐτός τε γὰρ ταυτηνὶ δώσει τὴν δίκην, μηδὲν χρηστὸν ἔχων ὅλως, καὶ παρασκευάσει τοὺς ἄλλους ἐντεῦθεν μή ποτ' ἂν ἐθελῆσαι τηλικαῦτα ληρεῖν.

Χωρὶς δὲ τούτων σκέψασθε, ὦ ἄνδρες Ἀθηναῖοι, αὐτοῦ τε τούτου καὶ τῶν ἐξ ἀρχῆς ὑπαρχόντων νόμων τὸ διάφορον, ἵν' εἰδῆτε σαφῶς ὅτι τοσοῦτον οὗτος δεῖ τουτοισὶ παραβάλλεσθαι καὶ φέρειν εἰς ἴσα, ὥς μηδὲ δίκαιος ὢν ὅλως νόμος κεκλῆσθαι. εἰ γὰρ οἱ μὲν τοσοῦτον τῶν εὐεργετῶν λόγον ποιοῦνται ὡς μὴ μόνον

(66) τῶν ἴσων αὐτοὺς ἀξιοῦν, ἀλλ' ὡς ὑπάρξαντας ἀγαθοῦ καὶ πλέον ἢ προσῆκε τιμᾶν, ὁ δὲ πᾶν τοὐναντίον καὶ ὧν εἰλήφεσαν ἐκπεσεῖν συμβουλεύει, ἀνάγκη πᾶσα τῷ μὲν ὡς δυσχερῆ καὶ ἀσύμφορα καὶ πρὸς τοσοῦτον ἀτοπίας ἰόντα ὡς μηδ' εἰς ἀκοὴν πώποτ' ἀφῖχθαι νομοθετοῦντι μηδὲ προσέχειν ὅλως τὸν νοῦν, ἀλλ' αὐτοῖς οἷς φάσκει χαίρειν τοῦτον ἐᾶν· τοὺς δ' οἷς πάντας τοὺς ἐκ τοῦ παντὸς αἰῶνος ἀνθρώπους καὶ προσέτι τὴν φύσιν αὐτὴν συμψήφους ὧν λέγουσιν ἴσχουσι, μὴ μόνον στέργειν τε καὶ θαυμάζειν, ἀλλὰ καὶ συνήδεσθαι σφίσιν οὕτως ἄριστα πάντων ἔχουσι. πρὸς δὲ κἀκείνως νόμον ἐξούλης λάχοι τις ἂν εἰκότος αὐτῷ. οἱ μὲν γὰρ εἰ καὶ

---

16 ὅσῳ] ὅσο (sic) T. 17 οὕτως Grauertus. Vulgo οὗτος. 19 ὑγιὲς T. ὑγιὴς V. 21 δώσει T. δοὺς V. 23 ληρεῖν accessit ex T. 26 τοσοῦτον] Vulgo τοσοῦθ'. 27 δεῖ Wolfius. Vulgo δέει.

66, 1 ὑπάρξαντας T. ὑπάρξαντος V. 9 ἴσχουσι] Vulgo ἴσχουσιν. 12 νόμων ἐξούλης λάχοι] ἐξούλης δίκη quid apud Athenienses fuerit, Harpocration, Hesychius, Suidas, Henricus quoque Stephanus, Vigerus, aliique multi declarant; *ex quibus idem* fuerit ac *interdictum unde vi* apud Romanos. Metaphorice, quemadmodum hic, etiam in Panathenaico ἐξούλης δίκην usurpat Aristides, dum Athenienses ceu αὐτόχθονας laudat (T. I. p. 106.): οὐκέτι

*διάφορα καὶ περὶ ὧν ἂν εἴποι τις φθέγγονται; ἀλλ' ἐπεὶ πρὸς ἓν μόνον πάντες ὁρῶσι τὸ τῶν πόλεων κέρδος, διὰ τοῦτο καὶ τῆς αὐτῆς προσηγορίας μέτεστι πᾶσι, καὶ τοῦτο κοινὸν κατὰ πάντων κεκράτηκεν ὄνομα νόμοι. ὁ δὲ μηδενὶ τούτων τὰ τοιαῦτα ξυμβαίνων πῶς ἂν ἔχοι λό-* 128
*γον κἂν τῷ καταλόγῳ τούτων τετάχθαι; μᾶλλον δὲ τοῦτ' ἂν εἴη γε σῶζον λόγον, εἰ ὃν τρόπον τοὺς μὲν ὡς ὑπὲρ ἡμῶν ὄντας τιμῶμεν καὶ σωτῆρας καὶ καθηγεμόνας τοῦ βίου μετὰ τοὺς θεοὺς ἄγομεν, τὸν αὐτὸν τρόπον καὶ τοῦτον ὡς καθ' ἡμῶν ὄντα παντάπασι παύσομεν. εἰ γὰρ ἐπανόρθωμα κακῶν ἅπαντες εὖ ἔχοντες νόμοι, ὁ μηδὲν τι τοιοῦτον ἰώμενος τὸ παράπαν, ἀλλὰ καὶ στασιάζειν πρὸς τοὺς εὐεργέτας παρασκευάζων τὴν πόλιν, ταυτὸν δὲ εἰπεῖν καὶ αὐτὴν πρὸς αὐτήν, πῶς οὐκ ἐν Ἐρινύος ἡμῖν ἔσται μοίρᾳ, παραμένων τῷ βίῳ; ἔπειτα καὶ πάνδεινόν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ τυράννου καὶ νόμων παντάπασιν ἐναντίων ὄντων, καὶ τῶν μὲν τὰ δίκαια πρὸς τοὺς εὐεργέτας ἐκ παντὸς τρόπου ποιεῖν προτρεπόντων, τοῦ δὲ καὶ ἃς εἰλήφεσαν δωρεὰς μετὰ καὶ τῶν ὄντων αὐτῶν προσαποστεροῦντος· ὃ νῦν Λεπτίνης μηδὲν αἰσχυνόμενος γράφει· ἔπειθ'* 130
*ἡμεῖς νομοθέτην τουτονὶ προσεροῦμεν, ἐφ' ὃν τύμπανα καὶ κύφωνας, τὸ τῆς κωμῳδίας, διὰ ταῦτ' ἔδει καλεῖν,*

---

*ἐξούλης γε μόνοις ὑμῖν, εἰ οἷόν τέ ἐστιν εἰπεῖν, οὐδ' ἂν εἷς λάχοι τῆς γῆς, οὐ μᾶλλόν γε ἢ τῆς μητρός τινι.* Quem ad locum Scholiastes ineditus Codicis Marciani CCCCXXIV. *ἐξούλης. ἔστιν ὄνομα δίκης. λέγεται κατὰ τῶν ἐκβαλλόντων τὸν μὴ προσήκοντα ὁτῳοῦν πράγματι. ἐξελεῖν γὰρ ἔλεγον οἱ Ἀττικοὶ τὸ ἐξωθεῖν καὶ ἐκβάλλειν βίᾳ. οὔκουν γε μόνοις ὑμῖν τοῖς Ἀθηναίοις αὐτόχθοσιν οὖσιν οὐδεὶς ἂν λάχοι καὶ κληρώσεται ἐξούλης, ἤτοι ἐξελάσεως τῆς γῆς, οὐ μᾶλλόν γε ἢ λάχοι τινὶ ἐξελάσεως τῆς μητρός.* Mor. 16 *κοινὸν κατὰ πάντων κεκράτηκεν ὄνομα, νόμοι*] *οἱ νόμοι τῆς ἴσα νεμούσης εἰς τὸ κοινὸν ἀρχῆς καὶ δυνάμεως ἐπώνυμοι γεγόνασι,* Plutarchus Symposiacon Lib. II. (T. VIII. p. 551. Ed. Reisk.) Apud Platonem autem *νόμος* quasi *νόος* est (de Leg. Lib. XII. T. II. p. 957.); quem videre praestat etiam in Minoe T. II. p. 313. Mor. 24 *ἰώμενος*] *οἰόμενος* T. 27 *αὐτὴν*] *ἑαυτὴν* T. *Ἐρινύος*] Vulgo *Ἐριννύος.* 28 *παραμένων* T. *παραβαίνων* V.

67, 6 *τύμπανα καὶ κύφωνας, τὸ τῆς κωμῳδίας*]

ὡς τοῦ τῆς πόλεως καταψευδόμενον ἤθους, καὶ ταῦτ ἐκπολεμοῦντα πρὸς οὓς ἥκιστ' ἐχρῆν;

Ἡδέως δ' ἂν σου, Λεπτίνη, πυθοίμην, ἐάν τι παρά του χάριν εἰλήφεις, ταύτην ἔπειτ' ἀφαιρεθῇς, πότερον δυσχερανεῖς ἢ μή; μᾶλλον δὲ εἰ μέν, ὅτε ταύτ εἰλήφεις, οὐ προσεῖχες ὅλως τὸν νοῦν, πρῶτον μὲν οἶδ' ὅτου χάριν εἰλήφεις· οὐ γὰρ οἷόν τε ταύτην λα μὴ περὶ πλείστου ποιούμενον. πλήν, εἰ βούλει, δεδό μήτε τότε μηδένα ταυτησὶ πεποιῆσθαι λόγον μήτε ν ἀφαιρεθέντα δυσχερανεῖν. εἰ δ' ἐπὶ τὸ λαβεῖν ἀσμένως, ὥσπερ οὖν εἶχες καὶ οὐδεὶς ἀντερεῖ, πρὸς τὴν ἀφαίρεσιν, εὖ οἶδα, δυσχερανεῖς, καὶ μάλιστ εἰ καὶ πρότερος αὐτὸς εὖ ποιήσας τοῦτον ἐτύγχαν εἶθ' ὧν οὐκ ἄν ποτ' αὐτὸς ἕλοιο πεπειρᾶσθαι, ταῦτ ὑφ' ἡμῶν ἑτέρους παθεῖν ἀξιοῖς, καὶ μόνος τῶν πάντ νομοθετεῖν οἴει δεῖν ἃ καὶ εἰ πόρρωθεν ἐτύγχανε σθέντα, ὡς μηδὲν ὅλως πρὸς ἡμᾶς ὄντα διαγρ ἔδει καθάπαξ, καὶ μᾶλλον νόμον τιθέναι τῷ καὶ εἰσ θις ἐπιχειρήσοντι τούτοις θανάτου τιμᾶν; καὶ εἰ ὑφ' ὁτουοῦν αὐτὸς ὑβρισμένος ἐτύγχανες, οὐκ ἂν πά ἴσως ἠνέσχου, ἀλλ' ἤμυνας ἂν ἐκ τῶν ἐνόντων σαυ

---

Ὦ τύμπανα καὶ κύφωνες, οὐκ ἀρήξετε;

Aristophanes Pluto v. 476.

Duo cruciatuum genera haec, quorum altero rei stipitibus stricti ac ligati, membris expansis, distendebantur ac fustibus caedebantur; altero colla eorundem ita vinculis ligneis constringebantur, ut caput surrigere haudquaquam possent. Tympana haud vero *fustes*, vertere malui, quod Hemsterhusio quoque notante, Scholiastes ad eum Aristophanis locum duplicem τυμπάνων significationem afferat, ut scilicet tum stipites ipsos supppositos, tum fustes quoque ipsos designari velit: κύφωνας *numellas* dixi, quod ea quae Scholiastes idem hac de re tradit cum his quae Nonius Marcellus habet pag. 144. Ed. Paris. magnopere conveniant: „Numellae machinae genus ligneum discruciandos noxios paratum, quo et collum et pedes immittuntur.“ De utroque tormenti genere Hemsterhusius et Harlesius ad Aristophanis Plutum aliique ab iis allati. Mor. 10 ἀφαιρεθῇς πότερον δυσχερανεῖς] Legebatur ἀφαιρεθεὶς δυσχεράνῃς. 16 ἐπὶ ἀσμένως T. ἀσμένως εἶχες V. 19 τουτον T. τοῦτον V. 20 πεπειρᾶσθαι T. πειρᾶσθαι V.

*δὲ τούς τε νῦν ὄντας ἡμῶν τούς τε ἐσομένους εἰς ιδός δι' ὧν νομοθετεῖς καθιστάς, ἔπειτ' οὐκ ἄγεις ψήφοις; ἐὰν γάρ ἅ τις ἐπαγγειλάμενος τύχοι, ταῦτα δοὺς ὡς εἰς ἀπατεῶνας τελῶν πολλοὺς ἴσχει τοὺς ηγόρους, ὁ καὶ ἃ δέδωκεν ἀφελόμενός τιν'. οὐκ ἂν ρὰ πάντων δέξαιτο μέμψιν;*

*Ἐχρῆν τοίνυν ἡμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, ἐχρῆν, ὶ καὶ φύσει καὶ χρόνῳ συγκεκληρωμένον ὥσπερ ἄνω-* 134 *ν ἔχομεν πάντες εὖ ποιεῖν μᾶλλον ἢ εὖ πάσχειν αἰσθαι, καὶ πρὸς τοὺς νῦν ἀτελείᾳ χρωμένους κατὰ ὐτὰ διακεῖσθαι καὶ πρὶν ὑπ' αὐτῶν ἡμᾶς εὖ πεπονναι, ταύτης αὐτοὺς ἀξιῶσαι. ὅτε δ' ὑπ' αὐτῶν πρόεν ἡμεῖς εὖ πεπονθότες ἔπειτα ταύτης αὐτοὺς ἠξιώκαν, ἐθελήσομεν πάλιν αὖ ταύτην αὐτοὺς ἀφελέσθαι, περ ἐπὶ ῥητοῖς δεδωκότες, ἢ ἡμῶν αὐτῶν ὅτι παρέομεν καταγνόντες; καὶ τίνα περὶ ἡμῶν αὐτῶν τοῖς λησι δώσομεν δόξαν, οἱ μεγαλοψυχίας ἑκασταχοῦ γῆς χοντες ὄνομα, καὶ οὕτω φανερώτατα πάντων ἀνθρών δι' ἀρετὴν ὑπὸ θεῶν σπουδασθέντες ὡς καὶ λιμοῦ τε κατειληφότος τὴν οἰκουμένην πᾶσαν σχεδὸν καὶ λησι καὶ βαρβάροις τὸν Πύθιον ἀνελεῖν οὐκ ἂν τὸν ιὸν ἄλλως πεπαῦσθαι εἰ μὴ Ἀθηναίων ὑπὲρ πάντων οὐρανὸν χεῖρας ἠρκότων; πρὸς γὰρ τῷ τῆς ἐσχάτης* 136

68, 1 *ἀπατεῶνας* Wolfius. *ἀπαταιῶνας* V. 4 *ἡμᾶς* accessit T. 11 *αὖ* Grauertus. Vulgo *ἄν*. *αὐτοὺς* T. *αὐτοῖς* V. 13 *ὅτι παρέσχομεν* accesserunt ex T. 19 *ἄλλως*] Legeur *ἄλλως τε*. *τε* delere quam *ἄλλως γε* scribere malui. ... om. T. 20 *εἰς οὐρανὸν χεῖρας ἠρκότων*] Rem attigerunt Harration v. *Ἄβαρις*, Scholiastes Aristophanis Equit. v. 725. et al. Suidas v. *Ἄβαρις*: necdum tamen de facti historia satis constat. arim nimirum ex Hyperboreis Athenas legatum venisse, Apolis consulendi caussa, quo tandem pacto pesti, quae per totum em grassabatur, remedium afferre liceret, iidem tradunt; at tempore in incerto res est, itidemque num de peste vel de ie tollenda ageretur. Iam vero Scholiastes Aristophanis diserte *οἱ μὲν γάρ φασιν ὅτι λιμοῦ, οἱ δὲ ὅτι καὶ λοιμοῦ τὴν πᾶσαν σχόντες οἰκουμένην*: hinc in Aristide nihil immutavi. In Panaaico quoque idem hac ipsa de re mentionem fecisse videtur verbis T. I. p. 196. *φανερὰ δὲ καὶ ἡ παρ' αὐτῶν τῶν θεῶν εὔνοια*

ἀγνωμοσύνης εἶναι τὴν τῶν διδομένων ἀφαίρεσιν, ἣν ἀτέλειαν νῦν ἴσχουσιν οὗτοι, οἴκοθεν καὶ π… ἑαυτῶν ἴσχουσι ταύτην, οὐ χάριν ἡμετέραν λα… ἀλλ' ὧν εἰς ἡμᾶς ἔδρασαν ἀγαθῶν ὥσπερ τινὰ τα… ἀντειληφότες μισθόν. οὐκοῦν ἐὰν ἀφέλωμεν τα… αὐτούς, πρῶτον μὲν οὐχ ἃ χαριζόμενοι σφίσι πε… μεν, ταῦτα τούτους ἀφαιρησόμεθα δή που, ἀλλ' κατὰ τὸν τοῦ δικαίου λόγον εἰσὶ κύριοι, τούτων σ…

(69) σονται· ἔπειτα καὶ οἷς ἡμᾶς εὖ πεποιήκασιν οὗτοι, … εἰκότως ἀνταπαιτήσουσι, καὶ πολλῷ δικαιότερον … εἴπερ ἡμεῖς μὲν μηδὲν ἐγκαλεῖν ἔχοντες τούτοις μη… φόμενοι, ἀλλ' ἑκόντες ὄντες ἐνταῦθ' ἥξομεν, οἱ δ… ἄκοντες καὶ τὸ παράλογον τοῦτο ἐπικαλοῦντες … ὥστε λάθοιμεν ἂν δι' ἡμῶν αὐτῶν ἐπὶ τουτουσὶ τὸ ξ… ὠθοῦντες, μᾶλλον δ' αὐτοῖς ἐπηρεάζειν ἐθέλοντες … σοῦτον ἡμᾶς καταβλάψομεν, ὅσον οἱ μὲν ἅ γ' ἔ… ἐν δίκῃ, τούτων οὐκ ἐν δίκῃ στερήσονται, ἡμεῖς δ… ὅσον ἀπατεῶνες δόξομεν εἶναι, ἀλλὰ καὶ ὧν πρόσθε… αὐτῶν ἀπελαύσαμεν, τούτων διὰ τὴν εἰς αὐτοὺς ἀγ… σύνην ὑφέξομεν δίκην δικαίως, τὴν εἴσπραξιν.

Ὅσῳ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ τοῖς … λίστοις ἐπιχειρεῖν ἐν τῷ βελτίονι κεῖται ἢ τὸ μηδ… στὸν πράττειν αἱρεῖσθαι, τοσούτῳ δεῖ μᾶλλον ἡμᾶς … πρὸς αὐτοὺς πίστιν διὰ τέλους φυλάττειν ἢ κατα… ταύτην βεβουλῆσθαι. ἀλλὰ μὴν εἴ γε οὕτω προεσ… χόντες ἡμῖν οὕτως ἀτιμασθήσονται, καὶ οὐδὲν αἰτ…

---

καὶ ψῆφος καὶ διὰ τοῦ κοινοῦ μάντεως καὶ ἐξηγητοῦ τοῦ πατ… πόλει, θύειν τε ὑπὲρ τῶν Ἑλλήνων τὴν προηροσίαν κελεύοι… quae verba Scholiastes ineditus in Codicibus Marcianis CCCL… et CCCCXXIIII. τὴν προηροσίαν. ἡ ἱστορία τοιαύτη. λιμοῦ κατ… τοὺς Ἕλληνας, ἔχρησεν ὁ θεὸς παύσασθαι, εἰ Ἀθηναῖοι εὔξαιντο … αὐτῶν. ἐλθόντων πρέσβεων εἰς τὴν Ἀττικήν, πεισθέντες ἔθ… αὐτῶν τὴν προηροσίαν, καὶ οὕτως ἐπαύσατο ὁ λιμός. Ceterum de … plicantium χειραρσίᾳ apud veteres adhibita testimonia plura … gessit Wetstenius ad I. Timoth. v. 8. Mor. 26 αὐτ… αἰτοῖς V.

69, 4 τοῦτο] τοῦτον T. 5 λάθοιμεν Grauertus. Vulg. … θωμεν. 6 τὸ ξίφος ὠθοῦντες] ὦσι δὲ τὸ ξίφος κατὰ τ… Aelianus Var. Histor. Lib. III. cap. 44. Mor. 12 ἀπολ…

χράπαν ἀρκέσει τὸ γοῦν χαρίτων ὑπῆρχθαι, τί ποτ' ἔμελλον πείσεσθαι μηδὲν ὅλως προεισενεγκόντες; οὓς ρῆν, εἰ μὴ διὰ τοῦτο, ἀλλὰ διὰ τὴν ἡμετέραν πρὸς παντας μεγαλοψυχίαν καὶ τὸ πεφυκὸς χαρίζεσθαι, μὴ ῦτα μόνον εἰς τέλος, ἀλλὰ καὶ πλείω πρὸς τούτοις ειν; τούτων δ' ὁμοῦ συνιόντων, Ἡράκλεις, εἰς μηδὲν αὐτῶν τούτοις ὄνησις ἔσται, ὧν θάτερον ἤρκεσεν ἄν; νευ δὲ τούτων εἰ, ὅτε παρ' ὑμῶν ἠξιοῦντο τῆς ἀτε-ίας, ἔφασαν δεδιέναι μὴ μετ' ὀλίγον αὐτοὺς ταύτην ρέλησθε, οὐ μόνον μανίας ἂν εἵλετ' αὐτούς, οὕτως ονταςγνώμης, ἀλλὰ καὶ ὡς τῆς προαιρέσεως ὑμῶν καταψευδομένοις ἐπετιμᾶτε. εἶθ' ἃ τουτοισὶ δεδιόσιν εκαλεῖτ' ἄν, ταῦθ' ὑμεῖς ἑκόντες ἕλοισθ' ἂν πεπον-ένναι; καίτοι οἱ μὲν τοιαυτὶ προϊσχόμενοι τότε οὐ παν-λῶς ἀσύγγνωστ' ἂν λέγειν ἐδόκουν, ἡμῖν δ' οὕτω δια-θεῖσιν οὐδ' ἡτισοῦν παρ' οὐδενὸς παραίτησις ἔσται, λλὰ καὶ ἀπιστήσουσιν ἅπαντες, εὖ οἶδα, ὁμοῦ μὲν τὴν μετέραν μεγαλοψυχίαν, καὶ πρὸς τοὺς πονηροτάτους δότες, ὁμοῦ δὲ καὶ τῶν ἀμηχάνων νομίζοντες εἶναι τοὺς ῶν δεόντων πᾶσιν ἁπλῶς καθεστηκότας συμβούλους μᾶς ἔπειτα καθ' ἡμῶν αὐτῶν συμβούλῳ τῷ Λεπτίνῃ εχρῆσθαι, ὡς ταῦτ' ἔχειν ψηφίζεσθαι.

Ἀλλ' ἐκεῖσε πάλιν ἐπάνειμι. εἰ, ὅτ' αὐτοὺς ἀντευ-ποιεῖν ᾤεσθε δεῖν, οὗτοι τοῦ μὴ μεταβαλεῖν ὅρκους ἠτοῦν, πάντως ἂν εἴξατε τῇ προκλήσει· ἀχθόμενοι μὲν σφίσι τοῦ μὴ πιστεύεσθαι, ἀπειπεῖν δὲ οὐκ ἔχοντες λως τοῦ μὴ τὸ δέος βεβαιῶσαι καθάπαξ. οὐκοῦν ἄτο-πον ἃ τότε τοῖς ὅρκοις ἐπιστώσασθε ἄν, ταῦτα νῦν ἄνευ ὅρκων μὴ ἐθελῆσαι φυλάξαι, καὶ ταῦτα τοῦθ' ὡς ἀλη-θῶς κάλλιον ὂν καὶ πρὸς δόξαν μᾶλλον ὑμῖν, εἴπερ τότε μὲν ὑπὸ τῆς τῶν ὅρκων ἀνάγκης ἐδοκεῖτε φυλάττειν, νῦν δὲ καὶ χωρὶς τῆς ἐκεῖθεν ἀνάγκης τοῦτο ποιοῦντες

---

19 ὅλως T. ὅλως γε V. 23 εἰς] εἰ T. 29 ὑμῶν T ἡμῶν V. 30 δεδιόσιν T. διέσιν codex Marcianus.

70, 11 ᾤεσθε] ᾤησθε V [ex Morelli correctione, nulla ex annotata discrepantia. ᾤεσθαι codex Marcianus. 15 ἄτοπον ἃ Vulgo ἄτοπον εἰ ἃ. 16 ἐθελῆσαι T. θελῆσαι V. 19 ἐκεῖθεν

γνώμης ἀρίστης καὶ μάλισθ' ὑμῖν προσηκούσης φέρειν ἂν δόξαν. ἐμοὶ δέ, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ θαυ- ζειν ἔπεισιν, εἰ διαβαλλόντων μέν τινων ἡμᾶς οὐκ ἠνεσχόμεθα δή που, ἀλλὰ καὶ προσελάχομεν ἂν τοι- ὕβρεως δίκην, αὐτοὶ δὲ ἡμᾶς αὐτοὺς τὰ πάντων αἰ- σχιστα διαβαλεῖν ἐθελήσομεν. ὅταν γὰρ τοῖς μὲν οἷς ἐπηγγείλαντο τὸν δῆμον ἠπατηκόσιν, ἐάν, ὡς ὁ νόμος κελεύει, κριθέντες ἁλῶσι, θανάτου τιμῶμεν, ἡμ- δὲ καὶ ἃ δεδώκαμεν ἀφελώμεθα, πῶς οὐχ ἡμῖν αὐ- ἐπιβουλεύειν δόξομεν, ἐφ' ἃ τοὺς ἄλλους ἀξιοῦμεν θα- νάτου, ταῦθ' ἑκόντες ἡμᾶς εἰργασμένοι; ὃ μάλιστα

(71) πάντων ἡμᾶς φυλάξασθαι δεῖ, οὐ μόνον ὅτι τοῦ πρ- τειν ἃ δεῖ μάλιστα πάντων ἡμῖν δεῖ, ὅσῳ καὶ θεοφι- λεῖς μάλιστα πάντων ἡμεῖς, ἀλλ' ὅτι καὶ τοῦτο, μά- λιστα πάντων δεῖν, συγγνώμης ἀπήλλακται. καὶ δι- καίως. ὁ μὲν γὰρ ὁτιοῦν ἀδικῶν κατ' αὐτὸ τοῦτο μό- ἴσχει τὴν μέμψιν, ὁ δ' ἃ παρ' ἄλλοις ὡς κάλλιστα τι- ρεῖται, τούτοις ἔχων ἐνεχόμενος κατ' αὐτὸς αὑτοῦ φέ- τὴν ψῆφον τοῦ παρὰ πάντων ἂν εἰκότως μισεῖσθαι, κ- οἷς τοιαῦτα πράττειν αἱρεῖται καὶ οἷς ταῦτ' ἐν ἄλ- κακίζει, ἅπερ αὐτὸς πράττειν αἱρεῖται. πρὸς ὃν ἐγὼ ἂν φαίην ὅτι εἰ μὲν τῶν ἐπαινουμένων, ὦ τᾶν, τι- ὄντα τυγχάνει, πῶς ἐν τοῖς ἄλλοις ἀξιοῖς τιμωρίας; δὲ τῆς φαυλοτάτης πέφυκε μοίρας, πῶς ἃ παρ' ἄλλ- ὄντα κολάζεις, τούτοις αὐτὸς ὡς βελτίστοις δεῖν οἴ- κεχρῆσθαι;

---

accessit ex T. 27 ὡς ὁ νόμος κελεύει] Legem affert Demo- sthenes contra Leptinem p. 498. ἐάν τις ὑποσχόμενός τι τὸν δῆμον ἐξαπατήσῃ, κρίνειν· κἂν ἁλῷ, θανάτῳ ζημιοῦν. Hanc vero eandem Atheniensibus obiicit, concinnis acutisque argumentis adiectis quae Aristides quoque ex parte habet. Mor. 28 ἀφελώμεθα T. ἀφελόμενοι V. 30 ἡμᾶς Grauertus. Vulgo ἡμεῖς.

71, 2 ὅσῳ] ὅσο T. 3 θεοφιλεῖς μάλιστα πάντων ἡμεῖς] In- τὴν πόλιν τὴν ὑμετέραν εὐτυχεστάτην πασῶν πόλεων ὑπολαμβάνω καὶ θεοφιλεστάτην. Demosth. Epist. T. II. Reisk. p. 1486. Mor. 6 κάλλιστα] κάκιστα coniicit Morellius, μάλιστα Grauertus. 7 αὑτοῦ Wolfius. αὐτοῦ V. 11 ὦ 'τὰν (nam sic codex) accessit ex T. 14 οἴει κεχρῆσθαι T. ἔοικε χρῆσθαι V.

Digitized by Google

Καὶ μὴν εἰ τὸ πρὸς οὐστινασοῦν ἰδίᾳ γιγνόμενον βλάβος μέμψεως ἄξιον, ἦ που τὸ δημοσίᾳ καὶ κοινῇ τὴν βλάβην ἐπάγον οὐδὲ παραίτησιν ἴσχει. ὑμεῖς τοίνυν φαῦλον μὲν ὁντινοῦν τῶν πολιτῶν καὶ δόξαν οὐκ ἀγαθὴν κεκτημένον οὕτω μισεῖτε ὡς καὶ τῆς πόλεως τάχιστ' αὐτὸν ἐξελαύνειν, ἐφ' ᾧ μὴ καὶ τοὺς ἄλλους ὑπὸ τούτου βεβλάφθαι καὶ πρὸς πολλοὺς ἥκειν τὸ νόσημα. ἐὰν δὲ τὸν Λεπτίνου βεβαιώσωμεν νόμον, οὐ μόνον δόξομεν ἐναγεῖς τὰ τοιαῦτα, ἀλλὰ καὶ κοινὸν ἡμῖν αὐτοῖς ἐπεγεροῦμεν τὸ μῖσος, καὶ τοὺς εὐεργέτας οὐ μᾶλλον ἀφαιρησόμεθα 148 τὰ δοθέντα ἢ ἡμᾶς αὐτοὺς τὸ πιστεύεσθαι. εἰ δὲ τὸ τῆς ἁπάντων εὐνοίας ἐκπεσεῖν καὶ πονηρὰν ἀντὶ χρηστῆς δόξαν λαβεῖν πολλῷ χαλεπώτερον τοῦ δωρεῶν ὡντινωνοῦν ἐστερῆσθαι, πρῶτον μὲν οὐκ ἂν φθάνοιμεν ἡμᾶς αὐτοὺς μᾶλλον ἢ τοὺς εὐεργέτας δι' ὧν ἀφαιρούμεθα ζημιοῦντες· ἔπειτα καὶ δεινῶς ἄτοπον καὶ καινὸν οἴκοθεν ἡμῖν αὐτοῖς τὸν πόλεμον ἐπεισάγειν καὶ τοὺς αὐτοὺς οὐκ ἐκ μέρους, ἀλλ' ὁμοῦ καὶ ἀδικοῦντας δή που καὶ ἀδικουμένους ὑπάρχειν, καὶ δημίους καὶ πάσχοντας. ὃ παρ' ἄλλου μὲν ἂν γεγονὸς εἶχεν ἄν τινα παραμυθίαν ἡμῖν καὶ προσέτι τοῖς παραδείγμασι φέρειν ἐδόκει, τὸ δ' ἡμῖν αὐτοῖς ἐπηρεάζοντας ἡμᾶς εἶναι καὶ κακῶς ποιεῖν καὶ ὃ τούτου δεινότερον, ἐξὸν μὴ πάσχειν, εἶτα πάσχειν αἱρεῖσθαι, πᾶσαν κακοδαιμονίαν ἐκβαίνει. ὅπου γὰρ καὶ πρὸς τοὺς ὑβριστάς τε καὶ συκοφάντας μεγαλοψυχίᾳ κεχρῆσθαι καὶ ὅπως ἡμῖν ἔπειτ' αὐτοὺς παρασκευάσομεν εὔνους πάντα ποιεῖν οἰόμεθα χρῆναι, ἦ που μανία περιφανής, ὅταν *** τοὺς εὐεργέτας καὶ τὰ ἡμέτερ' αὐτῶν 150 περὶ πάνυ τοι πολλοῦ ποιουμένους καὶ οὐδὲ παυσομένους ταυτησὶ τῆς μανίας, ἐὰν βουλώμεθ' ἡμεῖς, ἀντὶ τοῦ πάντων ὧν σφίσι προσῆκεν ἐπιεικῶς ἀξιοῦν καὶ πάνυ τοι προσφιλοτιμεῖσθαι, ἡμεῖς δὲ καὶ πολεμίους αὐτοὺς ἐν οἷς ἂν ἀφελώμεθα δείξομεν;

---

22 τὸν λεπτίνου T. τοῦ Λεπτίνου V.

72, 12 παρασκευάσομεν T. παρασκευάσωμεν V. 14 Indicavi lacunam. 16 μανίας] προθυμίας Grauertus.

Digitized by Google

*Εἰ τοίνυν ἡμῖν μὲν χρηστῆς οὕτω μέτεστι γνώμης καὶ πρὸς τοσοῦτον ἥκομεν τοῦ πρὸς πάντας ἁπλῶς εὖ διακεῖσθαι, ὡς καὶ τοὺς ἐχθροὺς εὔνους ἐθέλειν ποιεῖν καὶ μεταβάλλειν ἐφ' ἃ δεῖ, ὁ δ' ἡμᾶς δι' ὧν συμβουλεύει πᾶσι καθάπαξ συγκρούει, καὶ πρὸς ἃ μὴ πεφύκαμεν ἐκβιάζεται, οὐ μόνον ἐστὶ τῆς πολιτείας ἐχθρὸς, ὡς μηδ' ὁπωστιοῦν αὐτῷ χρῆναι προσέχειν, ἀλλὰ καὶ ἧς ἴσχομεν φύσεως πάντ' ἄνω καὶ κάτω στροβίλου δίκην ποιῶν, καὶ τοὺς ἐπιεικεστάτους τὰς φύσεις καὶ νόμοις καὶ ἔθεσιν ἐντραφέντας χρηστοῖς τῶν ἀνομωτάτων καὶ ὠμοτάτων ἔλαττον ἔχειν, ὦ θεοί, παρασκευάζων βαρβάρων, εἴπερ*
(73) *ἐκεῖνοι μὲν εὐεργέτας τιμῶσιν, ἡμεῖς δ' αὐτοὺς ἀτιμάζομεν. καὶ οἱ μὲν ὠμότητι γνώμης παρὰ τὴν κοινὴν ἀνθρώπων φύσιν καὶ κατ' αὐτῶν τῶν οἰκειοτάτων ὁσημέραι χωροῦντες ἐνταῦθα μόνον ταυτηνὶ δή που τηροῦσιν, ὃ φύσει πᾶσιν ἀνθρώποις μέτεστι, λέγω δὴ τοῦ πρὸς τοὺς εὐεργέτας δικαίου· Ἀθηναῖοι δὲ, οἱ μὴ μόνον χρηστότητι φύσεως πάντων ὡς εἰπεῖν ἀνθρώπων διενεγκόντες, ἀλλὰ καὶ πέρα τῆς ἀνθρωπείας φύσεως οὐχ ὀλιγάκις ἀναφανέντες ταῖς ἀρεταῖς, κινδυνεύουσι νῦν ὑπὸ Λεπτίνου καὶ τοῦ κατὰ φύσιν ἐκστῆναι. πάλιν τοίνυν οἱ μὲν τριάκοντα τὰ τείχη τῆς πόλεως καθελόντες οὐ συγκαθεῖλον τὸ φρόνημ' αὐτῆς, ἀλλ', ἑστηκότος πάνυ τοι τούτου, ἀνέστη πάλιν τὰ τείχη πολλῷ περιφανέστερα καὶ κάλλιω. Λεπτίνης δὲ νῦν οὐ καθαιρεῖν τείχη πειρᾶται, ἀλλ' ὃ μεῖζον καθάπαξ ἐστὶ, τὴν τῆς πόλεως μεγαλοψυχίαν καὶ τὸ πιστεύεσθαι. καὶ τότε μὲν Θρασύβουλος ὀλίγους δή τινας παραλαβὼν τὴν τυραννίδα καθεῖλεν, ἡμῶν δὲ πάντων εἷς ὁστισοῦν ἀνὴρ περιέσται; μηδαμῶς, ὦ ἄνδρες Ἀθηναῖοι.*

---

27 *στροβίλου*] *στροβύλου* T.

73, 6 *χρηστότητι*] *Ἀθηναῖοι διαφέροντες τῶν ἄλλων χρηστότητι.* Diodorus Sic. Lib. IV. cap. 65. Mor. 8 *ἀνθρωπείας* T. *ἀνθρωπείου* V. 11 *τὰ τείχη — καθελόντες*] Diodorus Lib. XIV. et Iustinus Lib. V., qui iidem de Thrasybulo libertatis Atheniensium assertore. Mor. 13 *πολλῷ περιφανέστερα καὶ κάλλιω*] Nimirum a Conone. Diodorus Lib. XIV. cap. 85. Mor.

Digitized by Google

Σκοπεῖτε δέ, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τοῦτο, ἵν' εἰδῆτε σαφῶς, ὡς τἀναντία Λεπτίνης ὧν προὔθετο λέγει, καὶ τοῖς αὐτὸς αὑτοῦ πολεμῶν οὐκ αἰσχύνεται· ὅταν γὰρ πάντας μὲν τοὺς ἄλλους τὰς δωρεὰς ἀφαιρῆται, μόνους δὲ τοὺς ἀφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος ταύτας ἔχειν ἐᾷ, μάλιστα μὲν δῆλός ἐστι μήτε χρηστὸν τοῦτο καθάπαξ μήτε φαῦλον νομίζων, ἀλλ' ἐφ' ἑνὸς τούτου τἀναντία φρονῶν. ἀμήχανον δὲ κατὰ ταυτὸν ἄμφω συμβῆναι, ἀλλὰ δυοῖν θάτερον. πλὴν τοῦ γε τὸν ἔλεγχον ἐμφανῆ γεγενῆσθαι δεδόσθω. οὐ μὴν ἀλλ' εἰ μὲν καλόν τι καὶ δίκαιον, ὦ οὗτος, τὸ τῶν δωρεῶν
4) οἴει καὶ τῇ πόλει συμφέρον, τί μὴ πᾶσιν ἁπλῶς μεταδίδως, ἀλλὰ τοῖς μέν, τοῖς δ' οὔ; εἰ δ' ἀλυσιτελεῖς εἶναί 156
σοι δοκοῦσι, καὶ κατέγνως αὐτῶν, καὶ οὐδὲν ὑγιὲς εἶναι νομίζεις, τί μὴ καὶ πάντας τούτων ἀποστερεῖς; νῦν δ' ἔοικας οἷς τοὺς μὲν ἄλλους πάντας τῶν δοθέντων ἀποστερεῖς, τοὺς δ' ἀφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος ταύτας ἔχειν ἐᾷς, τοὺς μὲν τιμῆς ἀξιοῦν, πάντας δ' ἀτιμάζειν τοὺς ἄλλους, οὐδέτερον τούτων εἰκότως ποιῶν. ἀλλὰ λανθάνεις τοὺς μὲν οὐκ ἀξίως τιμῶν, ἐπειδὴ μὴ καὶ πάντας, πάντας δὲ ἀτιμάζων ἀδίκως, ἐπειδὴ μόνους ἐκείνους τιμᾶν ἀξιοῖς. δεῖ γὰρ ἀμφοτέροις μεταδιδόναι τῶν ἴσων. οἷς δὲ διαιρεῖς, καὶ ἄκων τούτους συνάπτεις, ὡς δέον εἶναι πάντας ἐξ ἴσης τῶν δωρεῶν ἀπολαύειν.

Ὅτι δὲ καὶ αὗται πολλοῦ τινος ἄξιαι δῆλον ἐκεῖθεν. δι' ὧν γὰρ μόνοις τοῖς ἀφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος ταύτας παρέχεις ἄμφω ταῦτα ψηφίζεσθαι μάλιστα δίδως, τοὺς μὲν δικαίους τούτων ἀπολαύειν ἡγεῖσθαι διὰ τὸ γένος, τὰς δ' οὕτω πολλοῦ τινος ἀξίας νομίζειν ὡς μόνοις τουτοισὶ ἐξ ἁπάντων ὥσπερ τι γέρας 158
ταύτας διδόναι. οὐκοῦν ὑπερφυὲς καὶ παντάπασιν ἐναντίον ἐνταῦθα μὲν ὡς βελτίστας χώραν αὐτὰς φάσκειν κεκτῆσθαι, ἐπὶ δὲ τῶν ἄλλων γε πάντων ὡς οὐδενὸς

22 αὑτοῦ Grauertus. αὐτοῦ T. αὐτῷ V. αἰσχύνεται] αἰσθάνεται ab sec. m. T: αἰσχύνεται a pr.

74, 12 δέον Morellius. δεῖν V. 19 τουτοισὶ] Scribebatur τουτοισίν.

Digitized by Google

ἀποδοκιμάζειν ἀξίας. χωρὶς δὲ τούτων οὐδὲ καθ' ἕνα δή που τῶν τρόπων τοὺς ἀφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος μνημονεύειν προσῆκεν. ἐάν τε γὰρ ὡς φαύλων τῶν δωρεῶν ἀπέχεσθαι φάσκῃς, ἐναντίον οὑτοί σοι καθιστᾶσι τὸν λόγον, ἐάν τε πλείστου ἀξίας, πάντες αὐτῶν ἐπ' ἴσης μεθέξουσι, καὶ οὐχ οἱ τῶν ἀφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος μόνοι. ἔτι τοίνυν Ἁρμόδιον μὲν καὶ Ἀριστογείτονα οὕτω θαυμαστούς τινας νομίζομεν ἡμῖν γεγενῆσθαι (75) καὶ τῶν ἄλλων ἀμείνους ὡς καὶ τιμᾶν ἐθελῆσαι τούτους εἰκόσι κατὰ ταὐτὰ τοῖς θεοῖς, καὶ πλὴν θυσιῶν μηδενὸς εἰς φιλοτιμίαν ἐλλείπειν. οὐ μὴν καὶ τοῖς ἐξ αὐτῶν τῶν ἴσων ἀξιοῦσθαι δώσομεν, οὐδ' ἐγγύς. οὔτε γὰρ ὀλυμπιονίκας μεταδεδωκότας ποτ' ἴσμεν τοῖς παισὶ τοῦ κοτίνου, οὐ μᾶλλόν γε ἢ τοῦ προσρήματος σφῶν, οὐδ' οἷόν τ' αὐτοῖς μετὰ τοῦ γένους καὶ τὴν ἀρετὴν ἐκδέχεσθαι, ἀλλὰ καὶ πολλάκις ἐκ διαμέτρου ταῦτα ξυμβαίνει. πῶς οὖν ὡς ὁμολογουμένων ἀγαθῶν τούτων ἐμνήσθης, εἰ καὶ ὅλως ἔδει μεμνῆσθαι; εἰ γὰρ τῶν ὡς ἀληθῶς ἀγαθῶν οὐκ ἐχρῆν δι' ἅπερ ἔφην μεμνῆσθαι, ἢ πού γε τὸ τῶν οὐκ ὄντων μνημονεύειν ὡς ὄντων εἰς γέλωτα φέρει.

Καὶ οὐ λέγω ὅτι περ ἐν αὐτοῖς τούτοις καὶ Ἁρμόδιον καὶ Ἀριστογείτονα, οὓς τοσούτου δή τινος ἀξιοῖς, ὡς δι' αὐτοὺς τούτους καὶ τοῖς ἐξ ἐκείνων τὰς δωρεὰς ξυγχωρεῖν, λανθάνεις τῶν εἰκόνων ἀποστερῶν, ἃς ὡς τυραννοκτόνοι γέρας ἴσχουσι, καὶ τῆς θαυμαστῆς ταύτης τόλμης ἀξιόχρεων δῶρον καὶ μάλα σφίσι προσῆκον. ποτέρως δ' ἂν ἦσθα καλλίων καὶ πιστεύεσθαι ἀξιώτερος, πότερον καθάπαξ τὰς δωρεὰς συνιστὰς καὶ πᾶσιν ἀνθρώποις κατὰ τοῦτο ξυμβαίνων, ἢ ταύτας ἐκ μέρους μὲν συνιστάς, ἐκ μέρους δὲ διαβάλλων, καὶ τοῖς μὲν εἰς ἅπαν ἀπαγορεύων, τοῖς δὲ συγχωρῶν, καὶ οὐ μόνον οὐδέτερον τούτων διὰ θάτερον βεβαιῶν, ἀλλὰ καὶ τῇ κοινῇ περὶ τούτων ἐναντιούμενος ψήφῳ; ἐγὼ μὲν ἐκείνως ἂν οἶμαι,

---

26 οὑτοιί T. οὗτοι V. 28 οὐχ οἱ T. οὐχὶ V.

75, 2 εἰκόσι] De statuis aeneis Harmodio et Aristogitoni ab Atheniensibus in foro positis ac denuo restitutis Meursius in Pisistrato cap. 14. et Corsinius Fast. Att. T. III. p. 128. 171. Mor.

3 τοῖς T. τοὺς V.

*καὶ πάντες ξυμφαῖεν ἄν. σὺ δ᾽ οἷς περὶ τὰς ξυμβουλὰς
οὕτω χωλεύεις ἀνδρὸς ἔργον ἐργάζει οὐχ οἷς λέγει θαρ-
ροῦντος, ἀλλ᾽ ἀπιστοῦντος ὡς εἰπεῖν ἑαυτῷ. δεῖ δὲ καὶ
νομοθέτην καὶ ξύμβουλον καὶ πάντα τοιοῦτον καθαρῶς
ἀποφαίνεσθαι, καὶ μὴ διπλᾶ κρούειν, ὡς λόγος. καίτοι*
(76) *ὅταν ὁ τοῖς ἄλλοις πιστεύεσθαι ἀξιῶν μὴ τὴν αὐτὴν αὐτὸς
οὗτος περὶ ὧν λέγει δόξαν ᾖ κεκτημένος, σχολῇ γ᾽ ἂν* 164
*ὁτῳοῦν τῶν ἁπάντων ἀξιόπιστος δόξαι.*

*Ἐμοὶ δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ Λεπτίνου θαυ-
μάζειν ἔπεισιν, ὅπως πανοῦργος ὢν καὶ δεινὸς πράγμασι
χρῆσθαι τοῦτ᾽ ἠγνόηκεν ὅτι περ οἷς τοὺς ἄλλους ἀφαι-
ρεῖται τὰς δωρεὰς, κατ᾽ αὐτὸς αὑτοῦ κινεῖ τὸν ἀνάγυρον,*

---

26 *ἂν* addidit Grauertus. 27 *ἐργάζει* T. *ἐργάζῃ* V. 29 *ξύμβουλον* T. *σύμβουλον* V. 30 *καὶ μὴ διπλᾶ κρούειν, ὡς λόγος*] Proverbialis locutio de homine qui sibimet ipsi non constat, ac duabus veluti sellis sedere nititur. Annotavit adagium ex Aristide Gilbertus Cognatus in Sylloge, quam eiuscemodi locutionum adornavit, hisce verbis: „*Utramque inflare tibiam, εἰς ἑκάτερον τῶν αὐλῶν αὐλεῖν.* In eos qui omnem movent lapidem; Aristides de Paraphthegmate. Simile *ὀρχεῖσθαι δίπτυχα, saltare bifariam:* ibidem. Et *διπλᾶ κρούειν, bifariam pulsare.* Vide alibi. Item *μέσον δυοῖν καθέζεσθαι, inter duas sedere.* Idem Sicula 2.“ (in Collect. Proverb. fol. typis Wechel, 1643. pag. 123.) Sane quatuor illa Aristidis testimonia in editione Iebbii occurrunt T. II. pag. 393. 395. 402. et T. I. pag. 382. ex quibus quidnam Aristides hoc loco sibi velit, magis magisque innotescit; potissimum vero ex T. II. p. 402., ubi *κατ᾽ ἐξορχουμένων* ait: *ἀλλ᾽ οἶμαι κομψοί τινές εἰσιν καὶ διπλᾶ κρούουσιν, ἵνα ἐὰν μὲν ἕλωσι, ταύτῃ κεκρατηκότες ὦσιν· ἐὰν δὲ φωράσῃ τις, ἔχωσιν ἀναχώρησιν.* Quem ad locum Scholiastes Codicis Marciani CCCCXXIV. *τὸ διπλᾶ κρούειν παροιμία ἐπὶ τῶν ἐπαμφοτεριζόντων ταττομένη. ἐλήφθη δὲ ἐκ τῶν μουσικῶν ὀργάνων, ἃ χορδὰς ἑκατέρωθεν ἔχει. ὅτι ἂν οὖν σφαλῶσι τοῦ μέλους οἱ μουσικοὶ ἐν θατέρῳ τῷ μέρει, διὰ τοῦ ἑτέρου τοῦτο ἐπανορθοῦνται.* Mor.

76, 6 *δεινὸς πράγμασι χρῆσθαι*] Demosthenica phrasis de Philippo, Olynth. I. p. 10. Ed. Reisk. Mor. 7 *κατ᾽ αὐτὸς αὑτοῦ κινεῖ τὸν ἀνάγυρον*] Adagium de iis qui mala sibimet ipsis accersunt usurpari solitum, quod Aristophanes affert in Lysistrata v. 68., itidemque Libanius Operum T. I. p. 305. et Epist. LXXVIII. Undenam vero ductum illud sit, haud equidem constat; cum multa et varia sint, quae hac in re Hesychius, Zenobius, Diogenianus,

Digitized by Google

ἑαυτὸν ἀποστερῶν τῶν μεγίστων, παρρησίας καὶ δόξης καὶ λόγων καὶ τοῦ περὶ ὧν ἂν ἑκάστοθ' αἱρῆται παρελθεῖν εἰς μέσους ἐξεῖναι. οὐ γὰρ ὁ τὴν ἐν πρυτανείῳ σίτησιν ἢ ἀτέλειαν ἢ πλέθρα γῆς ἤ τι τοιοῦτον λαμβάνων, μόνος οὗτος δῶρα λαμβάνει, ἀλλὰ καὶ ὃν ἂν ὁ δῆμος ἀξιώσῃ ταυτησὶ τῆς παρόδου, καὶ οὗτος αὐτὸ τοῦτο δῶρα λαμβάνει· καὶ τοσοῦτον μᾶλλον ταῦτα δεῖ δῶρα καλεῖν ἢ 'κεῖνα, ὅσον ἐκεῖνα μὲν ἀπόδοσις ἂν μᾶλλον δικαίως καλοῖτο ἢ δῶρα, ταῦτα δὲ καθαρῶς ἐστι δῶρα μηδὲν προεισενεγκοῦσι δοθέντα. ὥστε τοῦτον τὸν τρόπον ἀδικήσομεν μὲν τοὺς ἄλλους, ἀφῃρηκότες τὰς δωρεάς, οὗτος δ' οὐδέν τι τοιοῦτον ἕξει προΐστασθαι· ἀλλὰ χάριν μὲν ἂν εἰδείη μὴ τοῦτο παθών, παθὼν δὲ οὐ δυσχερανεῖ δή που δικαίως, οὐδ' ὡς ἠδικημένος βοήσεται. μᾶλλον δὲ εἰ μὲν οὐδεὶς τῶν δωρεῶν ἐκπεσεῖται, οὐδὲ σὺ τῶν εἰς τὰς ἐκκλησίας προόδων, εἰ δ' ἀφαιρεθήσονται ταύτας, καὶ αὐτός, εὖ ἴσθι, παραπολαύσεις τοῦ νόμου. ἀπολωλεκὼς δὲ τὸ παρρησίᾳ κεχρῆσθαι καὶ ὃν ἐντεῦθεν τέθεικας νόμον συναπολλύμενον ἕξεις. ταύτῃ δὲ τούτων κεχωρηκότων, σὺ μὲν τὸ λοιπὸν ἄτιμος ἔσει, πάντες δ' ὡς πρόσθεν τὰς δωρεὰς ἕξουσι πεπαυμένου τοῦ νόμου, καὶ μηδενὸς ἔτ' εἰσαῦθις ἐμποδὼν ἐσομένου. ἑλοῦ τοίνυν

(77) δυοῖν θάτερον, ἢ τὸν νόμον χαίρειν ἐάσας τῆς προσούσης ἔχεσθαι δόξης, ἢ τοῦτον στῆσαι ζητῶν πρὸς τῷ μηδὲν πλέον εἰργάσθαι καὶ ταύτην ἀπολέσαι καθάπαξ.

Καὶ μὴν οὐδ' ἐκεῖνό γ' ἂν ἔχοις εἰπεῖν, ὡς ἄρα τῶν εὑρομένων τὰς δωρεὰς οἱ μὲν φαῦλοί τινες ὄντες,

---

Suidas, Apostolius et Erasmus dedere. Mor. 11 ἢ πλέθρα γῆς] De victu in Prytaneo iis exhibito, qui praeclare de republica meriti essent, comperta res est; ac pervulgatum quoque Socratis dictum apud Laertium: ἕνεκα μὲν τῶν ἐμοὶ διαπεπραγμένων τιμῶμαι τὴν δίκην τῆς ἐν Πρυτανείῳ σιτήσεως. De terrae iugeribus illud sese offert ex Demosthenis Leptinea: Λυσιμάχῳ δωρεὰν ἑνὶ τῶν τοτε χρησίμων ἑκατὸν μὲν ἐν Εὐβοίᾳ πλέθρα γῆς πεφυτευμένης ἔδοσαν, ἑκατὸν δὲ ψιλῆς. T. III. p. 45. Ed. Taylorii. Mor. 12 ἀλλὰ καὶ — τοῦτο δῶρα λαμβάνει accesserunt ex T. 14 τοσοῦτον] Vulgo τοσοῦτο. 15 ἢ 'κεῖνα T. ἢ ἐκεῖνα V. ἀπόδοσις T. ἀποδόσεις V. 27 ἔσει] Vulgo ἔσῃ. 29 εἰσαῦθις] Vulgo ἐσαῦθις.
77, 2 τῷ Grauertus. Vulgo τὸ.

οἱ δὲ μικρὰ ἄττα εὖ πεποιηκότες τὴν πόλιν, μειζόνων ἢ προσῆκεν ἠξίωνται. μάλιστα μὲν γὰρ εἰ καὶ διὰ πάντων τοῦτ' ἦν, πρὸς ἡμῶν μᾶλλον ἂν ἦν. διὰ τί; ὅτι πεφύκαμεν ἐξ ἀρχῆς ὥσπερ τοῖς ἄλλοις πᾶσιν, οὕτω κἂν ταῖς εὐεργεσίαις πάντας ἀνθρώπους νικᾶν. κοινοὺς γοῦν εὐεργέτας πάντες ἡμᾶς ᾄδουσι. νῦν δὲ τοσαῦτα μέν ἐστι τούτων τὰ πλεῖστα καὶ οὕτω πολλοῦ τινος ἄξια ὡς εἰ καὶ μηδαμόθεν ἦσαν περιφανεῖς οἱ ταῦτ' εἰργασμένοι, ἐξαρκεῖν ἂν αὐτοῖς ἐντεῦθεν διαφερόντως τιμᾶσθαι. τοιοῦτοι δέ τινες οὗτοι καὶ πρὸς τοσοῦτον ἥκοντες τοῦ θαυμάζεσθαι, ὡς μὴ μόνον τὰς δωρεάς, ἃς παρ' ἡμῶν ἔσχον, μᾶλλον σεμνύνειν ἢ ὑπ' ἐκείνων οὗτοι σεμνύνεσθαι, ἀλλὰ καὶ εἰ μή πω κατ' ἀνθρώπους νενόμισται τὸ τῶν δωρεῶν, δι' αὐτοὺς ἂν νενομίσθαι· οὓς καθ' ἕκαστον μὲν διιέναι, οὐ τοὺς ἐπὶ τῶν ἄνω χρόνων λέγω, ἀλλὰ καὶ πάντας τοὺς 170
ἐφ' ἡμῶν τουτουσί, μακρὸν ἂν εἴη καὶ πόρρω τοῦ καθ' ἡμᾶς δυναμένου. ἑνὸς δὲ μόνου τοῦ χθὲς καὶ πρώην πολλῶν καὶ μεγάλων ἀγαθῶν αἰτίου καταστάντος τῇ πόλει μνησθεὶς, ὑμῖν αὐτοῖς καταλείπω τὴν ψῆφον, εἰ ἄρ' ἄξιός ἐστιν ἀνὴρ οὐκ ἀτελείας μόνον, ἣν ἔδοτ' αὐτῷ καὶ παισὶν, οὐδὲ πλείστων ὅσων ἄλλων δωρεῶν καὶ στεφάνων, ἀλλὰ καὶ τοῦ πολλοὺς ἂν ἑτέρους δι' αὐτὸν εὖ πεπονθέναι.

Ἄξιος δὲ καὶ τούτου Χαβρίας, καθάπερ πρόσθεν Τιμόθεος Κέρκυραν ᾑρηκὼς καὶ τὴν μόραν κεκοφὼς

---

6 ἄττα V. ἅτα T. 11 ᾄδουσι] Vulgo ᾄδουσιν. 21 ἐφ' Morellius. Vulgo ὑφ'. 25 ἀνὴρ] Vulgo ἀνήρ. 29 μόραν] μῶραν T. μοῖραν V. μοῖραν pro μόραν codex habet, quemadmodum apud idoneos quoque scriptores reperire est, ac in ipso quoque Aristide iuxta codicem Baroccianum ab Iebbio allatum (T. I. p. 215.): at μόρα frequentius dici consuevit. De scriptione nominis deque re tota post multos egregie disputat vir eruditione praestans, quocum iucunda utilisque mihi amicitia intercedit, Georgius Henricus Martinus, Rector Gymnasii ad D. Nicolai, quod Lipsiae est, in Prolusione de Spartiatarum Mora, Ratisbonae an. 1771. impressa. Mor. *Tribus hisce victoriis adeo laetos fuisse Athenienses video, ut illae semper in omnium oratorum atque hominum ore tum temporis versarentur*, ait Lucchesinius in Demosthenem de ordinanda Rep. n. 17. idque Demosthenis ipsius (qui etiam in Leptinem et contra Aristocratem idem repetit), Dinarchi et Aeschinis testimo-

Ἰφικράτης. μόνος γὰρ οὗτος τῶν εἰς κοινὸν πολιτευσα- 17
(78) μένων πλείστας τε καὶ καλλίστας ὑπερ ἡμῶν ἑκάστοτε κτησάμενος νίκας, οὐδαμοῦ δὲ ἡττηθεὶς, οὐδὲ τῆς προσούσης εὐψυχίας οὐδὲ καθ' ὀντιναδήποτε τρόπον ἔλαττον σχὼν, οὐ μόνον παρ' οὐδενὸς ἐπεσπάσατο φθόνον, ἀλλὰ καὶ ὡς τὰ μέγιστα τὴν πόλιν εὖ πεποιηκὼς παρὰ πάντων βοᾶται, τοῦτο μὲν πρὸς πολλοῖς ἄλλοις καὶ Λακεδαιμονίους οὕτω καταναυμαχήσας ἐν Νάξῳ, ὡς ἑβδομήκοντα δή που τριήρεις καὶ τρισχιλίους αἰχμαλώτους λαβεῖν, τοῦτο δ' ἑπτακαίδεκα παραστησάμενος πόλεις, δέκα δὲ καὶ ἑκατὸν ἀπὸ τῶν πολεμίων τάλαντ' ἀποφήνας ἡμῖν, καὶ τὸ ξύμπαν εἰπεῖν θαυμαστὸς διὰ πάντων φανείς. εἶτα τὸν βέλτιστον μὲν οὕτω τοῖς ὅλοις, ἐπαινού- 174 μενον δὲ ὑφ' ἁπάντων, τοσούτοις δὲ καὶ τηλικούτοις κοσμηθέντα τροπαίοις, ἀήττητον δὲ διαγεγονότα καθάπαξ, μεγίστας δὲ εἰς εὐπορίαν ἀφορμὰς παρασχόντα τῇ πόλει, τοῦτον τοίνυν τῶν μεγίστων ἀξιόχρεων ὄντα καὶ ὑπὲρ πάντας τοὺς ἄλλους τιμᾶσθαι δίκαιον, ἡμεῖς δὲ καὶ ἧς παρὰ πολὺ τῆς αὐτοῦ δόξης ἠξιώκαμεν ἀτελείας ἀποστερήσομεν; καὶ πῶς οὐ δόξει καὶ νῦν καὶ τόθ' ὑφ' ἡμῶν τὰ μέγιστα ἀδικεῖσθαι, τότε μὲν τῶν οὐ προσηκόντων τυχὼν, νῦν δ', ὦ θεοὶ, καὶ τούτων ἐκπεπτωκώς; ὃς εἰ

---

niis commonstrat. Plutarchus quoque de Gloria Atheniensium (T. VIII. p. 383. Ed. Reisk.) tropaea tria eadem coniunctim celebrat. Bene itaque Aristides de rebus a Chabria praeclare gestis dicturus, Timothei quoque et Iphicratis mentionem iniecit. Mor.

78, 1 ὑπὲρ T. ἔχον V. 4 φθόνον T. φθόνου V.
7 *Λακεδαιμονίους οὕτω καταναυμαχήσας ἐν Νάξῳ*] Laudatissimam Chabriae victoriam ad Naxum inter alios Diodorus refert Lib. XV. Scholiastes vero Aristidis ineditus in codice Marciano CCCCXXIII. ad Tom. I. p. 173. lin. 10. Ed. Iebbii de illa haec habet: *Χαβρίας σὺν ναυσὶ πολιορκῶν Νάξον πρὸς Λακεδαιμονίους ἐναυμάχησε μεταξὺ Πάρου καὶ Νάξου, καὶ κατέδυσε μὲν κδ ναῦς, δύο* (ὀκτὼ ait Diodorus) *δὲ αὐτάνδρους ἔλαβε, καὶ τοὺς αἰχμαλώτους ἄγων εἰς τὰς Ἀθήνας ἐπώλησεν ἐπὶ τοῦ πωλητηρίου.* Iisdem fere verbis concinit Scholiastes codicis CCCCXXIIII. At Aristides Demostheni mordicus haeret. Totam vero Chabriae vitae rationem qua solet elegantia explicat Nepos. Mor. 9 *ἑπτακαίδεκα*] *ἑπτὰ καὶ δέκα* T.

Digitized by Google

μὴ τοιοῦτός τις ἐτύγχανεν ὢν μηδ' ὧν ἔφην αὐτῷ περιῆν, οἷς οὕτως ὑπὲρ ἡμῶν ἐτελεύτησε δίκαιός ἐστι καὶ διὰ πάντων ὡς εἰπεῖν τῶν ἐκγόνων τιμῆς ἀξιοῦσθαι.

Καὶ γὰρ ἂν εἴη τῶν ἀτόπων τοὺς μὲν ἐν τῷ πο- 176
λέμῳ τετελευτηκότας αὐτούς τε καθ' ἕκαστον ἐνιαυτὸν λόγοις ἐπιταφίοις τιμᾶν τούς τε παῖδας αὐτῶν δημοσίᾳ μάλιστα τρέφειν, ἕως ἂν ηὐξηκότες εἰς ἥβην ἀναχωρήσω-
9) σιν οἴκαδε μετὰ τῶν πανοπλιῶν· τὸν δ' ὑπὲρ ἡμῶν καὶ ζῶντα καὶ μέχρι θανάτου κεκινδυνευκότα πολλάκις καὶ τὴν τελευτὴν τῆς προαιρέσεως ἀξίαν ἐπιθέντα τῷ βίῳ, αὐτόν τε δή που καὶ τοὺς υἱεῖς οὐχ ὅσον τῶν ἴσων ἀξιοῦν ἐκείνοις ἐθέλειν, ἀλλὰ καὶ τῶν δοθέντων ἀποστερεῖν, καὶ τοὺς μὲν οὐκ ὀλιγάκις ἐν ταῖς μάχαις ὑπ' αὐτοῦ πεπονθότας κακῶς οὕτω καὶ πάλαι καὶ νῦν ἄνδρα ἀγαθὸν τοῦτον ἡγεῖσθαι καὶ διαφερόντως τιμᾶν, ὡς καὶ συνήδεσθαι μὲν τούτῳ τῶν ἔργων καὶ τῆς ὑπερφυοῦς εὐψυχίας, σφίσι δ' αὐτοῖς τὸ τοιούτου δή τινος εὐτυχηκέναι πολίτου συνεύχεσθαι, ἡμᾶς δ' ὑπὲρ ὧν οὕτω λαμπρῶς παρετάξατο, καὶ οὓς μεγάλοις καὶ θαυμαστοῖς ἤγαλε τοῖς τροπαίοις,
καὶ τὴν ὑπάρχουσαν δόξαν αὐτῷ διαφθείρειν τῷ τοῖς 178
υἱέσιν ἐπηρεάζειν, ὥσπερ ἤτοι μηδ' ὁτιοῦν ἐκείνου τὴν πόλιν χρηστὸν ἢ τὰ πάντων αἴσχιστα εἰργασμένου.

Καὶ μὴν εἰ μέν, ὅθ' οὑτοσὶ περιῆν, πᾶσαν ἡντιναοῦν ὑπὸ μεγαλοψυχίας ἀπηξίωσε χάριν καὶ μηδὲν ὧν εἰς ἡμᾶς ἔδρασεν ἐζήτησε πλέον, ἀλλ' ἀποχρῆν ᾠήθη μόνον τὸ πολλοῦ τινος ἄξιος γεγονέναι τῇ πόλει, ἔδει δή

---

22 μὴ τοιοῦτος T. μὴ καὶ τοιοῦτος V. 23 ὑπὲρ T. ἔχον V. Aristides Demosthenis verba in Leptinea exprimere velle videtur (T. I. p. 481.): καὶ μήν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ζῶν πάνθ' ὑπὲρ ὑμῶν φανήσεται πράξας Χαβρίας, καὶ τὴν τελευτὴν αὐτὴν τοῦ βίου πεποιημένος, οὐχ ὑπὲρ ἄλλου τινός· ὥστε δικαίως ἂν οὐ μόνον διὰ τῷ ζῶντι πεπραγμένα φαίνοισθε εὐνοϊκῶς διακείμενοι πρὸς τὸν υἱὸν αὐτοῦ, ἀλλὰ καὶ διὰ ταύτην. Et re quidem vera mortem subiit Chabrias in sociali bello, cum classis praefectus, iuxta Diodorum (Lib. XVI. cap. 8.) ac fortassis etiam Plutarchum (in Phocione), privatus vero miles iuxta Nepotem, in portum Chii irrumpere conaretur. Mor.

79, 1 μετὰ τῶν πανοπλιῶν] Confer Aristidis Panathenaicum T. I. p. 190. Mor. 11 ὑπὲρ T. ἔχον codex Marcianus.

Digitized by Google

που τὴν ἀρετὴν ἐκείνου δυσωπηθέντας ἡμᾶς καὶ τὰς ὑπερφυεῖς αὐτοῦ πράξεις ὥσπερ ἔμψυχόν τινα νομίσαντας στήλην φιλοτιμότατα νῦν τῷ 'κείνου χρῆσθαι παιδί, καὶ πρὸς αὐτὸν τοῦτον ἀπομνημονεῦσαι τὴν χάριν, καὶ οὐχ ὅσον ἀτελείας, ἀλλὰ καὶ πολλῶν ἑτέρων αὐτὸν ἀξιῶσαι. νῦν δὲ καὶ αὐτῷ καὶ παιδὶ τῷ αὐτοῦ πάλαι ταύτης μεταδόντες, νῦν ἕτερόν τι βουλεύσεσθε; καὶ πῶς οὐκ ἄτοπον τὴν μὲν ὠφέλειαν τὴν παρ' ἐκείνου βεβαίαν καθάπαξ καθεστάναι τῇ πόλει, ἃ δὲ τούτου χάριν ἐκεῖ[νῳ] διανενόησθε, ταῦτ' εἰς παλινῳδίαν τετράφθαι; Κτησίππῳ μὲν οὖν τῷ Χαβρίου· ὅταν δὲ τοῦτον λέγω, πάντας λέγω (80) καθ' ὧν ὁ νόμος ἔσθ' οὑτοσί· οὐδὲν ἔσται πλέον ἀτελείας ἐκπεπτωκότι· ὑμεῖς δέ, ὦ ἄνδρες Ἀθηναῖοι, ταύτῃ περὶ τοὺς εὐεργέτας ὑμῶν διακείμενοι, πλείστων δή τινων ἀνδρῶν καλῶν κἀγαθῶν καὶ δυναμένων εὖ ποιῆσαι τὴν πόλιν ἐν παντὶ τῷ παρασχόντι στερήσεσθε; οὐδεὶς γὰρ οἶμαι τῶν πάντων ἔθ' ὑπὲρ ὑμῶν διαγωνιεῖται οὐδὲ παρακινδυνεῦσαι βουλήσεται, ὁρῶν τὴν ἀρετὴν παρ' ὑμῖν ἄμισθον οὖσαν. ἐν τῷδε γὰρ κάμνουσιν αἱ πολλαὶ πόλεις, κατὰ τὴν τραγῳδίαν, ὅταν τις ἐσθλὸς καὶ πρόθυμος ὢν ἀνὴρ μηδὲν φέρηται τῶν κακιόνων πλέον.

Οὐ μὴν ἀλλ' εἰ μὲν εὖ πάσχειν μόνον ἐνῆν, εὖ ποιεῖν δὲ οὐ προσῆν, οὐδὲν ἂν ἦν πρᾶγμα. εἰ δ' οὐκ ἔσθ' ὅπως ἄν τις εὖ πάθοι παρά του μὴ πρότερον αὐτὸς ἢ τοῦτον εὖ ποιήσας ἢ προσδοκώμενός γε ποιήσειν· οὐδὲ πόλις ἂν εὖ πράξαι ποτὲ μὴ τοὺς εὖ πεποιηκότας τιμῶσα. οὐκοῦν καὶ ὑμεῖς, εἰ μὲν εὖ πάσχειν αἱρεῖσθε, εὖ ποιεῖν

---

21 *ὥσπερ ἔμψυχον νομίσαντες στήλην*] ***Satis hoc quidem sophisticum***, repetere licet cum Wesselingio, qui de ***tropaeis animatis*** apud Diodorum (XIII. 29.) id ait. Consule Ruhnkenium ad Longinum cap. III. p. 135. Ed. Toup. Ceterum morem Atheniensium inscribendi columnis praeclara suorum facta vel ipsae, quae supersunt, columnae manifeste declarant. Mor. 29 *Κτησίππῳ*] Uterque codex *καλλίππῳ*. *Κτησίππῳ τῷ Χαβρίου*] Ex Demosthene in Leptinea, Plutarcho in Phocione, Athenaeo Lib. IV. cap. 18. aliisque *Κτησίππῳ* reposui; quandoquidem *Καλλίππῳ* codex perperam habet. Mor.

80, 1 *οὑτοσί*] *οὑτοσίν* T. 6 *παρακινδυνεῦσαι*] *προκινδυνεῦσαι* Grauertus. 9 *κατὰ τὴν τραγῳδίαν*] Euripides in Hecuba v.

καὶ αὐτοὶ τοὺς ἄλλους αἱρεῖσθε, εἰ δὲ δι' ὧν τὰς δωρεὰς ἀφαιρεῖσθε τοῦτ' ἀνέλοιτε, μηδ' ὑμεῖς εὖ πάσχειν αἱρεῖσθε, μηδ' ὅπερ ἐν τοῖς πρὸς τοὺς ἄλλους τοῦ μηδενὸς ἀξιοῦτε, τοῦτ' ἐν τοῖς πρὸς ὑμᾶς αὐτοὺς τοῦ παντὸς ἀξιοῦτε. εἰ γὰρ καὶ μάλιστα πάντων εὖ πάσχειν ἡμεῖς δίκαιοι, οὐ μόνον ὅτι μάλιστα πάντων ἐθάδες ἐσμὲν τούτου τοῦ μέρους τὸν ἅπαντα χρόνον, ἀλλ' ὅτι καὶ πρῶτοι πάντων φιλανθρωπίας καὶ μεγαλοψυχίας τὰ κράτιστα παρὰ τῶν θεῶν ἀπολελαυκότες ἡμεῖς, τῇ τε τῶν καρπῶν δόσει τῷ τ' ἔρις καὶ κλῆρος τοῖς πρώτοις τῶν θεῶν γεγε- 184
νῆσθαι· ἀλλ' ἐπειδὴ τούτου τυχεῖν οὐχ οἷόν τε μὴ παρόντος ἐκείνου, δεῖ δή που καὶ ἀμφοτέρων ἡμῖν, ἵνα μὴ θάτερον ζητοῦντες οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸ πᾶν ἀπολέσωμεν· ἐπειδὴ τὸ εὖ ποιεῖν τε καὶ πάσχειν, εἰ καὶ ἀλλήλων καθάπαξ διῄρηται, ἀλλὰ καὶ ἀλλήλων ἐξ ἀνάγκης ὃν ἔφην τρόπον ἐξῆπται.

---

306. Mor. 22 ἐθάδες ἐσμὲν τούτου τοῦ μέρους] Ad ea quae pag. 14. de phrasi hac annotavi, illud quoque sese mihi nuper obtulit apud Libanium in Oratione περὶ τῶν δεσμωτῶν, nimirum: ἐπεὶ δὲ οἱ μὲν κακοὶ περὶ τουτὶ γεγένηνται τὸ μέρος, quem locum Iacobus Gothofredus haud bene vertit *quoniam vero malorum pars circa haec versatur*. Est vero Libanii oratio inter eas, quas Gothofredus idem an. 1631. Genevae in lucem emisit. Vide p. 51. Mor. 24 φιλανθρωπίας καὶ μεγαλοψυχίας τὰ κράτιστα] φιλανθρωπίας καὶ μεγαλοψυχίας τὰ κράτιστα εἰσηνέγκαντο, Aristides in Panegyrico Cyziceno T. I. p. 244. Mor. 26 ἔρις καὶ κλῆρος τοῖς πρώτοις τῶν θεῶν γεγενῆσθαι] His gemina Aristidis verba sunt in Panathenaico, quibus certamen Minervam inter et Neptunum de Athenarum possessione inter praecipuas civitatis illius laudes enumerat: inquit enim (T. I. p. 106.): περὶ γὰρ μόνης ταύτης τῶν ὑφ' ἡλίῳ πόλεων ἤρισαν· καὶ καταλαμβάνουσι τὴν ἀκρόπολιν, ὥσπερ ἐπὶ μοναρχίᾳ σχεδὸν, ὡς εἰπεῖν, οἱ πρῶτοι τῶν θεῶν. Vehemens attamen suspicio suboritur mihi, Aristidem in Leptinea oratione ad illud Platonis in Menexeno respexisse (T. II. p. 237.): μαρτυρεῖ δὲ ἡμῶν τῷ λόγῳ ἡ τῶν ἀμφισβητησάντων περὶ αὐτῆς θεῶν ἔρις τε καὶ κρίσις: ut proinde τῷ τ' ἔρις καὶ κρίσις in Aristide quoque legi oporteat. Ne tamen a codicis lectione discedam, facit quodammodo Lycurgus in Oratione adversus Leocratem inquiens: οἱ πατέρες ἡμῶν τὴν Ἀθηνᾶν, ὡς τὴν χώραν εἰληχυῖαν, ὁμώνυμον αὐτῇ τὴν πατρίδα προσηγόρευον Ἀθήνας. T. IV. p. 156. Orat. Gr. Reisk. Mor. 29 ἀπολέσωμεν] ἀπολέσομεν T.

(81) Ἐγὼ δὲ καὶ τοῦτο λέγω· ὡς εἰ μὲν εὖ ποιοῦντ… οὐκ εὖ πάσχειν ἐμέλλομεν, οὐδ' οὕτως ἂν τὸ εὖ ποι… ὑπὸ μεγαλοψυχίας ἔδει παρεῖναι, ἱκανὸν νομίζοντας κ… τὴν παρὰ τῶν εὖ πασχόντων αἰδῶ τε καὶ χάριν. ὅτ… πρὸς τούτῳ καὶ τὸ ἀντ' εὖ πείσεσθαι προσδοκᾶν ἐν… ἢ που μανία σαφὴς ἡμᾶς αὐτοὺς τῶν τοιούτων ἀποστ… ἐν μὲν γὰρ τῷ τοὺς ἄλλους ὅτ' ἔξεστιν εὖ ποιεῖν πρ… μεῖσθαι καὶ ἡμᾶς αὐτούς ἐστιν εὖ ποιεῖν, ἐν δὲ τῷ … δένα τούτων ποιεῖσθαι λόγον ἐν τοῖς μεγίστοις ἡμᾶς … τοὺς ζημιοῦν. εἰ δὲ τὸ μὴ βούλεσθαι μὲν εὖ ποιεῖν … ψεως οὐκ ἀπήλλακται, οὐδέ γε πολὺ μᾶλλον τὸ μὴ … εὖ πεποιηκότας ἀντευποιεῖν, τῷ καὶ τὰ δεδομένα … ἐπιχειρεῖν ἀφελέσθαι, Ἡράκλεις, πᾶς τις ἂν καθ' ὑπ… βολὴν νεμεσήσαι, ὡς μήτε πώποτε παρ' οἱστισινοῦν … ἁπάντων γεγενημένῳ νῦν τε οὐκ ἂν παρ' ἡμῖν … εἰληφότος, νόμων ὄντων καὶ δίκης, καὶ τοῦ κοινῇ … πάντων λυσιτελοῦντος θεῶν βουλομένων ἀεὶ δήποτε … κῶντος τῇ πόλει, καὶ προσέθ' ἡμῶν τοσοῦτον ἀπεχόντ… τοῦ ταῦτα ποιεῖν αἱρεῖσθαι ὡς καὶ τοὺς παρ' ἡμῶν … ρεὰς εἰληφότας, ἐάν ποθ' ἡμῖν ἐθελήσωσι ταύτας … προέσθαι, ἐχθροὺς ἂν τῷ ὄντι νομίσαι, ὡς ἀναξίω… τούτοις καὶ τοῦ τῆς πόλεως ἤθους καὶ τῶν προ… βεβουλευμένους: εἰ δ' οὐκ ἀνεκτὸν, ὦ ἄνδρες Ἀθηναῖ… τοῦτ' ἤδη, πόσον τι χρὴ νομίζειν ἐκεῖνο;

---

81, 4 αἰδῶ T. αἰδώ V. 5 Vulgo ἀντευπείσεσθαι. 9 τούτων accessit ex T. 12 δεδομένα T. διδόμενα V. 17 … Vulgo αἰεί. 18 τοσοῦτον] Vulgo τοσοῦτ'. 20 ταύτας … ταύτης T. 21 προέσθαι T. προσέσθαι V. Mutilam in hac existimavit Morellius hanc orationem. Idem tamen fatetur … praefat. p. XVII., opinione se tantummodo sua indicare imperfectam lucubrationem; ceteroqui nihil a codice Veneto abscissum fuisse vel negligentia periisse. Nunc ecce codex quoque Vaticanus nullum defectus indicium prae se fert: explicit enim oratio in dimidia pagina; ita ut plane constet nullum a fine folium excidisse. Quare frustra mihi videtur Morellius existimasse mutilam hanc orationem. Mai.

## LV.

## ΠΑΝΗΓΥΡΙΚΟΣ

## ΕΠΙ ΤΩι ΥΔΑΤΙ ΕΝ ΠΕΡΓΑΜΩι.

Ομήρῳ μὲν εἰς τὴν σύνοδον τῶν χειμάρρων εἴρηται

Τῶν δέ τε τηλόθι δοῦπον ἐν οὔρεσιν ἔκλυε ποιμήν·

καὶ φρίξαντα δή φησιν αὐτὸν εἰς τὸ σπήλαιον εἰσελαύνειν τὰς ὄϊς· ἐγὼ δὲ καίτοι τοσοῦτον ὑμῶν ἀπέχων τὸ νῦν ἐχούσας τοῦ ὕδατος τὴν εἰσβολὴν καὶ ὅσον τι κόσμου

1 — 34. usque ad vocabulum Ἀπόλλων ex Γ primus edidit Bandinius in Catalogo vol. II. p. 586. 587. qui *longius*, inquit, *progredi volebamus, sed characterum forma prorsus evanida oculos eludebat*: denuo comparavit et relicua inde ab χορηγὸν eruit Franciscus de Furia. Idem fragmentum in codice quodam Vaticano est, de quo Maius in Collectione sua vol. I. p. 41. haec retulit „Ego quum in Vaticana bibliotheca Aristidis codices perlustrarem reperi idem prorsus fragmentum in aeque antiqui codicis folio ultimo; ex quo etiam cognovi orationem hanc non idcirco esse mutilam quia folia desint, sed quia reapse antiquus amanuensis nihil amplius quod scriberet habuit: cessat enim scriptura in medio versu. Itaque vel Aristides numquam hunc sermonem absolvit, vel partis reliquae detrimentum antiquius est omni codice, qui ad hanc diem superest. Atque eadem prorsus observatio de sexto quoque Aristidis sermone inter sacros valet, qui aeque imperfectus est in cunctis, qui passim occurrunt, codicibus. Titulus novi fragmenti est tum in Florentino tum in Vaticano codice πανηγυρικὸς ἐπὶ τῷ ὕδατι ἐν περγάμῳ. Nunc quia Bandinius extremam partem omisit, eam quantumlibet tenuem heic ponere non incongruum est, Ἀνεμιμνησκόμην — ἐξαισίων."

1 Ὁμήρῳ] Iliad. δ, 455.

προσγέγονε τῇ πόλει, οὐχ οἷός τε ἦν ἡσυχάζειν ὑφ' ἡδονῆς, ἀλλ' ἐφθεγγόμην τε ἃ ἐφθεγγόμην καὶ τοῦ σώματος ᾐσθανόμην ἐλαφροτέρου καὶ χαρᾶς ἀπῆν οὐδέν. δυοῖν δ' ἡμέραιν πρότερον πρὶν ἀκοῦσαι· οὐ γὰρ χεῖρον ἴσως καὶ ὑμᾶς εἰπεῖν· ἀκούσεσθε γὰρ ἡδέως τοῦ θεοῦ χάριν τὰ προδείξαντος καὶ ἅμα τῆς εὐφημίας· ὄψις ὀνειράτων γενομένη μοι ὡσπερεὶ διπλασίαν ἐδείκνυε τὴν πόλιν, χώρας τε δή τινος προσθήκῃ πεπορισμένου συνεχῶς πρὸς αὐτῇ καὶ δημοσίων δὴ κόσμων προσγενομένων παραπλησίων μάλιστά πως τοῖς περὶ τὸν φίλιον. διὰ ταῦτ' οὖν ὄναρ τε ἐγανύμην καὶ ἐπειδὴ ἀνέστην, ἐλάμβανον εἰς ἀγαθὸν τῇ τε πόλει καὶ ἐμαυτῷ. τριταία δὲ ἐπὶ τούτοις ἀγγελία παρ' ἀνδρὸς τῶν ἐπιτηδείων ἀφικνεῖται φράζουσα καὶ δὴ πάσαν ὑμῖν τὴν Ἀσίαν συνεορτάζειν τῆς περὶ πάντα ἀγαθῆς τύχης. εἶναι γὰρ τὸ ὕδωρ πλήθει τε πλεῖστον καὶ κάλλιστον ὅσων ἔλαχον πόλεις. ἦγον οὖν οὐχ ὅσον ἡρωϊκὴν ἡμέραν, ἀλλ' οἵαν εἰκὸς ἄγειν Διός τε εὐαγγελίου καὶ Ἀσκληπιοῦ σωτῆρος πανταχῇ τιμῶντος. καὶ συνέχαιρον μὲν τῇ πόλει μὲν τῶν προσγεγονότων, ἐμαυτῷ δὲ ὡς ἠξιώθην προακοῦσαι, δῆλον ὅτι ὡς οὐδενὸς ἧττον ἐμοὶ τῆς πόλεως προσῆκον. μετὰ δὲ τοῦτο ἐλογιζόμην ὡς τὸ μὲν χαίρειν κοινὸν ἁπάντων καὶ ἀνδρῶν καὶ παιδαρίων καὶ γυναικῶν ἅτε τῆς ὄψεως προξενούσης τὴν ἡδονήν, λόγῳ δὲ ἐπικοσμῆσαι τὴν τῶν Νυμφῶν δόσιν τάχα ἂν τινος εἴη τῶν περὶ τὸν Παιᾶνα διατριψάντων καὶ τῶν ἐπιταχθέντων τῶν ἐν λόγοις. ἀνεμιμνησκόμην δὲ τῶν ποιητῶν, ὅτι Νύμφας καὶ Μούσας ἀεί πως συνάγουσι. καὶ τὸν Ἑρμῆν ὡς χορηγὸν ἀεὶ προσαγορεύουσι τῶν Νυμφῶν· καὶ πάλιν τὸν Ἀπόλλωνα χορηγὸν Μουσῶν· ὁ δ' αὐτὸς οὗτος ὑμῖν θεὸς καλλιτέκνου προσηγορίαν εἶχε, τοῦ πατρὸς ἕνεκα. ἀπαν-

6 προσγέγονε] προσγέγονεν Γ. 30 ἐπιταχθέντων] Quae sequuntur ab alia manu in imo margine sunt suppleta. Bandin. 31 τῶν eruit de Furia: lacunam posuit Bandinius. 32 ἀεί πως codex Vaticanus. ὡσαύτως Γ apud Furiam: εἰκότως apud Bandinium. 33 ἀεὶ] αἰεὶ Γ apud Furiam: αὐτῶν apud Bandinium. αὖ Vaticanus. γε habet Vaticanus: om. Γ. 34 ὑμῖν add. Γ: om. Vaticanus. 35 καλλιτέκνου] Huic deo, cognomento callitecno, templum erat Pergami dicatum. Aristid. serm. sacr. II. tom. I. p. 294. ed. Iebb. Iam hic

Digitized by Google

ταχῇ δὴ πρέπον τε καὶ οὐκ ἄωρον ἐφαίνετο τῇ τῶν Νυμφῶν χάριτι συγκεράσαι τὴν παρὰ τῆς μουσικῆς. πᾶσι γὰρ ἂν προσήκοντα πράττειν οἷς εἶπον θεοῖς. ἐξ ἀρχῆς δ', ὡς ἔοικε, τὰ κάλλιστα ἐδόθη τῇ πόλει καὶ παρὰ θεῶν καὶ παρὰ ἀνθρώπων. τοῦτο μοι πρεσβύτατοι δαιμόνων ἐνταῦθα λέγονται γενέσθαι Κάβειροι, καὶ τελεταὶ τούτοις καὶ μυστήρια, ἃ τοσαύτην ἰσχὺν ἔχειν πεπίστευται ὥστε χειμώνων τε ἐξαισίων ......

---

Aristidis locus idoneus videtur definiendae inter Canterum et Iebbium liti, quisnam fuerit hic deus callitecnus: qua de re vide Iebb. adn. ad l. l. Mai. ἕνεκα] Codices εἵνεκα. 36 δὴ πρέπον Vaticanus. διαπρέπων Γ. ἐφαίνετο in Γ legi non potest. 37 συγκεράσαι] συγ . . . . . σαι Γ. 38 ἂν προσήκοντα] α . . . . . . οντα Γ. 39 ἔοικε] ἔοικεν Γ. 40 τοῦτο μοι] τοῦτο μὲν, cui in sequentibus τοῦτο δὲ responderit, Grauertus. 41 ἐνταῦθα Γ. ἐνταυθοῖ Vaticanus. Κάβειροι] κ . . . . . . οι Γ. En Cabirorum cultum Pergami quoque frequentatum. Cabiros daemonas diserte aiunt Apollonius Rhod. I. 921. et Suidas, nec non Nicetas ad Nazianz. or. XXXIX. 5. Cabiris vero initiatos a marinis nominatim tempestatibus servari solitos diserte tradunt scholiastae Graeci duo, nempe ad Aristoph. Pac. v. 277. et ad Apollon. I. 917. In multis qui de Cabirorum religione scripserunt video nuperum auctorem Federicum Rinckium, cuius eruditus ad Cabirorum quandam inscriptionem commentarius Venetiis editus est an. MDCCCXX. Mai. Huic annotationi Maius subiecit notitiam scholiorum Vaticanorum:

*Bibliothecae manuscriptorum ad orationes Aristidis scholia multa continent, quorum laudes meritas cum summorum hominum testimoniis prosecutus est Morellius praef. p. XXI. seqq.; eaque habent auctorem partim saltem Metrophanem Phrygium, ut Suidas et Eudocia tradunt, partim vero Aretham quendam, ut nunc codex Vaticanus docet. Eorumdem scholiorum complura excerpta ad Panathenaicam orationem atque ad Platonicas vulgavit Samuel Iebbius; ita tamen ut pars adhuc longe maxima in mss. inedita delitescat: id quod ego collatione codicum Vaticanorum satis compertum habeo. Quum autem spatii aliquid in hac pagina esse videam, scholia nonnulla, quanta illi explendo sufficiunt, ad orationes duas speciminis ergo scribam.*

Ad orationem I. Platonicam pro rhetorica.

Iebb. tom. II. p. 1. Τὸ προοίμιον ἔλαβεν ἀπὸ συστάσεως τοῦ ἰδίου προσώπου, ὡς ὀφείλοντος πιστεύεσθαι, κἂν πρὸς παλαιότερον ἀγωνίζη-

Digitized by Google

ται· ἰστέον δὲ ὅτι πρὸς δύο ἰσχυρὰ μαχόμενος ὁ Ἀριστείδης τήν τε τοῦ πράγματος ἀλήθειαν, καὶ τῶν προσώπων τὸ ἔνδοξον, τεχνικῶς τὸν λόγον μεταχειρίζεται· πρῶτον γὰρ τὸ μὲν ἔνδοξον τοῦ προσώπου διὰ τοῦ προοιμίου καθαιρεῖ, τὸν δὲ τοῦ πράγματος λόγον τοῖς ἀγῶσι φυλάττει·

P. 3. v. 8. *Καλλαίθυιαν*·) Τινὲς λέγουσι τὴν Πάνδωραν αὐτὴν λέγειν· πρώτην γὰρ αὐτὴν πεπλάσθαι λέγει Ἡσίοδος· ἄλλοι δὲ λέγουσιν ἀργείαν ἱερείαν εὐπρεπεστάτην.

P. 19. v. 5. *Τῷ κατ' Αἴγυπτον θεῷ*·) Τινὲς λέγουσιν αὐτὸν λέγειν πάλιν τὸν Ἀσκληπιὸν τὸν εἰς Μέμφιν τιμώμενον· κακῶς· δὲ λέγουσιν· οὐ γὰρ ἤμελλε τὸν αὐτὸν ἐπάγειν, ἀνάγκη ἄνω διέστελλε, καὶ ἔλεγεν αὐτὸν ἐν Περγάμῳ· ἔστι δὲ πόλις αὕτη τῆς Ἀσίας· ἀλλ' ἴσως ἄλλον θεόν τινα λέγει ἐν Αἰγύπτῳ τιμώμενον.

P. 53. v. 4. *Τεκμαίρομαι ἔργοισιν Ἡρακλέους*·) Τὰ λοιπὰ τῆς χρήσεως ἦν οὕτω· ἐπεὶ Γηρυόνου βόας κυκλωπείων ἐπὶ προθύρων Εὐρυσθέως ἀναιρεῖται, καὶ εἰ ἀπριάτας ἤλασεν. ἡ μὲν οὖν χρῆσις οὕτως, ὁ δὲ νοῦς τοιοῦτος· ἐπειδὴ τὰς τοῦ Γηρυόνου βόας οὔτε αἰτήσας οὔτε πριάμενος ἤλασεν εἰς τὸν οἶκον τοῦ Εὐρυσθέως· τὸ γὰρ κυκλωπείων ἐπὶ προθύρων σημαίνει τὸ Ἄργος· ἐπειδήπερ οἱ κύκλωπες ἐξ ἀρχῆς ἐτείχισαν αὐτὸ οἱ καλούμενοι χειρογάστορες, παρὰ τὸ ἐκ τῶν χειρῶν ζῆν· τρία γὰρ γένη φασὶν εἶναι κυκλώπων, τοὺς κατὰ τὸν Ὀδυσσέα σικελικούς, καὶ τούτους τοὺς χειρογάστορας, καὶ τοὺς καλουμένους οὐρανίους. κ. τ. λ.

## Ad orat. περὶ ἐξορχουμένων.

P. 401. initio or. *Οὗτος ὁ λόγος πάντων τῶν ἐκ τοῦ αὐτοῦ στήθους* προκέκριται τοῖς ἐπιστήμοσι.

P. 408. v. 15. *Ἀθηνᾶν τὴν ἐλεφαντίνην*·) Ἀρέθ. Δοκεῖ μοι αὕτη ἐστὶν ἡ ἐν τῷ φόρῳ Κωνσταντίνου ἀνακειμένη καὶ τοῖς προπυλαίοις τοῦ βουλευτηρίου, ὃ σενάτον φασὶ νῦν· ἧς ἀντικρὺ ἐν δεξιᾷ εἰσιοῦσι τῶν προπυλαίων καὶ ἡ τοῦ Ἀχιλλέως ἀνάκειται Θέτις, καρκίνους τὴν κεφαλὴν διαστεφής· ὧν οἱ νῦν ἰδιῶται τὴν μὲν γῆν φασὶ τὴν Ἀθηνᾶν, θάλασσαν δὲ Θέτιν, τοῖς ἐν τῇ κεφαλῇ ἐνύδροις ἐξαπατώμενοι κνωδάλοις. κ. τ. λ.

Digitized by Google

# APPENDIX

Digitized by Google

Aristidis qui fertur artem rhetoricam primum edidit Aldus Manutius inter rhetores Graecos. Eius exemplum locis plurimis emendatis repetiit Laurentius Norrmannus, cuius editionem Lebbius rursus ita expressit ut nullam usquam ipse faceret mutationem: quamobrem solum Norrmannum commemoravi, Lebbium omisi. Ceterum scriptionem vilissimam, praeterquam quod exemplar Norrmanni ad Aldinum exegi, ego non dignam iudicavi cui operam et tempus insumerem: accuratius tractandam et cum aliorum rhetorum commentis comparandam fortasse sibi sumet futurus collectionis Aldinae instaurator. Codicis Guelferbytani, qui est inter Gudianos decimus quartus, aliquoties mentionem fecit Schneiderus in annotatione ad Xenophontis Convivium et Agesilaum, nihil inde depromens quod libri inspiciendi desiderium mereat: nam quae nova ex eo afferre sibi visus est, maximam partem in editione Aldina leguntur, quam inspicere neglexit Schneiderus. Neque membranaceus est ille codex, quod perhibet Schneiderus, sed chartaceus recentissimus et ipsa editione Aldina fortasse recentior.

---

Digitized by Google

# ΑΡΙΣΤΕΙΔΟΥ
## ΤΕΧΝΩΝ ΡΗΤΟΡΙΚΩΝ Α'.

### [641 Ald.] ΠΕΡΙ ΠΟΛΙΤΙΚΟΥ ΛΟΓΟΥ.

*Τάδε σοι περὶ τῶν εἰδῶν καὶ ἀρετῶν ἐξ ὧν συνίσταται*

---

*ΤΕΧΝΩΝ ΡΗΤΟΡΙΚΩΝ Α* addidit Norrmannus.

438, 1 *Τάδε σοι περὶ τῶν εἰδῶν καὶ ἀρετῶν*] ubi, quod nemo nescit, commodum aliquod subaudiendum est verbum, *ἐγράψαμεν*, *ἢ ἄλλο τι ταυτοσήμαντον*. verum *ἀντὶ τοῦ εἰδῶν* nostrum *ἰδεῶν* scripsisse crediderim, eoque potissimum respicere quod mox subsequitur *αἵτινες τοιαίδε καὶ τοιαίδε εἰσί*. quomodo et alibi loquitur p. 290 *B. a.* et initio libri sequentis. Eodem et alii vocabulo suas huius argumenti *πραγματείας* inscripserunt, ut Hermogenes, qui in duobus *περὶ ἰδεῶν* tomis, luculentis sane et egregiis, quanquam dissimulat, Aristidi nostro multa debet. et Tiberius apud Suidam. Porro quoniam pertractatis duodecim civilis orationis ideis sive adfectionibus, etiam de *συνθέσει* atque *παραφράσει* noster agit, easdem, sed nota quapiam a superioribus secretas, in catalogo idearum subiecimus. quae cum suapte indole ac natura, tum peculiari tractandi ratione, facile a reliquis distinguuntur. Caeterum ut adfectiones istas stili oratorii noster numero duodecim facere videtur, ita pro arbitrio iudicioque quique suo plures pauciores que rhetores alii faciunt, quippe anxia ac scrupulosa scholae philosophicae subtilitate ac cura soluti, ingenuam quandam suoque gaudentem iure cum in dicendo tum docendo libertatem sibi vindicant. Sed inprimis tamen Hermogenica idearum hebdomas frequentari solet, nempe *σαφήνεια*, *μέγεθος*, *κάλλος*, *γοργότης*, *ἦθος*, *ἀλήθεια*, *δεινότης*. quarum nonnullae mox in suas sive partes sive species distribuuntur: *σαφήνεια* in *καθαρότητα* atque *εὐκρίνειαν* diducitur. *μέγεθος* ut nominis sui decus dignitatemque tueretur, longe lateque propagatis imperii finibus senas in species diffusum est,

ὁ πολιτικὸς λόγος, καὶ δι' ὧν δοκιμάζεται, καὶ πολλοῦ ἄξιος προσάγεται· ὥσπερ ἐκ μερῶν καθ' ἕκαστον συντιθέμενος, πανταχόθεν ὁλόκληρος καὶ τελείως ἔχων αὐτὸς ἐν ἑαυτῷ· αἵτινες τοιαίδε καὶ τοσαίδε εἰσί· σεμνότης, τραχύτης, περιβολὴ, ἀξιοπιστία, σφοδρότης, ἔμφασις, δεινότης, ἐπιμέλεια, γλυκύτης, σαφήνεια καὶ καθαρότης, κάλλος, βραχύτης καὶ συντομία, σύνθεσις, παράφρασις.

## Περὶ σεμνότητος. Α'.

α. Ἡ μὲν οὖν σεμνότης καθολικῶς συνίσταται τριχῇ, κατὰ γνώμην, κατὰ σχῆμα καὶ κατὰ ἀπαγγελίαν· γνώμην δὲ λέγω τὸν νοῦν καὶ τὰ ἐπινοήματα, ἐν οἷς εὑρίσκεται τὰ πράγματα· σχήματα δὲ τὸν τύπον τοῦ λόγου, ἐν ᾧ ἐκφερόμενα τὰ νοήματα ἤτοι τοιόνδε ἢ τοιόνδε τὸν λόγον φαίνεσθαι ποιεῖ. καὶ ταῦτα τὰ πλείστην δύναμιν ἔχοντα ἐν τῷ λόγῳ καὶ ὅσην τὰ ἔμψυχα καὶ κινούμενα παρὰ τὰ

---

σεμνότητα, περιβολὴν, τραχύτητα, λαμπρότητα, ἀκμὴν, σφοδρότητα, nec minore regionum spatio numeroque contentum ἦθος erat. itaque illi ἀφέλειαν, γλυκύτητα, δριμύτητα, ἐπιείκειαν ac βαρύτητα subiecere, nonnulli etiam ἀλήθειαν. ut iam sex omnino ideae principales, speciales quatuordecim, universae, sepositis iis tribus, quae in species suas divisae, citra illas nusquam existunt, decem et septem numero essent. Quemadmodum ex Hermogene ipso satis apparet, qui fuse admodum copioseque formas hasce omnes sigillatim pertractat. Hermogenis, ut solet, vestigiis insistit Georgius Trapezuntius, in quinto rhetoricorum. neque aliter συνοπτικῆς παραδόσεως τῆς ῥητορικῆς auctor, Matthaei Camariotae nomine ab Hoeschelio editus, nisi quod tria veluti summa formarum genera, σαφήνειαν, μέγεθος, ἦθος constituere mavult, quibus sua deinceps serie species easdem attribuit. His adde Sturmium de Elocut. III, 6. Iovitam Rapicium de numero oratorio lib. II. et qui rem totam accuratiore statera examinant, Iul. Scaligerum Poet. IV, 1. et Ger. Ioh. Vossium Instit. Orat. VI, 7. Norrm. 3 προσάγεται] F. προάγεται. Norrm. 7 σύνθεσις, παράφρασις uncis inclusit Norrm. 10 ἀπαγγελίαν Norrm. Vulgo ἐπαγγελίαν. κατὰ γνώμην, κατὰ σχῆμα καὶ κατὰ ἀπαγγελίαν] Tria isthaec toto hoc libello per ideas plerasque omnes magna diligentia noster explicat. Quibus rhythmum hoc capite p. 178. et initio libelli sequentis adiungit. at plura omnino Hermogenes in de ideis I, 2. et Camariota exigunt, nimirum ἔννοιαν, μέθοδον, λέξιν, σχῆμα, κῶλον, συν-

Digitized by Google

ναντίως ἔχοντα· ἀπαγγελίαν δὲ λέγω αὐτὴν τὴν λέξιν δι' ἧς ἀπαγγέλλεται τὰ ἐπινοήματα.

β'. Κατὰ δ' οὖν γνώμην σεμνὸς ἔσται σοι λόγος ἐκ τῶν προτετιμημένων ἐννοημάτων· προτετιμημένα δέ ἐστιν ἑνὶ λόγῳ, ὅταν τις ἐνδόξοις πράγμασι χρῆται, καὶ περὶ ἐνδόξων τι λέγηται· καὶ ὅσα σπάνιά ἐστι καὶ παλαιά. ἔνδοξα δέ ἐστι πρῶτα μὲν τὰ τῶν θεῶν, οἷον ὅταν εἰς τὰ θεῖα ἐπανάγῃς τὰς ἐννοίας, θεῶν εὔνοιαν, τύχης χρηστότητα· οἷον „Ἐπὶ πολλῶν ἄν τις ἰδεῖν δοκεῖ μοι τὴν παρὰ τῶν θεῶν εὔνοιαν·“ καὶ ὅσα τοιαῦτα.

γ'. Καὶ τῶν ἀνθρωπίνων δὲ, ὅταν εἰς τὰ προτετιμημένα ἄγῃς· τὸ τιμᾶν γονέας, προγόνους, τοὺς πρώτους καταστήσαντας τὰ νόμιμα· καὶ ἑτέροις τὰ αὐτὰ παραινεῖν. καὶ ὅλως τὰ ἐν τῷ βίῳ προτετιμημένα, καὶ ταῦτα σεμνότητος μετέχει, οἷον ἐλευθερία, σωφροσύνη, δικαιοσύνη· ὅταν λέγῃς „Ὅρον καὶ κανόνα τῆς εὐδαιμονίας τὴν ἐλευθερίαν,“ καὶ τὰ ἐξ αὐτῆς πεποιημένα· καὶ ὅλως (168)
μυρία ἄν τις ἔχοι τοιαῦτα λέγειν, ἃ καὶ δῆλά ἐστι πᾶσι τοῖς ἐντὸς ἅπαξ τῆς θεωρίας ταύτης.

δ'. Καὶ τὰ τοιαῦτα σεμνότητος μετέχει· ὅταν περὶ βίου καὶ θανάτου διεξέρχῃ· οἷον „Πέρας μὲν γὰρ ἅπασιν ἀνθρώποις τοῦ βίου θάνατος·“ ἢ ὅταν λέγῃς καὶ φύ-

---

θήκην, ἀνάπαυσιν, ῥυθμόν. NORRM. 15. 16 προτετιμημένων et προτετιμημένα Norrm. προστ — Ald. 17 τι λέγηται] Fort. διαλέγηται. NORRM.

439, 1 Ἐπὶ] Demosth. Olynth. II. init. Semel moneo Demosthenis aliorumque locos ab Norrmanno esse indicatos: qui quas ex libris vulgatis introduxit scripturas, ego plerumque tacito rursus expuli revocatis Aldinis, quantumvis interdum vitiosis. 4 παραινεῖν] Forte legendum παραινῇς. NORRM. 6 Ὅρον] Demosth. de Corona XCI. 9 διεξέρχῃ Norrm. διεξάρχῃ Ald. 10 Πέρας] Demosth. de Cor. XXVIII. conf. πρὸς Εὐβουλίδην 886 b. καὶ διορίζῃς Iebb. καὶ καὶ διορίζῃς Ald. Norrm. „καὶ geminatum nonnihil excidisse indicat. sed et cetera huius sequentisque tmematis male hiulca ac luxata sunt. mox fine commatis posita vocula ἐν Demostheni ex nostro haud dubie reddenda est.“

Digitized by Google

σει διαιρῇς καὶ διορίζῃς, οἷον „Οὐ γὰρ γένος ἐστὶ φίλων καὶ πολεμίων ἕν."

ε'. Εἷς δ' ὁ μέγιστος κίνδυνος ἐν τῷ πολιτικῷ λόγῳ ἢ ἐπακολουθήσαντα καὶ ἐπισπασθέντα τῇ φύσει τῶν ἐννοημάτων, καὶ καθάπαξ ἀποστάντων τῶν ὑποκειμένων, διαφθεῖραι δὲ τὸ δόκιμον τοῦ λόγου καὶ ὑπόκενον ἐργάσασθαι καὶ γενέσθαι παρόμοιον τοῖς μετεωρολόγοις [641] τῶν σοφιστῶν, ἢ τὸ μέτρον τὸ ἐν τούτοις ἐπισκεψάμενον, εἰς ὅσον ἐξαίρεται ὁ ἀγωνιστικὸς λόγος καὶ οἷστισιν συμμιγνύμενος οὐκ ἀμοιρεῖ ἐν τοῖς ὅροις τοῦ ἀγωνιστικοῦ μένειν τὴν σεμνότητα καὶ μὴ διαμαρτεῖν. ταῦτα μὲν οὖν ἐν τοῖς διακούουσι.

ς'. Νῦν δὲ ἐπανέλθωμεν ἐξ ὧν συνίσταται ἡ σεμνότης ἡ ἀκινδυνοτέρα· ταῦτα δέ ἐστιν αἵ τε ἔνδοξοι πράξεις καὶ τὰ διανοήματα καὶ τῶν ἔργων τὰ σπανιώτατα
440 καὶ παραδοξότατα· οἷον τὸ τὸν Ξέρξην ἐπινοῆσαι τὸν Ἑλλήσποντον ζεῦξαι καὶ διορύξαι τὸν Ἄθων καὶ πλεῦσαι καὶ Ἀθηναίους ὑπομένειν ἐκλείπειν τὴν πόλιν καὶ εἰς τὰς ναῦς ἐμβῆναι. καὶ Λακεδαιμονίους βασιλεῖ πύλας ἀποκλεῖσαι. μεγάλα γὰρ ταῦτα καὶ σεμνότητος ἔργα καὶ τὰ διανοήματα· καὶ ταῦτα εἰκότως καὶ τὸν λόγον εἰς σεμνότητα ἐξαίρει.

ζ'. 1. Παραδείγματος δὲ ἕνεκα ἔστω νόημα αὐτὸ καθ' αὑτὸ ἐκ τῆς ἐννοίας σεμνότητος μετεσχηκὸς „Οὐ μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας τῶν προγόνων καὶ

---

NORRM. 11 Οὐ] Demosth. Aristocrat. 733 f. 12 ἢ] ἢ Ald. Iebb. „Leg. μή." NORRM. 13 τῶν ὑποκειμένων] Fort. τοῦ ὑποκειμένου. NORRM. 14 δὲ] δὴ Norrmannus. 16 λόγος καὶ Norrmannus. λόγος ἐν Ald. 17 Nunquam satis mihi probari potuit τὸ διακούουσι, cuius loco, si res mei arbitrii sit, διακινδυνευομένοις, aut ἐπικινδύνοις οὖσι, aut simile quiddam reponam. NORRM.

440, 1 τὸ τὸν Ξέρξην] Vide quae de hoc rhetorum campo, ut Tullius appellat, disputat Cresollius Theatro veterum rhetorum VII, 8. NORRM. 3 τὰ διανοήματα] τὰ delet Norrm.
6 Οὐ μὰ] Demosth. περὶ στεφάνου ξ'. μὰ τοὺς ἐν Μαραθῶνι] Demosthenicam hanc κατὰ τῶν μαραθωνομάχων iurisiurandi formulam mirifice commendant ac mirantur veteres dicendi magistri Quinctilianus IX, 2. et XII, 10. Longinus περὶ ὕψους sect. 15. et

τοὺς ἐν Πλαταιαῖς παραταξαμένους.“ ἐνταῦθα γὰρ τὸ μὲν ζητούμενον ἦν εἰ δέον ἢ οὐ δέον ἡ πόλις ἐκινδύνευσεν ἐν Χαιρωνείᾳ· εἰ ἡμάρτηται τὸ προελέσθαι τὸν πόλεμον τοῦτον, ἢ οὔ· ταὐτό ἐστι τὸ ζητούμενον· καὶ τὸ κατασκευαστικὸν γέγονεν· οὐχ ἡμάρτηται· ὅτι οὐδ' οἱ πρόγονοι ἥμαρτον οἱ ἐν Μαραθῶνι προκινδυνεύσαντες· τὸ δὲ καὶ ὀμόσαι ὡς κατὰ θεῶν τῶν προγόνων, τοῦτο ἔχει τὴν ὑπερβολὴν τῆς σεμνότητος· οὐ μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας τῶν προγόνων. 2. Δῆλον δὲ ὅτι ἐν τοῖς ἐνδόξοις καὶ καθ' ὑπερβολὴν τῶν ἀγώνων ὁ καιρὸς τῶν τοιούτων ἐννοημάτων, οὐχ ὅταν βλάβης ἢ ἄλλου τινὸς (172) τῶν φαυλοτάτων κρίνωμέν τινα, ἢ κρινώμεθα· φαίη δ' ἄν τις καὶ τὸ τοῦ ὅρκου σχῆμα εἶναι πᾶν· αὐτὸ γὰρ τὸ „Οὐ μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας“ οὐκ ἔστιν ὅρκος, ἀλλὰ παράδειγμα· οἷον οὐχ ἡμαρτήκατε τὸν ὑπὲρ τῆς ἁπάντων ἐλευθερίας καὶ σωτηρίας ἀράμενοι κίνδυνον, ὥσπερ οὐδ' οἱ ἐν Μαραθῶνι προκινδυνεύσαντες· καὶ γάρ ἐστιν ὅμοιον τῷ τὸν ὑπὲρ τῆς ἁπάντων σωτηρίας κίνδυνον ἄρασθαι τὸ ἐν Μαραθῶνι προκινδυνεῦσαι. τὸ μὲν οὖν πρᾶγμα εἰς παραδείγματα, ἀντὶ τοῦ εὐθέως εἰπεῖν ἐσχημάτισε, πρός τε τὸ λαμπρὸν ἅμα καὶ ἀξιόπιστον εἰς ὅρκου φαντασίαν μεταβαλών.

η'. Καὶ τὸ ἀρχαιολογεῖν δὲ σεμνότητος· οἷον „Λογιζόμενοι δὲ ὅτι μητέρα Ὀρέστης ἀπεκτονὼς εὐμενῶν θεῶν δικαστῶν τυχὼν ἀποφυγγάνει.“ κατὰ γνώμην μὲν οὖν οὕτω γίνοιτ' ἂν σεμνότης.

---

16. Hermogenes περὶ ἰδεῶν I, 9. et II, 3. et methodo eloquentiae XX. Tiberius de schematibus Demosthenis fine, qui sua ex hoc Aristidis nostri loco tacitus sublegit. Neque hoc tamen antiquioris saniorisque seculi iudicium elegantissimum Balzacium ab huius formulae vellicatione deterruisse ad Longinum observat Langbaenius p. 78. Norrm. 7 ἐν Πλαταιαῖς Norrm. ἐμπλαταιαῖς Ald. 13 Legebatur κρίνομεν et κρινόμεθα. 14 πᾶν] Fort. παράδειγμα. παρ' αὐτῷ habet Tiberius schemat. p. 197. Norrm. 16 οὐδ' ex Tiberio addidit Norrm. 18 πρᾶγμα — ἀντὶ τοῦ] παράδειγμα ἐποίησεν, ἀντὶ δὲ τοῦ Tiber. Norrm.

441, 1 Λογιζόμενοι] Dem. c. Aristocrat. 737 b.

**Β'. α'. Κατὰ σχῆμα δὲ οὕτως. ὅταν ἀποφαντικῶς τις χρῆται τοῖς σχήμασιν, ὡς ἐν τῷ κατὰ Ἀριστογείτονος ὁ Δημοσθένης „Ἅπας ὁ τῶν ἀνθρώπων βίος, ἄν τε μικρὰν ἄν τε μεγάλην πόλιν οἰκῶσι, φύσει καὶ νόμοις διοικεῖται."**

β'. 1. Ἢ ὅταν ἀποστάσεσί τις χρῆται· ἔστι δὲ ἡ φύσις τοῦ σχήματος τῆς ἀποστάσεως τοιάδε τις· ὅταν τοῦ συμπλέκειν κατὰ τὸ ἑξῆς καὶ συναρτᾶν ἀλλήλοις ἀποστάντες εἰς ἀρχὴν ἰδίαν ἐπανάγωμεν· ὥστε τὸ συνημμένον τῶν ἐννοημάτων χωρισθὲν ἀποστῆναι· ὡς ἐν τοῖς Φιλιππικοῖς, ἐν τῷ κατὰ Φιλίππου, τὸ μὲν κατασκευαζόμενον, δεινὰ ποιεῖ Φίλιππος· τάδε γὰρ ποιεῖ καὶ τάδε· οἷον „Θετταλίαν καταδεδούλωται· αἱ δ' ἐν Εὐβοίᾳ πόλεις ἤδη τυραννοῦνται· ἐφ' Ἑλλήσποντον οἴχεται· πρότερον ἦκεν ἐπ' Ἀμβρακίαν· Ἦλιν ἔχει τηλικαύτην πόλιν ἐν Πελοποννήσῳ." καὶ αὐξητικόν· καὶ τοιαῦτα ποιοῦντος οὐδεὶς κωλύει τῶν Ἑλλήνων· ἐν οἷς λέγει „Καὶ ταῦτα εἰδότες οἱ Ἕλληνες οὐ πέμπομεν πρέσβεις περὶ τούτων καὶ ἀγανακτοῦμεν·" ἐν τέλει· ὥστ' ἐκείνου ποιοῦντός τι αὐτοὶ ποιοῦμεν. καὶ τὸ αὐξητικὸν ἐκ διαφορᾶς· καὶ ταῦτα τῶν προγόνων· οὐχ ὅπως τοῖς βαρβάροις τι τούτων συγχωρούντων, ἀλλ' οὐδὲ τῶν Ἑλλήνων τοῖς ἐνδοξοτάτοις, οὐ Λακεδαιμονίοις, οὐκ Ἀθηναίοις, οὐ τὰ τελευταῖα Θηβαίοις. 2. Εἶτα ἡ αἰτιολογία ἐπὶ πᾶσι „Τί οὖν τὸ αἴτιον τούτων;" ἐνταῦθα πρόσεχε ἤδη τῷ τῆς ἀποστάσεως σχήματι· σαφηνείας γάρ σοι ἕνεκα πρότερον πάντα ἐπεξῆλ-

---

4 ἀποφαντικῶς] F. ἀποφαντικοῖς. Norrm. 5 κατὰ Ἀριστογείτονος] P. 830 d. 8 συναρτᾶν Norrmannus. Vulgo συναντᾶν. 9 Quae de artibus victoriisque Philippi Graecorumque veterno ac somnolentia ex Philippica III. Demosthenis adferuntur, ea perquam facunda pulcraque imitatione usurpat ac exaggerat noster oratione priore de societatate Atheniensium et Thebanorum p. 240. 241. 242. Tom. II. quemadmodum ipsam ἀποστάσεως figuram p. 176. v. 1. τί οὖν τὸ αἴτιον τούτων, et quae sequuntur. Idem Leuctrica prima ὑπὲρ Λακεδαιμονίων p. 103. felici sane ac decoro artificio aemulatus est. Norrm. 10 κατὰ Φιλίππου] III. p. 89 d. e. 15 Scr. ταῦτα ποιοῦντος καὶ αὐτοὶ τί ποιοῦμεν. Norrm. 18 Τί οὖν] P. 90 e.

Digitized by Google

θου· εἰ μὲν [643] συμπλέξας τὸ κατασκευαστικὸν νόημα ἐβούλετο ἐξενεγκεῖν, οὕτως ἂν ἐποίησεν· ὅτι ἐκεῖνοι μὲν τοὺς παρὰ τῶν ἄρχειν βουλομένων, ἢ διαφθείρειν τὴν Ἑλλάδα, χρήματα λαμβάνοντας ἅπαντες ἐμίσουν, οὗτος δὲ οὐχ οὕτως, ἀλλὰ διακόψας τὴν συμπλοκὴν τῶν νοημάτων καὶ ἀποστήσας ἀπὸ τοῦ συνῆφθαι αὐτὸν αὐτῷ, εἰς ἀρχὴν ἀναγαγὼν λέγει „Ἦν τι τότε, ἦν ὦ ἄνδρες Ἀθηναῖοι ἐν ταῖς τῶν πολλῶν διανοίαις· τί ἦν τοῦτο; τοὺς παρὰ τῶν ἄρχειν βουλομένων ἢ διαφθείρειν τὴν Ἑλλάδα χρήματα λαμβάνοντας ἅπαντες ἐμίσουν.“ 3. Εἶτα ἕτερον ἐγίνετό τι κατὰ τὸ σχῆμα, καίτοι ἓν καὶ τὸ αὐτὸ ἐννόημα ὄν, ἐάν τε συμπλέξας εἴπω· τί οὖν τὸ αἴτιον τούτων; ὅτι ἐκεῖνοι μὲν οὐχ οὕτως διενοοῦντο· ἐάν τε καὶ ἀποστάσει χρησάμενος ἐπαναγάγω· ἦν τι τότ', ἦν ἐν ταῖς τῶν πολλῶν διανοίαις. 4. Καὶ ἑτέρωθι δὲ ἐν ἐπαγγελίᾳ χρησάμενος „Λέξω δὲ μετὰ παρρησίας· καὶ γὰρ οὐδ' ἂν ἄλλως δυ- (178) ναίμην,“ εἶτα ἀποστήσας ἐπάγει „Πάντες ὅσοι πώποτε ἐκπεπλεύκασι παρ' ἡμῶν στρατηγοί.“ 5. Κἀκεῖνα δὲ ἀποστάσεως τὰ σχήματα. „Καλὸν, ὦ ἄνδρες Ἀθηναῖοι, καλὸν ἡ τῶν δημοσίων πραγμάτων φυλακή·“ κἀκεῖνο ἀντικείμενον τούτῳ „Μιαρὸν ὦ ἄνδρες Ἀθηναῖοι, μιαρὸν τὸ θηρίον καὶ ἄμικτον.“ 6. Οὐχ ὅτι δὲ καὶ ἄλλα μυρία

---

442, 3 ἀποστήσας] τὸν λόγον addit Norrm. αὐτῷ Norrm. αὐτῷ Ald. ἀρχὴν] Addo ἰδίαν, ut supra β', 1. 4 τί ἦν Ald. τί οὖν ἦν Norrm. 8 ἐπαναγάγω] Fort. ἐπαγάγω. Norrm. 9 ἑτέρωθι] De Chersoneso p. 78 c. 11 ἡμῶν] Leg. ὑμῶν. Schema oratori Attico longe frequentissimum penitusque in amore ac deliciis habitum. ut de Chersoneso p. 82. e. ἀνάγκη γὰρ, ἀνάγκη. quae verba in Phil. IV. bis repetiit p. 99 b. et 103 c. sic πονηρὸν, ὦ ἄνδρες Ἀθηναῖοι, πονηρὸν ὁ συκοφάντης. de Corona οὐ. δέδοικα ὦ ἄ. Ἀ. δέδοικα, παραπρεσβ. 308 e. Sed inprimis exaggerandae infitiationi illud adhibere solet. οὐ γάρ ἐστιν, οὐκ ἔστι. p. 83 c. et 104 . et saepe alias. sic οὐκ ἔστι ταῦτα, οὐκ ἔστι, περὶ στεφάνου ἡ et . Aliquando etiam maioris vehementiae caussa tergeminam particulae negativae iterationem usurpat, ut in Midiam p. 621 c. οὐ ἔξεστι τῶν ἴσων οὐδὲ τῶν ὁμοίων ὦ ἄ. Ἀ. πρὸς τοὺς πλουσίους τοῖς πολλοῖς ὑμῶν, οὐ μέτεστιν, οὔ. Norrm. Καλὸν] Aeschines in Ctesiphontem XXVIII. 12 Μιαρὸν] Demosth. Aristogit. 837 c.

θεωρήματα οὐ πρόσεστι καθ' ἕκαστον τούτων τῶν θεωρημάτων, διὰ τοῦτο κατ' εἶδος οὐχ ὑπεμνήσθην. καὶ γὰρ καὶ ἐπαναδίπλωσις ἐν ἐνίοις αὐτῶν γέγονε, καὶ καθόλου ἐξενήνεκται οὐκ ἐπὶ μέρους· ἀλλ' ἡμῖν πρόκειται καθ' ἓν ἕκαστον τῶν γενικῶν σχημάτων παραδεικνύναι· καὶ οὐδὲ οὕτως ἠξίωσε· καὶ ὅλως δὲ ἐπὶ μιᾶς ἐννοίας πολλάκις πλείω συμπίπτει θεωρήματα· καὶ μάλιστα ὁπόσα αὐτῶν τῆς αὐτῆς ἐστι συγγενείας, καὶ ἐξ ὧν τελείως πᾶσι τοῖς αὐτοῦ μέρεσι κατεσκευάσθαι ὁ λόγος προσλαμβάνει, ἐννοίᾳ, σχήματι, ῥυθμῷ, λέξει. ἡμῖν δὲ νῦν ὁ λόγος περὶ αὐτοῦ
443 μόνου τοῦ σχήματος, καὶ ταῦτα τοῦ κατ' ἔννοιαν μόνου. καὶ ἄλλαι δέ εἰσιν ἀποστάσεις· οἷον „Οὐδὲν δεινὸν, οὐδ' ἐλεεινὸν Μειδίας πείσεται, ἐὰν ἴσα κτήσηται τοῖς πολλοῖς ὑμῶν·“ καὶ πάλιν „Πλούσιοι πολλοὶ συνεστηκότες, τὸ δοκεῖν τινες εἶναι δι' εὐπορίαν προσειληφότες.“ καὶ πάλιν „Μισεῖ Μειδίας ἴσως ἐμέ.“

γ'. 1. Καὶ αἱ διαστάσεις σεμνότητα ἔχουσιν, οἷον ὅταν εἴπῃ „Τί οὖν ἐπιχειρεῖ πόλεμον ποιῆσαι τοῖς Ἀμφικτύοσι, καὶ περὶ τὴν Πυλαίαν ταραχήν;“ τὸ μὲν γὰρ χωρὶς τῆς διαστάσεως τοιοῦτον οἷον „Ἡγεῖτο γὰρ ὁ Φίλιππος, εἰ μὲν τῆς ἰδίας ἕνεκα ἔχθρας ἢ τοὺς Θετταλοὺς ἢ τοὺς Θηβαίους συμπείθοι βαδίζειν ἐφ' ὑμᾶς, οὐδένα προσέξειν αὐτῷ τὸν νοῦν· ἐὰν δὲ τὰς ἐκείνων κοινὰς αἰτίας λαβὼν ἡγεμὼν αἱρεθῇ, ῥᾷον ἤλπιζε τὰ μὲν παρακρούσασθαι, τὰ δὲ οἷστισι δήποτε. τί οὖν πόλεμον ποιεῖ τοῖς Ἀμφικτύοσι καὶ περὶ τὴν Πυλαίαν ταραχήν;“ τοῦτ' ἂν ἦν τὸ χωρὶς τῆς διαστάσεως συγκεχυμένον καὶ ταπεινὸν, τὸ δὲ ἐξᾶραι εἰς τὴν σεμνότητα ἡ διάστασις διὰ μέσου· τί οὖν ἐπιχειρεῖ· εἶτα τὸ πρᾶγμα τὸ μετὰ τὴν διάστασιν, πόλεμον ποιῆσαι τοῖς Ἀμφικτύοσι. 2. Καὶ ἐπέ-

---

14 πρόσεστι] Vulgo πρόσεστιν. 15 ἐξενήνεκται Ald.
17 Fort. καὶ σὺ δὲ οὕτως ἠξίωσας. Norrm.

443, 1 Οὐδὲν] In Midiam 636 c. ἐλεεινὸν] Vulgo ἐλεινόν.
3 Μισεῖ] 637 e. 8 Verba οἷστισι δήποτε pro πείσειν per ἀπροσεξίαν festinantia sive scriptoris sive librarii irrepsisse videtur ex iis quae proxime ante hunc locum apud Demosthenem antecedunt, τοὺς ὁποιουσδήποθ' ὑμεῖς ἐξεπέμπετε στρατηγούς. Norrm.

ρωθι „τὸ χείριστον ἐν τοῖς παρεληλυθόσι, τοῦτο πρὸς τὰ μέλλοντα βέλτιστον ὑπάρχει.“ καὶ ἐνταῦθα τὸ μὲν χωρὶς τῆς διαστάσεως ἦν ἂν εὐθὺς ἐπαγαγεῖν· οὐδὲν γὰρ τῶν δεόντων ποιούντων ἡμῶν· ποῦ οὖν ἡ διάστασις ἐν τῷ διὰ μέσου; ἐν ᾧ διαστήσας λέγει τί οὖν τοῦτό ἐστιν· ὅτι οὐδὲν τῶν δεόντων ποιούντων ἡμῶν. 3. Ἀλλ' αὗται μὲν κατὰ πρᾶγμα αἱ διαιρέσεις· τί οὖν ἐπιχειρεῖ· ἢ πάλιν τί οὖν τοῦτό ἐστιν. ἐκεῖναι δὲ ἐκ τῆς αὐτοῦ τινος ὑποκρίσεως· ὅταν λέγῃ, καὶ γὰρ οὕτως ἔχει· ὕβρισμαι μὲν ἐγώ, καὶ προπεπηλάκισται τὸ σῶμα τοὐμὸν τότε. 4. Ἀεὶ παρακολουθεῖ τῇ διαστάσει, καὶ τὸ εὐκρίνητον λόγον ποιεῖν, ἐνιαχοῦ δὲ καὶ σαφῆ. εἰδέναι δὲ χρὴ ὅτι τὰ θεωρήματα τοῦ λόγου πολὺ κάλλος ἐφέλκεται· ἡμεῖς δὲ νῦν ἑνὸς ἐσμὲν τοῦ γενικωτάτου.

δ'. 1. Σεμνότητος δὲ σχῆμα καὶ ὅταν πλαγιασμοῖς τις χρῆται, ὅπου μὲν γὰρ ὀρθοῦται τὰ νοήματα, κόπτεται καθ' ἓν ἕκαστον ὁ λόγος· καὶ τοῦ καθαρωτέρου μᾶλλον τρόπου τὸ σχῆμα, [644] οὐ τοῦ σεμνοτέρου· διὰ τοῦτο ἐν τῷ πρὸς Λεπτίνην, ἕως μὲν ὀρθῶς ὁ Δημοσθένης τὰ (184)
νοήματα, καθαρὸς εἶναι δοκεῖ ὁ λόγος· οἷον „λέγονται οἱ τριάκοντα χρήματα δανείσασθαι παρὰ Λακεδαιμονίων ἐπὶ τοὺς ἐν Πειραιεῖ· ἄλλο νόημα τοῦ αὐτοῦ τρόπου. „ἐπειδὴ δὲ τὰ πράγματα ἐκεῖνα κατέστη, πρέσβεις πέμψαντες οἱ Λακεδαιμόνιοι τὰ χρήματα ἀπῄτουν·“ καὶ τὸ ἐφεξῆς τῷ αὐτῷ τρόπῳ, εἰ ὀρθῶς προήγαγεν, οὕτως ἂν

---

12 ἐπέρωθι] Philipp. III, 86. e. conf. I. 47 b. 14 et 16. ἡμῶν Ald. ὑμῶν Norrm. 16 ἢ πάλιν] καὶ πάλιν Norrmannus. 19 εὐκρίνητον] εὐκίνητον Norrmannus.

444, 4 ὀρθῶς] Adde προάγει, aut scr. ὀρθοῖ. Norrm.
5 λέγονται] P. 542 e. χρήματα δανείσασθαι] Talenta centum. Xenophon. Ἑλλην β' p. 476. Isocrates Areopagitico p. 364. Mox οἱ δὲ τοὺς ἐκ Πειραιῶς, errore μνημονικῷ hoc nostro excidit, quod non minus a verbis ac sententia Demosthenis abhorret quam a communi hominum sensu iudicioque distat. neque enim qui pecuniam illam mutuam sumserant, colore ullo aut pudore id exigere poterant, ut soli eam persolverent, quorum exitio destinata mutuataque fuerat. a quibus dubia satis spe quamlibet speciosis nominibus ut communi impensa ac collecta id fieret postulabant. Quamobrem mox pro τῶν δὲ τοὺς ἐν Πειραιεῖ τοῦτο πρῶτον τῆς ὁμο-



Digitized by Google

εἶπε· λόγοι οὖν ἐγίνοντο, καὶ οἱ μὲν τοὺς ἐξ ἄστεως ἠξίουν ἀποδοῦναι τὰ χρήματα, οἱ δὲ τοὺς ἐκ Πειραιῶς· ἀλλὰ διεφθείρετο ὁ τόνος τοῦ σχήματος καὶ σεμνότης· διὰ τοῦτο πλαγιάσας λέγει· λόγων δὲ γιγνομένων, καὶ τῶν μὲν τοὺς ἐξ ἄστεος ἀποδοῦναι κελευόντων, τῶν δὲ τοὺς ἐν Πειραιεῖ· τοῦτο πρῶτον τῆς ὁμονοίας σημεῖον ὑπῆρξε. 2. Καὶ ἐν ἀρχῇ δὲ τοῦ κατὰ Φιλίππου „πολλῶν, ὦ ἄνδρες Ἀθηναῖοι, λόγων γιγνομένων περὶ ὧν Φίλιππος ἀδικεῖ“ καὶ ἄλλο τι πεπλαγιασμένον ἐπὶ τούτῳ „καὶ πάντων εὖ οἶδ' ὅτι φησάντων γάρ.“ καὶ πάλιν „ὄντων δέ, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν παρόντων πραγμάτων πᾶσιν ὡς ἐγὼ κρίνω φοβερῶν, οὐδένες μὲν ἐν μείζονι κινδύνῳ τῶν πάντων εἰσὶν ὑμῶν.“

ε'. 1. Τοῦτο δὲ πρῶτον τῶν σχημάτων εἰδέναι χρή, ὅτι κοινωνίαν τινὰ ἔχει ἐν τῷ λόγῳ τό τε ἀξίωμα καὶ ἡ σεμνότης· ὅπου γὰρ ἀξίωμα ὁ λόγος προσλαμβάνει, ἐκεῖ καὶ σεμνότητα. ἔστω δὲ ὁ λόγος εἰς τὰ τῆς γνώμης. 2. Ἔτι τὸ εἰκόσι χρῆσθαι σεμνότητα καὶ ἀξίωμα ἔχοντα τὸν λόγον ἐργάζεσθαι· „ὥσπερ ἐν θαλάττῃ πνεῦμα ἀκατάστατον ὡς
445 ἂν τύχῃ κινούμενον·“ καὶ πάλιν „ὥσπερ σκηπτὸς ἢ χειμάρρους ἅπαν τοῦτο τὸ πρᾶγμα εἰς τὴν πόλιν εἰσέπεσεν.“ καὶ ἑτέρωθι πάλιν „ἐπεὶ ὅτι γε ὥσπερ περίοδος ἢ μεταβολὴ πυρετοῦ ἢ ἄλλου τινὸς κακοῦ καὶ τῷ πάνυ πόρρω δοκοῦντι νῦν ἀφεστάναι προσέρχεται οὐδεὶς ἀγνοεῖ.“

ς'. Καὶ τὸ γνωμολογεῖν δὲ τῆς σεμνότητός ἐστιν·

---

νοίας σημεῖον ὑπῆρξε, ex Demosthene reponendum, τῶν δὲ τοῦτο πρῶτον ὑπάρξαι τῆς ὁμονοίας σημεῖον ἀξιούντων, τὸ κοινῇ διαλῦσαι τὰ χρήματα. sed quae hoc loco mendose ac mutile adferuntur, ea rectius integriusque citata sunt p. 222. Norrm. 9 ἄστεως Ald. ἄστεος Norrm. 14 γάρ] L. γ' ἄν. Norrm. ὄντων] Phil. IV. 102 a. 15 οὐδένες μὲν Norrm. οὐδὲν ἐς μὲν Ald. 20 ἐργάζεσθαι] ἐργάζεται Norrm. ὥσπερ] Παραπρεσβ. 314 a. καὶ πάλιν] De corona L.

445, 1 σκηπτὸς hoc apud Demosthenem loco hodie in editis omissum non ita multo post tmem. LVII. cum χειμὼν iunctum legitur. Norrm. 2 ἐπεὶ] Phil. III. 89 f. ἢ Norrm. ᾗ Ald. μεταβολὴ] καταβολὴ Demosth. 3 ἀφεστάναι Norrm. ἐφεστάναι

οἷον „τὸ γὰρ εὖ πράττειν παρὰ τὴν ἀξίαν ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίνεται.“

ζ΄. Καὶ τὸ τὰ τοῦ ἧττον ἐκτετιμημένα προβάλλοντα καὶ ἀναιροῦντα ἀντεισάγειν τὰ μᾶλλον προτετιμημένα τῆς σεμνότητός ἐστιν· „οὐ λίθοις ἐτείχισα τὴν πόλιν οὔτε πλίνθοις ἐγώ· ἀλλ' ἐὰν τὸν ἐμὸν τειχισμὸν θέλῃς μαθεῖν,“ νῦν τὰ μᾶλλον προτετιμημένα „εὑρήσεις ὅπλα καὶ πόλεις καὶ τόπους καὶ λιμένας.“

η΄. 1. Σεμνότητα δ' ἔχει καὶ ὅταν μὴ εὐθὺς ἐπι- (189) τρέχῃς τῷ εἰσαγομένῳ, ἀλλὰ προσλαμβάνῃς τὰς δυνάμεις αὐτῶν καὶ προαναρτᾷς τὸν λόγον. „ἂν δέ τι κοινὸν ἡ φύσις τῶν εὖ φρονούντων ἐν ἑαυτῇ κέκτηται φυλακτήριον“ καὶ οὐκ εὐθὺς ἐπήγαγε καὶ εἶπεν ἀπιστίαν, ἀλλὰ προσλαβὼν τούτου τὰς δυνάμεις καὶ ἐναρτήσας· „ἣ πᾶσι μέν ἐστιν ἀγαθὸν καὶ σωτήριον, μάλιστα δὲ τοῖς πλήθεσι πρὸς τοὺς τυράννους·“ καὶ ἄλλη ἐπανάληψις „τί οὖν ἐστι τοῦτο“ εἶτα τὸ εἰσαγόμενον „ἀπιστία.“ 2. Ὅμοιον δὲ τούτῳ κἀκεῖνο „ὃ καὶ τοῦ Περσῶν ἐκράτησε πλούτου καὶ ἐλευθέραν ἦγε τὴν Ἑλλάδα, καὶ οὔτε ναυμαχίας οὔτε πεζῆς μάχης ἥγοντο, νῦν δὲ ἀπολωλός, ἅπαντα λελύμανται, καὶ ἄνω καὶ κάτω πεποίηκε πάντα τὰ πράγματα· καὶ τοσούτων προεκκειμένων οὔπω εἴρηται τὸ τί· ἀλλ' ἐπαναλήψει χρησάμενος νῦν εἰσάξει, τί οὖν ἦν τοῦτο· εἶτα τὸ εἰσαγόμενον καθ' ἑαυτό· ὡς ἐκεῖ ἀπιστία, οὕτως ἐνθάδε, τοὺς παρὰ τῶν ἄρχειν βουλομένων, ἢ διαφθείρειν τὴν Ἑλλάδα χρήματα λαμβάνοντας ἅπαντες ἐμίσουν.

θ΄. Καὶ οἱ ἀφορισμοὶ δὲ οἱ ἐν τῷ καθόλου σεμνό- (190) τητα ἔχουσιν· οἷον „πόλεως γὰρ ἔγωγε πλοῦτον ἡγοῦμαι συμμάχους, πίστιν, εὔνοιαν.“

ι΄. Καὶ τὸ ὑπέρχεσθαι δὲ ἀεὶ τὰ ἔνδοξα ἢ πρόσωπα

---

Ald. 4 τὸ γὰρ Olynth. I. p. 4 d. 6 τοῦ tollendum. Norrm. 7 οὐ λίθοις] De Corona XCIII. 11 προσλαμβάνῃς Norrm. προσλαμβάνεις Ald. αὐτῶν] αὐτοῦ Norrm. προαναρτᾷς τὸν λόγον] προεναρτῶς τῷ λόγῳ Norrm. 11 ἂν (ἐν ed.) δέ τι] Dem. Phil. II. 66 f. κοινὸν Norrm. καινὸν Ald. 13 προσλαβὼν] προλαβὼν Norrm. 15 ὃ καὶ] Phil. III. 90 f. ἐκράτησε Norrm. ἐκράτησεν Ald.

446, 1 οἷον] De Cherson. 84 a. Philipp. IV. 104 e. 4 οἷον]

ἢ πράγματα ἀπάγοντα ἀφ' ἑαυτοῦ σεμνὸν πάνυ. οἷον „καὶ τούτων οὐδὲν καινόν, οὐδὲ εὕρημα ἐμόν, ἀλλὰ παλαιὸς ὧν οὗτος παρέβη νόμος οὕτω κελεύει νομοθετεῖν." καὶ πάλιν „οὐ λόγους ἐμαυτοῦ λέγω, ἀλλὰ γράμματα τῶν ὑμετέρων προγόνων."

ια'. Σχῆμα δὲ καὶ τοῦτο τῆς σεμνότητος· καὶ τὸ ἀσύνδετα παρατιθέναι τὰ νοήματα, ἐφεξῆς ἐπιτιθέντα ἀλλήλοις· οἷον „Μειδίας [645] Ἀναγυράσιος προβέβληται· τὰ ἀπόρρητα εἶδεν· ἡ πόλις αὐτὸν οὐ χωρεῖ." καὶ πάλιν „ἐφ' Ἑλλήσποντον οἴχεται· πρότερον ἧκεν ἐπ' Ἀμβρακίαν· Ἦλιν ἔχει τηλικαύτην πόλιν ἐν Πελοποννήσῳ· μεγάλοις ἐπιβούλευσε πρώην· οὔθ' ἡ Ἑλλὰς οὔτε ἡ βάρβαρος τὴν πλεονεξίαν χωρεῖ τοῦ ἀνθρώπου."

Γ'. α'. Κατὰ δὲ ἀπαγγελίαν γίγνεται σεμνότης οὕτως, ὅταν τις ὀνοματικαῖς χρῆται ταῖς λέξεσιν ἀντὶ ῥηματικῶν. οἷον „πλεονέκτημα, ὦ ἄνδρες Ἀθηναῖοι, μέγα ὑπῆρξε Φιλίππῳ." καὶ „τόλμα μὲν γὰρ ἀλόγιστος ἀνδρεία φιλέταιρος ἐνομίσθη."

β'. Καὶ ὅταν τροπικαῖς ἀντὶ ἰδίων ταῖς λέξεσι χρῆται· οἷον τὴν δωροδοκίαν νόσημα εἰπεῖν· „νόσημα, ὦ ἄνδρες Ἀθηναῖοι, δεινὸν ἐμπέπτωκεν εἰς τὴν Ἑλλάδα." καὶ ἑτέρωθι πάλιν „εἶτα τὸν τοῦτο τὸ μηχάνημα ἐπὶ τὴν πόλιν ἱστάντα." καὶ ἐν τῷ κατὰ Μειδίου „σὺ δὲ πληρωτὴς τοιούτου γεγονὼς ἐράνου σεαυτῷ τουτονὶ δίκαιος εἶ συλλέξασθαι."

γ'. Καὶ τὸ κατὰ πλῆθος λέγειν καὶ τὰ ὀνόματα

---

Leptin. 554 c. 5 καὶ πάλιν] Phil. III. 91 c. 8 ἐπιτιθέντα] ἐπιτεθέντα Norrm. οἷον] Midian. 634 f. 9 πάλιν] Phil. III. 89 e. 12 ἀπαγγελίαν Norrm. ἐπαγγελίαν Ald. γίγνεται] Vulgo γίνεται. 13 πλεονέκτημα] περὶ στεφάνου XIX. 14 τόλμα] Thucydides III. p. 110. Steph. Eodem hoc Thucydidis exemplo hanc praeceptionem adstruit Hermogenes I, 6. p. 286. quemadmodum alibi etiam plerumque facit, ut magnum haud dubie sedulae ac elegantis industriae fructum percepturus sit quisquis duos tam subtilis observationis magistros per singulas orationis formas sollerti examine commiserit. Norrm. 15 οἷον] De falsa legat. 334 b. 16 πάλιν] Philipp. III. 88 c. 17 κατὰ Μειδίου] 619 d.

Digitized by Google

7 ἐφεξῆς παρατιθέναι τῆς σεμνότητός ἐστιν, οἷον „εὐδαίμων καὶ μέγας καὶ φοβερὸς ἅπασιν Ἕλλησι καὶ βαρβάροις.“

δ'. Καὶ τὸ τὰ πρόσωπα ἀφαιροῦντα ἐπ' αὐτῶν τῶν πραγμάτων προάγειν τὸν λόγον σεμνὸν σφόδρα· „εἰ μὴ Θέσπειαι καὶ Πλαταῖαι καὶ τὸ Θηβαίους αὐτίκα δὴ μάλα δώσειν δίκην, ἀφείλετο τὴν ἀλήθειαν·“ ἀλλ' οἱ λέγοντες τὰ περὶ Θεσπείων καὶ Πλαταίων· ὁ δὲ ἀφελὼν τὰ πρόσωπα τῶν εἰπόντων αὐτὰ λέγει ἐφ' ἑαυτῶν, εἰ μὴ Θέσπειαι καὶ Πλαταῖαι. καὶ ἀλλαχοῦ πάλιν „ἐγὼ δὲ οἶμαι τὴν μὲν (194) εἰρήνην ἄγειν οὐχ ὑμᾶς δεῖν πείθειν·“ καὶ τὸ ἀντικείμενον εἶπεν, ἀλλὰ Φίλιππον· ὁ δὲ ἀφελὼν τὰ πρόσωπον ἐπὶ τοῦ πράγματος ἀόριστον εἶπεν· ἀλλὰ τὸν τὰ τοῦ πολέμου πράσσοντα· καὶ πάλιν ἑτέρωθι „βουλόμενος δεῖξαι ὅτι Φίλιππός ἐστιν ὁ τὸν πόλεμον ποιῶν, ἀντὶ τοῦ ὄντος εἰπεῖν· εἰ δὲ Φίλιππος τὰ ὅπλα ἐν ταῖς χερσὶν ἔχων καὶ δύναμιν πολλὴν περὶ αὐτόν· ὁ δὲ, ἕτερος εἶπε.

ε'. Σεμνότητος δὲ καὶ τὰ τοῖς ἐν γένει μᾶλλον ἂν ὀνόμασι χρῆσθαι· ἐν γένει δὲ λέγω, χρυσὸς, ἄργυρος. τὸ μὲν γὰρ ἐκ τούτων ἐστὶ τὸ ἐπὶ εἴδους καὶ μέρους λεγόμενον· χρήματα· εὐπορία· πρόσοδος. ὁ δὲ Θουκυδίδης ἀντὶ τούτων εἰς τὸ ἐν γένει ἀναγαγὼν σεμνότητα εἰργάσατο. λέγει δὲ ὁ Ἑρμοκράτης περὶ τῶν Καρχηδονίων „χρυσὸν γὰρ καὶ ἄργυρον πλεῖστον ἔχουσιν·“ ἀντὶ τοῦ πλουσιώτατοι γάρ εἰσιν· ἢ ἑτέρως μεταβαλὼν πλούσιοι γάρ εἰσιν. καὶ ὁ Δημοσθένης ἀντὶ τοῦ εἰπεῖν Ἄρθμιος ἐκολάσθη, ἐπειδὴ διέφθειρε τινὰς χρήμασιν ἐν Πελοποννήσῳ· ὁ δὲ ἐν γένει εἰπὼν ὅτι χρυσίον ἐκόμισε παρὰ βασιλέως σεμνότητα εἰργάσατο.

---

447, 1 εὐδαίμων] De Cherson. 84 a. Phil. IV. 104 e. 2 ἐπ' Norrmannus. Vulgo ἀπ'. 3 εἰ μὴ] De fals. leg. 300 c. 4 ἀλήθειαν] αἱ μέντοι Θεσπιαὶ καὶ Πλαταιαὶ οὐκ ἀφείλοντο τοὺς Ἀθηναίους τὴν ἀλήθειαν addit Norrm. 6 πάλιν] De Cherson. p. 82 c. Phil. IV. p. 103 a. εἶπεν] ἂν εἶπεν Norrm. 8 ἑτέρωθι] Phil. III. 87 b. 13 Θουκυδίδης] VI. p. 209. 15 Δημοσθένης] Philipp. III. 91. et de fals. leg. 336. 16 Ἄρθμιος] Vulgo Ἀρίθμιος. Apud Demosthenem editur Ἄρθμιος, ut apud Aechinem etiam περὶ παραπρεσβείας fine, et Dinarchum in Aristogitonem p. 77. 78. sed et alibi noster suam hanc scriptio-

ς'. Χρὴ δὲ εἰδέναι ὅτι καὶ ἐξ ἑνὸς ὀνόματος γίνεται σεμνότης· ὡς ἐν τῷ πρὸς Λεπτίνην, ὅπου λέγει ὅτι χρὴ κυρίας τηρεῖν τὰς στήλας· πῶς ἐξῆρεν εἰς σεμνότητα ἐν τῷ τελευταίῳ ὀνόματι· ἵν' ἐκεῖναι τοῦ τῆς πόλεως ἤθους μνημεῖον ὦσιν.

## 448 Περὶ βαρύτητος. Β'.

Α. α'. Βαρύτης δὲ γίνεται καθολικῶς κατὰ γνώμην, κατὰ σχῆμα· κατὰ τὴν ἀπαγγελίαν οὐ πάνυ τι. κατὰ μὲν οὖν γνώμην γίνεται βαρύτης οὕτως, ὅταν ἢ κατηγορεῖν τις προάγηται αὐτὸς ἑαυτοῦ, ἢ τῶν οἰκείων τινὸς ἢ φίλων· βαρὺ γὰρ τὸ τοιοῦτον ἂν εἴη, ἐξὸν ἐπαινεῖν. ἢ ὅλως τούτων τινὸς ὑπὲρ ὧν λέγει, ἢ πρὸς οὓς λέγει. ὡς ὁ Δημοσθένης „περιείργασμαι μὲν ἐγώ, περιείργασται δὲ ἡ πόλις ἡ πεισθεῖσα ἐμοί· ἔστω δὲ πάντα τὰ ἁμαρτήματα καὶ ἀδικήματα ἐμά.“

β'. Ὅτε δὲ καθ' ὑπερβολὴν δύνασαι ἀποδεῖξαι μὴ ἀδικοῦντα σεαυτόν· ἐκεῖ δὲ θρασύτητι χρῆσθαι τοιαύτῃ, ἀφαιρεῖν σεαυτὸν συγγνώμης, ἢ φιλανθρωπίας τῆς παρὰ τῶν δικαστῶν· ὡς ὅταν λέγῃς „μηδὲ φωνὴν ἀνέχεσθε· μηδ' εἰ πάντα τὰ κοινὰ ὑπὲρ οὗ πεπολίτευμαι· ἀλλ' ἀναστάντες καταψηφίσασθε ἤδη·“ βαρύτης κἀνταῦθα γίνεται. καὶ ἐπὶ φίλου δὲ ὡσαύτως βαρὺ γίνεται, ἐὰν ἀφαιρῇς αὐτὸν, ἢ συγγνώμης, ἢ φιλανθρωπίας δικαστῶν. βαρύτης γίνεται καὶ ὅταν τι ἄτοπον σεαυτῷ ἐπαράσῃ· [646] οἷον, „καίτοι τεθνάναι μᾶλλον ἢ ταῦτ' εἰρηκέναι βούλομαι.“

γ'. Καὶ ὅταν ἄτοπόν τι προτείνῃ τοῖς ἀκούουσιν, ὃ μὴ ἂν ἑκόντες δέξαιντο· ὡς ἐν τῷ κατὰ Ἀριστογείτονος

---

nem tenet orat. t. III. p. 357. eodemque modo Alexander περὶ σχημάτων διανοίας cap. 12. et 14. Parem nominis huius variationem in editis manuque descriptis Harpocrationis codicibus Maussacus observabat in Ἄρθμιος et ἄτιμος. Norrm. 18 πρὸς Λεπτίνην] 550 d.

448, 1 καὶ κατὰ σχῆμα Norrm. ἀπαγγελίαν Norrm. ἐπαγγελίαν Ald. 4 Δημοσθένης] Pro corona XXII. 7 ἐμοὶ ἡ Norrm. 8 ὥστε ἀφαιρεῖν Norrm. 9 ὅταν λέγῃς] Pro corona V. 12 οἷον] De Cherson. 82 a. Philipp. IV. 99 c.

Digitized by Google

*ἐπεξελθὼν τὰ συμβαίνοντα ἐν ταῖς ἐκκλησίαις, διὰ τὴν ἀπειρίαν τῶν τοιούτων ῥητόρων, σὺν βαρύτητι προέτεινε τὸ ἄτοπον· „εἰ μὲν οὖν ὑμεῖς ταῦτα βούλεσθε καὶ μετὰ τῆς ἡμετέρας γνώμης οὗτοι ταῦτα ποιοῦσιν, ὁδῷ βαδίζειν καὶ ἐᾶν δεῖ.“*

*δ΄. Καὶ ὅταν εἰς ἄτοπον ἀπάγῃς τὸν λόγον, βαρύτητα εἰργασαι. ὡς ἐν τῷ πρὸς Καλλικλέα. „οὐ γὰρ δεῖ ἐκπιεῖν με αὐτὸ Καλλικλῆς ἀναγκάσει.“ ἢ ὅταν ὁμολογού-*
9 *μενα ἄτοπα τῷ ἀντιδίκῳ συγχωρῇς· ὡς ἐν τῷ κατὰ Ἀριστογείτονος· εἰ πονηρός ἐστιν Ἀριστογείτων ἁπλῶς καὶ πικρὸς καὶ συκοφάντης, δίδωμι, συγχωρῶ Φιλόκρατές σοι τῷ τοιούτῳ τὸν ὅμοιον σώζειν.“*

*ε΄. Καὶ ὅταν πάντα τις διελὼν ἕν τι καταλείπῃ τῷ ἀντιδίκῳ, ὡς ὑπὲρ αὐτοῦ τοῦ μηδὲν ἧττον ἢ κατ᾽ αὐτοῦ,* (200)
*βαρύτης γίνεται· οἷον „πλὴν ἐστι νὴ Δία, ἐστὶν ἀδελφός τις αὐτῷ ὁ τὴν καλὴν δίκην αὐτῷ λαχών.“ καὶ πάλιν ἀνελὼν δι᾽ ἃ οὐ δεῖ ἐπάγει „πλὴν εἰ τοῦτό τις εἴποι, μανέντες· ἄλλο γὰρ οὐκ ἔστιν εἰπεῖν.“*

*ϛ΄. Καὶ ὅταν εἰς κρίσιν ἀνάγῃς τεθνηκότων ἐνδόξων, βαρὺ δοκεῖ τὸ τοιοῦτον εἶναι, οἷον „καίτοι πηλίκον ἂν στενάξαιεν οἱ πρόγονοι.“ καὶ πάλιν „καίτοι τίνα ποτὲ οἴεσθε τοὺς προγόνους ὑμῶν ὀργὴν ἢ ψῆφον θέσθαι κατὰ τῶν αἰτίων τούτων τοῦ ὀλέθρου;“*

*ζ΄. Βαρύτητος δὲ καὶ τὸ ἃ μηδεὶς ἂν εἴποι ὑπολιπεῖν ὡς ῥηθησόμενα· „ἐροῦμεν νὴ Δία τοῖς Ἕλλησι, Τιμοκράτους νόμος ἐστὶ παρ᾽ ἡμῖν· ἀναμείνατε οὖν τὴν ἐνάτην πρυτανείαν· εἶτα τότ᾽ ἔξιμεν.“*

*η΄. Καὶ τὸ συγχωρεῖν δὲ τὰ παρελθόντα ἄτοπα, ὡς τὸ „μέχρι οὖν τοῦδε διωρίσθω ὑμῖν βαρύτης.“*

*θ΄. Βαρύτητος δὲ καὶ τὸ ἀπεύχεσθαι τὰ ἄτοπα. „καί-*

---

15 *κατὰ Ἀριστογείτονος*] Non procul initio. *ἀπειρίαν*] *πονηρίαν* Norrm. 18 *πρὸς Καλλικλέα*] P. 1118 b.

449, 1 *κατὰ Ἀριστογείτονος*] P. 835 c. 3 *διελὼν*] *ἀνελὼν* Norrm. *τοῦ*] *τοῦτο* Norrm. 4 *οἷον*] Ibid. p. 840 a. 5 *πλὴν εἰ*] In Timocratem 782 d. 7 *οἷον*] Dem. Aristocrat. p. 759 d. 8 *πάλιν*] De fals. leg. p. 303 f. 10 *ἃ* Norrm. Vulgo *αὖ*. *ἐροῦμεν*] In Timocrat. p. 788 a. 13 *ὡς τὸ*] Thucyd. 1, 23. *μέχρι*] Vulgo *μέχρις*. 15 *καίτοι*] Phil. III. p. 94 b.

τοι μὴ γένοιτο, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ πράγματα ἐν τούτῳ. τεθνάναι δὲ μυριάκις κρεῖττον ἢ κολακείᾳ τι ποιῆσαι Φιλίππῳ."

Β'. α'. Κατὰ δὲ σχῆμα οὕτω βαρύτης γίνεται, ὅταν τις τῷ τῆς διανοίας σχήματι χρῆται· οἷον „ὅμοιός γε, οὐ γάρ; Σόλων νομοθέτης καὶ Τιμοκράτης." ἢ πάλιν „καλὴν γε οἱ πολλοὶ ἀπειλήφασιν Ὠρειτῶν χάριν, ὅτι τοῖς Φιλίππου φίλοις ἐπέτρεψαν ἑαυτούς, τὸν δὲ Εὐφραῖον ἐώ-
450 σουν· καλήν γ' ὁ δῆμος ὁ Ἐρετριέων, ὅτι τοὺς ὑμετέρους πρέσβεις ἀπήλασαν, Κλειτάρχῳ δὲ ἐνέδωκαν ἑαυτούς· καὶ δὴ δουλεύουσί γε μαστιγούμενοι."

β'. Βαρύτητος δὲ καὶ τὸ τοῖς σχετλιαστικοῖς χρῆσθαι σχήμασιν· οἷον „Χαρίδημον, οἴμοι·" καὶ τὸ τοῦ Αἰσχίνου „παντελῶς ἐκαρτερεῖτε ὡς σιδήρειοι." καὶ αἱ ἀποσιωπήσεις δὲ τὸ αὐτό σοι δυνήσονται, οἷον „τί ἂν σέ τις εἰπὼν ὀρθῶς προσείποι;"

γ'. Βαρύτης δὲ γίνεται καὶ ὅταν προαχθῇς εἰπεῖν τι λυπηρὸν κατὰ τῶν ἀκουόντων, ὃ οἴεται βαρέως ἂν αὐτοὺς ἐνεγκεῖν τις, εἶτα ἀνορθώσῃς ὡς μὴ ἔχων αὐτοῦ μετριω-

---

16 τεθνᾶναι Ald., ut solet. κολακίᾳ Ald. 18 ὅμοιός] In Timocrat. p. 789 d. Voculas οὐ γὰρ Demostheni iure postliminii adsertum restitutumque ire haud dubitamus, freti tum adsiduo vindice Aristide nostro tum non infrequenti oratoris usu, qui singulari cum acrimonia atque indignatione concisum istuc ac vibrans interrogandi genus usurpat, ut de corona XLIII. ἐν μὲν τοίνυν τοῦτο τοιοῦτο πολίτευμα τοῦ νεανίου τούτου· ὅμοιόν γε, οὐ γάρ; οἷς ἐμοῦ κατηγορεῖ. In Androtionem p. 710 b. ὅμοιόν γε, οὐ γάρ; τοῦτο τοῖς προτέροις ἐπιγράμμασιν, ἢ φιλοτιμίαν ἴσην ἔχον ὑμῖν. quae verbis totidem, ut et antecedentium ac sequentium pluscula, ἐν τῷ κατὰ Τιμοκράτους p. 801 a. repetita leguntur. Sic adversus Aristocratem p. 751 e. εὔνους γε, οὐ γάρ; ἁπλῶς ὑμῖν, καὶ οὐδὲν ἂν ἐπιστείλας ψεῦδος οὐδ' ἐξαπατήσας. rursus p. 755 e. καλόν γε, οὐ γάρ; ὦ Ζεῦ καὶ θεοί. Norrm. πάλιν] Phil. III. p. 94 c. 19 Ὠρειτῶν — ἐπέτρεψαν Norrm. ὀρειτῶν — ἐπέστρεψαν Ald.

450, 3 οἷον] Contra Aristocrat. p. 759 d. 4 Αἰσχίνου] Contra Ctesiphont. LIII. Verba Aeschinis sic ex editis refingenda, ἀ πῶς ποθ' ὑμεῖς, ὦ σιδήρεοι, ἐκαρτερεῖτε ἀκροώμενοι. quorum partem expressit Tullius Philipp. VIII. „*Haec tu mandata L. Piso et tu L. Philippe, principes civitatis, non dico animo ferre, verum auribus accipere potuistis?*" Norrm. 5 οἷον] De corona VIII.

τερον εἰπεῖν. ὡς ἔχει καὶ τὸ ἐν ταῖς ἐπιστολαῖς „εἰ δὲ τὸ περιφανὲς ἀξίωμα τῆς βουλῆς ἢ τὸν Ἄρειον πάγον πρόσβλέπετε, τῆς Ἀριστογείτονος κρίσεως ἀναμνησθέντες ἐγκαλύψασθε· οὐ γὰρ ἔχω πρᾳότερον πρόσφθεγμα τοῖς ἐξημαρτηκόσιν εἰς ἐμὲ αὐτὸν εἰπεῖν."

δ'. Βαρύτητα δὲ καὶ τὸ τοιοῦτον ἔχει, ὅταν δοὺς (204) ὡς ὑπάρχοντί σοι, εἶτα ἀνελὼν αὐτὸ ἐπιδιστάσῃς· ὥσπερ ἔχει καὶ τὸ ἐν τοῖς Φιλιππικοῖς „ἀλλ' ἐκεῖνος μὲν ὑμῶν οἴκοι μενόντων, σχολὴν ἀγόντων, ὑγιαινόντων·" δοὺς τοῦτο ὡς ὑπάρχον αὐτοῖς εὐθὺς ἀνεῖλεν ἐπιλαβόμενος „εἰ δεῖ τοὺς τὰ τοιαῦτα ποιοῦντας ὑγιαίνειν φήσαιμεν."

ε'. Καὶ αἱ διαπορήσεις δὲ ἐν τοῖς σχετλιασμοῖς βαρύτητα ἔχουσιν· ὥσπερ ἐν ταῖς ἐπιστολαῖς „ὢ τί ἂν εἰπὼν μήτε ἁμαρτεῖν δοκοίην μήτε ψευσαίμην; λίαν ὀλίγωροι."

## Περὶ περιβολῆς. Γ'.

Α'. α'. 1. Περιβολὴ δὲ γίνεται καθολικῶς, κατὰ γνώμην, κατὰ σχῆμα, κατὰ ἀπαγγελίαν· κατὰ μὲν γνώμην οὕτως, ὅταν ἀόριστά τις προσλαμβάνῃ τοῖς ὡρισμέ-
1 νοις. οἷον „πολλαχόθεν μὲν οὖν ἄν τις ἴδοι τὴν ἀγνωμοσύνην αὐτοῦ καὶ τὴν βασκανίαν·" τοῦτό ἐστι τὸ ἔξωθεν προσλαμβανόμενον ἀόριστον· νῦν τὸ ὡρισμένον· „οὐχ ἥκιστα δὲ ἀφ' ὧν περὶ τῆς τύχης διελέχθη." 2. Καὶ πάλιν

---

8 ἐν ταῖς ἐπιστολαῖς] Demosth. III. p. 201 b. τὸ περιφανὲς] Genuinum hoc est, non vulgatum τάφανὲς, idemque agnoscit Hermogenes I, 7. p. 294. Norrm. 11 ὑπάρχοντί σοι] ὑπάρχον τισὶν· Norrm. 12 ἐν τοῖς Φιλιππικοῖς] De Cherson. p. 80 c. 14 δεῖ] Sic editi: sed δὴ haud dubie legendum, si retinemus φήσαιμεν, pro quo φῆσαι in editis est. Norrm. 15 ἐπιστολαῖς] Demosth. III. p. 200 d. 18 προσλαμβάνῃ τοῖς ὡρισμένοις] Pro eo ac πρόσληψις ceterisque eiusmodi p. 204. 206. aptius videri possit προλαμβάνειν ac πρόληψις, ut saepe alibi, ubi res liquebat, rescripsimus. quomodo emendandum et p. 220. ς'. l. sed hoc loco ut ne movere quidquam aut mutare auderem verbi structura potissimum fecit, quod alibi apud nostrum secundo casu fungitur, ut 220. ς'. l. 224. Conf. 394. Norrm. πολλαχόθεν] De corona LXXVI.

„πολλὰ μὲν οὖν ἔγωγε ἐλαττοῦμαι κατὰ τουτονὶ τὸν ἀγῶνα Αἰσχίνου·“ τοῦτο ἀόριστον· [647] νῦν τὸ ὡρισμένον ἐν ἀθροίσματι προσληφθὲν „δύο δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ μεγάλα·“ εἶτα ταῦτα κατ' εἶδος ἐμέρισεν „ἓν μὲν ὅτι οὐ περὶ τῶν ἴσων νῦν ἐμοὶ ὁ ἀγὼν, ἕτερον δὲ ὃ φύσει πᾶσιν ὑπάρχει, τῶν μὲν λοιδοριῶν καὶ τῶν κατηγοριῶν ἀκούειν ἡδέως, τοῖς ἐπαινοῦσι δ' αὐτοὺς ἄχθεσθαι.“ ἅπαντα γὰρ ταῦτα περιβολῆς ἐστιν· ἡ πρόσληψις τοῦ ἀορίστου· πολλὰ μὲν οὖν ἔγωγε ἐλαττοῦμαι· τὸ ἐν ἀθροίσματι συλλαβεῖν· δύο δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ μεγάλα· τὸ κατ' εἶδος μερίσαι· ἓν μὲν τὸ μὴ περὶ τῶν ἴσων εἶναι τὸν ἀγῶνα· ἕτερον δὲ τὸ πάντας οὕτως ἔχειν, τῶν μὲν λοιδορούντων ἡδέως ἀκροᾶσθαι, τοῖς ἐπαινοῦσι δὲ ἑαυτοὺς ἄχθεσθαι. 3. Καὶ τρίτον παράδειγμα „ἐπὶ πολλῶν μὲν ἄν τις ἰδεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, δοκεῖ μοι τὴν παρὰ τῶν θεῶν εὔνοιαν φανερὰν γενομένην τῇ πόλει·“ εἶτα ἡ ἐπὶ τὸ ὡρισμένον ἀπαγωγὴ „οὐχ ἥκιστα δὲ ἐν τοῖς παροῦσι πράγμασι.“ καὶ πάλιν „πολλὰ μὲν οὖν τῶν ὑπ' ἐκείνου πραχθέντων ἄξια ἐπαίνου, μέγιστον δὲ πάντων ἡ τῶν τειχῶν ἀνάστασις.“

β'. 1. Περιβολὴ δὲ καὶ τοῦτο ὅταν ἐν γένει προτιθῇς τὰ πράγματα, εἶτα κατ' εἶδος ἐπεξίῃς, ὡς ἐν τῷ πρὸς Λεπτίνην, ὃ μὲν βούλεται εἰσαγαγεῖν τοῦτό ἐστιν „οὐ τοίνυν μὴ Λεύκων ἀδικηθῇ μόνον δεῖ σκοπεῖν“ ἀλλὰ καὶ Ἐπικέρδης· ὁ δὲ πρὶν εἰπεῖν τὸ κατ' εἶδος, τὸ ἀλλὰ καὶ Ἐπικέρδης, τὸ ἐν γένει προὔλαβεν „ἀλλὰ καὶ εἴ τις ἄλλος εὖ μὲν ἐποίησεν ὑμᾶς εὖ πράττων, εἰς δέον δὲ νῦν γέγονεν αὐτῷ τὸ λαβεῖν παρ' ὑμῶν τὴν ἀτέλειαν·“ εἶτα νῦν
452 ἦλθεν ἐπὶ τὸ κατ' εἶδος διαστήσας „τίς οὖν οὗτός ἐστιν; Ἐπικέρδης ὁ Κυρηναῖος.“ 2. Καὶ πάλιν τὰς εὐεργεσίας τοῦ Ἐπικέρδους εἰσάγων τὸ ἐν γένει προλαβὼν οὕτως εἰσήγαγε κατ' εἶδος· τὸ ἐν γένει „ἀλλὰ τῷ παρὰ τοιοῦτον καιρὸν, ἐν ᾧ καὶ τῶν εὖ πεπονθότων ἔργον ἦν εὑρεῖν ἐθέλοντά τινα ὧν εὐεργέτητο μεμνῆσθαι·“ νῦν λέγει ἃ ἐποίησε

451, 3 πολλὰ] De corona ab initio. 11 ἐπὶ πολλῶν] Olynth. II. initio. 13 πάλιν] Leptin. p. 551 e. 16 πρὸς Λεπτίνην] P. 547 b. εἰσαγαγεῖν Norrm. Vulgo εἰσαγωγήν.

Digitized by Google

κατ' εἶδος „οὗτος γὰρ ἀνὴρ τοῖς ἠτυχηκόσιν ἐν Σικελίᾳ τῶν πολιτῶν ἔδωκε μνᾶς ἑκατόν.“ 3. Καὶ πάλιν ἐν γένει „οἰκοδομήματα μέν γε καὶ κόσμον ἱερῶν καὶ λιμένων καὶ τῶν ἀκολούθων τούτοις τοσοῦτον καὶ τοιοῦτον κατέλιπον ἡμῖν ὥστε μηδενὶ τῶν ἐπιγιγνομένων ὑπερβολὴν λελεῖφθαι.“ εἶτα κατ' εἶδος „Προπύλαια ταῦτα, ὁ Παρθενών, νεώσ- (210)
οικοι.“ 4. Καὶ πάλιν ἐν τῷ πρὸς Λεπτίνην τοὺς προστρέχοντας τῷ νόμῳ βουλόμενος ἐξετάσαι καὶ διαβαλεῖν πρῶτον ἐν γένει αὐτῶν ἐμνήσθη „ᾕρηνται δὲ τῷ νόμῳ σύνδικοι, καὶ μάλιστα οἱ δεινοὶ λέγειν ἄνδρες·“ εἶτα κατ' εἶδος „Λεωδάμας Ἀχαρνεὺς καὶ Κηφισόδοτος ἐκ Κεραμέων·“ εἶτα πάλιν ἐν γένει συλλαβὼν „ἃ δὲ πρὸς τούτους ὑπολαμβάνοιτ' ἂν δικαίως ἀκούσατε·“ εἶτα πάλιν κατ' εἶδος „πρῶτον μὲν πρὸς Λεωδάμαντα·“ ὅταν μὲν οὖν μὴ ψιλὰ κατ' εἶδος λέγῃς, ἀλλὰ προσλαμβάνῃς τὰ ἐν γένει, περιβολὴν ποιεῖς.

γ'. 1. Ἔτι περιβολῆς, ὅταν τις διὰ μέσου τοῦ νοήματος, ἢ τῶν νοημάτων, πρὶν ἀπαρτίσαι τὸν νοῦν, ἕτερα ἐμβάλῃ νοήματα· ὅπερ ἐὰν μὴ ἔν τινι μέτρῳ γένηται, δεινὴν ἀσάφειαν ἐργάζεται. 2. Παράδειγμα δὲ τῆς περιβολῆς ταύτης ἐν τῷ κατὰ Ἀριστοκράτους „εἰκότως δ' ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ προσέχοιτέ μοι τὸν νοῦν καὶ μετ' εὐνοίας ἀκούσαιτε ἃ λέγω·“ εἶτα ἐκστατικὰ τοῦ ὅτι δεῖ προσέχοντας ἀκοῦσαι, ἄλλο ἐπὶ ἄλλῳ ἐπεμβεβλημένον· καὶ (212)
ταῦτα πεπλαγιασμένα „ἐπειδὴ γὰρ οὐχὶ τῶν ἐνοχλούντων ὑμᾶς, οὐδὲ τῶν πολιτευομένων παρ' ὑμῖν ὤν τι πρᾶγμα
53 τηλικοῦτον φημὶ δείξειν πεπραγμένον, ἐὰν ὅσον ἐστὶν ἐν ὑμῖν συναγωνίσησθέ μοι καὶ προθύμως ἀκούσητε·“ καὶ οὐχ ἓν τὸ ἐκβησόμενον αὐτοῖς ἐκ τοῦ ἀκοῦσαι ἀγαθόν,

---

452, 4 ἠτυχηκόσιν Norrm. Vulgo ἠυτυχηκόσιν. 5 οἰκοδομήματα] περὶ τῆς συντάξεως p. 127 c. adde contra Aristocrat. p. 758 f. 8 νεώσοικοι Norrm. νεώς, οἶκοι Ald. πρὸς Λεπτίνην] P. 563 a. 9 προστρέχοντας τῷ νόμῳ] Suspecta mihi verbi tum significatio tum constructio est, nondum alibi, quantum recordor, observata. nec προσέχοντας satis placet. Norrm. 13 προσλαμβάνῃς] προλαμβάνῃς Norrm. 15 ἀπαρτίσαι Norrm. Vulgo ἀπαρτῆσαι. 17 κατὰ Ἀριστοκράτους] Ab initio. 18 ἐκστατικὰ] παραστατικὰ Norrm.

Digitized by Google

ἀλλὰ δύο, τὸ μὲν ἐκ τοῦ παρόντος „τοῦτό τε σώσετε,“ τὸ δὲ ἐκ τοῦ μέλλοντος „καὶ ποιήσετε μὴ κατοκνεῖν, ἐάν τις καὶ ἡμῶν οἴηται δύνασθαι ποιῆσαι τὴν πόλιν ἀγαθόν.“ 3. Τοῦτο μὲν οὖν πεπλήρωται καὶ οὐδὲν λείπει αὐτῷ· ὁ δὲ, ἵνα πλείων ἡ περιβολὴ γένηται, καὶ τὸ ἐναντίον παραθεὶς ἐπανέλαβεν· [648] τί δὲ ἦν τὸ ἐναντίον τοῦ, καὶ μᾶλλόν τινα προθυμηθῆναι ἂν ποιῆσαί τι τὴν πόλιν ἀγαθόν; „νῦν δὲ πολλοῖς τοῦτο φοβουμένοις, λέγειν μὲν ἴσως οὐ δεινοῖς, βελτίοσι δὲ ὅμως ἀνθρώποις τῶν δεινῶν, οὐδὲ σκοπεῖν ἐπέρχεται τῶν κοινῶν οὐδέν.“ 4. Καὶ τοῦτ᾽ ἂν ἀπήρτιστο, ἀλλὰ καὶ ἐνταῦθα οὐκ ἤρκεσεν, ἀλλὰ καὶ κατασκευὴν τοῖς προειρημένοις ἐξ ἰδιότητος προσέθηκεν „ἐγὼ γοῦν ἀπώκνησα ἄν, εὖ ἴστε, καὶ αὐτὸς τὴν γραφὴν ταύτην ἀπενεγκεῖν.“ ὥστε τοῦτον τὸν τρόπον συμπεπλέχθαι, τὸ προσέχειν λέγοντα, καὶ τόδε ἄτοπον οὐκ ἔσται, ὀκνεῖν τινας τὴν πόλιν εὖ ποιεῖν, ὡς νῦν γε ὀκνοῦσι· διὰ τὸν φόβον καὶ τὴν ἀπειρίαν τοῦ λέγειν· ἐγὼ γοῦν μικροῦ ὤκνησα καὶ αὐτός. 5. Πῶς οὖν κατηγορεῖς; καὶ τούτου ἐξ ἰδιότητος ἡ κατασκευή· „ὅτι δεινὸν ἡγοῦμαι πρότερον μὲν, ὅτε ἔπλευσα τριηραρχῶν εἰς Ἑλλήσποντον εἰπεῖν καὶ κατηγορῆσαί τινων, οὓς ἀδικεῖν ὑμᾶς ἡγούμην, νῦν δὲ ἡσυχίαν ἄγειν καὶ σιωπῆσαι πρᾶγμα ἀλυσιτελὲς τῇ πόλει κατασκευάζοντας, ὁρῶν τινας ἀνθρώπους.“ μή τί σοι δοκεῖ ὀλίγα ἐπεμβεβλῆσθαι νοήματα, ἵνα εἰς τοῦτο καταλήξῃ πᾶσα ἡ ἔννοια;

δ΄. 1. Ἵνα δὲ ἔτι σαφέστερόν σοι γένηται ὁποῖόν τί ἐστι τὸ διὰ μέσου ἐμβαλεῖν πλείω νοήματα, ἐκεῖνο σαφέστατον παράδειγμα ἐν τῷ τῆς παραπρεσβείας „τὸ γὰρ
454 πρὸς ἄνδρα θνητὸν,“ ἓν νόημα ἐκ προσώπου „καὶ διὰ καιρούς τινας ἰσχύοντα γράφοντας εἰρήνην ἀθάνατον συνθέσθαι τὴν κατὰ τῆς πόλεως αἰσχύνην·“ τὸ πρᾶγμα τὸ γινόμενον, τὸ δὲ ἐπ᾽ αὐτῷ καὶ οὔπω ἀπήρτισται, ἀλλ᾽ ἐπεμβάλλει. 2. Πάλιν „πῶς γὰρ οὐκ αἰσχρὸν δημοσίᾳ

---

453, 9 ἀλλὰ καὶ Norrm. Vulgo ἀλλὰ οὐκ. 11 λέγοντα] λέγοντι Norrm. ἔσται] εἶναι aut ἔσεσθαι Norrm. 16 δοκεῖ Norrm. δοκῇ Ald. 19 ἐν τῷ τῆς παραπρεσβείας] P. 302 b.
454, 3 Πάλιν] Orat. cit. p. 313 c.

μὲν πάντας ὑμᾶς τοῖς πεπραγμένοις ἐκ τῆς εἰρήνης ἐπιτιμᾶν καὶ μήτε τῶν ἐν Ἀμφικτύοσι κοινωνεῖν ἐθέλειν, δυσκόλως τε ἔχειν καὶ ὑπόπτως πρὸς τὸν Φίλιππον, ὡς ἀσεβῶν καὶ δεινῶν ὄντων τῶν πεπραγμένων, καὶ οὔτε δικαίων οὔθ' ὑμῖν συμφερόντων· εἰς δὲ τὸ δικαστήριον εἰσελθόντας" νῦν πρόσεχε τοῖς ἐπιβεβλημένοις „τὰς ὑπὲρ τούτων εὐθύνας δικάσοντας" ἄλλο νόημα „ὅρκον ὑπὲρ τῆς πόλεως ὀμωμοκότας, ὃν εἰλήφατε ἐπ' αὐτοφώρῳ τοιαῦτα πεποιηκότα" νῦν τὸ συμπληροῦν „τοῦτον ἀφεῖναι."

ε'. 1. Περιβολὴν δὲ ποιεῖ καὶ ὅταν τις μὴ ἀκόλουθα ἐξετάζῃ μόνον, ἀλλὰ καὶ τἀναντία προσλαμβάνῃ, ὡς ἐν τῷ τῆς παραπρεσβείας τὸ μὲν ἁπλοῦν ἦν καὶ τὸ ἀκόλουθον οὕτως, ἐπεὶ γὰρ ἐχειροτονήσατε τοῦτον πρεσβευτήν, ὡς φυλάξοντα τοὺς ἄλλους· ἐνταῦθα τὸ ἐναντίον προσλαβὼν οὕτως ἐπάγει τὸ ἀκόλουθον „ἐχειροτονήσατε τοῦτον πρότερον" εἶτα τὸ τί ποιήσοντα; „οὐχ ὡς τῶν ἀποδωσομένων τὰ ὑμέτερα, οὐδ' ὡς τῶν πεπιστευκότων τῷ Φιλίππῳ" εἶτα νῦν τὸ ἀκόλουθον „ἀλλ' ὡς φυλάξοντα τοὺς ἄλλους." 2. Καὶ πάλιν ἐν τῷ τῆς παραπρεσβείας „ἐπειδὴ (218) δὲ ἧκεν ἡ ἐκκλησία, παρελθὼν Αἰσχίνης πρῶτος ἡμῶν ἁπάντων" καὶ οὐκ εὐθὺς τὸ ἀκόλουθον ἐπήνεγκεν, τάδε ἀπήγγειλεν, ἀλλὰ πρότερον κατὰ τὸ ἐναντίον τοῦ ἀκολούθως, ἃ δέον ἀπαγγέλλειν οὐκ ἀπήγγειλε, τίνα δὲ ἦν ταῦτα; πρῶτον „τοῦ μὲν ἀπαγγέλλειν τι περὶ τῶν πρεσβευομένων ἢ περὶ τῶν ἐν τῇ βουλῇ ῥηθέντων, εἰ ἄλλα ἠμφισβήτει, μήτ' ἀληθῆ λέγειν ἐμὲ παμπληθὲς ἀπέσχεν." εἶτα νῦν κατὰ τὸ ἀκόλουθον ἃ ἐποίει καὶ ἐδημηγόρει „καὶ τοιούτους εἶπε λόγους." 3. Ἵνα δὲ εἰδῇς ὅτι συγγένειαν ἔχει τὰ τῆς περιβολῆς θεωρήματα, εἴπομεν ἐν τοῖς ἐπάνω ὅτι περιβολή ἐστι τὰ ἐν γένει προλαβόντα κατ' εἶδος ἐπάγειν· ἀλλὰ καὶ νῦν λέγωμεν ὅτι περιβολή ἐστι τὸ μὴ μόνον τὰ ἀκόλουθα ἐξετάζειν, ἀλλὰ καὶ τὰ ἐναντία τῶν ἀκολούθων· ἐνταῦθα ἀμφότερα πεποίηκεν· ὃ μὲν οὐκ ἐποίει, ὃ δὲ ἐποίει, προθεὶς τὸ ἐναντίον πρὸ τοῦ ἀκολούθου, τὰ

7 ἐπιβεβλημένοις] ἐπεμβεβλημένοις Norrm. 11 ἐν τῷ τῆς παραπρεσβείας] P. 295 e. 13 προσλαβὼν] προλαβὼν Norrm. 15 πάλιν] P. 296 f. 18 ἀκολούθως] ἀκολούθου Norrm.

455, 3 ἐν τοῖς ἐπάνω] P. 451, 15. 6 ὃ δὲ ἐποίει Norrm.

Digitized by Google

δὲ ἐν γένει προσλαβὼν κατ' εἶδος· τὰ μὲν ἐν γένει εἰπὼν ἐν τῷ „εἶπε δὲ τοιούτους λόγους καὶ τηλικαῦτα καὶ τοιαῦτα ἔχοντας ἀγαθὰ ὥστε ἅπαντας λαβὼν ὑμᾶς ᾤχετο“ ταῦτα μὲν ἐν γένει· νῦν τὸ κατ' εἶδος „ἔφη γὰρ ἥκειν πεποικὼς Φίλιππον· εἶτα πάλιν ἐν γένει „πάνθ' ὅσα συμφέρει τῇ πόλει“ εἶτα κατ' εἶδος „καὶ περὶ τῶν ἐν Ἀμφικτύοσι καὶ [649] περὶ τῶν ἄλλων ἁπάντων.“ 4. Καὶ ἐν τῷ κατὰ Μειδίου δὲ „ὡς δέον εἴ τις ὑβρισθεὶς ὑπὸ τούτου“ τὸ μὲν ἀκόλουθον „δίκης ἀξιοῖ τυχεῖν“ τὸ δὲ ἐναντίον τοῦ ἀκολούθου „καὶ μὴ σιωπᾶν.“

ς'. 1. Περιβολῆς δὲ καὶ τὸ μὴ ψιλὰ τὰ νοήματα εἰσάγειν, τουτέστι τὰ πράγματα, ἀλλὰ προσλαμβάνειν αὐτῶν τὴν γνώμην τῶν τοιούτων, ἢ τὴν ποιότητα τῆς γνώμης· οὕτω περιβολὴν εἰργάσατο „δοκοῦσι δέ μοι Λακεδαιμόνιοι μάλα δεινῶν ἔργον ἀνθρώπων ποιεῖν·“ εἶτα τὸ γιγνόμενον ὑπ' αὐτῶν, „νυνὶ γάρ φασι δεῖν ἐκεῖνο Ἠλείους μὲν τῆς Τριφυλίας τινὰ κομίσασθαι.“ 2. Καὶ ἐν τοῖς Φιλιππικοῖς „δοκεῖτε δέ μοι πολὺ βέλτιον ἂν περὶ τοῦ πολέμου καὶ ὅλης τῆς παρασκευῆς βουλεύσασθαι“ εἶτα ἐπάγει ὧν ἕνεκα ταῦτα προελήφθη „εἰ τὸν τόπον, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς χώρας ᾗ πολεμεῖτε ἐνθυμηθείητε.“

ζ'. Περιβολὴν δὲ ποιεῖς καὶ ὅταν πρὶν τὸ εἰσαγό-
456 μενον εἰπεῖν, τὸ κατασκευαστικὸν αὐτοῦ προλάβῃς. οἷον ἐν τῷ πρὸς Λεπτίνην εἰ μὲν ἁπλῶς καὶ χωρὶς περιβολῆς ἔλεγεν, οὕτως ἂν εἶπε, καὶ τῶν μὲν τοὺς ἐξ ἄστεος κελευόντων ἀποδοῦναι, τῶν δὲ κοινῇ συνδιαλῦσαι· νῦν δὲ ὅρα πῶς προέλαβε τὰ κατασκευαστικὰ καθ' ἑκάτερον· „καὶ τῶν μὲν“ οὐκ εὐθὺς εἶπε τοὺς ἐξ ἄστεος, ἀλλὰ διὰ μέσου „τοὺς δανεισαμένους ἀποδοῦναι κελευόντων, τοὺς ἐξ ἄστεος, τῶν δὲ“ καὶ οὐκ εὐθὺς ἀντέθηκε, κοινῇ διαλῦσαι, ἀλλὰ πάλιν προέλαβεν τὸ κατασκευαστικὸν „τῶν δὲ τοῦτο πρώ-

Aberat δὲ. 7 προσλαβὼν] προλαβὼν Norrm. κατ' εἶδος] Plenum erat τὰ κατ' εἶδος ἐπάγει. Norrm. 11 Μειδίου] P. 620 b. 14 τοιούτων] ποιούντων Norrm. 15 εἰργάσατο] Δημοσθένης addit Norrm. cuius locus est ex oratione pro Megalopolitis. 17 ἐν τοῖς Φιλιππικοῖς] I. p. 51 d.

456, 1 πρὸς Λεπτίνην] P. 542 e. 5 ἀντέθηκε] Vulgo

Digitized by Google

τον ὑπάρξαι σημεῖον ἀξιούντων τὸ κοινῇ διαλύσασθαι τὰ χρήματα.“

η΄. Περιβολῆς καὶ τοῦτο, ὅταν μὴ ψιλὸν τὸ εἰσαγόμενον λέγῃς. οἷον ἐν τῷ πρὸς Λεπτίνην τὸ μὲν εἰσαγόμενον, τοῦτο μὲν ἐν τοῖς κυρίοις νόμοις ὑπάρχον, τὰς δωρεὰς ὅσας ὁ δῆμος ἔδωκε κυρίας εἶναι, ὁ δὲ προὔλαβε τὴν ποιότητα τοῦ εἰσαγομένου „ταῦτο μὲν ἐν τοῖς οὖσι νόμοις κυρίοις ὑπάρχον·“ εἶτα ἡ ποιότης προσληφθεῖσα „καλὸν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σαφές·“ καὶ νῦν τὸ (224) εἰσαγόμενον „τὰς δωρεὰς ὅσας ὁ δῆμος ἔδωκε κυρίας εἶναι. καὶ πάλιν ἐπ᾽ αὐτῷ ἡ ἐπίκρισις· δίκαιον ὦ γῆ καὶ θεοί· καὶ ἄλλως ὅπου ἂν μὴ ψιλὰ τὰ πράγματα εἰσάγῃς, ἀλλὰ προσλαμβάνῃς τι αὐτῶν, ἢ ἐπάγῃς τι αὐτοῖς, περιβολὴν ἐργάσῃ.

θ΄. Περιβολὴν δὲ ποιεῖς καὶ ὅταν εἰσάγων τι παρ᾽ αὐτοῦ, οἷον, Κόνων ὑμᾶς τοσαῦτα εὐεργέτησε, μὴ εὐθὺς εἴπῃς τί ἐποίησεν, ἀλλὰ προσλαβὼν ἐκ τίνων τίνα ἐποίησε, πῶς ἐχόντων ἐποίησεν. ὡς ἐν τῷ πρὸς Λεπτίνην, τὸ μὲν εὐεργέτημα „κατεναυμάχησεν·“ ὁ δὲ πρὶν τοῦτο εἰπεῖν, προλαβὼν προσηγάγετο· καὶ πῶς ἐχόντων τί ἐποίησεν „μετὰ τὴν τοῦ δήμου κάθοδον, τὴν ἐκ Πειραιῶς, ἀσθενοῦς ὑμῶν τῆς πόλεως οὔσης καὶ ναῦν οὐδεμίαν κεκτημένης, στρατηγῶν βασιλεῖ, παρ᾽ ἡμῶν οὐδ᾽ ἡντιναοῦν ἀφορμὴν λαβών.“ νῦν τὸ γενόμενον ὑπ᾽ αὐτοῦ „κατεναυμάχησε Λακεδαιμονίους.“

Β΄. α΄. 1. Κατὰ δὲ σχῆμα περιβολὴ γίνεται οὕτω· τὸ καθ᾽ ὑπόθεσιν σχῆμα μάλιστα περιβολὴν ἐργάζεται· καὶ ὅταν τις ὑποστάσεσι χρῆται. ὅ τι δέ εἰσιν ἐν τῷ λόγῳ αἱ ὑποστάσεις καὶ ὅσον δύνανται ἐπὶ παραδειγμάτων γνώσῃ· ὥσπερ ἐν τῷ κατὰ Κόνωνος εὐθὺς ἐν ἀρχῇ „ὑβρισθείς, (226)

---

ἀντέθεικε. 8 Post λέγῃς deesse mihi videtur pars altera praeceptionis, quam ex iis, quae ad appositum exemplum annotantur, hoc fere modo reconcinnare possis ἀλλὰ καὶ τὰς ποιότητας αὐτοῦ προλαμβάνῃς καὶ τὴν ἐπίκρισιν αὐτῷ ἐπάγῃς. Norrm. πρὸς Λεπτίνην] P. 555 b. 14 προσλαμβάνῃς] προλαμβάνῃς Norrm. 15 παρ᾽ αὐτοῦ] περί του aut παρ᾽ αὐτοῦ Norrm. 16 ἐποίησεν Norrm. Vulgo ἐποίησας. προλαβὼν Norrm. 17 πρὸς Λεπτίνην] P. 551 a. 17 Λακεδαιμονίους κατεναυμάχησεν Norrm.

ὦ ἄνδρες δικασταί, καὶ παθὼν ὑπὸ Κόνωνος τούτου γε·“ καὶ τὸ μὲν ἁπλοῦν ἦν οὕτως εἰπεῖν, πολλὰ καὶ δεινὰ ἢ καὶ διάφορα πράγματα, ὧν οὐδὲν γέγονε δεινότερον· ὁ δὲ διὰ τῆς ὑποστάσεως περιβολὴν εἰργάσατο „τοιαῦτα ὥστε πολὺν χρόνον πάνυ μήτε τοὺς οἰκείους μήτε τῶν ἰατρῶν μηδένα προσδοκᾶν περιφευξεῖσθαί με.“ 2. Διαφέρει δέ τι καὶ τὸ ἴδιον τῆς ὑποστάσεως· τούτῳ γὰρ πάνυ πρόσεχε· ὅτι εἰ μὲν ἁπλῶς εἶπεν, ὑβρισθεὶς, ὦ ἄνδρες δικασταί, καὶ παθὼν ὑπὸ Κόνωνος πολλὰ καὶ δεινά· ἀπήρτιστο ἂν τὸ νόημα καὶ οὐδενὸς προσέδει καὶ ἔδει μεταβῆναι· τὸ δὲ τῇ ὑποστάσει ἀναρτῆσαι ἐν τῷ εἰπεῖν „καὶ παθὼν τοιαῦτα“ ἀκόλουθον ἔσχε τὸ ἐπαγαγεῖν ποδαπά· „ὥστε πολὺν χρόνον πάνυ μήτε τοὺς οἰκείους μήτε τῶν ἰατρῶν μηδένα προσδοκᾶν περιφεύξεσθαί με.“ ἡ ὑπόστασις οὖν τοῦτο δύναται· πολλὰ ἐξ ἑνὸς ποιῆσαι τὸ ὄνομα καὶ περιβολὴν ἐργάσασθαι. 3. Καὶ πάλιν [650] ἐν τῷ κατὰ Κόνωνος προϊὼν λέγει „καὶ τὸ μὲν πρῶτον κακῶς ἔλεγον, τελευτῶντες δὲ καὶ πληγὰς ἐνέτειναν ἐμοί.“ καὶ τὸ μὲν ἁπλοῦν ἦν εἰπεῖν, καὶ κραυγὴν πολλὴν καὶ θόρυβον περὶ τὴν σκηνὴν ἐποίησαν· ἀλλ' ἀπήρτιστο ἂν τὸ νόημα καὶ ὅμοιον ἦν ἐρριμμένῳ· νῦν δὲ ἡ ὑπόστασις τὴν περιβολὴν εἰργάσατο „καὶ τοσαύτην κραυγὴν καὶ θόρυβον περὶ τὴν σκηνὴν ἐποίησαν·“ ἀκολουθεῖ γὰρ τῇ κατὰ τὴν ὑπόστασιν ἀναρτήσει πάντως ἄλλο ἐπαχθῆναι
458 νόημα· τοσαύτην κραυγὴν ἐποίησαν ὥστε καὶ τὸν στρατηγὸν καὶ τοὺς ταξιάρχους ἐλθεῖν. 4. Καὶ ἄλλη ὑπόστασις ἐν τῷ λόγῳ· τὸ μὲν ἁπλοῦν ἦν εἰπεῖν· κακῶς με διέθηκαν ἐναλλόμενοι καὶ παίοντες· ἡ δὲ περιβολὴ ἐκ τῆς ὑποστάσεως „οὕτω διέθηκαν ἐναλλόμενοι καὶ παίοντες ὥστε τὸ μὲν χεῖλος διακόψαι.“

β. Περιβολῆς δὲ σχῆμα καὶ τὸ κατὰ τὴν ἀπαρίθμησιν. παράδειγμα δὲ τούτου ἐν τῷ τῆς παραπρεσβείας, ὅπου λέγει „τίνα οὖν χρὴ παρὰ πρεσβευτοῦ λόγον λα-

457, 8 ὁ δὲ Norrm. Vulgo ἃ δὲ. 9 προσδοκῶ Ald. 10 τούτῳ Norrm. Vulgo τοῦτο. 15 τὸ ὄνομα] τὰ ὀνόματα Norrm. 20 ἀπαχθῆναι Ald.

458, 2 κακῶς με Norrm. Vulgo καθῆκε. 6 παραπρεσβείας]

βεῖν;" καὶ τὸ μὲν ἁπλοῦν ἦν οὕτως εἰπεῖν, ὧν ἀπήγγειλεν, ὧν ἔπεισε· τὸ δὲ τῆς περιβολῆς ἐν τῇ ἀπαριθμήσει „πρῶτον μὲν τοίνυν ὧν ἀπήγγειλε, δεύτερον δὲ ὧν ἔπεισε, τρίτον δὲ ὧν προσετάξατ' αὐτῷ." καὶ πάλιν ἑτέρωθι „τοῦ χάριν δὴ ταῦτα διεξῆλθον; πρώτου μὲν, ἵνα (230)
γνῶτε καὶ μάθητε· δευτέρου δὲ οὐδὲν ἐλάττονος τούτου."

γ'. 1. Καὶ παραλείψεις περιβολὴν ποιοῦσιν. ὡς ἐν τῷ κατὰ Μειδίου „ὅσα μὲν οὖν ἢ τοὺς χορευτὰς, ἐναντιούμενος ἡμῖν ἀφεθῆναι τῆς στρατιᾶς, ἠνώχλησεν, ἢ προβαλλόμενος ἑαυτὸν εἰς Διονύσια χειροτονεῖν ἐπιμελητὴν, καὶ τὰ ἄλλα πάντα ὅσα τοιαῦτα ἐάσω·" καὶ πάλιν „ὅτι μὲν γραφὴν λειποταξίου κατεσκεύασε κατ' ἐμοῦ καὶ τὸν τοῦτο ποιήσαντα ἐμισθώσατο, τὸν μιαρὸν καὶ λίαν εὐχερῆ, τὸν κονιορτὸν Εὐκτήμονα, ἐάσω." 2. Χρὴ δὲ εἰδέναι ὅτι αἱ μὲν ἀόριστοί εἰσιν παραλείψεις, αἱ δὲ κατ' εἶδος. ἀόριστοι μὲν αἱ τοιαῦται „πάντα μὲν οὔτ' ἂν ἔγωγε δυναίμην πρὸς ὑμᾶς εἰπεῖν οὔτ' ἂν ὑμεῖς ἐβούλεσθε ἀκούειν, ὅσα ἔλαβε παρ' ἀμφοτέρων δῶρα." μάλιστα δὲ τὸ γένος ποιεῖ· περιβολὴν οὖν ποιοῦσιν αἱ τοιαῦται ἐν τῷ ἀορίστῳ· αἱ δὲ κατ' εἶδος παραλείψεις. οἷον „Ὄλυνθον μὲν δὴ καὶ Ἀπολλωνίαν καὶ δύο καὶ τριάκοντα πόλεις ἐπὶ Θρᾴκης ἐῶ." καὶ αἱ μὲν κατ' ἀρχὰς γίνονται παραλείψεις, ὥσπερ (232)
αὕτη „Ὄλυνθον μὲν δὴ καὶ Ἀπολλωνίαν." αἱ δὲ ἐπὶ τέλει, ἐν οἷς λέγει „τὰς δὲ ἐπ' Ἰλλυριοὺς καὶ Παίονας

---

Ab initio. 9 ἑτέρωθι] Ibid. p. 297 e. 11 Μειδίου] P. 605 d. 12 στρατιᾶς] In editis χορείας habetur: quibuscum facit et Hermogenes Methodo VII. sed germana lectio est στρατείας, quam et sententia loci recte expensa tuetur et agnoscit scholiastes, una cum indice variarum lectionum. nec aliter Alexander περὶ σχημάτων cap. XIX. περὶ παραλείψεως. Norrm. 14 πάλιν] Ibid. p. 619 e. 17 πάντα μὲν] Conf. κατὰ Μειδίου p. 624 c. Si eo de loco, quem conferendum censuimus, ut fere suspicamur, haec desumta sunt, non manifestius aliud exemplum esse potest quanto cum periculo de penu memoriae aliena nonnunquam verba proferantur; quippe adeo variata ac contorta ut aliam prorsus a Demosthenica sententiam exhibeant. Norrm. 18 τὸ γένος] Sup. σεμνότ. γ'. ε'. Norrm. 19 παραλήψεις Ald. 20 Ὄλυνθον] Philipp. III. p. 89 c.

450, 1 παραλήψεις Ald. 2 ἐν οἷς λέγει] Olynth. I. p. 3 b.

αὐτοῦ καὶ ὅποι τις ἂν εἴποι παραλείπω στρατείας." 4. Τῶν δὲ ἐπὶ τέλει καὶ αὕτη ἡ παράλειψις, περιβολὴν ἔχουσα „πολλὰ δὲ ἔχων καὶ ἄλλα ἐπιδεῖξαι, ἃ τούτοις ἐστὶ πεπραγμένα, καὶ εἰσὶν ἐψευσμένοι, ἡδέως μὲν ἂν ὑμῖν λέγοιμι· ἐπειδὴ δὲ ἔξω τοῦ πράγματος ὑπολαμβάνω εἶναι, ἐάσω." 5. Αὐξήσεις δὲ περιβολὴν, ἐὰν μὴ ψιλὰς τὰς παραλείψεις λέγῃς, ἀλλὰ καὶ τὰς αἰτιολογίας αὐτῶν προστιθῇς, ὡς ἐν τῷ πρὸς Λεπτίνην „ὃν μὲν οὖν τρόπον ὑμᾶς ἔχων πρὸς Πελοποννησίους ἅπαντας παρετάξατο ἐν Θήβαις, καὶ ὡς Γοργώπαν ἀπέκτεινεν ἐν Αἰγίνῃ, καὶ ὅσα ἐνῆν πρώην ἐποίησε, καὶ μετὰ ταῦτα ἐν Αἰγύπτῳ καὶ ὅτι πᾶσαν ἐπελθὼν ὀλίγου χώραν, οὐδαμοῦ τὸ τῆς πόλεως ὄνομα οὐδ' αὐτὸν κατῄσχυνε." καὶ ἡ αἰτιολογία δι' ἣν παραλείπει, ὅτι ἀδύνατον κατὰ τὴν ἀξίαν εἰπεῖν „πολλή τε αἰσχύνη λέγοντος ἐμοῦ ταῦτα ἐλάττω φανῆναι τῆς παρ' ἑκάστῳ περὶ αὐτοῦ δόξης ὑπαρχούσης."

δ'. 1. Μάλιστα δὲ περιβολὴν καὶ οἱ μερισμοὶ ἐργάζονται, ὅταν τὰ νοήματα μὴ καθ' ἓν εἰσάγῃς, ἀλλὰ μερίζων ἀντιτιθῇς, ὥσπερ ἐν Φιλιππικοῖς „εἰ δ' ὁ μὲν ὡς ἀεί τι μεῖζον τῶν ὑπαρχόντων δεῖ πράττειν ἐγνωκὼς ἔσται, ὑμεῖς δὲ ὡς οὐδενὸς ἀντιληπτέον τῶν πραγμάτων" τοῦτο μὲν οὖν εἰς πρόσωπα ἔστι μερίσαι τὸ νόημα, ἔστι δὲ μερισθὲν εἰς πρόσωπον καὶ τόπον „οὐκοῦν ὑμῶν μὲν μὴ δυναμένων ἐνθένδε ἀναπλεῦσαι, ἐκεῖ δὲ μηδεμιᾶς οὔσης ἑτοίμου βοηθείας." 2. Πάνυ δὲ Ἰσοκράτης χαίρει τούτῳ τῷ τρόπῳ τῶν μερισμῶν, περιβολὴν ἐργαζόμενος· παραδείγματος δὲ ἕνεκα ἓν ἢ δύο [651] ἐκ τοῦ περὶ τῆς
460 εἰρήνης Ἰσοκράτους· „εἰς τοῦτο γὰρ κατέστημεν" καὶ μερισμὸς „τῶν μὲν οἰκείων ἀμελείας, τῶν δὲ ἀλλοτρίων ἐπιθυμίας·" εἶτα λέγων τὰ ἐκ τούτων αὐτοῖς ἀποβάντα ἄτοπα μερίζει „τοὺς μὲν τάφους τοὺς δημοσίους τῶν πο-

---

3 στρατείας] στρατειάς Ald. παράλειψις Norrm. παράληψις Ald. Sic idem correxit 6. πολλὰ δὲ ἔχων] In Eubulid. p. 892 b. 5 ἐψευσαμένοι Ald. ὑμῖν] ἡμῖν Ald. 7 Λεπτίνην] p. 503 b. 8 ἔχων] ἔχω Ald. 9 αἰγείνῃ Ald. 11 οὐδ' αὐτὸν κα- ῄσχυνε Ald. 12 τῆς] τοῖς Ald. 15 εἰ δ' ὁ] Olynth. I p. 3 c. 18 οὐκοῦν] De Cherson. p. 77 e. 20 εἰς τοῦτο] De Pace p. 416.

λιτῶν ἐνέπλησαν, τὰς δὲ φρατρίας καὶ τὰ ληξιαρχικὰ γραμματεῖα ξένων.“ 3. Εἶτα πάλιν ἐξαριθμούμενος τὰ τοῖς Λακεδαιμονίοις ἀπὸ τῆς ἀρχῆς τῆς κατὰ θάλατταν συμβάντα λέγει „ἀνέπλησεν αὐτοὺς ἡ θάλαττα τοὺς μὲν (236) ἰδιώτας ἀδικίας, ἀνομίας, ἀρρυθμίας, φιλοχρηματίας, τὸ δὲ κοινὸν τῆς πόλεως“ οὐχ ἁπλῶς ἀντέθηκεν τοῦ δι' ἧς καὶ τοῦδε, ἀλλὰ πάλιν ἐπεμέριζε „τὸ δὲ κοινὸν τῆς πόλεως τῶν μὲν ὑπερβορείων ἐπιθυμίας, τῶν δὲ ἀλλοτρίων.“ 4. Ἀλλὰ καὶ οἱ ἐπιμερισμοὶ περιβολὴν ἐργάζεσθαι δύνανται· οἷον, οὐ μόνον τόδ' ἐποίησας, ἀλλὰ καὶ τόδε· „μὴ μόνον πόλεων καὶ τόπου, ὧν ἡμέν ποτε κύριοι, φαίνεσθαι προϊεμένους, ἀλλὰ καὶ τῶν ὑπὸ τῆς τύχης παρασκευασθέντων συμμάχων τε καὶ καιρῶν.“ 5. Καὶ ἐν τῷ πρὸς Λεπτίνην „οὐ τοίνυν μὴ Λεύκων ἠδικήθη μόνον δεῖ σκοπεῖν, ἀλλὰ καὶ εἴ τις ἄλλος·“ ἔστι δὲ τὸ κατὰ τὸν Ἐπικέρδην εἰσαγόμενον. καὶ πάλιν „οὐ τοίνυν μόνον, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς ἰδίᾳ γνόντας εὖ ποιεῖν ὑμᾶς καὶ παρασχόντας χρησίμους ἑαυτοὺς ἄξιόν ἐστιν εὐλαβηθῆναι ἀδικῆσαι, ἀλλὰ καὶ πολλούς, οἳ πόλεις ὅλας, τὰς ἑαυτῶν πατρίδας, συμμάχους ἡμῖν ἐπὶ τοῦ πρὸς Λακεδαιμονίους πολέμου παρέσχον·“ καὶ πάλιν „οὐ τοίνυν μόνον ὁ Κόνων (238) ὑφ' ἡμῶν τότ' ἐτιμήθη πράξας ἃ διεξῆλθον ἐγώ, ἀλλὰ καὶ ὑπ' ἄλλων πολλῶν.“

ε΄. Περιβολὴν δὲ ἔχει καὶ τὸ ἐκ παραθέσεως εἰσάγειν τὰ νοήματα, ὅταν μὴ ἁπλῶς εἴπῃ, τόδε ἐγένετο καὶ τόδε, ἀλλ' ἀντὶ μὲν τοῦ τόδε μὲν γενέσθαι, τόδε ἐγένετο. ἀντὶ δὲ τοῦ τόδε, τόδε. ὡς ὁ Δημοσθένης ἐν τῷ τῆς παραπρεσβείας „ἀντὶ μὲν γὰρ τοῦ Θεσπίας καὶ Πλαταίας ἰδεῖν οἰκιζομένας Ὀρχομενὸν καὶ Κορώνειαν ἠκούσατε ἐξηνδραποδισμένας.“ 2. Καὶ Ἰσοκράτης δὲ χαίρει τῷ ἐκ παραθέσεως σχήματι περιβολὴν ἐργαζόμενος· ἀντὶ μὲν γὰρ τοῦ φρουρεῖν τὰς ἄλλων ἀκροπόλεις, τῆς αὑτῶν ἐπεῖδον τοὺς

---

460, 4 πάλιν] P. 422. 4 τοῖς Λακεδαιμονίοις Norrm. τῆς Λακεδαιμονίας Ald. 7 τοῦ δι' ἧς] τοῦδε ἐνέπλησε Norrm. 9 μὴ μόνον] Olynth. II. initio. 11 πρὸς Λεπτίνην] P. 547 a. 13 πάλιν] P. 548 d. 16 πάλιν] P. 551 d. 19 τόδε μὲν] τόδε δεῖν Norrm. 20 παραπρεσβείας] P. 344 e.

πολεμίους κυρίους γενομένους, ἀντὶ δὲ τοῦ παῖδας ὁμήρους λαμβάνειν, τοὺς ἑαυτῶν φησιν ἐπιδεῖν ἀναξίως τρεφομένους, ἀντὶ δὲ τοῦ γεωργεῖν τὰς χώρας τὰς ἀλλοτρίας, πολλῶν ἐτῶν οὐδὲ ἰδεῖν αὐτοῖς ἐξεγένετο τὴν ἑαυτῶν."

ϛʹ. 1. Περιβολὴν δὲ καὶ αἱ συμπληρώσεις ἐργάζονται· ἐν τῷ κατὰ Κόνωνος „ὅτι μὲν τοίνυν οὐ μετρίας τινὰς καὶ φαύλας λαβὼν πληγάς·" καὶ τὸ ἀντικείμενον τῷ οὐ φαύλας λαβὼν πληγὰς „ἀλλὰ ἐπανελθὼν διὰ τὴν ὕβριν καὶ τὴν ἀσέλγειαν τὴν τούτων·" ἐπάγει τί παθὼν τί πεποίηκεν· „πολλῷ τε τῆς προσηκούσης ἐλάττω δί' ... εἴληχα·" νῦν τὸ συλληπτικὸν εἰς ἐπίτασιν ὁμολογούμενον „πολλαχόθεν νομίζω δῆλον ὑμῖν γεγενῆσθαι." 2. Ὡς δὲ ἤδη παρακολουθοῦντί σοι τὰ καθ' ἕκαστον θεωρήματα τῆς περιβολῆς παρέδειξα, ἐφ' ὧν γέγονεν ἡ συμπλήρωσις, ἐπεὶ τό γε αὐτὴν θεῖναι τὴν συμπλήρωσιν τοιοῦτον ἦν· ὅτι μὲν τοίνυν οὐ μετρίας καὶ φαύλας τινὰς λαβὼν πληγὰς, ἀλλ' ἐπανελθὼν διὰ τὴν ὕβριν καὶ τὴν ἀσέλγειαν τὴν τούτων, πολλῷ τῆς προσηκούσης ἐλάττω δίκην εἴληχα, νομίζω δῆλον ὑμῖν γεγενῆσθαι. 3. Εἰσὶ δὲ καὶ ἄλλαι συμπληρώσεις θαυμαστὴν περιβολὴν ἐργαζόμεναι, ἅμα τὸ τὸ προειρημένον συμπληροῦσαι καὶ ἀπαρτίζουσαι καὶ μετάβασιν ἐπὶ τὸ ἑξῆς εἰσαγόμενον παρέχουσαι, ὡς ἐν τῷ ὑπὲρ τοῦ στεφάνου „ἃ μὲν τοίνυν ἐγὼ παρεσχόμην εἰς τὸ δικαιοῦν τοιαῦτα γράφειν περὶ ἐμοῦ πρὸς πολλοῖς ἄλλοις ταῦτα καὶ παραπλήσια τούτοις ἐστί·" μέχρις ἐνταῦθα ἡ συμπλήρωσις· εἶτα ἡ ἐπαγγελία τοῦ ἐφεξῆς „ἃ δὲ πάντες ὑμεῖς ἴστε, ταῦτ' ἤδη λέξω."

462 ζʹ. 1. Καὶ τὸ πλαγιάζειν τὰ νοήματα μάλιστα περιβολῆς ἐστιν, ὥστε καὶ ἐν ταῖς ἀφηγήσεσιν, εἰ πλαγιά-

---

461, 3 ἀντὶ μὲν] Isocrates de Pace p. 420. ἐπιδεῖν] ἐπίδον Ald. 4 πολεμείους Ald. 7 ἐν] ὡς ἐν Norrm. κατὰ Κόνωνος] P. 1110 e. 8 τῷ Norrm. Vulgo τό. 9 τί πεποίηκεν Norrm. Aberat τί. 10 δι'] δίκην, ut mox. Norrm. 11 et 15 ὑμῖν] ἡμῖν Ald. 12 ἐφ'] ἀφ' Norrm. 15 δῆλον] Vulgo δ' ἦν. 18 στεφάνου] Sect. LXXIV.

462, 1 Hinc satis constat quid sit πλαγιασμὸς τῶν περιόδων ap. Photium Biblioth. p. 801, 16. quod ad obliquitatem sententiarum captiosasque ambages detorquet Cresollius Theatro Rhet. II.

σθείη τὰ νοήματα, θαυμαστὴν περιβολὴν ἐργάζεται. ὡς ὁ Δημοσθένης ἐν τῷ κατ᾽ Αἰσχίνου „καὶ ἔχων Ἴσχανδρον τὸν Νεοπτολέμου δευτεραγωνιστὴν“ [652] οὐκ ὤρθωσεν εἰπών, προσήει τῇ βουλῇ, ἀλλὰ πάλιν ἐπλαγίασε „καὶ προσιὼν μὲν τῇ βουλῇ, προσιὼν δὲ τῷ δήμῳ περὶ τούτων·“ καὶ ἄλλο πεπλαγιασμένον „καὶ πείσας ὑμᾶς πανταχοῦ πρέσβεις ἐπὶ τούτων πέμψαι·“ καὶ ἄλλο τοῦ αὐτοῦ τρόπου „καὶ ἐπαγγέλλων“ καὶ ἕτερον ἐπὶ τούτων „καὶ διεξιὼν ἡλίκα τὴν Ἑλλάδα πᾶσαν ἀδικοῦσιν, οὐ τὰς ἰδίας μόνον πατρίδας, οἱ δωροδοκοῦντες καὶ χρήματα λαμβάνοντες παρὰ Φιλίππου.“ 2. Πῶς δὲ Αἰσχίνης; „Ἀμύντου μὲν νεωστὶ τετελευτηκότος·“ καὶ ἄλλος πλαγιασμὸς „καὶ Ἀλεξάνδρου τοῦ πρεσβυτέρου τῶν ἀδελφῶν, Περδίκκου δὲ καὶ Φιλίππου παίδων ὄντων·“ καὶ ἄλλος πλαγιασμὸς (244) „Παυσανίου δὲ ἐπὶ τὴν ἀρχὴν αὐτὴν κατιόντος, φυγάδος μὲν ὄντος, τῷ καιρῷ δὲ ἰσχύοντος.“ καὶ πάλιν ἄλλος ἐπ᾽ ἄλλῳ πλαγιασμῷ „πολλῶν δὲ αὐτῷ συμπραττόντων, ἔχοντος δὲ Ἑλληνικὴν δύναμιν, εἰληφότος δὲ Ἀνθεμοῦντα καὶ Θέρμαν, Μακεδόνων δὲ οὐχ ὁμονοούντων, ἀλλὰ τῶν πλείστων τὰ Παυσανίου φρονούντων, ἐπὶ τῶν καιρῶν τούτων“ ὤρθωσε δὲ καὶ ἀνέπαυσεν ἡμᾶς „ἐχειροτόνησαν Ἀθηναῖοι στρατηγὸν Ἰφικράτην.“

Γ΄. α΄. Κατὰ δὲ τὴν ἀπαγγελίαν γίνεται περιβολὴ οὕτως, ὅταν τις τοῖς ἰσοδυναμοῦσι χρῆται. χρὴ δὲ εἰδέναι ὅτι τῶν ἰσοδυναμούντων τὰ μὲν κατὰ τὸ ἀκόλουθον παρατίθεται, τὰ δὲ κατὰ τὸ ἐναντίον τοῦ ἀκολούθου. τὰ μὲν κατὰ τὸ ἀκόλουθον, ὅπου λέγει „ἔρρωσαι καὶ σαυτῷ πιστεύεις.“ καὶ πάλιν „τὴν μὲν ἀσέλγειαν καὶ τὴν ὕβριν.“ καὶ πάλιν „τὸν πλοῦτον καὶ τὴν περιουσίαν.“ ἢ „τοὺς ἑταίρους καὶ φίλους.“ τὰ δὲ κατὰ τὸ ἐναντίον τοῦ ἀκολού-

---

confer de dictione simplici *E. α.* p. 392. 396. et Hermog. I, 3. et 9. Norrm. 1 et 2 πλαγιάζειν et πλαγιασθείη Norrmannus comparata p. 182. Vulgo πλησιάζειν et πλησιασθείη. 3 ἐν τῷ κατ᾽ Αἰσχίνου] Non procul initio. 7 ἐπὶ τούτων] ἐπὶ τούτῳ Norrm. ἡλίκα] ἡνίκα Ald. 9 Αἰσχίνης] De fals. leg. p. 399 d. 19 ἔρρωσαι] Contra Androtion. p. 703 a. πάλιν] Midian. initio.

Digitized by Google

θου ἰσοδυναμοῦντα πάλιν „ταῦτα ἀμελούμενα ἰδὼν καὶ οὐδεμιᾶς βοηθείας τυγχάνοντα.“ ἰσοδυναμοῦν δὲ κἀκεῖνο „πάντας ὑμᾶς καὶ ὅλον τὸν δῆμον.“

β'. Εἰδέναι δὲ χρὴ ὅτι καὶ τοῦτο οὐδενὸς ἔλαττον τὸ θεώρημά ἐστιν, ὅτι ἡ σεμνότης καὶ ἡ περιβολὴ κοινωνοῦσι κατὰ πάντα· καθ' ὅσα γὰρ καὶ συνίσταται, κοινωνοῦσιν ἀλλήλαις. καὶ δεῖ οὕτω διανοεῖσθαι περὶ αὐτῶν.

### Περὶ ἀξιοπιστίας. Δ'.

Α'. α'. Ἀξιοπιστία δὲ γίνεται διχῶς, κατὰ γνώμην καὶ κατὰ σχῆμα. κατὰ μὲν γνώμην οὕτως, ὅταν τις προσυνίστησι τὰ ἑαυτοῦ δίκαια, ὡς ἀληθῆ ὄντα καὶ ῥᾳδίως δειχθῆναι, ὡς ἐν τῷ κατὰ Ἀριστοκράτους „πάνυ μικρὸν ὑπείληφά μοι τὸν λόγον, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ῥᾴδιον εἶναι περὶ τοῦ παρὰ τοῦτον εἰρῆσθαι τὸν νόμον τὸ ψήφισμα.“

β'. Ἀξιόπιστον δὲ καὶ τὸ τὰ ζητούμενα τῶν ἀποδεδειγμένων καὶ ὁμολογουμένων προσποιεῖσθαι εἶναι περιφανέστερα, ὡς ἐν τῷ κατὰ Ἀριστοκράτους ἀποδείξας τὸ παράνομον, ὑπολειπομένου ἐξετασθῆναι τοῦ ἀσυμφόρου, ἀξιοπίστως προσβαλὼν προσεποιήσατο ἔτι καὶ τοῦ παρανόμου φανερώτερον τὸ ἀσύμφορον, τὸ ζητούμενον τοῦ ἀποδεδειγμένου ἐν οἷς λέγει „οὕτω γὰρ σφόδρα ἐναντίον τοῖς νόμοις τὸ ψήφισμα, μᾶλλον ἀσύμφορόν ἐστιν ἢ παράνομον.“

γ'. Ἀξιοπιστίας δὲ καὶ τὸ τοῖς ὅρκοις καὶ ταῖς ἀραῖς χρῆσθαι. οἷον „καλῶ δὲ ἐναντίον ὑμῶν τοὺς θεοὺς πάντας καὶ πάσας ὅσοι τὴν χώραν ἔχουσι τὴν Ἀττικήν, καὶ τὸν Ἀπόλλω τὸν Πύθιον, ὃς πατρῷός ἐστι τῇ πόλει, καὶ ἐπεύχομαι πᾶσι τούτοις, εἰ μὲν ἀληθῆ πρὸς ὑμᾶς εἴποιμι καὶ εἶπον τότ' εὐθὺς ἐν τῷ δήμῳ, εὐτυχίαν μοι δοῦναι
464 καὶ σωτηρίαν· εἰ δὲ πρὸς ἔχθραν ἢ φιλονεικίας ἰδίας ἕνεκα,

463, 1 ταῦτα] Philipp. IV. p. 97 b. 2 πάντας] De falsa leg. p. 313 d. 8 Ἀριστοκράτους] P. 739 d. 11 Ἀριστοκράτους] P. 741 e. 12 ἀξιοπίστως Norrm. Vulgo ἀξιοπίστου. 16 οἷον] De corona XLVI.

Digitized by Google

πάντων ἀγαθῶν ἀνόνητόν με ποιῆσαι.“ καὶ πάλιν „πρῶτον μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν εἰς τουτονὶ τὸν ἀγῶνα.“ καὶ ἐν τῷ κατὰ Κόνωνος „καὶ εἰ μὲν εὐορκῶ, πολλά μοι γένοιτο ἀγαθὰ καὶ μηδέποτε αὖθις τοιοῦτον μηδὲν πάθοιμι· εἰ δὲ ἐπιορκῶ, ἐξώλης ἀπολοίμην αὐτός τε καὶ εἴ τί μοί ἐστιν ἢ μέλλει ἔσεσθαι.“

δ'. Ἀξιοπιστίας δὲ καὶ ὅταν τις τὰς κρίσεις τῶν ταῦτα [653] ἀκουόντων ἐφ' οἷς ἂν λέγῃ προσλαμβάνῃ, ὡς καὶ παρ' ἐκείνοις ὁμολογουμένων τῶν πραγμάτων· ὅταν λέγῃ ἐν τῷ κατὰ Ἀριστογείτονος „κεκρίσθαι δὲ τοῦτο τὸ πρᾶγμα πάλαι ἐπὶ τῆς ἑκάστου φύσεως οἴκοθεν.“ καὶ πάλιν „οἱ μὲν δικάζοντες ὑμεῖς ἥκετε μᾶλλον ἡμῶν τῶν κατηγόρων εἰδότες, καὶ ὀφείλοντα τῷ δημοσίῳ τοῦτον, καὶ (250) ἐγγεγραμμένον ἐν ἀκροπόλει, καὶ οὐκ ἐξὸν αὐτῷ λέγειν· ὥστε ἕκαστον ὑμῶν κατηγόρου τάξιν ἔχειν, καὶ τὰ δίκαια εἰδέναι μὴ μαθεῖν δεῖσθαι.“ καὶ „εἰ μὲν ἴστε με τοιοῦτον· οὐ γὰρ ἄλλοθί που βεβίωκα.“

ε'. Ἀξιοπιστίας δὲ καὶ τὸ ἰσχυρίζεσθαι τοῖς πράγμασιν, ὅταν λέγῃς „εὖ τοίνυν ἴστε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι ἐξηπάτησθε· καὶ δι' ἅ γε εἰκότως τοῦτο πεπόνθατε, ἀκούσατέ μου.“ καὶ ἐν τῷ τῆς παραπρεσβείας εὐθὺς ἀπισχυρίσατο „τὸ μὲν ἐξελέγχειν πολλὰ καὶ δεινὰ πεποιηκότα τοῦτον καὶ τῆς ἐσχάτης τιμωρίας ὄντα ἄξιον θαρρῶ καὶ πάνυ πιστεύω.“ καὶ ἐν τῷ περὶ Στεφάνου „ἐπιδείξω δὲ ὑμῖν τουτονὶ Στέφανον καὶ μεμαρτυρηκότα ψευδῆ, καὶ δι' αἰσχροκέρδειαν τοῦτο πεποιηκότα, καὶ κατήγορον αὐτὸν αὐτοῦ γιγνόμενον· τοσαύτη περιφάνεια τοῦ πράγματός ἐστιν.“

ς'. Ἀξιόπιστον δὲ καὶ τοῦτο, ὅταν ὧν πλεῖστον δοκεῖν ἀφεστηκέναι βούληται καὶ σφόδρα διαβάλλῃ ταῦτα

---

464, 2 πάλιν] Ibid. initio. 4 κατὰ Κόνωνος] Prope finem. 9 Ἀριστογείτονος] Initio. 10 ἡμῶν] ὑμῶν Ald. 11 ἐγγεγραμμένων Ald. 12 εἰ μὲν] De corona V. 14 εὖ τοίνυν] Aristocrat. p. 748 d. 16 παραπρεσβείας] Initio. 18 Στεφάνου] Initio.

465, 1 βούληται] βούλεταί τις Norrm. διαβάλλῃ Norrm.

Digitized by Google

ὡς δεινὰ καὶ χαλεπά· οἷον „αἰτιασάμενος γάρ με ἃ καὶ λέγειν ἄν τις ὀκνήσειεν εὖ φρονῶν, τὸν πατέρα ὡς ἀπέκτονα ἐγὼ τὸν ἐμαυτοῦ.“ καὶ ἐν τῷ κατὰ Μειδίου „τῷ γὰρ ἀθλίῳ καὶ ταλαιπώρῳ καὶ δεινῆς καὶ χαλεπῆς συμβάσης αἰτίας.“ καὶ πάλιν „οὔτε θεοὺς οὔτε ὅσιον ἐποιήσατο ἐμποδὼν τοιούτῳ λόγῳ, οὐδ᾽ ὤκνησεν, οὐδὲ πρὸς οὓς ἔλεγεν αὐτοὺς ᾐσχύνθη.“

ζ. Ἀξιόπιστον δὲ καὶ τὸ τιμᾶσθαι προσλαμβάνοντα καὶ ζημίας ὁρίζειν καθ᾽ ἑαυτοῦ ἐφ᾽ οἷς ἂν διεξίῃ· οἷον „ἐγὼ πλέων ἐθελοντὴς πάσχειν ὁτιοῦν ἕτοιμος.“ καὶ πάλιν ἑτέρωθι ἐν Φιλιππικοῖς „μήτε νῦν μήτε αὖθις ὡς ὑγιαίνοντί μοι πρόσεχε.“

η. Ἀξιοπιστία καὶ τὸ πλείω καθ᾽ ἑαυτοῦ νέμειν τῶν ἀληθῶν. οἷον „εἰσὶ τῶν ξένων ἀτελεῖς· δέκα θήσω, καὶ μὰ τοὺς θεοὺς ὅπερ εἶπον ἀρτίως, οὐκ οἶμαι πάντα, εἶναι. ἀλλὰ μὴν τῶν πολιτῶν οὐκ εἰσὶν πέντε ἢ ἕξ· οὐκοῦν ἀμφοτέρων ἑκκαίδεκα· ποιήσομεν αὐτοὺς εἴκοσιν, εἰ δὲ βούλεσθε τριάκοντα.“

θ'. Ἀξιοπιστίας καὶ τὸ ἐνδείκνυσθαι ὡς χαλεπὰ μὲν ὄντα περὶ ὧν ἐγχειρεῖ, διὰ δὲ τὸ λυσιτελεῖν τῇ πόλει ῥηθῆναι αὐτὰ λέγειν, κἂν αὐτός τι κινδυνεύσειεν, ὡς ἐπὶ κοινῷ συμφέροντι, ἂν δέῃ τι καὶ παθεῖν, προῃρημένος. παράδειγμα δὲ τούτου ἐν τοῖς συμβουλευτικοῖς „ἐγὼ δὲ ὁρῶ μὲν ὡς χαλεπὸν τὸ τὰ βέλτιστα λέγειν ἐστίν· ἐξηπατημένων γὰρ ὑμῶν καὶ τῶν μετ᾽ αὐτά, τῶν δὲ ταῦτα προῃρημένων, ἐὰν τἀναντία τις ἐγχειρῇ λέγειν καθὰ ὑμεῖς μὴ περιμένητε μαθεῖν, χαριεῖται μὲν οὐδ᾽ ἑτέροις, δια-

---

Vulgo διαβάλλει. 2 οἷον] Contra Androt. in initio. 3 Μειδίου] P. 620 a. 7 προσλαμβάνοντα] προλαμβάνοντα Norrm. 8 οἷον] Philipp. I. p. 51 c. πάλιν] III. p. 88 e. 10 Ἀξιοπιστίας Norrm. ἀξιοπιστία Ald. οἷον] Leptin. p. 511 a. 11 δὲ καθήσω Ald. 15 κινδυνεύσειεν Norrm. κινδυνεύειν Ald. 16 προῃρημένος Norrm. προειρημένος Ald. 17 ἐν τοῖς συμβουλευτικοῖς] Plures igitur proprie dictae suasoriae sunt, quod a parte confirmat Hermogenes II, 10. p. 473. et Dionysius de aetate Demosth. et Aristotelis. Hoc loco oratio pro Megalopolitis ad hanc classem refertur. rursus p. 274. ὁ περὶ συμμοριῶν at hodie ὁ περὶ τῆς συντάξεως singulatim συμβουλευτικὸς inscribitur. Norrm. ἐγὼ δὲ] Pro Megalopol. ab initio.

Digitized by Google

βεβλήσεται δὲ πρὸς ἀμφοτέρους· οὐ μὴν ἀλλ' αἱρήσομαι 6 μᾶλλον αὐτὸς, ἂν ἄρα τοῦτο πάθω, δοκεῖν φλυαρεῖν ἢ παρ' ἃ νομίζω βέλτιστα προέσθαι τισὶν ὑμᾶς ἐξαπατῆσαι."

ι'. Ἀξιόπιστον δὲ καὶ ὅ τι ἂν ἄλλος εἴποι ἐναντιούμενός σοι τοῦτο αὐτὸ προλαβόντα εἰπεῖν. οἷον ἐν τῷ περὶ συμμοριῶν ὃ μὲν διοικεῖται ἐστὶν ὅτι δεῖ ἐναντιωθῆναι τοῖς βασιλεῖ πολεμεῖν συμβουλεύουσιν· ἐπεὶ δ' ἐκεῖθεν αὐτῷ ἀντέπιπτεν, μὴ πολεμῶμεν οὖν τῷ κοινῷ ἐχθρῷ καὶ βαρβάρῳ; διὰ τοῦτο ἀξιοπίστως προλαβὼν ὃ εἶπεν ἄν τις ἐκεῖθεν κατὰ βασιλέως, τοῦτ' αὐτὸς λέγει „ἐγὼ νομίζω κοινὸν ἐχθρὸν ἁπάντων τῶν Ἑλλήνων βασιλέα·" εἶτα ἃ νῦν αὐτὸς εἰσηγεῖται „οὐ μὴν διὰ τοῦτο παραινέσαιμ' ἂν τοῖς ἄλλοις πόλεμον πρὸς αὐτὸν αἱρεσθαι."

ια'. 1. Ἀξιοπιστίας δὲ καὶ ὅσα μὴ ἔχει ἄλλοθεν (256) συστῆσαι, ἐξ ἀκοῆς ταῦτα πιστοῦσθαι· „ἤκουον δ' ἔγωγε τινῶν ὡς οὐδὲ τοὺς λιμένας, καὶ τὰς ἀγορὰς ἔτι δώσοιεν αὐτῷ καρποῦσθαι." καὶ πάλιν „ὡς δ' ἐγὼ τῶν ἐν αὐτῇ τῇ ἡμέρᾳ γεγενημένων τινὸς ἤκουον, ἀνδρὸς οὐδαμῶς οἵου τε ψεύδεσθαι." 2. Ἀξιοπιστότερον δὲ τὸ εἰς αὐτοὺς τοὺς ἀκούοντας ἀναφέρειν ἔχειν· οἷον „ὑμῶν ἀκηκοὼς ἔγωγε ὑμᾶς διδάσκειν ἔχω." καὶ πάλιν „ἃ παρ' ὑμῶν [654] τῶν πρεσβυτέρων αὐτὸς ἀκήκοα."

ιβ'. Ἀξιοπιστίας δὲ καὶ ἐπικαταψεύδεσθαι· οἷον ἐν τῷ ὑπὲρ τοῦ στεφάνου, ἐν οἷς λέγει τὸν Αἰσχίνην ὀψὲ Ἀθηναῖον γεγενημένον· „ὀψὲ γάρ ποτε, ὀψὲ λέγω·" εἶτα ἀξιοπίστως ἐπικατεψεύσατο „χθὲς μὲν οὖν καὶ πρώην, εἶτα Ἀθηναῖος καὶ ῥήτωρ." καὶ πάλιν ἐν τῷ κατὰ Αἰσχίνου „τὸ μὲν ἀληθὲς, καὶ τὸ μὲν ἀνῄρηκεν τῶν ἐπὶ τὰς εὐθύνας ἐλθόντων." τὸ δὲ ἑξῆς ἐπικατεψεύσατο, οἷον „τοῖς δὲ ἀπειλεῖ."

---

466, 3 ὅ τι ἂν Norrm. Vulgo ὅταν. De προλήψεως huius singulari acumine iuverit conferre quae tradit Dionys. Halic. Figur. loc. I, 8. et II, 13. 14. Norrm. 4 συμμοριῶν] Ab initio. 7 τοῦτ' Norrm. ταῦτ' Ald. 9 αἷρεσθαι Ald. 10 πιστοῦσθαι Norrm. Vulgo πιστοῦται. 11 ἤκουον] Olynth. I. p. 4 c. δώσοιεν] δώσειεν Ald. 12 πάλιν] Olynth. II. p. 23 e. 14 πάλιν] Leptin. p. 548 e. 16 στεφάνου] Sect. XLI. 19 κατὰ Αἰσχίνου] Initio.

467 ιγ'. Περὶ τῶν ἀξιοπιστίας δὲ καὶ τὸ ὡς ἀναμνησθέντα τι εἰπεῖν, οἷον „μικροῦ γε ὃ μάλιστα μέλλω πρὸς ὑμᾶς εἰπεῖν παρῆλθον.“ τοῦ δὲ αὐτοῦ τρόπου καὶ τὸ ὡς ζητοῦντάς τι εἰπεῖν „λάβε δὴ καὶ τὸ τῷ Χαβρίᾳ ψήφισμα ψηφισθέν· ὁροδίσαι. σκοπήσει γὰρ αὐτὸ ἐνταῦθα εἶναί που.“ τὸ γὰρ μὴ ὡς παρεσκευασμένον, ἀλλ' ὡς ἐπὶ καιροῦ ζητοῦντα εἰσάγειν ὅμοιόν ἐστιν αὐτοσχεδίῳ καὶ ἀξιόπιστον ποιεῖ λόγον.

ιδ'. Παρὰ πάντα δὲ ἀξιοπιστίας τό τε ἐπισημαίνεσθαι τοῖς εἰσαγομένοις καὶ τὸ ὑπερβολαῖς χρῆσθαι· ἐπισημαίνεσθαι μέν, ὅταν λέγῃς „ὃ τοίνυν μάλιστα πάντων οἶμαι δεῖν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, φυλάξασθαι, τοῦτ' εἰπεῖν ἔτι βούλομαι.“ τοῦτό ἐστιν ἀρχόντων τῶν προειρημένων τῷ μέλλοντι εἰσάγεσθαι. ἡ δὲ ὑπερβολὴ ἐν τῷ ἐξῆς, οἷον „εἰ γάρ τις ἅπαντα ὅσα Λεπτίνης ἐρεῖ περὶ τοῦ νόμου, διδάσκων ὑμᾶς, ὡς κακῶς χρῆται, συγχωρήσαι τούτοις ἀληθῆ λέγειν αὐτόν, ἕν γε αἰσχρόν, οὐδ' ἂν εἴ τι γένοιτο, ἀναιρεθείη, ὃ συμβήσεται διὰ τοῦ νόμου κυρίου γενομένου τῇ πόλει.“

ιε'. Ἀξιόπιστον καὶ τὸ ἐνίαις τῶν ἀντιθέσεων ὧν δοκοῦσι καθ' ἡμῶν λέγειν οἱ ἀντίδικοι συγχωρεῖν καὶ συγκατατίθεσθαι· ὡς ἐν τῷ κατὰ Μειδίου ἡ μὲν ἐκεῖθεν ἀντίθεσις „τάχα νῦν καὶ τοιαῦτα ἐρεῖ, ὡς ἐσκεμμένα πάντα λέγων ἐγώ·“ εἶτα ἡ παρ' αὐτοῦ συγχώρησις μεθ' ὑπερβολῆς „ἐγὼ δέ γ' ἐσκέφθαι μὲν ὁμολογῶ καὶ μεμελετηκέναι ὡς ἐνῆν μάλιστα ἐμοί.“

Β'. α'. 1. Κατὰ δὲ σχῆμα γίνεται ἀξιοπιστία οὕτως, ὅταν τις τοῖς ὁμολογουμένοις ἀντὶ τῶν ζητουμένων σχήμασι χρῆται, ὡς ἐκεῖ „ἆρ' ὁρᾶτε καὶ λογίζεσθε τὴν ἐπιοῦσαν ὥραν τοῦ ἔτους, εἰς ἣν ἔρημόν τινες οἴονται δεῖν τὸν Ἑλλήσποντον ὑμῶν ποιῆσαι.“ 2. Καὶ ἀξιοπι-

---

467, 1 μικροῦ] De falsa leg. p. 329 b. 3 λάβε] Leptin. p. 553 d. 7 ὃ τοίνυν] Leptin. p. 561 a. 9 τῷ μέλλοντι] τοῦ μέλλοντος Norrm. οἷον delet Norrm. 10 ὅσα] ἅσα Ald. 11 ἀληθῆ] ἐν ἀληθῆ Ald. 13 ἐνίαις Norrm. Vulgo ἐν ταῖς. 14 Μειδίου] P. 633 e. 18 ἆρ'] De Cherson. p. 78 a.

στίας ἕνεκα ὡς ὁμολογούμενον τῷ σχήματι εἰσάγει „ἴστε γὰρ δή που τοῦθ᾽ ὅτι τῶν ἡμᾶς ἀδικούντων ἐν ἑκάστῳ τίμημα ὑπάρχει.“ καὶ πάλιν „ἴστε μὲν οὖν ἴσως καὶ ἄνευ τοῦ παρ᾽ ἐμοῦ λόγου ὅτι σπουδαῖος Χαβρίας ἦν ἀνήρ.“

β. Ἀξιόπιστον δὲ κατὰ σχῆμα καὶ ὅταν τις ἐπαγγελίᾳ ἐν τῷ λόγῳ χρῆται· πάνυ γὰρ ἀξιόπιστον τὸ περὶ τῶν ζητουμένων κατεπαγγέλλεσθαι, ὡς ἐν τῷ πρὸς Λεπτίνην τὸ μὲν ζητούμενον εἰ θήσωσι τὸν παρεισφερόμενον νόμον, ὁ δὲ κατεπαγγέλλεται λέγων „ἐγγυώμεθα ἡμεῖς, ἐγώ, Φορμίων, ἄλλον εἴ τινα βούληται, θήσειν τὸν νόμον.“ καὶ πάλιν „ἐγγυώμεθα, ὑπισχνούμεθα, οἱ θεσμοθέται ταῦτα γραφόντων, ἐπὶ τούτοις τὸ πρᾶγμα γινέσθω.“

γ. Ἀξιοπιστίας δὲ καὶ ὅταν τις συνδρομαῖς χρῆται, (262) ὡς ἐν τοῖς Φιλιππικοῖς. οἷον „εἰ δέ τῳ δοκεῖ ταῦτα καὶ δαπάνης πολλῆς καὶ πραγματείας εἶναι·“ νῦν ἡ συνδρομὴ „καὶ μάλα ὀρθῶς δοκεῖ.“ τὸ γὰρ καθ᾽ ἑαυτοῦ δοκοῦν τὴν πρώτην συγχωρεῖ, ἵνα τὰ ὑπὲρ αὐτοῦ εἰσάγῃ.

δ. Πάνυ ἀξιόπιστον δὲ καὶ τοῦτο, ὅταν τις παραλείψεσι χρῆται. ἔστι μὲν οὖν καὶ περιβολὴ τὸ σχῆμα, ὅμως δὲ πολλοῖς ἐφαρμόττον κατὰ χρείας διαφόρους πολλάκις ἰδιότητά τινα ἔχει ἐν τῇ ἀξιοπιστίᾳ. ὅταν γὰρ παραλιπεῖν τι δοκῶν μὴ παραλείπῃς, ἐνταῦθά ἐστιν ἡ ἀξιοπιστία. ὥσπερ ἐν τῷ πρὸς Λεπτίνην „τὰ μὲν οὖν ἄλλα, ὅσα χρήσιμον ἑαυτὸν παρέσχεν οὗτος ὁ ἀνήρ.“ εἶτα παραλείψει ἐχρήσατο „καὶ αὐτὸς καὶ οἱ πρόγονοι, παραλείψω.“ καὶ πάλιν „αἰσχρός, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ κακῶς ἔχων ὁ νόμος, ὁμοίως φθόνῳ τινὶ καὶ φιλονεικίᾳ.“ εἶτα μηδὲν ἔτι ἔχων εἰπεῖν ἀξιοπίστως τῇ παραλείψει ἐχρήσατο „καὶ τὸ λοιπὸν ἐῶ.“

---

468, 1 ἴστε] Leptin. p. 564 b. 2 ἴστε] Ibid. p. 552 b. 5 Λεπτίνην] P. 556 a. 6 θήσωσι] θήσουσι Norrm. 9 Φιλιππικοῖς] IV. p. 99 a. et de Cherson. p. 81 e. 13 παραλείψεσι Norrm. παραλήψεσι Ald. 16 Λεπτίνην] P. 546 b. 17 εἶτα παραλείψει Norrm. εἶτα ἐν παραλήψει Ald. 18 πάλιν] P. 564 d. αἰσχρὸς] αἰσχρὸν Ald. 19 παραλείψει Norrm. παραλήψει Ald.

469 ί. Καὶ τὸ καθ' ἑαυτοῦ δὲ λέγειν τινὰ ὃν τρόπον κατὰ τῶν ἀντιδίκων, ἀξιοπιστίαν ἐμποιεῖ τῷ λόγῳ.

## [655] Περὶ σφοδρότητος. Ε'.

Α. α'. 1. Σφοδρότης δὲ γίνεται τριχῶς, κατὰ γνώμην, κατὰ σχῆμα, κατὰ λέξιν. καὶ κατὰ μὲν γνώμην οὕτως, ὅταν τις ἐνδόξοις προσώποις ἐπιτιμᾷ, οἷον „ἐξέστητε, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς τάξεως, ἐφ' οἷς ὑμᾶς οἱ πρόγονοι κατέλιπον.“ καὶ ἄλλο πάλιν ὅμοιον τούτῳ „ἡσυχάζετε δὲ μόνοι τῶν Ἑλλήνων.“ καὶ πάλιν „τῶνδε ὑμεῖς αἴτιοι, τότε πρῶτον ἐάσαντες αὐτοὺς μετὰ τὰ Μηδικὰ κρατῆσαι τὴν πόλιν.“ 2. Σφοδρότητα δὲ ποιεῖς καὶ ὅταν πράγματα ἢ πρόσωπα ἔνδοξα μὴ ὀκνῇς διαβάλλειν. οἷον τὸ μὲν ἐπαινεῖν τοὺς προγόνους πρᾶγμα ἐνδοξότατον, ὁ δὲ Δημοσθένης πῶς εὐθὺς ἐν ἀρχῇ διέβαλεν; „οἱ μὲν ἐπαινοῦντες τοὺς προγόνους λόγον εἰπεῖν μοι δοκοῦσι κεχαρισμένον, οὐ μὴν συμφέροντά γε ἐκείνοις οὓς ἐγκωμιάζουσι ποιεῖν.“ 3. Καὶ ὅλως δὲ τὸ ἐπιτιμᾶν σφοδρότητα ἔχει, ὡς ἐν ἐκείνοις „ἀμφότεροί μοι δοκοῦσιν ἁμαρτάνειν, καὶ οἱ τοῖς Ἀρκάσι καὶ οἱ τοῖς Λακεδαιμονίοις συνειρηκότες.“

β'. Καὶ τὸ διαβάλλειν δὲ πρόσωπα ἔνδοξα ὡς ἀτόπως ἔχοντα σφοδρότητα ποιεῖ. οἷον „ὑμεῖς δὲ ὁ δῆμος ἐκνενευρισμένοι χρήματα καὶ συμμάχους ἐν ὑπηρέτου καὶ προσθήκης μέρει.“

γ'. Καὶ ὅταν δὲ ἀτόπως τις εἰκάζῃ, σφοδρὸν ποιεῖ.

---

469, 1 τινὰ ὃν Norrm. τίνα οὖν Ald. 4 οἷον] Philipp. IV. p. 101 e. 5 Pro τῆς τάξεως in nostris est ὑποθέσεως. sed ab Aristide facit et Hermogenes I, 10. p. 314. et frequens oratoris usus, ut Olynthiaca III. ut περὶ συντάξεως, ut de libertate Rhodiorum, ubique proxime finem. sic et Isocrates Archidamo p. 230. μὴ καταισχύνειν τὴν πόλιν μηδὲ περιιδεῖν αὐτὴν ἐκλείπουσαν τὴν τάξιν εἰς ἣν οἱ πατέρες κατέστησαν αὐτήν. Norrm. 6 ἡσυχάζετε] Thucyd. I. p. 22. 6 ἐν ἀρχῇ] Orationis de symmoriis. 11 ἀμφότεροι] Orat. pro Megalopolit. initio. 14 οἷον] Olynth. III. p. 39 b. ἐκνενευρισμένοι] Perlonga ad hunc locum Norrmanni annotatio est, in qua nihil repetitu dignum invenio praeter haec verba „Dionysius περὶ τῆς Δημοσθένους λέξεως: haec Obrechtiani codicis ἐπιγραφή est, de quo nonnulla alibi tum meliora editis

Digitized by Google

τὸν λόγον· οἷον „ὥσπερ σκορπίος ἠρκὼς τὸ κέντρον, ᾄττων δεῦρο κἀκεῖσε, σκοπῶν τίνι κακόν τι προστριψάμενος εἰς συμφορὰν καταστήσῃ.“ καὶ πάλιν „οὔτε μαγείρῳ μαχαίρας οὐδὲν ἐστ' ὄφελος ἥτις μὴ τέμνει οὔτε βουλομένῳ δι' αὐτοῦ πᾶσι κακὰ καὶ πράγματα γίνεσθαι ὁ ταῦτα ἀποδωσόμενος συκοφάντης οὐδὲν ἐστ' ὄφελος.“ καὶ ἀλλαχοῦ πάλιν „ἀλλὰ μανδραγόραν πεπωκόσιν, ἤ τι φάρμακον ἄλλο τοιοῦτον, ἐοίκαμεν ἀνθρώποις.“

δ'. Σφοδρότης δέ ἐστι καὶ ὅταν τις ὑπεραγανακτῇ, οἷον „τοῦτο μὲν γὰρ οὐκ ἔχον ἐστὶν ὑπερβολὴν ἀκαθαρσίας.“ καὶ πάλιν ἀλλαχοῦ „τοῦτο γὰρ δὴ τοὔσχατόν ἐστι.“ καὶ πάλιν „τῆς ἐσχάτης ὕβρεως οὐδὲν ἐλλείπει.“

ε'. Καὶ ὅλως δὲ ὅπου σχεδόν τι ἐφ' ὁμολογουμένοις ἀδικήμασιν αἱ κατηγορίαι γίνονται, διὰ τὸ πρόδηλα εἶναι τὰ ἀδικήματα, σφοδρότητος ὁ λόγος τυγχάνει, ὡς ἐν τῷ κατὰ Μειδίου καὶ ἐν τῷ κατὰ Ἀριστογείτονος. τὸ δὲ μέγιστον εἰδέναι χρή, ὅτι ὅταν ᾖ μὴ ἰσχυρὰ ζητήματα ἐξ ἑκατέρων τῶν μερῶν, ἀλλ' ὑπάρχῃ θατέροις, μὴ πρόδηλα (268) αὐτὰ εἶναι· ὁ δὲ ὡς ἐπὶ ὁμολογουμένοις σχεδὸν τοῖς ζητήμασι συνάγει τὸν λόγον, οἷός ἐστιν ὁ κατὰ Μειδίου.

Β'. α'. Κατὰ σχῆμα δὲ οὕτω γίνεται σφοδρότης, ὅταν τις ἐπιφορικοῖς χρῆται τοῖς σχήμασιν, οἷον „αἰσχρῶς, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ κακῶς ἔχων ὁ λόγος καὶ ὁμοίως φθόνῳ τινὶ καὶ φιλονεικίᾳ.“ καὶ πάλιν „εἴργετε αὐτὸν τῶν ὑπὲρ τῆς εἰρήνης λόγων.“ καὶ ἐν τῷ κατὰ Μειδίου „καὶ ταῦτα πάσχων ἐγὼ καὶ τοῦτον ὃν διεξέρχομαι τρόπον νῦν πρὸς ὑμᾶς ἐλαυνόμενος.“ καὶ ἐν τῷ τῆς παραπρεσβείας „τούτων [οὐ γέγονεν, ὦ ἄνδρες Ἀθηναῖοι, δεινότερα.“

---

tum pleniora fieri possunt.“ 16 οἷον] Aristogit. p. 836 c. 18 πάλιν] Ibidem p. 835 d.

470, 1 πάλιν] Philipp. IV. ab initio. 3 οἷον] Mid. p. 622 c. ἔχον] ἔχων Ald. 4 ἀλλαχοῦ] Philipp. III. p. 90 d. καὶ πάλιν] Ibid. p. 90 b. 8 μὴ] Fort. μὴν. Norrm. 10 ὁμολογουμένοις Norrm. Vulgo ὁμολογουμένην. 12 οἷον] Leptin. p. 564 d. 13 πάλιν] De falsa leg. p. 308 f. κατὰ Μειδίου] P. 621 c.

Digitized by Google

β. Σφοδρότητα δὲ ἔχει καὶ τὸ τῆς ἀποστροφῆς σχῆμα. „ὃς, ὦ μιαρώτατε πάντων, κεκλεισμένης σοι τῆς παρρησίας οὐ κιγκλίσιν οὐδὲ θύραις, ἃ καὶ παρανοίξειεν ἄν τις, ἀλλὰ τοσούτοις καὶ τηλικούτοις ὀφλήμασι, καὶ τούτων παρὰ τῶν θεῶν κειμένων, εἰς τὰ ἐντὸς τούτων βιάζῃ καὶ προσέχῃ πρὸς ταῦτα, ἀφ' ὧν ἀπελαύνουσί σε οἱ νόμοι, ἀπεσχοινισμένος πᾶσι τοῖς ἐν τῇ πόλει δικαίοις." 471 καὶ πάλιν ἐν τῷ κατὰ Μειδίου „τί λέγεις, ὦ μιαρὰ κεφαλή, συστὰς αὐτοῦ παιδία σώζειν, ἢ ἐλεεῖν σε τούτους, τοὺς ὑπὸ σοῦ δημοσίᾳ προπεπηλακισμένους;"

Γ'. α'. Κατὰ δὲ ἀπαγγελίαν, τουτέστι κατὰ λέξιν, σφοδρότης γίνεται, ὅταν ὑπερβολὰς ποιῇς ἐν τῷ λόγῳ. οἷον „πλούσιος, θρασὺς, μεγαλοφρονῶν, μέγα φθεγγόμενος, βίαιος, ἀναιδής·" ὑπερβολὴν δὲ κἀκεῖνο ἔχει, ὅταν εἴπῃς „ἡ πόλις αὐτὸν οὐ χωρεῖ, οὐδ' ἡ Ἑλλὰς οὐδ' ἡ βάρβαρος τὴν πλεονεξίαν χωρεῖ τἀνθρώπου." καὶ ὅπου λέγει „προσκυνεῖν τοὺς ὑβρίζοντας, ὥσπερ ἐν τοῖς βαρβάροις, οὐκ ἀμύνεσθαι, κράτιστον ἔσται."

β. Πάντα ἐξαίρει τὴν ἐν τῷ λόγῳ σφοδρότητα [656] ἐργάζονται, ὡς ἐν τῷ κατὰ Κόνωνος „εἱλκόμην καὶ ἐξεδυόμην, καὶ ὑγιὴς ἐξελθὼν φοράδην ἦλθον οἴκαδε." καὶ ὅπου λέγει περὶ τῆς μητρὸς, οὐ γὰρ εἶπεν ἐξεληλύθει, ἀλλὰ ἐμφαντικώτερον τῇ ὀνομασίᾳ „ἐξεπεπηδήκει ἡ μήτηρ·" ἐν γὰρ τῷ ὀνόματι ἡ ἔμφασις.

γ. Ὥσπερ δὲ πολλάκις εἴπομεν τὰς τροπὰς πολλαχοῦ μέγα δύνασθαι, τοῦτο καὶ ἐν τῇ σφοδρότητι, ὅταν λέγῃ

---

15 *παραπρεσβείας*] P. 303 d. 16 *ὅς*] Aristogit. p. 832 d. 17 *οὐκ ἐγκλίσιν* Ald.

471, 1 *Μειδίου*] P. 634 b. 4 *οἷον*] Ibid. p. 635 a, 5 *ἡ πόλις*] Ibid. p. 634 f. *οὐδ' ἡ Ἑλλὰς*] Philipp. III. p. 89 e. 6 *λέγει*] Mid. p. 620 d. 8 *Πάντα ἐξαίρει*] Scribendum coniecimus *καὶ αἱ ἐξάρξεις*, literarum sequuti vestigia, alioqui maluissemus *ἐμφάσεις*, quod sequentia firmant. Norrm. *Κόνωνος*] P. 1111 e. 12 *πολλάκις εἴπομεν*] Vel hinc videas multum detrimenti huic operi adlatum esse, quippe quod *saepe* se dixisse auctor ait, id nonnisi *semel*, quod meminerim, *ἐν τοῖς σωζομένοις*, nempe p. 192. dixerat: nisi si etiam ad sequentia, parum probabili coniectura, verba ista quispiam extendat. Norrm.

κατὰ τῆς πονηρίας τῆς Ἀριστογείτονος σφοδρότητος ἕνεκα „κάπηλος καὶ μεταβολεὺς καὶ μόνον οὐ ζυγὰ καὶ σταθμὰ ἔχων ἅπαντα ἐπώλει.“

## Περὶ ἐμφάσεως. ς'.

Α. α'. Τρόπον μέν τινα αἱ τρεῖς ἀρεταὶ τοῦ λόγου, ἥ τε σφοδρότης καὶ ἡ ἔμφασις καὶ ἡ τραχύτης, εἰ καὶ τῇ προσηγορίᾳ διεστήκασι, τῇ γοῦν δυνάμει καὶ σφόδρα ἐπικοινωνοῦσιν ἀλλήλαις ἐπὶ πλεῖστοις· καὶ ἥ τε σφοδρότης ἐμφατικὸς λόγος ἐστὶν καὶ ἡ τραχύτης σφοδρότητα δύναται· ὅμως δ' οὖν κατὰ μὲν γνώμην ἔμφασιν ποιήσεις, ὅταν συνεχῆ τὰ πράγματα λέγῃς καὶ ἐπάλληλα, ὡς ἐν τῷ
72 πρὸς Λεπτίνην „ἐνίκησε μὲν τοίνυν Λακεδαιμονίους ναυμαχῶν καὶ πεντήκοντα μιᾶς δεούσης ἔλαβεν αἰχμαλώτους τριήρεις· εἷλε δὲ τῶν νήσων τὰς πολλάς, καὶ τρισχίλια αἰχμάλωτα σώματα δεῦρ' ἤγαγεν, καὶ δέκα καὶ ἑκατὸν τάλαντα ἀπέφηνεν ἀπὸ τῶν πολεμίων.“ καὶ πάλιν „ἑπτακαίδεκα μὲν πόλεις εἷλεν, ἑβδομήκοντα δὲ τριήρεις ἔλαβε δὲ καὶ ἑκατὸν τάλαντα ἀπέφηνε, τοσαῦτα ἔστησεν τρόπαια.“ ἕκαστον δὲ τούτων πρᾶγμα μέν ἐστιν καθ' ἑαυτό, (274)
τὸ δὲ συνεχῶς ἕτερον ἑτέρῳ ἐπενηνέχθαι τὴν ἔμφασιν πεποίηκεν.

β'. Ἔμφασιν δὲ ποιεῖ καὶ τὸ ἐπισημαίνεσθαι ταῖς ποιότησιν, ὅπου λέγει „θέαμα δεινόν.“ καὶ πάλιν „νόσημα δεινὸν καὶ χαλεπὸν καὶ φυλακῆς πολλῆς καὶ τῆς παρ' ὑμῶν ἐπανορθώσεως δεόμενον.“ καὶ ἐν τῷ κατὰ Μειδίου „ἀλλ' ὃ καὶ δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σχέτλιον ἔμοιγε ἀσέβημα, οὐκ ἀδίκημα μόνον τοῦτο πεπρᾶχθαι δοκεῖ.“

---

13 Ἀριστογείτονος] P. 835 c. 18 ἡ τραχύτης σφοδρότητα δύναται] Sic discriminat Hermogenes I, 8. ut τραχύτης sit quando maiores nobis dig
nioresque incessimus personas, σφοδρότης, quando inferiores coarguimus. quod discrimen noster, nec enim magnae admodum rei est, capite praecedenti insuper habuit. Norrm.
19 Λεπτίνην] P. 552 c.

472, 4 πόλεις om. Ald. 7 λέγει] De falsa leg. p. 303 e. 8 πάλιν] Ibid. p. 334 b. 9 Μειδίου] P. 620 a.

Digitized by Google

ὡς δεινὰ καὶ χαλεπά· οἷον „αἰτιασάμενος γάρ με ἃ καὶ λέγειν ἄν τις ὀκνήσειεν εὖ φρονῶν, τὸν πατέρα ὡς ἀπέκτονα ἐγὼ τὸν ἐμαυτοῦ.“ καὶ ἐν τῷ κατὰ Μειδίου „τῷ γὰρ ἀθλίῳ καὶ ταλαιπώρῳ καὶ δεινῆς καὶ χαλεπῆς συμβάσης αἰτίας.“ καὶ πάλιν „οὔτε θεοὺς οὔτε ὅσιαν ἐποιήσατο ἐμποδὼν τοιούτῳ λόγῳ, οὐδ' ὤκνησεν, οὐδὲ πρὸς οὓς ἔλεγεν αὐτοὺς ᾐσχύνθη.“

ζ'. Ἀξιόπιστον δὲ καὶ τὸ τιμᾶσθαι προσλαμβάνοντα καὶ ζημίας ὁρίζειν καθ' ἑαυτοῦ ἐφ' οἷς ἂν διεξίῃ· οἷον „ἐγὼ πλέων ἐθελοντὴς πάσχειν ὁτιοῦν ἕτοιμος.“ καὶ πάλιν ἑτέρωθι ἐν Φιλιππικοῖς „μήτε νῦν μήτε αὖθις ὡς ὑγιαίνοντί μοι πρόσεχε.“

η'. Ἀξιοπιστία καὶ τὸ πλείω καθ' ἑαυτοῦ νέμειν τῶν ἀληθῶν. οἷον „εἰσὶ τῶν ξένων ἀτελεῖς· δέκα θήσω, καὶ μὰ τοὺς θεοὺς ὅπερ εἶπον ἀρτίως, οὐκ οἶμαι πάντας εἶναι. ἀλλὰ μὴν τῶν πολιτῶν οὐκ εἰσὶν πέντε ἢ ἕξ· οὐκοῦν ἀμφοτέρων ἑκκαίδεκα· ποιήσομεν αὐτοὺς εἴκοσιν, εἰ δὲ βούλεσθε τριάκοντα.“

θ'. Ἀξιοπιστίας καὶ τὸ ἐνδείκνυσθαι ὡς χαλεπὰ μὲν ὄντα περὶ ὧν ἐγχειρεῖ, διὰ δὲ τὸ λυσιτελεῖν τῇ πόλει ῥηθῆναι αὐτὰ λέγειν, κἂν αὐτός τι κινδυνεύσειεν, ὡς ἐπὶ κοινῷ συμφέροντι, ἂν δέῃ τι καὶ παθεῖν, προηρημένος. παράδειγμα δὲ τούτου ἐν τοῖς συμβουλευτικοῖς „ἐγὼ δὲ ὁρῶ μὲν ὡς χαλεπὸν τὸ τὰ βέλτιστα λέγειν ἐστίν· ἐξηπατημένων γὰρ ὑμῶν καὶ τῶν μετ' αὐτά, τῶν δὲ ταυτὶ προῃρημένων, ἐὰν τἀναντία τις ἐγχειρῇ λέγειν καθὰ ὑμεῖς μὴ περιμένητε μαθεῖν, χαριεῖται μὲν οὐδ' ἑτέροις, δια-

---

Vulgo διαβάλλει. 2 οἷον] Contra Androt. in initio. 3 Μειδίου] P. 620 a. 7 προσλαμβάνοντα] προλαμβάνοντα Norrm. 8 οἷον] Philipp. I. p. 51 c. πάλιν] III. p. 88 e. 10 Ἀξιοπιστίας Norrm. ἀξιοπιστία Ald. οἷον] Leptin. p. 544 a. 11 δὲ καθήσω Ald. 15 κινδυνεύσειεν Norrm. κινδυνεύειν Ald. 16 προῃρημένος Norrm. προειρημένος Ald. 17 ἐν τοῖς συμβουλευτικοῖς] Plures igitur proprie dictae *suasoriae* sunt, quod a parte confirmat Hermogenes II, 10. p. 473. et Dionysius de aetate Demosth. et Aristotelis. Hoc loco oratio pro Megalopolitis ad hanc classem refertur. rursus p. 274. ὁ περὶ συμμοριῶν. at hodie ὁ περὶ τῆς συντάξεως singulatim συμβουλευτικὸς inscribitur. Norrm. ἐγὼ δὲ] Pro Megalopol. ab initio.

Digitized by Google

βεβλήσεται δὲ πρὸς ἀμφοτέρους· οὐ μὴν ἀλλ᾽ αἱρήσομαι
66 μᾶλλον αὐτὸς, ἂν ἄρα τοῦτο πάθω, δοκεῖν φλυαρεῖν ἢ παρ᾽ ἃ νομίζω βέλτιστα προέσθαι τισὶν ὑμᾶς ἐξαπατῆσαι."

ι᾽. Ἀξιόπιστον δὲ καὶ ὅ τι ἂν ἄλλος εἴποι ἐναντιούμενός σοι τοῦτο αὐτὸ προλαβόντα εἰπεῖν. οἷον ἐν τῷ περὶ συμμοριῶν ὃ μὲν διοικεῖται ἐστὶν ὅτι δεῖ ἐναντιωθῆναι τοῖς βασιλεῖ πολεμεῖν συμβουλεύουσιν· ἐπεὶ δ᾽ ἐκεῖθεν αὐτῷ ἀντέπιπτεν, μὴ πολεμῶμεν οὖν τῷ κοινῷ ἐχθρῷ καὶ βαρβάρῳ; διὰ τοῦτο ἀξιοπίστως προλαβὼν ὃ εἶπεν ἄν τις ἐκεῖθεν κατὰ βασιλέως, τοῦτ᾽ αὐτὸς λέγει „ἐγὼ νομίζω κοινὸν ἐχθρὸν ἁπάντων τῶν Ἑλλήνων βασιλέα·" εἶτα ἃ νῦν αὐτὸς εἰσηγεῖται „οὐ μὴν διὰ τοῦτο παραινέσαιμ᾽ ἂν τοῖς ἄλλοις πόλεμον πρὸς αὐτὸν αἱρεῖσθαι."

ια᾽. 1. Ἀξιοπιστίας δὲ καὶ ὅσα μὴ ἔχει ἄλλοθεν (256) συστῆσαι, ἐξ ἀκοῆς ταῦτα πιστοῦσθαι· „ἤκουον δ᾽ ἔγωγε τινῶν ὡς οὐδὲ τοὺς λιμένας, καὶ τὰς ἀγορὰς ἔτι δώσοιεν αὐτῷ καρποῦσθαι." καὶ πάλιν „ὡς δ᾽ ἐγὼ τῶν ἐν αὐτῇ τῇ ἡμέρᾳ γεγενημένων τινὸς ἤκουον, ἀνδρὸς οὐδαμῶς οἵου τε ψεύδεσθαι." 2. Ἀξιοπιστότερον δὲ τὸ εἰς αὐτοὺς τοὺς ἀκούοντας ἀναφέρειν ἔχειν· οἷον „ὑμῶν ἀκηκοὼς ἔγωγε ὑμᾶς διδάσκειν ἔχω." καὶ πάλιν „ἃ παρ᾽ ὑμῶν [654] τῶν πρεσβυτέρων αὐτὸς ἀκήκοα."

ιβ᾽. Ἀξιοπιστίας δὲ καὶ ἐπικαταψεύδεσθαι· οἷον ἐν τῷ ὑπὲρ τοῦ στεφάνου, ἐν οἷς λέγει τὸν Αἰσχίνην ὀψὲ Ἀθηναῖον γεγενημένον· „ὀψὲ γάρ ποτε, ὀψὲ λέγω·" εἶτα ἀξιοπίστως ἐπικατεψεύσατο „χθὲς μὲν οὖν καὶ πρώην, εἶτα Ἀθηναῖος καὶ ῥήτωρ." καὶ πάλιν ἐν τῷ κατὰ Αἰσχίνου „τὸ μὲν ἀληθὲς, καὶ τὸ μὲν ἀνῄρηκεν τῶν ἐπὶ τὰς εὐθύνας ἐλθόντων." τὸ δὲ ἑξῆς ἐπικατεψεύσατο, οἷον „τοῖς δὲ ἀπειλεῖ."

---

466, 3 ὅ τι ἂν Norrm. Vulgo ὅταν. De προλήψεως huius singulari acumine iuverit conferre quae tradit Dionys. Halic. Figur. loc. I, 8. et II, 13. 14. Norrm. 4 συμμοριῶν] Ab initio. 7 τοῦτ᾽ Norrm. ταῦτ᾽ Ald. 9 αἱρεσθαι Ald. 10 πιστοῦσθαι Norrm. Vulgo πιστοῦται. 11 ἤκουον] Olynth. I. p. 4 c. δώσοιεν] δώσειεν Ald. 12 πάλιν] Olynth. II. p. 23 e. 14 πάλιν] Leptin. p. 548 e. 16 στεφάνου] Sect. XLI. 19 κατὰ Αἰσχίνου] Initio.

Digitized by Google

467 ιγ'. Περὶ τῶν ἀξιοπιστίας δὲ καὶ τὸ ὡς ἀναμνησθέντα τι εἰπεῖν, οἷον „μικροῦ γε ὃ μάλιστα μέλλω πρὸς ὑμᾶς εἰπεῖν παρῆλθον.“ τοῦ δὲ αὐτοῦ τρόπου καὶ τὸ ὡς ζητοῦντάς τι εἰπεῖν „λάβε δὴ καὶ τὸ τῷ Χαβρίᾳ ψήφισμα [τὸ] ψηφισθέν· ὀρθώσαι. σκοπήσει γὰρ αὐτὸ ἐνταῦθα εἶναί που.“ τὸ γὰρ μὴ ὡς παρεσκευασμένον, ἀλλ' ὡς ἐπὶ καιροῦ ζητοῦντα εἰσάγειν ὅμοιόν ἐστιν αὐτοσχεδίῳ καὶ ἀξιόπιστον ποιεῖ λόγον.

ιδ'. Παρὰ πάντα δὲ ἀξιοπιστίας τό τε ἐπισημαίνεσθαι τοῖς εἰσαγομένοις καὶ τὸ ὑπερβολαῖς χρῆσθαι· ἐπισημαίνεσθαι μὲν, ὅταν λέγῃς „ὃ τοίνυν μάλιστα πάντων οἶμαι δεῖν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, φυλάξασθαι, τοῦτ' εἰπεῖν ἔτι βούλομαι.“ τοῦτό ἐστιν ἀρχόντων τῶν προειρημένων τῷ μέλλοντι εἰσάγεσθαι. ἡ δὲ ὑπερβολὴ ἐν τῷ ἑξῆς, οἷον „εἰ γάρ τις ἅπαντα ὅσα Λεπτίνης ἐρεῖ περὶ τοῦ νόμου, διδάσκων ὑμᾶς, ὡς κακῶς χρῆται, συγχωρήσει τούτοις ἀληθῆ λέγειν αὐτὸν, ἕν γε αἰσχρὸν, οὐδ' ἂν εἴ τι γένοιτο, ἀναιρεθείη, ὃ συμβήσεται διὰ τοῦ νόμου κυρίου γενομένου τῇ πόλει.“

ιε'. Ἀξιόπιστον καὶ τὸ ἐνίαις τῶν ἀντιθέσεων ὧν δοκοῦσι καθ' ἡμῶν λέγειν οἱ ἀντίδικοι συγχωρεῖν καὶ συγκατατίθεσθαι· ὡς ἐν τῷ κατὰ Μειδίου ἡ μὲν ἐκεῖθεν ἀντίθεσις „τάχα νῦν καὶ τοιαῦτα ἐρεῖ, ὡς ἐσκεμμένα πάντα λέγων ἐγώ·“ εἶτα ἡ παρ' αὐτοῦ συγχώρησις μεθ' ὑπερβολῆς „ἐγὼ δέ γ' ἐσκέφθαι μὲν ὁμολογῶ καὶ μεμελετηκέναι ὡς ἐνῆν μάλιστα ἐμοί.“

Β'. α'. 1. Κατὰ δὲ σχῆμα γίνεται ἀξιοπιστία οὕτως, ὅταν τις τοῖς ὁμολογουμένοις ἀντὶ τῶν ζητουμένων σχήμασι χρῆται, ὡς ἐκεῖ „ἆρ' ὁρᾶτε καὶ λογίζεσθε τὴν ἐπιοῦσαν ὥραν τοῦ ἔτους, εἰς ἣν ἔρημόν τινες οἴονται δεῖν τὸν Ἑλλήσποντον ὑμῶν ποιῆσαι.“ 2. Καὶ ἀξιοπι-

467, 1 μικροῦ] De falsa leg. p. 329 b. 3 λάβε] Leptin. p. 553 d. 7 ὃ τοίνυν] Leptin. p. 561 a. 9 τῷ μέλλοντι] τοῦ μέλλοντος Norrm. οἷον delet Norrm. 10 ὅσα] ὅσα Ald. 11 ἀληθῆ] ἐν ἀληθῆ Ald. 13 ἐνίαις Norrm. Vulgo ἐν ταῖς. 14 Μειδίου] P. 633 e. 18 ἆρ'] De Cherson. p. 78 a.

8 στίας ἕνεκα ὡς ὁμολογούμενον τῷ σχήματι εἰσάγει „ἴστε γὰρ δή που τοῦθ᾽ ὅτι τῶν ἡμᾶς ἀδικούντων ἐν ἑκάστῳ τίμημα ὑπάρχει.“ καὶ πάλιν „ἴστε μὲν οὖν ἴσως καὶ ἄνευ τοῦ παρ᾽ ἐμοῦ λόγου ὅτι σπουδαῖος Χαβρίας ἦν ἀνήρ.“

β΄. Ἀξιόπιστον δὲ κατὰ σχῆμα καὶ ὅταν τις ἐπαγγελίᾳ ἐν τῷ λόγῳ χρῆται· πάνυ γὰρ ἀξιόπιστον τὸ περὶ τῶν ζητουμένων κατεπαγγέλλεσθαι, ὡς ἐν τῷ πρὸς Λεπτίνην τὸ μὲν ζητούμενον εἰ θήσωσι τὸν παρεισφερόμενον νόμον, ὁ δὲ κατεπαγγέλλεται λέγων „ἐγγυώμεθα ἡμεῖς, ἐγώ, Φορμίων, ἄλλον εἴ τινα βούληται, θήσειν τὸν νόμον.“ καὶ πάλιν „ἐγγυώμεθα, ὑπισχνούμεθα, οἱ θεσμοθέται ταῦτα γραφόντων, ἐπὶ τούτοις τὸ πρᾶγμα γινέσθω.“

γ΄. Ἀξιοπιστίας δὲ καὶ ὅταν τις συνδρομαῖς χρῆται, (262) ὡς ἐν τοῖς Φιλιππικοῖς. οἷον „εἴ δέ τῳ δοκεῖ ταῦτα καὶ δαπάνης πολλῆς καὶ πραγματείας εἶναι·“ νῦν ἡ συνδρομὴ „καὶ μάλα ὀρθῶς δοκεῖ.“ τὸ γὰρ καθ᾽ ἑαυτοῦ δοκοῦν τὴν πρώτην συγχωρεῖ, ἵνα τὰ ὑπὲρ αὐτοῦ εἰσάγῃ.

δ΄. Πάνυ ἀξιόπιστον δὲ καὶ τοῦτο, ὅταν τις παραλείψεσι χρῆται. ἔστι μὲν οὖν καὶ περιβολὴ τὸ σχῆμα, ὅμως δὲ πολλοῖς ἐφαρμόττον κατὰ χρείας διαφόρους πολλάκις ἰδιότητά τινα ἔχει ἐν τῇ ἀξιοπιστίᾳ. ὅταν γὰρ παραλιπεῖν τι δοκῶν μὴ παραλείπῃς, ἐνταῦθά ἐστιν ἡ ἀξιοπιστία. ὥσπερ ἐν τῷ πρὸς Λεπτίνην „τὰ μὲν οὖν ἄλλα, ὅσα χρήσιμον ἑαυτὸν παρέσχεν οὗτος ὁ ἀνήρ.“ εἶτα παραλείψει ἐχρήσατο „καὶ αὐτὸς καὶ οἱ πρόγονοι, παραλείπω.“ καὶ πάλιν „αἰσχρός, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ κακῶς ἔχων ὁ νόμος, ὁμοίως φθόνῳ τινὶ καὶ φιλονεικίᾳ.“ εἶτα μηδὲν ἔτι ἔχων εἰπεῖν ἀξιοπίστως τῇ παραλείψει ἐχρήσατο „καὶ τὸ λοιπὸν ἐῶ.“

---

468, 1 ἴστε] Leptin. p. 564 b. 2 ἴστε] Ibid. p. 552 b. 5 Λεπτίνην] P. 556 a. 6 θήσωσι] θήσουσι Norrm. 9 Φιλιππικοῖς] IV. p. 99 a. et de Cherson. p. 81 e. 13 παραλείψεσι Norrm. παραλήψεσι Ald. 16 Λεπτίνην] P. 546 b. 17 εἶτα παραλείψει Norrm. εἶτα ἐν παραλήψει Ald. 18 πάλιν] P. 564 d. αἰσχρὸς] αἰσχρὸν Ald. 19 παραλείψει Norrm. παραλήψει Ald.

Digitized by Google

„πολλὰ μὲν οὖν ἔγωγε ἐλαττοῦμαι κατὰ τουτονὶ τὸν ἀγῶνα Αἰσχίνου·“ τοῦτο ἀόριστον· [647] νῦν τὸ ὡρισμένον ἐν ἀθροίσματι προσληφθὲν „δύο δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ μεγάλα·“ εἶτα ταῦτα κατ' εἶδος ἐμέρισεν „ἓν μὲν ὅτι οὐ περὶ τῶν ἴσων νῦν ἐμοὶ ὁ ἀγὼν, ἕτερον δὲ ὃ φύσει πᾶσιν ὑπάρχει, τῶν μὲν λοιδοριῶν καὶ τῶν κατηγοριῶν ἀκούειν ἡδέως, τοῖς ἐπαινοῦσι δ' αὐτοὺς ἄχθεσθαι.“ ἅπαντα γὰρ ταῦτα περιβολῆς ἐστιν· ἡ πρόσληψις τοῦ ἀορίστου· πολλὰ μὲν οὖν ἔγωγε ἐλαττοῦμαι· τὸ ἐν ἀθροίσματι συλλαβεῖν· δύο δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ μεγάλα· τὸ κατ' εἶδος μερίσαι· ἓν μὲν τὸ μὴ περὶ τῶν ἴσων εἶναι τὸν ἀγῶνα· ἕτερον δὲ τὸ πάντας οὕτως ἔχειν, τῶν μὲν λοιδορούντων ἡδέως ἀκροᾶσθαι, τοῖς ἐπαινοῦσι δὲ ἑαυτοὺς ἄχθεσθαι. 3. Καὶ τρίτον παράδειγμα „ἐπὶ πολλῶν μὲν ἄν τις ἰδεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, δοκεῖ μοι τὴν παρὰ τῶν θεῶν εὔνοιαν φανερὰν γενομένην τῇ πόλει·“ εἶτα ἡ ἐπὶ τὸ ὡρισμένον ἀπαγωγὴ „οὐχ ἥκιστα δὲ ἐν τοῖς παροῦσι πράγμασι.“ καὶ πάλιν „πολλὰ μὲν οὖν τῶν ὑπ' ἐκείνου πραχθέντων ἄξια ἐπαίνου, μέγιστον δὲ πάντων ἡ τῶν τειχῶν ἀνάστασις.“

β'. 1. Περιβολὴ δὲ καὶ τοῦτο ὅταν ἐν γένει προτιθῇς τὰ πράγματα, εἶτα κατ' εἶδος ἐπεξίῃς, ὡς ἐν τῷ πρὸς Λεπτίνην, ὃ μὲν βούλεται εἰσαγαγεῖν τοῦτό ἐστιν „οὐ τοίνυν μὴ Λεύκων ἀδικηθῇ μόνον δεῖ σκοπεῖν“ ἀλλὰ καὶ Ἐπικέρδης· ὁ δὲ πρὶν εἰπεῖν τὸ κατ' εἶδος, τὸ ἀλλὰ καὶ Ἐπικέρδης, τὸ ἐν γένει προὔλαβεν „ἀλλὰ καὶ εἴ τις ἄλλος εὖ μὲν ἐποίησεν ὑμᾶς εὖ πράττων, εἰς δέον δὲ νῦν γέγονεν αὐτῷ τὸ λαβεῖν παρ' ὑμῶν τὴν ἀτέλειαν·“ εἶτα νῦν
452 ἦλθεν ἐπὶ τὸ κατ' εἶδος διαστήσας „τίς οὖν οὗτός ἐστιν; Ἐπικέρδης ὁ Κυρηναῖος.“ 2. Καὶ πάλιν τὰς εὐεργεσίας τοῦ Ἐπικέρδους εἰσάγων τὸ ἐν γένει προλαβὼν οὕτως εἰσήγαγε κατ' εἶδος· τὸ ἐν γένει „ἀλλὰ τῷ παρὰ τοιοῦτον καιρὸν, ἐν ᾧ καὶ τῶν εὖ πεπονθότων ἔργον ἦν εὑρεῖν ἐθέλοντά τινα ὧν εὐεργέτητο μεμνῆσθαι·“ νῦν λέγει ἃ ἐποίησε

451, 3 πολλὰ] De corona ab initio. 11 ἐπὶ πολλῶν] Olynth. II. initio. 13 πάλιν] Leptin. p. 551 e. 16 πρὸς Λεπτίνην] P. 547 b. εἰσαγαγεῖν Norrm. Vulgo εἰσαγωγήν.

κατ᾿ εἶδος „οὗτος γὰρ ἀνὴρ τοῖς ἠτυχηκόσιν ἐν Σικελίᾳ
τῶν πολιτῶν ἔδωκε μνᾶς ἑκατόν." 3. Καὶ πάλιν ἐν γένει
„οἰκοδομήματα μέν γε καὶ κόσμον ἱερῶν καὶ λιμένων καὶ
τῶν ἀκολούθων τούτοις τοσοῦτον καὶ τοιοῦτον κατέλιπον
ἡμῖν ὥστε μηδενὶ τῶν ἐπιγιγνομένων ὑπερβολὴν λελεῖφθαι."
εἶτα κατ᾿ εἶδος „Προπύλαια ταῦτα, ὁ Παρθενών, νεώσ- (210)
οικοι." 4. Καὶ πάλιν ἐν τῷ πρὸς Λεπτίνην τοὺς προτρέ-
χοντας τῷ νόμῳ βουλόμενος ἐξετάσαι καὶ διαβαλεῖν πρῶ-
τον ἐν γένει αὐτῶν ἐμνήσθη „ᾕρηνται δὲ τῷ νόμῳ σύν-
δικοι, καὶ μάλιστα οἱ δεινοὶ λέγειν ἄνδρες·" εἶτα κατ᾿
εἶδος „Λεωδάμας Ἀχαρνεὺς καὶ Κηφισόδοτος ἐκ Κεραμέων·"
εἶτα πάλιν ἐν γένει συλλαβὼν „ἃ δὲ πρὸς τούτους ὑπο-
λαμβάνοιτ᾿ ἂν δικαίως ἀκούσατε·" εἶτα πάλιν κατ᾿ εἶδος
„πρῶτον μὲν πρὸς Λεωδάμαντα·" ὅταν μὲν οὖν μὴ ψιλὰ
κατ᾿ εἶδος λέγῃς, ἀλλὰ προσλαμβάνῃς τὰ ἐν γένει, περιβο-
λὴν ποιεῖς.

γ'. 1. Ἔτι περιβολῆς, ὅταν τις διὰ μέσου τοῦ νοή-
ματος, ἢ τῶν νοημάτων, πρὶν ἀπαρτίσαι τὸν νοῦν, ἕτερα
ἐμβάλῃ νοήματα· ὅπερ ἐὰν μὴ ἔν τινι μέτρῳ γένηται, δει-
νὴν ἀσάφειαν ἐργάζεται. 2. Παράδειγμα δὲ τῆς περιβολῆς
ταύτης ἐν τῷ κατὰ Ἀριστοκράτους „εἰκότως δ᾿ ἄν, ὦ ἄν-
δρες Ἀθηναῖοι, καὶ προσέχοιτέ μοι τὸν νοῦν καὶ μετ᾿ εὐ-
νοίας ἀκούσαιτε ἃ λέγω·" εἶτα ἐκστατικὰ τοῦ ὅτι δεῖ
προσέχοντας ἀκοῦσαι, ἄλλο ἐπὶ ἄλλῳ ἐπεμβεβλημένον· καὶ (212)
ταῦτα πεπλαγιασμένα „ἐπειδὴ γὰρ οὐχὶ τῶν ἐνοχλούντων
ὑμᾶς, οὐδὲ τῶν πολιτευομένων παρ᾿ ὑμῖν ὤν τι πρᾶγμα
53 τηλικοῦτον φημὶ δείξειν πεπραγμένον, ἐὰν ὅσον ἐστὶν ἐν
ὑμῖν συναγωνίσησθέ μοι καὶ προθύμως ἀκούσητε·" καὶ
οὐχ ἓν τὸ ἐκβησόμενον αὐτοῖς ἐκ τοῦ ἀκοῦσαι ἀγαθόν,

---

452, 4 ἠτυχηκόσιν Norrm. Vulgo ἠυτυχηκόσιν. 5 οἰκοδομήματα] περὶ τῆς συντάξεως p. 127 c. adde contra Aristocrat. p. 758 f. 8 νεώσοικοι Norrm. νεὼς, οἶκοι Ald. πρὸς Λεπτίνην] P. 563 a. 9 προστρέχοντας τῷ νόμῳ] Suspecta mihi verbi tum significatio tum constructio est, nondum alibi, quantum recordor, observata. nec προσέχοντας satis placet. Norrm. 13 προσλαμβάνῃς] προλαμβάνῃς Norrm. 15 ἀπαρτίσαι Norrm. Vulgo ἀπαρτῆσαι. 17 κατὰ Ἀριστοκράτους] Ab initio. 18 ἐκστατικὰ] παραστατικὰ Norrm.

Digitized by Google

ἀλλὰ δύο, τὸ μὲν ἐκ τοῦ παρόντος „τοῦτό τε σώσετε,“ τὸ δὲ ἐκ τοῦ μέλλοντος „καὶ ποιήσετε μὴ κατοκνεῖν, ἐάν τις καὶ ἡμῶν οἴηται δύνασθαι ποιῆσαι τὴν πόλιν ἀγαθόν.“ 3. Τοῦτο μὲν οὖν πεπλήρωται καὶ οὐδὲν λείπει αὐτῷ· ὁ δὲ, ἵνα πλείων ἡ περιβολὴ γένηται, καὶ τὸ ἐναντίον παραθεὶς ἐπανέλαβεν· [648] τί δὲ ἦν τὸ ἐναντίον τοῦ, καὶ μᾶλλόν τινα προθυμηθῆναι ἂν ποιῆσαί τι τὴν πόλιν ἀγαθόν; „νῦν δὲ πολλοῖς τοῦτο φοβουμένοις, λέγειν μὲν ἴσως οὐ δεινοῖς, βελτίοσι δὲ ὅμως ἀνθρώποις τῶν δεινῶν, οὐδὲ σκοπεῖν ἐπέρχεται τῶν κοινῶν οὐδέν.“ 4. Καὶ τοῦτ' ἂν ἀπήρτιστο, ἀλλὰ καὶ ἐνταῦθα οὐκ ἤρκεσεν, ἀλλὰ καὶ κατασκευὴν τοῖς προειρημένοις ἐξ ἰδιότητος προσέθηκεν „ἐγὼ γοῦν ἀπώκνησα ἄν, εὖ ἴστε, καὶ αὐτὸς τὴν γραφὴν ταύτην ἀπενεγκεῖν.“ ὥστε τοῦτον τὸν τρόπον συμπεπλέχθαι, τὸ προσέχειν λέγοντα, καὶ τόδε ἄτοπον οὐκ ἔσται, ὀκνεῖν τινας τὴν πόλιν εὖ ποιεῖν, ὡς νῦν γε ὀκνοῦσι· διὰ τὸν φόβον καὶ τὴν ἀπειρίαν τοῦ λέγειν· ἐγὼ γοῦν μικροῦ ὤκνησα καὶ αὐτός. 5. Πῶς οὖν κατηγορεῖς; καὶ τούτου ἐξ ἰδιότητος ἡ κατασκευή· „ὅτι δεινὸν ἡγοῦμαι πρότερον μὲν, ὅτε ἔπλευσα τριηραρχῶν εἰς Ἑλλήσποντον εἰπεῖν καὶ κατηγορῆσαί τινων, οὓς ἀδικεῖν ὑμᾶς ἡγούμην, νῦν δὲ ἡσυχίαν ἄγειν καὶ σιωπῆσαι πρᾶγμα ἀλυσιτελὲς τῇ πόλει κατασκευάζοντας, ὁρῶν τινας ἀνθρώπους.“ μή τί σοι δοκεῖ ὀλίγα ἐπεμβεβλῆσθαι νοήματα, ἵνα εἰς τοῦτο καταλήξῃ πᾶσα ἡ ἔννοια;

δ'. 1. Ἵνα δὲ ἔτι σαφέστερόν σοι γένηται ὁποῖόν τί ἐστι τὸ διὰ μέσου ἐμβαλεῖν πλείω νοήματα, ἐκεῖνο σαφέστατον παράδειγμα ἐν τῷ τῆς παραπρεσβείας „τὸ γὰρ
454 πρὸς ἄνδρα θνητὸν,“ ἓν νόημα ἐκ προσώπου „καὶ διὰ καιρούς τινας ἰσχύοντα γράφοντας εἰρήνην ἀθάνατον συνθέσθαι τὴν κατὰ τῆς πόλεως αἰσχύνην·“ τὸ πρᾶγμα τὸ γινόμενον, τὸ δὲ ἐπ' αὐτῷ καὶ οὔπω ἀπήρτισται, ἀλλ' ἐπεμβάλλει. 2. Πάλιν „πῶς γὰρ οὐκ αἰσχρὸν δημοσίᾳ

---

453, 9 ἀλλὰ καὶ Norrm. Vulgo ἀλλὰ οὐκ. 11 λέγοντα] λέγοντι Norrm. ἔσται] εἶναι aut ἔσεσθαι Norrm. 16 δοκεῖ Norrm. δοκῇ Ald. 19 ἐν τῷ τῆς παραπρεσβείας] P. 302 b.
454, 3 Πάλιν] Orat. cit. p. 313 c.

Digitized by Google

μὲν πάντας ὑμᾶς τοῖς πεπραγμένοις ἐκ τῆς εἰρήνης ἐπιτιμᾶν καὶ μήτε τῶν ἐν Ἀμφικτύοσι κοινωνεῖν ἐθέλειν, δυσκόλως τε ἔχειν καὶ ὑπόπτως πρὸς τὸν Φίλιππον, ὡς ἀσεβῶν καὶ δεινῶν ὄντων τῶν πεπραγμένων, καὶ οὔτε δικαίων οὔθ' ὑμῖν συμφερόντων· εἰς δὲ τὸ δικαστήριον εἰσελθόντας" νῦν πρόσεχε τοῖς ἐπιβεβλημένοις „τὰς ὑπὲρ τούτων εὐθύνας δικάσοντας" ἄλλο νόημα „ὅρκον ὑπὲρ τῆς πόλεως ὀμωμοκότας, ὃν εἰλήφατε ἐπ' αὐτοφώρῳ τοιαῦτα πεποιηκότα" νῦν τὸ συμπληροῦν „τοῦτον ἀφεῖναι."

ε'. 1. Περιβολὴν δὲ ποιεῖ καὶ ὅταν τις μὴ ἀκόλουθα ἐξετάζῃ μόνον, ἀλλὰ καὶ τἀναντία προσλαμβάνῃ, ὡς ἐν τῷ τῆς παραπρεσβείας τὸ μὲν ἁπλοῦν ἦν καὶ τὸ ἀκόλουθον οὕτως, ἐπεὶ γὰρ ἐχειροτονήσατε τοῦτον πρεσβευτὴν, ὡς φυλάξοντα τοὺς ἄλλους· ἐνταῦθα τὸ ἐναντίον προσλαβὼν οὕτως ἐπάγει τὸ ἀκόλουθον „ἐχειροτονήσατε τοῦτον πρότερον" εἶτα τὸ τί ποιήσοντα; „οὐχ ὡς τῶν ἀποδωσομένων τὰ ὑμέτερα, οὐδ' ὡς τῶν πεπιστευκότων τῷ Φιλίππῳ" εἶτα νῦν τὸ ἀκόλουθον „ἀλλ' ὡς φυλάξοντα τοὺς ἄλλους." 2. Καὶ πάλιν ἐν τῷ τῆς παραπρεσβείας „ἐπειδὴ (218) δὲ ἧκεν ἡ ἐκκλησία, παρελθὼν Αἰσχίνης πρῶτος ἡμῶν ἁπάντων" καὶ οὐκ εὐθὺς τὸ ἀκόλουθον ἐπήνεγκεν, τάδε ἀπήγγειλεν, ἀλλὰ πρότερον κατὰ τὸ ἐναντίον τοῦ ἀκολούθως, ἃ δέον ἀπαγγέλλειν οὐκ ἀπήγγειλε, τίνα δὲ ἦν ταῦτα; πρῶτον „τοῦ μὲν ἀπαγγέλλειν τι περὶ τῶν πρεσβευομένων ἢ περὶ τῶν ἐν τῇ βουλῇ ῥηθέντων, εἰ ἄλλα ἠμφισβήτει, μήτ' ἀληθῆ λέγειν ἐμὲ παμπληθὲς ἀπέσχεν." εἶτα νῦν κατὰ τὸ ἀκόλουθον ἃ ἐποίει καὶ ἐδημηγόρει „καὶ τοιούτους εἶπε λόγους." 3. Ἵνα δὲ εἰδῇς ὅτι συγγένειαν ἔχει τὰ τῆς περιβολῆς θεωρήματα, εἴπομεν ἐν τοῖς ἐπάνω ὅτι περιβολή ἐστι τὰ ἐν γένει προλαβόντα κατ' εἶδος ἐπάγειν· ἀλλὰ καὶ νῦν λέγωμεν ὅτι περιβολή ἐστι τὸ μὴ μόνον τὰ ἀκόλουθα ἐξετάζειν, ἀλλὰ καὶ τὰ ἐναντία τῶν ἀκολούθων· ἐνταῦθα ἀμφότερα πεποίηκεν· ὃ μὲν οὐκ ἐποίει, ὃ δὲ ἐποίει, προθεὶς τὸ ἐναντίον πρὸ τοῦ ἀκολούθου, τὰ

7 ἐπιβεβλημένοις] ἐπεμβεβλημένοις Norrm. 11 ἐν τῷ τῆς παραπρεσβείας] P. 295 e. 13 προσλαβὼν] προλαβὼν Norrm. 15 πάλιν] P. 296 f. 18 ἀκολούθως] ἀκολούθου Norrm.

455, 3 ἐν τοῖς ἐπάνω] P. 451, 15. 6 ὃ δὲ ἐποίει Norrm.

Digitized by Google

δὲ ἐν γένει προσλαβὼν κατ' εἶδος· τὰ μὲν ἐν γένει εἰπὼν ἐν τῷ „εἶπε δὲ τοιούτους λόγους καὶ τηλικαῦτα καὶ τοιαῦτα ἔχοντας ἀγαθὰ ὥστε ἅπαντας λαβὼν ὑμᾶς ᾤχετο·“ ταῦτα μὲν ἐν γένει· νῦν τὸ κατ' εἶδος „ἔφη γὰρ ἥκειν πεπεικὼς Φίλιππον· εἶτα πάλιν ἐν γένει „πάνθ' ὅσα συμφέρει τῇ πόλει“ εἶτα κατ' εἶδος „καὶ περὶ τῶν ἐν Ἀμφικτύοσι καὶ [649] περὶ τῶν ἄλλων ἁπάντων.“ 4. Καὶ ἐν τῷ κατὰ Μειδίου δὲ „ὡς δέον εἴ τις ὑβρισθεὶς ὑπὸ τούτου“ τὸ μὲν ἀκόλουθον „δίκης ἀξιοῖ τυχεῖν“ τὸ δὲ ἐναντίον τοῦ ἀκολούθου „καὶ μὴ σιωπᾶν.“

ϛ'. 1. Περιβολῆς δὲ καὶ τὸ μὴ ψιλὰ τὰ νοήματα εἰσάγειν, τουτέστι τὰ πράγματα, ἀλλὰ προσλαμβάνειν αὐτῶν τὴν γνώμην τῶν τοιούτων, ἢ τὴν ποιότητα τῆς γνώμης· οὕτω περιβολὴν εἰργάσατο „δοκοῦσι δέ μοι Λακεδαιμόνιοι μάλα δεινῶν ἔργον ἀνθρώπων ποιεῖν·“ εἶτα τὸ γιγνόμενον ὑπ' αὐτῶν, „νυνὶ γάρ φασι δεῖν ἐκεῖνο Ἠλείους μὲν τῆς Τριφυλίας τινὰ κομίσασθαι.“ 2. Καὶ ἐν τοῖς Φιλιππικοῖς „δοκεῖτε δέ μοι πολὺ βέλτιον ἂν περὶ τοῦ πολέμου καὶ ὅλης τῆς παρασκευῆς βουλεύσασθαι“ εἶτα ἐπάγει ὧν ἕνεκα ταῦτα προελήφθη „εἰ τὸν τόπον, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς χώρας ᾗ πολεμεῖτε ἐνθυμηθείητε.“

ζ'. Περιβολὴν δὲ ποιεῖς καὶ ὅταν πρὶν τὸ εἰσαγό-
456 μενον εἰπεῖν, τὸ κατασκευαστικὸν αὐτοῦ προλάβῃς. οἷον ἐν τῷ πρὸς Λεπτίνην εἰ μὲν ἁπλῶς καὶ χωρὶς περιβολῆς ἔλεγεν, οὕτως ἂν εἶπε, καὶ τῶν μὲν τοὺς ἐξ ἄστεος κελευόντων ἀποδοῦναι, τῶν δὲ κοινῇ συνδιαλῦσαι· νῦν δὲ ὅρα πῶς προέλαβε τὰ κατασκευαστικὰ καθ' ἑκάτερον· „καὶ τῶν μὲν“ οὐκ εὐθὺς εἶπε τοὺς ἐξ ἄστεος, ἀλλὰ διὰ μέσου „τοὺς δανεισαμένους ἀποδοῦναι κελευόντων, τοὺς ἐξ ἄστεος, τῶν δὲ“ καὶ οὐκ εὐθὺς ἀντέθηκε, κοινῇ διαλῦσαι, ἀλλὰ πάλιν προέλαβεν τὸ κατασκευαστικὸν „τῶν δὲ τοῦτο πρω-

---

Aberat δὲ. 7 προσλαβὼν] προλαβὼν Norrm. κατ' εἶδος] Plenum erat τὰ κατ' εἶδος ἐπάγει. Norrm. 11 Μειδίου] P. 620 b. 14 τοιούτων] ποιούντων Norrm. 15 εἰργάσατο] Δημοσθένης addit Norrm. cuius locus est ex oratione pro Megalopolitis. 17 ἐν τοῖς Φιλιππικοῖς] I. p. 51 d.

456, 1 πρὸς Λεπτίνην] P. 542 e. 5 ἀντέθηκε] Vulgo

τον ὑπάρξαι σημεῖον ἀξιούντων τὸ κοινῇ διαλύσασθαι τὰ χρήματα.“

η΄. Περιβολῆς καὶ τοῦτο, ὅταν μὴ ψιλὸν τὸ εἰσαγόμενον λέγῃς. οἷον ἐν τῷ πρὸς Λεπτίνην τὸ μὲν εἰσαγόμενον, τοῦτο μὲν ἐν τοῖς κυρίοις νόμοις ὑπάρχον, τὰς δωρεὰς ὅσας ὁ δῆμος ἔδωκε κυρίας εἶναι, ὁ δὲ προὔλαβε τὴν ποιότητα τοῦ εἰσαγομένου „τοῦτο μὲν ἐν τοῖς οὖσι νόμοις κυρίοις ὑπάρχον·“ εἶτα ἡ ποιότης προσληφθεῖσα „καλόν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σαφές·“ καὶ νῦν τὸ (225) εἰσαγόμενον „τὰς δωρεὰς ὅσας ὁ δῆμος ἔδωκε κυρίας εἶναι. καὶ πάλιν ἐπ᾽ αὐτῷ ἡ ἐπίκρισις· δίκαιον ὦ γῆ καὶ θεοί· καὶ ἄλλως ὅπου ἂν μὴ ψιλὰ τὰ πράγματα εἰσάγῃς, ἀλλὰ προσλαμβάνῃς τι αὐτῶν, ἢ ἐπάγῃς τι αὐτοῖς, περιβολὴν ἐργάσῃ.

θ΄. Περιβολὴν δὲ ποιεῖς καὶ ὅταν εἰσάγων τι παρ᾽ αὐτοῦ, οἷον, Κόνων ὑμᾶς τοσαῦτα εὐεργέτησε, μὴ εὐθὺς εἴπῃς τί ἐποίησεν, ἀλλὰ προσλαβὼν ἐκ τίνων τίνα ἐποίησε, πῶς ἐχόντων ἐποίησεν. ὡς ἐν τῷ πρὸς Λεπτίνην, τὸ μὲν εὐεργέτημα „κατεναυμάχησεν·“ ὁ δὲ πρὶν τοῦτο εἰπεῖν, προλαβὼν προσηγάγετο· καὶ πῶς ἐχόντων τί ἐποίησεν „μετὰ τὴν τοῦ δήμου κάθοδον, τὴν ἐκ Πειραιῶς, ἀσθενοῦς ὑμῶν τῆς πόλεως οὔσης καὶ ναῦν οὐδεμίαν κεκτημένης, στρατηγῶν βασιλεῖ, παρ᾽ ἡμῶν οὐδ᾽ ἡντιναοῦν ἀφορμὴν λαβών.“ νῦν τὸ γενόμενον ὑπ᾽ αὐτοῦ „κατεναυμάχησε Λακεδαιμονίους.“

Β΄. α΄. 1. Κατὰ δὲ σχῆμα περιβολὴ γίνεται οὕτω· τὸ καθ᾽ ὑπόθεσιν σχῆμα μάλιστα περιβολὴν ἐργάζεται· καὶ ὅταν τις ὑποστάσεσι χρῆται. ὅ τι δέ εἰσιν ἐν τῷ λόγῳ αἱ ὑποστάσεις καὶ ὅσον δύνανται ἐπὶ παραδειγμάτων γνώσῃ· ὥσπερ ἐν τῷ κατὰ Κόνωνος εὐθὺς ἐν ἀρχῇ „ὑβρισθείς, (226)

---

ἀντέθεικε. 8 Post λέγῃς deesse mihi videtur pars altera praeceptionis, quam ex iis, quae ad appositum exemplum annotantur, hoc fere modo reconcinnare possis ἀλλὰ καὶ τὰς ποιότητας αὐτοῦ προλαμβάνῃς καὶ τὴν ἐπίκρισιν αὐτῷ ἐπάγῃς. Norrm. πρὸς Λεπτίνην] P. 555 b. 14 προσλαμβάνῃς] προλαμβάνῃς Norrm. 15 παρ᾽ αὐτοῦ] περί του aut παρ᾽ αὐτοῦ Norrm. 16 ἐποίησεν Norrm. Vulgo ἐποίησας. προλαβὼν Norrm. 17 πρὸς Λεπτίνην] P. 551 a. 17 Λακεδαιμονίους κατεναυμάχησεν Norrm.

ὦ ἄνδρες δικασταί, καὶ παθὼν ὑπὸ Κόνωνος τουτου γε." καὶ τὸ μὲν ἁπλοῦν ἦν οὕτως εἰπεῖν, πολλὰ καὶ δεινὰ ἢ καὶ διάφορα πράγματα, ὧν οὐδὲν γέγονε δεινότερον· ὁ δὲ διὰ τῆς ὑποστάσεως περιβολὴν εἰργάσατο „τοιαῦτα ὥστε πολὺν χρόνον πάνυ μήτε τοὺς οἰκείους μήτε τῶν ἰατρῶν μηδένα προσδοκᾶν περιφευξεῖσθαί με." 2. Διαφέρει δέ τι καὶ τὸ ἴδιον τῆς ὑποστάσεως· τούτῳ γὰρ πάνυ πρόσεχε· ὅτι εἰ μὲν ἁπλῶς εἶπεν, ὑβρισθεὶς, ὦ ἄνδρες δικασταὶ, καὶ παθὼν ὑπὸ Κόνωνος πολλὰ καὶ δεινά· ἀπήρτιστο ἂν τὸ νόημα καὶ οὐδενὸς προσέδει καὶ ἔδει μεταβῆναι· τὸ δὲ τῇ ὑποστάσει ἀναρτῆσαι ἐν τῷ εἰπεῖν „καὶ παθὼν τοιαῦτα" ἀκόλουθον ἔσχε τὸ ἐπαγαγεῖν ποδαπά· „ὥστε πολὺν χρόνον πάνυ μήτε τοὺς οἰκείους μήτε τῶν ἰατρῶν μηδένα προσδοκᾶν περιφεύξεσθαί με." ἡ ὑπόστασις οὖν τοῦτο δύναται· πολλὰ ἐξ ἑνὸς ποιῆσαι τὸ ὄνομα καὶ περιβολὴν ἐργάσασθαι. 3. Καὶ πάλιν [650] ἐν τῷ κατὰ Κόνωνος προϊὼν λέγει „καὶ τὸ μὲν πρῶτον κακῶς ἔλεγον, τελευτῶντες δὲ καὶ πληγὰς ἐνέτειναν ἐμοί." καὶ τὸ μὲν ἁπλοῦν ἦν εἰπεῖν, καὶ κραυγὴν πολλὴν καὶ θόρυβον περὶ τὴν σκηνὴν ἐποίησαν· ἀλλ' ἀπήρτιστο ἂν τὸ νόημα καὶ ὅμοιον ἦν ἐρριμμένῳ· νῦν δὲ ἡ ὑπόστασις τὴν περιβολὴν εἰργάσατο „καὶ τοσαύτην κραυγὴν καὶ θόρυβον περὶ τὴν σκηνὴν ἐποίησαν·" ἀκολουθεῖ γὰρ τῇ κατὰ τὴν ὑπόστασιν ἀναρτήσει πάντως ἄλλο ἐπαχθῆναι
458 νόημα· τοσαύτην κραυγὴν ἐποίησαν ὥστε καὶ τὸν στρατηγὸν καὶ τοὺς ταξιάρχους ἐλθεῖν. 4. Καὶ ἄλλη ὑπόστασις ἐν τῷ λόγῳ· τὸ μὲν ἁπλοῦν ἦν εἰπεῖν· κακῶς με διέθηκαν ἐναλλόμενοι καὶ παίοντες· ἡ δὲ περιβολὴ ἐκ τῆς ὑποστάσεως „οὕτω διέθηκαν ἐναλλόμενοι καὶ παίοντες ὥστε τὸ μὲν χεῖλος διακόψαι."

β. Περιβολῆς δὲ σχῆμα καὶ τὸ κατὰ τὴν ἀπαρίθμησιν. παράδειγμα δὲ τούτου ἐν τῷ τῆς παραπρεσβείας, ὅπου λέγει „τίνα οὖν χρὴ παρὰ πρεσβευτοῦ λόγον λα-

---

457, 8 ὁ δὲ Norrm. Vulgo ἃ δὲ. 9 προσδοκῶ Ald. 10 τούτῳ Norrm. Vulgo τοῦτο. 15 τὸ ὄνομα] τὰ ὀνόματα Norrm. 20 ἀπαχθῆναι Ald.

458, 2 κακῶς με Norrm. Vulgo καθῆκε. 6 παραπρεσβείας]

βεῖν;“ καὶ τὸ μὲν ἁπλοῦν ἦν οὕτως εἰπεῖν, ὧν ἀπήγγειλεν, ὧν ἔπεισε· τὸ δὲ τῆς περιβολῆς ἐν τῇ ἀπαριθμήσει „πρῶτον μὲν τοίνυν ὧν ἀπήγγειλε, δεύτερον δὲ ὧν ἔπεισε, τρίτον δὲ ὧν προσετάξατ' αὐτῷ.“ καὶ πάλιν ἐρωτᾷ „τοῦ χάριν δὴ ταῦτα διεξῆλθον; πρώτου μέν, ἵνα (230)
γνῶτε καὶ μάθητε· δευτέρου δὲ οὐδὲν ἐλάττονος τούτου.“

γ'. 1. Καὶ παραλείψεις περιβολὴν ποιοῦσιν. ὡς ἐν τῷ κατὰ Μειδίου „ὅσα μὲν οὖν ἢ τοὺς χορευτὰς, ἐναντιούμενος ἡμῖν ἀφεθῆναι τῆς στρατιᾶς, ἠνώχλησεν, ἢ προβαλλόμενος ἑαυτὸν εἰς Διονύσια χειροτονεῖν ἐπιμελητὴν, καὶ τὰ ἄλλα πάντα ὅσα τοιαῦτα ἐάσω·“ καὶ πάλιν „ὅτι μὲν γραφὴν λειποταξίου κατεσκεύασε κατ' ἐμοῦ καὶ τὸν τοῦτο ποιήσαντα ἐμισθώσατο, τὸν μιαρὸν καὶ λίαν εὐχερῆ, τὸν κονιορτὸν Εὐκτήμονα, ἐάσω.“ 2. Χρὴ δὲ εἰδέναι ὅτι αἱ μὲν ἀόριστοί εἰσιν παραλείψεις, αἱ δὲ κατ' εἶδος. ἀόριστοι μὲν αἱ τοιαῦται „πάντα μὲν οὔτ' ἂν ἔγωγε δυναίμην πρὸς ὑμᾶς εἰπεῖν οὔτ' ἂν ὑμεῖς ἐβούλεσθε ἀκούειν, ὅσα ἔλαβε παρ' ἀμφοτέρων δῶρα.“ μάλιστα δὲ τὸ γένος ποιεῖ· περιβολὴν οὖν ποιοῦσιν αἱ τοιαῦται ἐν τῷ ἀορίστῳ· αἱ δὲ κατ' εἶδος παραλείψεις. οἷον „Ὄλυνθον μὲν δὴ καὶ Ἀπολλωνίαν καὶ δύο καὶ τριάκοντα πόλεις ἐπὶ Θρᾴκης ἐῶ.“ καὶ αἱ μὲν κατ' ἀρχὰς γίνονται παραλείψεις, ὥσπερ (232)
αὕτη „Ὄλυνθον μὲν δὴ καὶ Ἀπολλωνίαν.“ αἱ δὲ ἐπὶ τέλει, ἐν οἷς λέγει „τὰς δὲ ἐπ' Ἰλλυριοὺς καὶ Παίονας

---

Ab initio. 9 ἐπέρωθι] Ibid. p. 297 e. 11 Μειδίου] P. 605 d. 12 στρατιᾶς] In editis χορείας habetur: quibuscum facit et Hermogenes Methodo VII. sed germana lectio est στρατείας, quam et sententia loci recte expensa tuetur et agnoscit scholiastes, una cum indice variarum lectionum. nec aliter Alexander περὶ σχημάτων cap. XIX. περὶ παραλείψεως. Norrm. 14 πάλιν] Ibid. p. 619 e. 17 πάντα μὲν] Conf. κατὰ Μειδίου p. 624 c. Si eo de loco, quem conferendum censuimus, ut fere suspicamur, haec desumta sunt, non manifestius aliud exemplum esse potest quanto cum periculo de penu memoriae aliena nonnunquam verba proferantur; quippe adeo variata ac contorta ut aliam prorsus a Demosthenica sententiam exhibeant. Norrm. 18 τὸ γένος] Sup. σεμνότ. γ'. ε'. Norrm. 19 παραλήψεις Ald. 20 Ὄλυνθον] Philipp. III. p. 89 c.

459, 1 παραλήψεις Ald. 2 ἐν οἷς λέγει] Olynth. I. p. 3 b.

αὐτοῦ καὶ ὅποι τις ἂν εἴποι παραλείπω στρατιάς." 4. Τῶν δὲ ἐπὶ τέλει καὶ αὕτη ἡ παράλειψις, περιβολὴν ἔχουσα „πολλὰ δὲ ἔχων καὶ ἄλλα ἐπιδεῖξαι, ἃ τούτοις ἐστὶ πεπραγμένα, καὶ εἰσὶν ἐψευσμένοι, ἡδέως μὲν ἂν ὑμῖν λέγοιμι· ἐπειδὴ δὲ ἔξω τοῦ πράγματος ὑπολαμβάνω εἶναι, ἐάσω." 5. Αὐξήσεις δὲ περιβολήν, ἐὰν μὴ ψιλὰς τὰς παραλείψεις λέγῃς, ἀλλὰ καὶ τὰς αἰτιολογίας αὐτῶν προστιθῇς, ὡς ἐν τῷ πρὸς Λεπτίνην „ὃν μὲν οὖν τρόπον ὑμᾶς ἔχων πρὸς Πελοποννησίους ἅπαντας παρετάξατο ἐν Θήβαις, καὶ ὡς Γοργώπαν ἀπέκτεινεν ἐν Αἰγίνῃ, καὶ ὅσα ἐνῆν πρώην ἐποίησε, καὶ μετὰ ταῦτα ἐν Αἰγύπτῳ, καὶ ὅτι πᾶσαν ἐπελθὼν ὀλίγου χώραν, οὐδαμοῦ τὸ τῆς πόλεως ὄνομα οὐδ' αὐτὸν κατήσχυνε." καὶ ἡ αἰτιολογία δι' ἣν παραλείπει, ὅτι ἀδύνατον κατὰ τὴν ἀξίαν εἰπεῖν „πολλή τε αἰσχύνη λέγοντος ἐμοῦ ταῦτα ἐλάττω φανῆναι τῆς παρ' ἑκάστῳ περὶ αὐτοῦ δόξης ὑπαρχούσης."

δ'. 1. Μάλιστα δὲ περιβολὴν καὶ οἱ μερισμοὶ ἐργάζονται, ὅταν τὰ νοήματα μὴ καθ' ἓν εἰσάγῃς, ἀλλὰ μερίζων ἀντιτιθῇς, ὥσπερ ἐν Φιλιππικοῖς „εἰ δ' ὁ μὲν ὡς ἀεί τι μεῖζον τῶν ὑπαρχόντων δεῖ πράττειν ἐγνωκὼς ἔσται, ὑμεῖς δὲ ὡς οὐδενὸς ἀντιληπτέον τῶν πραγμάτων." τοῦτο μὲν οὖν εἰς πρόσωπα ἔστι μερίσαι τὸ νόημα, ἔτι δὲ μερισθὲν εἰς πρόσωπον καὶ τόπον „οὐκοῦν ὑμῶν μὲν μὴ δυναμένων ἐνθένδε ἀναπλεῦσαι, ἐκεῖ δὲ μηδεμιᾶς οὔσης ἑτοίμου βοηθείας." 2. Πάνυ δὲ Ἰσοκράτης χαίρει τούτῳ τῷ τρόπῳ τῶν μερισμῶν, περιβολὴν ἐργαζόμενος, παραδείγματος δὲ ἕνεκα ἓν ἢ δύο [651] ἐκ τοῦ περὶ τῆς
460 εἰρήνης Ἰσοκράτους· „εἰς τοῦτο γὰρ κατέστημεν" καὶ μερισμὸς „τῶν μὲν οἰκείων ἀμελείας, τῶν δὲ ἀλλοτρίων ἐπιθυμίας·" εἶτα λέγων τὰ ἐκ τούτων αὐτοῖς ἀποβάντα ἄτοπα μερίζει „τοὺς μὲν τάφους τοὺς δημοσίους τῶν πο-

3 στρατείας] στρατειάς Ald. παράλειψις Norrm. παράληψις? Ald. Sic idem correxit 6. πολλὰ δὲ ἔχων] In Eubulid. p. 892 b. 5 ἐψευσαμένοι Ald. ὑμῖν] ἡμῖν Ald. 7 Λεπτίνην] P. [illegible] b. 8 ἔχων] ἔχω Ald. 9 αἰγείνῃ Ald. 11 οὐδ' αὐτὸν ᾔσχυνε Ald. 12 τῆς] τοῖς Ald. 15 εἰ δ' ὁ] Olynth. I p. 3 c. 18 οὐκοῦν] De Cherson. p. 77 e. 20 εἰς τοῦτο] De Pace p. 416.

Digitized by Google

λιτῶν ἐνέπλησαν, τὰς δὲ φρατρίας καὶ τὰ ληξιαρχικὰ γραμματεῖα ξένων.“ 3. Εἶτα πάλιν ἐξαριθμούμενος τὰ τοῖς Λακεδαιμονίοις ἀπὸ τῆς ἀρχῆς τῆς κατὰ θάλατταν συμβάντα λέγει „ἀνέπλησεν αὐτοὺς ἡ θάλαττα τοὺς μὲν (236) ἰδιώτας ἀδικίας, ἀνομίας, ἀρρυθμίας, φιλοχρηματίας, τὸ δὲ κοινὸν τῆς πόλεως“ οὐχ ἁπλῶς ἀντέθηκεν τοῦ δι' ἧς καὶ τοῦδε, ἀλλὰ πάλιν ἐπεμέριζε „τὸ δὲ κοινὸν τῆς πόλεως τῶν μὲν ὑπερβορείων ἐπιθυμίας, τῶν δὲ ἀλλοτρίων.“ 4. Ἀλλὰ καὶ οἱ ἐπιμερισμοὶ περιβολὴν ἐργάζεσθαι δύνανται· οἷον, οὐ μόνον τόδ' ἐποίησας, ἀλλὰ καὶ τόδε· „μὴ μόνον πόλεων καὶ τόπου, ὧν ἡμέν ποτε κύριοι, φαίνεσθαι προϊεμένους, ἀλλὰ καὶ τῶν ὑπὸ τῆς τύχης παρασκευασθέντων συμμάχων τε καὶ καιρῶν.“ 5. Καὶ ἐν τῷ πρὸς Λεπτίνην „οὐ τοίνυν μὴ Λεύκων ἠδικήθη μόνον δεῖ σκοπεῖν, ἀλλὰ καὶ εἴ τις ἄλλος·“ ἔστι δὲ τὸ κατὰ τὸν Ἐπικέρδην εἰσαγόμενον. καὶ πάλιν „οὐ τοίνυν μόνον, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς ἰδίᾳ γνόντας εὖ ποιεῖν ὑμᾶς καὶ παρασχόντας χρησίμους ἑαυτοὺς ἄξιόν ἐστιν εὐλαβηθῆναι ἀδικῆσαι, ἀλλὰ καὶ πολλούς, οἳ πόλεις ὅλας, τὰς ἑαυτῶν πατρίδας, συμμάχους ἡμῖν ἐπὶ τοῦ πρὸς Λακεδαιμονίους πολέμου παρέσχον·“ καὶ πάλιν „οὐ τοίνυν μόνον ὁ Κόνων (238) ὑφ' ἡμῶν τότ' ἐτιμήθη πράξας ἃ διεξῆλθον ἐγώ, ἀλλὰ καὶ ὑπ' ἄλλων πολλῶν.“

έ. Περιβολὴν δὲ ἔχει καὶ τὸ ἐκ παραθέσεως εἰσάγειν τὰ νοήματα, ὅταν μὴ ἁπλῶς εἴπῃ, τόδε ἐγένετο καὶ τόδε, ἀλλ' ἀντὶ μὲν τοῦ τόδε μὲν γενέσθαι, τόδε ἐγένετο. ἀντὶ δὲ τοῦ τόδε, τόδε. ὡς ὁ Δημοσθένης ἐν τῷ τῆς παραπρεσβείας „ἀντὶ μὲν γὰρ τοῦ Θεσπίας καὶ Πλαταίας ἰδεῖν οἰκιζομένας Ὀρχομενὸν καὶ Κορώνειαν ἠκούσατε ἐξηνδραποδισμένας.“ 2. Καὶ Ἰσοκράτης δὲ χαίρει τῷ ἐκ παραθέσεως σχήματι περιβολὴν ἐργαζόμενος· ἀντὶ μὲν γὰρ τοῦ φρουρεῖν τὰς ἄλλων ἀκροπόλεις, τῆς αὐτῶν ἐπεῖδον τοὺς

---

460, 4 πάλιν] P. 422. 4 τοῖς Λακεδαιμονίοις Norrm. τῆς Λακεδαιμονίας Ald. 7 τοῦ δι' ἧς] τοῦδε ἐνέπλησε Norrm. 9 μὴ μόνον] Olynth. II. initio. 11 πρὸς Λεπτίνην] P. 547 a. 13 πάλιν] P. 548 d. 16 πάλιν] P. 551 d. 19 τόδε μὲν] τόδε δεῖν Norrm. 20 παραπρεσβείας] P. 344 e.

πολεμίους κυρίους γενομένους, ἀντὶ δὲ τοῦ παῖδας ὁμήρους λαμβάνειν, τοὺς ἑαυτῶν φησιν ἐπιδεῖν ἀναξίως τρεφομένους, ἀντὶ δὲ τοῦ γεωργεῖν τὰς χώρας τὰς ἀλλοτρίας, πολλῶν ἐτῶν οὐδὲ ἰδεῖν αὐτοῖς ἐξεγένετο τὴν ἑαυτῶν."

ς'. 1. Περιβολὴν δὲ καὶ αἱ συμπληρώσεις ἐργάζονται· ἐν τῷ κατὰ Κόνωνος „ὅτι μὲν τοίνυν οὐ μετρίας τινὰς καὶ φαύλας λαβὼν πληγάς·" καὶ τὸ ἀντικείμενον τῷ οὐ φαύλας λαβὼν πληγὰς „ἀλλὰ ἐπανελθὼν διὰ τὴν ὕβριν καὶ τὴν ἀσέλγειαν τὴν τούτων·" ἐπάγει τί παθὼν τί πεποίηκεν· „πολλῷ τε τῆς προσηκούσης ἐλάττω δι' ἧς εἴληχα" νῦν τὸ συλληπτικὸν εἰς ἐπίτασιν ὁμολογούμενον „πολλαχόθεν νομίζω δῆλον ὑμῖν γεγενῆσθαι." 2. Ὡς δὲ ἤδη παρακολουθοῦντί σοι τὰ καθ' ἕκαστον θεωρήματα τῆς περιβολῆς παρέδειξα, ἐφ' ὧν γέγονεν ἡ συμπλήρωσις· ἐπεὶ τό γε αὐτὴν θεῖναι τὴν συμπλήρωσιν τοιοῦτον ἦν, ὅτι μὲν τοίνυν οὐ μετρίας καὶ φαύλας τινὰς λαβὼν πληγὰς, ἀλλ' ἐπανελθὼν διὰ τὴν ὕβριν καὶ τὴν ἀσέλγειαν τὴν τούτων, πολλῷ τῆς προσηκούσης ἐλάττω δίκην εἴληχα, νομίζω δῆλον ὑμῖν γεγενῆσθαι. 3. Εἰσὶ δὲ καὶ ἄλλαι συμπληρώσεις θαυμαστὴν περιβολὴν ἐργαζόμεναι, ἅμα τε τὸ προειρημένον συμπληροῦσαι καὶ ἀπαρτίζουσαι καὶ μετάβασιν ἐπὶ τὸ ἑξῆς εἰσαγόμενον παρέχουσαι, ὡς ἐν τῷ ὑπὲρ τοῦ στεφάνου „ἃ μὲν τοίνυν ἐγὼ παρεσχόμην εἰς τὸ δικαιοῦν τοιαῦτα γράφειν περὶ ἐμοῦ πρὸς πολλοῖς ἄλλοις ταῦτα καὶ παραπλήσια τούτοις ἐστί·" μέχρις ἐνταῦθα ἡ συμπλήρωσις· εἶτα ἡ ἐπαγγελία τοῦ ἐφεξῆς „ἃ δὲ πάντες ὑμεῖς ἴστε, ταῦτ' ἤδη λέξω."

462 ζ'. 1. Καὶ τὸ πλαγιάζειν τὰ νοήματα μάλιστα περιβολῆς ἐστιν, ὥστε καὶ ἐν ταῖς ἀφηγήσεσιν, εἰ πλαγια-

---

461, 3 ἀντὶ μὲν] Isocrates de Pace p. 420. ἐπιδεῖν] ἐπιδεῖν Ald. 4 πολεμείους Ald. 7 ἐν] ὡς ἐν Norrm. κατὰ Κόνωνος] P. 1110 e. 8 τῷ Norrm. Vulgo τό. 9 τί πεποίηκεν Norrm. Aberat τί. 10 δι'] δίκην, ut mox. Norrm. 11 et 15 ὑμῖν] ἡμῖν Ald. 12 ἐφ'] ἀφ' Norrm. 15 δῆλον] Vulgo δ' ἦν. 18 στεφάνου] Sect. LXXIV.

462, 1 Hinc satis constat quid sit πλαγιασμὸς τῶν περιόδων apud Photium Biblioth. p. 801, 16. quod ad obliquitatem sententiarum captiosasque ambages detorquet Cresollius Theatro Rhet. II. 5

σθείη τὰ νοήματα, θαυμαστὴν περιβολὴν ἐργάζεται. ὡς ὁ Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου „καὶ ἔχων Ἴσχανδρον τὸν Νεοπτολέμου δευτεραγωνιστὴν“ [652] οὐκ ὤρθωσεν εἰπὼν, προσήει τῇ βουλῇ, ἀλλὰ πάλιν ἐπλαγίασε „καὶ προσιὼν μὲν τῇ βουλῇ, προσιὼν δὲ τῷ δήμῳ περὶ τούτων·“ καὶ ἄλλο πεπλαγιασμένον „καὶ πείσας ὑμᾶς πανταχοῦ πρέσβεις ἐπὶ τούτων πέμψαι·“ καὶ ἄλλο τοῦ αὐτοῦ τρόπου „καὶ ἐπαγγέλλων“ καὶ ἕτερον ἐπὶ τούτων „καὶ διεξιὼν ἡλίκα τὴν Ἑλλάδα πᾶσαν ἀδικοῦσιν, οὐ τὰς ἰδίας μόνον πατρίδας, οἱ δωροδοκοῦντες καὶ χρήματα λαμβάνοντες παρὰ Φιλίππου.“ 2. Πῶς δὲ Αἰσχίνης; „Ἀμύντου μὲν νεωστὶ τετελευτηκότος·“ καὶ ἄλλος πλαγιασμὸς „καὶ Ἀλεξάνδρου τοῦ πρεσβυτέρου τῶν ἀδελφῶν, Περδίκκου δὲ καὶ Φιλίππου παίδων ὄντων·“ καὶ ἄλλος πλαγιασμὸς (244) „Πανσανίου δὲ ἐπὶ τὴν ἀρχὴν αὐτὴν κατιόντος, φυγάδος μὲν ὄντος, τῷ καιρῷ δὲ ἰσχύοντος.“ καὶ πάλιν ἄλλος ἐπ' ἄλλῳ πλαγιασμῷ „πολλῶν δὲ αὐτῷ συμπραττόντων, ἔχοντος δὲ Ἑλληνικὴν δύναμιν, εἰληφότος δὲ Ἀνθεμοῦντα καὶ Θέρμαν, Μακεδόνων δὲ οὐχ ὁμονοούντων, ἀλλὰ τῶν πλείστων τὰ Πανσανίου φρονούντων, ἐπὶ τῶν καιρῶν τούτων“ ὤρθωσε δὲ καὶ ἀνέπαυσεν ἡμᾶς „ἐχειροτόνησαν Ἀθηναῖοι στρατηγὸν Ἰφικράτην.“

Γ'. α'. Κατὰ δὲ τὴν ἀπαγγελίαν γίνεται περιβολὴ οὕτως, ὅταν τις τοῖς ἰσοδυναμοῦσι χρῆται. χρὴ δὲ εἰδέναι ὅτι τῶν ἰσοδυναμούντων τὰ μὲν κατὰ τὸ ἀκόλουθον παρατίθεται, τὰ δὲ κατὰ τὸ ἐναντίον τοῦ ἀκολούθου. τὰ μὲν κατὰ τὸ ἀκόλουθον, ὅπου λέγει „ἔρρωσαι καὶ σαυτῷ πιστεύεις.“ καὶ πάλιν „τὴν μὲν ἀσέλγειαν καὶ τὴν ὕβριν.“ καὶ πάλιν „τὸν πλοῦτον καὶ τὴν περιουσίαν.“ ἢ „τοὺς ἑταίρους καὶ φίλους.“ τὰ δὲ κατὰ τὸ ἐναντίον τοῦ ἀκολου-

---

confer de dictione simplici *E. α.* p. 392. 396. et Hermog. I, 3. et 9. Norrm. 1 et 2 πλαγιάζειν et πλαγιασθείη Norrmannus comparata p. 182. Vulgo πλησιάζειν et πλησιασθείη. 3 ἐν τῷ κατ' Αἰσχίνου] Non procul initio. 7 ἐπὶ τούτων] ἐπὶ τούτῳ Norrm. ἡλίκα] ἡνίκα Ald. 9 Αἰσχίνης] De fals. leg. p. 399 d. 19 ἔρρωσαι] Contra Androtion. p. 703 a. πάλιν] Midian. initio.

Digitized by Google

θου ἰσοδυναμοῦντα πάλιν „ταῦτα ἀμελούμενα ἰδὼν καὶ οὐδεμιᾶς βοηθείας τυγχάνοντα.“ ἰσοδυναμοῦν δὲ κἀκεῖνο „πάντας ὑμᾶς καὶ ὅλον τὸν δῆμον.“

β'. Εἰδέναι δὲ χρὴ ὅτι καὶ τοῦτο οὐδενὸς ἔλαττον τὸ θεώρημά ἐστιν, ὅτι ἡ σεμνότης καὶ ἡ περιβολὴ κοινωνοῦσι κατὰ πάντα· καθ' ὅσα γὰρ καὶ συνίσταται, κοινωνοῦσιν ἀλλήλαις. καὶ δεῖ οὕτω διανοεῖσθαι περὶ αὐτῶν.

## Περὶ ἀξιοπιστίας. Δ'.

Δ'. α'. Ἀξιοπιστία δὲ γίνεται διχῶς, κατὰ γνώμην καὶ κατὰ σχῆμα. κατὰ μὲν γνώμην οὕτως, ὅταν τις προσυνίστησι τὰ ἑαυτοῦ δίκαια, ὡς ἀληθῆ ὄντα καὶ ῥᾴδια δειχθῆναι, ὡς ἐν τῷ κατὰ Ἀριστοκράτους „πάνυ μικρὸν ὑπείληφά μοι τὸν λόγον, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ῥᾴδιον εἶναι περὶ τοῦ παρὰ τοῦτον εἰρῆσθαι τὸν νόμον τὸ ψήφισμα.“

β'. Ἀξιόπιστον δὲ καὶ τὸ τὰ ζητούμενα τῶν ἀποδεδειγμένων καὶ ὁμολογουμένων προσποιεῖσθαι εἶναι περιφανέστερα, ὡς ἐν τῷ κατὰ Ἀριστοκράτους ἀποδείξας τὸ παράνομον, ὑπολειπομένου ἐξετασθῆναι τοῦ ἀσυμφόρου, ἀξιοπίστως προσβαλὼν προσεποιήσατο ἔτι καὶ τοῦ παρανόμου φανερώτερον τὸ ἀσύμφορον, τὸ ζητούμενον τοῦ ἀποδεδειγμένου ἐν οἷς λέγει „οὕτω γὰρ σφόδρα ἐναντίον τοῖς νόμοις τὸ ψήφισμα, μᾶλλον ἀσύμφορόν ἐστιν ἢ παράνομον.“

γ'. Ἀξιοπιστίας δὲ καὶ τὸ τοῖς ὅρκοις καὶ ταῖς ἀραῖς χρῆσθαι. οἷον „καλῶ δὲ ἐναντίον ὑμῶν τοὺς θεοὺς πάντας καὶ πάσας ὅσοι τὴν χώραν ἔχουσι τὴν Ἀττικήν, καὶ τὸν Ἀπόλλω τὸν Πύθιον, ὅς πατρῷός ἐστι τῇ πόλει, καὶ ἐπεύχομαι πᾶσι τούτοις, εἰ μὲν ἀληθῆ πρὸς ὑμᾶς εἴποιμι καὶ εἶπον τότ' εὐθὺς ἐν τῷ δήμῳ, εὐτυχίαν μοι δοῦναι
464 καὶ σωτηρίαν· εἰ δὲ πρὸς ἔχθραν ἢ φιλονεικίας ἰδίας ἕνεκα,

---

403, 1 ταῦτα] Philipp. IV. p. 97 b. 2 πάντας] De falsa leg. p. 313 d. 8 Ἀριστοκράτους] P. 739 d. 11 Ἀριστοκράτους] P. 741 e. 12 ἀξιοπίστως Norrm. Vulgo ἀξιοπίστως. 16 οἷον] De corona XLVI.

πάντων ἀγαθῶν ἀνόνητόν με ποιῆσαι.“ καὶ πάλιν „πρῶτον μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν εἰς τουτονὶ τὸν ἀγῶνα.“ καὶ ἐν τῷ κατὰ Κόνωνος „καὶ εἰ μὲν εὐορκῶ, πολλά μοι γένοιτο ἀγαθὰ καὶ μηδέποτε αὖθις τοιοῦτον μηδὲν πάθοιμι· εἰ δὲ ἐπιορκῶ, ἐξώλης ἀπολοίμην αὐτός τε καὶ εἴ τί μοί ἐστιν ἢ μέλλει ἔσεσθαι.“

δ'. Ἀξιοπιστίας δὲ καὶ ὅταν τις τὰς κρίσεις τῶν ταῦτα [653] ἀκουόντων ἐφ' οἷς ἂν λέγῃ προσλαμβάνῃ, ὡς καὶ παρ' ἐκείνοις ὁμολογουμένων τῶν πραγμάτων· ὅταν λέγῃ ἐν τῷ κατὰ Ἀριστογείτονος „κεκρίσθαι δὲ τοῦτο τὸ πρᾶγμα πάλαι ἐπὶ τῆς ἑκάστου φύσεως οἴκοθεν.“ καὶ πάλιν „οἱ μὲν δικάζοντες ὑμεῖς ἥκετε μᾶλλον ἡμῶν τῶν κατηγόρων εἰδότες, καὶ ὀφείλοντα τῷ δημοσίῳ τοῦτον, καὶ (250) ἐγγεγραμμένον ἐν ἀκροπόλει, καὶ οὐκ ἐξὸν αὐτῷ λέγειν· ὥστε ἕκαστον ὑμῶν κατηγόρου τάξιν ἔχειν, καὶ τὰ δίκαια εἰδέναι μὴ μαθεῖν δεῖσθαι.“ καὶ „εἰ μὲν ἴστε με τοιοῦτον· οὐ γὰρ ἄλλοθί που βεβίωκα.“

ε'. Ἀξιοπιστίας δὲ καὶ τὸ ἰσχυρίζεσθαι τοῖς πράγμασιν, ὅταν λέγῃς „εὖ τοίνυν ἴστε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι ἐξηπάτησθε· καὶ δι' ἅ γε εἰκότως τοῦτο πεπόνθατε, ἀκούσατέ μου.“ καὶ ἐν τῷ τῆς παραπρεσβείας εὐθὺς ἀπισχυρίσατο „τὸ μὲν ἐξελέγχειν πολλὰ καὶ δεινὰ πεποιηκότα τοῦτον καὶ τῆς ἐσχάτης τιμωρίας ὄντα ἄξιον θαρρῶ καὶ πάνυ πιστεύω.“ καὶ ἐν τῷ περὶ Στεφάνου „ἐπιδείξω δὲ ὑμῖν τουτονὶ Στέφανον καὶ μεμαρτυρηκότα ψευδῆ, καὶ δι' αἰσχροκέρδειαν τοῦτο πεποιηκότα, καὶ κατήγορον αὐτὸν αὑτοῦ γιγνόμενον· τοσαύτη περιφάνειά τοῦ πράγματός ἐστιν.“

5 ϛ'. Ἀξιόπιστον δὲ καὶ τοῦτο, ὅταν ὧν πλεῖστον δοκεῖν ἀφεστηκέναι βούληται καὶ σφόδρα διαβάλλῃ ταῦτα

---

464, 2 πάλιν] Ibid. initio. 4 κατὰ Κόνωνος] Prope finem. 9 Ἀριστογείτονος] Initio. 10 ἡμῶν] ὑμῶν Ald. 11 ἐγγεγραμμένων Ald. 12 εἰ μὲν] De corona V. 14 εὖ τοίνυν] Aristocrat. p. 748 d. 16 παραπρεσβείας] Initio. 18 Στεφάνου] Initio.

465, 1 βούληται] βούλεταί τις Norrm. διαβάλλῃ Norrm.

ὡς δεινὰ καὶ χαλεπά· οἷον „αἰτιασάμενος γάρ με ἃ καὶ λέγειν ἄν τις ὀκνήσειεν εὖ φρονῶν, τὸν πατέρα ὡς ἀπέκτονα ἐγὼ τὸν ἐμαυτοῦ.“ καὶ ἐν τῷ κατὰ Μειδίου „τῷ γὰρ ἀθλίῳ καὶ ταλαιπώρῳ καὶ δεινῆς καὶ χαλεπῆς συμβάσης αἰτίας.“ καὶ πάλιν „οὔτε θεοὺς οὔτε ὁσίαν ἐποιήσατο ἐμποδὼν τοιούτῳ λόγῳ, οὐδ' ὤκνησεν, οὐδὲ πρὸς οὓς ἔλεγεν αὐτοὺς ᾐσχύνθη.“

ζ. Ἀξιόπιστον δὲ καὶ τὸ τιμᾶσθαι προσλαμβάνοντα καὶ ζημίας ὁρίζειν καθ' ἑαυτοῦ ἐφ' οἷς ἂν διεξίῃ· οἷον „ἐγὼ πλέων ἐθελοντὴς πάσχειν ὁτιοῦν ἕτοιμος.“ καὶ πάλιν ἑτέρωθι ἐν Φιλιππικοῖς „μήτε νῦν μήτε αὖθις ὡς ὑγιαίνοντί μοι πρόσεχε.“

η'. Ἀξιοπιστία καὶ τὸ πλείω καθ' ἑαυτοῦ νέμειν τῶν ἀληθῶν. οἷον „εἰσὶ τῶν ξένων ἀτελεῖς· δέκα θήσω, καὶ μὰ τοὺς θεοὺς ὅπερ εἶπον ἀρτίως, οὐκ οἶμαι πάντας εἶναι. ἀλλὰ μὴν τῶν πολιτῶν οὐκ εἰσὶν πέντε ἢ ἕξ· οὐκοῦν ἀμφοτέρων ἑκκαίδεκα· ποιήσομεν αὐτοὺς εἴκοσιν, εἰ δὲ βούλεσθε τριάκοντα.“

θ'. Ἀξιοπιστίας καὶ τὸ ἐνδείκνυσθαι ὡς χαλεπὰ μὲν ὄντα περὶ ὧν ἐγχειρεῖ, διὰ δὲ τὸ λυσιτελεῖν τῇ πόλει ῥηθῆναι αὐτὰ λέγειν, κἂν αὐτός τι κινδυνεύσειεν, ὡς ἐπὶ κοινῷ συμφέροντι, ἂν δέῃ τι καὶ παθεῖν, προῃρημένος. παράδειγμα δὲ τούτου ἐν τοῖς συμβουλευτικοῖς „ἐγὼ δὲ ὁρῶ μὲν ὡς χαλεπὸν τὸ τὰ βέλτιστα λέγειν ἐστίν· ἐξηπατημένων γὰρ ὑμῶν καὶ τῶν μετ' αὐτά, τῶν δὲ ταυτὶ προῃρημένων, ἐὰν τἀναντία τις ἐγχειρῇ λέγειν καθὰ ὑμεῖς μὴ περιμένητε μαθεῖν, χαριεῖται μὲν οὐδ' ἑτέροις, δια-

Vulgo διαβάλλει. 2 οἷον] Contra Androt. in initio. 3 Μειδίου] P. 620 a. 7 προσλαμβάνοντα] προλαμβάνοντα Norrm. 8 οἷον] Philipp. I. p. 51 c. πάλιν] III. p. 88 e. 10 Ἀξιοπιστίας Norrm. ἀξιοπιστία Ald. οἷον] Leptin. p. 544 a. 11 δὲ καθήσω Ald. 15 κινδυνεύσειεν Norrm. κινδυνεύειν Ald. 16 προῃρημένος Norrm. προειρημένος Ald. 17 ἐν τοῖς συμβουλευτικοῖς] Plures igitur proprie dictae *suasoriae* sunt, quod a parte confirmat Hermogenes II, 10. p. 473. et Dionysius de aetate Demosth. et Aristotelis. Hoc loco oratio pro Megalopolitis ad hanc classem refertur. rursus p. 274. ὁ περὶ συμμοριῶν. at hodie ὁ περὶ τῆς συντάξεως singulatim συμβουλευτικὸς inscribitur. Norrm. ἐγὼ δὲ] Pro Megalopol. ab initio.

*βεβλήσεται δὲ πρὸς ἀμφοτέρους· οὐ μὴν ἀλλ' αἱρήσομαι*
36 *μᾶλλον αὐτὸς, ἂν ἄρα τοῦτο πάθω, δοκεῖν φλυαρεῖν ἢ παρ' ἃ νομίζω βέλτιστα προέσθαι τισὶν ὑμᾶς ἐξαπατῆσαι."*

*ι'. Ἀξιόπιστον δὲ καὶ ὅ τι ἂν ἄλλος εἴποι ἐναντιούμενός σοι τοῦτο αὐτὸ προλαβόντα εἰπεῖν. οἷον ἐν τῷ περὶ συμμοριῶν ὃ μὲν διοικεῖται ἐστὶν ὅτι δεῖ ἐναντιωθῆναι τοῖς βασιλεῖ πολεμεῖν συμβουλεύουσιν· ἐπεὶ δ' ἐκεῖθεν αὐτῷ ἀντέπιπτεν, μὴ πολεμῶμεν οὖν τῷ κοινῷ ἐχθρῷ καὶ βαρβάρῳ; διὰ τοῦτο ἀξιοπίστως προλαβὼν ὃ εἶπεν ἄν τις ἐκεῖθεν κατὰ βασιλέως, τοῦτ' αὐτὸς λέγει „ἐγὼ νομίζω κοινὸν ἐχθρὸν ἁπάντων τῶν Ἑλλήνων βασιλέα·" εἶτα ἃ νῦν αὐτὸς εἰσηγεῖται „οὐ μὴν διὰ τοῦτο παραινέσαιμ' ἂν τοῖς ἄλλοις πόλεμον πρὸς αὐτὸν αἱρεσθαι."*

*ια'. 1. Ἀξιοπιστίας δὲ καὶ ὅσα μὴ ἔχει ἄλλοθεν* (256) *συστῆσαι, ἐξ ἀκοῆς ταῦτα πιστοῦσθαι· „ἤκουον δ' ἔγωγε τινῶν ὡς οὐδὲ τοὺς λιμένας, καὶ τὰς ἀγορὰς ἔτι δώσοιεν αὐτῷ καρποῦσθαι." καὶ πάλιν „ὡς δ' ἐγὼ τῶν ἐν αὐτῇ τῇ ἡμέρᾳ γεγενημένων τινὸς ἤκουον, ἀνδρὸς οὐδαμῶς οἵου τε ψεύδεσθαι." 2. Ἀξιοπιστότερον δὲ τὸ εἰς αὐτοὺς τοὺς ἀκούοντας ἀναφέρειν ἔχειν· οἷον „ὑμῶν ἀκηκοὼς ἔγωγε ὑμᾶς διδάσκειν ἔχω." καὶ πάλιν „ἃ παρ' ὑμῶν* [654] *τῶν πρεσβυτέρων αὐτὸς ἀκήκοα."*

*ιβ'. Ἀξιοπιστίας δὲ καὶ ἐπικαταψεύδεσθαι· οἷον ἐν τῷ ὑπὲρ τοῦ στεφάνου, ἐν οἷς λέγει τὸν Αἰσχίνην ὀψὲ Ἀθηναῖον γεγενημένον· „ὀψὲ γάρ ποτε, ὀψὲ λέγω·" εἶτα ἀξιοπίστως ἐπικατεψεύσατο „χθὲς μὲν οὖν καὶ πρώην, εἶτα Ἀθηναῖος καὶ ῥήτωρ." καὶ πάλιν ἐν τῷ κατὰ Αἰσχίνου „τὸ μὲν ἀληθὲς, καὶ τὸ μὲν ἀνῄρηκεν τῶν ἐπὶ τὰς εὐθύνας ἐλθόντων." τὸ δὲ ἑξῆς ἐπικατεψεύσατο, οἷον „τοῖς δὲ ἀπειλεῖ."*

---

466, 3 ὅ τι ἂν Norrm. Vulgo ὅταν. De προλήψεως huius singulari acumine iuverit conferre quae tradit Dionys. Halic. Figur. loc. I, 8. et II, 13. 14. Norrm. 4 συμμοριῶν] Ab initio. 7 τοῦτ' Norrm. ταῦτ' Ald. 9 αἱρεσθαι Ald. 10 πιστοῦσθαι Norrm. Vulgo πιστοῦται. 11 ἤκουον] Olynth. I. p. 4 c. δώσοιεν] δώσειεν Ald. 12 πάλιν] Olynth. II. p. 23 e. 14 πάλιν] Leptin. p. 548 e. 16 στεφάνου] Sect. XLI. 19 κατὰ Αἰσχίνου] Initio.

467 ιγ΄. Περὶ τῶν ἀξιοπιστίας δὲ καὶ τὸ ὡς ἀναμνησθέντα τι εἰπεῖν, οἷον „μικροῦ γε ὃ μάλιστα μέλλω πρὸς ὑμᾶς εἰπεῖν παρῆλθον.“ τοῦ δὲ αὐτοῦ τρόπου καὶ τὸ ὡς ζητοῦντάς τι εἰπεῖν „λάβε δὴ καὶ τὸ τῷ Χαβρίᾳ ψήφισμα ψηφισθὲν· ὁροδίσαι. σκοπήσει γὰρ αὐτὸ ἐνταῦθα εἶναι που.“ τὸ γὰρ μὴ ὡς παρεσκευασμένον, ἀλλ᾽ ὡς ἐπὶ καιροῦ ζητοῦντα εἰσάγειν ὅμοιόν ἐστιν αὐτοσχεδίῳ καὶ ἀξιόπιστον ποιεῖ λόγον.

ιδ΄. Παρὰ πάντα δὲ ἀξιοπιστίας τό τε ἐπισημαίνεσθαι τοῖς εἰσαγομένοις καὶ τὸ ὑπερβολαῖς χρῆσθαι· ἐπισημαίνεσθαι μέν, ὅταν λέγῃς „ὃ τοίνυν μάλιστα πάντων οἶμαι δεῖν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, φυλάξασθαι, τοῦτ᾽ εἰπεῖν ἔτι βούλομαι.“ τοῦτό ἐστιν ἀρχόντων τῶν προειρημένων τῷ μέλλοντι εἰσάγεσθαι. ἡ δὲ ὑπερβολὴ ἐν τῷ ἑξῆς, οἷον „εἰ γάρ τις ἅπαντα ὅσα Λεπτίνης ἐρεῖ περὶ τοῦ νόμου, διδάσκων ὑμᾶς, ὡς κακῶς χρῆται, συγχωρήσει τούτοις ἀληθῆ λέγειν αὐτόν, ἕν γε αἰσχρὸν, οὐδ᾽ ἂν εἴ τι γένοιτο, ἀναιρεθείη, ὃ συμβήσεται διὰ τοῦ νόμου κυρίου γενομένου τῇ πόλει.“

ιε΄. Ἀξιόπιστον καὶ τὸ ἐνίαις τῶν ἀντιθέσεων ὧν δοκοῦσι καθ᾽ ἡμῶν λέγειν οἱ ἀντίδικοι συγχωρεῖν καὶ συγκατατίθεσθαι· ὡς ἐν τῷ κατὰ Μειδίου ἡ μὲν ἐκεῖθεν ἀντίθεσις „τάχα νῦν καὶ τοιαῦτα ἐρεῖ, ὡς ἐσκεμμένα πάντα λέγων ἐγώ·“ εἶτα ἡ παρ᾽ αὐτοῦ συγχώρησις μεθ᾽ ὑπερβολῆς „ἐγὼ δέ γ᾽ ἐσκέφθαι μὲν ὁμολογῶ καὶ μεμελετηκέναι ὡς ἐνῆν μάλιστα ἐμοί.“

Β΄. α΄. 1. Κατὰ δὲ σχῆμα γίνεται ἀξιοπιστία οὕτως, ὅταν τις τοῖς ὁμολογουμένοις ἀντὶ τῶν ζητουμένων σχήμασι χρῆται, ὡς ἐκεῖ „ἆρ᾽ ὁρᾶτε καὶ λογίζεσθε τὴν ἐπιοῦσαν ὥραν τοῦ ἔτους, εἰς ἣν ἔρημόν τινες οἴονται δεῖν τὸν Ἑλλήσποντον ὑμῶν ποιῆσαι.“ 2. Καὶ ἀξιοπι-

467, 1 μικροῦ] De falsa leg. p. 329 b. 3 λάβε] Leptin. p. 553 d. 7 ὃ τοίνυν] Leptin. p. 561 a. 9 τῷ μέλλοντι] τοῦ μέλλοντος Norrm. οἷον delet Norrm. 10 ὅσα] ὅσα Ald. 11 ἀληθῆ] ἓν ἀληθῆ Ald. 13 ἐνίαις Norrm. Vulgo ἐν ταῖς. 14 Μειδίου] P. 633 e. 18 ἆρ᾽] De Cherson. p. 78 a.

8 στίας ἕνεκα ὡς ὁμολογούμενον τῷ σχήματι εἰσάγει „ἴστε γὰρ δή που τοῦθ᾽ ὅτι τῶν ἡμᾶς ἀδικούντων ἐν ἑκάστῳ τίμημα ὑπάρχει." καὶ πάλιν „ἴστε μὲν οὖν ἴσως καὶ ἄνευ τοῦ παρ᾽ ἐμοῦ λόγου ὅτι σπουδαῖος Χαβρίας ἦν ἀνήρ."

β. Ἀξιόπιστον δὲ κατὰ σχῆμα καὶ ὅταν τις ἐπαγγελίᾳ ἐν τῷ λόγῳ χρῆται· πάνυ γὰρ ἀξιόπιστον τὸ περὶ τῶν ζητουμένων κατεπαγγέλλεσθαι, ὡς ἐν τῷ πρὸς Λεπτίνην τὸ μὲν ζητούμενον εἰ θήσωσι τὸν παρεισφερόμενον νόμον, ὁ δὲ κατεπαγγέλλεται λέγων „ἐγγυώμεθα ἡμεῖς, ἐγώ, Φορμίων, ἄλλον εἴ τινα βούληται, θήσειν τὸν νόμον." καὶ πάλιν „ἐγγυώμεθα, ὑπισχνούμεθα, οἱ θεσμοθέται ταῦτα γραφόντων, ἐπὶ τούτοις τὸ πρᾶγμα γινέσθω."

γ. Ἀξιοπιστίας δὲ καὶ ὅταν τις συνδρομαῖς χρῆται, (262)
ὡς ἐν τοῖς Φιλιππικοῖς. οἷον „εἰ δέ τῳ δοκεῖ ταῦτα καὶ δαπάνης πολλῆς καὶ πραγματείας εἶναι·" νῦν ἡ συνδρομὴ „καὶ μάλα ὀρθῶς δοκεῖ." τὸ γὰρ καθ᾽ ἑαυτοῦ δοκοῦν τὴν πρώτην συγχωρεῖ, ἵνα τὰ ὑπὲρ αὐτοῦ εἰσάγῃ.

δ. Πάνυ ἀξιόπιστον δὲ καὶ τοῦτο, ὅταν τις παραλείψεσι χρῆται. ἔστι μὲν οὖν καὶ περιβολὴ τὸ σχῆμα, ὅμως δὲ πολλοῖς ἐφαρμόττον κατὰ χρείας διαφόρους πολλάκις ἰδιότητά τινα ἔχει ἐν τῇ ἀξιοπιστίᾳ. ὅταν γὰρ παραλιπεῖν τι δοκῶν μὴ παραλείπῃς, ἐνταῦθά ἐστιν ἡ ἀξιοπιστία. ὥσπερ ἐν τῷ πρὸς Λεπτίνην „τὰ μὲν οὖν ἄλλα, ὅσα χρήσιμον ἑαυτὸν παρέσχεν οὗτος ὁ ἀνήρ." εἶτα παραλείψει ἐχρήσατο „καὶ αὐτὸς καὶ οἱ πρόγονοι, παραλείψω." καὶ πάλιν „αἰσχρός, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ κακῶς ἔχων ὁ νόμος, ὁμοίως φθόνῳ τινὶ καὶ φιλονεικίᾳ." εἶτα μηδὲν ἔτι ἔχων εἰπεῖν ἀξιοπίστως τῇ παραλείψει ἐχρήσατο „καὶ τὸ λοιπὸν ἐῶ."

---

468, 1 ἴστε] Leptin. p. 564 b. 2 ἴστε] Ibid. p. 552 b. 5 Λεπτίνην] P. 556 a. 6 θήσωσι] θήσουσι Norrm. 9 Φιλιππικοῖς] IV. p. 99 a. et de Cherson. p. 81 e. 13 παραλείψεσι Norrm. παραλήψεσι Ald. 16 Λεπτίνην] P. 546 b. 17 εἶτα παραλείψει Norrm. εἶτα ἐν παραλήψει Ald. 18 πάλιν] P. 564 d. αἰσχρὸς] αἰσχρὸν Ald. 19 παραλείψει Norrm. παραλήψει Ald.

Digitized by Google

469 *ι'. Καὶ τὸ καθ' ἑαυτοῦ δὲ λέγειν τινὰ ὃν τρόπον κατὰ τῶν ἀντιδίκων, ἀξιοπιστίαν ἐμποιεῖ τῷ λόγῳ.*

## [655] Περὶ σφοδρότητος. Ε'.

Α'. α'. 1. Σφοδρότης δὲ γίνεται τριχῶς, κατὰ (24) γνώμην, κατὰ σχῆμα, κατὰ λέξιν. καὶ κατὰ μὲν γνώμην οὕτως, ὅταν τις ἐνδόξοις προσώποις ἐπιτιμᾷ, οἷον „ἐξέστητε, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς τάξεως, ἐφ' οἷς ὑμᾶς οἱ πρόγονοι κατέλιπον.“ καὶ ἄλλο πάλιν ὅμοιον τούτῳ „ἡσυχάζετε δὲ μόνοι τῶν Ἑλλήνων.“ καὶ πάλιν „τῶνδε ὑμεῖς αἴτιοι, τότε πρῶτον ἐάσαντες αὐτοὺς μετὰ τὰ Μηδικὰ κρατῆσαι τὴν πόλιν.“ 2. Σφοδρότητα δὲ ποιεῖς καὶ ὅταν πράγματα ἢ πρόσωπα ἔνδοξα μὴ ὀκνῇς διαβάλλειν. οἷον τὸ μὲν ἐπαινεῖν τοὺς προγόνους πρᾶγμα ἐνδοξότατον, ὁ δὲ Δημοσθένης πῶς εὐθὺς ἐν ἀρχῇ διέβαλεν; „οἱ μὲν ἐπαινοῦντες τοὺς προγόνους λόγον εἰπεῖν μοι δοκοῦσι κεχαρισμένον, οὐ μὴν συμφέροντά γε ἐκείνοις οὓς ἐγκωμιάζουσι ποιεῖν.“ 3. Καὶ ὅλως δὲ τὸ ἐπιτιμᾶν σφοδρότητα ἔχει, ὡς ἐν ἐκείνοις „ἀμφότεροί μοι δοκοῦσιν ἁμαρτάνειν, καὶ οἱ τοῖς Ἀρκάσι καὶ οἱ τοῖς Λακεδαιμονίοις συνειρηκότες.“

β'. Καὶ τὸ διαβάλλειν δὲ πρόσωπα ἔνδοξα ὡς ἀτόπως ἔχοντα σφοδρότητα ποιεῖ. οἷον „ὑμεῖς δὲ ὁ δῆμος ἐκνενευρισμένοι χρήματα καὶ συμμάχους ἐν ὑπηρέτου καὶ προσθήκης μέρει.“

γ'. Καὶ ὅταν δὲ ἀτόπως τις εἰκάζῃ, σφοδρὸν ποιεῖ (25)

---

469, 1 τινὰ ὃν Norrm. τίνα οὖν Ald. 4 οἷον] Philipp. IV. p. 101 e. 5 Pro τῆς τάξεως in nostris est ὑποθέσεως. sed ab Aristide facit et Hermogenes I, 10. p. 314. et frequens oratoris usus, ut Olynthiaca III. ut περὶ συντάξεως, ut de libertate Rhodiorum, ubique proxime finem. sic et Isocrates Archidamo p. 230. μὴ καταισχύνειν τὴν πόλιν μηδὲ περιιδεῖν αὐτὴν ἐκλείπουσαν τὴν τάξιν εἰς ἣν οἱ πατέρες κατέστησαν αὐτήν. Norrm. 6 ἡσυχάζετε] Thucyd. I. p. 22. 6 ἐν ἀρχῇ] Orationis de symmoriis. 11 ἀμφότεροι] Orat. pro Megalopolit. initio. 14 οἷον] Olynth. III. p. 39 b. ἐκνενευρισμένοι] Perlonga ad hunc locum Norrmanni annotatio est, in qua nihil repetitu dignum invenio praeter haec verba „Dionysius περὶ τῆς Δημοσθένους λέξεως: haec Obrechtiani codicis ἐπιγραφή est, de quo nonnulla alibi tum meliora editis

τὸν λόγον. οἷον „ὥσπερ σκορπίος ἠρκὼς τὸ κέντρον, ᾄττων δεῦρο κἀκεῖσε, σκοπῶν τίνι κακόν τι προστρεψάμενος εἰς συμφορὰν καταστήσῃ." καὶ πάλιν „οὔτε μαγείρῳ μαχαίρας οὐδέν ἐστ' ὄφελος ἥτις μὴ τέμνει οὔτε βουλομένῳ δι' αὐτοῦ πᾶσι κακὰ καὶ πράγματα γίνεσθαι ὁ
470 ταῦτα ἀποδωσόμενος συκοφάντης οὐδέν ἐστ' ὄφελος." καὶ ἀλλαχοῦ πάλιν „ἀλλὰ μανδραγόραν πεπωκόσιν, ἤ τι φάρμακον ἄλλο τοιοῦτον, ἐοίκαμεν ἀνθρώποις."

δ'. Σφοδρότης δέ ἐστι καὶ ὅταν τις ὑπεραγανακτῇ, οἷον „τοῦτο μὲν γὰρ οὐκ ἔχον ἐστὶν ὑπερβολὴν ἀκαθαρσίας." καὶ πάλιν ἀλλαχοῦ „τοῦτο γὰρ δὴ τοὔσχατόν ἐστι." καὶ πάλιν „τῆς ἐσχάτης ὕβρεως οὐδὲν ἐλλείπει."

έ. Καὶ ὅλως δὲ ὅπου σχεδόν τι ἐφ' ὁμολογουμένοις ἀδικήμασιν αἱ κατηγορίαι γίνονται, διὰ τὸ πρόδηλα εἶναι τὰ ἀδικήματα, σφοδρότητος ὁ λόγος τυγχάνει, ὡς ἐν τῷ κατὰ Μειδίου καὶ ἐν τῷ κατὰ Ἀριστογείτονος. τὸ δὲ μέγιστον εἰδέναι χρή, ὅτι ὅταν ᾖ μὴ ἰσχυρὰ ζητήματα ἐξ ἑκατέρων τῶν μερῶν, ἀλλ' ὑπάρχῃ θατέροις, μὴ πρόδηλα (268) αὐτὰ εἶναι· ὁ δὲ ὡς ἐπὶ ὁμολογουμένοις σχεδὸν τοῖς ζητήμασι συνάγει τὸν λόγον, οἷός ἐστιν ὁ κατὰ Μειδίου.

Β'. α'. Κατὰ σχῆμα δὲ οὕτω γίνεται σφοδρότης, ὅταν τις ἐπιφορικοῖς χρῆται τοῖς σχήμασιν, οἷον „αἰσχρῶς, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ κακῶς ἔχων ὁ λόγος καὶ ὁμοίως φθόνῳ τινὶ καὶ φιλονεικίᾳ." καὶ πάλιν „εἴργετε αὐτὸν τῶν ὑπὲρ τῆς εἰρήνης λόγων." καὶ ἐν τῷ κατὰ Μειδίου „καὶ ταῦτα πάσχων ἐγὼ καὶ τοῦτον ὃν διεξέρχομαι τρόπον νῦν πρὸς ὑμᾶς ἐλαυνόμενος." καὶ ἐν τῷ τῆς παραπρεσβείας „τούτων οὐ γέγονεν, ὦ ἄνδρες Ἀθηναῖοι, δεινότερα."

---

tum pleniora fieri possunt." 16 οἷον] Aristogit. p. 836 c. 18 πάλιν] Ibidem p. 835 d.

470, 1 πάλιν] Philipp. IV. ab initio. 3 οἷον] Mid. p. 622 c. ἔχον] ἔχων Ald. 4 ἀλλαχοῦ] Philipp. III. p. 90 d. καὶ πάλιν] Ibid. p. 90 b. 8 μὴ] Fort. μὲν. Norrm. 10 ὁμολογουμένοις Norrm. Vulgo ὁμολογουμένην. 12 οἷον] Leptin. p. 564 d. 13 πάλιν] De falsa leg. p. 308 f. κατὰ Μειδίου] P. 621 c.

Digitized by Google

β'. Σφοδρότητα δὲ ἔχει καὶ τὸ τῆς ἀποστροφῆς σχῆμα. „ὃς, ὦ μιαρώτατε πάντων, κεκλεισμένης σοι τῆς παρρησίας οὐ κιγκλίσιν οὐδὲ θύραις, ἃ καὶ παρανοίξειεν ἄν τις, ἀλλὰ τοσούτοις καὶ τηλικούτοις ὀφλήμασι, καὶ τούτων παρὰ τῶν θεῶν κειμένων, εἰς τὰ ἐντὸς τούτων βιάζῃ καὶ προσέχῃ πρὸς ταῦτα, ἀφ' ὧν ἀπελαύνουσί σε οἱ νόμοι, ἀπεσχοινισμένος πᾶσι τοῖς ἐν τῇ πόλει δικαίοις."
471 καὶ πάλιν ἐν τῷ κατὰ Μειδίου „τί λέγεις, ὦ μιαρὰ κεφαλή, συστὰς αὐτοῦ παιδία σώζειν, ἢ ἐλεεῖν σε τούτους, τοὺς ὑπὸ σοῦ δημοσίᾳ προπεπηλακισμένους;"

Γ'. α'. Κατὰ δὲ ἀπαγγελίαν, τουτέστι κατὰ λέξιν, σφοδρότης γίνεται, ὅταν ὑπερβολὰς ποιῇς ἐν τῷ λόγῳ. οἷον „πλούσιος, θρασύς, μεγαλοφρονῶν, μέγα φθεγγόμενος, βίαιος, ἀναιδής·" ὑπερβολὴν δὲ κἀκεῖνο ἔχει, ὅταν εἴπῃς „ἡ πόλις αὐτὸν οὐ χωρεῖ, οὔθ' ἡ Ἑλλὰς οὔθ' ἡ βάρβαρος τὴν πλεονεξίαν χωρεῖ τἀνθρώπου." καὶ ὅπου λέγει „προσκυνεῖν τοὺς ὑβρίζοντας, ὥσπερ ἐν τοῖς βαρβάροις, οὐκ ἀμύνεσθαι, κράτιστον ἔσται."

β'. Πάντα ἐξαίρει τὴν ἐν τῷ λόγῳ σφοδρότητα
[656] ἐργάζονται, ὡς ἐν τῷ κατὰ Κόνωνος „εἱλκόμην καὶ ἐξεδυόμην, καὶ ὑγιὴς ἐξελθὼν φοράδην ἦλθον οἴκαδε." καὶ ὅπου λέγει περὶ τῆς μητρός, οὐ γὰρ εἶπεν ἐξεληλύθει, ἀλλὰ ἐμφαντικώτερον τῇ ὀνομασίᾳ „ἐξεπεπηδήκει ἡ μήτηρ·" ἐν γὰρ τῷ ὀνόματι ἡ ἔμφασις.

γ'. Ὥσπερ δὲ πολλάκις εἴπομεν τὰς τροπὰς πολλαχοῦ μέγα δύνασθαι, τοῦτο καὶ ἐν τῇ σφοδρότητι, ὅταν λέγῃ

---

15 παραπρεσβείας] P. 303 d. 16 ὃς] Aristogit. p. 832 d. 17 οὐκ ἐγκλίσιν Ald.

471, 1 Μειδίου] P. 634 b. 4 οἷον] Ibid. p. 635 a, 5 ἡ πόλις] Ibid. p. 634 f. οὔθ' ἡ Ἑλλὰς] Philipp. III. p. 89 e. 6 λέγει] Mid. p. 620 d. 8 Πάντα ἐξαίρει] Scribendum coniecimus καὶ αἱ ἐξάρξεις, literarum sequuti vestigia, alioqui maluissemus ἐμφάσεις, quod sequentia firmant. Norrm. Κόνωνος] P. 1111 e. 12 πολλάκις εἴπομεν] Vel hinc videas multum detrimenti huic operi adlatum esse, quippe quod *saepe* se dixisse auctor ait, id nonnisi *semel*, quod meminerim, ἐν τοῖς σωζομένοις, nempe p. 192. dixerat: nisi si etiam ad sequentia, parum probabili coniectura, verba ista quispiam extendat. Norrm.

κατὰ τῆς πονηρίας τῆς Ἀριστογείτονος σφοδρότητος ἕνεκα „κάπηλος καὶ μεταβολεὺς καὶ μόνον οὐ ζυγὰ καὶ σταθμὰ ἔχων ἅπαντα ἐπώλει.“

## Περὶ ἐμφάσεως. ϛ'.

Δ. α'. Τρόπον μέν τινα αἱ τρεῖς ἀρεταὶ τοῦ λόγου, ἥ τε σφοδρότης καὶ ἡ ἔμφασις καὶ ἡ τραχύτης, εἰ καὶ τῇ προσηγορίᾳ διεστήκασι, τῇ γοῦν δυνάμει καὶ σφόδρα ἐπικοινωνοῦσιν ἀλλήλαις ἐπὶ πλείστοις· καὶ ἥ τε σφοδρότης ἐμφατικὸς λόγος ἐστὶν καὶ ἡ τραχύτης σφοδρότητα δύναται· ὅμως δ' οὖν κατὰ μὲν γνώμην ἔμφασιν ποιήσεις, ὅταν συνεχῆ τὰ πράγματα λέγῃς καὶ ἐπάλληλα, ὡς ἐν τῷ
72 πρὸς Λεπτίνην „ἐνίκησε μὲν τοίνυν Λακεδαιμονίους ναυμαχῶν καὶ πεντήκοντα μιᾶς δεούσης ἔλαβεν αἰχμαλώτους τριήρεις· εἷλε δὲ τῶν νήσων τὰς πολλάς, καὶ τρισχίλια αἰχμάλωτα σώματα δεῦρ' ἤγαγεν, καὶ δέκα καὶ ἑκατὸν τάλαντα ἀπέφηνεν ἀπὸ τῶν πολεμίων.“ καὶ πάλιν „ἑπτακαίδεκα μὲν πόλεις εἷλεν, ἑβδομήκοντα δὲ τριήρεις ἔλαβε δὲ καὶ ἑκατὸν τάλαντα ἀπέφηνε, τοσαῦτα ἔστησεν τρόπαια.“ ἕκαστον δὲ τούτων πρᾶγμα μέν ἐστιν καθ' ἑαυτό, (274) τὸ δὲ συνεχῶς ἕτερον ἑτέρῳ ἐπενηνέχθαι τὴν ἔμφασιν πεποίηκεν.

β. Ἔμφασιν δὲ ποιεῖ καὶ τὸ ἐπισημαίνεσθαι ταῖς ποιότησιν, ὅπου λέγει „θέαμα δεινόν.“ καὶ πάλιν „νόσημα δεινὸν καὶ χαλεπὸν καὶ φυλακῆς πολλῆς καὶ τῆς παρ' ὑμῶν ἐπανορθώσεως δεόμενον.“ καὶ ἐν τῷ κατὰ Μειδίου „ἀλλ' ὃ καὶ δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σχέτλιον ἔμοιγε ἀσέβημα, οὐκ ἀδίκημα μόνον τοῦτο πεπρᾶχθαι δοκεῖ.“

---

13 Ἀριστογείτονος] P. 835 c. 18 ἡ τραχύτης σφοδρότητα δύναται] Sic discriminat Hermogenes I, 8. ut τραχύτης sit quando maiores nobis digrioresque incessimus personas, σφοδρότης, quando inferiores coarguimus. quod discrimen noster, nec enim magnae admodum rei est, capite praecedenti insuper habuit. Norrm.
19 Λεπτίνην] P. 552 c.

472, 4 πόλεις om. Ald. 7 λέγει] De falsa leg. p. 303 e. 8 πάλιν] Ibid. p. 334 b. 9 Μειδίου] P. 620 a.

Digitized by Google

Β. α'. Κατὰ δὲ σχῆμα ἔμφασις γίνεται, ὅταν τις δεικτικοῖς χρῆται, οἷον „οὗτος, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ παλαιός ἐσθ' ὁ νόμος καὶ καλῶς ἔχων." καὶ πάλιν ἐν συμβουλευτικοῖς „ὁρᾶτε ταύτην τὴν πόλιν, ἐν ταύτῃ τηλικαύτῃ τὸ μέγεθος οὔσῃ." ὁρᾷς τὸν Ἀριστόλοχον τὸν Χαριδήμου ποτὲ εἶχεν ἀγρόν· εἶτα νῦν πολλὰ πολλοῖς ὀφείλων ἐκεῖνος αὐτὸν ἐκτήσατο."

β'. Ἔμφασιν δέ σοι καὶ ἐρωτήσεις ποιήσουσιν, ὡς ἐν τῷ πρὸς Βοιωτὸν περὶ τοῦ ὀνόματος „εἰ δέ τις ἔροιτό σε, ὦ Βοιωτέ, πόθεν νῦν Ἀκαμαντίδος φυλῆς γέγονας καὶ τὸν δῆμον Θορίκιος καὶ υἱὸς Μαντιθέου, οὐδὲν ἄλλο ἂν ἔχοις εἰπεῖν πλὴν ὅτι κἀμὲ ζῶν ἐποιήσατο Μαντίθεος;" καὶ ἐν τῷ ὑπὲρ τοῦ στεφάνου „εἰ δὲ ἀπιστεῖς, ἐρώτησον αὐτούς, μᾶλλον δ' ἐγὼ ὑπὲρ σοῦ τοῦτο ποιήσω," εἶτα ἡ ἐρώτησις „πότερον ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, δοκεῖ μισθωτὸς Αἰσχίνης, ἢ ξένος εἶναι Ἀλεξάνδρου;"

γ'. Καὶ ὅταν δέ τις ἀναιρέσεσι συνεχέσι χρῆται, ἔμφασις γίνεται ἐν τῷ λόγῳ.

473 Γ. Κατὰ δὲ τὴν ἀπαγγελίαν γίνεται τὸν αὐτὸν τρόπον ἔμφασις, ὅνπερ καὶ ἡ τραχύτης καὶ ἡ σφοδρότης.

## Περὶ δεινότητος. ζ'.

α'. 1. Δεινότης δὲ γίνεται κατὰ γνώμην μοναχῶς· εἰ δέ τις κατ' ἄλλο τι οἴεται, πλεῖστον διαμαρτάνει. δεινότης δέ ἐστιν, ὅταν τις πόρρωθεν χρήσιμόν τι ἑαυτῷ προδιοικῆται, ὡς ἐν τῷ κατὰ Ἀριστοκράτους ὁ Δημοσθένης, βουλόμενος δεῖξαι ὅτι σφαλερὸν καὶ κατὰ τῆς πόλεώς ἐστι τὸ ἕνα τῶν Θρᾳκῶν βασιλέων κύριον γενέσθαι, πόρρωθεν λαβὼν κατασκευάζει ὅτι τὸ ἀσθενῆ εἶναι τὸν Κερσοβλέπτην, ᾧ στρατηγεῖ ὁ Χαρίδημος, τοῦτο φρουρά ἐστι Χερρονήσου· ὥστε τὸ ἐναντίον καταλυθῆναι μὲν τοὺς πλείστους βασιλεῖς, εἰς ἕνα δὲ τὸν Κερσοβλέπτην περιελθεῖν, διὰ τοῦ Χαριδήμου· κίνδυνός ἐστι Χερρονή-

11 οἷον] Leptin. p. 564 a. 12 ὁρᾶται] De symmoriis p. 136 c. 13 ὁρᾷς] Pro Phormione p. 966 a. Ἀριστόλοχον] Ἀρχίλοχον editi: sed a nostro Demosthenes ms. Eliae Obrechti facit. Norrm. 15 ποιήσουσιν Norrm. ποιήσωσιν Ald. 15 πρὸς Βοιωτὸν] P. 1005 e. 18 στεφάνου] Sectione XVI.

σφ. πόῤῥωθεν οὖν προδιῳκήσατο τὸ ψηφίσασθαι ἀγώγιμον εἶναι τὸν ἀποκτείναντα Χαρίδημον· φανερὸν [657] ποιεῖ Κερσοβλέπτην· οὗτος δὲ αὐξηθεὶς καταλύσει τοὺς ἄλλους βασιλεῖς, δι' οὓς σώζεται Χεῤῥόνησος. 2. Ὡς δ' ἂν καὶ ἐξ αὐτῶν τῶν εἰρημένων κατάδηλόν σοι γένηται· „ἔστι δ' ἀνάγκη πρῶτον ἁπάντων εἰπεῖν καὶ δεῖξαι τί ποτέ ἐστι τὸ Χεῤῥόνησον ὑμᾶς ἀσφαλῶς ἔχειν πεποιηκός· διὰ γὰρ τοῦ μαθεῖν τοῦτο καὶ τἀδίκημα σαφῶς ὄψεσθε. ἔστι τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο· τελευτήσαντος Κότυος, Βηρισάδην καὶ Ἀμάδοκον καὶ Κερσοβλέπτην τρεῖς ἀνθ' ἑνὸς γενέσθαι Θρᾴκης βασιλέας· συμβέβηκε γὰρ αὐτοῖς μὲν ἀντιπάλους εἶναι τούτους, ὑμᾶς δὲ ὑπέρχεσθαι καὶ θεραπεύειν. τοῦτο τοίνυν βουλόμενοί τινες παῦσαι καὶ καταλῦσαι μὲν τοὺς ἑτέρους βασιλέας, παραδοῦναι δὲ τῷ Κερσοβλέπτῃ τὴν ἀρχὴν ἅπασαν, διαπράττονται σφίσι τοῦτο γενέσθαι τὸ προβούλευμα."

β'. 1. Δεινότης δέ ἐστι καὶ τὸ πρὶν θεῖναι ἀνελεῖν (280)
4 τι πόῤῥωθεν ἀντιπῖπτον αὐτῷ· πῶς οὖν ἐκ τοῦ συνειπεῖν Φιλοκράτει ᾐσθημένος με δῶρα εἰληφότα ἐπὶ τὴν ἡμετέραν πρεσβείαν κεχειροτονημένος, σὺν ἡμῖν ὑπέμεινας πρεσβεύειν καὶ οὐκ ἐξωμόσω; πρὸς τοῦτο ἀντιθεὶς ἄνευ προτάσεως τὴν ἀντίθεσιν ταύτην, τότε τὴν λύσιν ἐπήνεγκεν· ὡμολογήκειν γὰρ τοῖς αἰχμαλώτοις λύτρα κομιεῖν, καὶ διὰ τοῦτο δεύτερον ἐπρέσβευσα, ἵνα αὐτοὺς λύσωμαι καὶ σώσω εἰς δύναμιν· δεινὸν οὖν ψεύσασθαι καὶ προέσθαι ἀτυχοῦντας ἀνθρώπους πολίτας. 2. Πρόφασις ἂν ἔδοξεν εἶναι καὶ πλάττεσθαι πρὸς τὸ συμβὰν μετατεθειμένος. νῦν δὲ πρὶν θεῖναι τὴν πρότασιν, προλαβὼν ἔθηκε τὸ κατὰ τοὺς αἰχμαλώτους τῇ ἀντεξετάσει τῶν χρόνων.

---

473, 10 ἀγώγιον Ald. φανερὸν] φοβερὸν Norrm. 11 οὗτος δὲ] οὗτος γὰρ Norrm. 12 ἔστι] Aristocrat p. 726 e.

474, 2 ἐπέμεινας Ald. 3 προτάσεως] Obiectionis adversarii. id enim hoc loco πρότασις est, quod p. 198. προτείνειν. adde quae fuse de προτάσει, ὑποφορᾷ, ἀντιπροτάσει καὶ λύσει, ἤτοι ἀνθυποφορᾷ disserit Hermogenes περὶ εὑρέσεων III, 3. et ex eo breviter Georg. Trapezuntius Rhetoric. III. 64 b. Norrm. 5 οὖν] οὖν



Digitized by Google

„ἐν ᾗ διέτριβε μὲν ἐν Μακεδονίᾳ, τί ἑκάτερος προείλετο πράττειν; ἐγὼ μὲν τοίνυν τοὺς αἰχμαλώτους ἀνασώζειν καὶ ἀναζητεῖν καὶ παρ' ἐμοῦ χρήματα ἀναλίσκειν, οὗτος δὲ αὐτίκα ἀκούσατε τί ποιῶν διετέλεσεν." 3. Τοῦτον τὸν τρόπον προδιοικησάμενος τὰ περὶ τοὺς αἰχμαλώτους νῦν προάγει καὶ αὐτὴν τὴν πρότασιν ἐπὶ προδιῳκημένῃ τῇ λύσει „ὅταν δ' οὗτος αὐτίκα δὴ λέγῃ πρὸς ὑμᾶς, τί δήποτε ὡς φῄς, ὦ Δημόσθενες, ἀπὸ τοῦ συνειπεῖν ἐμὲ φαλακρότητα, γνοὺς οὐδὲν ὑγιὲς πράττοντας ἡμᾶς, τὴν μετὰ ταῦτα πρεσβείαν τὴν ἐπὶ τοὺς ὅρκους συνεπρέσβευσας πάλιν καὶ οὐκ ἐξωμόσω; ταῦτα μέμνησθε, ὅτι τούτοις ὡμολογήκειν, οὓς αὐτοὺς ἐλυσάμην, ἥξειν καὶ κομιεῖν λύτρα καὶ σώσειν εἰς δύναμιν· δεινὸν οὖν ἦν ψεύσασθαι καὶ προέσθαι δυστυχοῦντας ἀνθρώπους πολίτας."

## Περὶ ἐπιμελείας. η΄.

α΄. Ἐπιμέλεια δὲ γίνεται καθολικῶς τριχῇ, κατὰ γνώμην, κατὰ σχῆμα, κατὰ ἀπαγγελίαν. κατὰ μὲν γνώμην, ὅταν τις μὴ χωρίζῃ τὰ νοήματα ἀπ' ἀλλήλων μηδὲ
475 διιστᾷ, ἀλλὰ συνάπτῃ αὐτὰ ἀλλήλοις. καὶ ὅταν τις μικταῖς ἐπινοίαις καὶ παντοδαπαῖς χρῆται, οἷον ἔξωθεν ἐπαγόμενος καὶ ἐκ τῶν ὑπολειπομένων ἐπιλαμβάνων· καὶ ὅταν τις μὴ ψιλὰ τὰ πράγματα ἐκτίθηται, ἀλλὰ μετὰ τῶν παρακολουθούν-

ἦν Norrm. 8 ἐν] De falsa leg. p. 318 e. 11 προδιῳκημένος Ald. 12 ὅταν] P. 319 d. 17 Cap. VIII—XI. Quatuor haec capita multo quam caetera omnia brevius indiligentiusque perstringuntur; neque exemplis ullis ac testimoniis auctorum communiuntur. In quibus tum adferendis tum scienter ac enucleate interpretandis minime alioqui parcus esse solet noster. Quamobrem haud difficile existimatu fuerit magnam omnino his locis pulcerrimarum rerum subtiliorisque doctrinae iacturam factam esse, maxime si caput nonum, περὶ γλυκύτητος, quod hodie omnium est brevissimum, cum iis conferas quae capite sexto libri posterioris in eo se docuisse auctor ipse confirmat, nimirum quibus ex fontibus germana dictionis suavitas haurienda sit; tum quanta illa efficacitate, quibus opibus polleat, quos fructus, quae emolumenta stylo utrique pariat: quorum nec volam uspiam nec vestigium nostris in libris cernas. Norrm. 19 συνάπτῃ Norrm. συνάπτει Ald.

των αὐτοῖς καὶ τῆς τῶν πραγμάτων φύσεως, οἷον ἢ τρόπον λέγων, ἢ χρόνον, ἢ αἰτίαν, ἢ τόπον· καὶ ὅταν τις τροπαῖς χρῆται, ἐπιμέλεια γίνεται.

β'. Κατὰ δὲ σχῆμα ἐπιμέλεια γίνεται οὕτω· τῷ (284)
μερισμῷ χρῆσθαι.

γ'. Κατὰ δὲ τὴν ἀπαγγελίαν γίνεται ἐπιμέλεια, ὅταν πυκνὴ καὶ ἐπάλληλος ἡ ἀπαγγελία ᾖ καὶ ὅταν ῥηματικὴ ἀντὶ ὀνοματικῆς.

## Περὶ γλυκύτητος. θ'.

α'. Γλυκύτης δὲ γίνεται καθολικῶς τριχῇ, κατὰ γνώμην, κατὰ σχῆμα, κατὰ ἀπαγγελίαν. κατὰ μὲν γνώμην οὕτως, ὅταν τις ταῖς ἔξωθεν ἐπινοίαις χρῆται, οἷον ἐξ ἱστοριῶν καὶ παροιμιῶν καὶ μύθων.

β'. Κατὰ δὲ σχῆμα γίνεται γλυκύτης, ὅταν τις ταῖς ἀπαγγελίαις καινοπρεπέσι χρῆται.

γ'. Κατὰ δὲ ἀπαγγελίαν, ὅταν τις τροπαῖς χρῆται· τροπαῖς δὲ μὴ βραχείαις, ἀλλ' ὑφειμέναις· [658] καὶ ὅταν τις κεκινημένῃ χρῆται τῇ λέξει.

## Περὶ σαφηνείας καὶ καθαρότητος. ι'.

α'. Σαφήνεια δὲ καὶ καθαρότης γίνεται κατὰ γνώμην, κατὰ σχῆμα καὶ κατὰ ἀπαγγελίαν. κατὰ μὲν γνώμην οὕτως, ὅταν τις μὴ ἀναστρέφῃ τὰ πράγματα, ἀλλὰ καθ' ἣν ἐπράχθη
τάξιν, κατὰ ταύτην διεξίῃ. καὶ ὅταν μὴ ἔξωθέν τινα (286)
ἐπεμβάλλῃ νοήματα αὐτοῖς, ἀλλ' αὐτὰ τὰ πραχθέντα διεξίῃ. καὶ ὅταν τὰ γνώριμα ὡς γνώριμα κατὰ ἀμφισβητούμενα διεξίῃ.

β'. Κατὰ δὲ σχῆμα σαφήνεια καὶ καθαρότης γίνεται οὕτως, ὅταν τις ἐπιστροφαῖς χρῆται καὶ ὅταν τις μεταβαίνων ἀφ' ἑτέρου ἐφ' ἕτερον πρᾶγμα τοῦ μὲν συμπληρώσει, τοῦ δὲ ἐπαγγελίᾳ χρῆται.

γ'. Κατὰ δὲ ἀπαγγελίαν οὕτως, ὅταν τις κοινοτέροις τοῖς ὀνόμασι χρῆται καὶ τοις σημαντικοῖς τοῖς σφόδρα

---

475, 6 ἀπαγγελία Norrm. ἐπαγγελία Ald. 12 βραχείαις] τραχείαις Norrm. 17 κατὰ ἀμφισβητούμενα] καὶ τὰ ἀμφισβητούμενα ὡς ἀμφισβητούμενα Norrm.



Digitized by Google

καὶ εὐεργεστέροις δηλοῦσι τὰ πράγματα, καὶ ὅταν ἀφηγηματικοῖς σχήμασι χρῆται. καὶ ὅταν τις ἰσοδυναμοῦσιν ἥκιστα χρῆται, τὰ τροπικὰ λέγῃ καὶ μεταφορικά, ἰσοδυναμοῦντα τοῖς κυρίοις δηλονότι, καὶ ὅταν τις πρᾳοτέροις ἀντὶ τῶν τραχέων.

## Περὶ βραχύτητος καὶ συντομίας. ια'.

α'. Βραχύτης δὲ καὶ συντομία γίνεται κατὰ γνώμην, κατὰ λέξιν. κατὰ μὲν γνώμην οὕτως, ὅταν τοῖς ἀναγκαίοις εὐθὺς συμπλέκηται τῶν πραγμάτων, καὶ ὅταν τις μὴ πᾶσιν ὡς προηγουμένοις χρῆται, ἀλλὰ τοῖς μὲν προηγουμένοις, τοῖς δὲ μὴ οὕτω.

β'. Κατὰ λέξιν δὲ γίνεται βραχύτης καὶ συντομία, ὅταν τις μὴ ταῖς παραφραστικαῖς τῶν λέξεων, ἀλλὰ ταῖς εὐθείαις χρῆται· ὅταν μὴ ἐπαγωνίζηται τῇ λέξει τὰ ἰσοδυναμοῦντα παρατιθείς, ἀλλὰ δηλώσας τὸ πρᾶγμα τῇ σημαινούσῃ λέξει εὐθὺς ἀπαλλαγῇ καὶ ἐν ὀλίγῳ· καὶ ὅταν τις μὴ φιλοτιμῆται πρὸς τὴν λέξιν, ἀλλὰ καὶ πρὸς τὰ πράγματα ἀποβλέπῃ.

## Περὶ κολάσεως λόγου. ιβ'.

Α. α'. Κολάζεται δὲ ὁ λόγος καθολικῶς τριχῇ, κατὰ γνώμην, κατὰ σχῆμα, κατὰ λέξιν. κατὰ μὲν γνώμην οὕτως, ὅταν τις μὴ ἐνδιδῷ ταῖς ἔξωθεν ἐπινοίαις· καὶ ὅταν δὲ συναναγκασθεὶς χρῆσθαί τινι ἐπινοίᾳ μὴ ἁπλῶς εἰσάγῃ αὐτήν, ἀλλ' ἐπισημαίνηται ὅτι συνηναγκάσθη, καὶ θεραπεύῃ· καὶ ὅταν τις μὴ ἀπεσχισμένα νοήματα τῶν ὑποκειμένων τιθῇ ἁπλῶς, ἀλλ' ὡς ἔνι μάλιστα σύνεγγυς.

---

476, 2 εὐεργεστέροις] ἐναργεστέροις Norrm. 3 λέγῃ Norrm. λέγει Ald. 6 καὶ κατὰ λέξιν Norrm. 8 ὡς προηγουμένοις Norrm. 9 Ut non bene conveniunt breviloquentia atque circumductio, ita nec mirum dissidere inter se rationes utriusque ac praecepta, ideoque quam inter theoremata τῆς περιβολῆς p. 244. noster commendarat παράθεσιν τῶν ἰσοδυναμούντων, eam hoc loco repudiat. rursus inter praesidia gracilis stili, quae illum a vitiosa humilitate prohibeant, eam reponit p. 424. Nonnn. παραφραστικαῖς] περιφραστικαῖς Norrm.

Digitized by Google

β'. Κατὰ δὲ σχῆμα γίνεται ἡ κόλασις οὕτως· ὅταν τις διακόπτῃ τὰς ὑποστάσεις τῶν λόγων· ὅταν παραιτήσεσι χρῆται· ὅταν ἐπιδιορθώσεσι χρῆται.

γ'. Κατὰ δὲ ἀπαγγελίαν οὕτως, ὅταν τις τῇ οἰκείᾳ (290) λέξει τῶν πραγμάτων ἀντὶ τῆς τροπῆς χρῆται· καὶ ὅταν ὑπερβολαῖς ἧττον χρῆται· καὶ ὅταν δέ ποτε συναναγκασθῇ χρήσασθαί τινι τροπικῇ ὑπερβολῇ, παραιτεῖται. καθ' ὃν δὲ τρόπον γίνεται τοῦτο ῥᾴδιον δεῖξαι.

B. α'. Καὶ ἄλλαι δέ εἰσι περὶ λόγους, ὡσαύτως δὲ καὶ περὶ ποίησιν ἰδέαι, καὶ πόρρω καὶ ἐγγὺς ἀλλήλων· ἃς ἅμα μὲν πάσας λαβεῖν οὐ ῥᾴδιον, μέρος δὲ ἕκαστος ἀποτεμνόμενος κατὰ τοῦτο ηὐδοκίμησεν· Ὅμηρον δὲ ποιητῶν ἐξαιρῶ λόγου. 2. Ὅταν οὖν τις ἀγώνισμα ποιήσηται διὰ πάντων τῶν καλῶν τούτων διεξελθεῖν καὶ πάσας μίξεις μίξαι περὶ τοὺς λόγους, πρῶτον μὲν χρὴ τὰ ἤθη πρέποντα τοῖς καιροῖς ἀποδοῦναι, ἔπειτα τὰς συζυγίας· οὗ μὲν ἀκρίβεια, ἐνταῦθα ὥραν προσθεὶς, οὗ δὲ βραχύτης, ἐνταῦθα τάχος, τῷ δὲ περιττῷ σαφήνειαν, χάριν δὲ οὗ σεμνότης, οὗ δὲ εὕρεσις, ἐνταῦθα ἡ διαχείρωσις· οὗ δὲ τολμήματα, ἐνταῦθα ἀσφάλεια. 3. Σκοτοδινιᾷ δὲ ἐνταῦθα πᾶς ἀκροατὴς καὶ οὐκ ἔχει τί γένηται, ἀλλ' ὥσπερ ἐν τῇ παρατάξει κυκλούμενοι θορυβοῦνται καὶ ὡς ἕκαστος (292) ἔχει φύσεως, οὕτως ἐπαινεῖ, ὁ μὲν τῆς λέξεως τὴν ἀκρίβειαν, ὁ δὲ τοῦ νοῦ τὴν λεπτότητα, ὁ δὲ ὡς ὡραῖα, ὁ δὲ ἄλλος ἄλλο τι.

β'. 1. Ἐπεὶ δὲ καὶ τὰ τῆς ἀρετῆς μόρια ἐν τῷ

---

477, 8 ἅμα πάσας λαβεῖν οὐ ῥᾴδιον] Inculcat id ipsum saepius Hermogenes, remque longe difficillimam, scilicet ut simul omnibus dicendi ideis idearumque partibus unus aliquis excellat, praeter Homerum ac Demosthenem de Graecis adsecutum fuisse ait neminem, in de ideis I, 2. et 11. et lib. II, 9. et 10. Sed et Aristides noster laudis eiusdem particeps haud obscure esse vult κατὰ τῶν ἐξορχουμένων p. 98. μόνοι — ὑπερβολῆς. Eodem modo de Cicerone Fabius XII, 10. at M. Tullium, inquit, non illum habemus Euphranorem, circa plurium artium species praestantem, sed in omnibus quae in quoque laudantur eminentissimum. Norrm.

13 διαχείρωσις] Fort. μεταχείρισις, aut διαχείρισις, ut mox ε', 2. διαχειρίσαι. Norrm. 18 τὰ τῆς ἀρετῆς μόρια] Vide sis philosophum Rhetor. Α. β'. ubi concludit τὴν ῥητορικὴν οἷον παραφυές

Digitized by Google

εἴδει τῆς ῥητορικῆς εὑρίσκεται, [659] εἴη ἂν καὶ ὁ ῥήτωρ τοιοῦτος· φρονίμου μὲν γὰρ οἶμαι καὶ σώφρονος γνῶναι τὴν ἀξίαν ἑκάστου τῶν πραγμάτων, δικαίου δὲ τὰ πρέποντα καὶ ἑαυτῷ καὶ ἑτέροις ἀποδοῦναι, ἀνδρείου δὲ μὴ
478 φοβηθῆναι τἀληθὲς εἰπεῖν· ὁ δὲ αὐτὸς νεμεσῶν ἅπασι τοῖς ἐναντίοις τούτων εἰκότως ἐνέρχεταί τισιν, ὡς ἂν μὴ δόξῃ, ὡς ἀλλότριοι τοῦ λέγοντος οἱ λόγοι καὶ μείζω τὴν δόξαν τῆς ἀληθείας ἀφελκόμενοι. 2. Τοῦ ῥήτορος τοίνυν ἐστὶ καὶ ταῦτα, τὸ ἰδεῖν τὰ βέλτιστα καὶ ἐξειπεῖν καὶ διαχειρίσαι ἕκαστα, τὰς ἁρμονίας φυλάξαι καὶ τὴν ἀεὶ πρέπουσαν τῷ καιρῷ τάξιν καὶ προαίρεσιν, σωφρονίσαι, προτρέψαι, κατασχεῖν, ὅτου δέοι, τοῦτ' εἰσενέγκασθαι· κάλλους τε καὶ τοῦ νοῦ καὶ ῥώμης καὶ σωφροσύνης ὅλως μετέχοντας τοὺς λόγους ἀποδεῖξαι, τῇ πυκνότητι τῶν ἐνθυμημάτων, τῇ συμμετρίᾳ τῶν ῥημάτων, ταῖς ἁρμονίαις, τῇ περινοίᾳ, τοῖς σχήμασι, ταῖς χάρισι τῶν κεφαλαίων, τοῦ βουλήματος, τῶν ὑποθέσεων.

γ'. 1. Αἱ μὲν γάρ εἰσιν ἐγκωμιαστικαὶ, αἱ δὲ συμβουλευτικαὶ, αἱ δὲ δικανικαί. τῶν δὲ δικανικῶν αἱ μέν εἰσι κατ' οὐσίαν, αἱ δὲ κατ' ἰδιότητα, αἱ δὲ κατὰ ποιότητα· καὶ πάλιν αὖ τῶν δικανικῶν λόγων οἱ μὲν οἶμαι βραχύτατοί εἰσιν, οἱ δὲ μήκιστοι, οἱ δὲ τῶν διὰ μέσου τούτων. 2. Οἱ δὲ συμβουλευτικοὶ τοῦ δικανικοῦ τῇ μὲν

---

τι τῆς διαλεκτικῆς εἶναι καὶ τῆς περὶ τὰ ἤθη πραγματείας, et magistrum philosophi in Gorgia, eo praesertim loco, quo cum Callicle congressus Socrates salutarem vitaeque civili utilem eloquentiae artem a κολακικῇ, longo sermone distinguit, quem magno operae pretio cum Aristidis nostri responso πρὸς Πλάτωνα ὑπὲρ ῥητορικῆς α' compones. His adde quae de officio perfecti oratoris post Ciceronem disputat Fabius Instit. XII, 1. et 2. qui gravissimis rationibus demonstrat non posse oratorem esse nisi virum bonum ac sapientem: unde rhetoricen etiam virtutem esse confirmat II, 20. Norrm.

478, 1 Si hoc modo distinguas ac ordines ἐνέρχεται, ὡς μὴ δόξῃ τισὶν, ὡς, cicatrici fortean, at non ὑπούλῳ ἕλκει medicinam adtuleris. Norrm. 2 μείζω] μείω Normannus in margine, quod ipsi displicet in addendis. ἀφελκόμενοι] ἐφελκόμενοι Norrm. 3 ἰδεῖν Norrm. εἰδεῖν Ald. 5 εἰσενέγκασθαι Ald. 11 οἱ δὲ τῶν] τῶν delet Norrm.

*φύσει βραχύτεροί εἰσι· καίτοι εἰσὶ μὲν καὶ οἱ συμβουλευτικοί, ὥσπερ οἱ μακρότεροι τῶν δικανικῶν, οἱ δὲ δικανικοὶ τῶν ὁμοειδῶν· οἱ δ' ἐγγὺς πλήθει· ἀλλ' οὔτε οὗτοι τούτων χωρὶς τίθενται οὔτε ἐκεῖνοι τούτων οὐδὲν διαφέρουσι· τῇ μὲν γὰρ τῶν πραγμάτων τύχῃ καὶ ἐπ' ἔλαττον καὶ ἐπὶ πλεῖον προέρχονται· αὐτό τε ἑαυτοῦ ἑκάτερον καὶ τοῦ ἑτέρου τῇ ὅλῃ φύσει τὸ ἕτερον [τοῦ ἑτέρου] πλέον τι. 3. Τοῦτο δὲ σημεῖον, ὅτι μὴ ὁ συμβουλευτικὸς πολὺ βραχύτερος τοῦ μηκίστου καὶ ἀγωνιστικοῦ, οὕτως οὐ μόνον ταῖς ἰδέαις, ἀλλὰ καὶ τῇ συμμετρίᾳ κεχωρίσθαι βούλεται τὰ ἀγωνίσματα ἀλλήλων, ὡς ἐπὶ πλῆθος εἰπεῖν· ὁ τοίνυν συμβουλεύων ἐρεῖ πάντα ἃ δεῖ,* (296) *ἐρεῖ δὲ ἐλάττοσιν ἢ δίκην ἀγωνιζόμενος· ὁ δὲ ἀγωνιζόμενος ἐρεῖ πάντα καθάπερ ὁ συμβουλεύων.*

*δ'.* 1. *Τριῶν τοίνυν ὄντων εἰδῶν τοῦ λόγου, καὶ τῆς περὶ αὐτὰ τὰ τύχης τῶν πραγμάτων, φημὶ ἐμπίπτειν εἰς τὸ αὐτὸ ἄλλα εἴδη, ἃ δεῖ ἀναλαμβάνοντα κεραννύναι, ὥσπερ καὶ ὁ τοῦ Δημοσθένους λόγος [ἔχει οὕτως] ὁ τὴν φυλακὴν δοὺς Χαριδήμῳ τῶν τριῶν που μετέχει γενῶν· τὸ μὲν γὰρ τῶν παρανόμων μέρος ἄντικρυς ἐφ' ἑαυτοῦ δικανικόν ἐστιν, ἐλέγχοντος τὸν Ἀριστοκράτην ὅτι παρὰ τοὺς νόμους εἴρηκε· τὸ δὲ αὖ περὶ τοῦ συμφέροντος συμβουλευτικόν τινα ἔχει τύπον, ὡς οὐ χρὴ Κερσοβλέπτην ἐᾶν μείζω γενέσθαι· τρίτον δὲ ἐπὶ τούτοις ἐστὶ τῷ ἐγκωμιαστικῷ τρόπῳ προσῆκον, Χαριδήμου ψόγος.* 2. *Ταῦτα πάντα εἰς ἓν προΐσταται τὸ δικανικὸν καὶ γέγονέ τις αὐτῶν κρᾶσις καὶ μῖξις τοιαύτη· καὶ οὔτε τὸ ὕστερόν ἐστιν οἷον τὸ ἕτερον, ἀλλ' ὅσον τὸ πρᾶγμα ἐθέλει, τοσοῦτόν δια-*

---

13 *ὥσπερ οἱ* Norrm. *ὥσπερ εἰ* Ald. 14 *ὁμοειδῶν*] Fort. *ἐγκωμιαστικῶν*. Norrm. 16 *τοῦ ἑτέρου* seclusit Norrm. 17 *ὅτι μὴ*] *ὡς μὴν* Norrm.

479, 4 *αὐτὰ τὰ*] *ταῦτα* Norrm. 5 *δεῖ* Norrm. Vulgo *δή*. 6 *ἔχει οὕτως* delet Norrm. *ὁ τὴν φυλακὴν δοὺς Χαριδήμῳ*] Verti quasi si scriptum esset *ὁ κατὰ τοῦ τὴν φυλακὴν δόντος Χαριδήμῳ*. nam ut nunc posita verba sunt, ratio iis constare nequit. quippe quam Aristocrates, foeda ac pestifera lege, Charidemo custodiam circumdederat, oratione ista sustulit ac evertit orator. Norrm. 11 *προΐσταται*] *περιίσταται* Norrm. 12 *ὕστερον*] *ἕτερον* Norrm. *ἐθέλει* Norrm. *ἐθέλειν* Ald.

φέρει, καὶ οὐδὲν ἀπέρρωγεν ἀλλήλων τὰ εἴδη, ὡς μὴ ὁμολογούμενον αὐτὸν ἑαυτῷ τὸν ἅπαντα εἶναι λόγον.

ε'. 1. Εἰδέναι δὲ χρὴ ὅτι τῶν μὲν συμβουλευτικῶν ζητημάτων αἱ ὑποθέσεις αἵδε, τὸ δίκαιον, τὸ συμφέρον, τὸ ῥᾴδιον, τὸ ἀναγκαῖον, τὸ ἀκίνδυνον, τὸ καλὸν, τὸ εὐσεβὲς, τὸ ὅσιον, τὸ ἡδὺ καὶ τὰ ἐναντία τούτοις. 2. Συνίσταται δὲ τὸ μὲν δίκαιον νόμῳ, φύσει, ἔθει, τὸ δὲ νόμῳ δίκαιον θεωρῆσαι ἐν προστάξει καὶ ἐν ἀπαγορεύσει. 3. Τὸ δὲ συμφέρον συνίσταται ἐκ τόπων τεσσάρων· οὗτοι δέ εἰσιν οἵδε, τήρησις ὧν ἔχομεν ἀγαθῶν, ἐπίκτησις ὧν οὐκ ἔχομεν ἀγαθῶν, ἀποφυγὴ τῶν περιεστώτων κακῶν, κώλυσις τῶν ἐπιφερομένων κακῶν. 4. Τὸ δὲ δυνατὸν συνίσταται ἐκ προσώπων καὶ τῶν τούτοις προσ-
480 φερομένων. τὸ δὲ ῥᾴδιον συνίσταται ἐκ τούτων, τῶν ἐλαττομένων πόνων, ἢ δαπάνης, ἢ κινδύνων, ἢ τινος ἄλλου τῶν τοιούτων πρὸς ἐναντίον δεῖσθαι. 5. Τὸ δὲ ἀναγκαῖον συνίσταται ἐκ τοῦ μὴ κατ' ἔμφασιν ἄλλως πρᾶξαί τινα ἃ βούλεται ἢ ὡς ἂν ἡ ἀνάγκη προσαναγκάζῃ, ἐκ τοῦ μὴ προσαναγκάζεσθαι [660] φόβους καὶ ταραχὰς καὶ λύπας· καὶ τὸ ἐν ταῖς ἀνάγκαις βίαιον ἐκφυγεῖν ἄλλως πως ἢ οὕτως, ἢ ὡς ἡ ἀνάγκη προσαναγκάζει, ἐκ τοῦ ἀναγκαῖον αὐτὸ εἶναι πάντως ὁρίζεσθαι, οἷον τὸ ἀποθανεῖν. 6. Τὸ δὲ ἀκίνδυνον συνίσταται ἐκ τούτων, τοῦ μηδὲν δέος εἶναι παθεῖν μήτε ὑπὸ θεῶν μήτε ὑπὸ ἐχθρῶν μήτε ὑπὸ κρειττόνων τινῶν μήτε ὑπὸ τοῦ νόμου. 7. Τὸ δὲ καλὸν συνίσταται ὡς ὅρῳ περιλαβεῖν ἐκ τῶν ἐπαίνων τῶν ἀγαθῶν. ταῦτα δέ ἐστι τὸ εὐσεβὲς, αἱ τιμαὶ, οἱ ἔπαινοι, αἱ μνῆμαι, αἱ φιλίαι, αἱ πίστεις, τῶν προγόνων αἱ δόξαι, καὶ τὰ ὑπάρχοντα τοῖς ἔργοις, ἃ οὐ δεῖ καταισχύνειν· καὶ τὸ τηρεῖν τὰ πρέποντα ἐν τῷ βίῳ, οἷον εὐταξίαν, ἁπλότητα, ἀλήθειαν, φιλίαν· ὑπάρχοι δ' ἂν εἰ πρὸς τούτοις συνιστάναι τὸ καλὸν καὶ ἐκ τοῦ τὰ τῶν ἄλλων ἐπαινεῖν καὶ παραβάλλειν, καὶ ὅλως ὅσα κατὰ ἀρετὴν καὶ ἀρετῆς ἔργα·

---

17 θεωρῆσαι] θεωρεῖται Norrm.

480, 1 ἐλαττομένων] ἐλαττουμένων aut potius ἐλαττόνων Norrm. 2 τὸν ἐναντίον Norrm. 3 προσαναγκάζεσθαι] Malim ἐνδέχεσθαι. Norrm. 11 αἱ delet Norrm.

πάντα γὰρ ταῦτα τοῦ καλοῦ. ἀντίκειται δὲ τούτοις τὰ ἐναντία. 8. Τὸ δὲ εὐσεβὲς συνίσταται ἐκ τῆς φυσικῆς παρατηρήσεως τῶν πρὸς τοὺς θεοὺς δικαίων καὶ νομίμων· τὸ δὲ ὅσιον συνίσταται ἐκ τῆς τηρήσεως τῶν δικαίων, τῶν πρὸς τὴν πατρίδα, καὶ τὴν ταύτης πρόνοιαν, καὶ τοὺς γονεῖς καὶ εὐεργέτας καὶ παιδευτὰς καὶ τοὺς κατὰ γῆς. 9. Τὸ δὲ ἡδὺ συνίσταται ἐκ τῆς ἀπολαύσεως τῶν ἡδονῶν· τῶν δὲ ἡδονῶν αἱ μὲν γίνονται ἀπὸ γεύσεως, αἱ δὲ ἀπὸ (302) ὄψεως, αἱ δὲ ἀπὸ ἀκοῆς, αἱ δὲ κατὰ διάνοιαν, ἃς μείζονας καὶ κατωτέρας εἶναι συμβέβηκε.

ς'. 1. Τῆς δὲ ἐγκωμιαστικῆς, ἐπειδὴ καὶ ἔξω ζητημάτων ἐστὶν, αἱ ὑποθέσεις εἰσὶν ἢ ἀπὸ προσώπων, ἢ ἀπὸ πραγμάτων, ἀφ' ὧν καὶ οἱ ἔπαινοι καὶ τὰ ἐγκώμια καὶ 481 οἱ ὕμνοι καὶ τὰ ἀντικείμενα τούτοις, οἱ ψόγοι. τῶν τοίνυν ἐπαινετικῶν τὸ μέν τι ἔπαινος καλεῖται, τὸ δὲ ὕμνος, τὸ δὲ ἐγκώμιον· ὕμνος μὲν εἰς θεοὺς, μηδὲν ἔχων ἐναντίον· ἔπαινος δὲ τὸ ἐπὶ μικροῖς γινόμενον, οἷον τὸ εὖ καὶ καλῶς· καὶ γὰρ ταῦτα ἐπαινετικά ἐστι· καὶ πάλιν, ὁ μὲν ἀγαθὸς, ὁ δὲ ἀνδρεῖος, ὁ δὲ δίκαιος· τὸ ἐγκώμιον ἐπὶ μεῖζον ἐξαίρει· διόπερ κατὰ διέξοδον γίνονται. 2. Λαμβάνονται δὲ οἱ ἔπαινοι κατὰ τρόπους τέσσαρας, αὐξήσει, παραλείψει, παραβολῇ, εὐφημίᾳ. αὐξήσει μὲν οὖν, οἷον εἴ τις θέλει τὰ τοῦ μύρμηκος ἔργα ἐπαινῶν λέγειν ὅτι οἰκονομικώτατός ἐστι περὶ τὴν τῶν καρπῶν συγκομιδὴν καὶ περὶ τὴν τούτων ἀπόθεσιν, οὐ μὴν ἀλλὰ καὶ ἀγαθὸς προϊδέσθαι (304) τὰς ὥρας τῶν θεῶν καὶ φρονιμώτατος πρὸς τοὺς καιροὺς παρασκευάζεσθαι, καὶ ὅσα ἄν τις εὕροι μύρμηκα αὔξων. 3. Παραλείψει δὲ, ὅταν τὰ προσόντα δυσχερῆ τοῖς ἐγκωμιαζομένοις καὶ ἅπερ ἄν τις εἴποι ψέγων παραλείποντες μόνα ἐξαγγέλλωμεν τὰ ἐπαινούμενα ἄξια, οἷον εἰ τὸν Ἀλέξανδρον ἐπαινοῦντες τὰς μέντοι λοιπὰς πράξεις αὐτοῦ

---

19 Pro κατωτέρας libenter legam καλλιωτέρας, nisi si nimis fortean insolens vocabulum videtur. usus illo tamen et Thucydides ξυγγραφῆς δ' versus finem in exemplo ἐκεχειρίας ἐνιαυσίου Spartanorum Atheniensiumque. NORRM. 20 ἔξω] οὐκ ἔξω Norrm.

481, 4 γίνονται] γίνεται Norrm. 6 παραλείψει Norrm. παραλήψει Ald. 11 ἐξαγγέλλωμεν] Vulgo ἐξαγγέλλομεν. ἐπαινούμενα] ἔπαινον Norrm.

ἐξηγούμεθα, ὡς διέβη τὸν Γράνικον, ὡς μέχρι Κιλικίας προῆλθεν, ὡς τὰ μέχρι τοῦ Ὠκεανοῦ πάντα ἔθνη κατεστρέψατο, παραλείποιμεν δὲ τὴν Κλείτου ἀναίρεσιν καὶ τὴν περὶ τοὺς τόπους αὐτοῦ σπουδὴν, καὶ ὅτι Μηδικὴν ἐσθῆτα μετημφιάσατο, καὶ προσκυνεῖσθαι ὁμοίως τῷ Περσῶν βασιλεῖ ἠξίου, καὶ ὅσα τοιαῦτα ἦν αὐτῷ. 4. Τῇ δὲ παραβολῇ, ὅταν μείζω μὲν τὰ τοῦ ἐπαινουμένου ἀποφῆναι θέλοντες ἐκ τῶν πρὸς ἄλλα ἀποδεικνύωμεν, ὡς ὁ Δημοσθένης τὰ τοῦ Κόνωνος ἔργα τὰ περὶ τὸν τειχισμὸν μεγάλα ὑποδεῖξαι βουλόμενος τῶν Θεμιστοκλέους αὐτὰ βελτίω φησίν. 5. Εὐφημίᾳ δὲ, ὅταν τὰ δυσχερῆ μὴ παραλείποντες ἐπὶ τὸ εὐφημότερον ταῦτα ἐξηγησώμεθα, οἷον εἰ τὸν Ἀλέξανδρον ἐπαινοῦντες τὴν τῆς Ἑλένης ἁρπαγὴν
482 λέγοιμεν οὐκ ἀδίκημα οὐδὲ μοιχείαν οὐδὲ ἁμάρτημά τι περὶ τὸν Μενέλαον τὸν ξένον γενόμενον, ἀλλ' ὡς τοῦ Διὸς ἐπεθύμησε κηδεστὴς γενέσθαι· καὶ πάλιν ἐπὶ τῆς Ἑλένης, ὡς οὐχ ἥμαρτε καταλιποῦσα τὸν ἄνδρα καὶ τὴν θυγατέρα καὶ τὸν οἶκον, ἀλλ' ὡς ἔνδοξος γενέσθαι ἐσπούδαζε.

ζ. Τοῦ δὲ μὴ φορτικῶς ἐπαινεῖν, δύνασθαι δ' ὁποσαχῶς ἂν χρεία γένηται, ἐν τοῖς πολιτικοῖς ζητήμασι, τρόποι εἰσὶν οἵδε. πρῶτον μὲν ὅταν τις μὴ ὡς ἐπιβουλεύσας [661] αὐτὸς καὶ παρεσκευασμένος, ἀλλ' ὡς συναναγκασθεὶς ἐπὶ τοῦτο δοκῇ συνενεχθῆναι· δεύτερον δὲ ὅταν τις τὰ μὲν ἀποδιωθῆται, τὰ δὲ δείξῃ· τρίτος τρόπος, ὅταν πρὶν εἰπεῖν τι συγγνώμην ἐφ' οἷς ἂν μέλλοι λέγειν αἰτῆται παρὰ τῶν δικαστῶν· τέταρτον ὅταν ἐν τοῖς κοινοῖς τὸν ἔπαινον ἔχῃ· πέμπτον, ὅταν καὶ αὐτοῖς τοῖς ἀκούουσι προσήκειν φάσκῃ ἀποδέχεσθαι αὐτά· ἕκτον, ὅταν καὶ τοὺς ἀντιδίκους οἷός τε ᾖ τις ἐπιδεικνύναι τὸ αὐτὸ

---

12 ἐξηγούμεθα] ἐξηγοίμεθα Norrm. 14 τόπους] πότους Norrm. 17 ἀποδεικνύωμεν] Vulgo ἀποδεικνύομεν. 19 ἐξηγησώμεθα] Vulgo ἐξηγησόμεθα. 20 εἰ Norrm. Vulgo οἱ.

482, 2 τοῦ Διὸς] Ex Isocratis encomio Helenae p. 508. Norrm. 5 ἑαυτὸν ἐπαινεῖν Norrm. 7 ἐπὶ Norrm. καὶ ἐπὶ Ald. δοκῇ] Vulgo δοκεῖ. 8 ἀποδιωθῆται Norrm. ἀποδιωθῆναι Ald. 9 αἰτῆται] Vulgo αἰτεῖται. 11 ἐπιδεικνύναι] ἀποδεικνύναι Norrm.

ποιοῦντας, καὶ δεινὸν εἶναι φάσκῃ ἐκείνους μὲν ποιεῖν ὑπὲρ τῆς αὐτῶν ὠφελείας, αὐτὸν δὲ μή.

η'. Περὶ ψόγου. ὁ δὲ ψόγος ἐν τρισὶ τρόποις λαμβάνεται· καὶ γὰρ κατὰ τὴν αὔξησίν ἐστι ψέγειν, καὶ κατὰ παράλειψιν, καὶ κατὰ παραβολήν· κατὰ εὐφημίαν δὲ οὐκέτι, ἀλλὰ κατὰ τὸ ἐναντίον τῇ εὐφημίᾳ, δυσφημία. κατὰ δυσφημίαν ψόγος γίνεται, ὅταν τὰ καλῶς πεπραγμένα ἐπὶ τὸ δυσφημότερον ἐξαγγέλληται, οἷον εἰ λέγοι τις ὡς ὁ Μενέλεως οὐχ ὑπὲρ μεγάλων πραγμάτων, οὐχ ὑπὲρ ὧν ὁ βάρβαρος ὕβρισεν εἰς τὴν Ἑλλάδα, ἀγανακτῶν ἐπὶ τὴν Τροίαν ἐστράτευσε, μιᾶς δὲ γυναικὸς ἕνεκα οὐκ ἀγαθῆς, ὡς καὶ ὁ τραγικός φησιν

Ὦ πλὴν γυναικὸς οὕνεκα στρατηλατεῖν,
τὰ ἄλλα οὐδέν.

## Περὶ συνθέσεως. ιγ'.

Α. α'. Σύνθεσίς ἐστιν ἡ μὲν συνεχὴς ἡ διὰ πλειόνων ἑξῆς εἰρημένη, ὡς τὸ „νόσημα γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ἐμπέπτωκεν εἰς τὴν Ἑλλάδα χαλεπόν·“ ἡ δὲ λελυμένη, τότε μὲν κεχυμένη, ὥσπερ τὸ „ἔστω, γινέσθω ταῦτα, οὐδὲν ἀντιλέγω·“ ἡ δὲ κατὰ περίοδον, ἥτις ἐστὶν σύν- (310) ταξις κώλων καὶ κομμάτων εἰς διάνοιαν ἀπηρτισμένη φράσις, ὥσπερ τὸ „καὶ σπουδαῖα νομίζων, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἀναγκαῖα τῇ πόλει· πειράσομαι περὶ αὐτῶν εἰπεῖν ἃ νομίζω συμφέρειν.“

β'. Τὸ δὲ κῶλόν ἐστι σύνθεσις ὀνομάτων δύο καὶ πλειόνων, ὡς τὸ „οὐ προφάσεως ἀπορῶ δι' ἣν Νικαίᾳ βοηθῶ.“ κόμμα δ' ἐστὶ κώλου μέρος καθ' αὑτὸ μὲν τιθέμενον, ὡς τὸ, γνῶθι σαυτὸν, καὶ μηδὲν ἄγαν. μεθ'

---

12 ποιεῖν] τοῦτο ποιεῖν Norrm. 16 δυσφημία] τὴν δυσφημίαν Norrm. 17 εἰ Norrm. οἱ Ald. 19 τραγικός] Euripides Orest. v. 708.

483, 1 ἡ διὰ Norrm. ἡ δὲ διὰ Ald. εἰρημένη] εἰρομένη Norrm. ὡς τὸ] Demosth. de falsa leg. p. 334 b. 3 κεχυμένη] κεχωρισμένη Norrm. ὥσπερ τὸ] De Cherson. p. 77 a. 4 ὥσπερ τὸ] Philipp. IV. initio. 7 ὡς τὸ] Isocrates πρὸς Εὐθύν. nitio.

Digitized by Google

ἑτέρων δὲ, ὡς τὸ „ἀντιβολῶ πρὸς παίδων, πρὸς γυναικῶν, πρὸς τῶν ὄντων ὑμῖν ἀγαθῶν.“

γ'. Περίοδος δὲ ἐκ μὲν ἑνὸς κώλου συνίσταται, ὡς τὸ „τὸ γὰρ εὖ πράττειν παρὰ τὴν ἀξίαν ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίνεται.“ αἱ δὲ ἐκ δύο κώλων, ὥσπερ τὸ „τὸ μὲν γὰρ ἐξ ἀρχῆς τι μὴ δοῦναι γνώμῃ χρησαμένων ἐστὶν ἔργον ἀνθρώπων, τὸ δὲ τοὺς ἔχοντας ἀφελέσθαι φθονούντων.“ ἐκ τριῶν δὲ „ἄνδρες δικασταὶ, μάλιστα μὲν εἵνεκα τοῦ νομίζειν συμφέρειν λελύσθαι τὸν νόμον· εἶτα καὶ τοῦ παιδὸς ἕνεκα τοῦ Χαβρίου, ὡμολόγησα τούτοις ὡς ἂν οἷός τε ὦ συνερεῖν.“ ἐκ δὲ πλειόνων· „οἱ μὲν ἐπαινοῦντες, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς προγόνους ὑμῶν λόγον εἰπεῖν μοι δοκοῦσι κεχαρισμένον, οὐ μὴν συμφέροντά γε ἐκείνοις οὓς ἐγκωμιάζουσι ποιεῖν.“

484 δ'. Σύνθεσις δὲ ἡ μὲν συνεχὴς καὶ λελυμένη ἔργοις καὶ πάθεσι πρέποι ἂν, ἡ δὲ κατὰ περίοδον τοῖς ἐπιδεικτικοῖς καὶ προοιμίοις καὶ ἐνθυμήμασι.

ε'. Φράσις δὲ ἀσαφὴς γίνεται, ὅταν λίαν ἀπηρχαιωμένῃ χρῆταί τις καὶ ἀμφιβόλῳ, ὥσπερ τὸ

ὦ Ζεῦ γένοιτο καταβαλεῖν τὸν σὺν ἐμέ.

ἢ κατὰ ἄλλον τρόπον, οἷον χρόνον, ἢ αἰτίαν, ἢ τόπον.

ϛ'. Πλεονάζει δὲ φράσις, εἰ διπλασιάζεται ὄνομα ἔχουσα χωρὶς χρείας, ὥσπερ ἔλεξα, εἶπον, ἔφρασα. καὶ εἰ ἐπὶ τῶν προειρημένων εἴπωμεν ταῦτα, εἴπωμεν δὲ μή.

ζ'. Ματαία ἐστὶ φράσις ἡ ἐν βαρβάροις ὀνόμασι, κεκαινοτομημένοις καὶ παρακεχαραγμένοις· διὸ καὶ ἄκαιρος φαίνεται τὰ ἑτέρων ὀνόματα ἄλλοις ἀκαίρως προσνέμουσα, καὶ τὰ πράγματα φράζουσα. „καὶ μὴν εἰ μὲν ἄλλου του

---

9 ἀντιβολῶ] In Aphobum β' ad finem. 11 τὸ γὰρ εὖ] Olynth. I. p. 4 d. 12 τὸ μὲν γὰρ] Leptin. p. 549 c. 14 ἄνδρες] Ibid. initio. 16 οἱ μὲν] De symmor. initio.

484, 3 τις καὶ] τις ἢ καὶ Norrm. 4 ὦ Ζεῦ] Euripidis ex Meleagro versus: vide fragm. XXIII. σὺν 'μέ] Vulgo σύναιμον. 6 εἰ διπλασιάζεται ὄνομα] ἡ διπλάσια τὰ ὀνόματα Norrm. 7 εἴπωμεν ταῦτα, εἴπωμεν δὲ μή] ἃ εἴπομεν, ταὐτὰ εἴπωμεν καὶ μετὰ ταῦτα Norrm. 8 ὀνόμασι] ὀνόμασι καὶ Norrm. 10 καὶ μὴν — ἀκουόντων] Duplici asterisco indicare voluimus quam male haec cohaereant, etsi solidam speciem mentiantur. Mox post μεσο-

χάριν ὁ λόγος εὑρέθη ἢ τοῦ πείθειν, ἴσως ἄν τις ἀμφισβήτησις ἦν· ὅτε δὲ ἐστὶν εὔδηλον ὅτι ἐφ᾽ ἐν τούτῳ πᾶσα ἡ τῆς λογικῆς δυνάμεως ἕξις ὥρμηται, δυοῖν ἀνάγκη δή που θάτερον, ἢ μὴ [662] ὀρθῶς ἔχειν μηδ᾽ ἱκανὸν φαίνεσθαι τὸν λόγον, ἢ ὁμοῦ βέλτιστόν τε εἶναι καὶ κρατεῖν τῶν ἀκουόντων." φιλανθρωπίας δὲ κοινῆς καὶ τῆς πρὸς ἅπαντας εὐνοίας δεῖγμά ἐστιν ὁ λόγος, οὐ πικρίας οὐδὲ μισανθρωπίας.

B. 1. Οὐχ ἓν τὰ κωλῦόν ἐστιν ἀνακαλεῖν ἡμᾶς τὸν (314) στόλον ἐκ τῆς Σικελίας· ἀλλὰ πρῶτον μὲν τὸ μὴ δεῖν μεταβάλλεσθαι καὶ μεταβουλεύεσθαι ῥᾳδίως· δεινὸν γάρ· αὐξήσεις δὲ τοῦτο ἐν τῇ τοῦ προσώπου ποιότητι· ὑμῖν δὲ οὐδ᾽ ἐπ᾽ ἴσης αἰσχρὸν οὐδὲ τοῖς ἄλλοις ἅπασι· διὰ τί; ἐπειδὴ πλέον φρονεῖν τῶν ἄλλων πιστεύετε. ἑτέρα δὲ πάλιν ἐκ τοῦ πράγματος αὔξησις, ὅτι μηδὲ ἁπλῶς μηδὲ ἐπὶ ὀλίγου χρόνου περὶ τῶν πραγμάτων τούτων ἐβουλεύσασθε· κἀνταῦθα παραθήσεις τὰ ἐκ τῆς ἱστορίας. 2. Πρὸς ταῦτα ἀντίθεσις πρώτη μὲν, ἀλλὰ χαλεπὴ λαβεῖν ἡ Σικελία· ταῦτα καὶ πρότερον ἴσμεν λεγόμενα· καὶ ὅσον τὸ μέγεθος καὶ ὅσος αὐτῆς ὁ περίπλους· καὶ ὅμως ἐπέμψαμεν. ἀλλὰ μὴν οὐδὲ χαλεπὸν λαβεῖν· στασιάζουσι γὰρ καὶ πολεμοῦσι πρὸς ἀλλήλους οἱ κατοικοῦντες αὐτήν· τί οὖν χαλεπόν ἐστι λαβεῖν νῆσον διῃρημένην καὶ ταῖς παρασκευαῖς καὶ ταῖς γνώμαις; 3. Ἀλλ᾽ ἐπταίκαμεν· ἀλλ᾽ οὐ χρὴ ῥᾳδίως οὕτως ἀφικέσθαι τῇ ψυχῇ· καὶ τοῦτο ἐξ ὁμοίου, παρὰ τοῖς Συρακοσίοις γεγενημένου κατασκευάσεις, ὅτι κἀκεῖνοι οὐχ ἅπαξ, ἀλλὰ πολλάκις πταίσαντες (316)

---

θρωπίας ingens haud dubie lacuna subest. nec enim temere crediderim nulla ἀναλύσεως facta mentione, nulla illius ὑποτυπώσει aut descriptione praemissa, mox exemplum retexendae orationis, idque de suis potissimum scriptis petitum, proposuisse nostrum. Norrm. καὶ μὴν] Ex Aristidis oratione κατὰ τῶν ἐξορχουμένων supra p. 409, 6. του Norrm. τοῦ Ald. εὑρέθη Norrm. εὑρεθῇ Ald. 11 ὅτε δ᾽ ἐστὶν Norrm. ὅτι δὲ ἐστὶν Ald. 15 Argumentum orationis Aristidis περὶ τοῦ πέμπειν βοήθειαν τοῖς ἐν Σικελίᾳ vol. I. p. 363. 17 ἐν] Suspectum. Norrm. ὑμῖν Norrm. ἡμῖν Ald. οὐδὲ Norrm. οὐ δὴ Ald.

485, 3 μὴν Norrm. Vulgo μὲν. 6 ἀφικέσθαι] ὑφίεσθαι Norrm. Συρακοσίοις] Vulgo Συρακουσίοις: quam formam etiam

ἀνέλαβον ἑαυτούς· εἰ δ' ἐκεῖνοι, καὶ ὑμεῖς. 4. Τί οὖν ἐκ τοῦ μεταβάλλεσθαι αὐτοὺς ἄτοπον; πρῶτον μὲν αἰσχύνη, οὐ μόνον τοῦ βεβουλεῦσθαι κακῶς, ἀλλὰ καὶ τοῦ ἀνανδροτέρου; δόξαι Συρακοσίων· εἶτα καταφρονεῖν ὑμῶν Συρακοσίους ποιήσετε. 5. Ἀλλὰ τὰς σπονδὰς λελύκασι Λακεδαιμόνιοι; ἀλλ' οὐδὲ τότε ταύταις θαρροῦντες ἐφαινόμεθα. ἀλλὰ τὸ ἐπιτείχισμα καινότερον; τί οὖν ἐλθόντας αὐτοὺς κρατήσειν Λακεδαιμονίων οἴεσθε; καὶ μὴν εἰ μένουσιν ἔνδον, τάχ' ἂν ἡμῖν ᾖ. καὶ πρὸς ἐναντίου· οὐ γὰρ συμφέρει τοῖς πολιορκουμένοις ἐπεισάγειν πολὺν ἀνθρώπων ὄχλον. 6. [Τίνα ἐκ τοῦ λαβεῖν Σικελίαν αὐτοῖς ἀγαθὰ γενήσεται.] ἀλλὰ Γύλιππος συνάγει στράτευμα, καὶ συναθροίζει Σικελίαν; οὐκοῦν τί προσῆκεν ὑμῖν οὐδὲ ἴσασιν ἀποδρᾶναι· ἀλλ' ἕτερον ἐπιπέμπειν στόλον, ὃς οὐκ ἴσιον τὴν ἐπιθυμίαν τοῖς ἡμετέροις πολίταις παρέξει ἢ Γύλιππος Συρακοσίοις· τοῖς μὲν γὰρ ἡμετέροις οὐ τὸ τῆς δυνάμεως μόνον προσέσται, ἀλλὰ καὶ τὸ συνειδέναι πολλάκις αὐτοῖς κεκρατηκόσιν· οἱ δὲ ἐπανορθώσασθαι τὸ πρόσθεν τῷ πλήθει νομίζοντες, ἐπειθ' ἥττους ταῖς παρασκευαῖς φανέντες, εἰκότως οἶμαι
486 καὶ ταῖς γνώμαις ὑποδεέστεροι γενήσονται. 7. Λοιπὴ ζήτησις ἐκ τῶν ἀποβησομένων· τί πλέον ἔσται, κἂν κρατήσωμεν; οὐ γὰρ κατασχεῖν αὐτὴν πόρρωθεν οὖσαν δυνησόμεθα· βουλοίμην δ' ἂν ἡμῖν ἐν τούτῳ τὰ πράγματα εἶναι· ὡς τό γε κατασχεῖν αὐτὴν καὶ φυλάξαι βέβαιόν ἐστι· βιαίως δ' ἂν εἴποις καὶ Δημοσθενικῶς ὅτι μηδ' ἕτερόν τι πρᾶξαι δυνατόν ἐστιν· οὐ γὰρ ἀπανίστασθαι, ἀλλὰ φεύγειν δόξομεν· οὐδὲ μὴ δυνηθέντες ἑλεῖν, ἀλλὰ

---

in relicuis huius capitis locis correxi. 13 εἰ] οἱ Norrm. ἡμῖν ᾖ] ἦν τι τοῦτο Aristides vol. I. p. 368, 12. 14 Verba loco prorsus alieno infulta τίνα — γενήσεται induximus, quae commate 7. locum habere poterant, nisi plena illic omnia et sana essent. Norrm. Γύλιππος Norrm. φίλιππος Ald. 16 ἐπιπέμπειν Norrm. ἐπιπέμπει Ald. οὐκ ἴσιον] οὐχ ἧσσω Norrm. ἐπιθυμίαν] εὐθυμίαν Norrm. 16 et 17 ἡμετέροις Norrm. ὑμετέροις Ald. 17 οὐ τὸ] Vulgo οὔτε, cui Norrm. τὸ addebat. 18 πολλάκις αὐτῆς] αὐτοῖς πολλάκις Norrm.

Digitized by Google

παθεῖν φοβηθέντες· εἶτ' οὐ καθέξοντες τοῦ διώκειν ἡμᾶς Συρακόσιοι· εἰ δὲ τοῦτο γενήσεται, δέδοικα μὴ περὶ τοῦ Πειραιῶς ὁ κίνδυνος ἡμῖν γένηται· καὶ ναῦς πολεμίας εἰς τοὺς ἡμετέρους λιμένας εἰσδεξώμεθα, δέον αὐτοὺς ἑτέροις ἐφορμεῖν. ταῦτ' ἐστὶ καὶ ἐν τούτοις.

## Παράφρασις. ιδ'.

Α. Μῆνιν ἄειδε θεὰ Πηληϊάδεω Ἀχιλῆος. τὸ μὲν γὰρ ἔργον Μουσῶν δι' ἀκριβείας διελθεῖν τὴν μῆνιν, ἣ ἐμήνισεν Ἀχιλλεὺς ἐν Τροίᾳ καὶ τὰ συμβάντα ἀπ' αὐτῆς οὔτε οὐχὶ φαῦλα οὔτε ὀλίγα· ἀλλὰ τοῦτο δὴ τὸ βαρύτα- (320) τον τῶν τοῦ πολέμου συνέβη τοῖς Ἀχαιοῖς· πολλοὶ μὲν γὰρ αὐτῶν καὶ ἀγαθοὶ πρὸ ὥρας διεφθάρησαν, πολλοῖς δὲ οὐδὲ ταφῆς ὑπῆρξε τυχεῖν, ἀλλ' οἱ μὲν κύνες διεχρήσαντο αὐτοὺς κειμένους. Διὸς δὲ ἦν ἄρα τὸ βούλευμα καὶ οὐχ ὑπὸ [663] ταὐτομάτου συνέπεσε τοσαῦτα πράγματα, ἀρξάμενα ἀφ' οὗ πρῶτον διέστησαν Ἀχιλλεὺς ὁ Πηλέως, καὶ Ἀγαμέμνων ὁ Ἀτρέως, βασιλεὺς τῶν Ἑλλήνων· τίς δῆτα θεῶν αὐτοὺς συνέβαλε καὶ πόθεν ἄρξασθαι φῶμεν τὴν ἔριν; ἀπὸ Ἀπόλλωνος, ὃν ἐμβαλεῖν τοῖς Ἀχαιοῖς νόσον πρὸς ὀργὴν τοῦ βασιλέως αὐτῶν· αἰτίαν δὲ αὐτοῦ γενέσθαι τήνδε· ἄνδρα διελθεῖν πρεσβύτην Χρύσην ὀνόματι εἰς τὸ στρατόπεδον τῶν Ἀχαιῶν, Ἀπόλλωνος ἱερέα, θυγατέρα αἰχμάλωτον λυσόμενον, οὖσαν παρὰ τῷ Ἀγαμέμνονι· σκῆπτρον δὲ δὴ χρυσοῦν ἔχοντα καὶ περὶ τῷ σκήπτρῳ στέμματα τοῦ θεοῦ, κομίζειν δὲ καὶ ἄποινα οὐκ ὀλίγα· τὰ δὲ εἰς τοὺς Ἀχαιοὺς ἱκετεύειν πάντας μὲν, διαφερόντως δὲ τοὺς Ἀτρείδας, συνευχόμενον ἐκείνοις μὲν ἑλεῖν τὴν Τροίαν καὶ σωθῆναι οἴκαδε, αὐτῷ δὲ ὑπάρξαι λύσασθαι τὴν κόρην· πάντως δὲ προσήκειν αὐτοῖς αἰδε- (322) σθῆναι τὸν θεόν. ἐνταῦθα οἱ μὲν ἄλλοι πάντες ἐδέξαντό τε τοὺς λόγους καὶ ἀνεθορύβησαν ἀφιέναι τὴν παῖδα τῷ

---

486, 6 [οὐ καθέξοντες] οὐκ ἀφέξονται Norrm. 11 ἣ] ἣν Norrm. 13 πρὸ Norrm. πρὸς Ald. 14 οὐχ addidit Norrm. 17 ἐμβαλεῖν] φασι addit Norrm. 18 νόσον πρὸς ὀργὴν Norrm. πρὸς ὀργὴν νόσον Ald. αὐτοῦ] αὐτῷ Norrm.

487, 3 τὰ δὲ εἰς] εἶτα δὲ Norrm.

Digitized by Google

ἱερεῖ· Ἀγαμέμνων δὲ οὔτ' ἠφίει καὶ προσηπείλει εἰ λήψοιτο αὐτὸν, ἢ νῦν ἐνδιατρίβοντα ἢ αὖθις τῶν αὐτῶν ἕνεκα ἥκοντα, ὡς οὐκ ἐπαρκέσουσαν τὴν ἱκετηρίαν αὐτῷ, οὐδὲ ὑπὲρ τῆς παιδὸς γενησομένους ἔτι τοὺς λόγους, ἀλλ' ὑπὲρ τῆς αὐτοῦ σωτηρίας· τὴν δὲ οὐκ ἀπολύσειν, ἕξειν τε ἐν Ἄργει γυναῖκα, τὰ αὐτοῦ πράττουσαν διὰ βίου· ἀλλ' εἴ τοι δεῖται σωτηρίας, ἀπιέναι ἤδη. ταῦτα ἀκούσας ὁ ἱερεὺς ἔδεισέ τε καὶ παραχρῆμα ἀπῄει σιωπῇ· ὡς δὲ ἀπέσχε τοῦ στρατοπέδου, πάσας ἤδη φωνὰς ἠφίει τὸν Ἀπόλλωνα καλῶν Σμίνθιον, Τενέδιον, Χρύσιον, Καλλίτοξον, πάντα ὀνομάζων, εἴ ποτέ σοι, δέσποτα, ἢ θυσίαν ἔθυσα, ἢ νεὼν ἤρεψα εἰς χάριν, τοῦτό μοι νῦν ἀπ' ἐκείνων γένοιτο, ἐξομόρξασθαι τοὺς Ἀχαιοὺς τὰ δάκρυα ταῦτα τοῖς ἑαυτῶν σώμασι· σὺ δὲ αὐτοῖς ἔλθοις τοξότης. δέχεται τὰς εὐχὰς ὁ θεὸς καὶ αὐτίκα πρὸς τὴν τιμωρίαν ἐστέλλετο.

Β. Ἄρνες οἳ ἦσαν εὐτραφεῖς καὶ δασεῖς μαλλοῖς, θαυμαστοὶ τὰ κάλλος καὶ τὸ μέγεθος· τούτους ἐγὼ λαμβάνων συνέδουν αὐτοὺς ἡσυχῇ κατὰ τρεῖς, ἦσαν γὰρ ἐφ' 
488 ὧν ὁ Κύκλωψ ἐκάθευδεν· ἔμελλε δὲ ὁ μέσος ἄρα ἄνδρα οἴσειν τῶν ἑταίρων· εἷς δὲ ἑκατέρωθε παράσειρος ἦν, ἀσφαλείας ἕνεκα. εἰς μὲν οὖν τοὺς ἄλλους ὑπῆρχον οὗτοί μοι, αὐτὸς δὲ ἐπεχείρουν τρόπῳ τοιούτῳ· ἦν κριὸς τά τε ἄλλα ὑπερμεγέθης καὶ ὑπέρδασυς, τούτῳ περιβαλὼν τὼ χεῖρε κατὰ νῶτον, ὑπελειπόμην ἕως ὑπὸ τῇ γαστρὶ κἀγὼ γίγνωμαι· ἔπειτα μεταστραφεὶς εἰχόμην· ἐκείνην οὖν τὴν νύκτα οὕτω ταλαιπωροῦντες ἠνεσχόμεθα.

---

18 Ex Odyss. ι, 425. θαυμαστοὶ Norrm. θαυμαστοῖς Ald.
19 γάρ] γὰρ λόγοι Norrm.

488, 1 ἑταίρων Norrm. ἑτέρων Ald. 4 ὑπελειπόμην] ὑπολυόμην Norrm.

## ΤΕΧΝΩΝ ΡΗΤΟΡΙΚΩΝ Β'. (830)

### Περὶ ἀφελοῦς λόγου. Α.

α'. Ἐπειδή σοι ἰδέας ὑπεδείξαμεν τοῦ πολιτικοῦ λόγου καὶ τὰς ἀρετὰς αὐτοῦ, δεῖ σε ἀκοῦσαι καὶ περὶ τῆς ἰδέας τοῦ ἀφελοῦς λόγου· οὐδὲν γὰρ οὕτως ἐπεσκέφθαι χρὴ ὡς τὰς ποιότητας τοῦ ἀφελοῦς λόγου καὶ τοῦ ἁπλοῦ καὶ τὰς διαφορὰς αὐτοῦ πρὸς τὸν πολιτικὸν λόγον καὶ ἀγωνιστικόν· ὅπερ οὐ ῥᾴδιον μέν ἐστιν διὰ τὸ εἶναι ἓν γένος παντὸς λόγου καὶ μίαν φύσιν· ὅμως γε μήν εἰσί τινες παραλλαγαὶ καὶ ἰδέαι, αἳ διαφέρουσιν ἀλλήλων.

β'. Πᾶς δὲ λόγος ἐστὶ δῆλον ὅτι ἐν ἐπινοήμασι καὶ ἐν ἀπαγγελίᾳ, ἥτις ἐστὶν ἐν λέξει, ἐν σχήματι, ἐν ῥυθμῷ. εἰ οὖν ῥητέον τίνα ἐστὶ τὰ διακρίσεις ποιοῦντα ἀπὸ τῶν πολιτικῶν τοῖς ἀφελέσι λόγοις. οὐ γὰρ τὰ αὐτά ἐστιν ἐννοήματα τῶν τε ἀφελῶν καὶ τῶν πολιτικῶν· εἰ γὰρ ἓν νόημα τὸ αὐτὸ, ἀλλὰ λέξις οὐχ ἡ αὐτή· ἢ εἰ καὶ λέξις (832) ἡ [664] αὐτὴ, ἀλλ' οὐχ ὁ ῥυθμὸς ὁ αὐτός· ἢ εἰ καὶ ῥυθμὸς ὁ αὐτὸς, ἀλλ' οὐ τὸ σχῆμα τὸ αὐτό.

γ'. Εἰδέναι οὖν δεῖ πρῶτον, ὡς ἐν κεφαλαίῳ μάλιστα παραστήσαιμεν, ὅτι αἱ διαφοραὶ τοῦ πολιτικοῦ λόγου πρὸς τὸν ἀφελῆ εἰσὶν ἀπὸ τῶν ἐννοημάτων πρῶτον λαμβανόμεναι. ἔστι γὰρ τὰ μὲν πολιτικὰ νοήματα τραχύτερα, ἐνδοξότερα καὶ ἀπὸ ἐνδοξοτέρων λαμβανόμενα, καὶ δριμύ-

---

Inscriptio in Aldina του αυτου τεχνων ρητορικων περι αφελους λογου.

488, 12 εἰ] ἐστιν Norrm. 13 γὰρ ἓν νόημα] δὲ καὶ ἐννόημα Norrm.

τερα, τήν τε δριμύτητα ἐργαζόμενα, ἐκ τοῦ σπανιώτερά τε καὶ ἔνδοξα. τὰ δὲ ἀφελῆ νοήματα ἁπλᾶ, ἐπίκοινα, ἄδοξα, καὶ ταῦτα ἀπὸ ἀδόξων τῶν ἐπιχειρημάτων λαμβανόμενα. περὶ μὲν οὖν τῶν νοημάτων, ὡς ἂν ἀπὸ πολλῶν ὀλίγα εἴποι τις, ταῦτά ἐστιν.

δʹ. Ἡ δὲ ἑξῆς διαφορὰ περὶ τὴν μεταχείρησίν ἐστιν· ὥσπερ γὰρ ἐν τῷ πολιτικῷ λόγῳ ἐστί τις μεταχείρησις, οὕτω καὶ ἐν τῷ ἀφελεῖ λόγῳ· ἡ δὲ διαφορὰ τῶν μεταχειρήσεων αὕτη ἐστί· ἐν μὲν τῷ πολιτικῷ λόγῳ διαφορὰ εἶναι· οὕτω γὰρ πολιτικῶς προάγοιτο ὁ λόγος, εἰ παρακολουθοῖεν οἱ ἀκούοντες τοῖς ζητήμασιν· ἐν δὲ τῷ ἀφελεῖ οὐ τοῦτό ἐστιν, ἀλλὰ κεκρυμμέναι ἐνίοτε εἰσὶν αἱ ζητήσεις, καὶ οὐδὲ οἶδέ τις τί βούλεται λέγειν ὁ λέγων, διὰ τὸ μηδεμιᾷ ἐπιβολῇ ἐοικέναι τὸν λόγον.

εʹ. Τὰ δὲ σχήματα ἐν μὲν τῷ πολιτικῷ λόγῳ τραχέα ἐστὶ σφόδρα, ἐλεγκτικά, βίαια· ἐν δὲ τῷ ἀφελεῖ ἀνειμένα, ἁπλᾶ, μηδένα ἔλεγχον μηδὲ ἐξέτασίν τινα ἐμφαίνοντα, ἀλλὰ κοινότερα καὶ ἀναπεπτωκότα· οὕτω γὰρ ἐκεῖνα ποιεῖ σύντονον τὸν λόγον καὶ πολιτικόν· ταῦτα δὲ ἀφελῆ, ὡς ἂν ἰδιωτικὰ καὶ ὁμιλητικὰ ὄντα.

ϛʹ. 1. Οὐ μὴν οὐδὲ ἡ λέξις ἡ αὐτὴ αὐτοῖς, ἀλλ' ἔστι τις καὶ ἐν τῇ λέξει διαφορά. ἐν μὲν γὰρ τῷ πολιτικῷ λόγῳ ποτὲ μὲν ἀπήρτισται τὸ νόημα, ποτὲ δὲ δεῖ ἄλλῳ νοήματι
490 ἐπιβάλλειν· δεῖ γὰρ μετὰ πάσης ἀσφαλείας καὶ τόνου προάγεσθαι τὸν λόγον. ἐν δὲ τῷ ἀφελεῖ οὐκ ἔτι, ἀλλὰ δοκεῖ ἡ λέξις ὡς ἂν τύχῃ προάγεσθαι, ἀλλ' ὑπτίαν ἐμφαίνουσα καὶ μηδεμίαν ἐπιτήδευσιν τῆς λέξεως. 2. Ἔτι ἐν μὲν τῷ πολιτικῷ λόγῳ ὅ τι ἂν βούληταί τις σημαίνειν ὑπὸ τῆς λέξεως, τοῦτο αὐτὸ καὶ ἐμφαίνεσθαι μόνον δεῖ· ἐν δὲ τῷ ἀφελεῖ ἡ μία λέξις καὶ ἓν καὶ δύο καὶ τρία σημαίνει ἐνίοτε

---

489, 6 σπανιώτερά τε εἶναι Norrm. 9 μεταχείρησις] Hoc modo ubique pro μεταχείρισις ex manuscripto suo Aldus ediderat. Itaque sequi quam probare malui. Paullo post διαφορὰ εἶναι, sententiam tenemus, in verbo constituendo aqua nobis haeret. Simillima, si modo hac notione satis usitata, sunt διάφορα et διαφορ. quod posterius, interea tum aptius quidpiam occurrat, haud respuam. Norrm. 15 σφόδρα] σφοδρὰ Norrm.

Digitized by Google

ἄλλη δὲ ἐν λέξει ἡ παράθεσις τῶν λέξεων ποιεῖ, οἷον ὁ (336)
ἱπποφορβὸς ἵππων, συοφορβὸς συῶν.

ζ'. Καὶ περὶ τοὺς ῥυθμοὺς ὁμοίως λέγομεν διαφοράν τινα εἶναι τοῦ πολιτικοῦ λόγου πρὸς τὸν ἀφελῆ· καὶ ὅλως ἡ διαφορὰ τῆς ἀφελείας πρὸς τὸν πολιτικὸν λόγον, ὅτι τῆς μὲν ἀφελείας ἐστὶ τὸ ἁπλῶς προχωρεῖν τὸν λόγον καὶ ἕλκεσθαι ἀεὶ τὴν ἀκοὴν κατὰ τὸ ὅμοιον καὶ μηδαμοῦ ἐκκοπὰς εἶναι τοῦ λόγου, μηδὲ ἐνίστασθαί που πρὸς τὴν ἀκοήν· ὅπου δὲ προϊόντος τοῦ λόγου ὑποστροφὴ γέγονε καὶ ὥσπερ τι πρὸς τὴν ἀκοὴν ἀντέστη ἐκ τῆς ἐκκοπῆς τῆς μετὰ τὴν ὑποστροφήν, ἐνταῦθα ἀγωνιστικὸν τὸ σχῆμα καὶ λόγος ἤδη τῷ ῥυθμῷ πολιτικώτερος γέγονεν· ἐπιστρέφει γὰρ ἀεὶ τὸν ἀκροατὴν τὰ τοιαῦτα καὶ οὐκ ἐᾷ ἁπλῶς παρακολουθεῖν· ὅπερ ἐργάζεται ἡ ἀφέλεια.

η'. Ὡς ἐν τῷ Συμποσίῳ Ξενοφῶν, ἤδη γάρ σοι καὶ τὰ παραδείγματα αὐτῶν ἐκθήσομαι, ἵνα σαφέστερά σοι καὶ τὰ τῆς ἀφελείας θεωρήματα γένηται. „αἵ γε μὴν γυναῖκες, ἄλλως τε ἢν καὶ νύμφαι τύχωσιν οὖσαι, ὥσπερ ἡ Νικηράτου τοῦδε καὶ Κριτοβούλου, μύρου μὲν οὐ προσδέονται." καὶ ἡ ὑποστροφὴ „αὗται γὰρ τούτου ὄζουσι." τοῦτο μὲν οὖν οὕτω δεῖ προσδέξασθαι, οἷον, αὗται παρὰ ἀνδρὸς μύρου οὐ προσδέονται, παρ' ἑαυτῶν γὰρ ἔχουσι, νύμφαι γε οὖσαι. τηρῆσαί γε ἄξιόν ἐστι τὸ τῆς ὑποστροφῆς· τῆς μὲν γὰρ ἀφελείας ἦν προελθεῖν μέχρι τοῦ „μύρου μὲν οὐ προσδέονται." τὸ δὲ τῆς αἰτιολογίας παρατεθὲν κατὰ τὴν ὑποστροφήν, τοῦτο γοργὸν σφόδρα ἐποίησε (338)
τὸν λόγον „αὗται γὰρ τούτου ὄζουσι·" καὶ κινδυνεύει καὶ πολιτικὸς γεγονέναι τῷ ῥυθμῷ ὁ λόγος.

## Περὶ ἐννοημάτων. Β'.

α'. Τὰ δὲ περὶ τὴν ἑρμηνείαν πάλιν αὖ ἐννοήματα τῶν ἀφελῶν ἐστιν, οἷον χρήσασθαι, ἂν οὕτω τύχῃ, καὶ

---

490, 8 καὶ ὅλως δὲ Norrm. 10 ἐκκοπὰς] Fort. διακοπὰς et mox διακοπῆς. conf. Hermog. Id. I, 6. 288. Norrm. 14 ἀφέλεια Norrm. Vulgo ἀσφάλεια. 15 Συμποσίῳ] P. 875 b. Leunclav.

ἀδοξοτέροις ἐννοήμασι· βουληθεὶς γοῦν κατασκευάσαι ὁ Ξενοφῶν ὅτι πολλοῦ ἄξιός ἐστιν ὁ Κῦρος σκέψαι πῶς ῳκονόμησεν τοῦτο. ἡ γὰρ πρότασις [665] πολιτική, καὶ αἱ ἀποδείξεις πολιτικώταται, ὅτι Κῦρος πολλοῦ ἄξιος ἐγένετο. τῶν δὲ ἐννοημάτων τὰ μὲν ἦν πολιτικά, τὰ δὲ ἀφελῆ· πολιτικὰ μὲν τὰ τοιαῦτα, Κῦρος πολλοῦ ἄξιος ἐγένετο· τὸ γὰρ χαλεπώτατον ῥᾷστα κατειργάσατο· τί δὲ ἐστι χαλεπώτατον; ἀνθρώπων ἄρξαι. ἄχρι τούτου ἡ κατασκευὴ πολιτική. ἡγοῦ μεταχειρίζου πολιτικῶς, οὕτως ἂν εἴποις· Κῦρος πολλοῦ ἄξιος ἐγένετο· ὃ γὰρ χαλεπώτατον ἦν, τοῦτο κατειργάσατο, ἀνθρώπων ἄρξαι. διὰ τί; ὅτι οὐ ῥᾳδίως ἐθέλουσιν οἱ ἄνθρωποι ἄρχεσθαι, ἀλλὰ πολλαὶ μὲν δυναστεῖαι, πολλαὶ δὲ τυραννίδες κατελύθησαν ὑπὸ τῶν μὴ βουλομένων ἄρχεσθαι. ἄχρις ἐνταῦθα τὰ ἐννοήματα πολιτικά.

β'. Ὅταν δὲ ἔλθῃς εἰς τὴν κατασκευὴν τῆς διαφορᾶς καὶ εἴπῃς, ῥᾴδιον γάρ ἐστι βοῶν καὶ οἰῶν καὶ πάσης ἀγέλης ἄρξαι μᾶλλον ἢ ἀνθρώπου, τότε λέγω ὅτι εἰς ἐννοήματα ἀφελέστερα ἀπάγεις τὸν λόγον· ἤθους γὰρ καὶ τρόπου εἰσίν, ἃ τοῦ λόγου τὸ ἀφελὲς ἐστέρησεν. ὁ μὲν οὖν πολιτικὸς πρότασιν προθεὶς τὰ κατασκευαστικὰ παρατίθησιν, ἐπιλεγόμενος ἀεὶ τῶν ἐννοημάτων τὰ πολιτικώ-
492 τερα· οἷον τὸ κατὰ τὰς ἀποβάσεις λέγειν, οὐ πολιτικώτερον, νομέας μέντοι ἄρχοντας· ἢ πάλιν, οὐδεπώποτε ᾐσθόμεθα συστάσας τὰς ἀγέλας· οὐκ ἂν πολιτικὸς εἴποι· ὅστις δὲ κατὰ τὸ πρέπον ἑαυτῷ τοῖς ἐπιχειρήμασι τὸ διαίτητον παρέσχετο.

γ'. Ὅπου δὲ κοινὰ τὰ ἐπινοήματα, οὔτε ἡ λέξις οὔτε τὸ σχῆμα τὸ αὐτό· ὅταν γὰρ εἴπῃ „ἔννοιά ποθεν ἡμῖν ἐγένετο“ καὶ „ὅσοι τυραννεῖν ἐπιχειρήσαντες οἱ μὲν

491, 4 Ξενοφῶν] In Initio Cyropaediae. 9 ἡγοῦ, μεταχείριζου] Fort. εἰ γοῦν μετεχειρίζου. Norrm. 14 διαφορᾶς] διαιρέσεως Norrm. 17 ἐστέρησεν] Lego ἐτήρησεν, quomodo, quod idem alioqui valet, διεφύλαξεν dixit p. 364. Norrm.

492, 1 οὐ] τοῦτο Norrm. οὐδεπώποτε] Conf. ᾐσθήμεθα Norrm. ᾐσθημένα Ald. 5 πόθεν] Corrige ποθ' εἰ

αὐτῶν καὶ ταχὺ πάμπαν κατελύθησαν" οὐχὶ δίκας ἔδεισαν· καὶ πάλιν „οἱ δὲ ἐὰν ὁποσονοῦν ἄρχοντες διαγένωνται·" οὐ γὰρ εἶπεν, οἱ κατὰ κράτος ἑλόντες τὰς πόλεις καὶ τὰς ἀρχὰς ἰσχυροτάτας ἑαυτοῖς καταστησάμενοι.

δ'. Ἔδειξα οὖν σοι ὅτι τῶν ἐννοημάτων τὰ μέν ἐστιν ἀπὸ κρίσεως λαμβανόμενα, τὰ δὲ παντοῖά ἐστιν ἐννοήματα· καὶ τὰ μὲν αὐτῶν ἐστιν ἐξ ἐνδόξων λαμβανόμενα, τὰ δὲ ἐκ μικρῶν καὶ ἀφανῶν· τοῦτο μὲν δὴ τοιοῦτό σοι, ὅτι παντοίοις ἐννοήμασι χρῶνται οἱ ἀφελεῖς, καὶ οὐκ ἐξαρκεῖ αὐτοῖς μόνον χρῆσθαι τοῖς ἐκ τῶν ὑποκειμένων λαμβανομένοις, ἀλλὰ καὶ τοιούτοις ἐνίοτε ἐννοήμασιν, ὧν ἄλλος μὲν ἄν τις καταφρονήσειεν, οὐδ' ἂν προσέλθοι, διὰ τὸ μήτε αὐτὰ ἐκ τῶν ὑποκειμένων λαμβάνεσθαι καὶ ἄδοξα τυγχάνειν· οἱ δὲ ἀφελεῖς οὐκ ἀπέχονται τούτων.

ε'. Τὸ μὲν δὴ κατὰ τὴν μεταχείρησιν τῶν ἐννοημάτων τοιοῦτόν ἐστιν· καὶ ἔτι τὸ μὴ ὡς εἰς πρότασιν λέ- (344) γεσθαι τὰ λεγόμενα κατασκευαστικὰ τοῦ προκειμένου· ἀλλὰ δήλου ὄντος πρὸς ἃ λέγεται, οὕτω προχωρεῖν τὸν λόγον· οἷον, μὴ προθεὶς ὅτι βούλεται ἀποδεῖξαι πολλοῦ ἄξιον Κῦρον ἐπάγει, ἔννοιά ποθ' ἡμῖν ἐγένετο· καὶ προλαβὼν πάντα τὰ προκατασκευαστικά, ἐξ ὧν χαλεπόν ἐστιν ἀνθρώπων ἄρχειν, χαλεπώτερον τῶνδε καὶ τῶνδε, οὕτως ἐπήγαγεν· ἀλλὰ μὴν Κῦρος πλείστων ἀνθρώπων ἦρξε· Κῦρος ἄρα πολλοῦ ἄξιος ἐγένετο· καὶ αὕτη ἐστὶν ἀφελοῦς λόγου μεταχείρησις, ὅταν μὴ φανερὸν ᾖ ὡς πρότασις τὸ λεγόμενον.

ϛ'. Δεῖ δὲ πολλάκις καὶ τὰ νοήματα μὴ πάντα ἰσχυρὰ εἶναι, ὥσπερ καὶ τὰ τῶν πολιτικῶν λόγων, ἀλλ' ἔνια καὶ ὑφειμένως τιθέναι, καὶ τὰ ἧττω δοκοῦντα εἶναι· ἔνια δὲ, εἰ οἷόν τε, ὡς καὶ γέλωτος ἄξια ἂν φανείη. ὡς καὶ εὐθὺς ἐν τῷ Συμποσίῳ ἐν ἀρχῇ τοῦ λόγου φησὶν „ἀλλ' ἔμοιγε δοκεῖ τῶν καλῶν ἢ τῶν ἀγαθῶν ἀνδρῶν οὐ μόνον τὰ μετὰ σπουδῆς πραττόμενα ἀξιομνημόνευτα εἶναι, ἀλλὰ καὶ τὰ ἐν παιδιαῖς" ἤθους ἐχόμενόν ἐστι ὡς τὸ

Xenophonte. 6 ἴδεισαν] ἔδοσαν aut ἔτισαν Norrm. 7 εἶπεν Norrm. εἶπες Ald. 16 ἀλλὰ δήλου] ἀλλ' ἀδήλου Norrm.

493, 3 εἰ οἷόν τε Norrm. comparata p. 360. Aberat el.
4 ὡς καὶ εὐθὺς] Repetita Γ. ϛ', 2. Norrm. 6 ἐστι ὡς] ἐστί πως

Digitized by Google

ἀδοξοτέροις ἐννοήμασι· βουληθεὶς γοῦν κατασκευάσαι ὁ Ξενοφῶν ὅτι πολλοῦ ἄξιός ἐστιν ὁ Κῦρος σκέψαι πῶς διῴκησεν τοῦτο. ἡ γὰρ πρότασις [665] πολιτική, καὶ αἱ ἀποδείξεις πολιτικώταται, ὅτι Κῦρος πολλοῦ ἄξιος ἐγένετο· τῶν δὲ ἐννοημάτων τὰ μὲν ἦν πολιτικὰ, τὰ δὲ ἀφελῆ· πολιτικὰ μὲν τὰ τοιαῦτα, Κῦρος πολλοῦ ἄξιος ἐγένετο· τὸ γὰρ χαλεπώτατον ῥᾷστα κατειργάσατο· τί δέ ἐστι χαλεπώτατον; ἀνθρώπων ἄρξαι. ἄχρι τούτου ἡ κατασκευὴ πολιτική. ἡγοῦ μεταχειρίζου πολιτικῶς, οὕτως ἂν εἴποις· Κῦρος πολλοῦ ἄξιος ἐγένετο· ὃ γὰρ χαλεπώτατον ἦν, τοῦτο κατειργάσατο, ἀνθρώπων ἄρξαι. διὰ τί; ὅτι οὐ ῥᾳδίως ἐθέλουσιν οἱ ἄνθρωποι ἄρχεσθαι, ἀλλὰ πολλαὶ μὲν δημοκρατεῖαι, πολλαὶ δὲ τυραννίδες κατελύθησαν ὑπὸ τῶν μὴ βουλομένων ἄρχεσθαι. ἄχρις ἐνταῦθα τὰ ἐννοήματα πολιτικά.

β'. Ὅταν δὲ ἔλθῃς εἰς τὴν κατασκευὴν τῆς διαφορᾶς καὶ εἴπῃς, ῥᾴδιον γάρ ἐστι βοῶν καὶ ὀΐων καὶ πάσης ἀγέλης ἄρξαι μᾶλλον ἢ ἀνθρώπου, τότε λέγω ὅτι εἰς ἐννοήματα ἀφελέστερα ἀπάγεις τὸν λόγον· ἤθους γὰρ καὶ τρόπου εἰσὶν, ἃ τοῦ λόγου τὸ ἀφελὲς ἐστέρησεν. ὁ μὲν οὖν πολιτικὸς πρότασιν προθεὶς τὰ κατασκευαστικὰ παρατίθησιν, ἐπιλεγόμενος ἀεὶ τῶν ἐννοημάτων τὰ πολιτικώ-
492 τερα· οἷον τὸ κατὰ τὰς ἀποβάσεις λέγειν, οὐ πολιτικώτερον, νομέας μέντοι ἄρχοντας· ἢ πάλιν, οὐδεπώποτε ᾐσθήμεθα συστάσας τὰς ἀγέλας· οὐκ ἂν πολιτικὸς εἴποι· οὕτω δὲ κατὰ τὸ πρέπον ἑαυτῷ τοῖς ἐπιχειρήμασι τὸ διαλλάττον παρέσχετο.

γ'. Ὅπου δὲ κοινὰ τὰ ἐπινοήματα, οὔτε ἡ λέξις οὔτε τὸ σχῆμα τὸ αὐτό· ὅταν γὰρ εἴπῃ „ἔννοιά ποθ' ἡμῖν ἐγένετο“ καὶ „ὅσοι τυραννεῖν ἐπιχειρήσαντες οἱ μὲν

---

491, 4 Ξενοφῶν] In Initio Cyropaediae. 9 ἡγοῦ, μεταχείριζου] Fort. εἰ γοῦν μετεχειρίζου. Norrm. 14 διαφορᾶς] διαφ... Norrm. 17 ἐστέρησεν] Lego ἐτήρησεν, quomodo, quod idem alioqui valet, διεφύλαξεν dixit p. 364. Norrm.

492, 1 οὐ] τοῦτο Norrm. οὐδεπώποτε] Conf. ις'. Norrm. ᾐσθήμεθα Norrm. ᾐσθημένα Ald. 5 πόθεν] Corrige ποθ' ει

αὐτῶν καὶ ταχὺ πάμπαν κατελύθησαν" οὐχὶ δίκας ἔδεισαν· καὶ πάλιν „οἱ δὲ νῦν ὁποσονοῦν ἄρχοντες διαγένωνται·" οὐ γὰρ εἶπεν, οἱ κατὰ κράτος ἑλόντες τὰς πόλεις καὶ τὰς ἀρχὰς ἰσχυροτάτας ἑαυτοῖς καταστησάμενοι.

δ΄. Ἔδειξα οὖν σοι ὅτι τῶν ἐννοημάτων τὰ μέν ἐστιν ἀπὸ κρίσεως λαμβανόμενα, τὰ δὲ παντοῖά ἐστιν ἐννοήματα· καὶ τὰ μὲν αὐτῶν ἐστιν ἐξ ἐνδόξων λαμβανόμενα, τὰ δὲ ἐκ μικρῶν καὶ ἀφανῶν· τοῦτο μὲν δὴ τοιοῦτό σοι, ὅτι παντοίοις ἐννοήμασι χρῶνται οἱ ἀφελεῖς, καὶ οὐκ ἐξαρκεῖ αὐτοῖς μόνον χρῆσθαι τοῖς ἐκ τῶν ὑποκειμένων λαμβανομένοις, ἀλλὰ καὶ τοιούτοις ἐνίοτε ἐννοήμασιν, ὧν ἄλλος μὲν ἄν τις καταφρονήσειεν, οὐδ' ἂν προσέλθοι, διὰ τὸ μήτε αὐτὰ ἐκ τῶν ὑποκειμένων λαμβάνεσθαι καὶ ἄδοξα τυγχάνειν· οἱ δὲ ἀφελεῖς οὐκ ἀπέχονται τούτων.

ε΄. Τὸ μὲν δὴ κατὰ τὴν μεταχείρησιν τῶν ἐννοημάτων τοιοῦτόν ἐστιν· καὶ ἔτι τὸ μὴ ὡς εἰς πρότασιν λέ- (344)
γεσθαι τὰ λεγόμενα κατασκευαστικὰ τοῦ προκειμένου· ἀλλὰ δήλου ὄντος πρὸς ἃ λέγεται, οὕτω προχωρεῖν τὸν λόγον· οἷον, μὴ προθεὶς ὅτι βούλεται ἀποδεῖξαι πολλοῦ ἄξιον Κῦρον ἐπάγει, ἔννοιά ποθ' ἡμῖν ἐγένετο· καὶ προλαβὼν πάντα τὰ προκατασκευαστικὰ, ἐξ ὧν χαλεπόν ἐστιν ἀνθρώπων ἄρχειν, χαλεπώτερον τῶνδε καὶ τῶνδε, οὕτως ἐπήγαγεν· ἀλλὰ μὴν Κῦρος πλείστων ἀνθρώπων ἦρξε· Κῦρος ἄρα πολλοῦ ἄξιος ἐγένετο· καὶ αὕτη ἐστὶν ἀφελοῦς λόγου μεταχείρησις, ὅταν μὴ φανερὸν ᾖ ὡς πρότασις τὸ λεγόμενον.

ς΄. Δεῖ δὲ πολλάκις καὶ τὰ νοήματα μὴ πάντα ἰσχυρὰ εἶναι, ὥσπερ καὶ τὰ τῶν πολιτικῶν λόγων, ἀλλ' ἔνια καὶ ὑφειμένως τιθέναι, καὶ τὰ ἧττω δοκοῦντα εἶναι· ἔνια δὲ, εἰ οἷόν τε, ὡς καὶ γέλωτος ἄξια ἂν φανείη. ὡς καὶ εὐθὺς ἐν τῷ Συμποσίῳ ἐν ἀρχῇ τοῦ λόγου φησὶν „ἀλλ' ἔμοιγε δοκεῖ τῶν καλῶν ἢ τῶν ἀγαθῶν ἀνδρῶν οὐ μόνον τὰ μετὰ σπουδῆς πραττόμενα ἀξιομνημόνευτα εἶναι, ἀλλὰ καὶ τὰ ἐν παιδιαῖς" ἤθους ἐχόμενόν ἐστι ὡς τὸ

---

Xenophonte. 6 ἔδεισαν] ἔδοσαν aut ἔτισαν Norrm. 7 εἶπεν Norrm. εἶπες Ald. 16 ἀλλὰ δήλου] ἀλλ' ἀδήλου Norrm.

493, 3 εἰ οἷόν τε Norrm. comparata p. 360. Aberat εἰ. 4 ὡς καὶ εὐθὺς] Repetita Γ. ς΄, 2. Norrm. 6 ἐστι ὡς] ἐστί πως

ἀδοξοτέροις ἐννοήμασι· βουληθεὶς γοῦν κατασκευάσαι ὁ Ξενοφῶν ὅτι πολλοῦ ἄξιός ἐστιν ὁ Κῦρος σκέψαι πῶς ᾠκονόμησεν τοῦτο. ἡ γὰρ πρότασις [665] πολιτική, καὶ αἱ ἀποδείξεις πολιτικώταται, ὅτι Κῦρος πολλοῦ ἄξιος ἐγένετο· τῶν δὲ ἐννοημάτων τὰ μὲν ἦν πολιτικά, τὰ δὲ ἀφελῆ· πολιτικὰ μὲν τὰ τοιαῦτα, Κῦρος πολλοῦ ἄξιος ἐγένετο· τὸ γὰρ χαλεπώτατον ῥᾷστα κατειργάσατο· τί δέ ἐστι χαλεπώτατον; ἀνθρώπων ἄρξαι. ἄχρι τούτου ἡ κατασκευὴ πολιτική. ἡγοῦ μεταχειρίζου πολιτικῶς, οὕτως ἂν εἴποις· Κῦρος πολλοῦ ἄξιος ἐγένετο· ὃ γὰρ χαλεπώτατον ἦν, τοῦτο κατειργάσατο, ἀνθρώπων ἄρξαι. διὰ τί; ὅτι οὐ ῥᾳδίως ἐθέλουσιν οἱ ἄνθρωποι ἄρχεσθαι, ἀλλὰ πολλαὶ μὲν δυναστεῖαι, πολλαὶ δὲ τυραννίδες κατελύθησαν ὑπὸ τῶν μὴ βουλομένων ἄρχεσθαι. ἄχρις ἐνταῦθα τὰ ἐννοήματα πολιτικά.

β'. Ὅταν δὲ ἔλθῃς εἰς τὴν κατασκευὴν τῆς διαφορᾶς καὶ εἴπῃς, ῥᾴδιόν γάρ ἐστι βοῶν καὶ οἴων καὶ πάσης ἀγέλης ἄρξαι μᾶλλον ἢ ἀνθρώπου, τότε λέγω ὅτι εἰς ἐννοήματα ἀφελέστερα ἀπάγεις τὸν λόγον· ἤθους γὰρ καὶ τρόπου εἰσίν, ἃ τοῦ λόγου τὸ ἀφελὲς ἐστέρησεν. ὁ μὲν οὖν πολιτικὸς πρότασιν προθεὶς τὰ κατασκευαστικὰ παρατίθησιν, ἐπιλεγόμενος ἀεὶ τῶν ἐννοημάτων τὰ πολιτικώ-
492 τερα· οἷον τὸ κατὰ τὰς ἀποβάσεις λέγειν, οὐ πολιτικώτερον, νομέας μέντοι ἄρχοντας· ἢ πάλιν, οὐδεπώποτε ᾐσθόμεθα συστάσας τὰς ἀγέλας· οὐκ ἂν πολιτικὸς εἴποι· οὗτος δὲ κατὰ τὸ πρέπον ἑαυτῷ τοῖς ἐπιχειρήμασι τὸ διαλλάττον παρέσχετο.

γ'. Ὅπου δὲ κοινὰ τὰ ἐπινοήματα, οὔτε ἡ λέξις οὔτε τὸ σχῆμα τὸ αὐτό· ὅταν γὰρ εἴπῃ „ἔννοια πόθεν ἡμῖν ἐγένετο“ καὶ „ὅσοι τυραννεῖν ἐπιχειρήσαντες οἱ μὲν

---

491, 4 Ξενοφῶν] In Initio Cyropaediae. 9 ἡγοῦ, μεταχείριζου] Fort. εἰ γοῦν μετεχείριζου. Norrm. 14 διαφορᾶς] διανοίας Norrm. 17 ἐστέρησεν] Lego ἐτήρησεν, quomodo, quod idem alioqui valet, διεφύλαξεν dixit p. 364. Norrm.

492, 1 οὐ] τοῦτο Norrm. οὐδεπώποτε] Conf. ις'. Norrm. ᾐσθήμεθα Norrm. ᾐσθημένα Ald. 5 πόθεν] Corrige ποθ' εἰ

Digitized by Google

κὐτῶν καὶ ταχὺ πάμπαν κατελύθησαν“ οὐχὶ δίκας ἔδεισαν· καὶ πάλιν „οἱ δὲ ἐὰν ὁποσονοῦν ἄρχοντες διαγένωνται·“ οὐ γὰρ εἶπεν, οἱ κατὰ κράτος ἑλόντες τὰς πόλεις καὶ τὰς ἀρχὰς ἰσχυροτάτας ἑαυτοῖς καταστησάμενοι.

δ'. Ἔδειξα οὖν σοι ὅτι τῶν ἐννοημάτων τὰ μέν ἐστιν ἀπὸ κρίσεως λαμβανόμενα, τὰ δὲ παντοῖά ἐστιν ἐννοήματα· καὶ τὰ μὲν αὐτῶν ἐστιν ἐξ ἐνδόξων λαμβανόμενα, τὰ δὲ ἐκ μικρῶν καὶ ἀφανῶν· τοῦτο μὲν δὴ τοιοῦτό σοι, ὅτι παντοίοις ἐννοήμασι χρῶνται οἱ ἀφελεῖς, καὶ οὐκ ἐξαρκεῖ αὐτοῖς μόνον χρῆσθαι τοῖς ἐκ τῶν ὑποκειμένων λαμβανομένοις, ἀλλὰ καὶ τοιούτοις ἐνίοτε ἐννοήμασιν, ὧν ἄλλος μὲν ἄν τις καταφρονήσειεν, οὐδ' ἂν προσέλθοι, διὰ τὸ μήτε αὐτὰ ἐκ τῶν ὑποκειμένων λαμβάνεσθαι καὶ ἄδοξα τυγχάνειν· οἱ δὲ ἀφελεῖς οὐκ ἀπέχονται τούτων.

ε'. Τὸ μὲν δὴ κατὰ τὴν μεταχείρησιν τῶν ἐννοημάτων τοιοῦτόν ἐστιν· καὶ ἔτι τὸ μὴ ὡς εἰς πρότασιν λέ- (344)
γεσθαι τὰ λεγόμενα κατασκευαστικὰ τοῦ προκειμένου· ἀλλὰ δήλου ὄντος πρὸς ἃ λέγεται, οὕτω προχωρεῖν τὸν λόγον· οἷον, μὴ προθεὶς ὅτι βούλεται ἀποδεῖξαι πολλοῦ ἄξιον Κῦρον ἐπάγει, ἔννοιά ποθ' ἡμῖν ἐγένετο· καὶ προλαβὼν πάντα τὰ προκατασκευαστικὰ, ἐξ ὧν χαλεπόν ἐστιν ἀνθρώπων ἄρχειν, χαλεπώτερον τῶνδε καὶ τῶνδε, οὕτως ἐπήγαγεν· ἀλλὰ μὴν Κῦρος πλείστων ἀνθρώπων ἦρξε· Κῦρος ἄρα πολλοῦ ἄξιος ἐγένετο· καὶ αὕτη ἐστὶν ἀφελοῦς λόγου μεταχείρησις, ὅταν μὴ φανερὸν ᾖ ὡς πρότασις τὸ λεγόμενον.

ϛ'. Δεῖ δὲ πολλάκις καὶ τὰ νοήματα μὴ πάντα ἰσχυρὰ εἶναι, ὥσπερ καὶ τὰ τῶν πολιτικῶν λόγων, ἀλλ' ἔνια καὶ ὑφειμένως τιθέναι, καὶ τὰ ἧττω δοκοῦντα εἶναι· ἔνια δὲ, εἰ οἷόν τε, ὡς καὶ γέλωτος ἄξια ἂν φανείη. ὡς καὶ εὐθὺς ἐν τῷ Συμποσίῳ ἐν ἀρχῇ τοῦ λόγου φησὶν „ἀλλ' ἔμοιγε δοκεῖ τῶν καλῶν ἢ τῶν ἀγαθῶν ἀνδρῶν οὐ μόνον τὰ μετὰ σπουδῆς πραττόμενα ἀξιομνημόνευτα εἶναι, ἀλλὰ καὶ τὰ ἐν παιδιαῖς“ ἤθους ἐχόμενόν ἐστι ὡς τὸ

---

Xenophonte. 6 ἔδεισαν] ἔδοσαν aut ἔτισαν Norrm. 7 εἶπεν Norrm. εἶπες Ald. 16 ἀλλὰ δήλου] ἀλλ' ἀδήλου Norrm.

493, 3 εἰ οἷόν τε Norrm. comparata p. 360. Aberat εἰ. 4 ὡς καὶ εὐθὺς] Repetita Γ. ϛ', 2. Norrm. 6 ἐστι ὡς] ἐστί πως

νόημα, ὅτι δεῖ καὶ τὰ μετὰ παιδιᾶς πραττόμενα τῶν καλῶν τε κἀγαθῶν ἀνδρῶν ἀποδέχεσθαι. καὶ τοῦτό ἐστι τὸ θεώρημα τοῦ ἀφελοῦς λόγου· ὅτι μὴ ἐκ παντὸς τρόπου διώκειν τὰ ἔνδοξα καὶ μεγάλα, ἀλλὰ καὶ τὰ δοκοῦντα φαῦλα εἶναι καὶ εὐκαταφρόνητα.

ζ'. Κατὰ μὲν οὖν τὴν ἐπαγγελίαν ἀμφότερα τὰ ἐννοήματα οὐκ ἔστι ταχέως εἰρημένα· οὔτε τὸ „ἔννοιά ποθ' ἡμῖν ἐγένετο“ οὔτε τὸ „ἀλλ' ἔμοιγε δοκεῖ·“ ἐπειδὴ γὰρ ἐδόκει τὸ ἐν τῷ Συμποσίῳ εἰρημένον ἄδοξον εἶναι τὰ ἐν ταῖς [666] παιδιαῖς διηγεῖσθαι, καὶ οὐδεὶς ἂν πολιτικὸς τοῦτο ἐποίησεν, ἀδόξου ὄντος αὐτοῦ, μετὰ παραιτήσεως προήγαγεν „ἀλλ' ἔμοιγε δοκεῖ.“ εἰ δὲ ἀπὸ ὀνόματος ἤρξατο αὐτῷ ὁ λόγος ἀποφαντικοῦ, οἷον „δοκεῖ δ' ἔμοιγε,“ σκληρότερος ἂν ἐγένετο ὁ λόγος καὶ μᾶλλον Κριτίου ἔδοξεν ἂν εἶναι ἢ τινος τῶν τοιούτων.

---

Norrm. 8 διώκειν] Adde δεῖ, ut Γ' β'. Norrm. 12 εἶναι τὰ] εἶναι καὶ τὰ Norrm. 15 Κριτίου] Stilum Critiae, qui inter triginta tyrannos impotentia animi, impietate, saevitia, foedisque flagitiis principatum tenebat, tum hoc loco tum p. 386. ιε'. non admodum probat noster. inprimis διὰ τὸ ἀποφαντικὸν καὶ τὴν σκληρότητα tribuit illi et Hermogenes ὄγκον καὶ τὸ πολλὰ λέγειν ἀποφαντικῶς, sed probanti laudantique propior, quemadmodum non uno loco et Dionysius iudicat. Tullius in Bruto Alcibiadem, Critiam Theramenem grandes verbis, crebros sententiis, compressione rerum breves et eam ob caussam interdum subobscuros fuisse ait; Philostratus vita Critiae tam eruditionem illius καὶ σεμνολογίαν commendat quam vitam moresque damnat, adiecta gravi ac praeclara sententia: εἰ γὰρ μὴ ὁμολογήσει ὁ λόγος τῷ ἤθει, ἀλλοτρίᾳ γλώττῃ δόξομεν φθέγγεσθαι, ὥσπερ οἱ αὐλοί. Sed ut anceps hodie ac intutum fuerit alterutram in partem quidquam pronunciare velle, postquam scripta illius omnia dudum interierunt, ita ex versibus quos Athenaeus adducit facile levitatem ingenii futilitatemque deprehendas, uti rursus ἀθεότητα hominis haud obscure produnt senarii, caetera numerosi, rotundi, enodes, qui in octavo adversus Mathematicos p. 318. 319. apud Sextum Empiricum leguntur, quos ex confusis nullamque versuum speciem habentibus in quadrum numerumque suum redactos locisque aliquot castigatiores factos eum bona eruditi lectoris venia heic adponam:

Ἦν χρόνος ὅτ' ἦν ἄτακτος ἀνθρώπων βίος
καὶ θηριώδης ἰσχύος θ' ὑπηρέτης·

Digitized by Google

η'. Κατὰ δὲ σχῆμά τι ἀνειμένῳ· οὐ γὰρ διατεινό-

ὅτε οὐδὲν ἆθλον οὔτε τοῖς ἐσθλοῖσιν ἦν
οὔτ' αὖ κόλασμα τοῖς κακοῖς ἐγίνετο.
κἄπειτά μοι δοκοῦσιν ἄνθρωποι νόμους
θέσθαι κολαστάς, ἵνα Δίκη τύραννος ᾖ
τήν θ' ὕβριν ἔχῃ δούλην. — —
ἐζημιοῦτο δ' εἴ τις ἐξαμαρτάνοι.
ἔπειτ' ἐπειδὴ τἀμφανῆ μὲν οἱ νόμοι
ἀπεῖργον αὐτοὺς ἔργα μὴ πράσσειν βίᾳ·
λάθρα δ' ἔπρασσον· τηνικαῦτά μοι δοκεῖ
πυκνός τις (ὄντως) καὶ σοφὸς γνώμην ἀνὴρ
γνῶναι δέον θνητοῖσιν ἐξευρεῖν ὅπως
εἴη τι δεῖμα τοῖς κακοῖσι· κἂν λάθρα
πράσσωσιν ἢ λέγωσιν ἢ φρονῶσί τι.
ἐντεῦθεν οὖν τὸ θεῖον εἰσηγήσατο,
ὡς ἔστι δαίμων ἀφθίτῳ θάλλων βίῳ,
νόῳ τ' ἀκούων καὶ βλέπων, φρονῶν τε καὶ
προσέχων τε ταῦτα*), καὶ φύσιν θείαν φορῶν·
ἐφ' ᾧ τὸ λεχθὲν ἐν βροτοῖς ἀκούσεται,
τὸ δρώμενον δὲ πᾶν ἰδεῖν δυνήσεται·
ἐὰν δὲ σὺν σιγῇ τι βουλεύῃς κακόν,
τοῦτ' οὐχὶ λήσει τοὺς θεούς· τὸ γὰρ φρονοῦν
(θεοῖς) ἔνεστι. τούσδε τοὺς λόγους λέγων
διδαγμάτων ἥδιστον εἰσηγήσατο,
ψευδεῖ καλύψας τὴν ἀλήθειαν λόγῳ.
αἰεὶ δ' ἔφασκε τοὺς θεούς, ἐνταῦθ' (ἵνα
μάλιστά γ' ἐκπλήξειεν ἀνθρώπους·) ἄγων·
ὅθεν περ ἔγνω τοὺς φόβους ὄντας βροτοῖς·
καὶ τὰς πονήσεις (malo ὀνήσεις) τῷ ταλαιπώρῳ βίῳ
ἐκ τῆς ὕπερθεν περιφορᾶς· ἵν' ἀστραπὰς
κατεῖδεν οὔσας· δεινά τε κτυπήματα
βροντῆς· τό τ' ἀστερωπὸν οὐρανοῦ δέμας·
χρόνου καλὸν ποίκιλμα, τέκτονος σοφοῦ
ὅθεν τε λαμπρὸς ἀστέρος στείχει μύδρος,
ὅ θ' ὑγρὸς εἰς γῆν ὄμβρος ἐκπορεύεται.
τοίους δὲ περιέστησεν ἀνθρώποις φόβους,
δι' οὓς καλῶς τε τῷ λόγῳ κατῴκισε
τοὺς δαίμονας καὶ ἐν πρέποντι χωρίῳ·
τὴν ἀνομίαν τε τοῖς νόμοις κατέσβεσε.
οὕτω δὲ πρῶτον οἴομαι πεῖσαι τινὰ
θνητούς, νομίζειν δαιμόνων εἶναι γένος.

Norrm. 16 σχῆμά τι ἀνειμένῳ] σχῆμα ἐστὶν ἀνειμένον Norrm.

*) Fort. τούτοις. an τὰ πάντα ut sup. 226. (2) Norrm.

μενος ἂν ἐποίησεν, ὡς ἄν τις τῶν πολιτικῶν εἶπεν; οὐχὶ τὰ αὐτὰ παρίσταταί μοι γινώσκειν τοῖς πολλοῖς περὶ ἀνδρῶν τῶν σπουδαίων· οἱ μὲν γὰρ πολλοὶ οὐκ ἄλλα τινὰ οἴονται γὰρ αὐτῶν ἀξιομνημόνευτα εἶναι ἐν τῇ σπουδῇ τὰ πραττόμενα, ἐμοὶ δὲ οὐ τὸν αὐτὸν τρόπον· ἀλλ' οὐδὲν ἧττον δοκεῖ τὰ ἐν ταῖς παιδιαῖς μνήμης τυγχάνειν ἄξια
494 ἧς ἃ ἂν σπουδάζοντες πράττοιεν. οὐχ οὕτως οὖν προήγαγεν, ἀλλ' ἀνειμένῳ τῷ σχήματι καὶ ἐξηλλαγμένως „ἀλλ' ἔμοιγε δοκεῖ·" εἶτα κατὰ τὸ ἰδίωμα τοῦ λόγου ἤθους ἐχόμενα καὶ τὰ ὀνόματα „τῶν καλῶν καὶ ἀγαθῶν ἀνδρῶν·" καὶ πάλιν φησὶν „ὡς δὲ ἱπποδρομία ἔληξεν." ἀνειμένον δὲ καὶ ἀναπεπτωκὸς εἶναι δοκεῖ τὸ σχῆμα, πολιτικὸς δ' ἂν οὐχ οὕτως ἐποίησεν, ἀλλὰ συντονώτερον, ὅπῃ δὴ ἱπποδρομία ἔληξεν, ἢ τοιούτῳ τινὶ τρόπῳ.

θ'. 1. Ποικίλως δὲ τοῖς σχήμασι χρῶνται οἱ ἀρχαῖοί τε καὶ ἀφελεῖς καὶ οἱ πολιτικοὶ ἄνδρες· ἃ γὰρ ἐν πολιτικῷ λόγῳ δριμὺν τὸν λόγον ποιεῖ, ἐνθάδε ἀφελῆ ἐργάζεται· καὶ τὸν ῥυθμὸν δὲ τῆς ἀπαγγελίας τοιοῦτον εἶναι δεῖ οἷον προϊέναι καὶ ἐμβαίνειν μᾶλλον ἢ ἑαυτῷ ἐπικείμενον ἐπείγεσθαι· οὐχ ὥσπερ ἐν τοῖς πολιτικοῖς τάς τε ποιότητας παρατιθέασιν, ὅταν λέγωσιν ἢ δεινότατα ἁπάντων, ἢ ἐφ' ᾧ πάντες ἀγανακτήσετε, ἢ σχέτλιον γὰρ τοῦτό γε· πρὶν γὰρ τὸ πρᾶγμα εἰπεῖν τὴν ποιότητα οἱ πολιτικοὶ παραδεικνύουσι, ποτὲ μὲν πρὸ τῶν πραγμάτων, ποτὲ δὲ μετὰ τὰ πράγματα ἐπάγοντες. 2. Εὐρυθμίας δὲ καὶ τοῦτο „καίτοι τότε ἐν τῇ κρατίστῃ πόλει ὑπὸ τῶν ἀρίστων κριθέντα τοῦ καλλίστου γέρως ἀξιωθῆναι ποίων ἔτι τεκμηρίων προσδεῖται τῆς τε πρὶν ἄρξαι αὐτὸν ἀρετῆς;" τοῦτο δ' εὐρυθμία ἐν τῷ λόγῳ εἰργάσθαι καί μοι δοκεῖ· τὸ δὲ τὴν εὐρυθμίαν ἀπειργασμένον ἐστὶ τὸ ἐμπεριβάλ-

---

17 οὐχὶ] Conf. Dem. Olynth. III. initio. Norrm. 18 οἴονται γὰρ] γὰρ vel male repetitur, vel leg. παρ' aut περί. Norrm. 19 ἐν τῇ] ἢ ἐν τῇ Norrm. 20 ἧς] ἢ Norrm.

494, 1 ἀλλ' ἀνειμένῳ Norrm. Aberat ἀλλ'. 4 ὅπῃ δὴ] Fort. ἐπεὶ δ', ut παιδείας α' p. 60 a. Norrm. 6 ἀφελεῖς Norrm. Vulgo ἀσφαλεῖς. 10 δεινότατα Norrm. δεινότητα Ald. ἀγανακτήσετε] ἀγανακτήσαιτε Norrm. 12 καίτοι] Xenophon Agesilao

λοντα τὰ νοήματα καὶ ἀπαρτίσαντα στῆναι τὸ νόημα, ὥσπερ καὶ τὸ μετὰ ταῦτα ῥηθὲν μηκέτι ἡνῶσθαι, ἀλλ' ἑτέρου ἀρχὴν λόγου δοκεῖν εἶναι· τί γάρ φησιν; ὅσα δὲ ἐπεὶ ἐπ' ἀνδράσιν ἐγένετο.“ οὐ πολλαχοῦ δὲ ὁ Ξενοφῶν χρῆται τούτῳ τῷ σχήματι· ἔστι γὰρ σκληρότερον καὶ δικανικώτερον ἀποδεδειγμένοις πράγμασιν ἢ ὡς βιαζόμενοι ἢ ὥς τι σφόδρα δοκοῦντες λέγειν τὰ τοιαῦτα ἐπανάγειν εἰώθαμεν. 3. Πλὴν τό γε κατὰ τὴν ἄλλην αὐτοῦ εὐρυθμίαν θαυμαστὸν καὶ τοῦτο γέγονε τὸ συνεχεῖς τὰς διαστάσεις ἑνὶ πνεύματι λόγου γεγονέναι· „καίτοι τότε· ἐν τῇ κρατίστῃ πόλει· ὑπὸ τῶν ἀρίστων κριθέντα· τοῦ καλλίστου γέρως ἀξιωθῆναι·“ καὶ τὸ πολλὰ νοήματα καθ' ἓν ἕκαστον πρὸς μίαν λέξιν εἰπεῖν δυνάμεως καὶ ῥυθμοῦ.

ι'. Καὶ τοῖς ὀνόμασι δὲ χαίρουσιν οἱ ἀφελεῖς ἀπὸ (352) ἑτέρου ἐπὶ ἕτερον αὐτὰ μεταφέροντες, ὡς καὶ ἐν τῷ Ἀγησιλάῳ ὁ Ξενοφῶν „πολλοὺς“ φησὶν „ἐραστὰς τῆς ἑαυτοῦ φιλίας ἐποιήσατο·“ ὁ γὰρ ἐραστὴς ἄλλου τινὸς δοκεῖ ὄνομα εἶναι. καὶ πάλιν ἐνταῦθα ἐλάττονι ὀνόματι τοῦ πράγματος ἐχρήσατο. τὸ γὰρ τῶν ἀκολούθων ἐπὶ δούλων μᾶλλον εἴωθε λέγεσθαι· ὁ δὲ τοὺς ἑπομένους καὶ τοὺς τελευταίους τοῦ στρατοπέδου οὐκ ὤκνησεν ἀκολούθους ὀνομάσαι. καὶ ἐν τοῖς Ἀμομνημονεύμασι „θαυμάζω οὖν“ φησὶ „πῶς ποτε Σωκράτην ἐπείσθησαν Ἀθηναῖοι περὶ τοὺς θεοὺς μὴ σωφρονεῖν·“ μετήνεγκεν ἐνταῦθα ὡς ἴδιον τοῦ εἴδους τοῦ λόγου.

ια'. Δεῖ μέντοι κἀκεῖνο ὁρᾶν, ὅπως ὑφειμένα διὰ τὸ ἀφελὲς τιθεὶς ὀνόματα οὐδὲν ἧττον ἐν τῷ οἰκείῳ τρόπῳ ἐμφαίνει καὶ τὸ μέγεθος τοῦ πράγματος, εἰ καὶ ἐν ἀρχῇ φησι τοῦ λόγου „πολλάκις ἐθαύμασα τίσι ποτὲ λόγοις Ἀθηναίους ἔπεισαν οἱ γραψάμενοι Σωκράτην ὡς ἄξιος εἴη θανάτου τῇ πόλει· ἡ μὲν γὰρ γραφὴ κατ' αὐτοῦ τοιάδε

---

initio. 16 ἀπαρτίσαντα Norrm. Vulgo ἀπαρτήσαντα. στῆναι] στῆσαι Norrm. 19 ἢ γὰρ ὡς βιαζόμενοι Norrm.

495, 1 ἐπανάγειν] ἐπάγειν Norrm. 3 τὸ πολλὰ Norrm. τὰ πολλὰ Ald. 5 Inf. Γ'. ε. 2. Norrm. 6 Ἀγησιλάῳ] P. 654 b. 10 Ἀπομνημονεύμασι] lib. I. p. 711 c. 13 Δεῖ] Infra Γ'. ε. 3. Norrm. 14 εἰ] ὡς Norrm.

τις ἦν· ἀδικεῖ Σωκράτης, οὓς μὲν ἡ πόλις νομίζει θεοὺς [667] οὐ νομίζων, ἕτερα δὲ, καὶ τοὺς νέους διαφθείρων.“ τὸ γὰρ ἐθαύμασα καὶ πολλάκις οὐ μικρῶν ἔμφασίς ἐστιν· ἐδήλωσε δὲ καὶ τὰ ἐπενεχθέντα. πολιτικὸς μὲν οὖν ἀμφο-
496 τέρας ἂν εἰρήκει τὰς δυνάμεις οὐχ ἅπαξ, ἀλλὰ πολλάκις· ὁ δὲ τὴν ἁπλῆν δύναμιν εἰπὼν ἠρκέσθη.

ιβ'. Οὐκοῦν τὰ μὲν ἐπινοήματα ἔστιν ὅτε ταὐτά, ἡ δὲ μεταχείρησις τὴν διαφορὰν ποιεῖ τοῦ λόγου. ὁρᾷς δὲ καὶ ἐνταῦθα τὴν ἀφέλειαν τῶν ὀνομάτων. ὄντος γὰρ τοῦ ὑποκειμένου ὀργῆς ἀξίου καὶ ἐπιτιμήσεως· ἡ γὰρ ποιότης αὐτοῦ τοιαύτη· τῷ Σωκράτη τοσούτου ἄξιον ἄνδρα κατακεκρίσθαι· ὅμως οὕτως ἀφελὴς ἀνήρ· πολλάκις, φησὶν, ἐθαύμασα. καὶ οὐκ εἶπεν ἐφ' ᾧ τις ἂν ὀργισθείη, ἐφ' ᾧ ἄξιον ἐπιτιμῆσαι. ἐν γὰρ τῷ ἀφελεῖ λόγῳ οὔτε βία ἐστὶν οὔτε θυμὸς οὔτε σφοδρότης, οὐδὲ ἡ διάθεσις ἡ τῶν πραγμάτων τοιαύτη τίς ἐστιν. οὐδ' ὡς ἐπισημήνασθαι τὴν φύσιν τοῦ ἐπαγομένου, καὶ τούτῳ μάλιστα χαρακτηρίζεται τὸ εἶδος τοῦ ἀφελοῦς λόγου.

ιγ'. Καλὸν δὲ καὶ περὶ ὧν τις οἶδεν ὡς ζητοῦντά τι λέγειν· τίσι ποτὲ λόγοις· οὐ γὰρ εἶπεν, οὐ κατηγορίαις οὐδὲ συκοφαντίαις, ὃ πολιτικῷ ἥρμοζεν, ἀλλὰ τίσι ποτὲ λόγοις Ἀθηναίους ἔπεισαν. καὶ τὸ ἐν γένει εἰπεῖν μὴ κατ' εἶδος Ἄνυτος καὶ Μέλητος· ἀλλ' οἱ γραψάμενοι Σωκράτην, καὶ ἐπαλλαγαὶ πρέπουσι τῷ ἀφελεῖ λόγῳ· ἀδικεῖ μὲν, ἀδικεῖ δέ.

ιδ'. Εἶτα καὶ τῶν ἑξῆς αἱ μὲν ἀποδείξεις πολιτικώταται· μάχην γὰρ δοκεῖ δεικνυσι πρὸς τὰ προσόντα „τὸ θαυμάσιον ἤδέ μοι κἀκεῖνο φαίνεται, τὸ πεισθῆναί τινας ὡς Σωκράτης τοὺς νέους διέφθειρεν·“ ὁ δὲ πρῶτον μὲν οὐ πρότασιν θεὶς οὕτως ἐπάγει τὰ κατασκευαστικά, ἀλλ' ἁπλῶς ἐπεξέρχεται τὰ πράγματα· πρῶτον· δεῖ δὲ τὴν μεταχείρησιν τῶν κατασκευαστικῶν ὅρων· πολιτικὸς μὲν γὰρ τὰ ἐν γένει ἂν ἐκβαλὼν· ἔλεγεν, ὅπως μὲν ἦν σώφρων,

---

496. 3 ἐπιτιμήσεως Norrm. Vulgo ἐπιθυμήσεως. 10 Μέλητος] Temere Norrm. editio Μέλιτος. ἀλλ' οἱ Norrm. ἄλλοι Ald. 12 δοκεῖ] ὡς δοκεῖ Norrm. 13 προσόντα] προϊόντα Norrm. 15 δεῖ] Fort. εἶτα vel ἐν εἴδει. Norrm. 16 γένει] Ald.

ὅπως δὲ ἐγκρατής, ὅπως δὲ πᾶσι πόνοις ἀντεῖχεν. ὁ δὲ τὰ κατ' εἶδος, γαστρός, φησίν, ἐγκρατής, καὶ ἀφροδισίων, καὶ πρὸς χειμῶνα καὶ θέρος πῶς εἶχεν· εἶτα ἐμμίξας τὰ μεγάλα τοῖς μικροῖς· πῶς ἂν οὖν ἢ ἀσεβεῖς, ἢ παρανόμους, ἢ λίχνους ἐποίει;

7 ιε'. Πολλάκις δὲ οἱ ἀφελεῖς καὶ ἐπηγμένοις ἔξωθεν παρὰ τὰ ὑποκείμενα χρῶνται ἐπινοήμασιν· οἷον „οὐδεπώποτε ᾔσθήμεθα τὰς ἀγέλας συστάσας ἐπὶ τὸν νομέα" καὶ ὅσα τοιαῦτα, οὐ πρέπει ἀνδρὶ πολιτικῷ· καὶ γὰρ εἰ καὶ οἱ (358) πολιτικοὶ χρῶνταί τισιν ἔξωθεν ἐπινοήμασιν, οἷον, εἴ τις ἐκ παραδειγμάτων λέγοι, ἢ ἐξ ἱστοριῶν, ἢ ἐξ ἄλλου τινὸς τοιούτου τρόπου· ἀλλ' οὖν γε τοῖς προσηρτημένοις πρὸς τὸ πρᾶγμα χρηστέον· ὅθεν εἰώθασι θεραπεύειν τὰ τοιαῦτα ἢ αἰτιολογίαις· ἢ ἐπαγγελίαις, οἷον ἐν ἐκ πολλῶν „ἵνα τοίνυν γνῶτε ὡς οὐδέ ἐστι τοῦ τῆς πόλεως ἤθους κύριον ποιῆσαι τοιοῦτον νόμον·" εἶθ' ἑξῆς· λέγονται χρήματα· ἐν δὲ τῷ ἀφελεῖ ἐπηγμένα νοήματα ἐκ πάντων ἐστὶ σχεδὸν τῶν ἐν τῷ βίῳ. τὰ δὲ προστιθέμενα ἔξωθεν μέγεθος ἐργάζεται ἐν τῷ λόγῳ, ὅταν ἔνδοξον ᾖ ὄνομα, ἢ τόπος.

ις'. Τηρητέον οὖν ἐν παντὶ ὡς οἵ τε ῥυθμοὶ τά τε σχήματα τά τε ὀνόματα πρέποντα τῷ ἀφελεῖ λόγῳ εἴη, τά τε ὁμοιόρρυθμα τῶν νοημάτων· οἷον λεγόμενα, πραττόμενα, βουλευόμενα: καὶ τὰ σχήματα, πάντα μὲν εἰδέναι τὰ τούτοις πρέποντα, πάντα δὲ τὸ ἀφελὲς τὸ ἐν αὐτοῖς τηρεῖν.

ιζ'. Λέγομεν δὲ ὅτι πολλαχοῦ κοινὰ θεωρήματά ἐστι καὶ τῶν ἀφελῶν καὶ τῶν πολιτικῶν· αὐτίκα τὸ ἐπισημήνασθαι περὶ πραγμάτων ὧν ἂν μέλλῃς λέγειν καὶ τὸ ἐπι- (360) σκέψασθαι αὐτῶν τὴν φύσιν καὶ τὸ ἀντιπῖπτον πρὸς τὸ ὑπὸ

---

pro γένει legendum εἴδει, aut pro ἐκβαλὼν ἐπιβαλὼν, aut ἐμβαλών. Norrm. 17 ἀντεῖχεν Norrm. ἀντεῖχον Ald. 18 ἐμμίξας Norrm. ἔμιξας Ald.

497, 2 οἷον] Xenophon in initio Cyri institut. 6 ἵνα τοίνυν] Demosth. in Lept. p. 542 d. 12 νοήματα] νοήματα ἀντὶ τοῦ ὀνόματα posuisse noster videtur, pariter et 386. et 422. Norrm. 13 πάντα δὲ] πάντη δὲ Norrm. 15 Λέγομεν Norrm. λέγωμεν Ald. 16 ὧν Norrm. Vulgo ὡς. μέλλῃς Norrm. μέλῃς

Digitized by Google

σοῦ λεγόμενον, ὅτι περὶ μικρῶν καὶ φαύλων διαλέγῃ· ἀφελοῦς καὶ τὸ τοιοῦτον, Φίλιππος ὁ γελωτοποιὸς παρῆλθε, καὶ ἔκλαιεν, καὶ ὅτι οἱ ἐν τῷ συμποσίῳ κατακείμενοι ἐγέλων· καὶ ὁ Συρακόσιος θαύματα παρείχετο. ταῦτα γὰρ πάντα κοινά ἐστι καὶ τῶν πολιτικῶν καὶ τῶν ἀφελῶν· ἡ δὲ μεταχείρησις τῶν εἰσαγομένων ἰδία τοῦ ἀνδρός. ἐπεὶ
498 καὶ ἡ ἐνταῦθα ἐπαγγελία κοινή ἐστιν. „οἷς δὲ παραγενόμενος ταῦτα γινώσκω δηλῶσαι βούλομαι·“ ἀλλὰ τὸ μετὰ τὴν ἐπαγγελίαν [668] οὐκέτι κοινὸν, ἀλλὰ καινοπρεπές· ἐπαγγειλάμενος γὰρ οὐκ εἶπε τὸ ἐπακόλουθον τῆς ἐπαγγελίας, ἀλλ' ἕν τι τῶν περὶ αὐτόν· εἷς μὲν γὰρ παρεγένετο, ταῦτα ἦν τὰ ἐν Καλλίου λεγόμενα· ὁ δὲ οὐ ταῦτα λέγει εὐθὺς, ἀλλὰ τὴν ἀρχὴν ἑξῆς ἤρξατο ταῦτα γίνεσθαι· δοκεῖ δὲ τὸ τοιοῦτο ἀφήγησις εἶναι μᾶλλον.

## Περὶ ἠθῶν. Γ'.

α'. Δεῖ δὲ ποικίλον εἶναι καὶ τὸν ἀφελῆ λόγον, μάλιστα ἐν τῷ τοιούτῳ εἴδει· καὶ ὅπου μὲν σεμνότητα ἐργάσασθαι, ὅπου δὲ καὶ περιβολὴν, ὅπου δὲ καὶ ἦθος ἐνδείξασθαι καὶ χάριν, ὅπου δὲ καὶ γέλωτα, εἰ οἷόν τε, ὥσπερ ἔχει κἀνταῦθα. Φίλιππός τε ὁ γελωτοποιὸς κρούσας τὴν θύραν. τὸ μὲν γὰρ ἦθος χάριεν πάνυ· ὅπερ ἐστὶν ἀφελοῦς λόγου· τὸ γὰρ ἀφαιρεῖν τὰς ἐπιβολὰς καὶ αὐτοῖς χρῆσθαι τοῖς ὀνόμασι καὶ ἀκολουθεῖν τῶν πραγμάτων τῇ φύσει καὶ μὴ δεδιέναι τὴν σμικρότητα αὐτῶν καὶ ταπεινότητα ἁπλῆς ψυχῆς καὶ γενναίας· ὅθεν καὶ λόγων τέχναι εὑρέθησαν· ἐξ ὧν ἐδυνήθη μέγεθος προσλαβεῖν καὶ τὰ μὴ ἔχοντα ἐν αὐτοῖς φύσει μεγέθη, καὶ ποτὲ μὲν τοιαῦτα εἶναι τὰ ἐν αὐτοῖς ἐμφαινόμενα, τὰ δὲ καὶ ψεῦδός τι ἐμφαίνειν. ὥσπερ ἔχει καὶ τοῦτο „ἀεί συ ἐπισκώπτεις ἡμᾶς, ὅτι σὺ μὲν Πρωταγόρᾳ πολὺ ἀργύριον δέδωκας ἐπὶ σοφίᾳ·“ τοῦτο γὰρ βραχεῖαν μὲν ἐμφαίνει χάριτα, ἅμα δὲ καὶ κακοήθειαν ἔχει τινά.

---

Ald. 18 Φίλιππος] Apud Xenophontem in Sympos. initio. 19 Συρακόσιος] Vulgo Συρακούσιος.

498, 1 γινώσκω] γινώσκων Ald. 5 ἑξῆς] ἐξ ἧς Norrm. 15 καὶ τοῦτο] In initio Symposii.

Digitized by Google

β'. Καὶ τὰ μέν τινα τοιαῦτά ἐστιν ἐννοήματα ὥστε μηδὲν αὐτοῖς προσυπακούεσθαι, τὰ δέ τινα τοιαῦτα ὥστε ἦθος ἔχειν καὶ τὸ ἦθος οὐχ ἓν οὐδὲ ἁπλοῦν, ἀλλὰ διά-
499 φορον, τὸ μὲν χάριεν ἦθος, τὸ δέ τι ἀγαθὸν ἦθος, τὸ δὲ γλυκύτητα ἐμφαῖνον, τὸ δὲ χρηστότητα, τὸ δέ τι τοιοῦτόν ἐστιν ἦθος ὥστε αὐτόθεν πολλὴν σεμνότητα ἐμφαίνειν, ὥσπερ ἔχει καὶ τοῦτο „Αὐτόλυκος μὲν οὖν παρὰ τὸν πατέρα ἐκαθέζετο·“ σεμνῶς μὲν οὖν πάνυ καὶ τῇ (364)
ἐννοίᾳ ποιήσας τὸ μειράκιον παρὰ τὸν πατέρα καθίσαι. σεμνὰ γὰρ τὰ τοιαῦτα ἐννοήματά ἐστι· μάλιστα δὲ τὸ ἦθος διεφύλαξεν αὐτῷ τὸ μὴ ἐπεξεργασίᾳ χρήσασθαι τῇ παρ' αὐτοῦ, οἷον εἰ ἔλεγεν, Αὐτόλυκος μὲν οὖν παρὰ τὸν πατέρα ἐκαθέζετο, ὥσπερ ἐχρῆν υἱὸν ὄντα μετὰ πατρός· τὸ δὲ τοιοῦτον πολιτικόν· ἀφῆκεν οὖν ἐμφαίνεσθαι τὸ ἦθος καὶ τὴν σεμνότητα.

γ'. Τὰ μὲν γάρ τινα, ὡς ἔφην, ὑποκαθήμενον καὶ ἐπινοούμενον ἔχει τὸ ἦθος, ὁποῖόν ἐστι τὸ προειρημένον „ἀεὶ σὺ ἐπισκώπτεις ἡμᾶς,“ τὰ δέ τινα ἁπλᾶ ἐστι καὶ οὐδεμίαν κακοήθειαν ἐμφαίνει, ὡς ἔχει καὶ τοῦτο „οἱ μέν τινες χρισάμενοι, οἱ δὲ καὶ λουσάμενοι·“ τοῦτο γὰρ οὐδὲν πλέον ἐμφαίνει ἢ τὸ γενόμενον. ὅπου δ' ἂν αἱ ὑπόνοιαι πονηραὶ ὦσιν καὶ λυπῶσι τὸν λόγον, δεῖ τὸ παρὰ σοῦ εἰσαγόμενον ἐπανορθοῦσθαι τὸ ἄτοπον οὐχ ἁπλῶς, ἀλλὰ ταῖς παρὰ σοῦ προσθήκαις· οἷον „εὐθὺς μὲν οὖν ἐννοήσας τις τὰ γινόμενα ἡγήσατ' ἂν φύσει βασιλικόν τι τὸ κάλλος εἶναι.“ καὶ ἡ παρ' αὐτοῦ προσθήκη „ἄλλως τε (366)
ἦν καὶ μετ' αἰδοῦς καὶ σωφροσύνης, καθάπερ Αὐτόλυκος, κέκτηταί τις αὐτό·“ περὶ κάλλους γὰρ ὄντος τοῦ λόγου οὐκ ἄν τις ἀπόσχοιτο τὸ μὴ οὐ πρὸς κακοήθειαν τὰ τοιαῦτα προσδέχεσθαι.

δ'. 1. Πρῶτον οὖν τὸ ἦθος εἶναι δεῖ τοῦ ἀφελοῦς λόγου χρηστότητα ἐμφαῖνον· ἡ γὰρ χρηστότης γνώμης

---

499, 4 ποιήσας Norrm. Vulgo ποιῆσαι. 9 Τὰ μὲν Norrm. Aberat τά. ἐπινοούμενον] ὑπονοούμενον Norrm. 11 χρισάμενοι] χρησάμενοι Ald. 18 ἐμφαῖνον Norrm. ἐμφαίνων Ald. 20 οὐδὲν σημαίνεσθαι] Restitue οὐδ' ἐνσημαίνεσθαι. alioqui non belle

ἐστὶν ἀρετὴ καὶ ἀπὸ τῆς διανοίας καὶ γνώμης προαίρεσις καὶ τρόπων ἐπιείκεια. οὐ δεῖ δὲ οὐδὲν σημαίνεσθαι τὸ ἦθος αὐτὸ καθ' αὑτό, ἀλλ' ἐν τοῖς ἀκούουσιν καταλείπεσθαι, 500 ἵνα ἀνεπιβούλευτον εἶναι δοκῇ· διὰ τοῦτο οὐδ' ἐπισημαίνεσθαι χρὴ οὔτε τὰ δεινὰ ὡς δεινὰ οὔτε τὰ φοβερὰ ὡς φοβερὰ, ἀλλὰ ἐξαρκεῖ μοι μόνον εἰπεῖν „Τισαφέρνης δὲ διαβάλλει τὸν Κῦρον πρὸς τὸν ἀδελφόν·“ ἐξήρκεσε γὰρ αὐτῷ ἐκ τοῦ γένους ἐνδείξασθαι ὁποῖόν ἐστι διαβάλλειν ἀδελφὸν πρὸς ἀδελφόν· τὴν μέντοι ποιότητα καὶ τὴν διάθεσιν εἴ τις αὐτοῦ καταλείπει σκοπεῖν· εἰ δὲ ἀγωνιστικῶς προσῆγες αὐτὸ, τοῦτο ἂν εἶπες, οἷον, πρᾶγμα δεινότατον πάντων καὶ ὠμότατον ἐνεβάλλετο εἰς τὴν ψυχὴν Τισαφέρνης· ἐὰν δὲ ἐξᾶραι θέλῃς καὶ θεῖναι καὶ αὐτὰ τὰ νοήματα, δι' ἃ οὐκ ἔδει γενέσθαι τὴν διαβολὴν, ἐποίησεις· οὔτε τοὺς θεοὺς αἰδεσθεὶς οὔτε τὴν δίκην [669] οὔτε τὸ πρᾶγμα ὡς δεινότατον. 2. Ἃ γὰρ ἄν τις ἤθους ἔχεσθαι νομίσειε παρὰ τοῖς τοὺς πολιτικοὺς λόγους μεταχειριζομένοις, ταῦτα καὶ ἐπὶ τούτοις ἦθος ἐμφαίνειν δύναιτ' ἄν, ἔλαττον μέντοι· ἄλλον μὲν γὰρ παρ' ἐκείνοις τρόπον ἐστὶ καὶ ἄλλο τι δηλοῖ, ἄλλον δὲ παρὰ τούτοις· ἐκεῖ μὲν γὰρ ὑπαινιττόμενόν τι ἢ ἕτερόν τι ὑποδεικνύντα, ἢ καὶ αὐτὸ τὸ ἐναντίον οὗ λέγεις ἔστιν ἐνδείξασθαι, ἐνταῦθα δὲ οὔ· ὡς ἂν ἀφελείας δεῖγμα καὶ ἁπλότης διανοίας. 3. Παραδείγματος δὲ ἕνεκα κείσθω παρ' ἀμφοῖν· ὁ μὲν Δημοσθένης ἦθος ἐμφῆναι βουλόμενος τί φησι; „πάνυ τοίνυν προσῆκον ἂν εἴη τοιοῦτον περὶ πλείστου ποιεῖσθαι ὑμᾶς, καὶ ἄνδρα εὐεργέτην δικαίων ὀνομάζειν.“ Ξενοφῶντος δὲ ἦθος „καὶ ἡ χεὶρ αὐτῷ ἐπηκολούθησεν·“

---

cohaerebunt οὐδὲν et τὸ ἦθος. eodem modo τὸ ἐνσημαίνεσθαι usurpatur p. 378. ζ' et η'. et ἐνσημαίνειν p. 340. ζ'. Norrm.

500, 1 οὔτε τὰ δεινὰ] Vulgo οὐδὲ τὰ δεινά. 2 Τισαφέρνης] Xenophon Anabas. initio. 4 εἴ τις] Fort. ἥτις, aut Τισσαφέρνους. Norrm. 5 ἀγωνιστικῶς Norrm. Vulgo ἃ γνωστικῶς. 9 νομίσειε] νομίσεις Ald. νομίσει Norrm. 13 ἁπλότης] ἁπλότητος Norrm. 14 βουλόμενος τί φησι;] βουλόμενός τις φησὶ Ald. 15 ποιεῖσθαι Norrm. προιεῖσθαι Ald. 16 Ξενοφῶντος] Παιδείας VII. p. 185 a.

ὥστε σαφῶς τὴν τάξιν ἐξετάζοντες, ἐφ' ἑκατέρα αὐτῶν εὕροιμεν ἂν τὸ ἦθος.

ε΄. 1. Τὰ δὲ ἤθη ὁ Ξενοφῶν ἐργάζεται πρῶτον μὲν πρὸς τὰ ἰδιώματα ἀφορῶν τῶν προσώπων περὶ ὧν ἂν ποιούμενος τοὺς λόγους τυγχάνῃ· ἔπειτα τοὺς καιροὺς ὁρῶν καὶ πρὸς τούτοις τὰς περιστάσεις καὶ τὰ συμβεβη- (370)
κότα καὶ τὰ παρόντα αὐτοῖς καὶ τὰ παρακολουθοῦντα· ἐξ ὧν συλλογιζόμενος ἤθη εὑρίσκεις ἐργάζεσθαι ἐν τοῖς λόγοις· καὶ νὴ Δία γε καὶ πάθη. 2. Ἵνα δὲ ἀπ' αὐτῶν τῶν βιβλίων ἄρξηταί τις, ἐν τῷ Συμποσίῳ πᾶσα μὲν ἀρετή ἐστι· ὁ δὲ λόγος καὶ ἡ ἁπλότης τῆς διανοίας ἐστὶ τῶν λεγομένων. ὃ οὕτω τις ἂν ἦθος εἴποι· καὶ σχεδὸν ὁ λόγος ἅπας οὕτω προσῆκται· πόθεν οὖν τοῦτο ὑπῆρξεν αὐτῷ ἰδεῖν· τὸν καιρὸν καὶ τὸ πρᾶγμα ὁποῖον καὶ τὰ παρακολουθοῦντα φύσει· οἷον, ὁποῖον μέντοι τὸ συμπόσιόν ἐστι καὶ τίνα ἐν συμποσίῳ λέγεσθαί τε καὶ γίνεσθαι συμβαίνει. πρὸς ἃ προορῶν ἀπειργάσατο τὸν λόγον. οἷον εὐθὺς ἐν ἀρχῇ τοῦ λόγου „ἀλλ' ἔμοιγε δοκεῖ τῶν καλῶν κἀγαθῶν ἀνδρῶν οὐ μόνον τὰ μετὰ σπουδῆς πραττόμενα ἀξιομνημόνευτα εἶναι, ἀλλὰ καὶ τὰ ἐν ταῖς παιδιαῖς.“ ἤθους ἐχόμενόν ἐστι τὸ νόημα, ὅτι δεῖ καὶ τὰ μετὰ παιδιᾶς πραττόμενα τῶν μεγάλων τε καὶ ἀγαθῶν ἀνδρῶν ἀποδέχεσθαι· καὶ ἔστι τὸ θεώρημα τοῦ ἀφελοῦς, ὅτι μὴ (372)
ἐκ παντὸς τρόπου δεῖ διώκειν τὰ ἔνδοξα καὶ τὰ μεγάλα, ἀλλὰ καὶ τὰ δοκοῦντα φαῦλα εἶναι καὶ εὐκαταφρόνητα. 3. Πάλιν ἐν τοῖς Ἀπομνημονεύμασι τὸ ἰδίωμα καταμαθὼν τῆς Σωκράτους προαιρέσεως, πρὸς τοῦτο ἀπιδὼν προσαγήοχε τὸν λόγον· ὄντος γὰρ τοῦ ὑποκειμένου ὀργῆς ἀξίου καὶ ἐπιτιμήσεως, τὸ Σωκράτην τοσοῦτον ἄξιον ἄνδρα κατακεκρίσθαι, ὅμως οὕτως ὡς ἀφελὴς ἀνὴρ ἦθος κἀνταῦθα ἐνεδείξατο· πολλάκις, φησὶν, ἐθαύμασα· οὐχὶ δὲ εἶπεν, ἐφ' ᾧ τις ἂν ὀργισθείη, ἢ ἐφ' ᾧ ἄξιον ἐπιτι-

501, 3 πόθεν οὖν τοῦτο ὑπῆρξεν αὐτῷ ἰδεῖν] Haec et sequentia non aptissime connexa videntur, aptius fortasse cohaera, si legas πόθεν οὖν τοῦτο ὑπῆρξεν αὐτῷ· ἰδὼν τὸν καιρόν. Sed et sic aliquis veluti scrupulus residere videbitur. Norrm. 5 προορῶν] ἀφορῶν. Norrm. 13 ὄντος Norrm. οὗτος Ald. Conf. p. 496, 2.

μῆσαι. δεῖ μέντοι κἀκεῖνο ὁρᾶν, ὅπως ὑφειμένα διὰ τὸ ἀφελὲς τιθεὶς ὀνόματα οὐδὲν ἧττον ἐν τῷ οἰκείῳ τόπῳ ἀνέφηνε τὸ μέγεθος τοῦ πράγματος· τὸ γὰρ ἐθαύμασα καὶ τὸ πολλάκις οὐ μικρῶν ἐστιν ἔμφασις. 4. Πάλιν ἐν τῇ Παιδείᾳ ὅρα πῶς μετεχειρίσατο εἰπὼν „ἔννοιά ποθ' ἡμῖν ἐγένετο·" τὸ μὲν οὖν νόημά ἐστιν ὃν τρόπον Κῦρος παῖς ὢν ἐτρέφετο καὶ τίνος παιδείας μετέσχεν, καὶ τίνα ἔργα
502 ἔπραξε, καὶ ὡς εὐδαιμονέστατος ἀνθρώπων ἐγένετο· τοῦτο δὲ ἄλλο τι βούλεται τῷ ἀνδρί· καὶ γὰρ Κῦρον ἐγκωμιάσαι προήρηται· οὐδὲ μέλει αὐτῷ ὃν τρόπον ἐπαιδεύθη ὁ Κῦρος, ἢ ἐτράφη· ἀλλ' ἐπειδὴ ἐν ἤθει προάγει τὸν λόγον, ὑπογραφῇ κέχρηται ὁποῖόν τινα δεῖ εἶναι τὸν ἀγαθὸν ἄνδρα καὶ τίνι τροφῇ καὶ τίνι παιδείᾳ χρῆσθαι· καὶ ὁποῖον μὲν δεῖ εἶναι ἔτι ἐν παιδίοις ὄντα, ὁποῖον δὲ ἐπειδὰν μειράκιόν τις γένηται· τίνα δὲ ἔργα καὶ ἐπιτηδεύματα προσήκοντα τῷ καλῷ τε καὶ ἀγαθῷ ἀνδρί· ὁ δὲ Κῦρος ἄλλως ὄνομά ἐστιν αὐτῷ. 5. Τὸν αὐτὸν τρόπον καὶ ἐν τοῖς Ἀπομνημονεύμασι μετακεχείρισται τοὺς τοιούτους τῶν λόγων· ἐκεῖ γὰρ αὐτῷ καὶ περὶ πλειόνων εἴρηται ὃν τρόπον δεῖ τῇ πατρίδι τῇ ἑαυτοῦ προσφέρεσθαι καὶ τοῖς φίλοις καὶ ἐν τοῖς οἰκείοις πᾶσιν· οὐ μέντοι εἴρηταί γε ὑποθετικῶς· οἷον οὕτω· χρὴ τοῦτον τὸν τρόπον τοῖς ἀδελφοῖς· οὐδὲ χρὴ πρότερον ἐπίδειξιν [670] εἶναι πολιτείας

---

16 ἀφελὲς τιθεὶς Norrm. ex p. 495, 13. ἀσφαλῶς τεθεὶς Ald. 17 τόπῳ] τρόπῳ p. 495, 14. 18 ἐν τῇ Παιδείᾳ Norrm. Vulgo μὲν τῇ παιδιᾷ. μετεχειρίσατο Norrm. μετεχειρήσατο Ald.

502, 8 ἐν τοῖς οἰκείοις] τοῖς οἰκείοις, ἐν Norrm. 10 οὐδὲ χρὴ πρότερον ἐπίδειξιν εἶναι πολιτείας] Respicit haud dubie colloquium Socratis cum Euthydemo, adolescente feroculo καὶ αὐθάδει καὶ σπουδαρχιῶντι, quod ab initio quarti Memorabilium proponitur. Geminum huic ac germanum est quod apud Platonem Alcibiade priore, cum Alcibiade, similis ingenii iuvene, pari argumento, pari successu, verbis pluribus, idem instituit cuius summam paucis versibus satyra IV. Persius expressit. At non uno modo corruptum est quod mox consequitur de Chaerephontis fratrisque colloquio, non enim ambo inter se fratres Ἀπομν. β'. 743. e. colloquuntur, sed Socrates et minor fratrum Chaerecrates. rursus quae post εἰπέ μοι, ἔφη sequuntur, ea cum Xenophonteo Socratis exordio nihil habent commune, vacillante memoriola, ut saepe, scripta.

πρὶν ἂν ἀνήρ τις γένηται σοφός τε καὶ ἐπιστήμων πραγμά-
των. ἀλλ' ὑποθεὶς ἕτερα πρόσωπα διδάσκει σε ὃν τρόπον
χρὴ τὰ τοιαῦτα ποιεῖν· ὁποῖον καὶ Χαιρεφῶντα λέγει δια-
λεγόμενον πρὸς τὸν ἀδελφὸν αὐτοῦ· εἰπέ μοι, ἔφη, σὺ (376)
μόνος οὐ γινώσκεις ὅτι οὕτω χρὴ τοῖς ἀδελφοῖς προσφέ-
ρεσθαι· ἀλλὰ πρόσωπον ἕτερον ὑπέβαλλεν. ὅταν οὖν θέ-
λῃς ἐν ἤθει λόγον προαγαγεῖν, οὐχ ὑποθετικῶς εἰσάγεις,
τάδε χρὴ ποιεῖν ἢ τάδε, ἀλλὰ πρόσωπον ἕτερον ὑποθεὶς
ἃ ἂν βούλῃ τινὰ ποιεῖν λέγεις· ὅτι ἐκεῖνος ἦν τοιοῦτος,
καὶ τάδε ἐποίει.

ς'. Ἔστι δὲ οὐ μόνον τὸ εἶδος, τοῦ ἤθους δοκεῖ
παρέχεσθαι ἐν τῷ λόγῳ, τῷ κατὰ τὴν ἁπλότητα τῆς δια-
νοίας, ἀλλὰ καὶ κατὰ τὸ ἐναντίον τούτου, οἷον σκληρό-
τερον καὶ ἀπηνῆ περιθεῖναι λόγον· ὅταν τοιοῦτόν τι ὑπο-
τεθῇ· καὶ πάλιν αὖ εἰ ἐρῶντί τινι οἰκείους λόγους περι-
θείη· καὶ πᾶσιν ὁμοίως πρὸς τὰ πάθη ἀφορῶντα, ὃν
τρόπον καὶ ἐν τῇ Παιδείᾳ ἐκ τῶν περιστάντων πάθη εἰρ-
γάσατο, ὁπόσα περί τε Ἀβραδάτου καὶ τῆς ἐκείνου γυ-
ναικὸς εἴρηται· ἡ δὲ πᾶσα ἀρετὴ τὸ διαφυλάξαι καὶ τη-
ρῆσαι τὰ ἰδιώματα ἑκάστου· ὥσπερ ἦν, οὕτω πεποίηκεν
τὸν Κυαξάρην διὰ παντὸς ὀργίλον· καὶ ἵνα ἄλλον ἔχοντά
τι ἐν τῇ ψυχῇ ἰδίωμα· ταῦτα γὰρ μεγάλα ἐργάζεται ἐν τῷ
λόγῳ· φυλάξαις δ' ἄν, ἐὰν ἐπακολουθήσῃς τῇ προτέρᾳ (378)
διανοίᾳ καὶ τῇ προαιρέσει τοῦ λόγου, τί σοι βούλεται
σκοπῶν καὶ πρὸς τὸ ἰδίωμα ἀφορῶν περὶ οὗ λέγοις ἄν.

ζ'. Τὰ δὲ ἤθη ἐν ταῖς ἀφελείαις τόνον λαμβάνει,
καὶ σεμνότητα, ὅταν τις ἐμφανίζων τὴν ἑαυτοῦ γνώμην
ἐπὶ μόνης τῆς ἐννοίας τὸ ἦθος καταλείπῃ. οἷον εἰ ἔλεγες
σὺ ἐνσημαινόμενος, ἔδοσαν δὲ οἱ θεοὶ καὶ ἐτίμησαν Χεί-
ρωνα, ὥσπερ χρὴ, δίκαιόν τε τὰ τοῦ καλοῦ πεποιημένα
ἀγασθέντες αὐτοῦ, ὅτι δίκαιός τε ἦν καὶ τὴν ἄλλην ἀρε-
τὴν ἐπετήδευεν· ἐν γὰρ τούτοις ἐμφανίζεις τὴν σεαυτοῦ
γνώμην πῶς ἔχεις περὶ τοὺς τοιούτους ἄνδρας. καὶ Ξενο-

Norrm. 15 βούλῃ Norrm. Vulgo βούληται. 17 δοκεῖ] δο-
κεῖν Norrm. 20 Παιδείᾳ] Lib. VI. et VII.
503, 9 ὥσπερ χρὴ, τὴν δικαιότητά τε καὶ τὰ καλῶς πεποιημένα
Norrm. 10 Post αὐτοῦ, ut odiosam διλογίαν vites, insero ἢ.

φῶντι ἐξήρκεσε μόνον ἐπὶ τῆς ἐννοίας ἀποσιωπῆσαι· Χάρωνα δὲ διὰ δικαιότητα, καὶ τὰ ἑξῆς.

η'. Ἔστι δὲ τῆς ἰδιότητος τοῦ ἀνδρὸς καὶ πάντων τῶν ἀφελῶν παρέχεσθαι, ὡς ἔνι μάλιστα, καὶ χρηστὸν τὸ ἦθος, μὴ μέντοι ἐνσημαίνεσθαι τοῦτο αὐτὸ καθ' αὑτό· σκόπει δὲ ἐντεῦθεν τὸ ἦθος τῆς ἀφελείας, εἰ οὐ δοκεῖ σοι χρηστοῦ ἀνδρὸς εἶναι τὸ μέλλοντα τελευτᾶν βούλεσθαι τοὺς παῖδας ἀμφοτέρους αὐτῷ παρεῖναι· οὕτω δέ τι χρηστὸς ἦν ὁ Δαρεῖος καὶ φιλόστοργος ὥστ' ἐβούλετο τοὺς παῖδας ἀμφοτέρους αὐτῷ παρεῖναι· ἐπειδὴ δὲ ἠσθένει Δαρεῖος καὶ ὑπώπτευε τοῦ βίου τελευτήν, ἐβούλετό οἱ τὼ παῖδε ἀμφοτέρω παρεῖναι.“ τοῦτο χρηστοῦ ἤθους ἐστί· πατρικὴν γάρ σοι διάθεσιν ἐνεδείξατο· καὶ ἔστι τῆς γνώ-
504 μης ἡ ἀρετή· καὶ τὸ ἦθος ἀφελοῦς ἀνδρὸς, οἷον ἂν χρηστὸν γένοιτο· ἦθος δὲ χρηστὸν ἐποίησε καὶ ἐν τῷ Συμποσίῳ ἐπὶ τῆς τὰ θαυμαστὰ ἐπιδεικνυμένης εἰπὼν „ὥστε οἱ μὲν θεώμενοι ἐθορυβοῦντο·“ χρηστὸν οὖν κἀνταῦθα τὸ ἦθος ἐφάνη, τὸ τοὺς θεωμένους φοβεῖσθαι ἐπὶ τῷ παραδόξῳ τοῦ θεάματος.

θ'. 1. Ἦθος πάλιν ἄλλο ἀφανὲς καὶ κεκρυμμένον, ὥσπερ ἐν τοῖς ἀφελέσι λόγοις προσήκει· „ἀναβαίνει οὖν ὁ Κῦρος λαβὼν Τισσαφέρνην ὡς φίλον·“ τί γὰρ δεῖ ἐξαγορεύειν καὶ λέγειν, λαβὼν Τισσαφέρνην τὸν μάλιστα ἐπιβουλεύοντ' αὐτῷ, ὡς φίλον· τὸ δὲ ἀποκρυψάμενον ἐφ' ἑαυτοῦ ἐᾶσαι· τοῦτο ἔχει τὸ ἦθος. 2. Καὶ μάλιστά γε τούτῳ πρόσεχε, ὅτι οὐκ ἐπισημαίνονται οἱ ἀφελεῖς ἄνδρες τὰς δυνάμεις, ἀλλ' αὐτὰς ἐφ' ἑαυτῶν ἀξιοῦσι δείκνυσθαι ἐκτὸς εἰ μὴ καιρὸς εὔθετός που φανείη, ὡς καὶ ἐν τῷ Κυνηγετικῷ „ἐγὼ μὲν οὖν παραινῶ τοῖς νέοις μὴ καταφρονεῖν κυνηγεσίων·“ καιρὸν ἔσχεν ἐνταῦθα καὶ ἦθος θαυμαστὸν μετὰ τὰς ἐκβάσεις, τηλικαύτας οὔσας, καὶ ὑποθετικῶς ἐκ τοῦ οἰκείου προσώπου χρῆσθαι· ἐγὼ μὲν

---

Norrm. 17 ἐπειδὴ] Xenophon Anabas. initio. 18 τελευτὴν] ἀρετὴν Ald.

504, 1 Συμποσίῳ] P. 876 d. 6 ἀναβαίνει] Anabas. p. 243 b. Quae post Τισσαφέρνην ex inferiore loco illata habet Ald. τὸν μάλιστ' ἐπιβουλεύοντ' αὐτῷ recte delevit Norrm. 10 Κυν

οὖν παραινῶ. 3. Ὅταν δὲ τὸ ἐναντίον τοῦ σημαντικοῦ εἴπῃς καὶ ἀνῇς τῆς ἐπιστάσεως, ἦθος ἐργάζῃ· οὐ γὰρ λέγεις, ἔχεσθαι κυνηγεσίων καὶ σπουδάζειν [671] περὶ κυνηγέσια, ἀλλὰ τὸ ἐναντίον μὴ καταφρονεῖν κυνηγεσίων μηδὲ τῆς ἄλλης παιδείας. τοῦτο δὲ οὐκ ἐᾷ εὐτελῆ γενέσθαι τὸν λόγον, ὅταν ἔνδοξον μὴ πάνυ δοκοῦντι ἐνδόξῳ παραθῇς· μὴ καταφρονεῖν κυνηγεσίων, μηδὲ τῆς ἄλλης παιδείας· μεῖζον οὖν μικροτέρῳ συμπλέξαι καὶ κατ' εἶδος λεχθέντι ἀναμίξαι τι ἐν γένει ἀνδρός ἐστιν ἐπιστήμονος· ἐκ τούτων γὰρ γίνονται τὰ εἰς τὸν πόλεμον ἀγαθοὶ καὶ εἰς τὰ ἄλλα· τόδε οὖν χρὴ ποιεῖν διὰ τόδε· ἡ μὲν οὖν αἰτιολογία κοινὴ καὶ πολιτικῶν καὶ ἀφελῶν, τὰ δὲ σχήματα διάφορα· τὸ μὴ συμπλέξαντα εἰπεῖν· οὐ μόνον εἰς τὸν πόλεμον, ἀλλὰ εἰς τὰ ἄλλα.

ι'. Ἦθος δὲ πάλιν μετὰ γλυκύτητος ἐποίησεν εἰπὼν ἐν τοῖς Ἀπομνημονεύμασι „καὶ μὴ νομίζεται τὸ μέγιστον κέρδος ἔχειν φίλον καὶ ἀγαθὸν κτησάμενος;“ ἦθος γλυκὺ (384)
ἐποίησεν ἀπὸ τοῦ ἐλάττονος ὀνομάσας τὸ πρᾶγμα· ἀντὶ γὰρ τοῦ εἰπεῖν ὅτι αἱ τῶν φίλων οὐσίαι ἐκείνου πᾶσαι γίνονται καὶ αἱ βοήθειαι αἱ ἐν τῷ βίῳ, ὁ δὲ ἐνὶ τούτῳ ὀνόματι, ὃ καὶ γλυκύτητα ἐμφαίνει καὶ ἦθος φίλον φησὶν ἀγαθὸν κτησάμενος.

ια'. Καὶ τὸ τὰς ἐπιτιμήσεις κατὰ τὴν τοῦ ἐναντίου ἀναίρεσιν ποιεῖσθαι ἦθος ποιεῖ. οἷον ἀκολούθου ὄντος εἰπεῖν τῷ ἐπεμελεῖτο, οὐκ ἠμέλει, καὶ τούς τε ἀμελοῦντας ἐμέμφετο, ὁ δέ φησιν, οὐκ ἐπῄνει· „ἀλλὰ μὴν καὶ τοῦ σώματος αὐτός τε οὐκ ἠμέλει τούς τε ἀμελοῦντας οὐκ ἐπῄνει.“

ιβ'. Ἦθος δὲ ἀγαθὸν καὶ Σωκρατικὸν καὶ τὸ μὴ ἀπὸ τῶν ἀναγκαίων ἐπὶ τὰ ἀναγκαῖα ἄγειν· οἷον „αὐτὸς δὲ περὶ τῶν ἀνθρώπων διελέγετο, σκοπῶν τί εὐσεβές, τί ἀσεβές·“ εἶτα ἀπὸ τῶν οὐδετέρων ἐπὶ τὰ ὀνοματικὰ „τί

---

γετικῷ] P. 994 d. 16 μηδὲ] Vulgo μήτε. 18 ἀγαθοὶ Norrm. ἀγαθὰ Ald.

505, 4 καὶ ἀγαθὸν] καλὸν καὶ ἀγαθὸν Norrm. 10 ἀλλὰ μὴν] Xenophon Memorab. α'. p. 712 a. 11 καὶ τὸ ἀπὸ τῶν μὴ Norrm. 12 οἷον] Ibid. p. 710 e. ὥσπερ αὐτὸν οὐκ εἰδότα]



Digitized by Google

φῶντι ἐξήρκεσε μόνον ἐπὶ τῆς ἐννοίας ἀποσιωπῆσαι· Σώφρονα δὲ διὰ δικαιότητα, καὶ τὰ ἑξῆς.

η'. Ἔστι δὲ τῆς ἰδιότητος τοῦ ἀνδρὸς καὶ πάντων τῶν ἀφελῶν παρέχεσθαι, ὡς ἔνι μάλιστα, καὶ χρηστὸν τὸ ἦθος, μὴ μέντοι ἐνσημαίνεσθαι τοῦτο αὐτὸ καθ' αὑτό· σκόπει δὲ ἐντεῦθεν τὸ ἦθος τῆς ἀφελείας, εἰ οὐ δοκεῖ σοι χρηστοῦ ἀνδρὸς εἶναι τὸ μέλλοντα τελευτᾶν βούλεσθαι τοὺς παῖδας ἀμφοτέρους αὐτῷ παρεῖναι· οὕτω δέ τι χρηστὸς ἦν ὁ Δαρεῖος καὶ φιλόστοργος ὥστ' ἐβούλετο τοὺς παῖδας ἀμφοτέρους αὐτῷ παρεῖναι· „ἐπειδὴ δὲ ἠσθένει Δαρεῖος καὶ ὑπώπτευε τοῦ βίου τελευτήν, ἐβούλετό οἱ τὼ παῖδε ἀμφοτέρω παρεῖναι·“ τοῦτο χρηστοῦ ἤθους ἐστί· πατρικὴν γάρ σοι διάθεσιν ἐνεδείξατο· καὶ ἔστι τῆς γνώ-
504 μης ἡ ἀρετή· καὶ τὸ ἦθος ἀφελοῦς ἀνδρὸς, οἷον ἂν χρηστὸν γένοιτο· ἦθος δὲ χρηστὸν ἐποίησε καὶ ἐν τῷ Συμποσίῳ ἐπὶ τῆς τὰ θαυμαστὰ ἐπιδεικνυμένης εἰπὼν „ὥστε οἱ μὲν θεώμενοι ἐθορυβοῦντο·“ χρηστὸν οὖν κἀνταῦθα τὸ ἦθος ἐφάνη, τὸ τοὺς θεωμένους φοβεῖσθαι ἐπὶ τῷ παραδόξῳ τοῦ θεάματος.

θ'. 1. Ἦθος πάλιν ἄλλο ἀφανὲς καὶ κεκρυμμένον ὥσπερ ἐν τοῖς ἀφελέσι λόγοις προσήκει· „ἀναβαίνει οὖν ὁ Κῦρος λαβὼν Τισσαφέρνην ὡς φίλον·“ τί γὰρ δεῖ ἐξαγορεύειν καὶ λέγειν, λαβὼν Τισσαφέρνην τὸν μάλιστα ἐπιβουλεύοντ' αὐτῷ, ὡς φίλον· τὸ δὲ ἀποκρυψάμενον ἐφ' ἑαυτοῦ ἐᾶσαι· τοῦτο ἔχει τὸ ἦθος. 2. Καὶ μάλιστά γε τούτῳ πρόσεχε, ὅτι οὐκ ἐπισημαίνονται οἱ ἀφελεῖς ἄνδρες τὰς δυνάμεις, ἀλλ' αὐτὰς ἐφ' ἑαυτῶν ἀξιοῦσι δείκνυσθαι ἐκτὸς εἰ μὴ καιρὸς εὔθετός που φανείη, ὡς καὶ ἐν τῷ Κυνηγετικῷ „ἐγὼ μὲν οὖν παραινῶ τοῖς νέοις μὴ καταφρονεῖν κυνηγεσίων·“ καιρὸν ἔσχεν ἐνταῦθα καὶ ἦθος θαυμαστὸν μετὰ τὰς ἐκβάσεις, τηλικαύτας οὔσας, καὶ ὑποθετικῶς ἐκ τοῦ οἰκείου προσώπου χρῆσθαι· ἐγὼ μὲν

---

Norrm. 17 ἐπειδὴ] Xenophon Anabas. initio. 18 τελευτὴν] ἀρετὴν Ald.

504, 1 Συμποσίῳ] P. 876 d. 6 ἀναβαίνει] Anabas. p. 243 b. Quae post Τισσαφέρνην ex inferiore loco illata habet Ald. τὸν μάλιστ' ἐπιβουλεύοντ' αὐτῷ recte delevit Norrm. 10 Κυν-

οὖν παραινῶ. 3. Ὅταν δὲ τὸ ἐναντίον τοῦ σημαντικοῦ εἴπῃς καὶ ἀνιῇς τῆς ἐπιστάσεως, ἦθος ἐργάζῃ· οὐ γὰρ λέγεις, ἔχεσθαι κυνηγεσίων καὶ σπουδάζειν [671] περὶ κυνηγέσια, ἀλλὰ τὸ ἐναντίον μὴ καταφρονεῖν κυνηγεσίων μηδὲ τῆς ἄλλης παιδείας. τοῦτο δὲ οὐκ ἐᾷ εὐτελῆ γενέσθαι τὸν λόγον, ὅταν ἔνδοξον μὴ πάνυ δοκοῦντι ἐνδόξῳ παραθῇς· μὴ καταφρονεῖν κυνηγεσίων, μηδὲ τῆς ἄλλης παιδείας· μεῖζον οὖν μικροτέρῳ συμπλέξαι καὶ κατ' εἶδος λεχθέντι ἀναμίξαι τι ἐν γένει ἀνδρός ἐστιν ἐπιστήμονος· ἐκ τούτων γὰρ γίνονται τὰ εἰς τὸν πόλεμον ἀγαθοὶ καὶ εἰς τὰ ἄλλα· τόδε οὖν χρὴ ποιεῖν διὰ τόδε· ἡ μὲν οὖν αἰτιολογία κοινὴ καὶ πολιτικῶν καὶ ἀφελῶν, τὰ δὲ σχήματα διάφορα· τὸ μὴ συμπλέξαντα εἰπεῖν· οὐ μόνον εἰς τὸν πόλεμον, ἀλλὰ εἰς τὰ ἄλλα.

ι΄. Ἦθος δὲ πάλιν μετὰ γλυκύτητος ἐποίησεν εἰπὼν ἐν τοῖς Ἀπομνημονεύμασι „καὶ μὴ νομίζεται τὸ μέγιστον κέρδος ἔχειν φίλον καὶ ἀγαθὸν κτησάμενος;“ ἦθος γλυκὺ (384) ἐποίησεν ἀπὸ τοῦ ἐλάττονος ὀνομάσας τὸ πρᾶγμα· ἀντὶ γὰρ τοῦ εἰπεῖν ὅτι αἱ τῶν φίλων οὐσίαι ἐκείνου πᾶσαι γίνονται καὶ αἱ βοήθειαι αἱ ἐν τῷ βίῳ, ὁ δὲ ἐνὶ τούτῳ ὀνόματι, ὃ καὶ γλυκύτητα ἐμφαίνει καὶ ἦθος φίλον φησὶν ἀγαθὸν κτησάμενος.

ια΄. Καὶ τὸ τὰς ἐπιτιμήσεις κατὰ τὴν τοῦ ἐναντίου ἀναίρεσιν ποιεῖσθαι ἦθος ποιεῖ. οἷον ἀκολούθου ὄντος εἰπεῖν τῷ ἐπεμελεῖτο, οὐκ ἠμέλει, καὶ τούς τε ἀμελοῦντας ἐμέμφετο, ὁ δέ φησιν, οὐκ ἐπῄνει· „ἀλλὰ μὴν καὶ τοῦ σώματος αὐτός τε οὐκ ἠμέλει τούς τε ἀμελοῦντας οὐκ ἐπῄνει.“

ιβ΄. Ἦθος δὲ ἀγαθὸν καὶ Σωκρατικὸν καὶ τὸ μὴ ἀπὸ τῶν ἀναγκαίων ἐπὶ τὰ ἀναγκαῖα ἄγειν· οἷον „αὐτὸς δὲ περὶ τῶν ἀνθρώπων διελέγετο, σκοπῶν τί εὐσεβές, τί ἀσεβές·“ εἶτα ἀπὸ τῶν οὐδετέρων ἐπὶ τὰ ὀνοματικὰ „τί

---

γετικῷ] P. 994 d. 16 μηδὲ] Vulgo μήτε. 18 ἀγαθοὶ Norrm. ἀγαθὰ Ald.

505, 4 καὶ ἀγαθὸν] καλὸν καὶ ἀγαθὸν Norrm. 10 ἀλλὰ μὴν] Xenophon Memorab. α΄. p. 712 a. 11 καὶ τὸ ἀπὸ τῶν μὴ Norrm. 12 οἷον] Ibid. p. 710 e. ὥσπερ αὐτὸν οὐκ εἰδότα]



Digitized by Google

σωφροσύνη, τί μανία, τί δειλία, τί πόλις, τί πολιτικός" ἐν δὲ τῷ αὐτῷ καὶ κάλλος ἐποίησε τὸ ἀποκόψαι καθ' ἕκαστον πρᾶγμα.

ιγ'. Ἤθη δὲ καὶ εἰρωνεῖαι ἐργάζονται, οἷον ὁπόσα Σωκράτην προσδιαλεγόμενον πεποίηκε καὶ ἀναδιδάσκοντα τοὺς νέους, ὥσπερ αὐτὸν οὐκ εἰδότα, ἀλλ' ἀναζητοῦντα μᾶλλον.

ιδ'. Ἔνια δὲ ὀνόματα καὶ χωρὶς τῶν πραγμάτων ἦθος ἐργάζονται ἐν τοῖς λόγοις, οἷον „εἰς καλόν γε ὑμῖν συντετύχηκα·" ἐνταῦθα οὐκ ἄλλο εἰργάσατο τὸ ἦθος ἢ ἡ λέξις, εἰς καλόν γε ὑμῖν συντετύχηκα.

ιε'. Καὶ τὰ συγκριτικὰ δὲ σχήματα πάνυ μέν ἐστι
506 τῆς ἀφελείας καὶ τοῦ συγγραφικοῦ λόγου μᾶλλον ἴδια, ἦθος δὲ καὶ αὐτὰ παρέχεται· οἷον „μᾶλλον τοῖσδε, ὡς εἰ στρατηγοῖς καὶ ἱππάρχαις, καὶ σπουδάρχαις" εἰ δὲ σὺ τὸ ἐναντίον συλλαβὼν ἔλεγες, ὡσεὶ ὅσοι μὲν τοὺς τοιούτους εἶναι λέγονται, οὓς ἂν ὁρῶσιν, ἀρχαῖς τε καὶ τιμαῖς καὶ τοιαύταις δυνάμεσι πλέον τι τῶν ἄλλων ὑπεραίροντας, οὔ μοι δοκοῦσιν ὀρθῶς ποιεῖν." Κριτίου μᾶλλον ὁ τοιοῦτος τρόπος ἔδοξεν εἶναι ἤ τινος τῶν ἀρχαίων σοφῶν.

ιϛ'. 1. Λέγω οὖν ὅτι καὶ λέξει ἀνεμφάτῳ χρῆται ὁ ἀφελὴς ἀνὴρ καὶ σχήματι καὶ ῥυθμῷ, ὥσπερ ἔχει καὶ ἐνταῦθα „ἐπειδὴ δὲ ἠσθένει Δαρεῖος καὶ ὑπώπτευε τοῦ βίου τελευτήν, ἐβούλετό οἱ τὼ παῖδε ἄμφω παρεῖναι·" οὐ γάρ ἐστιν ὁ ῥυθμὸς ὥσπερ ἂν πολιτικοῦ ἀνδρὸς γένοιτο, συνειλκυσμένος καὶ συνειληφὼς τὰ νοήματα. 2. Τὰ δὲ ὀρθοῦντα νοήματα δριμύτητα ἔχει ἀντὶ τοῦ πλαγιάζειν· τὸ μὲν γὰρ πλαγιάσαι ἦν, ἀσθενῶν δὲ Δαρεῖος. κινδυνεύει δὲ ἐγγυτάτω εὐτελείας προσεῖναι ἡ ἀφέλεια διὰ τὸ πλείστοις ὀνόμασιν ἀνεμφάτως χρῆσθαι· ὡς καὶ ἐνταῦθα τὸ ἠσθένει ψιλὸν ἦν ὄνομα· διὰ τοῦτο αὐτῷ παρετάθη καὶ ἰσοδυναμοῦν, ἵνα ἐκφύγῃ τὴν εὐτέλειαν· ἐπειδὴ δὲ ἠσθένει Δαρεῖος καὶ ὑπώπτευε τελευτὴν τοῦ βίου.

---

Platonis Gorg. p. 506. comparat Norrm. 18 οἷον] Idem Symposii initio. 19 τὸ ἦθος Norrm. Vulgo ἢ ἦθος.

506, 1 ὡς εἰ] ἢ εἰ Norrm. Ego sic vertebam quasi scriptum esset ὡς ὅσοι μὲν τοὺς τοιούτους παρεῖναι βούλονται οὓς ἂν ὁρῶ-

Digitized by Google

## Περὶ σεμνότητος. Δ'.

α'. Ἦθος δὲ ἔχει καὶ σεμνότητα ἢ εἰς θεοὺς εὐσέβειαν ἐμφαίνειν, ἢ εἰς φίλους εὐεργεσίας· καὶ μάλιστα δεῖ καὶ τοῖς τοιούτοις προσέχειν· τὰ γὰρ πλεῖστα καὶ μέγιστα τῶν θεωρημάτων κατὰ ταύτας τὰς ἐννοίας λαμβάνεται· αἱ δὲ ἔννοιαι λαμβάνονται ἐκ τῶν ἐν αὐτῷ· τὸ δὲ καὶ τὰς ἐννοίας ὡς περὶ εὐσεβείας καὶ εὐπειθίας λέγεσθαι πάνυ τῆς προαιρέσεως τῆς τῶν ἀφελῶν· οὐ γὰρ πάνυ, ὥσπερ ἔφην, τοῖς ὑποθετικοῖς χαίρουσι χρώμενοι, εἰ μὴ ἀνάγκη που γένοιτο· οἷον, εὐσεβεῖν δεῖ θεοῖς ἄρχουσι πείθεσθαι· ἀλλ' ὥσπερ [672] ἐννοίας τινὰς ὑπογράφουσιν ὡς χρὴ ποιεῖν, οὐ διδασκαλικῶς λέγοντες ὅτι οὐ χρὴ τόδε ποιεῖν, ἀλλ' ἐπὶ τοῦ ὅλου· τοῖς τάδε ποιοῦσι τάδε εἰώθαμεν ἀποφαίνειν.

β'. Σεμνότης δὲ γίνεται ἐν τῷ ἀφελεῖ λόγῳ, καὶ ἄλ- (390)
λως μὲν πολλαχῶς, σεμνότερον δὲ, |ὅταν ἀπὸ προσώπου ἐπὶ τὰ πράγματα μετάγῃς· οὐ γὰρ ὅμοιόν ἐστι ἐπὶ τοῦ προσώπου εἰπεῖν, „φύσει βασιλεῖς εἰσιν οἱ καλοί·" μειρακιῶδες γὰρ τοῦτο· ἤπερ ἐπὶ τοῦ πράγματος ἐξενεγκεῖν „φύσει βασιλικὸν τὸ κάλλος εἶναι." τῆς δὲ σεμνότητος ἕνεκα τῆς κατὰ τὴν ἔννοιαν ἡ προσθήκη μετὰ ταῦτα· „ἄλλως τε ἢν καὶ μετὰ αἰδοῦς καὶ σωφροσύνης καθάπερ Αὐτόλυκος κέκτηταί τις αὐτό."

γ'. Σεμνότητα καὶ αἱ τοιαῦται συμπλοκαὶ ποιοῦσιν· οἷον „καὶ παῖδα πάνυ γε ὡραῖον καὶ πάνυ καλῶς κιθαρίζοντά τε καὶ ὀρχούμενον·" τὸ γὰρ συμπλέκειν εἰς τὸ αὐτὸ τὰ διάφορα τούτων ἀφαιρεῖ τὴν διαφορὰν τοῦ γένους.

δ'. Καὶ ὅπου ἂν τὰ μέλλοντα γίνεσθαι ἢ τὰ γινόμενα ὡς ἤδη γεγονότα εἰσάγῃς, σεμνὸν ποιεῖς τὸν λόγον· οἷον „ἐπεὶ δὲ αὐτοῖς ἡ μὲν αὐλητρὶς ηὔλησεν, ὁ δὲ παῖς ἐκιθάρισε."

---

σιν. Norrm. 16 ἐν αὐτῷ] δηλονότι ὑποκειμένῳ. Norrm. 18 ὥσπερ ἔφην] P. 374, 5. Norrm.

507, 1 θεοῖς] καὶ τοῖς Norrm. 3. εἴωθεν ἀποφαίνειν Norrm. 7 φύσει] Xenophon Sympos. p. 873 c. 8 ἄλλως τε ἢν] ἀλλ' ὥστε ἢν Ald. 10 οἷον] Ibidem p. 875 a. 16 Ζεὺς] Idem Cyneget. initio. 19 μή τι] In Sympos. p. 876 d.

ε'. Καὶ ὅπου δ' ἂν σεμνὰ τὰ ὀνόματα ἐπεμβάλῃς, μετὰ τῆς σεμνότητος καὶ κάλλους δύναμιν ἐργάσῃ· „Ζεὺς μὲν καὶ Χείρων ἀδελφοὶ, πατρὸς μὲν τοῦ αὐτοῦ, μητρὸς δὲ ὁ μὲν Ῥέας, ὁ δὲ Ναΐδος νύμφης·“ τὸ μὲν οὖν κοινοποιῆσαι, πατρὸς μὲν τοῦ αὐτοῦ, τό τε διαφορὰν εἰπεῖν, μητρὸς δὲ ὁ μὲν τῆσδε, ὁ δὲ τῆσδε, μετὰ τῆς ἀφελείας καὶ σεμνότητα ἔχει.

ϛ'. Καὶ τὸ ἐν γένει δέ τι εἰπεῖν τοῦ κατ' εἶδος σεμνότερον. οἷον ἐν γένει „μή τι πάθῃ·“ οὐ γάρ ἐστιν ὅμοιον κατ' εἶδος εἰπεῖν, μὴ περιπαρῇ, μὴ ἀποσφαγῇ. καὶ ἐν γένει συλλαβόντα τὰ πάντα ἑνὶ ὀνόματι εἰπεῖν, μή τι πάθῃ.

508 Περὶ περιβολῆς. Ε'.

α'. Γίνεται δὲ καὶ ἐν ἀφελεῖ λόγῳ περιβολὴ, ὅταν τις πλαγιάσας νόημα ἐπεμβάλῃ ἕτερον δεύτερον, μήπω τῆς διανοίας ἀπηρτισμένης μηδὲ τοῦ συμπεράσματος ἀπηγμένου, ὡς μίαν δοκεῖν ἔννοιαν. οἷον „βουλευομένων δὲ περὶ τούτων Λακεδαιμονίων Ἀγησίλαος ὑπέστη·“ νῦν τὸ ἀπαρτίζον „διαβήσεσθαι·“ οὐκ ἔτι πλαγιάσας· μακρὸν γὰρ ἐγίνετο· οἷον διαβὰς ποιήσειν τὰ καὶ τά· ἀλλὰ διαβήσεσθαι.

β'. Πᾶσα δὲ περιβολὴ δύναμιν ἐργάζεται ἐν τῷ λόγῳ. δεῖ δὲ ἡμᾶς ἐπισκέψασθαι καθὸ διαλλάττει τοῦ πολιτικοῦ λόγου ἡ ἐν τῷ ἀφελεῖ λόγῳ γινομένη δύναμις. οὐκοῦν σκόπει· „τὸ γὰρ εὖ πράττειν παρὰ τὴν ἀξίαν ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίνεται. οὔ φημι τοίνυν ἐγὼ λυσιτελεῖν ἐν τῷ ἀφελεῖ τὸ ἀποφαντικὸν τοῦ σχήματος· ἀξίωμα μὲν γὰρ καὶ δύναμιν περιτίθησιν, οὐκέτι δὲ ἁπλοῦν οὐδὲ κατ' ἄνθρωπόν ἐστιν, ἵνα οὕτως εἴπῃ τις τὸ πρᾶγμα, ἀλλ' ἐπηρμένον τε καὶ τετυφωμένον· οὐδὲ τὸ ὑπακτικὸν μόριον· τὸ γὰρ εὖ. τὰ γὰρ τοιαῦτα μόρια ἀναγκάζει τὸν λόγον ἐμπεριλαμβάνοντα τὰ νοήματα στρογγύλον γίνεσθαι

508, 2 ἀπηγμένου] ἐπηγμένου Norrm. 3 οἷον] In Agesil. initio. 8 τὸ γὰρ εὖ] Demosth. Olynth. I. p. 4 d. 11 ὑπακτικὸν] Fort. ἐπακτικὸν. Locus caliginosus. Norrm.

καὶ σκληρὸν καὶ κατεσφιγμένον· ὅθεν οὐ χρὴ τὰ μόρια προστιθέναι, ἐπειδὰν δυνάμεώς τι σημεῖον ἐξενεγκεῖν βουλώμεθα, ἀλλ' ἀπορηματικῶν ἄρξασθαι ἁπλῶς.

γ'. Περιβολῆς δὲ καὶ τὸ τοιοῦτον καὶ ἔνδοξον ποιοῦν τὸν λόγον καὶ ἔχειν ἀξίωμα, καὶ ὅταν τὰ πράγματα μὴ καθ' ἑαυτὰ εἰσάγῃ τις καὶ ἐπὶ τῶν ὑποκειμένων ὀνομάζῃ, οἷον Καλλίας ἀξιοθέατος ἐφαίνετο διὰ τὸ κατέχεσθαι ἔρωτι τοῦ Αὐτολύκου· ἀλλὰ καὶ ἔξωθεν προσλαμβάνηταί τινα τοῖς ἀορίστοις ὡρισμένα· „ἅπαντες μὲν οὖν οἱ ἐκ θεῶν του κατεχόμενοι ἀξιοθέατοι δοκοῦσιν εἶναι.“ καὶ εἰ μὲν οὖν ἐβούλου ταχέως μεταβῆναι ἐπὶ τὸ ὑποκείμενον καὶ μὴ σφόδρα τὸν λόγον ἐξᾶραι, εἶπες ἂν, μάλιστα δὲ οἱ ὑπὸ ἔρωτος κατεχόμενοι· νῦν δὲ πολλῷ πλέον ἐξήρθη διὰ τὸ προειλῆφθαι διὰ μέσου τὰς διαφορὰς, πρὶν προσάγεσθαι τούτου τὸ ὑποκείμενον· „ἀλλ' οἱ μὲν ἐξ ἄλλων πρὸς τὸ (396) γοργότερον ὁρᾶσθαι καὶ φοβερώτερον φθέγγεσθαι καὶ σφοδρότεροι εἶναι φαίνονται.“

δ'. Πολλῷ δὲ συγγραφικώτερον τὸ ὀρθοῦν ἐν τοῖς σχήμασι καὶ μὴ πλαγιάζειν· τὸ δὲ πλαγιάζειν τῶν πολιτικῶν ἐστι· σεμνότητα γὰρ καὶ περιβολὴν ἔχει· εἰ μὲν οὖν ἐπλαγίαζες, οὕτως ἂν ἔλεγες· ληξάσης δὲ [673] τῆς ἱπποδρομίας· τὸ δὲ ὀρθοῦν τοιοῦτόν ἐστιν· ὡς δὲ ἡ ἱπποδρομία ἔληξεν· ἀνειμένον δὲ τοῦτο καὶ ἀναπεπτωκὸς εἶναι δοκεῖ· ὁ δὲ πολιτικὸς οὐχ οὕτως ἂν ἐποίησεν, ἀλλὰ συντονώτερον· ἐπειδὴ δὲ ἡ ἱπποδρομία ἔληξεν. ὥσπερ δὲ ὁ πολιτικὸς συνειλκυσμένος ἐστὶ καὶ συνειληφὼς τὰ νοήματα· οὕτως ὁ ἀφελὴς ὕπτιος καὶ ἀποτεταμένος.

ε'. Περιβολὴ δὲ καὶ τοῦτο, ὡς ἐν τῷ Συμποσίῳ „καὶ ὁ Σωκράτης εἶπεν, ἐν πολλοῖς μὲν καὶ ἄλλοις δῆλον, καὶ ἐν οἷς δὲ ἡ παῖς.“ περίβολον εἶπεν· τί δέ ἐστι τὸ ποιῆσαν τὴν περιβολήν; τοῦ ἀορίστου ἡ πρόσληψις καὶ ἐπί τι ὡρισμένον μετάστασις· ἐν πολλοῖς μὲν καὶ ἄλλοις,

---

16 καὶ ὅταν] καὶ delet Norrm. 17 Καλλίας] καλείας Ald.
19 ἅπαντες] In Sympos. p. 873 e.
509, 4 τούτου] τοῦτο Norrm. ἀλλ' οἱ] ἄλλοι Ald.
10 συνειλκυσμένος] Addo ῥυθμὸς, ut p. 386. Norrm. 11 ἀποτεταμένος] ἀναπεπταμένος Norrm. 12 Συμποσίῳ] P. 876 b.
13 περίβολον] ἐν περίβολον Ald. ἐμπερίβολον Norrm. 14 πρόσλη-

δῆλον δὲ καὶ ἐν οἷς ἡ παῖς· Σωκρατικὸς δὲ ὁ τρόπος καὶ ἀρχαῖος, τὸ ἐκ παντὸς χρήσιμόν τι εἰσάγειν. ὅπου τε καὶ ἐξ ἀρχῆς ἕως εὑρέθησαν περὶ ἀρετῆς λόγοι· καὶ τὸ μέγιστον δόγμα ὅτι ἡ αὐτὴ ἀρετὴ ἀνδρῶν καὶ γυναικῶν.

## Περὶ γλυκύτητος. ϛ'.

α'. Ἡ δὲ τῆς λέξεως γλυκύτης εἴπομεν ὅτι πορίζεται ἐκ κωμῳδίας καὶ Πλάτωνος καὶ Ξενοφῶντος· χρῶνται δὲ
510 οἱ ἀφελεῖς καὶ ποιητικαῖς λέξεσιν, ὅταν ὄγκον βούλωνται περιθεῖναι τῷ λόγῳ τῶν θεωρημάτων καὶ ἐκ κωμῳδίας· ἐστὶν ἀπὸ μερισμῶν ἄρχεσθαι καὶ ὡς ἀπὸ προσθήκης καίτοι, καὶ μήν, ἀλλὰ τοίνυν, ἀλλὰ μήν· ἀφέλειαν γὰρ τῷ λόγῳ παρέχεται τὰ τοιαῦτα.

β'. Ὅπου δ' ἂν θέλῃς γλυκύτητα ἐργάσασθαι, τοιαύταις χρήσῃ μεταφοραῖς, ὀνόματα ἐπ' ἄλλων πραγμάτων κείμενα μεταφέρων ἐφ' ἕτερα· καὶ ὅταν μὴ μένῃς ἐπὶ τοῖς ἀκριβῶς σημαντικοῖς, οἷον τὸ σημαντικὸν τοῦ ὑποκειμένου, ἔδοσαν καὶ τὸ μετενηνεγμένον ἐκ τῆς τροπῆς, καὶ ἐτίμησαν Χείρωνα διὰ δικαιότητα. ἀντὶ τοῦ ἔδοσαν.

γ'. Καὶ τὰ μεγάλα μικρῶς λέγων, τὰ δὲ μικρὰ μεγάλως, γλυκύτητα ἐργάσῃ· τὸ οὖν μικρὰ μεγάλως ὀνομάζειν λέγομεν ὅτι γλυκύτητα παρέχει τῷ λόγῳ· καὶ ἔστι θαυμασιωτάτη ἡ τροπὴ ἡ τοιαύτη, πόλεμον εἰπεῖν κυνῶν καὶ θηρίου· πρῶτον μὲν χρὴ εἶναι τὰς κύνας ἑκάστου γένους, μὴ τὰς ἐπιτυχούσας, ἵνα ἕτοιμαι ὦσι πολεμεῖν τῷ θηρίῳ.

δ'. Γλυκύτητα δὲ καὶ ἐν Ἀγησιλάῳ θαυμαστὴν ἐποίησεν εἰπὼν „ὁπότε γε μὴν πορεύοιτο, συντεταγμένον μὲν οὕτως ἦγε τὸ στράτευμα, ὡς ἂν ἐπικουρεῖν μάλιστα ἑαυτοῖς δύναιντο.“ εἶτα παράδειγμα ἐπήνεγκεν, ὡς ἂν ἀφελὴς ἀνὴρ γλυκύτητα μετὰ σεμνότητος ἐμφαίνων· „ἡσύχως δέ, ὥσπερ ἂν παρθένος ἡ σωφρονεστάτη προβαίνοι.“ τὴν δὲ ἄνεσιν ἔχει ποτὲ μειοῦν τοῦ παραδείγματος καὶ τὸ μ[...]

---

ψις] πρόληψις Norrm. 16 οἱ περὶ Norrm. 18 εἴχομεν] [...] Norrm.

510, 1 ἔκ τε τῶν θεωρημάτων Norrm. 11 κύνας Norrm. Vulgo κοινάς. 13 Ἀγησιλάῳ] P. 667 e.

Digitized by Google

πάντη ἐοικός· τί γὰρ ἔοικε στρατοπέδῳ παρθένος; ὅμως δὲ τὸ μὲν εἰπεῖν παρθένος ἡ σώφρων εὐτέλειαν εἶχε· τὸ δὲ ἀναστρέψαι καὶ τὸ παρακολουθοῦν πρόσθεσιν εἶναι τοῦ προσώπου σεμνότητα μετὰ γλυκύτητος εἰργάσατο· ὥσπερ ἂν ἡ σωφρονεστάτη παρθένος.

ε'. Καὶ περὶ μὲν γλυκύτητος καὶ ἐν τοῖς προάγουσιν εἴπομεν, ὅσα τε ἀποτελεῖ ἐν τῷ πολιτικῷ λόγῳ καὶ πάλιν ὅσα ἐν τῷ ἀφελεῖ. σχεδὸν αὐτὴ ἡ ἀρετὴ τῆς γλυκύτητος τοῦ ἀφελοῦς ἐστι μᾶλλον.

## Περὶ κάλλους. Ζ'.

α'. Κάλλη δὲ προσλαμβάνει ὁ λόγος ὁ ἀφελὴς καὶ ἐκ τόπων, ἂν οὕτω τύχῃ, καὶ ἐξ ἄλλων τῶν παρακολουθούντων, οἷον ὅταν πόλιν λέγῃ μεγάλην καὶ εὐδαίμονα· ὅταν ποταμὸν ἢ ὅθεν ῥεῖ· ὅσον τὸ εὖρος, ἀεὶ τὰ τοιαῦτα κάλλος προστίθησι τῷ λόγῳ· τὸ μὲν οὖν κατ' εἶδος πάντα (402) διεξιέναι, ὅσα τινὶ πρόσεστιν, ἢ ποταμῷ, ἢ πόλει, ἢ πεδίῳ, διαφορεῖ τὴν ἀφέλειαν· τὸ δὲ ἐν τῷ γένει, ἐὰν μεγάλην καὶ εὐδαίμονα, τοῦτο διασώζει τὸ κάλλος καὶ τὴν ἁπλότητα.

β'. Καλὸν δὲ καὶ δριμὺν τὸν λόγον ἐργάζονται καὶ παραθέσεις τῶν ὁμοίων, ὡς ἐν τῇ ἀναβάσει ἐπὶ τοῦ Κύρου „ἆθλα“ φησὶ „προὔθηκε ταῖς ἱππικαῖς τάξεσιν, ἥτις κράτιστα ἱππεύοι.“

γ'. Καὶ αἱ περιεργασίαι δὲ καὶ αἱ σχηματοποιίαι, παρὰ τοῖς ἀφελέσιν ἀφανεῖς εἰσιν. διὰ ταῦτα πολλοῦ ἄξιοί εἰσιν οἱ ἀρχαῖοι· ὅρα γὰρ πῶς σχηματοποιεῖται, καὶ ταῖς ἱππικαῖς τάξεσιν, ἥτις κράτιστα ἱππεύοι· οὐ γὰρ ἦν ὅμοιον εἰπεῖν τοῖς ἱππεῦσι· ταχὺ γὰρ ἀγωνιστικὸν ἐποίει τὸν λόγον· ἀλλὰ ταῖς ἱππικαῖς τάξεσιν, ἥτις κράτιστα ἱππεύοι. ἐσχηματοποίηται οὖν ἀπὸ τοῦ πλήθους εἰς ἓν [674] καὶ ὤρθωται· καὶ παράκειται τῷ ὁμοίῳ· ταῖς ἱππικαῖς, ἥτις

---

511, 2 σχεδὸν δὲ αὐτὴ Norrm. 6 ἢ ὅσον Norrm.
7 τινὶ Norrm. Vulgo τινά. πεδίῳ Norrm. παιδίῳ Ald.
11 Κύρου] Immo de Agesilao, vita illius p. 655 a.

Digitized by Google

ἱππεῦσι· „καὶ ταῖς ὁπλιτικαῖς, ἥτις ἂν ἄριστα σωμάτων ἔχοι.“

## Περὶ ἀξιοπιστίας. Η'.

α'. Μέγιστον δὲ ἐν ἀφελεῖ λόγῳ τὸ ὡς ἂν μάλιστα 512 ἀληθινὸν δοκεῖν αὐτὸν φαίνεσθαι καὶ τὸ τοιαῦτα εἶναι τὰ λεγόμενα, ὡς ἂν καὶ παντὶ ῥᾴδια ἐνθυμηθῆναι νομίσαι ἄν· τοῦτο δὲ μάλιστα γίνεται, ὅταν ἀπ' αὐτοῦ τοῦ πράγματος τοῦ εἰσαγομένου ἔννοιαν λαμβάνῃ· οἷον ὡς ἐν τῷ Ἀγησιλάῳ „καίτοι τὰ ἐκείνου βουλεύεσθαι δαπανῶντά φησι μᾶλλον ἢ τὰ τῶν Ἑλλήνων πολεμεῖν·“ ἐκ γὰρ τοῦ πραχθέντος ὑπὸ τοῦ Ἀγησιλάου, ἔμελλε δὲ τὸ διαβῆναι αὐτὸν εἰς τὴν Ἀσίαν, τὴν ἔννοιαν ταύτην λαβὼν, δι' ἧς φρόνιμον αὐτὸν ἐπιδείκνυσιν ὄντα, ἀληθῆ μάλιστα ἔδοξε περὶ αὐτοῦ εἰρηκέναι.

β'. Ἀληθῆ δὲ ποιεῖ τὸν λόγον καὶ τὸ εἰσαγαγόντα τι ὃ κατὰ σοῦ εἶναι δοκεῖ, ὁμολογῆσαι αὐτῷ καὶ ἐᾶσαι μὴ ἀνελόντα. οἷον „εἰ δέ τις ὑμῶν ὁρῶν τοὺς πολεμίους φοβεροὺς εἶναι ὑπειληφέναι μοι μὲν ὀρθῶς διανοεῖσθαι δοκεῖ·“ ἕνεκα γὰρ ταῦτα, ἀλλὰ διεξῄει ὁ Κῦρος πρὸς τοὺς στρατιώτας, ἀληθῆ δοκεῖν αὐτὸν εἰρηκέναι· τοῦτο οὐχ ὅπως ἀνεῖλεν, ἀλλὰ καὶ συγκατέθετο αὐτῷ, ὃ ἦν κατὰ τοῦ.

---

17 ἔχοι] ἔχῃ Ald.

512, 1 νομίσαι] νομίσαντ' Norrm. 3 Ἀγησιλάῳ] Ab initio. βουλεύεσθαι] βούλεσθαι Norrm. 5 Ἀσίαν] Puto addendum λέγειν aut διηγεῖσθαι. Norrm. 8 εἰ δέ τις ὑμῶν] Haec aut his similia verba iis Xenophontis in libris, qui de utroque Cyro agunt, nondum reperire potui. itaque aut diversa quodammodo a nostris librorum horunce exempla Aristides habuit, aut denuo incauta memoriae fiducia in istam fraudem incidit. nam Cyri maioris verba ex sexto Παιδείας p. 160 a, εἰ μέντοι τισὶ ταῦτα μὲν τοιαῦτα ὄντα δεινὰ δοκεῖ εἶναι, τὰ δὲ ἡμέτερα φαῦλα. nec sono similia, sensu etiam contraria sunt. Similiora dixeris Demosthenica haecce Olynth. II. p. 24 b. et rursus ἐν τῷ πρὸς Φιλίππου ἐπιστολὴν p. 119 c. εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν Φίλιππον εὐτυχοῦντα ὁρῶν, ταύτῃ φοβερὸν προσπολεμῆσαι νομίζει, σώφρονος μὲν ἀνθρώπου λογισμῷ χρῆται. Norrm. 9 ταῦτα, ἀλλὰ] τούτου ἄλλα Norrm. 11 κατὰ

γ'. Καὶ τὸ ἐν διηγήσεσιν εἰσαγαγεῖν τὰ λεγόμενα, κἂν πλαστὰ ᾖ καὶ μικρὰ, ἀληθῆ δοκεῖ εἶναι· ὡς γὰρ γεγονότα αὐτὰ λέγει.

δ'. Καὶ τὸ βραχέως δέ τι εἰπεῖν καὶ τὸ πολλὰ παραθεῖναι δυνάμεώς ἐστιν ἀληθινῆς. οἷον, καλέσας δέ· εἶτα τίνα· Ἀράσπην· εἶτα ὅθεν· Μῆδον· εἶτα καὶ τὸ ἕνεκα τῆς γνώσεως· ὃς ἦν ἐκ παιδὸς αὐτῷ φίλος· εἶτα ἄλλο· ᾧ τὴν στολὴν ἔδωκε.

ε'. Ταῦτα μὲν οὖν ἐξαρκεῖν δοκεῖ πρὸς τὸ καὶ δυ- (406) νάμει προάγειν τὸν λόγον· μάλιστα δὲ ὅταν τὸ ἀληθὲς κατὰ σοῦ λεγόμενον μὴ ὡς ἀληθὲς ἀποδείξῃ, ἀφελοῦς ἀνδρός ἐστιν, ὡς καὶ ὁ Σωκράτης φησίν· αἰεὶ σὺ ἐπισκώπτεις ἡμᾶς· ἦθος μὲν οὖν πεποίηκε τὸ ὑφειμένον τῆς γνώμης καὶ μὴ καταλαζονεύσασθαι τῷ ἐπαίνῳ τῷ ἐκείνου, ἀλλ' ὡς σώματι αὐτῷ προσέχειν· ὃ γὰρ ἐκεῖνος σπουδάζων εἶπεν οὗτος ὡς σκωπτόμενος ἐξεδέξατο.

## Περὶ οἰκονομίας. Θ'.

Οἰκονομία δὲ λόγου ἐφ' ἅπαντι ἡ ἁρμόζουσα τάξις καὶ ἡ προσδοκία τῶν λεγομένων καὶ τὸ ἐξηρτῆσθαι ἀλλήλων τὰ νοήματα καὶ τὰ ἐπιχειρήματα ἐχόμενα τοῦ ὑποκειμένου· ἔτι δὲ καὶ τὰ ἄλλα θεωρήματα, ὅσα τῆς ἀφελοῦς οἰκονομίας ἐστί· λέγω δή· ἐὰν μὲν ἐν κεφαλαίῳ ᾖ, ἄνευ προλήψεως εἰπόντα δεῖ τῶν ὑπὲρ αὐτοῦ ἐνδόξων οὕτως καταθεῖναι τὴν πρόληψιν, προλαβόντα τι κατὰ τοῦ ἀντιδίκου ἐνδόξων· ἔπειθ' οὕτως, ἐάν τι καὶ ὑπὲρ ἡμῶν αὐτῶν ἐπιφέρωσι, σκόπει· ἐὰν ᾖ πλείω τὰ παρὰ τοῦ ἀντιδίκου, σκοπεῖν δεῖ τὸ πρᾶγμα· ἡ γὰρ αὐτή ἐστι μέθοδος· τὸ μὲν γὰρ κεφάλαιον, ὅτι δεῖ τὰ μὲν τῶν ἐχθρῶν ἀσθενῆ (408) ὄντα ἀποφαίνειν, τὰ δὲ ὑπὲρ ἡμῶν αὐτῶν πολὺ ὑπερέχοντα· δῆλον γάρ ἐστι πᾶσι τὸ πῶς ἂν γένοιτο οὐδὲν ἄλλως ἔχοι.

---

τοῦ] κατ' αὐτοῦ Norrm. 13 ὡς γὰρ γεγονότα αὐτὰ λέγει] At aperte fabulosa alia ratione narrari iubet, οὐχ ὅτι ἐγένετο, ἀλλ' ὅτι λέγεται γενέσθαι p. 444, 4. et 448, 7. Sed ut quod sentio dicam, idem et hoc loco nostrum praecepisse credo. Norrm. 14 τὸ πολλὰ Norrm. Vulgo τὰ πολλά. 15 οἷον] Παιδείας ε' initio. 18 ἀποδείξῃ] ἀποδέξῃ Norrm.

513, 1 σώματι] σκώψαντι Norrm. 10 πῶς ἂν γένοιτο οὐδὲν

## Περὶ ἑρμηνείας. Γ'.

α'. Περὶ δὲ ἑρμηνείας τοσοῦτον ἂν εἴποιμι, μήτε ὀνόματι μήτε ῥήματι χρῆσθαι ἄλλοις πλὴν τοῖς ἐκ τῶν βιβλίων· καὶ τοῦτο οὕτως ἁπλῶς ἂν εἴποις, μὴ πάντα ἐν πᾶσι τοῖς εἴδεσι τιθέναι, ἀλλὰ καὶ κατ' ἰδίαν ἕκαστον ἀξιωματικὸν τῆς ἀφελείας, πάθους, ἤθους, θυμοῦ· καὶ τὰ μέρη δὲ τῶν Δημοσθενικῶν πολὺ συμβάλλεται εἰς ἑρμηνείας ἰδέαν· πανταχοῦ δ' ἐν τῇ φράσει ἀφέλειαν μόνος ὁ Ξενοφῶν ἐργάζεται· θυμὸς γὰρ, ἢ πάθος, ἢ ὀργὴ, ἢ ὀξύτης, καὶ τὰ ἄλλα ὅσα κεκίνηται, ἀξιώματος, ἢ τραχύ-
514 τητός ἐστι· παθῶν δὲ μεταβολῆς καὶ προτροπῆς, ὁποίας ὁ Δημοσθένης ἐστὶ γνώμης· τὸ δὲ τοῖς παραδείγμασι χρῆσθαι Σωκρατικόν ἐστιν, οὐ μὴν ἔν γε τῷ πολιτικῷ ἁρμόζει πάνυ τι τοῦτο.

β'. Ἐνίοτε δὲ ὁ Ξενοφῶν καὶ πρὶν αὐτὸ ὃ βούλεται εἰπεῖν, δι' αὐτοῦ τοῦ παραδείγματος εἰσάγει· καὶ αἱ κατασκευαὶ αὐτῶν ἄνευ παραδειγμάτων εἰσὶν, ὡς ἐπὶ τὸ πλεῖστον, ὡς δῆλον μέν ἐστι καὶ ἐν τοῖς ἄλλοις ἅπασι, μάλιστα δὲ ἐν τοῖς Ἀπομνημονεύμασιν· ἐκεῖ γὰρ τὸν Σωκράτην ὃν τρόπον περὶ ἑκάστων διαλεγόμενον καὶ ἀποδεικνύντα ἕκαστα πεποίηκεν ἔστιν ἀνασκοπουμένῳ καταμαθεῖν, ὡς τοῦτον τὸν τρόπον προῆκται.

γ'. Δεῖ [675] δὲ τὰ παραδείγματα καὶ τὰ παρατιθέμενα δι' ὧν ἂν ἐπιδεικνύῃς πρὸς τὸ προκείμενόν σοι ὅμοια εἶναι καὶ κοινωνεῖν τούτοις περὶ ὧν ἂν λέγηται ἢ κατὰ γένος, ἢ κατὰ ἰσχὺν, ἢ κατὰ χρόνον, ἢ κατὰ τὰ ἀποβαίνοντα ἐξ αὐτῶν, ἢ κατὰ ἰδιώματα αὐτῶν, ἢ κατὰ ἄλλην τινὰ ὁμοιότητα. καὶ ἔστι τοῦτο καλὸν ἐν τῷ τοιούτῳ εἴδει τῶν λόγων. καὶ τὸ τὴν ἁπλότητα μάλιστα ἀπεργαζόμενον. ὅθεν καὶ εὐπορία πλεκτὴ γίνεται· καὶ ὁ λόγος ἐκ τῶν ἐπεγκυκλουμένων ἀσφαλὴς φαίνεται, διά τε τὸ σεμνότερον γίνεσθαι τὸ λεγόμε-

---

ἄλλως ἔχοι] Haec ego non capio? an legendum δῆλον γάρ ἐστι πᾶσι πῶς ἂν γένοιτο τοῦτο καὶ ὅτι οὐδ' ἂν ἄλλως ἔχοι? Norrm. 11 ἄλλοις Norrm. Vulgo ἄλλως.

514, 1 μεταβολὴ καὶ προτροπὴ Norrm. 4 αὐτῶν] αὐτοῦ σὺν Norrm. 10 τὰ ἀποβαίνοντα Norrm. τὰ om. Ald. 18 πλεκτὴ]

Digitized by Google

ιον καὶ δι' ἑτέρου ἐναργεστέρου, ὅπερ λαλιᾶς ἔργον μᾶλ-
λον εἶναι φαίνεται.

Περὶ ἐπιχειρημάτων. ΙΒ'.

α'. Τῶν δὲ ἐπιχειρημάτων ὁ μὲν Δημοσθένης αἰεὶ καὶ οἱ τοὺς δικανικοὺς λόγους συνεσκευασμένοι ἐκλογάς τε καὶ διακρίσεις ποιοῦνται· καὶ ἐπισημαίνονται καθ' ἕκαστον τὰς δυνάμεις αὐτῶν τιθέντες, εἰκότως τοῦτο πράττοντες, διά τε τὸ ἀγωνιστικὸν τὸν λόγον αὐτῶν εἶναι, ὥστε καὶ τοὺς ἀκούοντας εὐθέως μανθάνειν τὴν ἰσχὺν αὐτῶν, καὶ ἕκαστα ἀκριβῶς ἀνασκοπεῖν δύνασθαι.

β'. Οὐ μὴν ἔν γε τῷ ἀφελεῖ λόγῳ ἁρμόζειν τοῦτο (412) ἔμοιγε δοκεῖ, εἴ γε δεῖ ὡς ἂν μάλιστα ἀνεπιβούλευτον τὸν λόγον φαίνεσθαι καὶ ἁπλοῦν καὶ καθαρόν. καὶ Ξενοφῶν ἕκαστα τῶν νοημάτων ψιλὰ κατ' ἰδίαν τίθησιν, ὡς ἐν τῷ Ἀγησιλάῳ, αὐτὰ καθ' αὑτά· ὅθεν ἄν τις καὶ ἐρρίφθαι νοήσειε τὰ νοήματα, οὐ μὴν ἔρριπταί γε· ἀλλ' ἔστι μὲν ἕκαστα ἐν ἐπισφαλείᾳ προηγμένα, ἀφῃρημένα δὲ τῆς κατὰ λεπτὸν ἐξετάσεως καὶ προσθήκης καὶ μεταθέσεως καὶ ἐναλλαγῶν καὶ πάντων τῶν τοιούτων. καὶ ἁπλῶς τὰ τοιαῦτα φαίνεται. ὅθεν καὶ διαστάσεις πολλαὶ καὶ συνεχεῖς καὶ ἀρχαὶ τῶν νοημάτων οὐχ ἡνωμέναι ἔτι, ἀλλ' ἀπηρτισμέναι· ἔτι δὲ ἄλλα καὶ ἄλλα μάλιστα φαίνεται τὰ λεγόμενα, καὶ οὐχ ὡς ὕφος ἐστὶ τὸ σύγγραμμα, ἀλλ' ὥσπερ κατὰ κόμμα, λαλιῶν ἔδει προηγμένων.

γ'. Τοῦτο μὲν οὖν πεποίηκε καὶ τὸ διηγήμασιν εἶναι δοκεῖν τὰ λεγόμενα ἀνδρὸς ἀγαθοῦ πράξεως· οὐ μὴν πάντη καὶ ἐν παντὶ ἁρμόζει, ἔμοιγε δοκεῖν, τῶν ἀφελῶν λόγων. καὶ δὴ τοῦτο καταμεμαθηκέναι, εἰ καί τι ἄλλο

---

πλείστη Norrm. 13 ἐναργεστέρου] ἐναργέστερον Norrm.

515, 3 ὡς ἐν τῷ Ἀγησιλάῳ] Utrum singulare aliquod exemplum hoc loco apposuerit auctor, quod dein amissum liquidam caeteris lucem simul eripuerit, an totum σύγγραμμα, ut mox, intelligat, difficilis existimatio est. Sed et proximum membrum multifariam mendosum ac lacerum peritiorem nostra feliciorem-que manum medicam desiderat. Norrm. 4 ἐπισφαλείᾳ] ἀσφαλείᾳ Norrm. 6 φαίνεται] φέρεται Norrm. 7 ἔτι δὲ Norrm. ἔτι ἄν. 9 ἔδει προηγμένον Norrm. 10 τὸ ἐν διηγήμασιν

Digitized by Google

ἰδίωμα Ξενοφῶντος· καὶ γάρ ἐστι τοῦτο μάλιστα, ὥς γε οἶμαι, τὸ ἀφελῆ τὸν λόγον ἀπεργαζόμενον.

### Περὶ ἀρχῆς. ιβ'.

α'. Φέρε δὴ καὶ περὶ ἀρχῆς λόγου καταμάθωμεν, ὃν τρόπον εἴωθε Ξενοφῶν ποιεῖν τὰς ἀρχάς· δεῖ δὲ ἐπὶ πάντων ὁμοίως τῶν λόγων προδιοικεῖσθαί τι χρήσιμον περὶ τὰ πράγματα, καὶ ἢ τὰ ἀντιπίπτοντα λύειν, ἢ συνιστάναι αὐτὰ ἑαυτῷ. ταύτῃ μὲν οὖν ὁμοίως ἔχει τοῖς πολιτικοῖς, τὰ δὲ ἰδιώματα λείπεται τοῖς ἀφελέσι κατὰ τὴν μεταχείρησιν καὶ τὴν ἀπαγγελίαν.

β'. Οἱ μὲν οὖν πολιτικοὶ τὰς ἀρχὰς λαμβάνουσι καὶ
516 ἀπ' αὐτῶν τῶν πραγμάτων καὶ εἰς αὐτὰ τεινούσας· ὁ δὲ Ξενοφῶν εἰς αὐτὰ τεινούσας οὐκ ἐν ἅπασιν· εἴωθε δὲ μὴ ἀπ' αὐτῶν λαμβάνειν, ὥσπερ ἐν τῇ Παιδείᾳ „ἔννοιά ποθ' ἡμῖν ἐγένετο·“ οὐ γὰρ ἀπὸ τῶν Κύρου πράξεων, ἀλλ' ἐπιχειρηματικῶς ἔξωθεν προήγαγε τὸν λόγον· διὸ καὶ προϊὼν κατὰ λεπτὸν ἔξωθεν τὴν αὔξησιν ἐποίησε.

γ'. Κέχρηται δὲ καὶ ἀπ' αὐτῶν τῶν πραγμάτων ἐν τοῖς Ἀπομνημονεύμασιν· ὥστε ἄντικρυς δόξαι δικανικὸν εἶναι τὸν λόγον κατὰ τὴν ἀρχὴν τῆς πρώτης ἐπιβολῆς τῶν πραγμάτων, μὴ ἀπηρτισμένου τοῦ νοήματος· „πολλάκις“ φησὶν „ἐθαύμασα τίσι ποτὲ λόγοις Ἀθηναίους ἔπεισαν.“

δ'. Ἔστι δὲ τοῦτο τὸ θεώρημα ἐν ἁπάσαις ταῖς ἀρχαῖς τῶν λόγων αὐτοῦ, τὸ μὴ εἰπόντα ὥσπερ δεύτερον νόημα εἰσαγαγόντα χωρίσαι τὸ πρῶτον· ἀλλ' ὑπερβάλλειν τὰ ἐξηρτημένα τοῦ νοήματος εὐθέως καὶ ἐπεξιέναι ἐπὶ μακρόν· ἰδίωμα τὸ μὴ μεταβάλλοντα τὴν ποιότητα τοῦ νοήματος οὕτως εἰσαγαγεῖν ἐν γένει πρῶτον· ὅπερ ἄν τις πολιτικὸς ἐποίησεν ἐξαίρων τὸν λόγον τῷ ἀξιώματι· οἷον „ἔννοιά ποθ' ἡμῖν ἐγένετο·“ ὁποῖον εἶναι συμβέβηκε τὸ

---

Norrm. περὶ ἀνδρὸς ἀγαθοῦ πράξεων Norrm. 16 συνιστάναι αὐ τὰ ἑαυτοῦ Norrm.

516, 8 νόημα] Adde καί. male sana. Norrm. 9 ἰδίωμα δὲ καὶ τοῦτο Norrm. 10 ἐν γένει] Sup. 206. β. Norrm.

ατὰ τὴν τῶν καλῶν φύσιν· εἶτα οὕτως τὸ καὶ εἶδος· ὅσαι δημοκρατίαι καὶ ὅσαι τυραννίδες·“ καὶ ἕτερον δὲ ὁ μὴ ἐν ἀποφαντικῷ σχήματι· οἷον „οὐδέν ἐστι δυσπει-θέστερον ἀνθρώπου φύσεως·“ [676] ἀλλ᾽ ὡς ἀνθρωπί-ως μάλιστα σὺν ἐρωτήσει ἐξήτασεν „ἔννοια πόθ᾽ ἡμῖν γένετο·“ καὶ τὸ μὴ ἀναβεβλημένῃ δὲ, ἀλλὰ συνεστραμ-ένῃ τῇ λέξει χρῆσθαι „ἔννοια πόθ᾽ ἡμῖν ἐγένετο“ τῆς φελείας.

ε΄. Τὸ δὲ ἐπὶ τέλει σοι καὶ τοῦ ὀνόματος, καὶ παν-ὸς λόγου ἱστάσθω ἐν μακρῷ· κρίνεται δὲ τὰ κῶλα αὐτὰ αθ᾽ ἑαυτά· ὁ δὲ λόγος ἔστω ἀφελής, ὡς κατὰ κῶλα ὲν ἀπαρτιζόμενος, κατὰ δὲ λόγου ἰδέαν, ἢ ποιότητα, υκνότητά τινα καὶ συμπλοκὴν καινοπρεπῆ καὶ ἀφελῆ μφαίνων· ταῦτα δ᾽ ἐξ ἑνὸς ὀνόματος πεποίηται· οἷον ἔννοιά ποτε ἡμῖν ἐγένετο“ ἀντὶ τοῦ ἐνεθυμήθημέν ποτε· φέλειαν γὰρ ἡ ὀξεῖα βραχύτης ποιεῖ. ὥστε τοῦ θεωρή- (418)
ατος ἀλλαχέντος ἐξ ἀφελείας γενέσθαι πρα;… ητα συμ-αίνει ἢ ἀξίωμα, ὁπόθεν γίνεται ἀξίωμα πρᾷόν τι εἶναι.

ϛ΄. Ὅλως δὲ ὡς ἐγένετο τὰ πράγματα, οὕτω δεῖ καὶ ὰς ἀρχὰς ἐκλαμβάνειν· οἷον „Δαρείου καὶ Παρυσάτιδος ίνονται παῖδες δύο·“ ἐνταῦθα γὰρ εἰ καὶ μεγάλη ἡ πόθεσις, ἀλλ᾽ ἡ ἀρχὴ ἀπὸ ψιλῶν τινῶν πραγμάτων στί.

---

2 καλῶν] Fort. ἀρχῶν aut κρατούντων. Norrm. 13 ἀποφαντικῷ orrm. ἀποφατικῷ Ald. 14 σὺν ἐρωτήσει] Quam in hoc Xeno-hontis exordio interrogationem aut videbat noster aut vidisse utabat, eam ego videre nequeo. ideoque caeteris in locis, etsi lerumque πόθ᾽ aut πότε *quando* legeretur, semper ποθ᾽ hoc est οτὲ *aliquando* reddidi. quomodo paullo post (ε΄) et noster recte nterpretatur. ἐνεθυμήθημέν ποτε. at priora illa, aut aliter noster cripsit aut κατανυστάζων μᾶλλον καὶ ὀνειροπολῶν ἢ ἐγρηγορὼς scripsit. Norrm. 17 ἱστάσθω ἐν μακρῷ] Subaudi χρόνῳ aut φωνήεντι, t porrecta syllaba concludi iubeat comprehensionem verborum. uomodo Aristoteles Rhetor. III. 8. praecipit. δεῖ τῇ μακρᾷ ἀπο-όπτεσθαι. quod in tertio de oratore Cicero ita extulit: Clausulas ristoteles longa plerumque syllaba terminari vult. adde Hermog. ερὶ σεμνότητος p. 284. 291. Norrm.

517, 2 ὁπόθεν Norrm. τὸ πόθεν Ald. 3 οἷον] Xenoph.

Digitized by Google

ΙΓ'. α'. Πλεῖστον δὲ διαφέρει πρὸς τὸ εἶδος τῶν λόγων ἑκατέρῳ ἡ διαφορὰ τῶν πραγμάτων, οἷον οἱ πολιτικοὶ ἐπὶ τῶν ἐνδόξων καὶ γνωρίμων πραγμάτων ἢ προσώπων οὐ διαποροῦσιν· ὁ δὲ συγγραφικὸς διαπορῶν καὶ ἐπιδιστάζων καὶ τοῖς ἐνδόξοις ἀφέλειαν ἐργάζεται.

β'. Τὸ δὲ μέγιστον ἁπάντων ἐν τῷ ἀφελεῖ λόγῳ, τὸ ψιλὰ καὶ καθαρῶς τὰ πράγματα προϊέναι καὶ μὴ ἐπισημαίνεσθαι, ὅταν μὴ μόνον τὸ πρᾶγμα λέγηται, ἀλλὰ καὶ τὴν ποιότητα προστιθῇς· ἐὰν μεγάλη, ὡς μεγάλου· ἐὰν δὲ δεινὸν, ὡς δεινοῦ· ὧν ἀμοιρεῖν δεῖ τὴν ἀφέλειαν· αὐτίκα γοῦν ὁ μὲν ἀφελὴς λέγει, παρελθὼν ταῦτα εἶπεν· ὁ δὲ Δημοσθένης „ἀναστὰς εἶπεν πολλῶν ὦ Ζεῦ καὶ θεοὶ θαυμάτων ἀξίους λόγους."

γ'. 1. Πολλαχοῦ δὲ ὁ Ξενοφῶν πολλαῖς βίαις καὶ Δημοσθενικαῖς κατὰ τὰς ἐννοίας χρῆται· μόνῃ δὲ τῇ μεταχειρήσει διαλλάσσει, ὡς καὶ ἐν τῇ Ἀναβάσει λογισμούς τινας λέγων περὶ τοῦ Τισσαφέρνους, ὅτι οὐκ ἐπιβουλεύει τοῖς Ἕλλησιν· ἐπειδὴ ἄπιστόν ἐστι τὸ πρόσωπον πρὸς τὸ βουληθῆναι ἐπιβουλεῦσαι, καὶ οὐκ ἔχει ἐκ τῆς κρίσεως αὐτὸ συστῆναι, μεταβὰς ἐκ τῆς δυνάμεως αὐτὸ πιστοῦ-
518 ται· „εἰ δὲ δυνάμενοι κακῶς ὑμᾶς δρᾶν, οὐ ποιοῦμεν, δηλονότι οὐδὲ βουλόμεθα," τί οὖν ἐστι τὸ πεποιηκὸς ἀφελῆ οὕτω τὰ νοήματα; ὁ τρόπος τῆς μεταχειρήσεως· παραθεὶς γὰρ ἐξ ὑπάρξεως καὶ στερήσεως, καὶ κόψας τὰ νοήματα λέγει· „πότερον ὅτι ὑμεῖς μὲν ἐν τῇ οἰκείᾳ, ἡμεῖς δὲ ἐν τῇ ἀλλοτρίᾳ, καὶ πότερον ὑμεῖς μὲν εὖ ποιεῖτε, ἡμεῖς δὲ ἀποροῦμεν." οὐδὲν οὖν ἄλλο τὸ ἀνεικός ἐστι τὰ νοήματα ἢ ὁ τρόπος τῆς ἀπαγγελίας. 2. Ὡς καὶ ἐν τῷ Ἀγησιλάῳ πεποίηκεν· ἐπειδὴ γὰρ ἐν τῇ ἐννοίᾳ τραχὺς ἦν ὁ λόγος, τῇ ἀπαγγελίᾳ εἰς ἀφέλειαν μετεχει-

Anab. initio. 6 εἶδος ἑκατέρου τῶν λόγων Norrm. 8 ὁ δὲ Norrm. Vulgo οὐδὲ. 9 ψιλὰ] ψιλῶς Norrm. 11 ἐὰν μεγάλην — ἐὰν δὲ δεινὴν Norrm. 12 Δημοσθένης] De falsa leg. p. 296 b. 15 Ἀναβάσει] II. p. 287. 18 συστῆναι] συστῆσαι Norrm.

518, 1 οὕτω τὰ Norrm. τὰ οὕτω Ald. 3 πότερον Norrm. τὸ ἕτερον Ald. 4 πότερον Norrm. πρότερον Ald. εὖ ποιεῖτε]

ἔσθη· „εἰ διότι καλὸς ἢ ἀγαθὸς ὑπερβαλλόντως ἐγένετο, ιὰ τοῦτο μηδὲ μετρίων ἐπαίνων τύχῃ·“ ἀλλὰ τοῦτό πως ἔγω, ὅτι ἐὰν ἡ ἔννοια ᾖ τοιαύτη, τραχεῖαν τὴν μετα- είρησιν ποιεῖ· οὐ γὰρ εἶπε σχετλιάσας, ὥσπερ ὁ Δημο- σθένης „δεινὸν γὰρ ἂν εἴη, εἰ αἱ παρὰ Φιλίππου πεμ- όμεναι ἐπιστολαί.“ ἔνιαι δὲ χρήσεις ἴδιαι τῶν ἀφελῶν σι καὶ οὐκ ἂν μετήνεγκες οὐδαμῶς εἰς πολιτικὸν λόγον, ς καὶ ἐνταῦθα τὸ „ὑπερβαλλόντως ἀνὴρ ἀγαθὸς ένετο.“

δ΄. Ὅλως δὲ πανταχοῦ, ὁποσαχοῦ ἐν ἐλαχίστῳ ολλὰ πράγματα τὰ λελυμένα εἴρηκε καὶ ἀπήρτικε τὸ ῆημα, εὐρύθμως εἴρηκεν· οἷον „ἐπειδὴ δὲ ἀνέστη, υνανέστησαν με ταύτης πᾶσαι αἱ ἀμφ' αὐτήν·“ οὐ ὴν οὐδὲ πολλὰ δεῖ περιλαμβάνειν πράγματα ἐν τῷ ἀφελεῖ όγῳ, ὡς ὁ Δημοσθένης ἐποίησεν· „εἰ γὰρ ὅθ' ἥκομεν ὐβοεῦσι βεβοηθηκότες·“ ἀλλ' ἐν ὀλίγοις, ὡς ἂν εὐπα- κολούθητος ᾖ μάλιστά σοι ὁ λόγος.

ε΄. 1. Τὸ δὲ τοῖς νοήμασιν ἀνεμφάτως χρῆσθαι πτέλειαν ἐργάζεται. διὸ καὶ τὸν ἀφελῆ λόγον κίνδυνος (424) ς εὐτέλειαν περιελθεῖν, ἐγγυτάτω γινόμενον, διὰ τὸ καὶ οιούτοις ὀνόμασι χρῆσθαι· ἔστι τοίνυν ἐκφεύγειν καὶ ερiίστασθαι τὴν εὐτέλειαν τῇ τῶν ἰσοδυναμούντων παρα- έσει. οἷον „ἐπεὶ δὲ ἠσθένει Δαρεῖος καὶ ὑπώπτευε τὴν λευτὴν τοῦ βίου.“ 2. [677] Τὸ δὲ καὶ τοῖς ὀνόμασι οῖς ἐπὶ ἑτέρων πραγμάτων κειμέναις κατὰ μεταφορὰν ρῆσθαι τῶν ἀφελῶν ἐστιν. οἷον „πολλοὺς ἐραστὰς τῆς ευτοῦ φιλίας ἐποιήσατο·“ καὶ πάλιν „τοὺς τῶν Ἑλλήνων κολούθους·“ τοὺς γὰρ τελευταίους τῶν Ἑλλήνων οὐκ κνησεν ἀκολούθους ὀνομάσαι· καὶ τὸ διὰ τοῦ αὐτοῦ νόματος· „ἔπειθον, ἐπείσθημεν·“ καὶ διακόψαντα τὰ ήματα· „πρέσβεις ἐπέμψαμεν·“ τὸ γὰρ λελυμένα ἀπ'

---

πορεῖτε Norrm. 7 εἰ Norrm. ᾖ Ald. 8 τοῦτό πως Norrm. οῦτο πῶς Ald. τραχεῖαν] An βραχεῖαν? Norrm. 9 Δημοσθέ- ης] De Haloneso initio. 14 οἷον] Xenophon Παιδείας V. ab nitio. 16 εἰ γὰρ] Olynth. I. p. 2 b. 18 νοήμασιν] ὀνό- ασιν, ut p. 388. Norrm.

519, 4 πολλοὺς] Agesilao p. 654 b. καὶ πάλιν] P. 656 a. 6 ἔπειθον] Demosthenes de falsa leg. p. 308 b.



Digitized by Google

ἀλλήλων προάγειν ἀφελῆ τὸν λόγον ποιεῖ καὶ ἦθός τι ἐμφαίνει, ὡς αὐτὰ γεγενημένα μετὰ τάχους λέγοντος. 3. Καὶ ὅσα δὲ ὀνόματα τόπων καὶ χωρίων πρόσφορά ἐστιν ἐν ἀφελεῖ λόγῳ, ταῦτα χρὴ ἐπιλέγεσθαι· ἔτι δὲ τὰ ἧττω ἔχοντα δύναμιν καὶ ἧττον προτιμώμενα. οἷον γυμνάσια, ἱππόδρομοι· ὅταν δὲ δὴ καὶ παρατιθῇς ἐπιλεγόμενος· „γυμνάσια ἀνδρῶν γυμναζομένων, ἱππόδρομοι ἱππέων ἱππαζομένων·“ ταῦτα πάντα τῆς ἀφελείας. 4. Δεῖ δὲ καὶ τὰ ὀνόματα ἐν τῷ ἀφελεῖ λόγῳ μὴ καθ' ἑνὸς μόνον πράγματος προάγεσθαι, ἀλλὰ καὶ δύο καὶ τρία σημαίνειν. οἷον, ἐπειδὴ τό τε ἀπιέναι εἴδη πλείω ἔχει τινὰ πάντα, πάντα ἐπισκεπτέον· περιέχει γὰρ ἐν αὐτῷ καὶ τὸ πλησίον καὶ ἐν τῷ πόρρω, καὶ ἐν γῇ καὶ ἐν θαλάσσῃ· καὶ πράγματα ἔχειν καὶ περιέχειν, καὶ ὅλως μυρία ἐστὶν ἃ σημαίνει. 5. Καὶ τὰ τοιαῦτα δὲ τῶν ὀνομάτων, ἐν οἷς περὶ κριθῶν καὶ ἀλεύρων καὶ ἐλαίου ἔστιν εἰπεῖν, ἀφέλειαν δοκεῖ μᾶλλον ἐν τῷ λόγῳ ποιεῖν· περὶ ἧττον γὰρ ἐνδόξων ὁ λόγος γίνεται. πολιτικὸς δὲ ἀνὴρ ὀκνήσειεν ἂν 520 προσελθεῖν τοιούτοις ὀνόμασιν· ὅπου δ' ἂν προσίῃ, εἰδέναι χρὴ ὅτι ἢ ἐνεργείας ἕνεκα, ἢ ὥστε ἦθος ἐν τῷ λόγῳ γενέσθαι, ἐπεὶ κατενεχθήσεται. ὁ ῥυθμὸς δὲ διάφορος ὢν ἀνασώζει τὰ πράγματα, καὶ οὐκ ἔτι ἐστὶν περὶ τὰ ἐννοήματα, ἀλλὰ περὶ τὴν ἀπαγγελίαν ἡ ἀνομοιότης τοῦ λόγου τοῦ πολιτικοῦ· τὸ μὲν γὰρ ἀποτετελεσμένον καὶ ὁλοκλήρως τὸ πολιτικὸν καὶ τῇ ἐννοίᾳ καὶ τῇ ἀπαγγελίᾳ τοιοῦτον εἶναι προσήκει. 6. Ἐνίοτε δὲ ἡ μὲν ἔννοια ἀφελής ἐστιν, ἡ δὲ ἀπαγγελία πολιτική, ὡς καὶ ἐν τῷ πρὸς Καλλικλέα ὁ Δημοσθένης „κριθῶν μὲν βρεχθῆναι, καὶ ξηραινομένας ἰδεῖν αὐτὴν μηδὲ τρεῖς μεδίμνους, ἀλεύρων δὲ ὡς ἡμιμέδιμνον· ἔλαιον, οὐδὲ ἀποκλιθῆναι κεράμιον φάσκειν. οὐ μέντοι ταῦτα παθεῖν γε οὐδέν.“ καὶ τοῦτο δὲ μετὰ σεμνότητος, ὅπου γε αὐτὸ τὸ κύριον λεχθὲν κινδυνεύει

---

11 γυμνάσια] Agesilao p. 655 b. 14 πάντα, πάντα] πάντα ταῦτα Norrm. 15 ἐν τῷ] ἔτι τὸ Norrm. 16 περιέχειν] παρέχειν Norrm. 18 ἀφέλειαν Norrm. ἀφέλεια Ald.

520, 1 προσίῃ Norrm. προσείη Ald. ἐνεργείας] ἐναργείας Norrm. γενέσθαι ἐπικατενεχθήσεται Norrm. 6 πρὸς Καλ-

εὐτέλειαν ποιῆσαι, ὥσπερ εἰ ἔλεγες, οὐ μὴν ἐκχυθῆναί γε ἐνταῦθα· ὁ δὲ ἀντὶ τοῦ κυρίου καὶ τοῦ κατ' εἶδος ἐν γένει μεταβαλὼν εἶπεν „οὐ μέντοι παθεῖν γε οὐδέν."

7. Καὶ διὰ τῶν αὐτῶν ὀνομάτων ἐπιπλέξαι δοκεῖ μὲν τοῦ ἀφελοῦς εἶναι λόγου, ἐκλύει δὲ τὸν τόνον τοῦ πολιτικοῦ λόγου, ὡς καὶ ἐν τῷ τῆς παραπρεσβείας ὁ Δημοσθένης „τίς γὰρ οὐκ οἶδεν ὅτι τῷ τῶν Φωκέων πολέμῳ καὶ τῷ κυρίους εἶναι Πυλῶν Φωκέας, ταύτην μέντοι τὴν ἀπὸ τοῦ τόπου καὶ τῶν πραγμάτων ἀσφάλειαν ἐπιφορικῶς, ὡς (403) ἐν συμπληρώσει, ἐπήνεγκε.

ϛ'. Καὶ τὸ τὴν γνώμην προλαβεῖν τῆς ἀφελείας ἐστίν· οἷον, εὖ εἰδώς, καὶ ἡγούμενος, καὶ νομίζων. καλὸν δὲ καὶ τὸ ὑποβάλλειν τὰ νοήματα καὶ ὡς ἀπὸ τῆς ἑτέρων γνώμης εἰσάγειν. καὶ μάλιστα αὐτῷ χρῆται ἐν τῇ Παιδείᾳ ὁ Ξενοφῶν, ἑκάστοτε λέγων, εἰ μέν τις ὑμῶν τόδε οἴεται.

ζ'. Καὶ τὸ μὴ ἐκπεπλῆχθαι ἐφ' οἷς ἄν τις ἐκπλαγείη καὶ τὸ μὴ θαυμάζειν τὰ θαύματος ἄξια, ἀλλ' ἁπλῶς λέγειν τὰ γεγονότα, μὴ ἐνσημαίνοντα παρ' αὐτοῦ, καὶ τοῦτο τῆς ἀφελείας.

η'. Τὸ δὲ καὶ ἀπὸ ὀρθῆς πτώσεως ἄρχεσθαι ἀφελῆ ποιεῖ τὸν λόγον καὶ τὸ κατὰ κόμματα λύειν τὰ νοήματα· πολλάκις δὲ οἱ ἀφελεῖς καὶ ἐπηγμένοις ἔξωθεν παρὰ τὰ ὑποκείμενα χρῶνται τοῖς ἐπινοήμασιν· οἷον „οὐδεπώποτε ᾐσθήμεθα τὰς ἀγέλας συστάσας ἐπὶ τὸν νομέα." χρῶνται δὲ καὶ οἱ πολιτικοὶ τοῖς ἔξωθεν ἐπινοήμασιν, οἷον ἱστο-

---

κλέα] P. 1119b. 10 ἐνταῦθα] ταῦτα Norrm. 13 παραπρεσβείας] P. 306 c. 17 ἀφελείας Norrm. Vulgo ἀσφαλείας. 20 εἰ μέν τις ὑμῶν τόδε οἴεται] Ne haec quidem ipsa in Παιδείᾳ, at quodammodo similia Cyrus verba usurpat p. 103 a. 160 e. 163 b. 171 c. 213 c. nec dissimilia sunt quae Xenophon ipse αὐτοπροσώπως profert εἰ δέ τις αὐτοὺς οἴεται p. 6 b. et 209 d. εἰ δέ τις οἴεται. sed locis illis omnibus potius dissidentes a suis sententias quam consentaneas uterque intelligit. Contra de eiusmodi loqui videtur sententiis Aristides, quibus ut vim fidemque maiorem adstruamus, aliis illas auctoribus, viris sapientibus ac magnis, vindicamus tribuimusque, quemadmodum ipse docet περὶ πολιτικοῦ λόγου p. 190. (ι). Norrm.

521, 4 ἀφελεῖς Norrm. Vulgo ἀσφαλεῖς. Vide p. 497, 1.



Digitized by Google

ρίαις, ἢ παραδείγμασιν, ἀλλὰ θεραπεύουσιν αὐτὰ ἐπαγγελίαις, ἢ αἰτιολογίαις.

θ'. Πρέπουσι δὲ τῷ ἀφελεῖ λόγῳ καὶ ἐπαλλαγαί· οἷον, νομίζει, οὐ νομίζων· καὶ τὸ ἀπὸ τῶν αὐτῶν ἄρχεσθαι τῆς ἀφελείας ἐστί· τῆς ἀφελείας [678] δὲ καὶ τὸ μὴ τραχέσι χρῆσθαι, ἀλλὰ τοῖς ὑφειμένοις. τραχύτητος μὲν γάρ ἐστιν εἰπεῖν, τοῦτο μὲν ἰδίᾳ, τοῦτο δὲ δημοσίᾳ· ὁ δὲ ἀφελὴς „οἴκοι" φησὶ „καὶ ἐπὶ τῶν βωμῶν." καὶ τὸ ταῖς τοιαύταις προθέσεσι χρῆσθαι· οἷον „διεθρύλητο γάρ·" ἀφελὲς ἐστι.

ι'. Τὰ εὐκτικὰ τῆς ἀφελείας μᾶλλον εἶναι δοκεῖ· ὡς ἄξιος εἴη· καὶ εἰ εὐσεβοῖεν· καὶ ὡς φαίη Σωκράτης· καὶ τὰ τοιαῦτα· καὶ ἐν τῇ Ἀναβάσει, ὡς πολεμεῖν ἱκανοὶ εἶεν· καὶ τὸ ἑξῆς ἐν τῷ ὁμοίῳ σχήματι, καὶ εὐνοϊκῶς ἔχοιεν αὐτῷ· τὰ δὲ εὐκτικὰ καθαρὸν ποιεῖ τὸν λόγον.

ια'. Καὶ τὸ μὴ ἐπιταχύνειν τὸν τόνον τῆς ἀπαγγελίας, ἀλλ' ἐπιβραδύνειν καὶ σχολῇ προχωρεῖν τῆς ἀφελείας· οἷον „ἀλλὰ μὴν οἷον οὐδὲ ταῦτα ἄν τις ἔχοι μέμψασθαι αὐτούς." καὶ τὰς ἐκβάσεις οἱ μὲν πολιτικοὶ εἰώθασι μᾶλλον κατὰ τὰς τῶν ἀτόπων ἐκβάσεις ἐξετάζειν· καὶ
522 τοῦτο βραχύτητα αὐτοῖς ἐργάζεται· οἱ δὲ ἀφελεῖς κατὰ τὰς τῶν ἀγαθῶν ἀποβάσεις μᾶλλον· οἷον „τοῦτο γὰρ οὖν ἄλλοις μὲν οὐδεμιᾶς ἀρχῆς."

ιβ'. Καὶ τὸ μὴ ὑπερδιατείνεσθαι μήτε τοῖς πράγμασι μήτε τοῖς νοήμασι τῆς ἀφελείας ἐστί. καὶ αἱ μεταβάσεις αἱ τοιαῦται· ἀλλὰ μήν· ὥς γε μήν· καὶ τὸ μὴ οἰκείᾳ ἐπικρίσει χρῆσθαι· ὅταν ἄξιόν τι ἐπαίνου, ἀλλὰ τῇ κοινῇ ἀφελὲς πάνυ· οἷον „εὐθὺς μὲν οἱ πολλοὶ ἠγάσθησαν·" ἐνταῦθα δὲ καὶ ἑτέρα τίς ἐστιν ἀρχή, τὸ μὴ καθ' ὑπερβολὴν εἰπεῖν, πάντες ἠγάσθησαν, ἀλλ' ὑφειμένως, οἱ πολλοὶ ἠγάσθησαν. ἴδιον δὲ τῶν ἀφελῶν καὶ

---

5 οἷον] Initio Παιδείας. 9 αὐτῶν] Fort. ὀρθῶν, ut paullo ante ἤ. NORRM. 11 οἴκοι] Memorabil. initio. 17 οἷον] Agesilai initio. 19 βραχύτητα] τραχύτητα Norrm.

522, 4 ἐπαίνου] Adde ἤ. NORRM. ἀφελὲς Norrm. Vulgo ἀσφαλὲς. οἷον] In Agesilao p. 652c. 5 ἀρχή] ἀφελὴς

τὸ τὰ κατασκευαστικὰ παραλείποντας τὰ ἧττον κατασκευαστικὰ λέγειν. οἷον „τὰς ἐλπίδας ἔχειν δεῖ τῆς σωτηρίας ἐν τῷ μηδὲν ἑαυτοῖς συνειδέναι μήτε ἀσέβημα περὶ θεοὺς μήτε ἀδίκημα περὶ ἀνθρώπους."

ιγ'. Καὶ τὰ ὀνόματα παράλληλα καὶ ἐπιπεπλεγμένα ἀλλήλοις τιθέναι, μηδεμιᾶς ἐργασίας τυγχάνοντα, τῆς ἀφελείας ἐστίν· οἷον „καὶ Ἴωσιν καὶ Αἰολεῦσι καὶ Ἑλλησποντίοις." καὶ τὸ μὴ ἀπέχεσθαι τῶν ἐλάττω δύναμιν ἐχόντων καὶ ἧττον προτιμωμένων, ἀλλὰ καὶ τὸ ἀγορὰν εἰπεῖν καὶ τὸ ἐν ἀγορᾷ· καὶ κατ' εἶδος· „σιδηρεῖς, σκυτεῖς·" καὶ τὰ τοιαῦτα τῆς ἀφελείας. 2. Πολλάκις δὲ (436) ὅταν μείζων ᾖ διαφορὰ, καὶ οὕτως ἐπιπλέκεις· ἤδη μέντοι τινές εἰσιν, οἳ καὶ ἀφίσταντο· καὶ ποτὲ μὲν αὐτὸ μόνον ψιλὸν εἶπες, ποτὲ δὲ τὴν αἰτίαν παρέθηκας· „ὀρεγόμενοι τῆς ἐλευθερίας·" τὸ δὲ ἀντὶ τῶν δεικτικῶν τὰ ἐξεταστικὰ καὶ παραλαμβάνειν τῆς ἀφελείας· οἷον δεικτικὸν ἐνέργειαν ἔχον· „ἐκεῖνος γὰρ ἄρχων μὲν παμπόλλων ἐν τῇ ἠπείρῳ πόλεων, ἄρχων δὲ καὶ νήσων." ἐπιγίγνεται δέ ποτε καὶ ἀργείᾳ καὶ ἀφελείᾳ· οἷον „ὁ Φιλάμβων, οὐχ ὅτι Γλαύκου τοῦ Καρυστίου."

ιδ'. Ἀφελὲς δὲ καὶ τὸ μὴ ὡς ἐν προτάσει κατασκευάζειν, ὅτι καλὸν ἄλλως, ἐν συγκρίσει κάλλιον ἄλλου καλοῦ, τὸ δὲ καὶ εἰπόντα τι κατὰ ἀπόφασιν τὴν ὑπερβολὴν εἰπεῖν ἀντὶ τῆς ἀρνήσεως· οἷον „οὐδ' εἰ μέλλοιμί γε." καὶ τὸ ἀντὶ τοῦ ἀκολούθου τὸ ἐναντίον κατὰ ἀναίρεσιν λέγειν ἀφελέστερον καὶ ἐπιμελέστερον: οἷον ἐνταῦθα ἐπεμελεῖτο,

---

Norrm. 7 τὰ ἧττον] Legebatur τὸ ἧττον. τὰς ἐλπίδας] Locus adhuc irrepertus. at re ac sententia convenit sub finem *Παιδείας* p. 239 d. διὰ τὴν ἐκείνων περὶ μὲν θεοὺς ἀσέβειαν, περὶ δὲ ἀνθρώπους ἀδικίαν. Norrm. 10 οἷον] Agesilao p. 653 c. 12 τὸ ἐν] τὰ ἐν Norrm. σιδηρεῖς] Ibid. p. 655 b. 13 ἐπιπλέκεις] ἐπιλέγεις Norrm. ἤδη] P. 657 b. 15 Legebatur καὶ παραλαμβάνειν. καὶ delevit Norrm. 16 ἐνέργειαν] ἐνάργειαν Norrm. 17 ἀργείᾳ] ἐναργείᾳ Norrm. οἷον] Demosth. de corona p. 1 c.

523, 1 Sup. p. 344. et 356. ιδ'. Norrm. 3 οἷον] Agesilao p. 666 c. 4 οἷον] Memorabil. I. p. 712 a. ἐνταῦθα]

Digitized by Google

οὐ τὸ ἀκόλουθον ἦν, οὐκ ἠμέλει. καὶ τὰ ἀσύνδετα τοῦ ἀφελοῦς ἐστι· λύει γὰρ τὸν ῥυθμόν.

ιε'. Τοῦτο δὲ ἐναντίον μὲν τῷ πολιτικῷ, πρέπον δὲ τῷ ἀφελεῖ· οἷον „Ἀθηναίους, Θηβαίους, Ἀργείους, Κορινθίους.“ ἀφελὲς δὲ καὶ τὸ μὴ ἀθρόως λέγειν· ἀθρόως μὲν γάρ ἐστιν εἰπεῖν οἱ Πέρσαι, μερικῶς δὲ, τάδε τῶν Περσῶν.

ιϛ'. 1. [Καὶ τὸ ἀλλοτρίαις δόξαις ἐπερειδόμενον λέγειν περὶ τῶν πραγμάτων τοῦ ἀφελοῦς ἐστιν, οἷον „ἐπειδὴ ἐστασίασαν.“ ἐὰν δὲ εἴπῃς, ἐπειδὴ ἐστασίασαν, τραχὺν ποιεῖ τὸν λόγον.] καὶ τὸ πολλάκις μεταβάλλοντα τὰς πτώσεις τῷ αὐτῷ χρήσασθαι ὀνόματι ἀναστρέφοντα τῆς ἀφελείας ἐστί. 2. Τοῦτο μὲν τοῦ αὐτοῦ τρόπου, τὸ μὴ ἀποκρυψάμενον μήτε τὸ πρᾶγμα μήτε τὸ ὄνομα ἀφανῶς εἰπεῖν. οἷον „ἔλεγε δὲ Κύρῳ.“ 3. Συγγραφικὸν δὲ ἤδη τελείου λόγου τὸ ἐπὶ τοῖς κατ' εἶδος ὀνόμασι καὶ τὸ ἀόριστον ἐπενεγκεῖν· οἷον „Γοργίᾳ, Προδίκῳ καὶ ἄλλοις πολλοῖς.“ 4. Ὅταν δὲ τὸ νόημα ἐξ ἑνὸς τοῦ συμπληροῦντος ὀνόματος ἀπαρτίζηται καὶ ἐπὶ τελευτῆς στῇ ἐφ' ἑνὶ ὀνόματι, ὥσπερ ἐνταῦθα [679] „ὡς ἐν .... ἐφανέρωσεν ἀχθόμενος, εἰ ἔψοιντο, συνηκολούθησαν·“ συγγραφικόν ἐστι καὶ λόγου ἦθος ἔχοντος. 5. Τὰ .... καὶ τὰ καθ' ἓν λεγόμενα, οἷον „ἅπαντα μὲν χαλκὸν, ἅπαντα δὲ φοίνικα·“ τῆς ἀφελείας ἐστί. τὸ δὲ κατὰ πλῆθος τῆς περιβολῆς καὶ τοῦ ἀξιώματος.

524 ιζ'. Αἱ συμπλοκαί εἰσι μὲν μᾶλλον τῶν ἀγωνιστικῶν, γένοιτο δ' ἂν ποτε καὶ ἐν ἀφελεῖ λόγῳ, ὅταν ἡ μὲν ἀρχὴ συνεστραμμένη ᾖ, διὰ τὴν συμπλοκὴν, τὰ δὲ

---

ἀντὶ τοῦ Norrm. 5 ἠμέλει Norrm. Vulgo εἰ μέλει. 6 οἷον] Agesilao p. 658 e. 8 τάδε] τὰ δὲ Norrm. 9 Infra κϛ'. Norrm. Καὶ τὸ — τὸν λόγον recte delet Norrm. Vid. infra p. 524, 13. 11 οἷον] Anabas. I. p. 247. ἔλεγε] ἐλέγετο Norrm. 12 ἤδη Norrm. ἤδει Ald. καὶ τὸ] καί τι Norrm. 13 οἷον] Xenoph. Sympos. initio. 14 ἐνταῦθα] Ibidem p. 873 b. 15 συγγραφικόν ἐστι Norrm. συγγραφικὸν δέ ἐστι Ald. 16 ἦθος Norrm. ἤθους Ald. Τὰ] Addo μέντοι Norrm. οἷον] Agesilao p. 659 b.

Digitized by Google

ἑξῆς λελυμένα. οἷον „καίε καὶ πόρθει." δριμύτητα δὲ ποιεῖ καὶ ἡ ἐπαναφορὰ τῆς συμπλοκῆς· ἅμα μὲν ἔκαιεν, ἅμα δὲ καὶ κηρύγματι ἐδήλου· οὐχὶ διεκήρυττε, οὐδὲ ἐκέλευε κηρύττειν.

ιη΄. Ἐξαρκεῖ δὲ καὶ ἐν ἀφελεῖ λόγῳ οὐ μόνον αὐτὰ εἰπεῖν τὰ γενόμενα, ἀλλὰ καὶ ὡς ἔτυχε γενόμενα εἰπεῖν. οἷον „Φίλιππος δὲ ὁ γελωτοποιὸς κρούσας τὴν θύραν·" τὸ δὲ κρούσας τὴν θύραν παραπεφύλακται μὲν, ὅτι οὐ κόψας μόνον, ἀλλὰ καὶ κρούσας λέγεται· ἔνιοι δὲ οὐχ οὕτως οἴονται· ὅτι δὲ Ἑλληνικόν ἐστιν, οὐδὲν δεῖ διαφέρεσθαι. σὺ δὲ, εἰ ἐβούλου πολιτικῶς αὐξῆσαι τὸν λόγον, παρετίθεις ἂν αὐτοῖς καὶ τὰς δυνάμεις· Φίλιππος ἦν γελωτοποιὸς, ὅστις ἐξαίφνης ἐπίσταται, καὶ ἐπειδὴ οὐδένα αὐτοῦ πλησίον κατέλαβε, τὸ μὲν πρῶτον ἔγνω εἰσπηδῆσαι, ἐδόκει δὲ αὐτῷ σημᾶναι πρὸς ἕτερον, καὶ κέκοπται προσελθὼν τὴν θύραν.

ιθ΄. Τὸ δὲ καὶ ταῖς τῶν ἄλλων δόξαις ἐπερειδόμενον ἔνια τῶν πραγμάτων λέγειν ἀφελοῦς ἐστιν, οἷον, ὡς λέγεται. πολιτικοῦ δὲ ἀνδρός ἐστι τὸ αὐτὸν ἐφ᾽ ἑαυτοῦ τὰ πλεῖστα εἰσάγειν· οἷον ὁ μὲν Θουκυδίδης ἀφελῶς εἰρηκέναι (442) δοκεῖ „στασιάσαντες δὲ ἐν ἀλλήλοις ἔτη πολλὰ, ὡς λέγεται·" ἐὰν δὲ εἴπῃς, ἐπειδὴ δὲ ἐστασίασαν, τραχὺν ποιεῖς τὸν λόγον.

κ΄. Ἔνια δὲ τοῖς μὲν ἀφελέσι καλὰ, τοῖς δὲ πολιτικοῖς ταπεινὰ, οἷον τὸ „λαρῶν βίον ζῶν·" τοῦτο γὰρ ἐπὶ διασυρμῷ μὲν εἴρηται, ἔχει δὲ χώραν· ἄλλως γὰρ ἐν ἀφελείᾳ ὁ λόγος προάγεται, ἄλλως ἐν εὐτελείᾳ. ὅταν οὖν τι θέλῃς διασῦραι, καθ᾽ ἓν κόπτων εἴσαγε, οἷον ὡς ὁ

---

524, 3 οἷον] Ibid. p. 656 d. ἔκαιεν] καὶ ἐπόρθει add. Norrm. 4 διεκήρυττε] δ᾽ ἐκήρυττε Norrm. 6 οἷον] In Sympos. p. 873 c. 10 ἐπίσταται] ἐφίσταται Norrm. 11 εἰσπηδῆσαι Norrm. εἰ πηδῆσαι Ald. πρὸς ἕτερον] An πρότερον? Norrm. κέκοπται] κόπτει Norrm. 14 ἐφ᾽] ἀφ᾽ Norrm. 15 Θουκυδίδης] I. p. 9. 16 ποιεῖς Norrm. ποιεῖ Ald. Conf. p. 523, 9. 17 οἷον] Demosth. de corona LXXIX, ubi λαγῶν. ἐπὶ διασυρμῷ Norrm. ἐπειδὴ συρμῷ Ald. 19 ἄλλως ἐν Norrm. ἀλλ᾽ ὡς ἐν Ald.

Digitized by Google

Δημοσθένης „ἔξαρχος καὶ ἡγεμὼν καὶ κιττοφόρος·“ προσήκει δὲ ἐν ἐπιμελείᾳ καὶ διαλόγῳ ἀφέλειαν ἐν λόγῳ μεμῖχθαι ταῖς ἀρχαῖς τοῦ ἀξιώματος· καὶ ἡ εἰς ταυτὸν κατάληξις, ἀποτεταγμένη μέντοι, ἵνα μὴ διαφθείρῃ τὸν λόγον, ἀφέλειαν ποιεῖ.

κα'. 1. Πάνυ δὲ καλὸν ἐν τοῖς ἀφελέσι τῶν λόγων τὸ τὰς πλάσεις ποιεῖν καὶ ἐνάργειαν θαυμαστὴν ἔχει, οἷον σὺ εἰ ἤθελες πλάσας εἰπεῖν, αὐτὸς δὲ προσῆλθε καὶ εἶπεν ὅτι κατὰ καιρὸν αὐτοῖς ἐντετυχηκὼς εἴη· ὁ δὲ Ξενοφῶν „εἰς καλόν γε ὑμῖν συντετύχηκα·“ καὶ γὰρ κόπτειν καὶ ἀρχὰς ποιεῖσθαι τῆς ἀφελείας ἐστίν. 2. Ἐν δὲ τοῖς τοιούτοις, ὅταν μὲν ἐξαλλάξῃς καὶ ἀπαρτίζων εἰς πολλὰς ἀρχὰς τὸν λόγον ἐπάγειν, δοκεῖ τῆς καινοπρεπείας καὶ τῆς λεπτοτέρας ἰδέας εἶναι· οἷον „ἐνταῦθα ἦν περὶ τὴν ὁδὸν κρήνη ἡ Μίδου καλουμένη τοῦ Φρυγῶν βασιλέως·“ εἶτα ἄλλη ἀρχὴ „ἐπὶ ταύτῃ Μίδας τὸν σάτυρον ἐθήρασε·“ καὶ ἄλλη ἀρχὴ „ὁ δὲ τρόπος τῆς θηράσεως οἴνῳ κεράσας τὴν κρήνην αὐτήν.“ αἱ μὲν οὖν τοιοῦται ἀρχαὶ καὶ τὸ ὀρθοῦν συνεχῶς οὕτω τὸν λόγον τῆς λεπτοτέρας ἰδέας. 3. Τοῦ δὲ ἀρχαιοτέρου τρόπου ἀποτείναντα μιᾷ διεξόδῳ τοῦ λόγου τὸ πᾶν διεξελθεῖν· ἐνταῦθα ἦν παρὰ τὴν ὁδὸν κρήνη Μίδου καλουμένη τοῦ Φρυγῶν βασιλέως, ἐφ' ᾗ λέγεται Μίδας τὸν σάτυρον θηρᾶσαι· καὶ ὁ τρόπος πῶς; οἴνῳ κεράσας αὐτόν· ἀπὸ μιᾶς γὰρ ἀρχῆς ἓν τέλος συμπεπέρασται ὁ λόγος. καὶ ἔστι τοῦτο τοῦ Ξενοφῶντος τύπου. 4. Περὶ τῶν ἀφανῶν πολλάκις εἶπον ὅτι ἰδίως ἐξ ἀκοῆς λέγειν. ἁρμόζει δὲ τοῦτο καὶ τῷ ἀφελεῖ λόγῳ. οἷον „ἐλέ-
526 γετο καὶ ἐλέγετο Κῦρον δοῦναι χρήματα πολλά.“ περὶ τῶν μυθωδῶν, οὐχ ὅτι ἐγένετο, ἀλλ' ὅτι λέγεται γενέσθαι. 5. Εἴπομεν δὲ ὅτι καὶ αἱ καινοπρέπειαι τῆς ἀφελείας ἐκεῖν . . . οὐ χεῖρον οὖν κἀνταῦθα παραδείγμασι χρή-

---

525, 1 Δημοσθένης] Loco cit. 3 ἀποτεταγμένη] οὐκ ἀποτεταμένη Norrm. 7 Ξενοφῶν] Symposii initio. 9 ἐπάγειν] ἐπάγῃς Norrm. 10 οἷον] Anabas. I. p. 247 a. 17 ἓν] τέλος Norrm. 19 οἷον] Ibidem.

526, 1 περὶ δὲ Norrm. δὲ om. Ald. μυθωδῶν Norrm. μυθόδων Ald. 2 ἐκεῖν] εἰσίν Norrm. 3 παραδείγμασι Norrm.

σασθαι. ὡς ἐν τῇ Ἀναβάσει Κύρου φησὶν ὁ Ξενοφῶν „τὰ Λύκαια ἔθυσε.“ πάνυ δὲ τοῦτο καινοπρεπὲς καὶ ἰδία τις σύνταξις, τὰ Λύκαια ἔθυσεν. τῷ γὰρ ὀνόματι τῆς ἑορτῆς οὕτω κέχρηται, ὡς [680] αὐτῷ τῷ θυομένῳ, εἰπὼν τὸ γινόμενον κατὰ τοῦ ἐν ᾧ γίνεται καὶ δι' ὃ γίνεται· θύειν μὲν γὰρ ἐν Λυκαίοις σύνηθες εἰπεῖν, θύειν δὲ Λύκαια τῆς καινοπρεπείας, οἷον εἰ σὺ λέγοις, ἔθυσε τὰ Παναθήναια καὶ ἔθυσε τὰ Ὀλύμπια· σύνηθές ἐστι λέγειν καὶ θύσαι θυσίας· [καὶ τοῦτο σύνηθές ἐστι λέγειν.] 6. Εἰργασμένου δὲ λόγου ἐστὶ τὸ παρατιθέναι τὰ ἐκ τῶν τόπων, ποῦ καὶ τίνος πλησίον καὶ ὑπὸ τῶν, ὡς ἐν τῇ Ἀναβάσει ἔχει τῇ Κύρου· „ἔστι δὲ καὶ μεγάλου βασιλέως βασίλεια ἐν Κελαιναῖς ἔρυμνα ἐπὶ ταῖς πηγαῖς τοῦ Μαρσύου ποταμοῦ ὑπὸ τῇ ἀκροπόλει·“ εἶτα ἡ αὐτὴ ἐπανάληψις, ὡς εἶναι καὶ ἄλλην ἀρχὴν „ῥεῖ δὲ οὗτος καὶ διὰ τῆς πόλεως εἰσβάλλει εἰς τὸν Μαίανδρον ποταμόν.“ καὶ ἄλλο πάλιν ἐκ τοῦ τόπου ἔνδοξον· „ἐνταῦθα λέγεται Ἀπόλλων ἐκδεῖραι Μαρσύαν ἐρίσαντά οἱ περὶ σοφίας.“ 7. Ἐκεῖνο μὲν οὖν, ὡς προείπομεν, εἰδέναι δεῖ ἐπὶ τῶν (448) θυμῶν, ὅτι εἰσάγεται οὐχ ὡς ἐγένετο, ἀλλ' ὅτι λέγεται γενέσθαι. εἶτα καὶ ἐκεῖνο εἰδέναι δεῖ, ὅτι ἀρχαῖος τρόπος, ἐπειδὰν καὶ σφόδρα ἐπὶ ἐνδόξων πραγμάτων ᾖ, οὐκ ἔχει τὴν αὐτὴν περιέργειαν ἐν ἑαυτῷ, ἀλλ' ἐξαρκεῖ αὐτῷ τὰ πράγματα εἰπεῖν καὶ ὃν τρόπον ἐπράχθη, μηδὲν περιειργασμένον αὐτοῖς· τὸ γὰρ περιεργάζεσθαι καὶ διατρίβειν ἐν αὐτοῖς ἐνδόξοις οὖσι, τοῦτο ἀπάγει τὸν λόγον ἀπὸ τοῦ τύπου τοῦ ἀρχαίου· ἐνταῦθα λέγεται· μή τι εἶπεν, ἐνταῦθά ἐστι Μαρσύας αὐλητής, Φρὺξ τὸ γένος, ᾧ τοσοῦτον ἐπῄει φρονεῖν. διατριβὴ γὰρ γίνεται καὶ περιέργεια. 8. Κἀκεῖνο δὲ ὁρᾶν ἔστρεψε γὰρ τὴν τάξιν· τὸ μὲν γὰρ πρῶτον ἦν εἰπεῖν ὅτι ἤρισεν· εἶτα ὅτι ἡττήθη· εἶτα τί ἔπαθε· τὰ δὲ τοιαῦτα, ὅταν ἀναστρέψῃς τὴν τάξιν, καὶ

---

παραδείγματι Ald. Ἀναβάσει] I. p. 246 d. 8 καὶ — λέγειν seclusit Norrm. 9 ὑπὸ τῶν] ὑπὸ τῷ Norrm. 10 Ἀναβάσει] P. 246 b. 14 θυμῶν] μυθωδῶν Norrm. 19 ἀπάγει Norrm. ἐπάγει Ald.

527, 1 ἐπῄει Norrm. ἐποίει Ald. 2 δὲ] δεῖ Norrm.

Digitized by Google

τὸ τελευταῖον πρῶτον θῇς, εἶτα οὐ τοὺς ἐφεξῆς τὰ πρὸ τούτου· τάχος ποιήσεις τῷ λόγῳ καὶ κάλλος· ὅταν εἰπόντος ὃ ἔπαθεν ὁ λόγος ζητήσῃ διὰ τί ἔπαθεν· ἐρίσαντα περὶ αὐλητικῆς ἢ μουσικῆς, ἀλλὰ περὶ σοφίας. 9. Καὶ τὸ δέρμα ἄλλος μὲν ἂν εἶπεν, ὅτι κρέμαται· ἀλλὰ πάλιν νεαροπρεπές· οὗτος δὲ καὶ τὸ δέρμα κρεμάσαι ἐν τῷ ἄντρῳ, ὅθεν αἱ πηγαί· εἶτα ὡς ἀναγκαῖον καὶ οὐ περιειργασμένον· διὰ τί δὲ τὸ ὁ ποταμὸς καλεῖται Μαρσύας· ὅρα δὲ καὶ ἐν τούτῳ τὴν ἐγκράτειαν τῶν ἀρχαίων· οὐ γὰρ εἶπεν, τὸ πάθημα διὸ τοὔνομα προσέθηκεν τὸ τοῦ Μαρσύου τῷ ποταμῷ, ἢ τὴν συμφορὰν τοῦ αὐλητοῦ· οὐδὲν γὰρ τούτων Ξενοφῶν ποιεῖ, ἀλλ' ἀρκεῖ αὐτῷ τοσοῦτον μόνον· διὰ δὲ τοῦτο ὁ ποταμὸς καλεῖται Μαρσύας. 10. Εἶτα ἄλλη ἀρχὴ ἐξ ἐνδόξου „ἐνταῦθα Ξέρξης, ὅτε ἐκ τῆς Ἑλλάδος ἡττηθεὶς τῇ μάχῃ ἀπεχώρει.“ ὅρα καὶ ἐνταῦθα τὴν ἐγκράτειαν· οὔτε γὰρ Σαλαμὶς ἐνταῦθα οὔτε στόλος καὶ πλῆθος πεζῶν καὶ τριήρων, οὐδὲ ὅπως ἡττήθη, οὐδὲ ὅπως ἔφυγεν, οὐδὲ ἄλλο οὐδὲν, τοσούτων ὄντων τῶν προσόντων Ξέρξῃ, ἀλλὰ ψιλὸν „ὅτε ἐκ τῆς Ἑλλάδος.“ μεμάθηκας οὖν ὅπως οἱ ἀρχαῖοι ἐπεξέρχονται καὶ ὅση ἐν τούτοις ἐγκράτεια.

χβ'. Ἐκεῖνο δὲ μάλιστα τήρει ἐν τοῖς νοήμασιν, ὅτι
528 δεῖ τὰ συμπληροῦντα ταμιεύεσθαι καὶ τελευταῖα τιθέναι, ὡς ἂν καὶ σεμνότητος ὁ λόγος μετέχοι. ὅρα δὲ κἀκεῖνο, ὅτι ἐν τοῖς ἀφελέσι λόγοις, κἂν ᾖ τὰ μὲν μείζω καὶ προτιμότερα τῶν πραγμάτων, τὰ δὲ ἐλάττω, αἰεὶ πρότερον τὰ ἐλάττω τιθέναι εἰώθασιν, ὡς καὶ ἐνταῦθα, μεγάλου ὄντος καὶ ἐνδόξου τοσαῦτα χρήματα Κῦρον δοῦναι τῷ Κλεάρχῳ· ὁ δὲ οὐκ ἐπὶ τοῦτο εὐθέως ἦλθεν, ἀλλὰ πρότερον τὸ τῆς γνώμης εἶπεν „ἠγάσθη τε αὐτὸν καὶ δίδωσιν αὐτῷ μυρίους Δαρεικούς·“ ἡ δὲ ἀρχὴ „Κλέαρχος ἦν Λακεδαιμόνιος φυγάς· τούτῳ συγγενόμενος ὁ Κῦρος·“

---

4 οὐ τοὺς] οὕτως Norrm. ποιήσει Norrm. 6 ἐρίσαντα] ἐρίσας οὐ Norrm. 8 τὸ om. Norrm. 10 διὸ] τοῦτο Norrm. τὴν συμφορὰν] ἡ συμφορὰ Norrm. 18 Ἐκεῖνο Norrm. ἐκεῖνα Ald. τήρει Norrm. τηρεῖ Ald.

528, 3 ἐνταῦθα] Anabas. ab initio.

Digitized by Google

ἔχει τινὰ θαυμαστὴν τὸ ὄνομα· ἤθους δύναμιν τὸ μὴ εἰπεῖν· τούτου πειρασθεὶς ὁ Κῦρος· ἢ τοῦτον κατιδὼν πολλοῦ ἄξιον ὄντα καὶ στρατηγικώτατον, ἀλλ' ἁπλῶς, τούτῳ συγγενόμενος· καὶ τὸ ἑξῆς δὲ τὸ ἑπόμενον αὐτῷ, ὡς ἂν μάλιστα τὸ ἦθος φανείη, οὕτως ἔχει „ἠγάσθη τε αὐτὸν καὶ δίδωσιν αὐτῷ μυρίους Δαρεικούς.“

κγ'. Πολλάκις εἴρηκα ὅτι τὸ κατὰ σύγκρισιν τῆς ἀφελείας ἐστὶν, οἷον „ἐφίλει μᾶλλον τὸν Κῦρον ἢ τὸν (454) βασιλεύοντα Ἀρταξέρξην.“ [681] ὡς ἔχει καὶ τοῦτο „ὥστε αὐτῷ μᾶλλον φίλους εἶναι ἢ βασιλεῖ.“ καὶ τὸ τοῖς ἧττον ἐμφαντικοῖς χρῆσθαι ὀνόμασι, καὶ τὰ μικρότερα ἐπὶ τῶν μεγάλων ὀνομάζειν τοῦ εἴδους τῆς ἀφελείας ἐστίν. ἐν τῇ Ἀναβάσει ἐπὶ τοῦ Κύρου „τῶν τε παρ' ἑαυτῷ βαρβάρων ἐπεμελεῖτο·“ ἐπὶ μεγάλου πράγματος ὀνομασίαι μικραί· τὸ γὰρ ἐπιμελεῖσθαι οὐκ ἔστιν ἴδιον ἄλλου τινὸς ἢ τῶν μετρίων· καὶ εἴποι ἄν τις οἴκου ἐπιμελεῖται· καὶ ἐπὶ στρατοπέδου δὲ ἧττόν ἐστι τοιούτῳ χρήσασθαι ὀνόματι· καὶ ἐν τῷ Ἀγησιλάῳ „καὶ αὐτοῦ κατέμεινε πάλιν ἡδόμενος τῷ ἔργῳ·“ τὸ γὰρ τοῖς ἧττον ἐμφαντικοῖς χρῆσθαι, καὶ μὴ εἴπῃ, μεγαλοφρονῶν, ἢ ἐπηρμένος τῇ νίκῃ, ἀλλ', ἡδόμενος τῷ ἔργῳ, τῆς ἀφελείας.

κδ'. Καὶ ἡ τοῦ χρόνου παραλλαγὴ τῆς ἀφελείας ἐστί· τὸ γὰρ παρεληλυθὸς εἰς τὸν ἐνεστῶτα ὁρίζονται· οἷον „Κῦρον δὲ μεταπέμπεται ἀπὸ τῆς ἀρχῆς“ ἀντὶ τοῦ μετεπέμψατο· ὁ χρόνος γὰρ μεταβληθεὶς τὴν ἀφέλειαν ἐποιήσατο. δεῖ γάρ ποθ' ἡμᾶς ὑποθεῖναι τὰ γεγονότα ὡς γινόμενα. οἷον, καλεῖ αὐτὸν εἰς τὴν οἰκίαν καὶ διαλέγεται αὐτῷ· ὡς νῦν γινόμενον, τὸ πάλαι γεγονός· καὶ ἔστι καινοπρέπεια ἐν τῷ τοιούτῳ.

κε'. Ἐὰν δὲ κατὰ συγκριτικὰ ἀφαιρῇς τοῦ μεγέθους, (456) ἐπιμέλεια μᾶλλον γίνεται· ἐν τῷ Ἀγησιλάῳ „ὁ δὲ τῶν Περσῶν βασιλεὺς νομίσας ἁπάντων τούτων Τισσαφέρνην αἴτιον εἶναι, τοῦ κακῶς φέρεσθαι τὰ αὐτοῦ, Τιθραύστην

---

7 πειραθεὶς Norrm. 11 ὅτι τὸ Norrm. ὅτι τὰ Ald. οἷον] Anabas. initio. 17 Ἀγησιλάῳ] P. 658 d. et Hellen. IV. p. 518 a.

529, 2 οἷον] Anabas. initio. 7 Ἀγησιλάῳ] P. 657 a.

Digitized by Google

καταπέμψας, ἀποκόπτει αὐτοῦ τὴν κεφαλήν." καὶ τοῦτο μὲν τῆς ἀφελείας, τὸ ἀποκόπτειν αὐτοῦ τὴν κεφαλήν· τὸ δὲ νομίσας διάθεσίν τινα ἔχει τῶν ὑποκειμένων πραγμάτων· οὐ γὰρ εἶπεν· ἐπειδὴ κακῶς μὲν ἔσχον τῶν βαρβάρων πράγματα· τοσοῦτος δὲ ὁ θόρυβος καὶ ταραχή· μάχας δὲ τοσαῦτα ἥττηντο, τὸ τελευταῖον κατακλεισθέντες ἐπολιορκοῦντο· οὐδὲν τοιοῦτο· αὐτὸ δὲ μόνον ἐξήνεγκε· νομίσας· καὶ οὐχὶ, ἅμα μὲν παροξυνθεὶς τοῖς συμβεβηκόσιν, ἅμα δὲ ἡγούμενος, ἀλλὰ νομίσας· καὶ ἡ σύγκρισις· μετὰ δὲ τοῦτο τὰ μὲν τῶν βαρβάρων ἀθυμότερα ἐγένετο· καὶ οὐκ εἶπεν, ἐν ἀθυμίᾳ δεινῇ, ἀλλ' ἀθυμότερα. καὶ τὸ μερικῶς δὲ εἰπεῖν τὰ τῶν βαρβάρων, καὶ οὐχ οἱ βάρβαροι. καὶ τοῦτο τῆς ἀφελείας, οἷον „ὅστις ἄρχων μὲν παμπόλλων ἐν τῇ ἠπείρῳ πόλεων, ἄρχων δὲ καὶ νήσων."

κϛ'. 1. Ἔτι τῶν ὀνομάτων τὰ μὲν σφόδρα σημαίνεται, τὰ δὲ ἧττον· οἷον τὰ μὲν σφόδρα, διεξῆλθεν, ἐξήλασεν· τὰ δὲ ἧττον, ἐπορεύθη· ὡς καὶ ἐπὶ τοῦ Ἀγησιλάου „τῇ δὲ ὑστεραίᾳ ὑπερβάλλων τὰ Ἀχαϊκὰ τῆς Φθίας
530 ὄρη καὶ τὴν λοιπὴν πᾶσαν διὰ φιλίας ἐπορεύθη ἐς τὰ τῶν Βοιωτῶν ὄρεια." ἔχει δὲ καὶ ἡ καινοπρέπεια τὴν ἀφέλειαν· τὸ γὰρ τοῦ προσώπου πρᾶγμα ἐπὶ τὸν τόπον μετέθηκεν· ἀντὶ γὰρ τοῦ εἰπεῖν, διὰ τῆς τῶν φίλων, λέγει διὰ φιλίας· καὶ ἀντὶ τοῦ διὰ τῆς τῶν συμμάχων, διὰ τῆς συμμαχίδος. 2. Χρῶνται δὲ οἱ ἀφελεῖς καὶ τὸ ἐνταῦθα ποικίλως· καὶ γὰρ τόπου καὶ χρόνου σημαντικόν ἐστι· τὸ δὲ ἐνταῦθα καταλαμβάνει τοῦτό που· ἡ δὲ διάστασις ἀφελής· τὸ γὰρ νόημα ἀπέστησεν ἀπὸ τῶν προηγουμένων. καὶ ποτὲ μὲν τελείῳ δεικτικῷ χρῆται, ἐνταῦθα δή ποτε λείπει ἐνθαδή.

κζ'. Περὶ δὲ τῆς τροπῆς τῆς παρὰ τοῖς συγγραφε-

---

11 τοσαῦτα] τοσαύτας Norrm. 12 νομίσας] Tollendum. Norrm. 14 ἀθυμότερα. καὶ τὸ Norrm. ἀθυμότερον καὶ τῷ Ald. 17 σημαίνεται] σημαίνει Norrm. 18 Ἀγησιλάου] P. 658 e. et Hellen. IV. p. 518 a. 19 φιλείας Ald.

530, 4 καὶ τὸ] καὶ τῷ Norrm. 7 δή ποτε] δὴ, ποτὲ δὲ Norrm. λείπει, ὡς καὶ ἔνθα δή Norrm.

κοῖς τῶν ἀνδρῶν τοσοῦτον δεῖ εἰδέναι, ὅτι οὐκ ἀπὸ με-
γάλων δεῖ οὐδὲ σεμνῶν τὰς τροπὰς λαμβάνεσθαι, ἀλλὰ
μᾶλλον ἀπὸ τῶν φαυλοτέρων, ἢ κοινοτέρων. ὡς καὶ ἐν (460)
τῷ Συμποσίῳ ἔχει „τουτοισὶ τοῖς ἀνδράσιν ἐκκεκαθαρ-
μένοις τὰς ψυχάς·" τὸ γὰρ τῶν ἐκκεκαθαρμένων ὄνομα
τροπὴν ἔχον ἀπὸ σκευῶν ἢ ἀγγείων, μετενεχθὲν ἀπὸ τῶν
κοινοτέρων ἐπὶ τὰ σεμνότερα, ἐπὶ τοὺς ἄνδρας, καὶ τὴν
ψυχὴν τὴν τῶν ἀνδρῶν, οὐ καθαρὰν τὴν τροπὴν ἐποίη-
σεν, ἀλλὰ καὶ πεφυλαγμένην καὶ συγγραφικήν. καὶ αἱ
τοιαῦται τροπαὶ συνήθεις εἰσὶ μᾶλλον τῇ ἀφελείᾳ· οἷον
„ἡ δὲ οἰκουμένη μὲν, σπειρομένη δὲ, ἀέναον τὴν τροφὴν
παρέχεται." πάνυ δὲ τοῦ ἐγκωμιαστικοῦ εἴδους τὸ τοιοῦ-
τον σχῆμα.

κη΄. Τὰ δὲ τῆς τάξεως οὕτως ἔχειν δεῖ, ὅπως ἂν
ἑκάστῳ ἁρμόζειν δοκῇ· ἐν μὲν γὰρ ταῖς ἱστορίαις αὐτὰ
τὰ πράγματα καὶ τὴν τάξιν τῶν λεγομένων [682] ἀπερ-
γάζεται, ἐν δὲ ταῖς ὑποθήκαις καὶ διδασκαλίαις καὶ τοῖς
ἀπομνημονεύμασιν, ὡς ἂν βούληταί τις.

κθ΄. Ταῦτα οὖν ἀκριβῶς τηρήσας καὶ ἐγγυμνασά-
μενος αὐτοῖς ποιήσεις καὶ ἀξιώματος ὄντος ἐπιμέλειαν καὶ
ἐξ ἐπιμελείας ἀξίωμα, καὶ ἡ ἀφέλεια τοιαύτη ἔσται ἐν
πᾶσι τὴν ἰσχὺν τῶν θεωρημάτων ἔχουσα. ταῦτα μὲν οὖν (462)
ἱκανῶς ἐπιδέδεικταί σοι περὶ ὧν προεθέμεθα, ὅσα τε
θεωρήματα καθ᾽ ἑκάστην λέξιν, περί τε ἤθους καὶ ἀρχὰς
λόγου καὶ μεταχείρησιν νοημάτων καὶ γλυκύτητα λέξεως,
καὶ ἀφέλειαν πάλιν αὖ λέξεως, καὶ διηγήσεις καὶ μυθώ-
δεις ἀγωγὰς, καὶ περὶ κάλλους ἐν λόγῳ. καὶ ταῦτα καθ᾽
ἕκαστον εἴρηται.

---

10 Συμποσίῳ] Initio. 11 τῶν ἐκκεκ — Norrm. ἐκ τῶν κεκ — Ald. 12 καὶ μετενεχθὲν Norrm. 14 οἷον] Agesilao p. 654 b.

531, 3 ἤθους] ἦθος Norrm. 4 μυθώδεις Norrm. θυμώδεις Ald. 5 ἀγωγὰς] διαγωγὰς Norrm.

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google